CORPUS SCRIPTORUM HISTORIAE BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

CONTINUATA.

GEORGIUS CEDRENUS.

TOMUS ALTER.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXXXIX.

GEORGIUS CEDRENUS

IOANNIS SCYLITZAE OPE

AB

IMMANUELE BEKKERO

SUPPLETUS ET EMENDATUS.

TOMUS ALTER.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXXXIX.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΚΕΔΡΗΝΟΥ

ΣΥΝΟΨΙΣ ΙΣΤΟΡΙΩΝ.

Κόσμου ἔτος ,ςσλς', τῆς θείας σαρκώσεως ἔτος ψλθ', Κωνσταντῖνος P 459 ὁ Καβαλλῖνος εἰκονομάχος ἐβασίλευσεν ἔτη λε', ἐκ δεινοτάτου λέοντος φανεὶς ποικιλότροπος πάρδαλις καὶ ἐκ σπέρματος ὄφεως ἀσπὶς καὶ ὄφις πετόμενος. οὗτος τὴν πατρῴαν βασιλείαν τε καὶ δυσσέβειαν διαδεξάμενος ἐκ θεοῦ πλεῖον διίστατο καὶ τῆς θεομήτορος καὶ πάντων τῶν ἁγίων· κἀντεῦθεν λοιπὸν μαγείαις καὶ ἀσελγείαις καὶ δαιμόνων ἐπικλήσεσι καὶ σπλάγχνων ἀνατομαῖς καὶ ἄλλοις πονηροῖς ἐπιτηδεύμασι κυνηγεσίαις τε καὶ ἱπποδρομίαις σχολάζων ὄργανον ἐπιτήδειον τοῦ Ἀντιχρίστου γέγονεν, ὡς καὶ θεσμὸν καθολικὸν B ἐκθέσθαι, μὴ λέγεσθαί τινα τὸ παράπαν ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων εὑρισκόμενα διαπτύεσθαι, καὶ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν. "οὐδὲν γάρ" ἔλεγεν "ἰσχύουσι," προσθεὶς ὁ παμμίαρος "μηδὲ τὴν τῆς Μαρίας ἐπικαλείσθω τις πρεσβείαν· οὐ γὰρ δύναταί τι.", ἀλλὰ μηδὲ θεοτόκον αὐτὴν ὀνομάζεσθαι. λαβὼν γὰρ ἐν χειρὶ πλῆρες χρυσίου βαλάντιον καὶ ὑποδείξας αὐτὸ

10 τινα] insere ex Suida τῶν θεραπόντων κυρίου. margo P

Anno mundi 6236, qui ab incarnatione divina fuit 739, potitus imperio Constantinus Caballinus Iconomachus praefuit ei annos 35. is ex saevissimo leone versutissima pardalis, et ex semine serpentis aspis et anguis volans, ut primum in patrium regnum et impietatem successit, longius etiam a deo deipara omnibusque se sanctis abalienavit; ac deinceps veneficiis, libidinibus, daemonum invocationibus, viscerum exsectionibus aliisque malis studiis tum venationibus et ludis circensibus deditus idoneum se Antichristo instrumentum praebuit. atque adeo universali edicto vetuit ne quis in universum domini servorum sancti titulo cohonestaretur: quin imo conspui eorum inventas reliquias iussit, prohibuitque eorum intercessionem postulari, quod eos nihil posse diceret. atque addidit scelestus Mariae quoque virginis intercessionem non esse implorandam: nihil enim eam praestare posse. quin et deiparam hanc noluit appellari. sumptis enim in manus auro plenis loculis, ac prae-

πᾶσιν, ἤρετο τίνος ἄξιον ἐστί· τῶν δὲ "πολλοῦ" εἰπόντων, κενώ-
C *σας πάλιν τὸ χρυσίον ἤρετο τίνος ἐστὶν ἄξιον, καὶ λέγουσιν "οὐδε-*
νός" "οὕτως" ἔφη "καὶ ἡ Μαρία, ἕως μὲν εἶχε τὸν Χριστὸν ἐν
αὐτῇ, τετιμημένη ἦν, ἀφ' οὗ δὲ τοῦτον ἀπέτεκεν, οὐδὲν τῶν λοι-
πῶν γυναικῶν διενήνοχε." φεῖσαι ἡμῶν, κύριε. ἐκ τούτου οὐ
μικρά τις ἀθυμία τοὺς Χριστιανοὺς κατέλαβεν, ὥστε παρὰ πάν-
P 460 *των μισηθῆναι καὶ Ἀρταβάσδῳ κουροπαλάτῃ καὶ γαμβρῷ ἐπ'*
ἀδελφῇ αὐτοῦ προστεθῆναι.

Ἐξελθὼν δὲ ὁ Κωνσταντῖνος ἐν τοῖς τοῦ Ὀψικίου μέρεσι
κατὰ τῶν Ἀράβων ὑπεβλέπετο κακῶσαι Ἀρτάβασδον, ὄντα ἐν τῷ
Δορυλαίῳ. ὁ δὲ τοῦτο γνοὺς κινεῖ κατ' αὐτοῦ, καὶ τὸν μὲν πα-
τρίκιον Βίσηρον, τὸν συμμύστην Κωνσταντίνου, ῥομφαίᾳ ἀνεῖ-
λεν, ὁ δὲ Κοπρώνυμος φοβηθείς, ἐπιβὰς παριππίου, φεύγει εἰς
τὸ Ἀμώριον. δεξιοῦται δὲ Λογγῖνον στρατηγὸν τῶν ἀνατολικῶν
μεγάλαις ὑποσχέσεσι, καὶ σώζεται παρ' αὐτοῦ. ἐντεῦθεν μάχαι
δεινόταται τοῖς ὑπηκόοις, ἑκατέρων βασιλέων ἀναγορευομένων.
B *εἰσῆλθε δὲ Ἀρτάβασδος ἐν τῇ πόλει, καὶ παρευθὺ κατὰ πᾶσαν*
αὐτὴν τὰς ἱερὰς ἀνεστήλωσεν εἰκόνας, ἀνηγορεύθη δὲ παρὰ τῶν
θεμάτων βασιλεύς. Ἀναστάσιος δὲ ὁ ψευδώνυμος πατριάρχης,
κρατήσας τὰ τίμια καὶ ζωοποιὰ ξύλα, ὤμοσε τῷ λαῷ ὅτι μὰ τὸν
προσηλωθέντα ἐν αὐτοῖς, οὕτως μοι εἶπε Κωνσταντῖνος ὁ βασι-
λεύς, ὅτι μὴ λογίσῃ υἱὸν θεοῦ εἶναι ὃν ἔτεκε Μαρία, τὸν λεγό-
μενον Χριστόν, ἀλλὰ ψιλὸν ἄνθρωπον· ἡ γὰρ Μαρία οὕτως αὐ-

sentibus demonstratis, sciscitatus est quanti eos putarent esse pretii. cum responsum esset magni, evacuato auro rursum interrogavit quanti loculos aestimarent. cumque responsum esset nihili, "ita" inquit "Maria quoque dum Christum gestavit utero, in honore fuit, postquam eum peperit, nihilo reliquis mulieribus praestantior est." parce nobis, domine. haec Christianos in gravem coniecerunt maerorem; omnesque eum exosi Artabasdo curopalatae (sororem is Copronymi in matrimonio habebat) sese adiunxerunt.

Interea Constantinus adversus Arabes in regionem Opsicianam profectus de Artabasdo, qui tum Dorylaei degebat, opprimendo occasiones circumspicit. qua re cognita Artabasdus arma contra Constantinum sumit, et patricium Biserum, eius sacrorum socium, ferro obtruncat. Copronymus perterritus equo Amorium profugit, Longinumque Orientalium ducem magnis demeritus pollicitationibus per eum in tuto fuit. hinc calamitosissima subditorum bella, utroque imperatore creato. Artabasdus urbem ingressus statim ubique per eam sacras reposuit imagines, eumque ordines imperatorem salutarunt. ceterum Anastasius, qui falso titulum patriarchae gerebat, manu tenens veneranda atque vivifica crucis ligna, eum qui illi affixus fuerat iuravit ad populum, Copronymum imperatorem haec sibi verba dixisse "quem Maria peperit Christum, hunc tu filium dei esse ne censueris, neque quicquam praeter hominem: ita

τὸν ἔτεκεν ὡς καὶ ἐμὲ ἡ μητήρ μου Μαρία. καὶ τοῦτο ἀκούσαν-
τες οἱ λαοὶ ἀνέσκαψαν αὐτόν.

Τῷ β' ἔτει τέθνηκεν Ἰσὰμ ὁ τῶν Ἀράβων ἀρχηγός. οὗτος
τὴν ἁγιωτάτην ἐκκλησίαν Ἀντιοχείας ἐπὶ τεσσαράκοντα χρόνους C
χηρεύουσαν, κωλυόντων τῶν Ἀράβων πατριάρχην γενέσθαι ἐν
αὐτῇ, ἔχων τινὰ προσφιλῆ μοναχὸν Σύρον ὀνόματι Στέφανον,
ἄγροικον, εὐλαβῆ δὲ μόνον, καὶ εἴπερ θέλοιεν συγχωρηθῆναι
αὐτοῖς πατριάρχην ἔχειν, ψηφίσασθαι αὐτὸν τὸν Στέφανον. θεό-
θεν τοῦτο νομίσαντες γίνεσθαι χειροτονοῦσιν αὐτὸν ἐν τῷ θρόνῳ
Θεουπόλεως. τούτῳ τῷ ἔτει ἀπέστειλε Κωνσταντῖνος πρὸς Ἰσάμ,
ὡσαύτως καὶ Ἀρτάβασδος, συμμαχίαν αἰτοῦντες ἀμφότεροι. γέ-
γονε δὲ ἀβροχία πολλὴ καὶ σεισμοὶ κατὰ τόπους, ὡς ἑνωθῆναι
ὄρη πρὸς ἄλληλα κατὰ τὴν ἔρημον Σαβᾶ, καὶ κώμην ὑπὸ γῆν
καταποθῆναι. τῷ δ' αὐτῷ ἔτει Κοσμᾶς ὁ πατριάρχης Ἀλεξαν- D
δρείας ὠρθοδόξησε σὺν τῇ πόλει αὐτοῦ ἐκ τῆς τῶν Μονοθελητῶν
κακοδοξίας. τούτῳ τῷ ἔτει ἐφάνη σημεῖον ἐν τῷ οὐρανῷ. Οὐαλὶδ
δὲ Πέτρον τὸν ἁγιώτατον μητροπολίτην τοῦ Δαμασκοῦ, ὡς ἐλέγ-
χοντα τὴν τῶν Ἀράβων καὶ Μανιχαίων κακόνοιαν, ἐγλωσσοτόμησε
καὶ ἐξώρισεν εἰς τὴν εὐδαίμονα Ἀραβίαν, ἔνθα καὶ τελειοῦται
μαρτυρήσας ὑπὲρ Χριστοῦ καὶ τρανῶς ἐκφωνήσας τὴν θείαν λει-
τουργίαν. τούτῳ τῷ ἔτει γεγόνασιν ἐμφύλιοι πόλεμοι οἷοι οὐκ
ἐγένοντο ἀπὸ καταβολῆς κόσμου.

Τῷ γ' ἔτει κατὰ βορρᾶν ἐφάνη σημεῖον, καὶ κόνις κατῆλθεν P 461

enim eum Maria peperit ut et me mater mea Maria." hoc audito populus Constantino imperium abrogavit.

Anno eius imperii secundo Isamus Arabum princeps moritur. hic, cum sanctissima Antiocheae ecclesia per quadraginta annos patriarcha caruisset, Arabibus constitui aliquem vetantibus, cum haberet carum sibi Syrum quendam monachum, nomine Stephanum, pium hominem sed rusticum, Antiochensibus significavit, siquidem cupiant sibi patriarcham concedi, ut id muneris huic Stephano committant. ii divinitus hoc fieri rati Stephanum Theopolis throni patriarcham elegerunt. hoc anno et Constantinus et Artabasdus per legatos auxilia ab Isamo petierunt. magna quoque siccitas fuit et multi terrae motus variis locis; adeoque et montes in solitudine Saba inter se coiverunt, et pagus terra absorptus est. eodem anno Cosmas Alexandreae patriarcha cum civibus ab errore Monotheletarum ad veram religionem transivit. eodem anno signum in caelo visum est. Validus autem Petro sanctissimo Damasci metropolitae, quod is Arabum et Manichaeorum errores argueret, linguam praecidit, et in Arabiam felicem relegavit; ubi cum Christo testimonium perhibuisset ac clara voce liturgiam cecinisset, supplicio affectus obiit. hoc anno civilia fuere bella, qualia non ante ab origine mundi.

Anno tertio versus Boream apparuit signum, ac caelitus in quae-

εἰς τόπους. γέγονε δὲ καὶ σεισμὸς εἰς τὰς Κασπίας πύλας· καὶ
ἀνηρέθη Οὐαλὶδ ὑπὸ τῶν Ἀράβων, ἄρξας ἔτος α', καὶ κρατεῖ τῆς
ἀρχῆς Ἰζὶδ ὁ Λειψός. τούτῳ τῷ ἔτει ὁ Κωνσταντῖνος περᾷ διὰ
τῆς Ἀβύδου, καὶ τῷ χερσαίῳ τείχει τῆς πόλεως παρεκάθισε, διέ-
δραμε δὲ καὶ ἕως τῆς χρυσῆς πόρτης, ἐπιδεικνύων ἑαυτὸν τοῖς
ὄχλοις. ὁ δὲ Ἀρτάβασδος ἐξελθὼν τῆς πόλεως καὶ συμβαλὼν
πόλεμον ἡττήθη κατὰ κράτος. τοῦ δὲ Κοπρωνύμου τὰ πλοῖα
κρατήσαντος ἐγένετο λιμὸς ἰσχυρὸς ἐν τῇ πόλει, ὥστε πραθῆναι
B τὸν μόδιον τῆς κριθῆς εἰς νομίσματα ιβ' καὶ τὰ λοιπὰ ὁμοίως.
τοῦ δὲ λαοῦ θνήσκοντος καὶ ἀπολλυμένου ἠναγκάσθη Ἀρτάβασδος
ἀπολύειν αὐτὸν καὶ ἐξέρχεσθαι ἀπὸ τῆς πόλεως. Νικήτας δὲ ὁ
υἱὸς Ἀρταβάσδου ἐπισυνάξας λαὸν ἱκανὸν ἦλθεν ἕως Χρυσουπό-
λεως. καὶ περάσας ὁ Κοπρώνυμος ἐδίωξεν αὐτὸν καὶ καταλαβὼν
ἐχειρώσατο. καὶ τοῦτον πεδήσας, ἐλθὼν διὰ τοῦ τείχους, τῷ
πατρὶ ἐπεδείκνυσεν. ἄφνω δὲ παραταξάμενος διὰ τοῦ χερσαίου
τείχους τὴν πόλιν παρέλαβε, καὶ χειρωσάμενος Ἀρτάβασδον καὶ
τοὺς σὺν αὐτῷ τοῦτον μὲν σὺν τοῖς δυσὶν αὐτοῦ υἱοῖς ἐτύφλωσε,
τὸν δὲ Βακτάγγιον χειροκοπήσας ἐν τῷ Κυνηγίῳ ἀπεκεφάλισε,
πολλοὺς δὲ καὶ ἄλλους τῶν προυχόντων ἀνεῖλε, καὶ τὰς οὐσίας
C αὐτῶν ἐδήμευσεν. ἱππικὸν δὲ ποιήσας εἰσήγαγε τὸν Ἀρτάβασδον
σὺν τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς φίλοις δεδεμένοις ἅμα Ἀναστασίῳ
τῷ ψευδωνύμῳ πατριάρχῃ τυφθέντι δημοσίως καὶ ἐπὶ ὄνῳ ἀντι-
στρόφως καθεζομένῳ. τοῖς δὲ σὺν αὐτῷ ἐλθοῦσιν ἐξωτικοῖς ἐκέ-

15 ἐπιδείκνυσιν?

dam loca pulvis delatus est. terra quoque ad Caspias portas motu tremefacta. et Validus ab Arabibus necatus, cum eorum princeps unum fuisset annum. ei successit Izidus Leipsus. eo anno Constantinus per Abydum traiicit, et apud terrestrem Cpolis murum castra ponit, excurrens etiam usque ad auream portam, ut se multitudini ostentaret. Artabasdus autem urbe egressus praelio commisso victus fususque est. cumque Copronymus navium esset potitus, fames ingens in urbe exstitit, ita ut modius hordei ad 12 nomismata venderetur, eademque esset reliquae annonae caritas. moriente ergo et pereunte populo, coactus est Artabasdus eo dimisso Cpoli excedere. sed filius eius Nicetas collecto non poenitendo exercitu usque ad Chrysopolin pervenit. et Copronymus suis copiis traiectis eum profligavit, inque fuga cepit et compedibus vinctum ad murum aggressus patri ostendit. subitoque a terrestri muro adortus urbem cepit. ita Artabasdo in suam potestatem redacto, et iis qui eum comitabantur, ipsi duobusque eius filiis oculos effodit; Bactagmum, manibus prius amputatis, in Cynegio capite truncavit. multos quoque proceres e vita sustulit et eorum bona publicavit. inde equestres ludos edens, Artabasdum filiosque et amicos eius vinctos introduci iussit, una cum Anastasio, qui se falso pro patriarcha gerebat, et tunc publice verberatus asino praepostere impositus sedebat. extraneis quos

λεύσεν εἰσέρχεσθαι εἰς τοὺς οἴκους καὶ διαρπάζειν τὰς οὐσίας τῶν πολιτῶν. τὸν δὲ ψευδώνυμον πατριάρχην ὡς ὁμόφρονα αὐτοῦ, ἐκφοβήσας καὶ δουλώσας, πάλιν ἐν τῷ θρόνῳ τῆς ἱερωσύνης ἀποκατέστησε.

Τῷ δ' ἔτει ἐφάνη κομήτης μέγας κατὰ τὴν Συρίαν, καὶ Μαρουὰμ τῶν Ἀράβων ἐκράτησε, καὶ παρακλήσει τῶν ἐν τῇ ἑῴᾳ D Χριστιανῶν συνεχώρησε χειροτονηθῆναι Θεοφύλακτον πρεσβύτερον Ἐδεσηνὸν πατριάρχην Ἀντιοχείας, κοιμηθέντος Στεφάνου. καὶ τοῦτον γράμμασι καθολικῶς τιμᾶσθαι παρὰ τῶν Ἀράβων προσέταξε.

Τῷ ε' ἔτει ἄδειαν εὑρὼν ὁ Κοπρώνυμος ἐν τῇ ἀνατολῇ ὡς τῶν Ἀράβων πρὸς ἀλλήλους μαχομένων, Γερμανίκειαν παραλαμβάνει καὶ ἐπιστρατεύει Δουλιχίᾳ καὶ Ἀσσυρίᾳ. προσελάβετο δὲ καὶ τοὺς πρὸς μητρὸς συγγενεῖς καὶ ἐν Βυζαντίῳ μετῴκισε, σὺν αὐτοῖς δὲ καὶ πολλοὺς Σύρους μονοφυσίτας. γέγονε δὲ ἀπὸ ι' Αὐγούστου ἕως ιε' σκότος ὁμιχλῶδες.

Τῷ ς' ἔτει ἐγένετο σεισμὸς μέγας ἐν Παλαιστίνῃ καὶ ἐν τῷ P 462 Ἰορδάνῃ καὶ ἐν πάσῃ τῇ Συρίᾳ, μηνὶ Ἰανουαρίῳ εἰς τὴν ιη', ὥρᾳ δ'. καὶ ἀναρίθμητοι μυριάδες τεθνήκασιν, ἐκκλησίαι τε καὶ μοναστήρια πεπτώκασι, καὶ μάλιστα κατὰ τὴν ἔρημον τῆς ἁγίας πόλεως. τῷ αὐτῷ ἔτει λοιμώδης θάνατος ἀπὸ Σικελίας καὶ Καλαβρίας ἀρξάμενος οἷόν τι πῦρ ἐπινεμόμενον ἐπὶ τὴν Μονεμβασίαν καὶ Ἑλλάδα καὶ τὰς παρακειμένας νήσους ἦλθε δι' ὅλης τῆς

secum adduxerat, mandavit ut domos civium diriperent. sed patriarcham illum sui erroris sectatorem, territum atque subactum, rursum in pristino solio collocavit.

Anno 4 in Syria magnus cometa apparuit, et Maruamus in Arabes imperium coepit. hic Christianorum qui per Orientem sunt cohortationibus persuasus, concessit ut Theophylactus Edessenus presbyter Antiocheae designaretur patriarcha, mortuo tum Stephano, eumque publico edicto iussit ab Arabibus in honore haberi.

Anno 5 Copronymus nactus occasionem rei in Oriente gerendae, inter Arabes civili vigente bello, Germaniciam recipit, exercitumque ad Dulichiam et in Assyriam ducit. matris quoque suae cognatos sibi adsciscit, et Byzantium eos transfert, multosque cum his Syros, Christo unicam affingentes naturam, qui dicuntur Monophysitae. a 10 usque ad 15 diem Augusti tenebrae fuerunt caliginosae.

Anno sexto magnus fuit in Palaestina terrae motus, et ad Iordanem perque universam Syriam, die mensis Ianuarii 18, hora 4, innumeraque hominum perierunt milia, corruerunt templa et monasteria, maxime per solitudinem urbis sanctae. eodem anno pestis, ab Sicilia et Calabria sumpto initio, veluti ignis proxima corripiens Monembasiam usque et in Graeciam sese propagavit insulasque circumiacentes. per to-

ιδʹ ἰνδικτιῶνος. τῇ δὲ ιεʹ ἤρξαντο ἐν τῇ βασιλίδι πόλει αἴφνης ἀοράτως γίνεσθαι ἔν τε τοῖς τῶν ἀνθρώπων ἱματίοις καὶ ἐν τοῖς τῶν ἐκκλησιῶν ἐπίπλοις σταυρία ἐλαιώδη πλεῖστα. ἐγένετο οὖν B ἐντεῦθεν τοῖς ἀνθρώποις λύπη καὶ ἀθυμία πολλὴ τῇ τοῦ τοιούτου σημείου ἀπορίᾳ. ἐγένετο δὲ καὶ θεομηνία ποικίλων παθῶν, ἀφειδῶς τοὺς λαοὺς ὀλοθρεύουσα, οὐ μόνον τοὺς ἐν τῇ πόλει ἀλλὰ καὶ πάσῃ τῇ περιχώρῳ. ἐγένοντο δὲ καὶ φαντασίαι, ὡς πολλοὺς τῶν ἀνθρώπων ἐν ἐκστάσει γινομένους νομίζειν ξένοις τισὶ καὶ βριαροῖς προσώποις συνοδεύειν, καὶ τοὺς ἀπαντῶντας αὐτοῖς ὡς δῆθεν φίλους προσαγορεύοντας καὶ διαλεγομένους. σημειούμενοι δὲ τὰ παρ' αὐτῶν λαλούμενα ἔσχατον ἐξηγοῦντο γινόμενα. ἑώρων δὲ τοὺς αὐτοὺς εἰς οἴκους εἰσερχομένους, καὶ τοὺς μὲν τοῦ οἴκου κρεμῶντας C τοὺς δὲ ξίφει τιτρώσκοντας. συνέβαινε δὲ τὰ πλεῖστα τῶν παρ' αὐτῶν λεγομένων γίνεσθαι οὕτως καθὼς ᾖδον. τῷ δὲ ἐαρινῷ καιρῷ τῆς πρώτης ἰνδικτίωνος ἐπέτεινε μειζόνως. τῷ δὲ θερινῷ ἐξεκαύθη εἰσάπαξ, ὥστε καὶ ὁλοκλήρους οἴκους κλεισθῆναι παντελῶς, καὶ μὴ εἶναι τοὺς ὀφείλοντας θάπτειν τοὺς νεκρούς, ὥστε μὴ ἐξαρκεῖν τοὺς κραββάτους εἰς τὴν τούτων ἐκκομιδήν, ἀλλὰ καὶ διὰ ἀλόγων καὶ διὰ ἁμαξῶν ἐκφέρειν τοὺς τεθνεῶτας, καὶ ἐν τοῖς προτειχίσμασι καὶ προαστείοις καὶ κινστέρναις ἀνύδροις καὶ λάκκοις θάπτεσθαι αὐτούς, ὧν πληρωθέντων τοὺς ἀμπελῶνας καὶ κήπους διέσκαπτον, καὶ μόλις τούτους ἴσχυσαν ἐπικαλύψαι. παντὸς δὲ D οἴκου διαφθαρέντος διὰ τὴν ἀσέβειαν τοῦ Κοπρωνύμου, πάντα τὸν πλοῦτον τῶν οἰκητόρων τῆς πόλεως εἰσκομίσας ἐν τῷ παλατίῳ

tam indictionem 14 et initio 15 Cpoli subito et visu non observante existere in hominum vestibus et in ecclesiae supellectile plurimae cruces, quasi ex oleo factae, coeperunt. quo signo quid portenderetur, cum homines non assequerentur, in magnum maerorem atque solicitudinem inciderunt. sed et varia mala dei ira immissa populum confertim absumebant, non in urbe modo sed in universa vicinia. visa quoque hominibus oblata sunt, ita ut multi hominum mente abalienati putarent se cum peregrinis quibusdam et terribili vultu praeditis hominibus iter facere, qui occurrentes sibi tanquam amicos compellarent atque cum iis colloquerentur; ac cum annotassent quae ab iis dicebantur, tum demum narraverunt, cum ea iam exitus comprobasset. videbant autem eos in aedes intrare, aliosque intus suspendere, alios gladio ferire. eventus pleraque ab ipsis dicta vera ostendit. verno tempore primae indictionis malum magis sese intendit, prorsusque exarsit aestate, adeo ut et totae domus concluderentur, et deessent qui cadavera humarent, neque etiam satis esset grabatorum ad ea efferenda, sed iumenta ad hoc et vehicula adhiberentur, atque illa in propugnaculis, suburbiis, cisternis siccatis ac lacubus sepelirentur; quibus impletis vineae quoque et horti effossi vix obtegendis cadaveribus suffecerint. interim Copronymus omnibus propter ipsius impietatem familiis evastatis, omnes oppidanorum facultates

ἀπέθετο. κατέλαβε δὲ καὶ ὁ τῶν Ἀγαρηνῶν στόλος ἀπὸ Ἀλεξανδρείας εἰς Κύπρον, ἔνθα ἦν ὁ Ῥωμαϊκὸς στόλος· ἐπιπεσὼν δὲ αὐτῷ ὁ τῶν Ῥωμαίων στρατηγός, καὶ τὸ στόμα τοῦ λιμένος κρατήσας, ἄρδην ἀπώλεσε πάντας, τρεῖς μόνους ἐλευθερώσας διὰ τὸ μήνυμα.

Τῷ θ' ἔτει καταδιώκεται Μαρουὰμ ὑπὸ τῶν Μαυροφόρων τῶν λεγομένων Χρυσαρωνιτῶν, καὶ βαρυτάτου πολέμου κροτηθέντος κτείνεται. τῇ δὲ κε' τοῦ Ἰανουαρίου μηνὸς γεννᾶται τῷ ἀσεβεῖ Κωνσταντίνῳ υἱὸς ἐκ τῆς Χαζάρας Εἰρήνης, ὃν ἐπωνόμασαν Λέοντα. τῷ αὐτῷ χρόνῳ γέγονε σεισμὸς ἐν Συρίᾳ καὶ μεγάλη P 463
καὶ φοβερὰ πτῶσις, ὅθεν αἱ μὲν τῶν πόλεων ὁλοκλήρως ἠφανίσθησαν αἱ δὲ μέσως. ἕτεραι ἀπὸ τῶν ὀρεινῶν εἰς τὰ ὑποκείμενα πεδία σὺν τοῖς τείχεσι καὶ τοῖς οἰκήμασιν ὁλόκληροι σῶαι μετέστησαν ὡς ἀπὸ μιλίων ἕξ. ἐν Μεσοποταμίᾳ δὲ εἰς μῆκος μίλια δύο ἐρράγη ἡ γῆ, καὶ ἐκ τοῦ βυθοῦ αὐτῆς ἀνήχθη γῆ λευκοτάτη καὶ ἀμμώδης, ἧς ἐκ μέσου ἀνῆλθε ζῷον μουλικὸν ἄσπιλον, λαλοῦν ἀνθρωπίνῃ φωνῇ, προμηνύον ἔθνους ἐπιδρομὴν ἐκ τῆς ἐρήμου κατὰ τῶν Ἀράβων· ὃ καὶ γέγονε.

Τῷ δὲ ἑπομένῳ χρόνῳ τῆς δ' ἰνδικτίωνος τῇ ἑορτῇ τῆς πεν- B
τηκοστῆς, ἔστεψεν ὁ δυσσεβὴς Καβαλλῖνος τὸν υἱὸν αὐτοῦ Λέοντα εἰς βασιλέα διὰ Ἀναστασίου τοῦ ψευδωνύμου πατριάρχου καὶ σύμφρονος αὐτοῦ.

corrasit inque palatium congessit. Agarenorum quoque ea tempestate classis ad Cyprum appulit. erat ibi Romana etiam classis, cuius ductor portus faucibus occupatis subito adortus hostes occidione delevit, tribus tantum dimissis qui indicium perferrent.

Anno Constantini nono Maruamus a Maurophoris, qui et Chrysaronitae, invaditur, gravissimaque commissa pugna occiditur. die vigesima quinta Ianuarii mensis Constantino ex Chazara Irena filius nascitur, cui Leoni nomen fecit. eodem tempore in Syria gravis terrae motus terribiles edidit ruinas, quibusdam urbibus prorsus, quibusdam ad mediam partem prostratis, nonnullis etiam a montanis in subiectas planities cum muris et aedificiis absque ullo damno traiectis usque ad sex miliaria. porro in Mesopotamia terra in longum ad duo milia passuum rupta est, exque eius imo terra albissima atque arenosa egesta, de cuius medio animal muli forma adscendit, humana voce loquens et praedicens populum quendam e solitudine in Arabas incursionem facturum. quod et sic evenit.

Anno sequenti, quartae indictionis ipso Pentecostae festo die, Caballinus filium suum Leonem imperio inauguravit, coronam ei imponente Anastasio, falso patriarcha et socio impietatis eius.

Τῷ ι' ἔτει ἐκοιμήθη Θεοφύλακτος ὁ ἁγιώτατος πατριάρχης Ἀντιοχείας.

Τῷ ια' ἔτει Κωνσταντῖνος τὴν Θεοδοσιούπολιν παρέλαβεν ἅμα τῇ Μελιτηνῇ, αἰχμαλωτίσας πάντας τοὺς ἐκεῖσε. καὶ προφάσει τοῦ θανατικοῦ προσλαβόμενος τοὺς συγγενεῖς αὐτοῦ Ἀρμενίους καὶ Σύρους αἱρετικοὺς εἴς τε τὸ Βυζάντιον μετῴκισε καὶ τὴν Θρᾴκην· οἳ μέχρι τοῦ νῦν τὴν αἵρεσιν τοῦ τυράννου διακρατοῦ-
C σιν. ὑφ' ὧν καὶ ἐπλατύνθη ἡ αἵρεσις τῶν Παυλικιανῶν.

Τῷ ιβ' ἔτει ὁ δυσσεβὴς Ἀναστάσιος, ὁ ἀνίερος, τέθνηκε σὺν τῇ ψυχῇ καὶ τῷ σώματι οἰκτίστῳ πάθει τῷ λεγομένῳ χορδάψῳ, κόπρον διὰ στόματος ἐμέσας, ἀξίαν τίσας δίκην ὑπέρ τε τῆς κατὰ θεοῦ καὶ τοῦ διδασκάλου τόλμης.

Τῷ ιγ' ἔτει Κωνσταντῖνος ὁ δυσσεβὴς κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων παράνομον συνέδριον τλη' ἐπισκόπων συνέλεξεν ἐν τῷ τῆς Συρίας παλατίῳ, ὧν ἐξῆρχε Θεοδόσιος ὁ υἱὸς Ἀψιμάρου ὁ Ἐφέσου καὶ Παστιλᾶς ὁ Πέργης. οἳ καθ' ἑαυτοὺς τὰ δόξαντα δογματίσαντες, μηδενὸς παρόντος ἐκ τῶν καθολικῶν θρόνων
D (Ῥώμης φημὶ καὶ Ἀλεξανδρείας καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων), καὶ ἀπὸ ι' τοῦ Φεβρουαρίου μηνὸς ἀρξάμενοι διήρκεσαν ἕως η' Αὐγούστου τῆς αὐτῆς ἰνδικτίωνος. καθ' ἣν ἐν Βλαχέρναις ἐλθόντες οἱ τῆς θεοτόκου πολέμιοι, ἀνῆλθε καὶ Κωνσταντῖνος ὁ Καβαλλῖνος ἐν τῷ ἄμβωνι, κρατῶν Κωνσταντῖνον μοναχόν, ἐπίσκοπον γενόμενον τοῦ Συλαίου· καὶ ἐπευξάμενος ἔφη μεγάλῃ τῇ

Anno 10 diem suum obiit Theophylactus, sanctissimus Antiocheae patriarcha.

Anno 11 Constantinus Theodosiopolin et Melitenam recepit, captis quotquot ibi erant omnibus; ususque pestis praescriptione cognatos suos Armenios et Syros haereticos ad se receptos Byzantii et in Thracia collocavit; qui in hunc usque diem in haeresi tyranni persistunt. ab iisdem et Pauliciana haeresis latius est propagata.

Anno 12 impius et profanus ille pontifex Anastasius anima cum corpore pereunte mortuus est, ex miserrimo morbo qui chordapsus dicitur, stercus per os egerens. dignasque dedit poenas suarum in deum et praeceptorem iniuriarum.

Anno 13 Constantinus impium 338 episcoporum concilium adversus sacras imagines coëgit in palatio Syriae. principes erant Theodosius Apsimari filius Ephesi et Pastelas Pergae episcopi. hi suas sententias propria auctoritate ratas esse iubentes, nemine a catholicis soliis (Romam dico, Alexandream Antiocheam et Hierosolyma) praesente, a decima Februarii usque ad octavam Augusti diem eiusdem anni synodum continuarunt. ea die cum in Blachernense fanum convenissent deiparae illi adversarii, conscendit ambonem Caballinus, Constantinum monachum tenens, qui Sylaei fuerat episcopus; precatusque magna voce "multi

φωνῇ "Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη." καὶ μετὰ ταῦτα ἀνῆλθον ἀμφότεροι ἐν τῷ φόρῳ, καὶ ἐξεφώνησαν τὴν αὐτῶν κακόδοξον αἵρεσιν ἐνώπιον παντὸς τοῦ λαοῦ, ἀναθεματίσαντες τὸν ἁγιώτατον Γερμανὸν καὶ Γεώργιον τὸν Κύπρου καὶ P 464 Ἰωάννην τὸν Δαμασκηνόν, ἄνδρας ἁγίους καὶ αἰδεσίμους διδασκάλους. τῷ δ' αὐτῷ ἔτει ἐζήτησαν οἱ Βούλγαροι πάκτα διὰ τὰ κτισθέντα κάστρα, καὶ τοῦ βασιλέως ἀτιμάσαντος τὸν ἀποκρισιάριον αὐτῶν ἐξῆλθον ἕως τῶν μακρῶν τειχῶν, καὶ πολλὴν αἰχμαλωσίαν ποιήσαντες ὑπέστρεψαν ἀβλαβεῖς.

Τῷ ιθ' ἔτει ὁ βασιλεὺς ἐπεστράτευσε κατὰ Βουλγάρων, καὶ ἐλθὼν εἰς τὴν κλεισοῦραν Βερεγάβαν, πολλοὺς ἀπολέσας, ὑπέστρεψε μετ' αἰσχύνης.

Τῷ κ' ἔτει δοκίτης ἀστὴρ ἐφάνη κατὰ τὴν ἑῴαν, λαμπρό- B τατος, ἐπὶ ἡμέρας ι', καὶ αὖθις πρὸς δύσιν ἡμέρας κα'.

Τῷ κα' ἔτει Ἀνδρέαν τὸν ἀοίδιμον μοναχόν, τὸν λεγόμενον Καλυβίτην, ἐν Βλαχέρναις ἐλέγχοντα αὐτοῦ τὴν ἀσέβειαν ἀπέκτεινε διὰ μαστίγων ὁ Κοπρώνυμος.

Τῷ κγ' ἔτει γέγονε ψῦχος μέγα καὶ πικρότατον κατὰ τὴν βασιλίδα καὶ τὴν ἀνατολὴν καὶ ἄρκτον καὶ δύσιν, ὥστε τὴν ἀρκτῴαν τοῦ Πόντου παραλίαν ἐπὶ ἑκατὸν μίλια τὸ πέλαγος ἀπολιθωθῆναι καὶ ἐπὶ λ' πήχεις τὸ πάθος παγῆναι· οὗπερ χιονισθέντος ηὐξήθη ἐπὶ ἄλλας κ' πήχεις, ὥστε συμμορφωθῆναι τὴν θάλασσαν τῇ

sint" inquit "anni vitae Constantino oecumenico patriarchae." his gestis imperator cum novo patriarcha in forum est progressus, ac coram universo populo pravam suam haerexin proclamaverunt, anathemate ferientes sanctissimum Germanum, Georgium Cypri episcopum et Ioannem Damascenum, viros sanctos et venerabiles doctores. hoc ipso anno Bulgari propter quaedam castra exstructa postulant nova pacta. cumque eorum legatum Constantinus ignominiose tractasset, excursione usque ad Longum murum facta, ingenti praeda potiti, incolumes domum redeunt.

Anno 19 imperator expeditionem in Bulgaros fecit. cumque ad angustias usque quibus Beregaba nomen venisset, multis suorum amissis domum cum dedecore revertit.

Anno 20 cometa, qui a trabis forma Graecis docites dicitur, fulgentissimus apparuit per 10 dies in parte orientali, rursusque occasum versus alios 21.

Anno 21 Copronymus Andream cognomento Calybiten, celebrem in Blachernis monachum, flagris interfecit, quod is ipsius impietatem reprehendisset.

Anno 23 ingens fuit et saevissimum frigus Cpoli, ac versus ortum, septentrionem et occasum. id mare septentrionale a terra ad 100 usque miliaria in lapidem redegit, crassitie 30 cubitorum. et nive glaciei superfusa aucta est crassities aliis 20 cubitis. itaque mare protinus ter-

C ξηρᾷ, καὶ πεζοπορεῖσθαι ὕπερθεν τοῦ κρύους παρά τε ἀνθρώπων καὶ ζώων ἡμέρων τε καὶ ἀγρίων τὸ πέλαγος, ἀπό τε Ζιχίας μέχρι Δανούβεως καὶ τοῦ Κούφη ποταμοῦ τοῦ Δανάστρεώς τε καὶ Δανάπρεως καὶ τῶν Νεκροπύλων καὶ τῆς λοιπῆς ἀκτῆς μέχρι Μεσημβρίας καὶ Μηδείας. τῷ δὲ Φεβρουαρίῳ μηνὶ τοῦ τοιούτου πάγου κατὰ κέλευσιν θεοῦ εἰς πλεῖστα ὀρεοφανῆ τμήματα διαιρεθέντος, καὶ τῇ τῶν ἀνέμων βίᾳ ἐπὶ τὸ Ἱερὸν κατενεχθέντος, διὰ τοῦ στενοῦ ἐπὶ τὴν πόλιν ἔφθασεν, καὶ μέχρι τῆς Προποντίδος καὶ τῶν νήσων καὶ Ἀβύδου πᾶσαν τὴν παραλίαν ἐπλήρωσαν, ἐν οἷς ὑπῆρχε καὶ ζῷα ἄγριά τε καὶ ἥμερα τεθνεῶτα. πᾶς δὲ ὁ βουλόμενος ἀπὸ Σοφιανῶν ἕως τῆς πόλεως καὶ ἀπὸ Χρυσοπόλεως
D ἕως τοῦ ἁγίου Μάμαντος καὶ τῶν Γαλατῶν ἀκωλύτως ὡς ἐπὶ ξηρᾶς ἐβάδιζον. ἓν δὲ ἐξ αὐτῶν προσφάξαν τῇ τῆς ἀκροπόλεως σκάλᾳ συνέτριψεν αὐτήν. ἕτερον δὲ τῷ τείχει προσραγὲν τοῦτο μεγάλως ἐδόνησεν, ὡς καὶ τοὺς ἔνδοθεν οἰκοῦντας συμμετασχεῖν τοῦ σάλου. εἰς τρία δὲ ῥαγὲν ἔζωσε τὴν πόλιν ἀπὸ τῶν Μαγγάνων ἕως τοῦ Βοσπορίου, οὗ τινὸς τὸ ὕψος ὑπερεῖχε τῆς πόλεως. τῷ δὲ Μαρτίῳ μηνὶ ἀστέρες ἀθρόως ἐκ τοῦ οὐρανοῦ ἔπιπτον, ὡς λέγειν πάντας συντέλειαν εἶναι. αὐχμός τε πολὺς γέγονεν ὡς ξη-
P 465 ρανθῆναι πηγὰς καὶ ποταμούς. ἅτινα βλέπων καὶ ἀκούων ὁ ἀνόσιος οὐκ ᾐσθάνετο μάστιγας εἶναι τοῦ θεοῦ πρὸς ἐπιστροφὴν τῶν βεβήλων αὐτοῦ καὶ αἰσχίστων πράξεων, ἀλλ' ἀγαγὼν μᾶλλον τὸν πατριάρχην λέγει αὐτῷ “τί ἡμᾶς βλάπτει, ἐὰν λέγωμεν τὴν θεο-

20 ὁ om P

rae aequale fuit, pedestrique itineri hominum ferarum ac domesticorum animalium glacies locum dedit, a Zichia usque ad Danubium et Cupham fluvium ac Danastrin et Danaprin et Necropyla reliquumque litus usque ad Mesembriam et Moesiam. Februario mense glacies ista dei iussu in plurima montium similia frusta discessit, quae ventorum vi ad Hierum (fanum Latine) delata inde per angustias ad urbem devenerunt, litusque omne ad Propontidem usque et Abydum et insulas obtexerunt. erant iis immixta ferarum et cicurum animalium cadavera. licebat veluti in terra pedibus iter facere a Sophianis usque ad urbem et a Chrysopoli usque ad divi Mamantis et Galatas. unum de his frustis allisum arcis scalae eam confregit. aliud muro allisum vehementer eum concussit, sentientibus tremorem iis etiam qui intus habitabant. inde in tres ruptum partes urbem cinxit, a Manganis usque ad Bosporium, altitudine muros superans. Martio mense confertim stellae de caelo ceciderunt, ita ut vulgo diceretur finis mundi appetiisse; siccitasque fuit ingens, qua et fontes et flumina exaruerunt. quae impius ille cernens atque inaudiens, non sensit a deo has immitti plagas ipsius a profanis conatibus avertendi gratia. quin imo vocatum ad se patriarcham interrogavit “ecquid mali nobis inde erit, si pro deipara Christiparam dicamus?”

τόκον Χριστοτόκον;" ὁ δὲ περιπτυξάμενος αὐτὸν λέγει "ἐλέησον, δέσποτα, μηδὲ εἰς ἔννοιάν σου ἔλθῃ οὗτος ὁ λόγος. οὐχ ὁρᾷς ὅσα στηλιτεύεται καὶ ἀναθεματίζεται Νεστόριος ὑπὸ πάσης τῆς ἐκκλησίας;" καὶ ὁ βασιλεύς "ἐγὼ μαθεῖν θέλων ἠρώτησα" φησίν, "ἕως δὲ σοῦ ἔστω ὁ λόγος." οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἄξια εἰς τὸν χειροτονηθέντα ὑπ' αὐτοῦ πατριάρχην διεπράξατο, ἅτινα μετ' ὀλίγον ἐροῦμεν.

Τῷ κδ' ἔτει ἀγάπην δῆθεν ποιήσας μετὰ Παγάνου τοῦ κυ- B *ρίου Βουλγάρων, ἐξαίφνης ἐξελθὼν τῆς πόλεως καὶ ἀφυλάκτους εὑρὼν τὰς κλεισούρας διὰ τὴν ἀπατηλὴν εἰρήνην, εἰσῆλθεν εἰς Βουλγαρίαν ἕως Τούμτζας, καὶ βαλὼν πῦρ εἰς τὰς αὐλὰς ἃς εὗρε, μετὰ φόβου ὑπέστρεψε, μηδὲν γενναῖον ποιήσας.*

Τῷ κε' ἔτει ἐκμανὴς γενόμενος ὁ δυσσεβὴς βασιλεὺς κατὰ παντὸς φοβουμένου τὸν θεόν, Στέφανον τὸν νέον αἰδέσιμον ὄντα τοῖς πᾶσι διὰ τὸ ἐν ἀρεταῖς ποικίλαις ἐκλάμπειν (ἑξήκοντα γὰρ χρόνους ἐποίησεν ἐν τῷ βουνῷ τοῦ ἁγίου Αὐξεντίου ἔγκλει- C *στος) ποικίλως τιμωρησάμενος ἀπέκτεινε. πολλῶν δὲ ἀρχόντων καὶ στρατιωτῶν διαβληθέντων προσκυνεῖν τὰς εἰκόνας διαφόροις τιμωρίαις τούτους ἀνάλωσεν. ὅρκον δὲ καθολικὸν πάντας τοὺς ὑπὸ τὴν αὐτοῦ βασιλείαν ὄντας ἀπῄτησεν, εἰκόνι μὴ προσκυνῆσαί τινι. μεθ' ὧν καὶ Κωνσταντῖνον τὸν ψευδώνυμον πατριάρχην ἐπὶ ἄμβωνος ἀνελθεῖν καὶ ὑψώσαντα τὰ τίμια ξύλα ὀμόσαι πεποίηκεν ὡς οὐκ ἔστι τῶν προσκυνούντων τὰς εἰκόνας· καὶ τοῦτον παραυτὰ*

patriarcha imperatorem amplexus "miserere" ait, "domine, neque hoc in animum tuum venire patiaris. nonne enim vides quibus damnationibus et anathematibus infamis ab universa ecclesia sit factus Nestorius?" tum Constantinus discendi causa se quaesivisse ait, mandatque ne hunc sermonem ulli hominum aperiat. neque multo post dignam a se constituto patriarchae mercedem rependit, ut paulo inferius ostendemus.

Anno 24 Constantinus pace cum Pagano Bulgarorum principe facta subito est ab urbe cum exercitu profectus; claustrisque custodis ob pacem nimirum istam fraudulentam vacuis inventis in Bulgariam Tumtzam usque progressus, tuguriis in quas incidebat incensis, metuens sibi domum rediit, nullo praeclaro facinore edito.

Anno 25 insania contra omnes deum timentes percitus Stephanum iuniorem, omnibus ob illustres virtutes cultum (sexaginta enim annos inclusus claustro, quod est in colle S. Auxentii, exegerat), varie excruciatum necat. multos etiam procerum atque militum suppliciis diversis sustulit, delatos quod imaginibus supplicassent. exegitque ab omnibus suo imperio subiectis iuramentum, quo confirmarent nulli se imagini supplicaturos. quos inter fecit etiam ut Constantinus falso patriarcha dictus suggestum conscenderet, elevatisque venerandis crucis lignis adoratorem imaginum sese esse iureiurando interposito diffiteretur. statim-

στεφανίτην ἀντὶ μοναχοῦ ἔπεισε γενέσθαι καὶ κρεῶν μεταλαμβά-
νειν καὶ κιθαρῳδῶν ἀνέχεσθαι ἐν τῇ βασιλικῇ τραπέζῃ. ἀλλ' οὐκ
εἰς μακρὰν ἡ δίκη τοῦτον ταῖς τοῦ μιαιφόνου χερσὶ παραδέδωκε.
D μαθὼν γὰρ ὁ ἀλάστωρ ὅτι ὁ πατριάρχης πολλοὺς ἐπληροφόρησεν
εἰπεῖν τὸν βασιλέα πρὸς αὐτὸν ὅτι οὐκ ἔστι θεὸς ὁ Χριστός, καὶ
διὰ τοῦτο οὐδὲ τὴν μητέρα αὐτοῦ ἔχω θεοτόκον, ἐξεμάνη κατ'
αὐτοῦ ὡς τὸ μυστήριον αὐτοῦ θριαμβεύσαντος. καὶ ἐπιθεὶς αὐτῷ
πολλὰς πληγὰς ἐθριάμβευσεν ἐν τῷ ἱπποδρόμῳ ἐμπτυόμενον καὶ
συρόμενον. εἶτα ἀσφαλισάμενος αὐτὸν ἀποστέλλει πρὸς αὐτὸν
πατρικίους, καὶ φησί "τί λέγεις ἄρτι περὶ τῆς πίστεως ἡμῶν καὶ
τῆς συνόδου ἧς ἐποιήσαμεν;" ὁ δὲ ματαιωθεὶς ταῖς φρεσίν, οἰό-
P 466 μενος αὐτὸν πάλιν ἐξευμενίσασθαι, ἀποκριθεὶς εἶπε "καλῶς ἐποίη-
σας τὴν σύνοδον, καὶ καλῶς πιστεύεις." οἱ δὲ ἐπιγελάσαντες
εἶπον πρὸς αὐτόν "ἡμεῖς τοῦτο μόνον ἠθέλομεν ἀκοῦσαι παρὰ τοῦ
μιαροῦ σου στόματος," καὶ παραχρῆμα ἐξαγαγόντες αὐτὸν ἀπε-
κεφάλισαν, καὶ τὸ σῶμα αὐτοῦ ἔρριψαν εἰς τὸ πέλαγος, ἔνθα
πρῶτον ὑπῆρχεν ὁ τῆς ἁγίας Πελαγίας ναός, ὃν ὁ θεομισὴς κατα-
κλίσας καὶ τάφον καταδίκων ποιήσας ἐκάλεσε τὸ Πελάγιον. ἀντι-
χειροτονεῖ δὲ πατριάρχην Νικήταν εὐνοῦχον καὶ Σθλάβον. ὡσαύ-
τως δὲ καὶ Πέτρον τὸν ἱερὸν καὶ τὸν θεοφόρον Στέφανον τὸν τοῦ
Αὐξεντίου μετὰ πολλὰς αἰκίας φονεύσας εἰς τὸ πέλαγος συρέντας
B ῥιφῆναι προσέταξε. πολλοὺς δὲ καὶ ἑτέρους ἄρχοντας καὶ μονα-

18 καταλύσας Xylander

que huic persuasit ut pro monacho stephanita fieret, carne vesceretur, inque regia mensa fidicines audire sustineret. sed non multo post divina vindicta hunc in manus cruenti homicidae tradidit. etenim Constantinus certior factus patriarcham multis hominibus pro certo persuasisse imperatorem sibi dixisse, se Christum pro deo et proinde matrem eius pro deipara nequaquam habere, furore adversus eum, ut qui secretum ipsius publicatum traduxisset, incensus est. itaque multis verberibus multatum in triumpho per circum duci curavit, consputum atque raptatum. inde cum eum in custodiam dedisset, mittit ad eum patricios, qui sciturentur quidnam adhuc de imperatoris religione ac synodo ab ipso celebrata sentiret. at vanus animi ille, sperans hoc pacto se imperatorem placaturum, respondit recte eum instituenda synodo egisse, recteque de fide sentire. qui missi erant, irridentes hominem, hocque unum se ex impuro ipsius ore voluisse audire dicentes, statim eductum capite truncaverunt, cadaverque in Pelagium proiecerunt. fanum fuerat sanctae Pelagiae: id Constantinus demolitus sepulturae capitis damnatorum destinarat Pelagioque nomen fecerat. in eius locum imperator patriarcham designat Nicetam eunuchum, genere Slavum. Petrum quoque sanctum virum, et divino spiritu praeditum Stephanum monachum Auxentianum, post multos contumeliosos cruciatus necatos trahi et in Pelagium abiici iussit; multosque etiam alios principes viros ac monachos

χοὺς διὰ τὰς ἱερὰς εἰκόνας δεινῷ θανάτῳ παρέδωκεν. ἐστηλίτευσε δὲ καὶ ἠτίμασε τὸ σχῆμα τῶν μοναχῶν, ἐπὶ ἱπποδρόμου παρακελευσάμενος ἕνα ἕκαστον ἀββᾶν χειροκρατοῦντα γυναῖκα παρέρχεσθαι μέσον τοῦ λαοῦ, οἷς ἐνέπτυον καὶ ὕβριζον πάντες. ἐστράτευσε δὲ κατὰ Βουλγάρων πεζῇ τε καὶ πλωϊστί, καὶ ἀπέστειλεν ἐπὶ Ἀγχίαλον χελάνδια βχʹ. βορρᾶ δὲ πνεύσαντος ἀπώλοντο πάντα πλὴν ὀλίγων, ὑπέστρεψε δὲ ἐν τῇ πόλει ἀδόξως. ἀλλὰ καὶ τὸ τίμιον λείψανον τῆς ἁγίας καὶ πανευφήμου Εὐφημίας ἐβύθισε σὺν τῇ λάρνακι, ὅπερ θεοῦ χάριτι ἐν τῇ νήσῳ τῇ Λήμνῳ εὐπλοήσαν ἐγένετο, καὶ πάλιν ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης τῶν εὐσε- C
βῶν βασιλέων μετὰ τῆς πρεπούσης τιμῆς ἐπανῆλθεν ἐν τῷ τεμένει αὐτῆς, ὅπερ ὁ τῶν ἐκκλησιῶν ἐχθρός, μᾶλλον δὲ τῆς ἑαυτοῦ ψυχῆς, ἁρμάμεντον καὶ κοπροθέσιον ἐποίησεν, αὐτοὶ δὲ ἀνακαθάραντες πάλιν καθιέρωσαν. οὗτος ὁ δυσσεβὴς προεβάλλετο στρατηγοὺς ὁμόφρονας αὐτῷ καὶ τῆς κακίας αὐτοῦ ἐπαξίους ἐργάτας, Μιχαὴλ μὲν τὸν Μελισσηνὸν στρατηγὸν τῶν ἀνατολικῶν, Μιχαὴλ δὲ τὸν Λαχανοδράκοντα εἰς τὴν Θρᾴκην καὶ Μάνην τὸν τῆς κακίας ἐπώνυμον εἰς τὸ βουκελλάριον. μιμησάμενος τοίνυν ὁ Λαχανοδράκων τὸν διδάσκαλον αὐτοῦ πάντα μοναχὸν καὶ μοναστήριον τοὺς ὑπὸ τὸ θέμα τῶν Θρᾳκησίων ὄντας συνῆξεν εἰς Ἔφε- D
σον, καὶ φησὶ πρὸς αὐτούς "ὁ βουλόμενος τῷ βασιλεῖ καὶ ἡμῖν πειθαρχεῖν ἐνδυσάσθω στολήν, καὶ λαβέτω γυναῖκα τῇ ὥρᾳ ταύτῃ. οἱ δὲ τοῦτο μὴ ποιοῦντες τυφλούμενοι εἰς Κύπρον ἐξορισθήσον-

sacrarum imaginum causa crudeliter e vita sustulit. monachorum quoque habitum traduxit et contumeliae in circo exposuit, iubens unumquemque eorum manu ducentem mulierculam in medium prodire; atque ita ii ab omnibus consputi et ignominia affecti sunt. expeditionem quoque in Bulgaros fecit terra marique, missis ad Anchialum chelandiis (navigii hoc est nomen) 2600. quae, paucis demptis, omnia aquilonis flatu sunt submersa; et ipse cum dedecore in urbem rediit. quin et reliquias sanctae atque laudatissimae Euphemiae cum cista in mare abiecit; quae dei gratia incolumis Lemnum appulit, ac deinde Constantino et Irena piis imperantibus digna cum veneratione in suum est reducta templum, quod ii repurgatum denuo dedicarunt, cum Copronymus sacrorum aut suae potius ipsius animae hostis ex eo armamentum et locum fimo deponendo fecisset. idem praefectos eiusdem secum sententiae atque malitiae idoneos administros constituit, Michaelum Melissenum Orientis ducem, et Michaelum Lachanodraconem Thraciae, et Manetem, cuius nomen perversitatem indicat, bucellarium. de his Lachanodraco magistrum imitatus, omnes monachos monachasque qui in Thracensi erant praefectura Ephesum conducit, itaque alloquitur "qui imperatori et mihi obedire vult, stolam is induat, hacque ipsa hora uxorem ducat: qui recusaverit, is erutis oculis Cyprum deportabitur." et rem illico

ται.“ καὶ ἅμα τῷ λόγῳ τὸ ἔργον ἐξετελεῖτο, καὶ πολλοὶ μάρτυρες τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεδείχθησαν. οὗτος πάντα τὰ μοναστήρια πέπρακε καὶ πάντα τὰ ἱερὰ σκεύη καὶ βιβλία καὶ ζῷα καὶ πάσας τὰς ὑποστάσεις αὐτῶν, καὶ τὰς τιμὰς τούτων εἰσεκόμισε τῷ βασιλεῖ. ὅσα δὲ εὗρε πατερικὰ βιβλία ἢ λείψανα ἁγίων, κατέκαυσε, καὶ αὐτοὺς τοὺς αὐτὰ ἔχοντας ὡς ἀσεβοῦντας ἐκόλαζε καὶ ποικίλως P 467 ἀνῄρει, καὶ πίσσῃ καὶ ἐλαίῳ τὰς κεφαλὰς αὐτῶν ἐπιχρίων ὑφῆπτε πυρί. εἴ που δέ τις εὑρέθη τὸ τῆς θεοτόκου ὄνομα ἐπιβοώμενος ἢ εὐλαβείᾳ συζῶν ἢ ὅρκους αἰδούμενος, ὡς ἐχθρὸς τοῦ βασιλέως ἐτιμωρεῖτο. ὥστε ἐν ὅλῳ τῷ ὑπ' αὐτὸν θέματι μὴ εὑρίσκεσθαί τινα ἐν ὀλίγῳ συνέβη μοναχόν. ὃ μαθὼν ὁ μισάνθρωπος βασιλεὺς ἔγραψεν εὐχαριστῶν αὐτῷ ὅτι εὗρόν σε ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιεῖς πάντα τὰ θελήματά μου. τοῦτον μιμησάμενοι καὶ οἱ λοιποὶ τὰ ὅμοια διεπράττοντο. ὁ δὲ Κοπρώνυμος τὰ εἰς δόξαν θεοῦ καὶ καταφυγὴν τῶν σωζομένων μοναστήρια τοῖς ὁμόφροσιν αὐτοῦ στρατιώταις ἐδίδου, καὶ τὸ μοναχικὸν τάγμα B ἐξαφανίσαι ἐσπούδαζε. τῷ αὐτῷ ἔτει Νικήτας ὁ ψευδώνυμος πατριάρχης τὰς ἐν τῷ μικρῷ σεκρέτῳ τοῦ πατριαρχείου εἰκόνας διὰ ψηφίδων οὔσας ἔξεσε, καὶ τὰς λοιπὰς εἰκόνας τὰς ἐν ὅλῳ τῷ πατριαρχείῳ.

Τῷ κη' ἔτει ἔστεψε τὴν αὐτοῦ γυναῖκα Εὐδοκίαν τρίτην οὖσαν Αὐγοῦσταν, καὶ τοὺς δύο αὐτοῦ υἱοὺς Χριστοφόρον καὶ Νικηφόρον ἐποίησε Καίσαρας, τοῦ πατριάρχου ποιήσαντος εὐχήν.

exsequitur. itaque multi eo die exstiterunt martyres. idem omnia monasteria, omnem sacram supellectilem, libros animalia omnemque prorsus habitum eorum divendit, et pretium imperatori tradidit. libros etiam patrum et reliquias sanctorum quotquot repperit, cremavit, unaque eos penes quos ista invenerat ut impios. varios necis modos adhibuit, quorundam capita pice et oleo illita incendit. quodsi quis usquam nomen deiparae invocans aut pie vivens aut iuramenti religionem servans reperiretur, is tanquam imperatoris hostis supplicio afficiebatur. ita factum ut in tota ipsius provincia post exiguum tempus nullus omnino esset monachus. imperator ubi hoc rescivit, per literas ei gratias egit, affirmans se eum deprehendisse hominem ex animi sui sententia suaeque per omnia voluntati satisfacientem. hunc imitati etiam reliqui eodem modo egerunt. Copronymus monasteria, quae ob honorem dei et refugium salutem consecuturorum condita fuerant, suis suam amplectentibus sententiam militibus tradidit, utque monachicum ordinem exscinderet operam dedit. eodem anno Niceta titulo tenus patriarcha imagines quae in parvo domus patriarchae secreto erant lapillis ornatae rasit, aliasque etiam omnes per totam patriarchae domum.

Anno 28 Constantinus Eudociam, tertiam suam coniugem, Augustam coronavit, filiosque suos Christophorum et Nicephorum Caesares fecit, patriarcha votum faciente.

Τῷ κθ' ἔτει ἐγένετο καταλλαγὴ εἰς Συρίαν, ἄνθρωπος πρὸς ἄνθρωπον. τούτῳ τῷ ἔτει ἦλθεν Εἰρήνη ἐξ Ἀθηνῶν, καὶ ἐστέφθη ἐν τῷ ἁγίῳ στεφάνῳ πρὸς γάμον Λέοντι βασιλεῖ τῷ υἱῷ τοῦ Κοπρωνύμου.

Τῷ λβ' ἔτει εἰσῆλθεν ὁ Φαδὰλ εἰς Ῥώμην, καὶ ἔλαβεν αἰχμαλώτους C φ'. τούτῳ συναντήσαντες οἱ Μοψουεστεῖς τῶν μὲν Ἀράβων χιλίους ἀπέκτειναν, τὴν δὲ αἰχμαλωσίαν ἔλαβον.

Τῷ λγ' ἔτει ἐκίνησε Κωνσταντῖνος στόλον κατὰ Βουλγάρων, καὶ ποιήσας εἰρήνην ὑπέστρεψε. καὶ τῶν Βουλγάρων δώδεκα χιλιάδας πεμπόντων εἰς Βερζητίαν, ἀκούσας ὁ βασιλεὺς καὶ ἐξελθὼν εἰς τὴν λεγομένην Λιθοσωραίαν ἐπέπεσεν αὐτοῖς, καὶ πάντας ἀνελὼν ὑπέστρεψεν εἰς τὴν πόλιν. τοῦτον τὸν πόλεμον ὠνόμασεν εὐγενῆ ὡς μηδενὸς σφαγέντος Χριστιανοῦ. ὁ δὲ τῆς Βουλγαρίας κύριος Ἐλέριχος, γνοὺς ὅτι ἐκ τῶν οἰκείων αὐτοῦ προδίδοται, γράφει τῷ βασιλεῖ "βουλὴν ἔχω τοῦ φυγεῖν καὶ ἐλθεῖν πρός D σε· πέμψον οὖν μοι λόγον ἀπαθείας, καὶ τίνας ἔχεις φίλους ὧδε, ἵνα θαρρήσω αὐτοῖς καὶ συνδράμωσί μοι." ὁ δὲ κοῦφος ὢν καὶ ἀνόητος συνυπήχθη τῇ ἀπάτῃ τοῦ Βουλγάρου, καὶ γράφει αὐτῷ, κἀκεῖνος μαθὼν πάντας ἀπώλεσεν. ὅπερ ὁ Κοπρώνυμος ἀκούσας τὴν γενειάδα αὐτοῦ ἐξέτιλε.

Τῷ λε' ἔτει ἐκστρατεύει Κωνσταντῖνος κατὰ Βουλγάρων, καὶ θεηλάτῳ ὀργῇ κατὰ τῶν σκελῶν ἀνθρακωθεὶς καὶ πυρετῷ λάβρῳ

5 Ῥωμανίαν?

Anno 29 permutatio hominum in Syriam facta est, singulis pro singulis datis. hoc anno Irene Athenis venit, et in aede S. Stephani coronata Leoni imperatori matrimonio est iuncta, primo natu Copronymi filio.

Anno 32 Phadalus in Romanorum dicionem impressione facta 500 homines captivos abducit. huic Mopsuestienses obviam profecti, 1000 Arabibus occisis, praedam potiuntur.

Anno 33 Constantinus cum expeditionem fecisset in Bulgaros, composita pace rediit. cum autem Bulgari 12 milia in Berzetiam mitterent, cognita re Lithosoream contendit, ibique eos obruit; et universis occisis in urbem est reversus. hoc bellum nobile appellavit, quod eo nullus Christianus periisset. ceterum Elerichus Bulgarorum princeps, a suis familiaribus prodi se intelligens, in hanc sententiam Constantino scribit. "constitui profugere et me ad te recipere. itaque mihi omnia tuta fore literis missis confirma; ac significa quos hic habeas amicos, ut eorum fidei me credens una cum ipsis ad te perveniam." hac fraude Bulgari vanus ac stolidus iste circumventus nomina amicorum perscribit; quos Elerichus omnes perdidit. ea re nuntiata Copronymus barbam sibimet evellit.

Anno 35 in Bulgaros cum suscepisset expeditionem, irato deo carbunculi pedes eius invaserunt, ac febris praeterea vehemens eum et

καὶ διακαεῖ συσχεθεὶς κατὰ τὴν Ἀρκαδιούπολιν ὑπέστρεψεν ἐγκλί- P 468 νιος. καὶ ἐλθὼν ἐν Σηλυβρίᾳ καὶ διαπλωϊσάμενος μέχρι τοῦ Στρογγύλου καστέλλου θνήσκει ψυχῇ καὶ σώματι, βοῶν καὶ λέγων ὅτι ζῶν πυρὶ ἀσβέστῳ παρεδόθη διὰ τὴν θεοτόκον Μαρίαν· ἀλλ' ἀπὸ τοῦ νῦν τιμάσθω καὶ ἀνυμνείσθω ὡς θεοτόκος ἀληθὴς οὖσα. τελευτῶν δὲ καὶ διατυπούμενος ἔλεξε τάδε "σώζου ὁ ναὸς ὁ μέγας ἡ ἁγία σοφία· σώζου ὁ ναὸς τῆς παναγίας θεοτόκου τῶν Βλαχερνῶν· σώζου ὁ ναὸς τῆς θεοτόκου ἐν τοῖς Χαλκοπρατίοις· σώζου ὁ ναὸς τῶν ἁγίων ἀποστόλων· σώζου πόλις καὶ σύγκλητος· σώζου υἱέ μου βασιλεῦ· σώζου καὶ σὺ Θεόφανες, τὸ μέγα μου μυστήριον." μετὰ γοῦν τὸ παρελθεῖν τὸ πένθος λέγει πρὸς Θεοφάνην ὁ βασιλεύς "τί ἐστὶ τὸ μέγα μυστήριον τοῦ πατρός μου, ὃ B σὺ μόνος γινώσκεις;" ὁ δὲ εἶπε "τάχα ἐν μεταμελίᾳ γέγονεν ὁ πατήρ σου, καὶ διὰ τοῦτο πρὸς ἐμὲ ἐφθέγξατο, ἵνα φανερώσω ἅπερ μυστικῶς ἐποιήσαμεν· φ' γὰρ κεντηνάρια ἐχώσαμεν εἴς τινα τόπον, λόγῳ τῶν ἀδελφῶν σου, τῶν Καισάρων καὶ νωβελισσίμων." καὶ ἀποστείλας Λέων ἔλαβε πάντα, μηδὲν αὐτοῖς καταλιπών. τὸ δὲ σῶμα αὐτοῦ τεθὲν ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, ἐν ταῖς ἡμέραις Μιχαὴλ υἱοῦ Θεοφίλου βουλῇ καὶ παραινέσει τοῦ Καίσαρος ἀπαχθὲν ἐν τῇ ἀγορᾷ τοῦ Ἀμαστριανοῦ ἐκαύθη. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν Ἀναστάσιος, καὶ μετὰ C τοῦτον Κωνσταντῖνος ὁ ἀποκεφαλισθείς, καὶ τρίτος Νικήτας, πάντες αἱρετικοί.

ardentissima corripuit. quare lectica ab Arcadiopoli reportatus Selybriam, indeque navigio usque ad castellum Strongylum vectus, ibi et animae et corporis mortem obiit, vociferans atque dicens vivum se inexstinguibili igni traditum esse propter Mariam deiparam, iubensque eam exinde honorari ac celebrari ut vere deiparam. moriens suamque ultimam voluntatem testatam faciens haec pronuntiavit "incolume esto magnum templum, divina Sophia; incolumis esto aedes sanctissimae deiparae in Blachernis; incolume esto fanum eiusdem in Chalcopratiis; incolumis esto aedes sanctorum apostolorum; incolumis esto urbs et senatus; incolumis esto, fili mi imperator, atque tu etiam o Theophanes, cui magnum meum arcanum credidi." finito luctu, imperator Leo ex Theophane quaesivit quodnam esset grande illud patris secretum, ipsi soli cognitum. respondit is "fortasse patrem tuum eius rei poenituit, quam nos occulte egimus; ideoque me allocutus est. 500 enim centenarios defodimus quodam in loco in usum fratrum tuorum Caesarum et nobilissimorum." Leo omne illud famulis missis abstulit, nihilque fratribus reliquum fecit. corpus Copronymi sepultum in aede sanctorum apostolorum: imperante Michaele Theophili filio inde iussu hortatuque Caesaris amotum et in foro Amastriano crematum est. archiepiscopatum Cpolis gesserunt Anastasius et post hunc Constantinus, is cui caput tandem fuit amputatum, atque ab eo Niceta, haeretici omnes.

Λέων ὁ ἐκ τῆς Χαζάρας υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ε'. τούτου τῷ α' ἔτει προσέφυγε Τελλέριγος ὁ τῶν Λογγηβάρδων ῥὴξ τῷ βασιλεῖ ἐν τῇ πόλει· ὃν προσδεξάμενος ἐξευμενίσατο δώροις. ἔδοξε δὲ πρὸς ὀλίγον ὁ βασιλεὺς εὐσεβεῖν φίλος τε εἶναι τῆς θεοτόκου καὶ τῶν μοναχῶν· ὅθεν καὶ ἐν τοῖς πρώτοις χρόνοις μοναχοὺς προεβάλλετο μητροπολίτας. στέφει δὲ Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ τῇ αἰτήσει τοῦ στρατοῦ.

Τῷ β' ἔτει προσέφυγε Πελλέριγος ὁ κύριος τῶν Βουλγάρων τῷ βασιλεῖ. καὶ ποιήσας αὐτὸν πατρίκιον ζεύγνυσι τῇ τῆς γυναικὸς αὐτοῦ Εἰρήνης ἐξαδέλφῃ, καὶ δεξάμενος αὐτὸν ἀπὸ τῆς ἁγίας D κολυμβήθρας μεγάλως καὶ ἠγάπησε καὶ ἐδόξασε.

Τῷ γ' ἔτει ὁ στρατὸς τῶν Ῥωμαίων εἰς Γερμανίκειαν ἀπελθὼν αἰχμαλώτευσε Σύρους Ἰακωβίτας πλῆθος πολύ· οὓς ἐνῴκισεν ὁ βασιλεὺς εἰς τὴν Θρᾴκην.

Τῷ ε' ἔτει τέθνηκε Νικήτας πατριάρχης Κωνσταντινουπόλεως, ὁ ἀπὸ Σθλάβων εὐνοῦχος, καὶ προχειρίζεται Παῦλος ὁ τίμιος ἀναγνώστης Κύπριος. τῇ δὲ μέσῃ ἑβδομάδι τῶν νηστειῶν εὗρεν ἐν τῷ προσκεφαλαίῳ Εἰρήνης τῆς γυναικὸς αὐτοῦ εἰκόνας δύο, ἃς θεωρήσας καὶ ἀνακρίνας εὗρεν ὅτι ὁ παπίας τοῦ παλατίου εἰσεκόμισεν αὐτὰς καί τινες ἄλλοι τῶν πριμικηρίων· οὓς βα- P 469 σάνοις πλείσταις καὶ τιμωρίαις καθυπέβαλε. τὴν δὲ γυναῖκα αὐτοῦ Εἰρήνην σφοδρῶς ἐπιπλήξας ἐξουδένωσεν εἰπὼν "οὕτως ὡμο-

2 τούτῳ P

Leo Copronymi ex Chazara filius imperavit annos 5. primo imperii anno Tellerigus Longobardorum rex ad eum Cpolin confugit; quem is susceptum muneribus sibi devinxit. visus est aliquamdiu pietatem colere, deiparaeque et monachorum esse amicus; itaque etiam primis temporibus metropolitanas ecclesias monachis credidit. postulante exercitu filium suum Constantinum coronat.

Anno 2 Pellerigus Bulgarorum princeps ad Leonem confugit, ab eoque patricius creatur, tradente etiam sororis uxoris suae filiam ei in matrimonium; susceptusque ab eo ex sacro lavacro magnopere carus honoratusque ei habetur.

Anno 3 Romanus exercitus ad Germaniciam profectus multitudinem magnam Syrorum Iacobitarum captivos abduxit; quos imperator in Thracia collocavit.

Anno 5 Nicetas e Slavo patriarchae dignitatem adeptus eunuchus moritur. subrogatur ei venerabilis Paulus anagnosta Cyprius. media ieiuniorum septimana imperator duas imagines repperit in pulvinari uxoris suae Irenes; quas cum diligenter esset contemplatus, inquisitione facta deprehendit eas a papia palatino aliisque nonnullis primiceriorum fuisse illatas, quos et cruciatibus suppliciisque gravissimis addixit. in uxorem quoque Irenam acriter est invectus, eamque nauci esse dixit,

σας τῷ πατρί μου τῷ βασιλεῖ ἐπὶ τῶν φρικτῶν καὶ ἀχράντων τῆς πίστεως μυστηρίων;" αὐτὴ δὲ διισχυρίσατο μὴ ἑωρακέναι αὐτάς. αὐτὸς οὖν ἀπώσατο αὐτήν, μὴ ἐγνωκὼς αὐτὴν ἔτι. λιθομανὴς δὲ λίαν ὑπάρχων ἠράσθη τοῦ στέμματος τῆς μεγάλης ἐκκλησίας, ὅπερ ἦν Ἡρακλείου· καὶ λαβὼν ἐφόρεσεν αὐτὸ καὶ προῆλθεν. ὑποστραφέντος δὲ ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ αὐτοῦ, καὶ σφοδροτάτῳ πυρετῷ συνεχόμενος κακὴν κακῶς τὴν ψυχὴν ἀπέρ-
B ρηξε, τῆς ἱεροσυλίας κομισάμενος τὰ ἐπίχειρα.

Κόσμου ἔτος ,ϛσογ', τῆς θείας σαρκώσεως ψοθ'. Κωνσταντῖνος σὺν τῇ μητρὶ αὐτοῦ Εἰρήνῃ ὀρθόδοξοι ἐβασίλευσαν ἔτη ι'. τούτῳ τῷ ἔτει ἡ εὐσεβεστάτη Εἰρήνη ἅμα τῷ υἱῷ Κωνσταντίνῳ θεόθεν παραδόξως τὴν βασιλείαν ἐγχειρίζεται. μετὰ δὲ μ' ἡμέρας τινὲς τῆς συγκλήτου ἠθέλησαν προβαλέσθαι Νικηφόρον τὸν ἀπὸ Καισάρων εἰς βασιλέα· οὓς κρατήσασα ἡ βασιλὶς ἔτυψε καὶ ἐξώρισε. τοὺς δὲ ἀνδραδέλφους αὐτῆς Καίσαρας καὶ νωβελισσίμους ὄντας ἀποκείρασα ἱερατεῦσαι καὶ μεταδοῦναι τῷ λαῷ πεποίηκε τῇ ἑορτῇ τῆς Χριστοῦ γεννήσεως· ἐν ᾗ καὶ προελθοῦσα
C σὺν τῷ υἱῷ δεκαετεῖ ὑπάρχοντι προσήνεγκε τῇ ἐκκλησίᾳ τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀρθὲν στέμμα, ἐπικαλλωπίσασα διὰ μαργάρων. τῷ αὐτῷ χρόνῳ οἱ Ἄραβες μετὰ Ῥωμαίων συμβαλόντες ἡττῶνται. ἄρχεται δὲ ἡ εὐσέβεια καὶ ὁ λόγος τοῦ θεοῦ πλατύνεσθαι, καὶ πᾶν ἀγαθὸν σωτηριῶδες ἐφανεροῦτο. τότε καὶ τῆς πανευφήμου μάρτυρος Εὐφημίας τὸ λείψανον, ὅπερ ἀέναον μύρον βλύζον διετέ-

quae suo patri imperatori horribilibus atque intemeratis fidei mysteriis prolatis diversum plane iurasset. constanter asseverantem a se eas non visas repulit, neque postea rem cum ipsa habuit. cum autem insano pretiosorum lapidum amore ageretur, coronam quoque Heraclii in magna aede dedicatam adamavit, ablatamque gestavit in publicum progressus. inde domum reversi caput carbunculis graviter est affectum, vehementissimaque eum invasit febris; itaque malam animam infeliciter exhalavit, praemium sacrilegii iustum consecutus.

Anno mundi 6273, incarnati verbi 779, Constantinus et mater eius Irene orthodoxi imperium inierunt, idque decennium gesserunt, divinitus ac praeter hominum opinionem summae rerum praefecti. post dies 60 nonnulli senatorum consilia inierunt de evehendo ad imperium Nicephoro Caesare: sed eos imperatrix captos verberibusque multatos relegavit. mariti sui fratres Caesares et nobilissimos raso capite in ordinem sacerdotum redegit, qui natalicio Christi festo sacris populum impertirent. quo die ipsa quoque cum filio 10 annos nato progressa ecclesiae obtulit a marito suo sublatam coronam, margaritis a se ornatam. eodem tempore Arabes cum Romanis praelio congressi vincuntur. incipit autem et pietas et verbum dei amplificari, omniaque salutaria bona sese proferre. tunc et Euphemiae laudatissimae martyris reliquias,

λει, ἀπὸ τῆς Λήμνου ἡ θεοφιλὴς Εἰρήνη ἐκόμισε, καὶ τὸν πλησίον τοῦ ἱπποδρόμου ναὸν αὐτῆς περικαθάρασα ἐκεῖ αὐτὸ κατέθετο. ταῦτα δὲ γέγονεν, ὡς ἂν θαυμαστωθῇ ὁ θεός, οὐκ ἐν δυνάμει ἀνδρῶν καὶ συνέσεως περιουσίᾳ, ἀλλ' ἐν ἀσθενείᾳ γυναι- D κὸς μετὰ παιδὸς ὀρφανοῦ καθαιρούσης τὴν ἄμετρον κατ' αὐτοῦ καὶ τῶν θεραπόντων αὐτοῦ δυσσέβειαν. τούτῳ τῷ ἔτει ἐν τοῖς μακροῖς τείχεσι τῆς Θρᾴκης ἄνθρωπός τις ὀρύσσων εὗρε λάρνακα, καὶ ταύτην ἀποκαθάρας καὶ ἀποσκεπάσας εὗρεν ἄνδρα κείμενον μέγαν καὶ γράμματα ἐγκεκολαμμένα ἐν τῇ λάρνακι περιέχοντα “Χριστὸς μέλλει γεννᾶσθαι ἐκ παρθένου, καὶ πιστεύω εἰς αὐτόν. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης πάλιν, ὦ ἥλιε, ὄψει με.

Τῷ β' ἔτει ἀπέστειλεν Εἰρήνη πρὸς Κάρουλον τὸν ῥῆγα Φραγγίας, καὶ ἐνυμφεύσατο τὴν θυγατέρα αὐτοῦ Ἐρυθρὼ λεγο- P 470 μένην Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς. καὶ γενομένων συμφώνων καὶ ὅρκων κατελείφθη Ἐλισσαῖος ὁ εὐνοῦχος καὶ νοτάριος εἰς τὸ διδάξαι αὐτὴν τά τε τῶν Γραικῶν γράμματα καὶ τὴν γλῶσσαν, καὶ παιδεῦσαι αὐτὴν τὰ ἤθη τῆς Ῥωμαίων βασιλείας.

Τῷ γ' ἔτει εἰρηνεύσασα Εἰρήνη μετὰ τῶν Ἀράβων ἀποστέλλει Σταυράκιον πατρίκιον καὶ λογοθέτην κατὰ τῶν Σθλαβίνων· ὃς καὶ κατελθὼν ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῆς βασιλίδος. ἐλθὼν δὲ ἐν Πελοποννήσῳ καὶ πολλὴν αἰχμαλωσίαν καὶ λάφυρα λαβὼν ἤγαγε τῇ βασιλίδι. B

9 τῷ P   περιέχοντι P

perenne unguentum sine intermissione stillantes, a Lemno Irena rettulit, inque fano quod circo est propinquum, expurgato deposuit. haec, ut admiratio dei excitaretur, gesta sunt, non potentia virorum neque prudentiae abundantia, sed imbecillitate mulieris, quae cum puero patre orbo immodicam in deum et eius famulos impietatem repressit. eodem anno apud longos Thraciae muros fodiens quidam in cistam incidit; qua purgata et reclusa invenit intus recumbentem virum magnum, literasque cistae insculptas, quae hanc sententiam comprehendebant “Christus e virgine nascetur, inque eum ego credo. Constantino et Irena imperantibus, sol, me rursus videbis.

Anno secundo Irena ad Carolum Francorum regem missis legatis filiam eius nomine Erythro Constantino filio suo in matrimonium postulavit. pactisque conventis et iureiurando firmatis, Elisaeus eunuchus et notarius apud Carolum remansit, ut puellam Graecis literis ac sermone et moribus Romani imperii institueret.

Anno 3 Irene pace cum Arabibus facta Stauracium patricium et logothetam contra Slavinos mittit; qui et omnes eos imperio Irenae subegit, atque ei magnam ex Peloponneso praedam multaque spolia attulit.

Τῷ δ' ἔτει Παῦλος ὁ ὅσιος καὶ ἁγιώτατος πατριάρχης ἀσθενήσας κατέλιπε τὸν θρόνον καὶ ἐν τῇ μονῇ τῶν Φλώρου ἀπεκάρη. ἔρχεται οὖν πρὸς αὐτὸν βασίλισσα λυπουμένη, καὶ φησί "τί τοῦτο ἐποίησας;" ὁ δὲ μετὰ θρήνων ἔφη "εἴθε μηδὲ ἐκάθισα ἐν τῷ τῆς ἱερωσύνης θρόνῳ, τῆς ἐκκλησίας τοῦ θεοῦ τυραννουμένης καὶ ἐσχισμένης ἐκ τῶν λοιπῶν καθολικῶν θρόνων καὶ ἀναθεματιζομένης. καὶ ἐὰν μὴ σύνοδος γένηται οἰκουμενικὴ καὶ τὰ ἐν μέσῳ σφάλματα διορθωθῇ, οὐκ ἔχετε σωτηρίαν." ἡ δὲ εἶπεν αὐτῷ "καὶ ἵνα τί ὑπέγραψας ἐν τῷ χειροτονεῖσθαί σε τοῦ μὴ προσκυνεῖν εἰκόνας;" ὁ δὲ ἔφη "καὶ διὰ τοῦτο θρηνῶ καὶ πρὸς μετάνοιαν καταφεύγω, δεόμενος τοῦ θεοῦ ἵνα μὴ ὡς ἱερέα με κολάσῃ, σιγή-
C σαντα ἕως τοῦ νῦν καὶ μὴ κηρύξαντα τὴν ἀλήθειαν τῷ φόβῳ τῆς μανίας ὑμῶν." ἐν τούτοις ἐκοιμήθη ἐν εἰρήνῃ. ἔκτοτε οὖν ἤρξατο λαλεῖσθαι ὁ περὶ τῶν ἁγίων εἰκόνων λόγος παρρησίᾳ ὑπὸ πάντων.

Τῷ ε' ἔτει συναγαγοῦσα ἡ βασιλὶς Εἰρήνη πᾶσαν τὴν σύγκλητον καὶ τὸν λαὸν ἐζήτει τίς γενήσεται πατριάρχης, καὶ πάντες ἐξεφώνησαν Ταράσιον τὸν ἀσηκρῆτις. ὁ δὲ παρῃτεῖτο, τὴν τῶν λαῶν καὶ τῶν ἐκκλησιῶν προβαλλόμενος διχοστασίαν, καὶ σύνοδον ἐξαιτῶν γενέσθαι. τῆς δὲ βασιλίσσης καὶ τοῦ λαοῦ τοῦτο κατανευσάντων, τῇ κε' τοῦ Δεκεμβρίου μηνὸς τῆς η' ἰνδικτίωνος χειροτονεῖται ὁ ὅσιος πατὴρ ἡμῶν Ταράσιος πατριάρχης Κωνσταντι-
D νουπόλεως. καὶ ἀποστείλας ἐν Ῥώμῃ τὰ συνοδικὰ καὶ τὸν λίβελλον τῆς πίστεως αὐτῶν ἀπεδέχθη παρὰ τοῦ πάπα Ἀδριανοῦ.

Anno 4 Paulus sanctissimus patriarcha morbo affectus solio relicto caput rasit, seque in monasterium Flori abdidit. imperatrix tristis eum convenit, causam facti quaerens. cui Paulus "utinam vero" inquit "solio pontificali nunquam insedissem, ecclesia dei per tyrannidem oppressa atque ab aliis catholicis soliis avulsa anathemateque notata. quodnisi oecumenica instituitur synodus et hactenus errata corriguntur, nulla est vobis salus." quaerenti ulterius Irenae cur ergo patriarcha designatus subscripserit se imagines non adoraturum, "hoc ipsum est" ait "quod lugeo, et ad poenitentiam confugio, deum deprecans ne me velut pontificem puniat, qui hucusque tacuerim metuque furoris vestri veritatis praeconio abstinuerim." his ita actis ille vitam cum morte feliciter commutavit. exinde libere ab omnibus verba de sacris imaginibus fieri.

Anno 5 Irene senatu populoque convocatis sententiam de novo patriarcha creando rogavit. ab omnibus sibi id munus delatum Tarasius secretarius recusavit, populorum et ecclesiarum causatus dissensionem, conciliumque cogi postulans. quod cum annuissent imperatrix et populus, ita demum sanctus pater noster Tarasius patriarcha Cpolitanus declaratur, 25 die Decembris, indictione 8. missisque Romam de concilio literis et fidei suae confessione, est ab Adriano papa approbatus.

Τῷ ς' ἔτει συνόδου κηρυχθείσης ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων συνηθροίσθησαν καὶ οἱ ὑπηρέται τοῦ διαβόλου, καὶ μετὰ ξιφῶν εἰσελθόντων σὺν αὐτῷ ἐταράχθησαν καὶ ὑπέστρεψαν.

Τῷ ζ' ἔτει ἠνοίχθη ἐν Νικαίᾳ ἡ καθολική. τῇ δὲ θ' τοῦ Σεπτεμβρίου ἡμέρᾳ α', ὥρᾳ ε', ἔκλειψις γέγονεν ἡλίου μεγίστη.

Τῷ δὲ η' ἔτει, παρελθόντων ἀπὸ τῆς ς' συνόδου χρόνων ρκβ', γέγονεν ἐν Νικαίᾳ οἰκουμενικὴ ζ' σύνοδος, καὶ ἀπέλαβεν ἡ P 471 καθολικὴ ἐκκλησία διὰ Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου τὸν ἀρχαῖον κόσμον αὐτῆς, συνελθόντων πατέρων ἐν Νικαίᾳ τὸ δεύτερον τν', οἳ τὰς εἰκόνας σὺν τῷ σταυρῷ διορίσαντες προσκυνεῖσθαι, οὐδὲν καινὸν δογματίσαντες ἀλλὰ τὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων δόγματα ἀσάλευτα φυλάττεσθαι, καὶ τὴν νέαν αἵρεσιν ἀποκηρύξαντες, τοὺς τρεῖς ψευδωνύμους πατριάρχας ἀνεθεμάτισαν, Ἀναστάσιον φημὶ καὶ Κωνσταντῖνον καὶ τὸν Νικήταν εὐνοῦχον. ὑπέγραψε δὲ καὶ ὁ βασιλεὺς καὶ ἡ μήτηρ αὐτοῦ ἐν τῷ τόμῳ, καὶ εἰρήνευσεν ἡ τοῦ θεοῦ ἐκκλησία, εἰ καὶ ὁ ἐχθρὸς τὰ ἑαυτοῦ ζιζάνια ἐν τοῖς ἰδίοις ἐργάταις σπείρειν οὐ παύεται. ἀλλ' B ἡ τοῦ θεοῦ ἐκκλησία τῇ αὐτοῦ χάριτι πάντως πολεμουμένη νικᾷ.

Τῷ θ' ἔτει λύσασα ἡ βασιλὶς Εἰρήνη τὴν πρὸς τοὺς Φράγγους συναλλαγὴν ἤγαγε κόρην ἐκ τῶν Ἀρμενιακῶν ἀπὸ Ἀμνείας, ὀνόματι Μαρῖναν, καὶ ἔζευξεν αὐτὴν Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς μὴ θέλοντι, καὶ ἐποίησε τοὺς γάμους.

Τῷ ι' ἔτει γέγονε σεισμὸς φοβερώτατος. φθόνῳ δέ τινες φερόμενοι τῶν προσφιλῶν Εἰρήνης, καὶ βουλόμενοι οὗτοι τὰ πρά-

Anno 6, cum esset concilium indictum in aedem apostolorum, eodem convenerunt etiam Satanae administri, gladiisque armati intraverunt. quo perterriti alteri inde re infecta discessere.

Anno 7 aperta est Nicaea catholica. nona Septembris, quae dies fuit septimanae prima, hora quinta, maximus solis defectus fuit.

Anno 8 septimum oecumenicum concilium Nicaeae fuit, elapsis ad id a sexto annis centum viginti duobus. tuncque Tarasii sanctissimi patriarchae opera pristinum suum ornatum recepit. convenerunt eo patres 350. qui imagines cum cruce adorandas statuerunt, nihil ii novum decernentes, sed sanctorum patrum decreta immota relinqui iubentes. iidem nova haeresi damnata, anathemate detestati sunt tres istos falso patriarchas habitos, Anastasium Constantinum et Nicetam. subscripserunt actis concilii imperator materque eius. iuxta pax tum ecclesiae dei fuit, tametsi inimicus per suos ministros zizania sua serere non cesset. vincit tamen semper dei ecclesia domini sui favore.

Anno 9 imperatrix pacto cum Francis rescisso ex Armenia ab Amnea puellam nomine Marinam duxit filioque suo Constantino, licet invito, copulavit, et nuptias confecit.

Anno 10 terrae motus fuit oppido terribilis. interim quidam de amicis Irenae invidia ducti, et ut sibi rerum administrationem vindica-

γματα διοικεῖν, συνέβαλον τὴν μητέρα κατὰ τοῦ υἱοῦ, πείσαντες αὐτὴν ὡς οὐκ ἔστιν ὡρισμένον παρὰ θεῷ κρατῆσαι τὸν υἱόν σου· C σὴ γάρ ἐστιν ἡ βασιλεία. αὕτη δὲ ὡς ἅτε γυνὴ ἐξαπατηθεῖσα, στέργουσα δὲ καὶ τὸ φίλαρχον, ἐβεβαιώθη τῷ νοΐ οὕτως εἶναι. ὁ γοῦν βασιλεὺς εἰκοσαετὴς ὢν καὶ ῥωμαλεώτατος πάνυ καὶ ἱκανὸς ἐν τοῖς πολέμοις ἐλυπεῖτο μηδενὸς ἐξουσιάζων, καὶ ἐμελέτα κατὰ τῆς μητρὸς αὐτοῦ. ἡ δὲ τοῦτο μαθοῦσα παρὰ τοῦ Σταυρακίου, τοὺς μὲν οἰκείους ἀνθρώπους αὐτοῦ πάντας τύψασα ἐξώρισε, τὸν δὲ μάγιστρον καὶ Θεόδωρον πατρίκιον τὸν Καμουλιανὸν καὶ ἑτέρους τῶν ἐν τέλει ἐξώρισεν ἐν Καϊστορίᾳ. τὸν δὲ υἱὸν αὐτῆς πολλὰ λοιδορήσασα ἀπρόϊτον ἐποίησεν ἐφ᾽ ἡμέρας ἱκανάς. πάντα δὲ τὸν στρατὸν καὶ πάντας τοὺς ἐν τέλει ὀμόσαι πεποίηκεν ὅτι ἕως οὗ ζῇς, οὐ καταδεξόμεθα τὸν υἱόν σου κρατῆσαι. Ἀρμενιακοὶ D δὲ μόνοι τοῦτο οὐ κατεδέξαντο, ἀλλὰ Κωνσταντῖνον καὶ Εἰρήνην ὡς ἐξ ἀρχῆς εὐφήμουν, τοῦ διαβόλου τὴν τοιαύτην ἐπιορκίαν καὶ ἄρνησιν ὑποβάλλοντος τοῖς ἀνθρώποις. συναχθέντες δὲ οἱ θεματικοὶ ἐν τῷ Ἀτρώᾳ πάντες κοινῇ γνώμῃ ἐζήτησαν Κωνσταντῖνον βασιλέα. φοβηθεῖσα δὲ ἡ Εἰρήνη τὸ ὅρμημα τοῦ λαοῦ ἀπέλυσεν αὐτόν. καὶ αὐτοὶ μὲν τὴν μητέρα τούτου ἀπεκήρυξαν, τὸν δὲ Κωνσταντῖνον αὐτοκράτορα εὐφήμησαν. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἐν τῇ πόλει πάντας τοὺς οἰκειακοὺς τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ καὶ P 472 τὸν Σταυράκιον δείρας καὶ κουρεύσας ἐξώρισε, τὴν δὲ μητέρα αὐτοῦ μετὰ τῆς ἀπαθείας αὐτῆς ἐκάθισεν ἐν τῷ παλατίῳ τοῦ

rent, matrem cum filio committunt, persuadentes Irenae imperium ipsius proprium esse, neque id filio eius a deo destinatum. quo dolo illa, utpote mulier, decepta, cupiditate etiam imperandi alioquin urgente, ita rem habere apud animum suum pro certo statuit. at imperator annum iam agens vigesimum, viribusque valentissimus et ad bella idoneus, nullius se rei potestatem habere indigne ferebat, et contra matrem suam iam quaedam machinabatur. quod cum ex Stauracio intellexisset Irene, domesticos filii omnes verberibus multatos relegavit; magistrum et Theodorum patricium Camulianum aliosque proceres Quaestoriam deportavit. filium quoque acriter conviciis insectata complures dies in publicum prodire vetuit. iuramento quoque exercitum et senatum obstrinxit, eos ipsa vivente filio imperium non delaturos. soli Armeniaci milites id recusarunt, Constantinum et Irenam, sicut ab initio, imperatores salutantes, quod et reliquae legiones sunt aemulatae, diabolo haec periuria et abnegationes hominibus suggerente. omnes igitur legiones in Atroam congregatae uno consensu Constantinum imperatorem requisiverunt. itaque metuens multitudinis impetum Irena filium dimisit; quem illi statim faustis acclamationibus imperatorem salutarunt, abrogato Irenae imperio. Constantinus imperator in urbem intrans omnes patris sui domesticos atque ipsum Stauracium verberatos atque rasos deportavit; matrem in

Ἐλευθερίου, ὃ αὐτὴ ᾠκοδόμησεν, ἐν ᾧ τὰ πλεῖστα χρήματα κατέκρυψεν. ἐγένετο δὲ ἐμπρησμός, καὶ ἐκαύθη ὅ τε τρίκλινος τοῦ πατριαρχείου, ὁ λεγόμενος Θωμαΐτης, καὶ αἱ ὑποκάτω αὐτοῦ καμάραι, ἔνθα ἀπέκειτο τὰ σχέδη πάσης γραφῆς, ἃ ἡρμήνευσεν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος. καὶ διῆλθεν ἡ φλὸξ ἕως τοῦ μιλίου καὶ τοῦ κοιαιστωρείου πανταχόσε ἐπινεμομένη, ἕως οὗ πάντα κατέκαυσεν. ὁ δὲ βασιλεὺς ἐξῆλθε κατὰ Βουλγάρων, καὶ τούτους νικήσας ὑπέστρεψεν. ὡσαύτως καὶ ἐν Ταρσῷ μετὰ στρατοῦ πολλοῦ ἀπῆλθε κατὰ Ἀράβων, καὶ αἰχμαλωτίσας πολλοὺς ὑπέ- B στρεψε. παρακληθεὶς δὲ ὁ βασιλεὺς ὑπὸ τῆς ἰδίας μητρὸς καὶ πολλῶν τῶν ἐν τέλει αὖθις ἀναγορεύει αὐτήν, καὶ εὐφημεῖσθαι ὡς ἐξ ἀρχῆς διεκελεύσατο. πάντων δὲ πειθαρχούντων μόνοι οἱ Ἀρμενιακοὶ στασιάζουσι, καὶ ἐπιζητοῦσιν Ἀλέξιον τὸν Μωσηλέ. τοῦτον οὖν καὶ διὰ ταύτην τὴν ζήτησιν, καὶ διὰ τὸ λέγειν τινὰς ὡς μέλλει βασιλεύειν, δείρας καὶ κουρεύσας ἐφυλάκισε.

Τῷ β' ἔτει ἐπιστρατεύει κατὰ Βουλγάρων, καὶ συναντήσας Καρδάμῃ τῷ κυρίῳ Βουλγάρων, πλῆθος λαοῦ καὶ ἀρχόντων ἀποβαλὼν καὶ τὴν κόρτην καὶ πᾶσαν τὴν ὑπουργίαν καὶ τοὺς ἵππους, C μόλις αὐτὸς διαφυγὼν εἰσῆλθεν ἐν τῇ πόλει. τῷ δ' αὐτῷ μηνὶ ἐκ συκοφαντίας τινῶν ἐξελθὼν ὁ βασιλεὺς ἐν τῷ ἁγίῳ Μάμαντι ἐκτυφλοῖ Νικηφόρον καὶ Χριστοφόρον τοὺς θείους αὐτοῦ, υἱοὺς Κωνσταντίνου τοῦ πάππου αὐτοῦ. Χριστοφόρον δὲ ἄλλον καὶ Νικήταν Ἄνθιμον καὶ Εὐδόκιμον ἐγλωσσοκόπησε, καὶ Ἀλέξιον τὸν

palatio Eleutherii, quod ipsa exstruxerat, securitate data collocavit, quo et plurimam ea auri abdidit. incendium quoque triclinium patriarchae domus, quod Thomaïtes appellabantur, et ei subiectas cameras absumpsit, ubi repositae erant schedae universae Scripturae, quibus eam sanctus Ioannes Chrysostomus fuerat interpretatus; grassatumque est usque ad miliarium et quaestorium, omnibus quae in medio erant exustis. imperator porro expeditione in Bulgaros facta victor rediit. Tarsum quoque magno cum exercitu adversus Arabas profectus multis captis reversus est. matri vero, eius desperatione et multorum summorum virorum intercessione motus, imperatoriam dignitatem reddidit, eamque ut ab initio imperatricem salutari iussit; cui mandato soli Armeniaci refragati sunt, et Alexium Mosolem depoposcerunt. quem hac de causa, ac quia eum quidam ferebant imperio potiturum, Constantinus verberatum ac rasum in custodiam dedit.

Anno 2 in Bulgaros exercitum ducens Cardamae eorum domino occurrit; amissoque militum magno numero et multis ducibus ipsaque etiam cohorte et omnibus impedimentis atque equis, aegre fuga in urbem elapsus est. eodem mense calumniis quorundam adductus exivit in aedem sancti Mamantis, ibique Nicephorum et Christophorum patruos suos excaecat. alium Christophorum Nicetam, Anthimum et Eudocimum linguis

Μωσηλὲ ἐτύφλωσεν. ἀλλ' οὐκ εἰς μακρὰν ἡ τοῦ θεοῦ δίκη ἀνεκδικήτους αὐτοὺς εἴασε· μετὰ γὰρ ε' ἔτη τῷ αὐτῷ μηνὶ καὶ τῇ αὐτῇ ἡμέρᾳ τυφλοῦται ὁ αὐτὸς Κωνσταντῖνος. ὑποτάξας δὲ καὶ τοὺς Ἀρμενιακοὺς πολέμῳ, τοὺς ἄρχοντας αὐτῶν ἐποινάλισεν, ἐπιγράψας
D εἰς τὸ πρόσωπον αὐτῶν μέλανι κεντητῷ "Ἀρμενιακὸς ἐπίβουλος·" οὓς καὶ ἐξώρισεν ἔν τε Σικελίᾳ καὶ ταῖς λοιπαῖς νήσοις. μισήσας δὲ ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Μαρῖναν ὑποβολῇ τῆς ἑαυτοῦ μητρός, ἐφιεμένης τῆς ἀρχῆς, πρὸς τὸ μισηθῆναι αὐτὸν (ἔσχε γὰρ ὁ βασιλεὺς πονηρὰς ὑπολήψεις κατὰ τῆς Μαρίνης) πείθει αὐτὴν γενέσθαι μοναχήν. ἔστεψε δὲ Θεοδότην κουβικουλαρίαν τῆς μητρὸς αὐτοῦ, ᾗ καὶ ἐμνηστεύθη παρανόμως. ἐπὶ τούτοις τοῦ πατριάρχου Ταρασίου ἀντιπίπτοντος δηλοῖ αὐτῷ Κωνσταντῖνος "εἰ μὴ τοῦτο γένηται, τοὺς ναοὺς τῶν εἰδώλων ἀνοίγω." ὅθεν ὁ πατριάρχης φοβηθεὶς εἴασεν αὐτόν, εἰπὼν πρὸς πολλοὺς
P 473 ὅτι οὐ καταλύσει τὸν βίον εἰρηνικῶς. καὶ ἐποίησε τὸν γάμον αὐτοῦ ὁ βασιλεὺς ἐν τῷ παλατίῳ τοῦ ἁγίου Μάμαντος ἡμέρας δ'. ἀπέσχισαν δὲ τοῦ πατριάρχου τῆς κοινωνίας ὁ τοῦ Στουδίου ἡγούμενος καὶ λοιποὶ διὰ τὸν παράνομον γάμον τοῦ βασιλέως. εἰς οὓς καὶ πολλὰς θλίψεις εἰργάζετο ὁ βασιλεύς· ἡ δὲ μήτηρ αὐτοῦ ὑπερησπίζετο αὐτῶν.

Τῷ ς' ἔτει Καρδάμης ὁ κύριος Βουλγάρων ἔγραψε τῷ βασιλεῖ "ἢ τέλεσόν μοι πάκτα, ἢ ἔρχομαι ἕως τῆς χρυσῆς πόρτης." ὁ δὲ βασιλεὺς ἀπέστειλεν αὐτῷ εἰπὼν ὅτι οἷα δὴ πρέπει σοι πάκτα

17 ὁ τῶν?

excisis mutilat; Alexio quoque Mosolae oculos eruit. neque diu horum ultionem dei iustitia distulit. post quinquennium enim eodem mense ac die ipse etiam Constantinus oculis privatus est. Armeniacis bello subactis de eorum ducibus poenas sumpsit, nigris notis faciei cuiusque impressis, quae erant "Armeniacus insidiator," eosdemque in Siciliam et alias insulas relegavit. deinde cum in Marinam coniugem suam concepisset odium ob sinistras quasdam de ea suspiciones, matris instinctu, quae imperii cupida filium invisum subditis reddere volebat, eam in monasterium detrusit; et Theodotam, matris suae cubiculariam, illicitis sibi nuptiis copulans coronavit. cumque Tarasius patriarcha se opponeret, minatus ei est se, nisi hanc rem perficeret, profanorum simulacrorum fana aperturum. itaque territus patriarcha concessit, ad multos dicens imperatorem nequaquam placide moriturum. per quatriduum nuptias egit imperator in sancti Mamantis palatio. ceterum huius coniugii causa communione patriarchae sese abstinuerunt Studiani collegii princeps atque alii, quos imperator varie vexavit, defensante eos Irena.

Anno sexto Cardames Bulgarorum princeps Constantino ita scripsit 'aut persolve mihi quod pactum est, aut usque ad auream portam veniam.' rescripsit imperator "quod decuit, ex pacto tibi misi. senex

ἀπέστειλα. γέρων δὲ εἶ, καὶ οὐ θέλω κοπωθῆναί σε ἕως τῶν ὧδε, ἀλλ' ἐγὼ ἔρχομαι πρὸς σέ, καὶ εἴ τι κρίνει ὁ θεός. συνα- B θροίσας δὲ ὁ βασιλεὺς λαὸν ἐξῆλθε κατ' αὐτοῦ καὶ ἐδίωξεν αὐτὸν ἕως εἰς τὰ ἴδια.

Τῷ ζ' ἔτει ἐξῆλθεν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ ἐν τῇ Προύσῃ θερμῆσαι, καὶ μεθ' ἡμέρας ὀλίγας ἐτέχθη τῷ βασιλεῖ υἱός, ὃν ἐπωνόμασε Λέοντα. ὅπερ μαθὼν ὁ βασιλεὺς καταλιμπάνει τὴν μητέρα αὐτοῦ σὺν τῇ βασιλικῇ πάσῃ τάξει καὶ τοῖς ἄρχουσι, καὶ ὑποστρέφει δρομαῖος ἐπὶ τὴν πόλιν. εὑροῦσα δὲ ἄδειαν ἡ τούτου μήτηρ πάντας ὑποσύρει τοὺς τῶν ταγμάτων ἄρχοντας πρὸς τὸ καθελεῖν τὸν υἱὸν αὐτῆς καὶ μονοκρατορῆσαι. καὶ δὴ παραγενόμενον ἐν τῷ παλατίῳ, τῆς μητρὸς αὐτοῦ μὴ παρούσης, ἀπέκλεισαν αὐτὸν οἱ μεγιστᾶνες ἐκ συμβουλῆς τῆς μητρὸς αὐτοῦ, ἐν τῇ πορφύρᾳ ἐν ᾗ ἐγεννήθη, καὶ ἐκτυφλοῦσιν αὐτὸν C δεινῶς καὶ ἀνιάτως πρὸς τὸ τεθνάναι τῇ γνώμῃ τῆς μητρὸς αὐτοῦ. ἐσκοτίσθη δὲ ὁ ἥλιος τότε ἐπὶ ἡμέρας ιζ' καὶ οὐκ ἔδωκε τὰς ἀκτῖνας αὐτοῦ, ὡς πάντας λέγειν ὅτι διὰ τὴν τοῦ βασιλέως τύφλωσιν τοῦτο ἐγένετο· τοιοῦτον γὰρ σκότος ἐγένετο ὥστε καὶ τὰ πλοῖα πλανᾶσθαι. ἀλλ' ὅρα καὶ τὰ τοῦ θεοῦ ἀνεξερεύνητα κρίματα· μετὰ γὰρ ε' ἔτη τῷ αὐτῷ μηνὶ καὶ τῇ αὐτῇ ἡμέρᾳ ἐν ᾗ ἀπετύφλωσε τοὺς θείους αὐτοῦ, τυφλοῦται καὶ αὐτός. ἐκράτησε δὲ Εἰρήνη ἡ μήτηρ αὐτοῦ μόνη ἔτη ε'. ἐστασίασαν δὲ οἱ ἀνδράδελφοι αὐτῆς, οὓς καὶ ἐξώρισεν ἐν Ἀθήναις· οἳ κἀκεῖσε βουλευσά- D μενοι περὶ βασιλείας παρὰ τῶν ἐντοπίων ἀνῃρέθησαν, καὶ ἠφανί-

es: ideo te fatigari nolo huc usque proficiscendo, sed ipse ad te veniam. deus decernet." contractoque exercitu in eum duxit, profligatumque in suam usque dicionem est persecutus.

Anno septimo imperator cum matre Prusam ad thermas ivit. cumque ei post paucos dies filius nasceretur, cui Leoni nomen ipse fecit, allato nuntio matrem cum omni imperatorio relinquens comitatu, in urbem recurrit. ibi Irene licentiam nacta omnes ordinum principes corrumpit, ut filio imperium abrogent seque solam imperare sinant. itaque Constantinum absente matre in eius palatium venientem proceres in Porphyra, ubi natus fuerat, de sententia Irenes includunt, oculosque ei ita effodiunt ut nullus medicinae locus superfuerit ac tantum non in eorum manibus exspirarit. sol tunc per 17 dies obscuratus est, nullos emittens radios; et vulgo id ob excaecationem imperatoris evenisse ferebant. tantae autem fuerunt tenebrae ut naves quoque a cursu suo aberraverint. sed hic imperscrutabilia dei iudicia considera: nam post quinquennium ab eo die quo patruis oculos eruit, eodem anni et mensis die ipse quoque oculis multatus est. Irena mater eius sola imperium tenuit annos 5. cumque fratres mariti eius seditionem moverent, ab ea sunt Athenas relegati, ibique, cum de occupando regno consilia agita-

σθῃ τὸ τοῦ μιαροῦ Κοπρωνύμου ἅπαν γένος. τῇ δὲ δευτέρᾳ τοῦ ἁγίου πάσχα ἀπελθοῦσα ἡ βασίλισσα ἐπὶ τῇ κατὰ τύπον γενομένῃ προελεύσει εἰς τοὺς ἁγίους ἀποστόλους, δείλης προῆλθεν ἐν ὀχήματι χρυσῷ, ἐποχουμένη τέσσαρσιν ἵπποις, κρατουμένη ὑπὸ πατρικίων, ῥίψασα ὑπατείαν ἐν τῇ μέσῃ πολλήν.

Τῷ γ' ἔτει Σταυράκιος τυραννίδα ἐμελέτησεν, ὅπερ μαθοῦσα ἡ βασιλὶς ἐθέσπισε μὴ προσπελάζειν τινὰ Σταυρακίῳ· ὁ δὲ τῇ λύπῃ καταπονηθεὶς, αἷμα ἐκ τοῦ πνεύμονος ἀναγαγών, τέθνηκε.

P 474 Τῷ δ' ἔτει ἡ εὐσεβὴς Εἰρήνη τοῖς Βυζαντίοις τοὺς πολιτικοὺς ἐχαρίσατο φόρους, τῆς δὲ Ἀβύδου καὶ τοῦ Ἱεροῦ τὰ κομμέρκια ἐκούφισε.

Τῷ ε' ἔτει στάσιν κατὰ τῆς βασιλείας οἱ ἀνατολικοὶ ἐμελέτησαν. ἔφθασαν δὲ ἀπὸ Καρούλου τοῦ στεφθέντος βασιλέως Ῥώμης παρὰ Λέοντος τοῦ πάπα ἀποκρισιάριοι πρὸς τὴν εὐσεβεστάτην Εἰρήνην, αἰτούμενοι ζευχθῆναι αὐτὴν τῷ Καρούλῳ πρὸς γάμον καὶ ἑνῶσαι τὰ ἑῷα καὶ τὰ ἑσπέρια· ἥτις ὑπήκουσεν ἄν, εἰ μὴ Ἀέτιος ἐκώλυσε, τὸ κράτος εἰς τὸν ἴδιον ἀδελφὸν σφετεριζό-
B μενος. ἡ βασιλὶς δὲ τὰ μὲν ἄλλα φρονίμως καὶ συνετῶς διῴκησε πράγματα καὶ ὡς ἄν τις εὔξαιτο, μόνην δὲ ταύτην ἔσχεν αἰτίαν, τὴν ἔκπτωσιν καὶ τύφλωσιν τοῦ δυστυχεστάτου υἱοῦ αὐτῆς, καίτοι ζῆλον θεῖον ἔχουσα καὶ πίστιν ὀρθόδοξον. τήν τε γὰρ ἁγίαν ἑβδόμην σύνοδον καὶ τὴν τῶν ἱερῶν εἰκόνων προσκύνησιν αὕτη παρε-

15 περὶ P

rent, ab incolis sunt interfecti. sic Copronymi genus exstinctum est. postridie sancti paschatis Irena in processione, quae ex statutis ecclesiasticis fit, in aedem apostolorum ivit; atque sub vesperam in publicum aureo curru a quattuor equis provecta est, tenentibus currum patriciis, multumque pecuniae in populum spargit.

Anno 3 Stauracius tyrannidem est molitus; quod cum rescivisset Irena, omnibus eius consuetudine interdixit. isque moerore oppressus sanguinem ex pulmonibus eructans periit.

Anno 4 pia Irene Byzantinis civile tributum remisit, Abydique et Hieri commercia sublevavit.

Anno 5 seditionem contra Irenam machinati sunt orientales. venerunt etiam a Carolo, quem Leo Romae papa imposita corona imperio Romano inauguraverat, legati ad Irenam, eam Carolo in uxorem ambientes, ut sic Oriens cum Occidente uniretur. et fuisset sane assensura, nisi Aetius obstitisset, qui imperium suo fratri cogitabat parare. imperatrix cetera omnia prudenter cordateque gessit, et quo modo prorsus optandum foret. hanc unam culpam sustinuit, quod miserrimum filium imperio et oculis spoliavit, divino alioqui sacrarum studio rerum et recta fide praedita. sacrum enim 7 concilium et venerationem ima-

σκεύασε, καὶ πολλὰ αὐτῆς καὶ μυρία τὰ κατορθώματα. αὕτη καὶ τὴν ἐν Θεσσαλονίκῃ Βέρροιαν ἔκτισεν, Εἰρηνόπολιν μετονομάσασα. ἔκτισε δὲ καὶ τὴν Ἀγχίαλον. ἀλλ' ὁ πολὺς τῶν εὐνούχων ἑσμὸς καὶ οἱ τούτων ἐξέχοντες, ὅ τε Σταυράκιος καὶ ὁ Λέων ὁ Κλόκας πρὸς ἀλλήλους διαφερόμενοι, τῆς βασιλείας ταύτην ἀπεγύμνωσαν, καὶ Νικηφόρον ἀντ' αὐτῆς ἐπὶ τῶν θρόνων βασιλέα καθίδρυσαν. οὕτως αἱ τῶν κακίστων εὐνούχων βουλαὶ τοὺς οἰκείους δεσπότας καὶ εὐεργέτας διαλυμαίνονται, ὥστε Χρυσαόριον C τὸν πάλαι θαυμασιώτατον εἰπεῖν πρός τινα τῶν μεγάλων ὅτι εἰ μὲν ἔχεις εὐνοῦχον, φόνευσον, εἰ δ' οὐκ ἔχεις, ἀγόρασον καὶ φόνευσον. ἐκβάλλει τοίνυν Εἰρήνην ὁ Νικηφόρος σπουδῇ Λέοντος τοῦ Κλόκα καὶ Νικήτα πατρικίου καὶ Σισινίου τῶν αὐταδέλφων καὶ τῶν ἐπιόρκων καὶ δολερῶν Τριφυλλίων καὶ Λέοντος πατρικίου τοῦ τεσσαρακονταπήχους καὶ Γρηγορίου πατρικίου τοῦ Μουσιλάκη καὶ ἑτέρων τινῶν τῶν ἐν τέλει· οἵτινες ἐλθόντες ἐν τῇ χαλκῇ ὥρᾳ τετάρτῃ τῆς νυκτός, καὶ τοὺς φύλακας ἐξαπατήσαντες, ἔπεισαν ὅτι παρὰ τῆς Αὐγούστης ἀπεστάλησαν ἀναγορεῦσαι βασιλέα τὸν Νικηφόρον. οἱ δὲ πιστεύσαντες τῷ τηλικούτῳ ψεύσματι συνηγόρευσαν καὶ αὐτοὶ βασιλέα τὸν τύραννον. πολλοὶ γοῦν ἐθαύμαζον πῶς ὁ θεὸς συνεχώρησε τὴν ὑπὲρ τῆς ὀρθῆς πίστεως D μαρτυρικῶς ἐναθλήσασαν ὑπὸ ἀσεβοῦς οὕτω τυραννικῶς ἐκβληθῆναι. ἄλλοι τὴν εἰς τὸν υἱὸν αὐτῆς ἁμαρτίαν προεβάλλοντο, καὶ ἄλλοι ἄλλως ἐδυσφήμουν καὶ κατεγόγγυζον. φύλακας τοίνυν ἐν τῷ παλατίῳ τῶν Ἐλευθερίου περιστήσας (ἐκεῖσε γὰρ ἔτυχε τυγ-

ginum sacrarum ipsa confecit, multaque alia praeclarissima facinora edidit. Berrhoeam quoque apud Thessalonicam refecit, suoque de nomine Irenopolin dixit; et Anchialum instauravit. sed eunuchorum turba, interque hos praecipui Stauracius et Leo cognomine Clocas, inter se dissidentes imperium ei abrogaverunt, et loco eius Nicephorum in solio imperatorio collocarunt. ita pessimorum eunuchorum consilia suos dominos atque benefactores pessundant, ut recte Chrysaorius, maximi apud veteres vir nominis, summo cuidam viro dixerit "si habes eunuchum, occide eum: si non habes, eme et neca." Irenam ergo imperio deturbat Nicephorus opera Leonis Clocae, Nicetae patricii et Sisinii fratrum, periurorumque et dolosorum Triphylliorum, et Leonis patricii Tessaracontapechis (cognomento a 40 cubitis ducto), et Gregorii patricii qui et Muselaces, et aliorum quorundam procerum. hi quarta noctis hora ad Chalcem venientes (ea est aerea porta) custodibus astu persuadent missos se ab Augusta, ut Nicephorum imperatorem designent. custodes mendacio huic fidem adhibentes, ipsi quoque Nicephorum imperatorem dicunt. mirati sunt multi cur deus passus sit eam, quae pro vera religione martyris in morem decertavisset, tam tyrannice ab impio homine deiici. quidam id eius in filium sceleri imputarunt, alii alias obtrectarunt. ceterum Nicephorus palatium Eleutherianum (ibi enim

χάνουσα ἡ βασιλὶς) ὄρθρου ἀγαγὼν αὐτὴν ἐν τῷ παλατίῳ ἀπέκλεισε, καὶ οὕτως προῆλθεν ἐν τῇ ἐκκλησίᾳ ἐπὶ τὸ στεφθῆναι, Ταρασίου ἔτι τὸν θρόνον κατέχοντος. οἱ δὲ ὄχλοι κατηρῶντο καὶ τὸν στέφοντα καὶ τὸν στεφόμενον τύραννον, καὶ ἀπεκάλουν ἀλιτήριον.

P 475 Νικηφόρος πατρίκιος καὶ γενικὸς λογοθέτης ἐβασίλευσεν ἔτη η' ἡμέρας θ'. τῇ ἐπαύριον δὲ παραλαβών τινας τῶν πατρικίων ἀνῆλθε πρὸς τὴν βασίλισσαν φρουρουμένην, καὶ χρηστότητα ὑποκριθεὶς παρηγόρει αὐτὴν λέγων "πᾶσάν σου ἀνάπαυσιν ποιήσω, εἰ τοὺς θησαυρούς σου καταμηνύσεις μοι." ἡ δὲ συνετῷ τῷ φρονήματι πρὸς τὸν χθὲς μὲν δοῦλον ἐπίορκον σήμερον δὲ τύραννον ἔφη "ἐγὼ μέν, ὦ ἄνθρωπε, θεὸν ἡγοῦμαι τὸν ὑψώσαντά με εἰς ταύτην τὴν βασιλείαν, ταῖς δ' ἐμαῖς ἁμαρτίαις τὴν καθαίρεσιν
B ἐμαυτῆς προσάπτω· ἐν πᾶσι δὲ τούτοις εἴη τὸ ὄνομα κυρίου εὐλογημένον. οὐ μὴν δὲ ἀγνοεῖς τὰς κατὰ σοῦ μηνυθείσας ἐπιβουλάς, αἷς εἰ συνυπήχθην, ἀκωλύτως εἶχον τοῦ ἀνελεῖν σε. ἀλλὰ τὸ μὲν τοῖς σοῖς ὅρκοις πειθομένη τὸ δὲ φειδομένη σου πάντα παρελογισάμην, τῷ θεῷ ἀποδιδοῦσά σε, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται κατεξουσιάζουσι. καὶ τὰ νῦν ὡς εὐσεβῆ σε καὶ ἐκ θεοῦ προβληθέντα βασιλέα προσκυνῶ, καὶ αἰτοῦμαι φείσασθαί μου τῆς ἀσθενείας καὶ συγχωρῆσαί με εἰς τὸν ὑπ' ἐμοῦ κτισθέντα τὸν Ἐλευθερίου οἶκον, εἰς ψυχαγωγίαν τῆς ἀσυγκρίτου μου συμφορᾶς." ὁ δὲ ἔφη "καὶ εἰ τοῦτο θέλεις σοι γενέσθαι, ὄμοσόν μοι

tum degebat Irene) custodibus cinxit, maneque eam in palatium ductam inclusit. itaque in templum progressus est, uti coronaretur, Tarasio adhuc patriarcha. populus autem et coronantem et coronatum diris egit, tyrannum hunc et scelestum appellans.

Nicephorus patricius et generalis logotheta imperavit annos 8 dies 9. postridie quam imperium occepit, quibusdam patriciis comitatus ad Irenam se contulit, quae a custodibus adservabatur, bonitatemque simulans bono eam animo esse iussit, promittens, si de thesauris suis certiorem ipsum redderet, de summa se ei quiete prospecturum. illa autem prudente animo eum qui heri periurus servus fuerat, hodie tyrannidem gerebat, sic affata est "heus tu, deum ego agnosco fuisse qui me ad imperium hoc evexerit, me vero meis delictis meruisse, ut eo exciderem. in his omnibus laus sit divino nomini. neque vero tu nescis delata ad me fuisse de tuis insidiis indicia, quibus si credidissem, nemine vetante interficere te poteram: sed partim iuramentis tuis fidem adhibens, partim tibi parcens, ista omnia neglexi, deo te relinquens, quo auctore reges regnant et principes dominantur. nunc etiam tibi ut pio et deo ad imperium evecto imperatori supplico, petens ut meae imbecillitatis rationem habens patiaris me inhabitare domum Eleutherianam a me conditam, quo incomparabilem meam consoler calamitatem." ad haec Nicephorus respondit, quando ita cupiat, se per omnia ei liberalissime gra-

μὴ ἀποκρύψαι τι τῶν θησαυρῶν, καὶ πᾶσάν σου θεραπείαν ποιῶ." C ἡ δὲ ὤμοσεν αὐτῷ, ὑποδείξασα καὶ πλοῦτον πολύν. ὁ δὲ τοῦ ποθουμένου τυχὼν παρευθὺ ἐξώρισεν αὐτὴν ἐν τῇ Πριγκήπῳ, εἰς ἣ αὐτὴ ᾠκοδόμησε μοναστήριον. ἰδὼν δὲ πάντας τοὺς ἐν τέλει λυπουμένους ἐπ' αὐτῇ διὰ τὴν ἀπληστίαν αὐτοῦ, φοβηθεὶς μή ποτε οἱ λαοὶ μεμνημένοι τῶν εὐεργεσιῶν αὐτῆς μέλλωσι πάλιν αὐτὴν ἀναγορεύειν, χειμῶνος ἐπικειμένου βαρυτάτου οὐκ ᾤκτειρεν αὐτήν, ἀλλ' ἐξώρισεν εἰς Μιτυλήνην, φρουρεῖσθαι αὐτὴν προστάξας. τῇ δὲ θ' τοῦ Αὐγούστου μηνὸς ἐκ λύπης καὶ ἀθυμίας ἐτελεύτησεν ἐν τῇ αὐτῇ Λέσβῳ. μετεκόμισε δὲ τὸ σῶμα αὐτῆς ὁ βασιλεὺς ἐν τῇ μονῇ τῆς Πριγκήπου, ἣν αὐτὴ ᾠκοδόμησε· σφό- D δρα γὰρ εὐσεβὴς καὶ φιλάρετος οὖσα πολλὰ ξενοδοχεῖα καὶ γηρωκομεῖα καὶ μοναστήρια κατεσκεύασε, καὶ φόρων κουφισμοὺς καὶ ἄλλα πλεῖστα κατωρθώσατο. Κωνσταντῖνον δὲ τὸν υἱὸν αὐτῆς, φιλαργυρίᾳ μᾶλλον ἀγόμενος ἢ οἴκτῳ, προσελάβετο συνέστιον αὐτῷ, οἰόμενος πλοῦτον ἐγκεκρυμμένον φανερῶσαι αὐτῷ. ὁ δὲ φιλοφρονούμενος ὑπ' αὐτοῦ κουφότητι γνώμης ὑπέδειξεν αὐτῷ τὸν ἐν τῷ ἡμικυκλίῳ, ὃ νῦν λέγεται σίγμα, θησαυρὸν ἀνακτισθέντα δι' ὀρθομαρμαρώσεως. καὶ τοῦτον ἀφελόμενος καὶ αὐτὸν ὁμοίως τῇ μητρὶ αὐτοῦ παρεῖδε. Νικήταν τε τὸν Τριφύλλιον ἀξίως τῆς P 476 ἑαυτοῦ γνώμης ἀμειβόμενος, ὡς συναγωνισθέντα αὐτῷ εἰς τὸ κατασχεῖν τὴν βασιλείαν, φαρμάκῳ ἀνεῖλεν, εὖ γε τῆς ἀξίας ἀνταποδιδούς.

tificaturum: iuraret modo nullum se thesaurum celaturam. iuravit Irena, et magnas ei opes commonstravit. sed Nicephorus optatis potitus, statim eam relegavit in monasterium quod in Principis appellata insula ipsa condiderat. cernens deinde insatiabilem suam avaritiam omnibus proceribus molestam esse, in metum venit ne populus aliquando Irenam, memoria acceptorum ab ea beneficiorum motus, ad imperium revocaret: iccirco eam absque omni miseratione Mitylenem relegavit, gravissima imminente tempestate. atque ibi illa in Lesbo insula ex animi aegritudine decessit, 9 Augusti die. corpus eius imperator in monasterium Principis rettulit, quod ab ea fuisse aedificatum ostendimus. nam pro insigni pietate ac virtute sua multa pro recipiendis peregrinis et fovendis senibus aedificia, multa monasteria condiderat, annonam quoque leviorem redegerat, aliaque multa praeclara facta ediderat. porro Nicephorus Constantinum Irenes filium, avaritia magis ductus quam misericordia, in suum contubernium recepit, spe thesaurorum ab eo percipiendi indicia. et quidem comiter ab eo tractatus Constantinus, ut erat futili ingenio, demonstravit ei thesaurum in Semicirculo (Sigma hodie vocant) abditum, sub erectis marmoribus constructo muro; quem nactus Nicephorus istum non secus ac matrem neglexit. Nicetam vero Triphyllium, cuius strenua opera in imperio acquirendo usus fuerat, praeclaro scilicet relata gratia, veneno sustulit.

Βαρδάνιος δὲ τῆς ἀνατολῆς στρατηγὸς ὢν ἐν ἑαυτῷ ἐφρόντιζε τῆς βασιλείας ἐπιλαβέσθαι. τὴν διατριβὴν δὲ ἐν τῷ Φιλομηλίῳ ποιούμενος μοναχῷ τινὶ τῶν προγνώσεως ἠξιωμένων τὰ τῆς βουλῆς ἀνακοινοῦται, συνίστορα ἔχων Λέοντα τὸν Ἀρμένιον. ἀκούσας δὲ οὗτος ὁ Βαρδάνιος παρὰ τοῦ μοναχοῦ τὴν τῆς αὐτοῦ περιουσίας ἀφαίρεσιν καὶ τῶν ὀφθαλμῶν τὴν πήρωσιν, εἰ τοῦτο κατατολμήσειεν ὑποστήσεσθαι, μετὰ λύπης ὑπέστρεφεν. ὡς δὲ
B τοὺς ἵππους αὐτῷ προσεκόμισαν οἱ τούτῳ ἐξυπηρετούμενοι, τούτοις ὁ μοναχὸς ἐνατενίσας ὑπονοστεῖν προσφωνεῖ τὸν Βαρδάνιον. ὁ δὲ προσδοκήσας τι τῶν αὐτῷ καταθυμίων μέλλειν εἰπεῖν τὸν μοναχόν, ἤκουσε παρ' αὐτοῦ τοῦ "μηδέν σοι πεφροντισμένον ἔστω περὶ τῆς βασιλείας. κἄντε γὰρ ἑκοντὶ κἄντε μή, μὴ τοῦτο κατατολμήσεις. εἰ τοῦτο δὲ πειραθῇς, τῶν σῶν ὀμμάτων, ὡς ἔφην, καὶ τῆς ὑπάρξεως ὑποστήσῃ τὴν ἀλλοτρίωσιν. οἱ δὲ τοὺς ἵππους σου κομίσαντες, τούτων ὁ πρῶτος καὶ ὁ δεύτερος διαδηματοφορήσουσι, καὶ ὁ τρίτος ἀναγορευθεὶς ταχέως ἀπολεῖται, μὴ τυχὼν ὧν ἐφίεται." ὁ τοίνυν Βαρδάνιος τὰ τοῦ λογισμοῦ αὐτῷ τε τῷ Λέοντι καὶ Μιχαὴλ καὶ Θωμᾷ παρεδήλου, φάσκων τοιάδε "σὺ μὲν ὦ
C Λέον βασιλεύσας, καὶ ὁ Θωμᾶς ἀναρρηθείς, παρὰ Μιχαὴλ φονευθήσεσθε (οὕτω γὰρ ὁ μοναχὸς ἐξεῖπέ μοι), μόνου τοῦ Μιχαὴλ διαφυλαχθησομένου ἐν τῇ βασιλείᾳ." οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τῶν θεμάτων πολλὰ καταναγκαζομένων διὰ τὰς ἐπιτηδείους αὐτοῖς ἀπαιτήσεις παρὰ Νικηφόρου ἀποσκιρτήσαντες ἀνηγόρευσαν βασιλέα Βαρδάνιον, ᾧ ἐπίκλην Τοῦρκος. ὅς γε δυσφορῶν ἐπὶ τούτῳ

Eo tempore Bardanius quidam Orientis dux, de imperio sibi vindicando cogitans, cum degeret Philomelii, consilium suum monacho cuidam, quem futurorum praescientia deus dignatus fuerat, aperit, conscio rei Leone Armenio. praedixit ei monachus, si imperium affectaret, et opibus suis et oculis spoliatum iri. cum tristis discederet Bardanius famulique equos adducerent, in hos intuitus monachus reverti ad se Bardanium iussit, sperantique aliquid se eorum quae cupiebat auditurum, denuo praecepit ne de potiundo imperio quicquam cogitaret: nam sive id ultro sive aliter tentaturus esset, fore ut cum opibus oculos amittat. ceterum ex iis qui equos adduxissent, primum et secundum diademate potituros: tertium quoque imperatorem declaratum iri, sed statim periturum, minime consecutum quod cupiverat. Bardanius hoc responsum Leoni Michaelo et Thomae recitavit, "tu quidem, o Leo" inquiens "imperator, et Thomas imperator designatus, a Michaelo interficiemini, isque imperium tenebit: sic enim mihi monachus vaticinatus est." non multo post tempore aliquot exercitus crebris Nicephori exactionibus coacti ab imperatore desciverunt, Bardaniumque cognomento Turcum imperatorem crearunt. qui tametsi metu periculi sibi denun-

παρῃτεῖτο, μὴ δυνηθεὶς δὲ διαδρᾶναι βιαζόμενος ὑπ' αὐτῶν κατῆλθεν ἐν Χρυσουπόλει εὐφημούμενος. τούτων δὲ γενομένων Λέων καὶ Μιχαὴλ τῷ βασιλεῖ προσερρύησαν, ὧν ὁ μὲν τῆς τῶν φοιδεράτων ὁ δὲ τῆς τοῦ κόμητος κόρτης τὴν ἀρχὴν ἐγχειρίζονται, Θωμᾶς δὲ μέχρι κινδύνων τῷ ἰδίῳ δεσπότῃ ἀφοσιοῖ τὰ τῆς πίστεως. D εἶτα τὸν τοῦ θεοῦ φόβον ἐν καρδίᾳ κεκτημένος ὁ Βαρδάνιος, καὶ δεδιὼς μή πως δι' αὐτὸν ἐμφύλιος γένηται πόλεμος, λάθρᾳ πρὸς τὸν βασιλέα ἐκπέμπει λόγους ἀπαθείας ζητῶν. καὶ λαβὼν ναυσιπόρος διέδρα νυκτός, καὶ ἀπελθὼν ἐν τῷ Καταβολίῳ εἰς τὴν τοῦ Ἡρακλείου μονὴν γέγονε μοναχός. ὁ δὲ μετ' αὐτοῦ λαὸς οἴκαδε ᾤχετο. σχηματισάμενος δ' ὁ βασιλεὺς ἀγαγεῖν τὸν Βαρδάνιον ἐν τῇ πόλει δρόμωνα ἐξαπέστειλε. τοῦ δὲ παραγενομένου ἐν τῇ Πρώτῃ νήσῳ πρὸς τὴν μονὴν ἣν αὐτὸς κατεσκεύασε, προάστειον οὖσαν αὐτοῦ, ἐκτυφλοῦται ὑπὸ Λυκαόνων τινῶν γνώμῃ τοῦ βασιλέως. διὸ ἐπὶ τῇ τοιαύτῃ ὑποκρίσει δῆθεν λυπηθείς, P 477 πάντας μεθ' ὅρκων ἐπληροφόρησεν ἀναίτιον αὐτὸν εἶναι τοῦ τοιούτου δράματος ὁ μηδέποτε εὐορκήσας.

Τῷ β' ἔτει ἔστεψε τὸν υἱὸν αὐτοῦ Σταυράκιον, ἀποίητον ὄντα τῇ τε ἰδέᾳ καὶ γνώμῃ καὶ ῥώμῃ. τούτῳ τῷ ἔτει ἐξῆλθε κατὰ Ἀράβων, καὶ μετ' αἰσχύνης ἡττηθεὶς ὑπέστρεψε, παρὰ μικρὸν συσχεθεὶς καὶ αὐτός, εἰ μή τινες τῶν ἀρχόντων ἀνδρειώτατοι τοῦτον μόλις περιεσώσαντο.

tiati recusaret, compulsus tamen et effugiendi facultate destitutus Chrysopolin venit, ibique salutatus est imperator. his factis, Leo et Michaelus ad Nicephorum se contulerunt: horum alter foederatorum, alter comitis coherti praeficitur. Thomas vero ut fidem domino suo servaret, nullum periculum reformidavit. mox autem Bardanius, ut erat dei metuens, veritus ne civili bello causam praeberet, missis clam ad Nicephorum nuntiis impunitatem postulat, eaque impetrata per noctem navigio profugit, et in monasterium Heraclii, quod est in Catabolio, delatus ibi monachus est factus. populus, qui sub eo fuerat, domum discessit. at imperator missa celoce simulat se Bardanium Cpolin evocare; qui cum venisset in Protam insulam, ad monasterium quod ibi in suburbano construxerat, ex mente voluntateque imperatoris oculi ei a Lycaonibus quibusdam eruuntur. et Nicephorus id factum sibi dolere simulans iuramento omnibus confirmat se in culpa eius non esse, cum ne alias quidem unquam verum iurasset.

Anno 2 Stauracium filium suum coronat, hominem neque forma neque animo neque viribus nobilem. eodem anno in Arabes exercitum duxit; victusque et propemodum ab hostibus captus (quidam enim ducum fortissimi aegre eum eripuerunt) cum dedecore domum rediit.

Τῷ γ' ἔτει εὑρὼν μικρὰν ἄδειαν ἔκτισεν Ἄγκυραν Γαλατίας καὶ τὴν Θήβαν καὶ τὴν Ἀνδρασόν.

B *Τῷ δ' ἔτει Ταράσιος ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως ἀπεβίω ἐνδόξως, καὶ ἐτάφη ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι μοναστηρίῳ ἐν τῷ στενῷ. τῇ δ' τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν καὶ τῇ μεγάλῃ κυριακῇ ἐχειροτονήθη Νικηφόρος ὁ ἁγιώτατος πατριάρχης ἀπὸ ἀσηκρῆτις, ψήφῳ παντὸς λαοῦ καὶ τοῦ βασιλέως καὶ τῶν ἱερέων. Πλάτων δὲ καὶ Θεόδωρος ἡγούμενος τῶν Στουδίου οὐ συνηυδόκησαν τῇ χειροτονίᾳ Νικηφόρου, ἀλλὰ καὶ σχίσμα ἐποίησαν, αἰτίαν δῆθεν εὔλογον ἔχοντες τὸ μὴ δεῖν ἀπὸ λαϊκῶν ἀθρόως εἰς ἐπίσκοπον ἀνατρέχειν· οὓς ὁ βασιλεὺς τῆς πόλεως ἀπελάσαι βουληθεὶς ἀνετράπη παρά τινων. καὶ οὐκ ἦν* C *τὸ πρᾶγμα ξένον οὐδὲ προσφάτως ἐπινοηθέν, ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἀπὸ λαϊκῶν ἐπεσκόπησαν, ἀξίως τῷ θεῷ ἱερατεύσαντες. τούτῳ τῷ ἔτει Ἀαρὼν ὁ τῶν Ἀράβων ἀρχηγὸς ἐπεστράτευσε κατὰ Ῥωμανίας μετὰ χιλιάδων τ', καὶ ἐλθὼν εἰς τὰ Τύανα ᾠκοδόμησεν οἶκον τῆς βλασφημίας αὐτοῦ, καὶ παρέλαβε κάστρα ἄπειρα. ἀπέστειλε δὲ κοῦρσον ξ' χιλιάδας ἕως Ἀγκύρας, καὶ ἀφανίσας πάντα ὑπέστρεψεν. ἐξῆλθε δὲ καὶ ὁ Νικηφόρος ἐν απογνώσει τὰ γενναῖα τῆς ταλαιπωρίας ἐπιδεικνύμενος, καὶ δὴ σκεψάμενος πέμπει πρὸς αὐτὸν εἰρήνην γενέσθαι, δηλώσας οὕτως "ἵνα τί ἐπιχαίρεις ταῖς ἀδικίαις καὶ ταῖς αἱματεχυσίαις, μὴ ἀρκούμενος εἰς τὰ* D *ἴδια, ἀλλὰ παραβαίνεις ὅρκους ἀρχαίους καὶ πατρῴους; ποῖος*

Anno 3, aliquantulum otii nactus, Ancyram Galatiae Thebamque et Andrasum condidit.

Anno 4 Tarasius sanctissimus Cpolis patriarcha honeste vitam clausit, sepultusque est in monasterio quod ipse exstruxerat in Angustiis. quarta die primae septimanae ieiuniorum, et magna dominica, Nicephorus secretarius creatur sanctissimus patriarcha, totius populi, imperatoris et sacerdotum suffragiis. Plato autem et Theodorus Studiani collegii praefectus eam electionem improbaverunt et discessionem fecerunt, probabili usi argumento, non debere scilicet subito aliquem de laïco episcopum fieri. quos imperator urbe eiecisset, nisi consilium eius quidam inflexissent. sane id neque novum neque recens excogitatum fuit factum, cum multi etiam alii de laïcis episcopi creati deo convenienter se in eo munere tractaverint. hoc anno Aaron Arabum dux in Romanam dicionem trecenta milia duxit, cumque Tyana pervenisset, aedem ibi suae impietati posuit. infinita castra cepit; emisitque sexaginta milia, qui incursionibus Ancyram usque vagati sunt, evastatisque in quae incideret omnibus, domum rediit. eduxit suos etiam Nicephorus, desperatis iam rebus suam virtutem ostendens; initoque consilio, ad Arabem pacis impetrandae causa literas scripsit, quarum exemplum sequitur. "quorsum iniustitia et caedibus gaudes, non contentus tuis, finesque veteres et paternos transis? quisnam divinus vates haec te

γάρ σοι προφήτης θεῖος ταῦτα ποιεῖν εἴρηκεν; οὐχὶ Μουχούμετ ὁ
προφήτης σου παρήγγειλεν ὡς ἀδελφὸν ἔχειν Χριστιανὸν πάντα
καὶ λέγειν; μὴ γὰρ ὁ πάντων θεός, ὁ δημιουργὸς καὶ προνοητὴς
ἀμφοτέρων, αἵμασιν ἀνθρώπων ἀδίκως ἐκχυνομένοις χαίρει; μὴ
γένοιτο. ἢ ἀργυρίου καὶ χρυσίου καὶ τῶν λοιπῶν ὑστερούμενος
ἐξῆλθες ἀδικῆσαι τοὺς μηδὲν ἀδικήσαντάς σε; καίτοι γε τὰ κάλ-
λιστα καὶ ἡμῖν δυσπόριστα καὶ ἐπέραστα κατακόρως ἔχεις. εἰ δέ
τινος τῶν ἡμετέρων ἐνδεὴς εἶ, αὐτίκα παρέξομεν φιλοστοργίας
τρόπῳ. μὴ τοίνυν ὡς ἀθάνατοι καὶ ἄθεοι κατ' ἀλλήλων στρα- P 478
τευώμεθα, καὶ τὸν ἐκ δαιμόνων κατ' ἀνθρώπων πόλεμον ἐκ φθό-
νου μιμώμεθα, γινώσκοντες ὅτι μικρὸν ὕστερον τελευτήσομεν καὶ
πρὸς κριτὴν ἀδέκαστον ἀπελευσόμεθα, ὃς ἀποδώσει ἑκάστῳ κατὰ
τὰ ἔργα αὐτοῦ." ταῦτα τοῦ βασιλέως Νικηφόρου ἐπιστείλαντος
μετὰ δώρων τινῶν, ὁ Ἄραψ ἀγαθυνθεὶς καὶ ἀνταποστείλας δῶρα
πλεῖστά τε καὶ θαυμάσια μετ' εἰρήνης ὑπέστρεψε, τὴν Νικηφό-
ρου σύνεσιν ὑπερθαυμάζων. καὶ στοιχήσας κατ' ἔτος τελεῖσθαι
αὐτοῖς νομίσματα χιλιάδας λ', καὶ ἀνὰ τρία νομίσματα αὐτὸν τὸν
βασιλέα καὶ τὸν υἱὸν αὐτοῦ, ἐν τάξει κεφαλητίωνος, καὶ μηδὲ τὰ
παραληφθέντα ὑπ' αὐτοῦ κάστρα κτισθῆναι, ἀπῄει. τούτων δὲ B
ὑποστρεψάντων εὐθέως ὁ βασιλεὺς ἔκτισεν αὐτὰ καὶ κατωχύρω-
σεν. ὅπερ μαθὼν ὁ Ἀαρὼν ἀποστείλας πάλιν εἷλε τὴν Θήβαν,
καὶ πέμψας στόλον εἰς Κύπρον τάς τε ἐκκλησίας κατέστρεψε καὶ
τοὺς Κυπρίους μετέστησε, καὶ πολλὴν ἅλωσιν ποιήσας τὴν εἰρήνην
διέστρεψε.

agere iussit? nonne Muchumetus tuus vates omnem Christianum te pro fratre habere atque agnoscere iubet? an omnium opifex deus, et utrorumque curam gerens, sanguine hominum iniuste fuso delectatur? absit. an ideo exiisti domo, iniuria affectum eos a quibus laesus non es, quia auro argento aliisve rebus indigeas? atqui pretiosissima quaeque et nobis magni aestimata paratuque difficilia abunde possides. quodsi qua re nostra opus habes, statim nos eam tibi amanter praebebimus. non ergo, perinde ac si immortales essemus nullique deo subditi, inter nos depugnemus, malorum daemonum bella adversus homines imitati, cum sciamus paulo post nos morituros, et coram iudice, qui corrumpi se non patitur, comparituros, qui cuivis dignam suorum factorum mercedem reddet." his literis, quibus et dona quaedam erant adiecta, placatus Arabs plurima et mirabilia munera vicissim Nicephoro misit, admiratus eius acumen, et pace facta discessit. pactum autem fuit ut Romani Arabibus quotannis triginta milia nomismatum penderent, et terna ipse imperator eiusque filius nomismata, loco census in capita, neve Romani castra ab Arabibus capta reficerent. enimvero Arabibus digressis statim ea Nicephorus instauravit atque muniit. quo cognito Aaron rursum misso exercitu Thebam cepit, missaque in Cyprum classe templa evertit et Cyprios pepulit, magnaque parta praeda pacem discidit.

Τῷ ς' ἔτει οἱ Ἄραβες μετὰ στόλου τὴν Ῥόδον κατέλαβον, καὶ πολλοὺς αἰχμαλωτίσαντες τὸ φρούριον κρατῆσαι οὐκ ἴσχυσαν. ἐν δὲ τῷ ἐπανέρχεσθαι αὐτοὺς ἐλθόντες εἰς τὰ Μύρα, τὴν ἱερὰν τοῦ ἁγίου Νικολάου λάρνακα πειραθέντες συντρῖψαι, ἄλλην ἀντ'
C ἐκείνης πλησίον κειμένην συνέτριψαν· αὐτίκα τε πολλὴ ἀνέμων θύελλα καὶ θαλαττίων κυμάτων φορὰ βροντῶν τε καὶ ἀστραπῶν ἀνωμαλία τὸν στόλον κατέλαβεν, ὡς ἱκανὰ συντριβῆναι σκάφη, αὐτόν τε τὸν λαὸν ἐπιγνῶναι τὴν τοῦ ἁγίου δύναμιν, καὶ παρ' ἐλπίδα τὴν κάκωσιν ἐκφυγεῖν.

Τῷ ζ' ἔτει Θεόδωρος ὁ ἡγούμενος τῶν Στουδίου καὶ Ἰωσὴφ ὁ αὐτάδελφος αὐτοῦ ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἅμα Πλάτωνι ἐγκλείστῳ καὶ τοῖς λοιποῖς μοναχοῖς, τῆς κοινωνίας Νικηφόρου τοῦ ἁγιωτάτου πατριάρχου ἀπέσχισαν διὰ Ἰωσὴφ τὸν οἰκονόμον ὡς παρανόμως στεφανώσαντα Κωνσταντῖνον καὶ Θεοδότην. ὁ δὲ βασιλεὺς ἀφορμῆς δραξάμενος, ἐπισκόπους πολλοὺς καὶ ἡγουμέ-
D νους ἀθροίσας, σύνοδον κατ' αὐτοῦ κροτηθῆναι ἐκέλευσε, δι' ἧς ἐξεβλήθησαν τῆς μονῆς καὶ τῆς πόλεως, ἐξορίᾳ παραπεμφθέντες. τῷ δ' αὐτῷ ἔτει ῥόγας διδομένης τῷ λαῷ ἐν Στρυμόνι, ἐπιπεσόντες οἱ Βούλγαροι ταύτην ἀφείλοντο, χρυσίου λίτρας χιλίας ἑκατόν, καὶ τὸν στρατηγὸν ἅμα τῷ λαῷ κατέσφαξαν, καὶ λαβόντες τὸ τοῦλδον ὑπέστρεψαν. τῷ αὐτῷ χρόνῳ Κροῦμος ὁ τῶν Βουλγάρων ἀρχηγὸς τὴν Σαρδικὴν παρέλαβε, καὶ χιλιάδας ς' στρατιωτῶν κατέσφαξεν. ὁ δὲ Νικηφόρος δῆθεν κατ' αὐτοῦ ἐξελθὼν

16 κρατηθῆναι P

Anno sexto Arabes cum classe Rhodum appulerunt, multisque captis hominibus castellum occupare nequiverunt. in reditu cum Myra venissent, conati sacram divi Nicolai cistam confringere, aliam prope sitam eius loco comminuerunt. statimque classem magna ventorum procella et maritimorum fluctuum impetus tonitruumque et fulgurum promiscua tempestas invasit, multasque naves contrivit, ita ut sancti viri potentiam multitudo intellexerit et praeter spem exitium evitaverit.

Anno 7 Theodorus Studiani collegii praefectus eiusque frater Iosephus Thessalonicae archiepiscopus, cum Platone incluso et reliquis monachis, se a commercio beati patriarchae Nicephori absciderunt propter Iosephum dispensatorem, quod is contra leges Constantinum et Theodotam coronasset. imperator ea arrepta occasione, multis episcopis et primariis viris convocatis, effecit ut contra illos concilium haberetur; quod eos et monasterio et urbe eiecit atque relegavit. eodem anno cum ad Strymonem stipendia multitudini solverentur, Bulgari subito irruentes ea interceperunt, auri libras 1100, ducemque cum exercitu occiderunt, et rapto tuldo discesserunt. eo ipso tempore Crumus Bulgarorum princeps Sardicam cepit et sex milia militum necavit. Nicephorus autem expeditione contra eum facta magnum et memorabile nihil egit.

ἀξιόλογον μὲν οὐδὲν ἐποίησε, τοῖς δὲ περισωθεῖσιν ἐκ τῆς φυγῆς ἄρχουσιν αἰτοῦσι λόγον σωτηρίας μὴ δοὺς τοῖς ἐχθροῖς προσφυγεῖν ἐβιάσατο, ἐν οἷς ἦν Εὐθύμιος σπαθάριος μηχανικός. στάσεως P 479
δὲ ἐπ' αὐτῷ γινομένης, δώροις τοὺς πλείονας ὑποκλέψας ὕστερον ἐκάκωσε δημεύσεσι καὶ ἐξορίαις καθυποβαλών. σκεψάμενος δὲ ταπεινῶσαι τὰ στρατεύματα, ποῖον δεινὸν κατὰ Χριστιανῶν οὐκ ἐπενόησε; προσέταξε γὰρ τοὺς Χριστιανοὺς ἐκ παντὸς θέματος ἐπὶ τὰς Σθλαβινίας μετοικίζεσθαι, τὰς δὲ τούτων στάσεις πιπράσκεσθαι· καὶ ἦν αἰχμαλωσίας οὐκ ἔλαττον τὸ πρᾶγμα. ἐν ἀμηχανίᾳ τοὺς πάντας γεγονότας, δευτέραν σὺν ταύτῃ κάκωσιν προσέταξε στρατεύεσθαι πτωχούς, καὶ ἐξοπλίζεσθαι αὐτοὺς παρὰ τῶν ὁμοχώρων, παρεχόντων ἀνὰ ιη' νομίσματα καὶ πρὸς τὸ δημόσιον ἀλληλεγγύως τὰ δημόσια αὐτῶν. τρίτη κακόνοια ἐπ- B
οπτεύεσθαι πάντας, καὶ ἀναβιβάζεσθαι τὰ τούτων δημόσια τέλη, παρέχοντας καὶ χαρτιατικοῦ ἕνεκα ἀνὰ κεράτια δύο. τετάρτη πληγή, τοὺς κουφισμοὺς πάντας ἀναβιβάζεσθαι προσέταξε. πέμπτη συμφορά, τοὺς τῶν εὐαγῶν οἴκων παροίκους, τοῦ τε ὀρφανοτροφείου ξενώνων γηρωκομείων ἐκκλησιῶν μοναστηρίων βασιλικῶν, τὰ καπνικὰ ἀπαιτεῖσθαι ἀπὸ τοῦ πρώτου ἔτους τῆς αὐτοῦ τυραννίδος, τὰ δὲ κρείττονα τῶν κτημάτων εἰς τὴν βασιλικὴν κουρατωρείαν αἱρεῖσθαι, τὰ μέντοι τέλη αὐτῶν ἐπιτίθεσθαι τοῖς ἐναπομείνασιν εἰς τοὺς αὐτοὺς εὐαγεῖς οἴκους, ὡς διπλοῦσθαι C
πολλῶν τὰ τέλη, τῶν οἰκήσεων στενουμένων, καὶ τῶν χωρίων καὶ

8 ὑποστάσεις Goarus, *facultates, bona stabilia*

elapsos quidem fuga duces veniam poscentes, ea non dignans, transfugere ad hostes coegit. fuit inter eos Euthymius spatharius mechanicus. orta contra se seditione, plerosque donis delinitos postmodo publicationibus bonorum et exsiliis ultus est. idem ut exercitus deprimeret, quod non mali excogitavit adversus Christianos? primo enim Christianos ex omnibus regionibus in Slaviniam coegit demigrare, et eorum habitationes divendidit; quae res nihil ab hostili captivitate abfuit, omnibus in summas angustias coniectis. secundum maleficium, imperavit ut egeni militarent, iisque a vicinis arma et stipendia in singulos 18 nomismatum darentur, ac census praeterea publicus eorum nomine penderetur. id Allelengyum vocabatur, quod alteri pro alteris tributi nomine sponsores essent. tertio omnium bona inspici indeque censum in publicum exigi iussit, nomine chartiatici praeterea exactis in singulos duobus ceratiis. quarto omnes onerum relaxationes sustulit. quinta calamitas, quod ab omnibus sacris aedibus, paroeciis, pupillis educandis destinata domo, hospitalibus, ad senes fovendos factis aedibus, fumarium tributum exegit ab initio usque sui imperii. meliora de eorum bonis in fiscum suum transferri iubebat: nihilominus tamen tributum de his pendendum iis imponebatur quae reliquerat in iis ipsis sacris domibus, ut multis tributum duplicaretur, interim habitationibus ita exinanitis, ut inde emigrare

ἐξοικεῖν. ἕκτη τυραννὶς σκοπεῖσθαι παρὰ τῶν στρατηγούντων
τοὺς ἀθρόως ἐκ τῆς πτωχείας ἀνακτισθέντας, καὶ ἀπαιτεῖσθαι
χρήματα ὡς εὑρετὰς θησαυρῶν. ἑβδόμη κάκωσις, τοὺς πρὸ κ′
χρόνων εὑρηκότας καὶ μέχρι τῆς δεῦρο πίθον ἢ σκεῦος ὁτιοῦν καὶ
αὐτοὺς ἐξαργυρίζεσθαι. ὀγδόη ἀδικία, τοὺς ἐκ πάππων ἢ προ-
πάππων κληρονομήσαντας διαιρεθέντας ἐκ τῶν αὐτῶν κ′ χρόνων
ἐξαναδιδόναι τῷ δημοσίῳ, καὶ τοὺς ὠνησαμένους ἔξω τῆς Ἀβύ-
δου σώματα οἰκετικὰ ἀνὰ δύο νομίσματα τελέσαι προσέταξε, μά-
D λιστα τοὺς κατὰ τὴν δωδεκάνησον. ἐννάτη παράνοια, τοὺς τὰς
παραθαλασσίους οἰκοῦντας, μάλιστα τῆς μικρᾶς Ἀσίας, ναυκλή-
ρους, μηδέποτε γηπονικῶς ζήσαντας, ἄκοντας ὠνεῖσθαι ἐκ τῶν
καθαρπαγέντων παρ' αὐτοῦ κτημάτων, ὡς ἂν ἐκτιμηθῶσι παρ'
αὐτῶν. δεκάτη ἀθεΐα, τοὺς ἐν Κωνσταντινουπόλει ἐπισήμους
ναυκλήρους συναγαγὼν δέδωκεν ἐπὶ τόκῳ τετρακεράτου τὸ νόμισμα
ἀνὰ χρυσίου λίτρας δώδεκα, τελοῦντας καὶ τὰ συνήθη κομμέρκια.
ταῦτα ἐκ τῶν πολλῶν ὡς ἐν κεφαλαίῳ μικρά μοι ἐστηλογράφηται,
δηλοῦντα τὸ πρὸς πᾶν εἶδος πλεονεξίας αὐτοῦ πολυμήχανον. τὰ
P 480 γὰρ κατὰ τὴν βασιλίδα τοῖς ἐν τέλει καὶ μέσοις καὶ εὐτελέσιν ἐν-
δειχθέντα δεινὰ παρ' αὐτοῦ πέρα συγγραφῶν ὄντα παρελίπομεν,
ὅπως τοὺς πονηροὺς τῶν οἰκετῶν καθυπέβαλε συκοφαντεῖν τοὺς
ἑαυτῶν δεσπότας, ὅσοι δηλαδὴ ἐν εὐπορίᾳ ἔτυχον, τοὺς μὲν δια-
βάλλοντας τιμῆς ἀξιῶν, τοὺς δὲ διαβαλλομένους ἐξαργυρίζων.

cogerentur. sextum tyrannicum institutum, quod a praetoribus inspici res eorum iussit qui ex pauperie subito ad opes pervenissent, ab iisque, veluti qui thesauros invenissent, pecuniam postulari. septimum, quod emunxit etiam hos pecunia qui a viginti retro annis ad praesens usque tempus dolium aut vas aliquod aliquando reperissent. octavum, qui ab avis vel proavis hereditatem percepissent, etsi ea divisa iam inde a 20 annis esset, eos pensionem in publicum conferre coegit. utque ii qui extra Abydum mancipia emebant, de singulis duo nomismata solverent, maxime Dodecanesum (ita duodecim insularum civitas vocatur) incolentes. nonum, naucleros maritima, praesertim minoris Asiae, inhabitantes et nunquam agriculturam expertos invitos coegit emere praedia quae aliis ipse eripuerat, indeque tributum solvere. decimum, illustres Cpoli naucleros in unum conduxit, iisque duodecim cuique libras auri tradidit ea lege, ut in singula nomismata usurae nomine quattuor ceratia solverent, cum nihilominus reliqua etiam vectigalia navigiorum ab iis penderentur. haec ex multis pauca compendio annotavi, ex quibus eius ad omne lucri genus commentorum multiplex varietas cognosci possit. omisimus enim quas in regia urbe summi medii et infimi loci atque condicionis hominibus intulit iniurias, plures quam ut perscribi possint. cuius generis sunt, quod divitum servos subornavit, qui falso suos dominos crimine accusarent, delatoribusque honorem habuit, calumnia circumventos argento multans. quin et eo rapinarum processit ut quem

ὥστε καί τινα κηρουλάριον ὄντα ἐν τῷ φόρῳ, ἀνενδεῆ τυγχάνοντα ἐκ πόνων ἰδίων, μεταστειλάμενος ὁ παμφάγος φησί "θὲς τὴν χεῖρά σου ἐπὶ τὴν κεφαλήν μου, καὶ ὄμοσον πόσος χρυσός σοι ἐστίν." ὁ δὲ λίτρας ἑκατὸν ἔξειπεν ἔχειν. ὁ δὲ ἀγαγεῖν ταύτας κατ' αὐτὴν τὴν ὥραν ἔφη. ὧν ἐνεχθέντων φησὶν ὁ ἐσκοτισμένος B "σὺ τί χρείαν ἔχεις περισπασμοῦ; συναρίστησόν μοι, καὶ ἄρας νομίσματα ἑκατὸν πορεύου, ἀρκούμενος αὐτοῖς."

Τῷ θ' ἔτει τὰς κατὰ Χριστιανῶν ἐπινοίας ἐπέτεινεν, ἐποψίας ἀθέους, ἐπαγορασμοὺς παντοίων ἀλόγων βοσκημάτων τε καὶ καρπῶν, ἀδίκους δημεύσεις καὶ ζημίας τῶν ἐν τέλει, τοκισμοὺς ἐν πλοίοις ὁ πᾶσι νομοθετῶν τὸ μὴ τοκίζειν, καὶ ἄλλας μυρίας κακῶν ἐπινοίας, ὧν ἡ κατὰ μέρος ἱστορία φορτικὴ τοῖς ἐπιτετμημένως ζητοῦσι μανθάνειν τὰ πράγματα πέφυκε. τῶν δὲ Μανιχαίων, τῶν νῦν Παυλικιανῶν καὶ Ἀθιγγάνων, τῶν κατὰ Φρυγίαν καὶ Λυκαονίαν ἐγγειτόνων αὐτῷ (ἐκεῖθεν γὰρ ἐγεγόνει) C φίλος ἦν διάπυρος, χρησμοῖς καὶ τελεταῖς αὐτῶν ἐπιχαίρων. οὗτοι χώραν ἔλαβον ἐπὶ τῆς βασιλείας αὐτοῦ ἀφόβως πολιτεύεσθαι, καὶ πολλοὶ τῶν κουφοτέρων ταῖς ἀθεμίτοις αὐτῶν διεφθάρησαν δόξαις. ἐν δὲ τῷ ἔξω κιονίῳ ψευδερημίτης ἦν Νικόλαος τοὔνομα, ὃς σὺν τοῖς σὺν αὐτῷ κατὰ τοῦ ὀρθοῦ λόγου καὶ τῶν σεπτῶν εἰκόνων ἐβλασφήμουν. ὧν ἀντιποιούμενος ὁ βασιλεὺς ἐλύπει τὸν ἀρχιερέα καὶ πάντας τοὺς κατὰ θεὸν ζῶντας. πολλάκις γὰρ καὶ

dam mellis ceraeque institorem in foro degentem, qui suo labore sufficientes sibi opes paraverat, ad se vocatum iusserit manum capiti imperatoris subiicere, itaque iuratum edicere quantum possideret auri. cumque is centum auri libras sibi esse fateretur, statim ut eas afferret mandavit. quo facto "quorsum" inquit "tibi solicitudine ista opus est? prande mecum, centumque nomismatibus tecum domum ablatis contentus esto."

Anno 9 suis contra Christianos commentis magis magisque incubuit, impias opum inspectiones exercens, coemptiones iniustas omnium animalium brutorum et pecoris, publicationes bonorum et multas procerum, usuras de navigiis captatas, cum interim re foenebri aliis omnibus interdixisset, aliaque infinita mala excogitans, quae cupientibus res gestas compendio cognoscere molestus sit futurus, si quis velit singulatim recensere. fuit etiam summo studio deditus Manichaeis iis qui nunc Pauliciani et Athingani dicuntur, per Phrygiam et Lycaoniam degentibus et sibi vicinis (inde enim ortus erat), oraculis eorum et sacrificiis gaudens. ii ergo ipso imperante licentiam nacti suo more vivendi multos futilis ingenii homines nefariis suis opinionibus infecerunt. fuit tum in exteriori columella Nicolaus quidam falso eremitae (ita vocantur qui in solitudinibus religionis causa abditi vivunt) nomine praeditus, qui cum suis sociis verae religioni et venerandis imaginibus impie obloquebatur. eos imperator amplectens patriarcham aliosque pios urebat. itaque in

αὐτοῦ ἐγκαλῶν ἠγανακτήθη, τοῖς πρὸς ἀλλήλους ἐχθραίνουσι
D σφόδρα συγχαίρων, καὶ ἐπιτωθάζων παντὶ Χριστιανῷ φιλοῦντι
τὸν πλησίον ὡς ἀνατροπεὺς τῶν θείων ἐντολῶν. τοὺς στρατιωτι-
κοὺς ἄρχοντας δουλικῶς χρᾶσθαι τοῖς ἐπισκόποις καὶ κληρικοῖς
ἐκέλευε, καταγομένους αὐθεντικῶς ἐν τοῖς ἐπισκοπείοις καὶ μονα-
στηρίοις, καὶ καταχρᾶσθαι τὰ αὐτῶν. τοὺς ἀπ' αἰῶνος ἀναθε-
μένους τῷ θεῷ χρυσᾶ ἢ ἀργυρᾶ σκεύη ἔψεγε, καὶ τὰ τῶν ἐκκλη-
σιῶν ἱερὰ κοινοῦσθαι ἄξιον ἐδογμάτιζε. τοὺς πρὸ αὐτοῦ βασιλεῖς
ἅπαντας ὡς ἀκυβερνήτας ἐμέμφετο, καθόλου τὴν πρόνοιαν ἀναι-
ρῶν, καὶ μηδένα λέγων γίνεσθαι τοῦ κρατοῦντος δυνατώτερον,
P 481 εἰ βούλοιτο ὁ κρατῶν ἐντρεχῶς ἄρχειν. καὶ ἐματαιώθη ἐν τοῖς
διαλογισμοῖς αὐτοῦ ὁ ἀνόητος καὶ θεομισής. τῷ γὰρ πρώτῳ
σαββάτῳ τῶν νηστειῶν τῆς δ' ἰνδικτιῶνος ὑπαντήσαντες Σαρακη-
νοὶ εἰς τὰ Εὐχάϊτα Λέοντα στρατηγὸν τῶν Ἀρμενιακῶν σὺν τῇ
ῥόγᾳ τοῦ θέματος, ταύτην ἀφείλοντο σὺν πολλῷ πλήθει λαοῦ,
κεντηνάρια ιγ' οὖσαν. ἐπὶ τούτοις οὖν ὁ νέος Ἀχαὰβ μὴ παιδευ-
θείς, ὁ Φαλάριδος καὶ Μίδου ἀπληστότερος, κατὰ Βουλγάρων
παρατάττεται ἅμα Σταυρακίῳ τῷ υἱῷ αὐτοῦ. καὶ ἐξελθὼν τῆς
βασιλίδος ἐκέλευσε Νικήταν πατρίκιον καὶ γενικὸν λογοθέτην τὰ
δημόσια τέλη τῶν ἐκκλησιῶν καὶ μοναστηρίων ἀναβιβάσαι, καὶ
B ὀκτὼ ἐτῶν ὀπισθοτέλειαν τοὺς τῶν ἀρχόντων ἀπαιτηθῆναι οἴκους.
καὶ ἦν θρῆνος μέγας ἐν τῇ πόλει. ἐπὶ τούτοις ἐγκαλούμενος ὑπὸ

11 εὐτρεχῶς P

eum saepe indignabundus patriarcha invehebatur. at Nicephorus magnum ex mutuis odiis percipiebat gaudium; utque erat divinorum eversor mandatorum, ludibrio habebat omnes proximum suum diligentes Christianos. duces quoque exercituum iussit episcopis et clericis mancipiorum loco uti, pro sua auctoritate in aedibus episcopalibus et monasteriis divertere, eorumque rebus pro arbitrio abuti. vituperabat eos qui ab omni aetate deo aurea vel argentea vasa consecrassent, et res templorum sacras in profanos debere usus converti statuebat. omnes ante ipsum imperatores ut gubernandi nescios culpabat, providentiam in universum tollens, affirmansque neminem imperatore potentiorem esse, modo callide is imperaret. sed stolidus ac deo invisus homo vanis suis cogitationibus deceptus est. primo ieiuniorum sabbato, quartae indictionis, Sarraceni ad Kuchaïta pervenerunt; adortique Leonem Armeniacorum ducem, qui tum militibus erat stipendia persoluturus, omnem pecuniam, centenaria nimirum 13, eripuerunt, haud exigua militum multitudine capta. his novus ille Achaabus nihil emendatus, Phalaridem et Midam inexpleta superans avaritia, cum Stauracio filio in Bulgaros se armat. cumque urbe egrederetur, Nicetam patricium ac generalem logothetam iussit publicos census ecclesiarum et monasteriorum afferre, et in octo sequentes annos pensionem a procerum domibus exigi. ea res magnas per urbem eiulationes excitavit. hoc nomine reprehensus a

Θεοδοσίου πατρικίου τοῦ Σαλιβαρᾶ, τοῦ γνησίου αὐτοῦ θεράποντος, ὅτι πάντες καταβοῶσιν ἡμῶν, δέσποτα, καὶ ἐν καιρῷ πειρασμοῦ πάντες ἐπιχαρήσονται τῇ πτώσει ἡμῶν, ἔφη πρὸς αὐτὸν "εἰ ὁ θεὸς σκληρύνων ἐσκλήρυνε τὴν καρδίαν μου ὡς τοῦ Φαραώ, τί ἀγαθὸν ἔσται τοῖς ὑπὸ χεῖρά μου; παρὰ Νικηφόρου, Θεοδόσιε, μὴ ἐκδέχου πλὴν τῶν ὁρωμένων σοι." ἐπισυνάξας δὲ τὰ στρατόπεδα ἀνατολῆς καὶ δύσεως, καὶ πολλοὺς πένητας ἰδίοις ὀψωνίοις, σφενδόναις καὶ ῥάβδοις ὡπλισμένους, βλασφημοῦντας ἅμα C τοῖς στρατεύμασιν, ἤλασε κατὰ Βουλγαρίας. Κροῦμος δὲ τὰ πλήθη φοβηθείς, ὄντων αὐτῶν ἐν Μαρκέλλῃ, ᾐτεῖτο εἰρήνην. ὁ δὲ ταῖς οἰκείαις κακοβουλίαις καὶ ταῖς τῶν ὁμοφρόνων αὐτοῦ συμβούλων διεκωλύθη. εἰσέρχεται δὲ εἰς Βουλγαρίαν τῇ κʹ τοῦ Ἰουλίου μηνός. κυνὸς ἦν ἐπιτολὴ πανωλέθριος. καὶ προλέγων τὴν αὐτοῦ πανωλεθρίαν συχνῶς ἐπεφθέγγετο "τίς πορεύεται καὶ ἀπατήσει τὸν Ἀχαάβ; ὅτι κἂν ὁ θεὸς κἂν ὁ ἀντικείμενος, ἕλκει με ἄκοντα." μετὰ γοῦν τὰς πρώτας συμβολὰς δόξας κατευοδοῦσθαι οὐ τῷ θεῷ τὰ τῆς νίκης ἀλλὰ τῇ τοῦ Σταυρακίου εὐτυχίᾳ ἐκήρυττε. καὶ τοῖς κωλύουσι τὴν εἴσοδον ἄρχουσιν ἠπείλει. πᾶσαν D δὲ ἡλικίαν, ἕως καὶ βρεφῶν αὐτῶν, ἀνηλεῶς φονεύεσθαι προσέταξε. καὶ τὰ τῶν ὁμοφύλων νεκρὰ σώματα ἄταφα εἴα, μόνης ἐπιμελούμενος τῆς τῶν σκύλων συλλογῆς. κλεῖθρα δὲ καὶ σφραγῖδας τοῖς ταμείοις Κρούμου ἐπιθεὶς ὡς ἴδια λοιπὸν ἠσφαλίσατο. ὦτα γοῦν καὶ ἕτερα μέλη Χριστιανῶν ἀπέτεμεν ἁψαμένων τῶν

Theodosio patricio Salibara, fideli suo administro, monente omnium voces audiri de ipso conquerentium, ac fore ut ex rebus ipsius aliquando tristibus gaudium caperent, "si" inquit "deus meum cor Pharaonis in morem prorsus obduravit, quid boni erit subditis meis? noli, Theodosi, alia a Nicephoro exspectare quam quae vides." igitur collectis Orientis et Occidentis exercitibus, multisque pauperibus eo adactis ut propriis stipendiis militarent, fundis ac baculis armati, his et legionibus ipsum devoventibus in Bulgariam contendit. cum adhuc Marcellae essent, Crumus a tanta sibi metuens multitudine pacem petiit: sed imperatore suis et secum sentientium pravis consiliis utente repulsam passus est. pervenit ergo in Bulgariam Nicephorus 20 die Iulii mensis, sub ortum caniculae perniciosissimum. sed et ipse suum et suorum exitium praedicens identidem haec loquebatur "quis ibit et decipiet Achaabum? sive me deus, sive Satanas trahit, invitus trahor." primis congressibus victoria potitus non deo illam sed Stauracii felicitati acceptam tulit, minatusque est proceribus, qui penetrare Bulgariam vetabant. mandavit autem ut omnis aetatis homines ipsique etiam infantes trucidarentur; corporaque Bulgarorum inhumata relinquens solis spoliis legendis intentus fuit. Crumi conclavia ut iam sua claustris et sigillis muniit, et Christianis manubias contrectare ausis aures aliaque membra abscidit;

σκύλων· καὶ τὴν λεγομένην αὐλὴν τοῦ Κρούμου ἐνέπρησεν, ἐκείνου σφόδρα τεταπεινωμένως δηλοῦντος ὅτι ἰδοὺ νενίκηκας· λάβε εἴ τί σοι ἀρεστόν ἐστι, καὶ ἔξελθε ἐν εἰρήνῃ. ὁ δὲ τῆς εἰρήνης ἐχθρὸς
P 482 ταύτην οὐ προσίετο. ἐφ' οἷς χαλεπήνας ὁ Κροῦμος τὰς τῆς χώρας εἰσόδους καὶ ἐξόδους περιέφραξεν ὀχυρώμασι ξυλίνοις. ὁ δὲ Νικηφόρος τοῦτο γνοὺς τοῖς συνοῦσι τὰ τῆς ἀπωλείας προέλεγεν, ὅτι κἂν πτερωτοὶ γενώμεθα, οὐδεὶς ἐκφύγῃ τὸν ὄλεθρον. καὶ μεθ' ἡμέρας δύο συναθροίσας λαὸν ὁ βάρβαρος ἐπῆλθε κατὰ τῆς τοῦ Νικηφόρου σκηνῆς. καὶ τοῦτον ἀναιροῦσιν οἰκτρῶς καὶ πάντας τοὺς σὺν αὐτῷ ἄρχοντας καὶ τοῦ λαοῦ πλήθη ἄπειρα, καὶ πᾶσαν τὴν ἀποσκευὴν ἀνελάβοντο. τὴν δὲ κεφαλὴν τοῦ Νικηφόρου ὁ Κροῦμος ἐκκόψας ἐπὶ ξύλου ἀνήρτησεν εἰς ἐπίδειξιν πάντων, εἶθ' οὕτως γυμνώσας τὸ ὀστοῦν καὶ περιαργυρώσας πέριξ πίνειν εἰς αὐτὸ τοὺς Βουλγάρων ἄρχοντας ἐκέλευσεν, ἐγκαυχώμενος
B κατ' αὐτοῦ ὡς ἀπλήστου καὶ τὴν εἰρήνην μὴ θελήσαντος. τούτου τοῦ Νικηφόρου τῆς ἀρχῆς Χριστιανοὶ βαρύτερον οὐδενὶ χρόνῳ ἠτύχησαν· πάντας γὰρ τοὺς πρὸ αὐτοῦ ὠμοτάτους βασιλεῖς τῇ ἀπανθρωπίᾳ ὑπερηκόντισεν οὗτος, οὗπερ εἰ κατὰ μέρος τις βουληθῇ διεξιέναι τὰ πονηρὰ ἐπιτηδεύματα, ὁ χρόνος ἐπιλείψει καὶ ἡ χεὶρ ἀτονήσει. πλὴν ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα πρόδηλον.

Τιτρώσκεται δὲ καὶ Σταυράκιος ὁ υἱὸς αὐτοῦ καιρίως κατὰ τοῦ σπονδύλου. καὶ μόλις τῆς μάχης ἐξῆλθε ζῶν, καὶ καταλαβὼν τὴν Ἀδριανούπολιν ἀναγορεύεται. καὶ μὴ δυνάμενος ἐποχεῖσθαι φορείῳ τὴν πόλιν κατέλαβεν. ὡς διὰ τὴν πληγὴν ἐν τῷ πα-

aulam quoque Crumi incendit. interim Crumus submisse admodum victum se esse fatebatur, rogabatque ut acceptis quae vellet, pacatus Bulgaria excederet. sed Nicephorus pacem, cuius erat impatiens, non dedit. itaque Crumus irritatus aditus exitusque suae dicionis ligneis munitionibus occlusit. et Nicephorus cladem praesagiens suis dixit "nemo nostrum perniciem evitabit, ne si volucres quidem fiamus." biduo post barbarus populo collecto tentorium Nicephori aggressus est. ibi Nicephorus miserabiliter obtruncatus est, omnesque cum eo duces et infinita militum multitudo, omnibusque impedimentis potiti sunt Bulgari. caput Nicephori praecisum Crumus conto praefixit omnibusque demonstravit. deinde os cranii nudatum argento inclusit, iussitque principes Bulgarorum ex eo bibere, atque insultare Nicephoro ut inexsatiabili et pacem detrectanti. nullum tempus Christianis calamitosius hoc Nicephori imperio fuit: adeo crudelissimos quoque suos antecessores inhumanitate superavit. cuius si quis maleficia singulatim perscribere velit, neque tempus sufficiet et manus fatigabitur. sed ex ipsa ora satis potest de texto iudicari.

Gravissimum etiam vulnus accepit Stauracius in vertebram, aegreque ex pugna vivus evasit. et cum Adrianopolin pervenisset, imperator etiam dictus. et quia equo vehi non poterat, lectica est in urbem de-

λατίῳ κείμενος ἀπρόϊτος ἦν, ἐβούλετο δὲ τὸν κουροπαλάτην Μι- C
χαὴλ τὸν γαμβρὸν αὐτοῦ ἐκτυφλῶσαι, τῇ δὲ γαμετῇ Θεοφανοῖ τὴν βασιλείαν καταλιπεῖν. γνοὺς δὲ τοῦτο ὁ Μιχαὴλ ἐξαίφνης ἀναγορεύεται βασιλεὺς ἐν τῷ ἱπποδρομίῳ παρὰ τῆς συγκλήτου καὶ τῶν ταγμάτων ὡς ἤδη ἀπεγνωσμένου τοῦ Σταυρακίου. ὅπερ μαθὼν Σταυράκιος τοῦ παλατίου ἐξελθών, τὸ μοναδικὸν αὐτίκα σὺν τῇ γυναικὶ αὐτοῦ Θεοφανοῖ περιθέμενος, εἰς τὰ Βρακᾶ μοναστήριον ἐτελεύτησε, καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Σατύρου. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ὁ ἁγιώτατος Νικηφόρος.

Μιχαὴλ δὲ ὁ κουροπαλάτης καὶ γαμβρὸς τοῦ βασιλέως Νικηφόρου, ᾧ Ῥαγκαβὲ ἦν ἡ προσηγορία, ἐγκρατὴς τῶν Ῥωμαϊκῶν D
διὰ τοῦ δήμου καὶ τῆς συγκλήτου ἀναδείκνυται σκήπτρων, ἀπωθούμενος μὲν τὴν ἀρχὴν καὶ μὴ ἱκανὸς εἶναι λέγων ὄγκον τοσούτων πραγμάτων προσαναζώσασθαι· τῷ πατρικίῳ δὲ Λέοντι τῷ ἐξ Ἀρμενίων, ἀνδρὶ θυμοειδεῖ δοκοῦντι καὶ δραστηρίῳ καὶ τοῦ στρατεύματος τῶν ἀνατολικῶν ἄρχοντι τηνικαῦτα, παρεχώρει τῆς ἐξουσίας, κἂν ἐκεῖνος διδομένην λαβεῖν οὐκ ἠθέλησεν, ἀνάξιον ἑαυτὸν ἀποκαλῶν τοῦ βασιλικοῦ θρόνου. προυτρέπετο δὲ μᾶλλον τὸν Μιχαὴλ ὡς αὐτῷ πρέπον ἀναδέξασθαι τὸ κράτος, καὶ αὐτὸς ὑπισχνεῖτο οἰκέτης ἔσεσθαι διὰ βίου καὶ λειτουργὸς πιστότατός τε καὶ δραστικώτατος, καὶ ὅρκοις φρικωδεστάτοις ἐνεπέδου τὰς ὑποσχέσεις. οὕτω δὲ τοῦ Μιχαὴλ καὶ παρὰ τὸν οἰκεῖον σκοπὸν τὰς ἡνίας P 483
ἀναδεξαμένου τῆς βασιλείας, Κρούμου τε τοῦ Βουλγάρων ἄρχον-

1 τὸν om P 7 τὸ?

latus; atque ob vulnus in publicum prodire non valens in palatio decubuit. statuerat Michaelum curopalatam, sororis suae maritum, oculis privare, imperiumque uxori suae Theophanoni relinquere. sed Michaelus cognito consilio effecit ut ipse statim in Circo a senatu et exercitibus imperator declararetur, nimirum spe omni iam de Stauracio abiecta. hoc ut rescivit Stauracius, palatio egressus se et uxorem monastico habitu induit, inque monasterio Braca diem obiit, estque in Satyri monasterio sepultus. patriarcha tum fuit sanctissimus Nicephorus.

Michaelus curopalates, cognomento Rancabes, gener Nicephori imperatoris, a senatu populoque delatum sibi imperium principio recusavit, imparem se tantae rerum moli tractandae causans, idque Leoni patricio, natione Armenio, orientalium copiarum duci concedens, qui animosus vir strenuusque habebatur. sed Leo renuit, quod indignum se imperatorio solio diceret, idque ad Michaelum pertinere. quem cohortatus est ad suscipiendam rerum gubernationem, promittens, ac promissa gravissimis iuramentis sanciens, famulum se ipsius per omnem vitam fidelissimumque et alacerrimum administrum fore. ita Michaelus contra animi sui propositum imperii habenas tractandas suscepit. at Crumus Bulgarorum princeps successibus elatus, cum videret suis quoque ani-

τους ταῖς ἔμπροσθεν εὐτυχίαις ἐπαρθέντος, καὶ τῶν Βουλγάρων φρονηματισθέντων ταῖς νίκαις, τὰ τῆς δύσεως ἐπυρπόλουν τε καὶ ἐληΐζοντο. ἔδοξεν οὖν τῷ βασιλεῖ Μιχαὴλ ἐκστρατεῦσαι κατ' αὐτῶν καὶ καθ' ὅσον οἷόν τε ἐπισχεῖν καὶ ἀναχαιτίσαι τὰς Βουλγαρικὰς προνομάς. ταχύ τε οὖν διατάγματα ἐπέμποντο πανταχοῦ καὶ ταχὺ τὰ στρατεύματα συνηθροίζοντο. καὶ ὁ Κροῦμος δὲ τὴν τοῦ βασιλέως πυθόμενος κίνησιν, τὸν ἑαυτοῦ λαὸν ἐκ τῆς προνομῆς B ἀνακαλεσάμενος καὶ ὑφ' ἓν συναθροίσας, στρατόπεδόν τε καρτερὸν μάλα ἐπήξατο καὶ ἐπιόντα προσέμενε τὸν βασιλέα. ὡς δὲ καὶ οὗτος ἀφίκετο καὶ παρεστρατοπέδευσε τῷ Κρούμῳ ἀγχοῦ που τῆς Ἀδριανουπόλεως αὐλιζομένῳ, ἀκροβολισμοὶ μὲν ἐγίνοντο συνεχεῖς καὶ ὅσον ἐν ἐκηβολίαις μάχη, καὶ ἐν πάσαις αὐταῖς ἐπικρατέστερα τὰ Ῥωμαίων ἐφαίνετο, ὡς καὶ φυσηθέντας διὰ τοῦτο τοὺς στρατιώτας ὁρμᾶν καὶ σφαδάζειν πρὸς ἀγχέμαχον καὶ καθολικὴν συμπλοκήν. ἐπέχοντος δὲ τοῦ βασιλέως καὶ διατρίβοντος, εἴτε διὰ δειλίαν, ὥσπερ ἐλέγετο, εἴτε καὶ καιρὸν ζητοῦντος τὸν ἐπιτήδειον, εἰς ἀναισχυντίαν τὸ πλῆθος ἐτράπη, καὶ κατεβόων C εἰς πρόσωπον τοῦ βασιλέως, καὶ εἰ μὴ ἐξάξει, ἠπείλουν αὐτοί τε διαρρῆξαι τὸν χάρακα καὶ συρράξαι τοῖς ἐναντίοις. τούτοις κατακλασθεὶς τοῖς λόγοις ὁ βασιλεὺς ἀνοίγνυσί τε τὰς πύλας τοῦ στρατοπέδου καὶ πρὸς παράταξιν ἵστατο. τὸ δ' αὐτὸ τοῦτο καὶ ὁ Κροῦμος εἰργάσατο, καὶ τὸν ἑαυτοῦ συντάξας λαὸν ἀντίρροπος ἔστη τῷ βασιλεῖ. πολλὰ δ' οὗτός τε κἀκεῖνος τὸν ἑαυτοῦ ἕκαστος παρακαλέσας λαόν, καὶ λόγους ἐπαγωγοὺς καὶ παραινέσεις εἰπόν-

10 ἐφίκετο P cum Coisliniano (C) 11 ἐγένοντο P: corr C 14 πρὸς C, ὡς P 17 ante ἐτράπη lacuna in C 24 παρακαλεύσαντες στρατὸν C

mos recenti victoria auctos, incendiis et populationibus Occidentem vastabat. huic bello occurrendum reprimendasque eius quantum fieri posset incursiones Michaelus iudicans, celeriter dimissis in omnes partes edictis exercitus colligit. sed et Crumus de imperatoris expeditione certior factus suos ex praedationibus revocatos in unum conducit, castrisque egregie munitis adventum eius praestolatur. ut venit imperator, castraque Crumi castris opposuit haud procul Adrianopoli, levibus praeliis subinde certatum est eminusque telis pugnatum. quibus cum semper superior esset res Romana, inflati milites iustum praelium ardenter appetere atque postulare coeperunt. cumque imperator sive metu, ut ferebatur, sive occasionem captans idoneam inhiberet moramque iniiceret, ad impudentiam prolapsi, in faciem imperatorem importunis clamoribus obiurgarunt, nisi educeret, castra se rupturos inque hostem impetum facturos minantes. iis minus fractus imperator, portis castrorum apertis, suos in aciem educit ordinesque instruit. idem et Crumus facit. cum uterque multis suos ad fortitudinem esset exhortatus, tandem clas-

τες παρακαλέσαι δυναμένας πρὸς ἀλκήν, τέλος τὸ πολεμικὸν ταῖς
σάλπιγξι σημηνάμενοι ἀλλήλοις προσέρρηξαν. εὐρώστως δὲ τῶν
Ῥωμαίων ὑποστάντων τοὺς πολεμίους, ἡρωϊκῶς τε καὶ ἀνδρείως
ἀγωνιζομένων, ἐδαπανᾶτο τὰ τῶν Βουλγάρων, καὶ εἰς παντελῆ D
ἂν ἀπεῖδεν ὑπαγωγὴν (ἤδη γὰρ καὶ αὐτὸς ὁ Κροῦμος ἀπέκαμεν
ἁπανταχοῦ ἐξιππαζόμενος καὶ τὰ πονοῦντα τῶν στρατευμάτων
ἀναλαμβάνων), εἰ μὴ Λέων ὁ τῶν ἀνατολικῶν στρατηγὸς τῆς βα-
σιλείας ἐρῶν καὶ τὰ ὑπ' αὐτὸν διαφθείρας τάγματα, σὺν αὐτοῖς
τὴν τάξιν ἀπολιπὼν ᾤχετο φεύγων αἰτίας χωρίς. τοῦτο δὲ καὶ ὁ
λοιπὸς στρατὸς κατιδὼν ἐξεπλάγη καὶ τὸν τόνον τῆς ἀνδρίας ἐχαύ-
νωσε. καὶ οἱ Βούλγαροι ὅσον οὐδέπω φυγεῖν ἐπίδοξοι ὄντες, ἀνα-
θαρρήσαντες ἐπῆλθον μετ' ἀλαλαγμοῦ τοῖς Ῥωμαίοις καὶ παλίν-
τροπον τὴν νίκην εἰργάσαντο. τῷ συμβάντι γὰρ οἱ Ῥωμαῖοι κατα-
βληθέντες τὰς ψυχὰς τὴν τῶν Βουλγάρων οὐκ ἐδέξαντο προσβο-
λήν, ἀλλ' εὐθὺς πρὸς φυγὴν ἐτράπησαν. ἀπώλοντο μὲν οὖν καὶ
τῶν στρατιωτῶν πολλοί, πίπτουσι δὲ καὶ τῶν στρατηγῶν οὐκ ὀλί-
γοι, ἐν οἷς καὶ Μιχαὴλ μάγιστρος ὁ Λαχανοδράσιος. ὁ δὲ βα- P 484
σιλεὺς μόλις μετά τινος μέρους ἀθραύστου εἰς Ἀρκαδιούπολιν
ἀνασώζεται, ἐκεῖθέν τε τὴν βασιλίδα καταλαμβάνει, τὸν εἰρημέ-
νον Λέοντα μετὰ τῶν ἀμφ' αὐτὸν ἐν Θρᾴκῃ καταλιπών, ὥστε
προσμένειν καὶ τὰς λεηλασίας τῶν Βουλγάρων καὶ τὰς ἐκδρομὰς
ἀνακόπτειν.

Ὁ δὲ καθ' ἑαυτὸν ἄρτι γενόμενος, ἣν ὤδινεν ἐν τῷ κρυπτῷ,
εἰς φῶς ἐξάγει ἀποστασίαν. κοινωσάμενος γὰρ τοῖς αὐτοῦ θιασώ-

3 ἀνδρικῶς C 4 καὶ κἂν εἰς C 5 ἀπαγωγὴν P 9 δὲ add C 10 ἰδὼν κατεπλάγη C 17 ἐν οἷς — Λαχανοδράσιος add C 19 ἀνασωρεύεται P

sicum canit, et infestae acies concurrunt. iamque Bulgarica res atterebatur et ad fugam protinus spectabat, quod et Romani fortiter hostes subsistebant atque heroïca virtute pugnam obibant, et ipse iam Crumus undique circumequitando et ordines laborantes reficiendo defatigatus erat, cum Leo dux Orientalium, imperii cupidus, suos dictis corruptos ab acie reliqua avellit, nullaque urgente necessitate fugam facit. hoc visum reliquorum animos perculit vigoremque fortitudinis retudit. et Bulgari, qui iamiam in fugam se coniecturi videbantur, animis receptis ac clamore et strepitu sublato in Romanos irruerunt. ita victoria in alteram transiit partem. nam Romani suorum discessione animos deiecti, impetum Bulgarorum non sustinuerunt, sed statim terga dederunt. multi ibi milites et non pauci ductores ceciderunt. imperator aegre cum parte exercitus integra Adrianopolin pervenit, atque inde Cpolin rediit, Leonem cum suis in Thracia relinquens, ut praesidio regioni esset incursionesque barbarorum reprimeret.

At Leo digresso imperatore, quam diu occulte parturiverat defectionem, in lucem edidit. re enim cum suis satellitibus communicata,

ταις, καὶ καιρὸν ἐπιτήδειον εἶναι φήσας εἰς τὸ πληρῶσαι τὸ σπουδαζόμενον, καὶ δι' αὐτῶν λόγους ὑποσπείρας ἅπαντι τῷ στρατῷ ὡς τῇ ἀφελείᾳ τοῦ βασιλέως καὶ τῇ πρὸς τὰς στρατηγικὰς μελέτας
B ἀνασχησίᾳ τά τε Ῥωμαϊκὰ ἠφανίσθη πλήθη καὶ ἡ παλαιὰ δόξα καὶ εὔκλεια ᾤχετο τῶν Ῥωμαίων, καὶ οὕτω διαφθείρας τοὺς στρατιώτας ἄρτι σποράδας ἐκ τῆς τροπῆς ἐπανερχομένους πεζοὺς καὶ γυμνοὺς καὶ μιγνυμένους τῷ σὺν αὐτῷ στρατεύματι, πείθει πρὸς ἀνταρσίαν ἰδεῖν. ἐκ μιᾶς γὰρ ὁρμῆς τὴν σκηνὴν τούτου περιστοιχήσαντες λόγους μὲν ἀπρεπεῖς καὶ ἀναισχύντους ἀπερρίπτουν εἰς βασιλέα, δειλὸν αὐτὸν ἀποκαλοῦντες καὶ ἄνανδρον καὶ ἐξ ἀφελείας τά τε Ῥωμαϊκὰ ἀπολλύντα στρατεύματα καὶ τὸ κλέος καὶ τὴν δόξαν ἀχρειοῦντα τῆς βασιλείας, αὐτὸν δὲ ἀναφανδὸν εὐφήμουν καὶ βασιλέα Ῥωμαίων ἐκήρυττον. θρυπτομένου δὲ τούτου καὶ τὴν ἀρχὴν ἀποσειομένου, Μιχαὴλ ὁ ἐξ Ἀμορίου ὁ
C τραυλός, τάγματός τινος καὶ αὐτὸς Ῥωμαϊκοῦ ἐξηγούμενος, τὸ ξίφος σπασάμενος, τοῦτο δὲ καὶ ἄλλοις τοῖς τοῦ ἔργου μετόχοις ποιεῖν ἐπιτρέψας, ἀναιρήσειν ἠπείλει, εἰ μὴ ἑκουσίως προσδέξοιτο τὴν ἀρχήν. καὶ οὗτος μὲν οὕτως διάδημά τε περιτίθεται καὶ βασιλεὺς Ῥωμαίων ἀναγορεύεται. πρὶν ἢ δὲ ταῦτα γενέσθαι, ἐκ τῆς τροπῆς ἐπανήκοντι τῷ βασιλεῖ Μιχαὴλ καὶ γενομένῳ τῆς βασιλίδος ἄγχιστα Ἰωάννης ὁ Ἐξαβούλιος συναντήσας αὐτῷ τό τε ἀτύχημα εὐγενῶς φέρειν καὶ μεγαλοψύχως παρῄνει, καὶ ἐπυνθάνετο τίνα εἴη καταλιπὼν τοῦ στρατεύματος ἐξηγούμενον. ὁ δὲ

2 ὑποσπείρας λόγοις ἅπαντα C 9 ἀπρεπεῖς C, ἀναιδεῖς P
17 ἀναιρεῖν P

amque tempus optatae rei conficiendae appetiisse inquiens, eorum opera rumorem per universum exercitum spargit, imperatoris simplicitate et bellicarum curarum imperitia Romanas copias deletas, veteremque gentis gloriam atque famam periisse. hoc modo animis militum corruptis, qui ex fuga sparsim pedites nudique revertebantur, eos suis permiscuit, persuasitque ut a Michaelo desciscerent. ergo milites uno omnes impetu tentorium Leonis cingere, turpes et impudentes de imperatore sermones iactare, timidum eum et effeminatum appellare, qui sua fatuitate Romanos perdidisset exercitus pristinamqae imperii gloriam obscurasset, contra Leonem palam faustis acclamationibus imperatorem Romanorum salutare. simulanter tergiversantem et imperium detrectantem Michaelus Amorio oriundus, cognomento Balbus, dux et ipse cuiusdam Romanae legionis, stricto gladio, iussisque idem facere ceteris sociis, minatus est se interfecturum, nisi volens imperium susciperet. ita ergo Leo diadema sumit et imperator Romanorum declaratur. antequam haec ita gererentur, redeunti ex fuga Michaelo imperatori iamque Cpoli proximo Ioannes Exabulius occurrens, cladem forti animo ut ferret hortatus est; simulque percontatus quem copiis praefectum reliquisset? et

Λέοντα εἶπε, τὸν στρατηγὸν τῶν ἀνατολικῶν, ἄνδρα τε ἀγχινού-
στατον καὶ εὔνουν τῇ βασιλείᾳ. ὅπερ ἀκούσας ὁ Ἐξαβούλιος D
"φαίνῃ μοι, ὦ βασιλεῦ" ἔφη, "πολὺ διαμαρτάνειν τῆς τοῦ ἀν-
δρὸς διανοίας." καὶ ὁ μὲν εἶπε ταῦτα, οὔπω δὲ ὁ βασιλεὺς ἔφθη
τοῖς βασιλείοις ἐπιβῆναι, καὶ ἡ τοῦ Λέοντος ἀνάρρησις κατηγγέλ-
λετο. διαταραχθέντος δὲ τοῦ αὐτοκράτορος πρὸς τὴν ἀκοὴν καὶ
σκοπουμένου τὸ ποιητέον, τινὲς μὲν παρῄνουν πᾶσι τρόποις ἔχε-
σθαι τῆς ἀρχῆς καὶ τῷ τυράννῳ ὡς ἀνυστὸν ἀντικαθίστασθαι·
οὗτος δὲ εἰρηνικός τις ἄνθρωπος ὤν, καὶ πράγμασιν ἑαυτὸν ἐπιρ-
ρῖψαι μὴ θέλων ἄδηλον ἔχουσιν ἀποτέλεσμα, τοῖς μὲν οὕτω λέ-
γουσιν ἐπετίμα, μὴ ἐρεθίζειν αὐτὸν πρὸς ἐμφύλιον χωρῆσαι μιαι-
φονίαν, τῶν τινὰ δὲ τῶν οἰκειοτάτων ἐξέπεμψε πρὸς τὸν Λέοντα, P 485
τὰ τῆς βασιλείας ἐπαγόμενον σύμβολα, τὸ διάδημα, τὴν ἁλουρ-
γίδα καὶ τὰ κοκκοβαφῆ πέδιλα, αὐτὸς μὲν ὑπισχνούμενος παρα-
χωρῆσαι τούτῳ τοῦ θρόνου, καὶ βέλτιον εἶναι κρίνων καὶ αὐτὴν
προΐεσθαι τὴν ζωὴν ἢ γινομένην ἰδεῖν ῥανίδα μικρὰν αἵματος
Χριστιανικοῦ, αὐτὸν δὲ πᾶσαν ἀποθέμενον πτοίαν καὶ δισταγμὸν
ἐλθεῖν καὶ παραλήψεσθαι τὰ βασίλεια. Προκοπία δὲ ἡ βασιλὶς
ἀντιπράττουσα τοῖς δρωμένοις, καὶ καλὸν ἐντάφιον τὴν βασιλείαν
λέγουσα εἶναι, ἐπεὶ μὴ ἔπειθεν, ἔσχατον ἐπειποῦσα λόγον ὅτι δει-
νὸν καὶ πέρα δεινοῦ εἴπερ ἡ τοῦ τυράννου σύζυγος περιβάλοιτο τὸν B
βασιλικὸν μοδίολον, ἐπισκώψασα καὶ πρὸς τὸ ταύτης ὄνομα καὶ
Βάρκαν αὐτὴν ὀνομάσασα, ἐσκέπτετο πῶς ἂν διάθοιτο τὰ κατ'
αὐτήν. καὶ οἱ μὲν περὶ τὸν βασιλέα ἐν τούτοις ἦσαν, ὁ δὲ τύ-

3 διαμαρτάνων C 13 τὰ add C

imperatore dicente curam eam se commisisse Leoni Orientalium duci, viro prudentissimo animoque erga se amico, Exabulius "videris" inquit "mihi, o imperator, admodum falli iudicio de istius hominis voluntate." enimvero nondum regiam Michaelus intraverat, cum ei annuntiatur Leonem imperatorem esse declaratum. qua fama perterritum, et quid agendum foret deliberantem, hortati quidam sunt ut omni conatu imperium retineret, tyrannoque pro virili se opponeret. verum Michaelus, ut erat ingenio pacis studioso, coniicere se in discrimen tantae rei nolens, acriter eos reprehendit, a quibus ad civiles caedes committendas instigaretur; et suorum quendam intimorum ad Leonem cum diademate purpura ac calceis coccinis (haec imperii sunt insignia) misit, imperio se ei cedere indicans, quod vel vitam amittere potius censeret quam guttulam unam Christiani sanguinis fusam cernere, iubensque eum sine ullo metu aut dubitatione venire et regiam occupare. at Procopia imperatoris uxor contra niti, immoriendumque imperio dicere; cumque maritum a proposito non deduceret, rem omni indignitate indigniorem affirmare, si tyranni uxor imperatorio modiolo se indutura esset, quam et Barcam nomini illudens appellabat; itaque meditari quid de suis rebus statueret.

ἐξοικεῖν. ἕκτη τυραννὶς σκοπεῖσθαι παρὰ τῶν στρατηγούντων τοὺς ἀθρόως ἐκ τῆς πτωχείας ἀνακτισθέντας, καὶ ἀπαιτεῖσθαι χρήματα ὡς εὑρετὰς θησαυρῶν. ἑβδόμη κάκωσις, τοὺς πρὸ κ´ χρόνων εὑρηκότας καὶ μέχρι τῆς δεῦρο πίθον ἢ σκεῦος οἱονοῦν καὶ αὐτοὺς ἐξαργυρίζεσθαι. ὀγδόη ἀδικία, τοὺς ἐκ πάππων ἢ προπάππων κληρονομήσαντας διαιρεθέντας ἐκ τῶν αὐτῶν κ´ χρόνων ἐξαναδιδόναι τῷ δημοσίῳ, καὶ τοὺς ὠνησαμένους ἔξω τῆς Ἀβύδου σώματα οἰκετικὰ ἀνὰ δύο νομίσματα τελέσαι προσέταξε, μά-
D λιστα τοὺς κατὰ τὴν δωδεκάνησον. ἐννάτη παράνοια, τοὺς τὰς παραθαλασσίους οἰκοῦντας, μάλιστα τῆς μικρᾶς Ἀσίας, ναυκλήρους, μηδέποτε γηπονικῶς ζήσαντας, ἄκοντας ὠνεῖσθαι ἐκ τῶν καθαρπαγέντων παρ᾽ αὐτοῦ κτημάτων, ὡς ἂν ἐκτιμηθῶσι παρ᾽ αὐτῶν. δεκάτη ἀθεΐα, τοὺς ἐν Κωνσταντινουπόλει ἐπισήμους ναυκλήρους συναγαγὼν δέδωκεν ἐπὶ τόκῳ τετρακεράτου τὸ νόμισμα ἀνὰ χρυσίου λίτρας δώδεκα, τελοῦντας καὶ τὰ συνήθη κομμέρκια. ταῦτα ἐκ τῶν πολλῶν ὡς ἐν κεφαλαίῳ μικρά μοι ἐστηλογράφηται, δηλοῦντα τὸ πρὸς πᾶν εἶδος πλεονεξίας αὐτοῦ πολυμήχανον. τὰ
P 480 γὰρ κατὰ τὴν βασιλίδα τοῖς ἐν τέλει καὶ μέσοις καὶ εὐτελέσιν ἐνδειχθέντα δεινὰ παρ᾽ αὐτοῦ πέρα συγγραφῶν ὄντα παρελίπομεν, ὅπως τοὺς πονηροὺς τῶν οἰκετῶν καθυπέβαλε συκοφαντεῖν τοὺς ἑαυτῶν δεσπότας, ὅσοι δηλαδὴ ἐν εὐπορίᾳ ἔτυχον, τοὺς μὲν διαβάλλοντας τιμῆς ἀξιῶν, τοὺς δὲ διαβαλλομένους ἐξαργυρίζων.

cogerentur. sextum tyrannicum institutum, quod a praetoribus inspici res eorum iussit qui ex pauperie subito ad opes pervenissent, ab iisque, veluti qui thesauros invenissent, pecuniam postulari. septimum, quod emunxit etiam hos pecunia qui a viginti retro annis ad praesens usque tempus dolium aut vas aliquod aliquando reperissent. octavum, qui ab avis vel proavis hereditatem percepissent, etsi ea divisa iam inde a 20 annis esset, eos pensionem in publicum conferre coegit. utque ii qui extra Abydum mancipia emebant, de singulis duo nomismata solverent, maxime Dodecanesum (ita duodecim insularum civitas vocatur) incolentes. nonum, naucleros maritima, praesertim minoris Asiae, inhabitantes et nunquam agriculturam expertos invitos coegit emere praedia quae aliis ipse eripuerat, indeque tributum solvere. decimum, illustres Cpoli naucleros in unum conduxit, iisque duodecim cuique libras auri tradidit ea lege, ut in singula nomismata usurae nomine quattuor ceratia solverent, cum nihilominus reliqua etiam vectigalia navigiorum ab iis penderentur. haec ex multis pauca compendio annotavi, ex quibus eius ad omne lucri genus commentorum multiplex varietas cognosci possit. omisimus enim quas in regia urbe summi medii et infimi loci atque condicionis hominibus intulit iniurias, plures quam ut perscribi possint. cuius generis sunt, quod divitum servos subornavit, qui falso suos dominos crimine accusarent, delatoribusque honorem habuit, calumnia circumventos argento multans. quin et eo rapinarum processit ut quem

ὥστε καί τινα κηρουλάριον ὄντα ἐν τῷ φόρῳ, ἀνενδεῆ τυγχάνοντα ἐκ πόνων ἰδίων, μεταστειλάμενος ὁ παμφάγος φησί "θὲς τὴν χεῖρά σου ἐπὶ τὴν κεφαλήν μου, καὶ ὄμοσον πόσος χρυσός σοι ἐστίν." ὁ δὲ λίτρας ἑκατὸν ἔξειπεν ἔχειν. ὁ δὲ ἀγαγεῖν ταύτας κατ' αὐτὴν τὴν ὥραν ἔφη. ὧν ἐνεχθέντων φησὶν ὁ ἐσκοτισμένος B "σὺ τί χρείαν ἔχεις περισπασμοῦ; συναρίστησόν μοι, καὶ ἄρας νομίσματα ἑκατὸν πορεύου. ἀρκούμενος αὐτοῖς."

Τῷ θ' ἔτει τὰς κατὰ Χριστιανῶν ἐπινοίας ἐπέτεινεν, ἐποψίας ἀθέους, ἐπαγορασμοὺς παντοίων ἀλόγων βοσκημάτων τε καὶ καρπῶν, ἀδίκους δημεύσεις καὶ ζημίας τῶν ἐν τέλει, τοκισμοὺς ἐν πλοίοις ὁ πᾶσι νομοθετῶν τὸ μὴ τοκίζειν, καὶ ἄλλας μυρίας κακῶν ἐπινοίας, ὧν ἡ κατὰ μέρος ἱστορία φορτικὴ τοῖς ἐπιτετμημένως ζητοῦσι μανθάνειν τὰ πράγματα πέφυκε. τῶν δὲ Μανιχαίων, τῶν νῦν Παυλικιανῶν καὶ Ἀθιγκάνων, τῶν κατὰ Φρυγίαν καὶ Λυκαονίαν ἐγγιγειτόνων αὐτῷ (ἐκεῖθεν γὰρ ἐγεγόνει) C φίλος ἦν διάπυρος, χρησμοῖς καὶ τελεταῖς αὐτῶν ἐπιχαίρων. οὗτοι χώραν ἔλαβον ἐπὶ τῆς βασιλείας αὐτοῦ ἀφόβως πολιτεύεσθαι, καὶ πολλοὶ τῶν κουφοτέρων ταῖς ἀθεμίτοις αὐτῶν διεφθάρησαν δόξαις. ἐν δὲ τῷ ἔξω κιονίῳ ψευδερημίτης ἦν Νικόλαος τοὔνομα, ὃς σὺν τοῖς σὺν αὐτῷ κατὰ τοῦ ὀρθοῦ λόγου καὶ τῶν σεπτῶν εἰκόνων ἐβλασφήμουν. ὧν ἀντιποιούμενος ὁ βασιλεὺς ἐλύπει τὸν ἀρχιερέα καὶ πάντας τοὺς κατὰ θεὸν ζῶντας. πολλάκις γὰρ καὶ

dam mellis ceraeque institorem in foro degentem, qui suo labore sufficientes sibi opes paraverat, ad se vocatum iusserit manum capiti imperatoris subiicere, itaque iuratum edicere quantum possideret auri. cumque is centum auri libras sibi esse fateretur, statim ut eas afferret mandavit. quo facto "quorsum" inquit "tibi solicitudine ista opus est? prande mecum, centumque nomismatibus tecum domum ablatis contentus esto."

Anno 9 suis contra Christianos commentis magis magisque incubuit, impias opum inspectiones exercens, coemptiones iniustas omnium animalium brutorum et pecoris, publicationes bonorum et multas procerum, usuras de navigiis captatas, cum interim re foenebri aliis omnibus interdixisset, aliaque infinita mala excogitans, quae cupientibus res gestas compendio cognoscere molestus sit futurus, si quis velit singulatim recensere. fuit etiam summo studio deditus Manichaeis iis qui nunc Pauliciani et Athingani dicuntur, per Phrygiam et Lycaoniam degentibus et sibi vicinis (inde enim ortus erat), oraculis eorum et sacrificiis gaudens. ii ergo ipso imperante licentiam nacti suo more vivendi multos futilis ingenii homines nefariis suis opinionibus infecerunt. fuit tum in exteriori columella Nicolaus quidam falso eremitae (ita vocantur qui in solitudinibus religionis causa abditi vivunt) nomine praeditus, qui cum suis sociis verae religioni et venerandis imaginibus impie obloquebatur. eos imperator amplectens patriarcham aliosque pios urebat. itaque in

αὐτοῦ ἐγκαλῶν ἠγανακτήθη, τοῖς πρὸς ἀλλήλους ἐχθραίνουσι
D σφόδρα συγχαίρων, καὶ ἐπιτωθάζων παντὶ Χριστιανῷ φιλοῦντι
τὸν πλησίον ὡς ἀνατροπεὺς τῶν θείων ἐντολῶν. τοὺς στρατιωτικοὺς ἄρχοντας δουλικῶς χρᾶσθαι τοῖς ἐπισκόποις καὶ κληρικοῖς ἐκέλευε, καταγομένους αὐθεντικῶς ἐν τοῖς ἐπισκοπείοις καὶ μοναστηρίοις, καὶ καταχρᾶσθαι τὰ αὐτῶν. τοὺς ἀπ' αἰῶνος ἀναθεμένους τῷ θεῷ χρυσᾶ ἢ ἀργυρᾶ σκεύη ἔψεγε, καὶ τὰ τῶν ἐκκλησιῶν ἱερὰ κοινοῦσθαι ἄξιον ἐδογμάτιζε. τοὺς πρὸ αὐτοῦ βασιλεῖς ἅπαντας ὡς ἀκυβερνήτας ἐμέμφετο, καθόλου τὴν πρόνοιαν ἀναιρῶν, καὶ μηδένα λέγων γίνεσθαι τοῦ κρατοῦντος δυνατώτερον,
P 481 εἰ βούλοιτο ὁ κρατῶν ἐντρεχῶς ἄρχειν. καὶ ἐματαιώθη ἐν τοῖς διαλογισμοῖς αὐτοῦ ὁ ἀνόητος καὶ θεομισής. τῷ γὰρ πρώτῳ σαββάτῳ τῶν νηστειῶν τῆς δ' ἰνδικτίωνος ὑπαντήσαντες Σαρακηνοὶ εἰς τὰ Εὐχάϊτα Λέοντα στρατηγὸν τῶν Ἀρμενιακῶν σὺν τῇ ῥόγᾳ τοῦ θέματος, ταύτην ἀφείλοντο σὺν πολλῷ πλήθει λαοῦ, κεντηνάρια ιγ' οὖσαν. ἐπὶ τούτοις οὖν ὁ νεὸς Ἀχαὰβ μὴ παιδευθείς, ὁ Φαλάριδος καὶ Μίδου ἀπληστότερος, κατὰ Βουλγάρων παρατάττεται ἅμα Σταυρακίῳ τῷ υἱῷ αὐτοῦ. καὶ ἐξελθὼν τῆς βασιλίδος ἐκέλευσε Νικήταν πατρίκιον καὶ γενικὸν λογοθέτην τὰ δημόσια τέλη τῶν ἐκκλησιῶν καὶ μοναστηρίων ἀναβιβάσαι, καὶ
B ὀκτὼ ἐτῶν ὀπισθοτέλειαν τοὺς τῶν ἀρχόντων ἀπαιτηθῆναι οἴκους. καὶ ἦν θρῆνος μέγας ἐν τῇ πόλει. ἐπὶ τούτοις ἐγκαλούμενος ὑπὸ

11 εὐτρεχῶς P

eum saepe indignabundus patriarcha invehebatur. at Nicephorus magnum ex mutuis odiis percipiebat gaudium; utque erat divinorum eversor mandatorum, ludibrio habebat omnes proximum suum diligentes Christianos. duces quoque exercituum iussit episcopis et clericis mancipiorum loco uti, pro sua auctoritate in aedibus episcopalibus et monasteriis divertere, eorumque rebus pro arbitrio abuti. vituperabat eos qui ab omni aetate deo aurea vel argentea vasa consecrassent, et res templorum sacras in profanos debere usus converti statuebat. omnes ante ipsum imperatores ut gubernandi nescios culpabat, providentiam in universum tollens, affirmansque neminem imperatore potentiorem esse, modo callide is imperaret. sed stolidus ac deo invisus homo vanis suis cogitationibus deceptus est. primo ieiuniorum sabbato, quartae indictionis, Sarraceni ad Euchaïta pervenerunt; adortique Leonem Armeniacorum ducem, qui tum militibus erat stipendia persoluturus, omnem pecuniam, centenaria nimirum 13, eripuerunt, haud exigua militum multitudine capta. his novus ille Achaabus nihil emendatus, Phalaridem et Midam inexpleta superans avaritia, cum Stauracio filio in Bulgaros se armat. cumque urbe egrederetur, Nicetam patricium ac generalem logothetam iussit publicos census ecclesiarum et monasteriorum afferre, et in octo sequentes annos pensionem a procerum domibus exigi. ea res magnas per urbem eiulationes excitavit. hoc nomine reprehensus a

Θεοδοσίου πατρικίου τοῦ Σαλιβαρᾶ, τοῦ γνησίου αὐτοῦ θεράποντος, ὅτι πάντες καταβοῶσιν ἡμῶν, δέσποτα, καὶ ἐν καιρῷ πειρασμοῦ πάντες ἐπιχαρήσονται τῇ πτώσει ἡμῶν, ἔφη πρὸς αὐτόν "εἰ ὁ θεὸς σκληρύνων ἐσκλήρυνε τὴν καρδίαν μου ὡς τοῦ Φαραώ, τί ἀγαθὸν ἔσται τοῖς ὑπὸ χεῖρά μου; παρὰ Νικηφόρου, Θεοδόσιε, μὴ ἐκδέχου πλὴν τῶν ὁρωμένων σοι." ἐπισυνάξας δὲ τὰ στρατόπεδα ἀνατολῆς καὶ δύσεως, καὶ πολλοὺς πένητας ἰδίοις ὀψωνίοις, σφενδόναις καὶ ῥάβδοις ὡπλισμένους, βλασφημοῦντας ἅμα C
τοῖς στρατεύμασιν, ἤλασε κατὰ Βουλγαρίας. Κροῦμος δὲ τὰ πλήθη φοβηθείς, ὄντων αὐτῶν ἐν Μαρκέλλῃ, ᾐτεῖτο εἰρήνην. ὁ δὲ ταῖς οἰκείαις κακοβουλίαις καὶ ταῖς τῶν ὁμοφρόνων αὐτοῦ συμβούλων διεκωλύθη. εἰσέρχεται δὲ εἰς Βουλγαρίαν τῇ κ' τοῦ Ἰουλίου μηνός. κυνὸς ἦν ἐπιτολὴ πανωλέθριος. καὶ προλέγων τὴν αὐτοῦ πανωλεθρίαν συχνῶς ἐπεφθέγγετο "τίς πορεύεται καὶ ἀπατήσει τὸν Ἀχαάβ; ὅτι κἂν ὁ θεὸς κἂν ὁ ἀντικείμενος, ἕλκει με ἄκοντα." μετὰ γοῦν τὰς πρώτας συμβολὰς δόξας κατευοδοῦσθαι οὐ τῷ θεῷ τὰ τῆς νίκης ἀλλὰ τῇ τοῦ Σταυρακίου εὐτυχίᾳ ἐκήρυττε. καὶ τοῖς κωλύουσι τὴν εἴσοδον ἄρχουσιν ἠπείλει. πᾶσαν D
δὲ ἡλικίαν, ἕως καὶ βρεφῶν αὐτῶν, ἀνηλεῶς φονεύεσθαι προσέταξε. καὶ τὰ τῶν ὁμοφύλων νεκρὰ σώματα ἄταφα εἴα, μόνης ἐπιμελούμενος τῆς τῶν σκύλων συλλογῆς. κλεῖθρα δὲ καὶ σφραγῖδας τοῖς ταμείοις Κρούμου ἐπιθεὶς ὡς ἴδια λοιπὸν ἠσφαλίσατο. ὦτα γοῦν καὶ ἕτερα μέλη Χριστιανῶν ἀπέτεμεν ἁψαμένων τῶν

Theodosio patricio Salibara, fideli suo administro, monente omnium voces audiri de ipso conquerentium, ac fore ut ex rebus ipsius aliquando tristibus gaudium caperent, "si" inquit "deus meum cor Pharaonis in morem prorsus obduravit, quid boni erit subditis meis? noli, Theodosi, alia a Nicephoro exspectare quam quae vides." igitur collectis Orientis et Occidentis exercitibus, multisque pauperibus eo adactis ut propriis stipendiis militarent, fundis ac baculis armati, his et legionibus ipsum devoventibus in Bulgariam contendit. cum adhuc Marcellae essent, Crumus a tanta sibi metuens multitudine pacem petiit: sed imperatore suis et secum sentientium pravis consiliis utente repulsam passus est. pervenit ergo in Bulgariam Nicephorus 20 die Iulii mensis, sub ortum caniculae perniciosissimum. sed et ipse suum et suorum exitium praedicens identidem haec loquebatur "quis ibit et decipiet Achaabum? sive me deus, sive Satanas trahit, invitus trahor." primis congressibus victoria potitus non deo illam sed Stauracii felicitati acceptum tulit, minatusque est proceribus, qui penetrare Bulgariam vetabant. mandavit autem ut omnis aetatis homines ipsique etiam infantes trucidarentur; corporaque Bulgarorum inhumata relinquens solis spoliis legendis intentus fuit. Crumi conclavia ut iam sua claustris et sigillis muniit, et Christianis manubias contrectare ausis aures aliaque membra abscidit;

σκύλων· καὶ τὴν λεγομένην αὐλὴν τοῦ Κρούμου ἐνέπρησεν, ἐκείνου σφόδρα τεταπεινωμένως δηλοῦντος ὅτι ἰδοὺ νενίκηκας· λάβε εἴ τί σοι ἀρεστόν ἐστι, καὶ ἔξελθε ἐν εἰρήνῃ. ὁ δὲ τῆς εἰρήνης ἐχθρὸς
P 482 ταύτην οὐ προσίκατο. ἐφ' οἷς χαλεπήνας ὁ Κροῦμος τὰς τῆς χώρας εἰσόδους καὶ ἐξόδους περιέφραξεν ὀχυρώμασι ξυλίνοις. ὁ δὲ Νικηφόρος τοῦτο γνοὺς τοῖς συνοῦσι τὰ τῆς ἀπωλείας προέλεγεν, ὅτι κἂν πτερωτοὶ γενώμεθα, οὐδεὶς ἐκφύγῃ τὸν ὄλεθρον. καὶ μεθ' ἡμέρας δύο συναθροίσας λαὸν ὁ βάρβαρος ἐπῆλθε κατὰ τῆς τοῦ Νικηφόρου σκηνῆς. καὶ τοῦτον ἀναιροῦσιν οἰκτρῶς καὶ πάντας τοὺς σὺν αὐτῷ ἄρχοντας καὶ τοῦ λαοῦ πλήθη ἄπειρα, καὶ πᾶσαν τὴν ἀποσκευὴν ἀνελάβοντο. τὴν δὲ κεφαλὴν τοῦ Νικηφόρου ὁ Κροῦμος ἐκκόψας ἐπὶ ξύλου ἀνήρτησεν εἰς ἐπίδειξιν πάντων, εἶθ' οὕτως γυμνώσας τὸ ὀστοῦν καὶ περιαργυρώσας πέριξ πίνειν εἰς αὐτὸ τοὺς Βουλγάρων ἄρχοντας ἐκέλευσεν, ἐγκαυχώμενος
B κατ' αὐτοῦ ὡς ἀπλήστου καὶ τὴν εἰρήνην μὴ θελήσαντος. τούτου τοῦ Νικηφόρου τῆς ἀρχῆς Χριστιανοὶ βαρύτερον οὐδένα χρόνον ἠτύχησαν· πάντας γὰρ τοὺς πρὸ αὐτοῦ ὠμοτάτους βασιλεῖς τῇ ἀπανθρωπίᾳ ὑπερηκόντισεν οὗτος, οὗπερ εἰ κατὰ μέρος τις βουληθῇ διεξιέναι τὰ πονηρὰ ἐπιτηδεύματα, ὁ χρόνος ἐπιλείψει καὶ ἡ χεὶρ ἀτονήσει. πλὴν ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα πρόδηλον.

Τιτρώσκεται δὲ καὶ Σταυράκιος ὁ υἱὸς αὐτοῦ καιρίως κατὰ τοῦ σπονδύλου. καὶ μόλις τῆς μάχης ἐξῆλθε ζῶν, καὶ καταλαβὼν τὴν Ἀδριανούπολιν ἀναγορεύεται. καὶ μὴ δυνάμενος ἐποχεῖσθαι φορείῳ τὴν πόλιν κατέλαβεν. ὃς διὰ τὴν πληγὴν ἐν τῷ πα-

aulam quoque Crumi incendit. interim Crumus submisse admodum victum se esse fatebatur, rogabatque ut acceptis quae vellet, pacatus Bulgaria excederet. sed Nicephorus pacem, cuius erat impatiens, non dedit. itaque Crumus irritatus aditus exitusque suae dicionis ligneis munitionibus occlusit. et Nicephorus cladem praesagiens suis dixit "nemo nostrum perniciem evitabit, ne si volucres quidem fiamus." biduo post barbarus populo collecto tentorium Nicephori aggressus est. ibi Nicephorus miserabiliter obtruncatus est, omnesque cum eo duces et infinita militum multitudo, omnibusque impedimentis potiti sunt Bulgari. caput Nicephori praecisum Crumus conto praefixit omnibusque demonstravit. deinde os cranii nudatum argento inclusit, iussitque principes Bulgarorum ex eo bibere, atque insultare Nicephoro ut inexsatiabili et pacem detrectanti. nullum tempus Christianis calamitosius hoc Nicephori imperio fuit: adeo crudelissimos quoque suos antecessores inhumanitate superavit. cuius si quis maleficia singulatim perscribere velit, neque tempus sufficiet et manus fatigabitur. sed ex ipsa ora satis potest de texto iudicari.

Gravissimum etiam vulnus accepit Stauracius in vertebram, aegreque ex pugna vivus evasit. et cum Adrianopolin pervenisset, imperator etiam dictus. et quia equo vehi non poterat, lectica est in urbem de-

λατίῳ κείμενος ἀπρόϊτος ἦν, ἐβούλετο δὲ τὸν κουροπαλάτην Μι- C χαὴλ τὸν γαμβρὸν αὐτοῦ ἐκτυφλῶσαι, τῇ δὲ γαμετῇ Θεοφανοῖ τὴν βασιλείαν καταλιπεῖν. γνοὺς δὲ τοῦτο ὁ Μιχαὴλ ἐξαίφνης ἀναγορεύεται βασιλεὺς ἐν τῷ ἱπποδρομίῳ παρὰ τῆς συγκλήτου καὶ τῶν ταγμάτων ὡς ἤδη ἀπεγνωσμένου τοῦ Σταυρακίου. ὅπερ μαθὼν Σταυράκιος τοῦ παλατίου ἐξελθών, τὸ μοναδικὸν αὐτίκα σὺν τῇ γυναικὶ αὐτοῦ Θεοφανοῖ περιθέμενος, εἰς τὰ Βραχᾶ μοναστήριον ἐτελεύτησε, καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Σατύρου. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ὁ ἁγιώτατος Νικηφόρος.

Μιχαὴλ δὲ ὁ κουροπαλάτης καὶ γαμβρὸς τοῦ βασιλέως Νικηφόρου, ᾧ Ῥαγκαβὲ ἦν ἡ προσηγορία, ἐγκρατὴς τῶν Ῥωμαϊκῶν D διὰ τοῦ δήμου καὶ τῆς συγκλήτου ἀναδείκνυται σκήπτρων, ἀπωθούμενος μὲν τὴν ἀρχὴν καὶ μὴ ἱκανὸς εἶναι λέγων ὄγκον τοσούτων πραγμάτων προσαναζώσασθαι· τῷ πατρικίῳ δὲ Λέοντι τῷ ἐξ Ἀρμενίων, ἀνδρὶ θυμοειδεῖ δοκοῦντι καὶ δραστηρίῳ καὶ τοῦ στρατεύματος τῶν ἀνατολικῶν ἄρχοντι τηνικαῦτα, παρεχώρει τῆς ἐξουσίας, κἂν ἐκεῖνος διδομένην λαβεῖν οὐκ ἠθέλησεν, ἀνάξιον ἑαυτὸν ἀποκαλῶν τοῦ βασιλικοῦ θρόνου. προυτρέπετο δὲ μᾶλλον τὸν Μιχαὴλ ὡς αὐτῷ πρέπον ἀναδέξασθαι τὸ κράτος, καὶ αὐτὸς ὑπισχνεῖτο οἰκέτης ἔσεσθαι διὰ βίου καὶ λειτουργὸς πιστότατός τε καὶ δραστικώτατος, καὶ ὅρκοις φρικωδεστάτοις ἐνεπέδου τὰς ὑποσχέσεις. οὕτω δὲ τοῦ Μιχαὴλ καὶ παρὰ τὸν οἰκεῖον σκοπὸν τὰς ἡνίας P 483 ἀναδεξαμένου τῆς βασιλείας, Κρούμου τε τοῦ Βουλγάρων ἄρχον-

1 τὸν om P 7 τό?

latus; atque ob vulnus in publicum prodire non valens in palatio decubuit. statuerat Michaelum curopalatam, sororis suae maritum, oculis privare, imperiumque uxori suae Theophanoni relinquere. sed Michaelus cognito consilio effecit ut ipse statim in Circo a senatu et exercitibus imperator declararetur, nimirum spe omni iam de Stauracio abiecta. hoc ut rescivit Stauracius, palatio egressus se et uxorem monastico habitu induit, inque monasterio Braca diem obiit, estque in Satyri monasterio sepultus. patriarcha tum fuit sanctissimus Nicephorus.

Michaelus curopalates, cognomento Rancabes, gener Nicephori imperatoris, a senatu populoque delatum sibi imperium principio recusavit, imparem se tantae rerum moli tractandae causans, idque Leoni patricio, natione Armenio, orientalium copiarum duci concedens, qui animosus vir strenuusque habebatur. sed Leo renuit, quod indignum se imperatorio solio diceret, idque ad Michaelum pertinere. quem cohortatus est ad suscipiendam rerum gubernationem, promittens, ac promissa gravissimis iuramentis sanciens, famulum se ipsius per omnem vitam fidelissimumque et alacerrimum administrum fore. ita Michaelus contra animi sui propositum imperii habenas tractandas suscepit. at Crumus Bulgarorum princeps successibus elatus, cum videret suis quoque ani-

τος ταῖς ἔμπροσθεν εὐτυχίαις ἐπαρθέντος, καὶ τῶν Βουλγάρων φρονηματισθέντων ταῖς νίκαις, τὰ τῆς δύσεως ἐπυρπόλουν τε καὶ ἐληΐζοντο. ἔδοξεν οὖν τῷ βασιλεῖ Μιχαὴλ ἐκστρατεῦσαι κατ' αὐτῶν καὶ καθ' ὅσον οἷόν τε ἐπισχεῖν καὶ ἀναχαιτίσαι τὰς Βουλγαρικὰς προνομάς. ταχύ τε οὖν διατάγματα ἐπέμποντο πανταχοῦ καὶ ταχὺ τὰ στρατεύματα συνηθροίζοντο. καὶ ὁ Κροῦμος δὲ τὴν τοῦ βασιλέως πυθόμενος κίνησιν, τὸν ἑαυτοῦ λαὸν ἐκ τῆς προνο- B μῆς ἀνακαλεσάμενος καὶ ὑφ' ἓν συναθροίσας, στρατόπεδόν τε καρτερὸν μάλα ἐπήξατο καὶ ἐπιόντα προσέμενε τὸν βασιλέα. ὡς δὲ καὶ οὗτος ἀφίκετο καὶ παρεστρατοπέδευσε τῷ Κρούμῳ ἀγχοῦ που τῆς Ἀδριανουπόλεως αὐλιζομένῳ, ἀκροβολισμοὶ μὲν ἐγίνοντο συνεχεῖς καὶ ὅσον ἐν ἐκηβολίαις μάχη, καὶ ἐν πάσαις αὐταῖς ἐπικρατέστερα τὰ Ῥωμαίων ἐφαίνετο, ὡς καὶ φυσηθέντας διὰ τοῦτο τοὺς στρατιώτας ὁρμᾶν καὶ σφαδάζειν πρὸς ἀγχέμαχον καὶ καθολικὴν συμπλοκήν. ἐπέχοντος δὲ τοῦ βασιλέως καὶ διατρίβοντος, εἴτε διὰ δειλίαν, ὥσπερ ἐλέγετο, εἴτε καὶ καιρὸν ζητοῦντος τὸν ἐπιτήδειον, εἰς ἀναισχυντίαν τὸ πλῆθος ἐτράπη, καὶ καταβοῶν C εἰς πρόσωπον τοῦ βασιλέως, καὶ εἰ μὴ ἐξάξει, ἠπείλουν αὐτοί τε διαρρῆξαι τὸν χάρακα καὶ συρρᾶξαι τοῖς ἐναντίοις. τούτοις κατακλασθεὶς τοῖς λόγοις ὁ βασιλεὺς ἀνοίγνυσί τε τὰς πύλας τοῦ στρατοπέδου καὶ πρὸς παράταξιν ἵστατο. τὸ δ' αὐτὸ τοῦτο καὶ ὁ Κροῦμος εἰργάσατο, καὶ τὸν ἑαυτοῦ συντάξας λαὸν ἀντίρροπος ἔστη τῷ βασιλεῖ. πολλὰ δ' οὗτός τε κἀκεῖνος τὸν ἑαυτοῦ ἕκαστος παρακαλέσας λαόν, καὶ λόγους ἐπαγωγοὺς καὶ παραινέσεις εἰπόν-

10 ἐφίκετο P cum Coisliniano (C) 11 ἐγένοντο P: corr C 14 πρὸς C, ὡς P 17 ante ἐτράπη lacuna in C 24 παρακαλεύσαντες στρατὸν C

mos recenti victoria auctos, incendiis et populationibus Occidentem vastabat. huic bello occurrendum reprimendasque eius quantum fieri posset incursiones Michaelus iudicans, celeriter dimissis in omnes partes edictis exercitus colligit. sed et Crumus de imperatoris expeditione certior factus suos ex praedationibus revocatos in unum conducit, castrisque egregie munitis adventum eius praestolatur. ut venit imperator, castraque Crumi castris opposuit haud procul Adrianopoli, levibus praeliis subinde certatum est eminusque telis pugnatum. quibus cum semper superior esset res Romana, inflati milites iustum praelium ardenter appetere atque postulare coeperunt. cumque imperator sive metu, ut ferebatur, sive occasionem captans idoneam inhiberet moramque iniiceret, ad impudentiam prolapsi, in faciem imperatorem importunis clamoribus obiurgarunt, nisi educeret, castra se rupturos inque hostem impetum facturos minantes. iis minus fractus imperator, portis castrorum apertis, suos in aciem educit ordinesque instruit. idem et Crumus facit. cum uterque multis suos ad fortitudinem esset exhortatus, tandem clas-

τες παρακαλέσαι δυναμένας πρὸς ἀλκήν, τέλος τὸ πολεμικὸν ταῖς σάλπιγξι σημηνάμενοι ἀλλήλοις προσέρραξαν. εὐρώστως δὲ τῶν Ῥωμαίων ὑποστάντων τοὺς πολεμίους, ἡρωϊκῶς τε καὶ ἀνδρείως ἀγωνιζομένων, ἐδαπανᾶτο τὰ τῶν Βουλγάρων, καὶ εἰς παντελῆ D ἂν ἀπεῖδεν ὑπαγωγήν (ἤδη γὰρ καὶ αὐτὸς ὁ Κροῦμος ἀπέκαμεν ἁπανταχοῦ ἐξιππαζόμενος καὶ τὰ πονοῦντα τῶν στρατευμάτων ἀντιλαμβάνων), εἰ μὴ Λέων ὁ τῶν ἀνατολικῶν στρατηγὸς τῆς βασιλείας ἐρῶν καὶ τὰ ὑπ' αὐτὸν διαφθείρας τάγματα, σὺν αὐτοῖς τὴν τάξιν ἀπολιπὼν ᾤχετο φεύγων αἰτίας χωρίς. τοῦτο δὲ καὶ ὁ λοιπὸς στρατὸς κατιδὼν ἐξεπλάγη καὶ τὸν τόνον τῆς ἀνδρίας ἐχαύνωσε. καὶ οἱ Βούλγαροι ὅσον οὐδέπω φυγεῖν ἐπίδοξοι ὄντες, ἀναθαρρήσαντες ἐπῆλθον μετ' ἀλαλαγμοῦ τοῖς Ῥωμαίοις καὶ παλίντροπον τὴν νίκην εἰργάσαντο. τῷ συμβάντι γὰρ οἱ Ῥωμαῖοι καταβληθέντες τὰς ψυχὰς τὴν τῶν Βουλγάρων οὐκ ἐδέξαντο προσβολήν, ἀλλ' εὐθὺς πρὸς φυγὴν ἐτράπησαν. ἀπώλοντο μὲν οὖν καὶ τῶν στρατιωτῶν πολλοί, πίπτουσι δὲ καὶ τῶν στρατηγῶν οὐκ ὀλίγοι, ἐν οἷς καὶ Μιχαὴλ μάγιστρος ὁ Λαχανοδράσιος. ὁ δὲ βα- P 484 σιλεὺς μόλις μετά τινος μέρους ἀθραύστου εἰς Ἀρκαδιούπολιν ἀνασώζεται, ἐκεῖθέν τε τὴν βασιλίδα καταλαμβάνει, τὸν εἰρημένον Λέοντα μετὰ τῶν ἀμφ' αὐτὸν ἐν Θρᾴκῃ καταλιπών, ὥστε προσμένειν καὶ τὰς λεηλασίας τῶν Βουλγάρων καὶ τὰς ἐκδρομὰς ἀνακόπτειν.

Ὁ δὲ καθ' ἑαυτὸν ἄρτι γενόμενος, ἣν ὤδινεν ἐν τῷ κρυπτῷ, εἰς φῶς ἐξάγει ἀποστασίαν. κοινωσάμενος γὰρ τοῖς αὐτοῦ θιασώ-

3 ἀνδρικῶς C 4 καὶ κἂν εἰς C 5 ἀπαγωγὴν P 9 δὲ add C 10 ἰδὼν κατεπλάγη C 17 ἐν οἷς — Λαχανοδράσιος add C 19 ἀνασωρεύεται P

sicum canit, et infestae acies concurrunt. iamque Bulgarica res atterebatur et ad fugam protinus spectabat, quod et Romani fortiter hostes subsistebant atque heroïca virtute pugnam obibant, et ipse iam Crumus undique circumequitando et ordines laborantes reficiendo defatigatus erat, cum Leo dux Orientalium, imperii cupidus, suos dictis corruptos ab acie reliqua avellit, nullaque urgente necessitate fugam facit. hoc visum reliquorum animos perculit vigoremque fortitudinis retudit. et Bulgari, qui iamiam in fugam se coniecturi videbantur, animis receptis ac clamore et strepitu sublato in Romanos irruerunt. ita victoria in alteram transiit partem. nam Romani suorum discessione animos deiecti, impetum Bulgarorum non sustinuerunt, sed statim terga dederunt. multi ibi milites et non pauci ductores ceciderunt. imperator aegre cum parte exercitus integra Adrianopolin pervenit, atque inde Cpolin rediit, Leonem cum suis in Thracia relinquens, ut praesidio regioni esset incursionesque barbarorum reprimeret.

At Leo digresso imperatore, quam diu occulte parturiverat defectionem, in lucem edidit. re enim cum suis satellitibus communicata,

ταις, καὶ καιρὸν ἐπιτήδειον εἶναι φήσας εἰς τὸ πληρῶσαι τὸ σπουδαζόμενον, καὶ δι' αὐτῶν λόγους ὑποσπείρας ἅπαντι τῷ στρατῷ ὡς τῇ ἀφελείᾳ τοῦ βασιλέως καὶ τῇ πρὸς τὰς στρατηγικὰς μελέτας
B ἀνασχησίᾳ τά τε Ῥωμαϊκὰ ἠφανίσθη πλήθη καὶ ἡ παλαιὰ δόξα καὶ εὔκλεια ᾤχετο τῶν Ῥωμαίων, καὶ οὕτω διαφθείρας τοὺς στρατιώτας ἄρτι σποράδας ἐκ τῆς τροπῆς ἐπανερχομένους πεζοὺς καὶ γυμνοὺς καὶ μιγνυμένους τῷ σὺν αὐτῷ στρατεύματι, πείθει πρὸς ἀνταρσίαν ἰδεῖν. ἐκ μιᾶς γὰρ ὁρμῆς τὴν σκηνὴν τούτου περιστοιχήσαντες λόγους μὲν ἀπρεπεῖς καὶ ἀναισχύντους ἀπερρίπτουν εἰς βασιλέα, δειλὸν αὐτὸν ἀποκαλοῦντες καὶ ἄνανδρον καὶ ἐξ ἀφελείας τά τε Ῥωμαϊκὰ ἀπολλύντα στρατεύματα καὶ τὸ κλέος καὶ τὴν δόξαν ἀχρειοῦντα τῆς βασιλείας, αὐτὸν δὲ ἀναφανδὸν εὐφήμουν καὶ βασιλέα Ῥωμαίων ἐκήρυττον. θρυπτομένου δὲ τούτου καὶ τὴν ἀρχὴν ἀποσειομένου, Μιχαὴλ ὁ ἐξ Ἀμωρίου ὁ
C τραυλός, τάγματός τινος καὶ αὐτὸς Ῥωμαϊκοῦ ἐξηγούμενος, τὸ ξίφος σπασάμενος, τοῦτο δὲ καὶ ἄλλοις τοῖς τοῦ ἔργου μετόχοις ποιεῖν ἐπιτρέψας, ἀναιρήσειν ἠπείλει, εἰ μὴ ἑκουσίως προσδέξοιτο τὴν ἀρχήν. καὶ οὗτος μὲν οὕτως διάδημά τε περιτίθεται καὶ βασιλεὺς Ῥωμαίων ἀναγορεύεται. πρὶν ἢ δὲ ταῦτα γενέσθαι, ἐκ τῆς τροπῆς ἐπανήκοντι τῷ βασιλεῖ Μιχαὴλ καὶ γενομένῳ τῆς βασιλίδος ἄγχιστα Ἰωάννης ὁ Ἐξαβούλιος συναντήσας αὐτῷ τό τε ἀτύχημα εὐγενῶς φέρειν καὶ μεγαλοψύχως παρῄνει, καὶ ἐπυνθάνετο τίνα εἴη καταλιπὼν τοῦ στρατεύματος ἐξηγούμενον. ὁ δὲ

2 ὑποσπείρας λόγοις ἅπαντα C 9 ἀπρεπεῖς C, ἀναιδεῖς P 17 ἀναιρεῖν P

amque tempus optatae rei conficiendae appetiisse inquiens, eorum opera rumorem per universum exercitum spargit, imperatoris simplicitate et bellicarum curarum imperitia Romanas copias deletas, veteremque gentis gloriam atque famam periisse. hoc modo animis militum corruptis, qui ex fuga sparsim pedites nudique revertebantur, eos suis permiscuit, persuasitque ut a Michaelo desciscerent. ergo milites uno omnes impetu tentorium Leonis cingere, turpes et impudentes de imperatore sermones iactare, timidum eum et effeminatum appellare, qui sua fatuitate Romanos perdidisset exercitus pristinamque imperii gloriam obscurasset, contra Leonem palam faustis acclamationibus imperatorem Romanorum salutare. simulanter tergiversantem et imperium detrectantem Michaelus Amorio oriundus, cognomento Balbus, dux et ipse cuiusdam Romanae legionis, stricto gladio, iussisque idem facere ceteris sociis, minatus est se interfecturum, nisi volens imperium susciperet. ita ergo Leo diadema sumit et imperator Romanorum declaratur. antequam haec ita gererentur, redeunti ex fuga Michaelo imperatori iamque Cpoli proximo Ioannes Exabulius occurrens, cladem forti animo ut ferret hortatus est; simulque percontatus quem copiis praefectum reliquisset? et

Λέοντα εἶπε, τὸν στρατηγὸν τῶν ἀνατολικῶν, ἄνδρα τε ἀγχινούστατον καὶ εὔνουν τῇ βασιλείᾳ. ὅπερ ἀκούσας ὁ Ἐξαβούλιος D
"φανείης μοι, ὦ βασιλεῦ" ἔφη, "πολὺ διαμαρτάνειν τῆς τοῦ ἀνδρὸς διανοίας." καὶ ὁ μὲν εἶπε ταῦτα, οὔπω δὲ ὁ βασιλεὺς ἔφθη τοῖς βασιλείοις ἐπιβῆναι, καὶ ἡ τοῦ Λέοντος ἀνάρρησις κατηγγέλλετο. διαταραχθέντος δὲ τοῦ αὐτοκράτορος πρὸς τὴν ἀκοὴν καὶ σκοπουμένου τὸ ποιητέον, τινὲς μὲν παρῄνουν πᾶσι τρόποις ἔχεσθαι τῆς ἀρχῆς καὶ τῷ τυράννῳ ὡς ἀνυστὸν ἀντικαθίστασθαι· οὗτος δὲ εἰρηνικός τις ἄνθρωπος ὤν, καὶ πράγμασιν ἑαυτὸν ἐπιρρῖψαι μὴ θέλων ἄδηλον ἔχουσιν ἀποτέλεσμα, τοῖς μὲν οὕτω λέγουσιν ἐπετίμα, μὴ ἐρεθίζειν αὐτὸν πρὸς ἐμφύλιον χωρῆσαι μιαιφονίαν, τῶν τινὰ δὲ τῶν οἰκειοτάτων ἐξέπεμψε πρὸς τὸν Λέοντα, P 485
τὰ τῆς βασιλείας ἐπαγόμενον σύμβολα, τὸ διάδημα, τὴν ἁλουργίδα καὶ τὰ κοκκοβαφῆ πέδιλα, αὐτὸς μὲν ὑπισχνούμενος παραχωρῆσαι τούτῳ τοῦ θρόνου, καὶ βέλτιον εἶναι κρίνων καὶ αὐτὴν προΐεσθαι τὴν ζωὴν ἢ χεομένην ἰδεῖν ῥανίδα μικρὰν αἵματος Χριστιανικοῦ, αὐτὸν δὲ πᾶσαν ἀποθέμενον πτοίαν καὶ δισταγμὸν ἐλθεῖν καὶ παραλήψεσθαι τὰ βασίλεια. Προκοπία δὲ ἡ βασιλὶς ἀντιπράττουσα τοῖς δρωμένοις, καὶ καλὸν ἐντάφιον τὴν βασιλείαν λέγουσα εἶναι, ἐπεὶ μὴ ἔπειθεν, ἔσχατον ἐπειποῦσα λόγον ὅτι δεινὸν καὶ πέρα δεινοῦ εἴπερ ἡ τοῦ τυράννου σύζυγος περιβάλοιτο τὸν B
βασιλικὸν μοδίολον, ἐπισκώψασα καὶ πρὸς τὸ ταύτης ὄνομα καὶ Βάρκαν αὐτὴν ὀνομάσασα, ἐσκέπτετο πῶς ἂν διάθοιτο τὰ κατ' αὐτήν. καὶ οἱ μὲν περὶ τὸν βασιλέα ἐν τούτοις ἦσαν, ὁ δὲ τύ-

3 διαμαρτάνων C   13 τὰ add C

imperatore dicente curam eam se commisisse Leoni Orientalium duci, viro prudentissimo animoque erga se amico, Exabulius "videris" inquit "mihi, o imperator, admodum falli iudicio de istius hominis voluntate." enimvero nondum regiam Michaelus intraverat, cum ei annuntiatur Leonem imperatorem esse declaratum. qua fama perterritum, et quid agendum foret deliberantem, hortati quidam sunt ut omni conatu imperium retineret, tyrannoque pro virili se opponeret. verum Michaelus, ut erat ingenio pacis studioso, coniicere se in discrimen tantae rei nolens, acriter eos reprehendit, a quibus ad civiles caedes committendas instigaretur; et suorum quendam intimorum ad Leonem cum diademate purpura ac calceis coccinis (haec imperii sunt insignia) misit, imperio se ei cedere indicans, quod vel vitam amittere potius censeret quam guttulam unam Christiani sanguinis fusam cernere, iubensque eum sine ullo metu aut dubitatione venire et regiam occupare. at Procopia imperatoris uxor contra niti, immoriendumque imperio dicere; cumque maritum a proposito non deduceret, rem omni indignitate indigniorem affirmare, si tyranni uxor imperatorio modiolo se indutura esset, quam et Barcam nomini illudens appellabat; itaque meditari quid de suis rebus statueret.

ραννος διὰ τῆς χρυσῆς πόρτης εὐφημούμενος ὑπό τε τοῦ στρατοῦ καὶ τοῦ δήμου καὶ τῆς συγκλήτου ἦλθεν εἰς τὸν ἐν τοῖς Στουδίου τοῦ προδρόμου ναόν, κἀκεῖθεν δορυφορούμενος κατέλαβε τὰ βασίλεια. μέλλων δὲ ἐπιβατήριον εὐχὴν ἐν τῷ χρυσῷ τρικλίνῳ ἀποδοῦναι τῷ θεῷ, ἐκδυσάμενος ἣν ἔτυχε φορῶν ἐσθῆτα παρέσχετο τῷ τῶν ἱπποκόμων στρατεύοντι Μιχαήλ. τούτου δὲ αὐτὴν ἐξ αὐ- C τῆς ἀμφιασαμένου, οἰωνὸς ἔδοξε τὸ γεγονὸς τοῖς θεασαμένοις ὡς μετὰ Λέοντα τῆς βασιλείας αὐτὸς ἐπιβήσεται. ἑτέραν δὲ μεταλαβόντος ἐσθῆτα τοῦ βασιλέως καὶ ἀπιόντος εἰς τὸν ἐν τῷ παλατίῳ νεών, ὄπισθεν ὁ Μιχαὴλ ἑπόμενος καὶ ἀπροσέκτως βαίνων καὶ προπετῶς τὸ ἄκρον τῆς βασιλικῆς ἐσθῆτος ἐπάτησε· τοῦτο κακὸν οἰωνὸν ὁ Λέων ἡγήσατο, καὶ νεωτερισμὸν ἔσεσθαι ἐξ αὐτοῦ καθυπώπτευσεν.

Εἰσελθόντος δὲ ὅμως τοῦ τυράννου εἰς τὰ βασίλεια καὶ τὴν ἀπραγμόνως διδομένην αὐτῷ βασιλείαν μετὰ πραγμάτων καὶ ταραχῆς οὐ μικρᾶς κατεσχηκότος, Μιχαὴλ ὁ βασιλεὺς καὶ ἡ σύνευ- D νος Προκοπία σὺν τοῖς σφετέροις παισὶν εἰς τὸν τῆς θεοτόκου ναὸν ὃς Φάρος κατονομάζεται προσφυγόντες ἱκέται γίνονται. οὓς ἐκεῖθεν ἀποσπάσας ὁ τύραννος ἀπ' ἀλλήλων διέστησε, καὶ Μιχαὴλ μὲν ὑπερόριον ἐν τῷ κατὰ τὴν νῆσον Πρώτην μοναστηρίῳ ἐποιήσατο, ἐν ᾧ τὴν κοσμικὴν ἀποθέμενος τρίχα τὸν λοιπὸν τῆς ζωῆς διήνυσε χρόνον, Θεοφύλακτον δὲ τὸν πρεσβύτερον τῶν τούτου υἱῶν ἐκτεμὼν συνάμα τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς ἐξορίᾳ παρέπεμ-

2 σπουδίου C, Στουδίοις P 6 στρωτεύοντι C 10 τοῖς παλατίοις C 23 post παρέπεμψεν C: καὶ ταῦτα μὲν ἐπράττετο τῇδε, ἄξιον δὲ καὶ τῆς τοῦ μοναχοῦ τοῦ κατὰ τὸ Φιλομίλιον ἀσκου-

interim Leo tyrannus per auream portam ingressus, exercitu populo senatuque faustis acclamationibus prosequente, ad aedem Ioannis baptistae Studianam pervenit, indeque stipatus in regiam invadit. cum autem in aureo triclinio votum pro felici introitu reddere deo vellet, vestem qua forte indutus erat deponens, Michaelo equisonum praefecto tradidit; qui et illico eam induit. quod qui viderunt, omen esse gerendi post Leonem Michaelo imperii censuerunt. et cum Leo alia veste amictus in templum Palatinum pergeret, sequens a tergo idem Michaelus, dum incautius et temere graditur, oram imperatoriae vestis calcavit. quod pro sinistro omine Leo accepit, novas hunc aliquando res moliturum praesagiens.

Ingresso in regiam Leone, sibique placide oblatum imperium non sine negotiis et magno tumultu occupante, Michaelus Rancabes cum uxore Procopia et liberis in fanum deiparae, quod Pharus dicitur, supplicandi causa se contulerunt. quos inde avulsos Leo seiunxit, ac Michaelum quidem in Protae insulae monasterium deportavit, ubi is coma rasa, huic saeculo valedicens, reliquum vitae exegit; Theophylactum autem natu maiorem eius filium castratum cum matre et fratribus rele-

ψεν. οὐ παρέλκον δὲ ἴσως ἱστορῆσαι καὶ ὅπως τῷ βασιλεῖ Μιχαὴλ προδεδήλωται ἡ τῆς βασιλείας ἀποβολή.

Παιδίσκη τις ἦν οἰκογενὴς τῷ Μιχαήλ· αὕτη κατὰ τὰς σεληνιακὰς συνόδους πάθει μανίας ἡλίσκετο. ὁπότε γοῦν ἁλῴη τῷ πάθει, εἰς τόπον ἐρχομένη ἐν ᾧ βοῦς τε καὶ λέων ἵδρυνται λίθινοι (κἀκ τούτων ἔχει τὴν προσηγορίαν ὁ τόπος, Βουκολέων ὀνομαζό-

μένου ἐπιμνησθῆναι προρρήσεως· ἀνήρ τις τῶν ἄγαν διαφανῶν, Βαρδάνιος τοὔνομα, Τοῦρκος τὴν προσηγορίαν, ἐν τοῖς πρώτοις τῆς συγκλήτου τελῶν, πατρικιότητος τετιμημένος καὶ δομέστικος τυγχάνων τῶν σχολῶν τῆς ἀνατολῆς, ἀεὶ τυραννίδι μελετῶν ἐπιθέσθαι καὶ τῆς βασιλείας, εἰ δύναιτο, γενέσθαι ἐγκρατής, καὶ ἐναντίοις διὰ παντὸς βαλλόμενος λογισμοῖς, καὶ φλεγόμενος μὲν ὑπὸ τοῦ τῆς βασιλείας ἔρωτος, δεδιὼς δὲ καὶ φρίσσων πρὸς τὸ τοῦ συμπεράσματος ἄδηλον, ἐπείπερ ἐπύθετο κατὰ τὸ Φιλομίλιον ἔγκλειστόν τινα εἶναι μοναχὸν ἀρετῆς τε εἰς ἄκρον ἐληλακότα καὶ προλέγειν τὰ μέλλοντα φήμην ἔχοντα, ἐγνώκει δὲ εἶναι κοινώσασθαι τούτῳ τὸ βούλημα καὶ τὴν ἐξ αὐτοῦ δέξασθαι κρίσιν. σκεψάμενος δ' οὕτως καὶ σκηψάμενος κυνηγέσιον, μεθ' ἑαυτοῦ τε λαβὼν τὸν Λέοντα δι' εὐπρέπειάν τε προσώπου καὶ γενναῖον κατάστημα καὶ τὸ πολλοῖς ἐμπρέψαι πολιτικοῖς προτερήμασιν ὑπηρετοῦντά τε αὐτῷ καὶ τῶν ἱπποκόμων κατάρχοντα, σὺν τούτῳ δὲ καὶ μοναχὸν (Μιχαὴλ?) τὸν ἐξ Ἀμορίου τὸν τραυλόν, ὃν προείπομεν, καί τινα πρὸς τούτοις Θωμᾶν, ἕλκοντα μὲν τὸ γένος ἐξ Ἀρμενίων, τὴν δ' οἴκησιν ἔχοντα κατὰ τὴν λίμνην τοῦ Γαζουροῦ, τὸ παρεπόμενον αὐτῷ πολὺ πλῆθος ἔν τινι τόπῳ προσμένειν παραγγείλας αὐτὸς μετὰ τῶν εἰρημένων ἀνδρῶν τὸν φωλεὸν καταλαμβάνει τοῦ μοναχοῦ, πρὸς ἐκεῖνόν τε μόνος εἰσελθὼν κοινοῦται τὰ τῆς μελέτης. καὶ ὁ μοναχὸς τούτων ῥηθέντων αὐτῷ εὐθύς τε ἀπέτρεπε τῶν δεδογμένων καὶ διεμαρτύρετο ὡς εἰ μὴ πεισθεὶς ἀπόσχοιτο τοῦ σκοποῦ, τό τε φῶς τῶν οἰκείων ὀφθαλμῶν ἀποβαλεῖται καὶ περιουσίας ἔκπτωσιν ὑποστήσεται. τούτων ῥηθέντων ὁ στρατηγὸς ἀθυμίᾳ τε κατεσχέθη πολλῇ καὶ μικροῦ δεῖν καὶ αὐτῶν ἐξεστηκὼς ἐγένετο τῶν φρενῶν. ὅμως τῆς συνήθους εὐχῆς ἀποδοθείσης καὶ μέλλοντος ἀπαίρειν ἤδη τοῦ στρατηγοῦ, καὶ τοῦ ἵππου ᾧ ἐπωχεῖτο διακομισθέντος, οὗ τὸν μὲν χαλινὸν κατεῖχεν ὁ Μιχαήλ, τὴν δὲ δεξιὰν τῆς ἐφεστρίδος βάσιν ὁ Θωμᾶς, ὁ δὲ Λέων ἀνεβάσταζεν ἀναβαίνοντα τὸν ἵππον τὸν στρατηγόν, προκύπτων ἐκ τῆς θυρίδος ὁ μοναχὸς καὶ ἄνωθεν κατιδὼν τοὺς ἄνδρας ὑποστρέφειν ἐκέλευε τὸν Βαρδάνιον. ὁ δὲ μετὰ περιχαρείας ἐδέξατο τὴν ἀνάκλησιν, καὶ θᾶττον ἢ λόγος ἀποβὰς τοῦ ἵππου εἴσεισι δρομαῖος πρὸς τὸν μονάζοντα, προσδοκήσας καταθύμιόν τι ἀκούσεσθαι. ἔγγιον δὲ πάλιν τοῦτον παραστησάμενος "σοὶ μὲν ὦ στρατηγὲ" ἔφη ὁ μοναστής "καὶ πάλιν συμβουλεύω καὶ παραινῶ μηδ' εἰς ἐνθύμιον ὅλως ἀγαγεῖν τὰ βεβουλευμένα, ἢ μὴν εἰδέναι ὡς πήρωσίς τε ὀμμάτων καὶ οὐσίας ἀφαίρεσις ἕψεταί σοι. οἱ δὲ τρεῖς ἄνδρες οἱ κομίσαντές σοι τὸν ἵππον, ὅ τε μετεωρίσας σε ἐποχεῖσθαι μέλλοντα

1 δηλῶσαι C   τῷ] καὶ τῷ P   3 βασιλεῖ C

gavit. fortassis supervacaneum non fuerit narrare quo pacto Rancabae imperii amissio fuerit praedicta.

Habebat vernam quandam puellam, quae sub lunae cum sole coitu furore perciebatur. quo modo affecta ad locum cui Bucoleoni a bove

μενος) ἐβόα γεγωνοτέρᾳ φωνῇ πρὸς τὸν βασιλέα "κάτελθε, κάτελθε,
P 486 ὑποχώρει τῶν ἀλλοτρίων." τοῦτο πολλάκις γινόμενον θάμβος
ἐνεποίει τῷ βασιλεῖ, καὶ εἰς φροντίδας οὐ τὰς τυχούσας ἐνέβαλε.
διὸ καὶ κοινολογεῖται περὶ τοῦ πράγματος τῶν συνήθων τινὶ καὶ
οἰκείων Θεοδότῳ τῷ υἱῷ Μιχαὴλ πατρικίου τοῦ Μελισσηνοῦ, ὃν
δὴ καὶ Κασσιτηρᾶν κατωνόμαζον, καὶ διάπειραν ἔσπευσε τῶν λεγομένων λαβεῖν. ὁ δὲ γνώμην δίδωσι τοιάνδε, ἵν᾽ ἐπειδὰν κάτω-

πρῶτος καὶ ὁ τὸν χαλινὸν δὲ κατέχων δεύτερος ἐπιλήψεται τῆς βασιλείας, καὶ ὁ τρίτος ὁ τὴν τοῦ δεξιοῦ σου ποδὸς βάσιν κατέχων ἐπιτεύξεται μὲν ἀναρρήσεως, οὐ μήν γε καὶ βασιλείας, ἀλλ᾽ οἰκτίστῳ θανάτῳ καταστρέψει τὸ ζῆν." τούτων ἀκούσας ὁ Βαρδάνιος ἐν γέλωτι τὰ λελεγμένα ἐτίθετο καὶ τῆς ἐπὶ τῷ μοναχῷ μετέπιπτεν ὑπολήψεως, ἀντὶ θεοπρόπου καὶ τῶν μελλόντων προβλεπτικοῦ γόητα τοῦτον ἀποκαλῶν καὶ μηδενὸς τῶν ἔσεσθαι μελλόντων προγνωστικόν, συλλογιζόμενος ὡς εἰκὸς ἀπὸ τῆς τῶν προσώπων ποιότητος καὶ κακίζων τὴν πρόρρησιν, εἰ ὁ μὲν ἀνὴρ πατρίκιος καὶ εἰς τὸν τῶν δομεστίκων θῶκον κεκαθικὼς καὶ πλείστην ὅσην δύναμιν περιεζωσμένος καὶ γένους λαμπροῦ καὶ οἰκίας ἐπιφανοῦς ἀστοχήσει τοῦ ἐφετοῦ, ἄνδρες δὲ ἀφανεῖς καὶ θητεύοντες καὶ μηδ᾽ εἰπεῖν ἔχοντες ἐξ οἵων ἔφυσαν τῶν προγόνων ἐς τὸ βασίλειον ἀναχθεῖεν ὕψος. οὕτω δὲ διαπαίξας καὶ μυκτηρίσας τὰ λεγόμενα ἐπάνεισι πρὸς τὴν οἰκείαν ἀρχήν, καὶ τοῖς συνωμόταις διαλεχθεὶς ἀνταίρει χεῖρα κατὰ τοῦ βασιλέως· Νικηφόρος δ᾽ ἦν ὁ ἀπὸ γενικῶν τὰς ἡνίας τότε τῆς βασιλείας ἰθύνων. χεῖρά τε οὖν ὡς πλείστην ἀθροίσας καὶ βασιλεὺς ἀναγορευθεὶς περὶ Βιθυνίαν στρατοπεδεύεται. καὶ ὁ βασιλεὺς δὲ ἄρτι τὴν κίνησιν τοῦ Βαρδανίου ἀκηκοὼς ἀξιόχρεων αὐτῷ ἐπαφίησι δύναμιν. συρράξαι δὲ ἀλλήλοις μελλόντων τῶν στρατευμάτων συγγνώμην ὁ Βαρδάνιος ἐξαιτεῖ καὶ ἀμνηστίαν κακῶν, ἣν αὐτῷ ἐνωμότως ὁ Νικηφόρος παρεσχηκὼς ἐν τῇ νήσῳ Πρώτῃ εἰς τὸν ἐκεῖσε φιλοπονηθέντα αὐτῷ ἀγρὸν ὑπερόριον τίθησι. χρόνος οὐ πολύς, καὶ στρατιῶταί τινες ἐκ Λυκαονίας, εἴτ᾽ ἐξ οἰκείας ὁρμῆς εἴτε καὶ τοῦ βασιλέως ἀφανῶς ἐπισκήψαντος, ἐπιθέμενοι τῷ ἀγρῷ τὸν Βαρδάνιον ἐκτυφλοῦσι καὶ τῇ μεγάλῃ τοῦ θεοῦ προσφεύγουσιν ἐκκλησίᾳ. Λέων δὲ καὶ Μιχαὴλ καὶ Θωμᾶς, ὡς ἔφαμεν, τῷ Βαρδανίῳ διακονοῦντες τῆς στάσεως ἀναφθείσης τῷ βασιλεῖ προσεχώρει· ὧν ὁ μὲν Λέων τοῦ τῶν φοιδεράτων ἡγεμὼν ἀνεδείχθη τάγματος, Μιχαὴλ δὲ ὁ τραυλὸς τὴν τοῦ κόμητος κόρτης ἀρχὴν ἐγχειρίζεται, Θωμᾶς δὲ καὶ μέχρι τέλους τὴν πίστιν τῷ οἰκείῳ δεσπότῃ τηρῶν διέμεινεν. ἐκδρομῆς δέ τινος τηνικαῦτα Σαρακηνῶν γενομένης κατὰ Ῥωμαίων ὑποστρατηγῶν τῷ τότε τῶν ἀνατολικῶν ἄρχοντι τὴν ἀρχὴν ὁ Λέων καὶ δύναμιν ὑφ᾽ ἑαυτὸν ἔχων συμπλέκεται τοῖς Ἀγαρηνοῖς καὶ τρόπαιον ἵστησιν. ὀνόματός τε οὖν ἐκ τούτου τυγχάνει καὶ πρὸς τοῦ βασιλέως Μιχαήλ, ἤδη τοῦ Νικηφόρου ἀναιρεθέντος, τὸ τῶν πατρικίων λαμβάνει ἀξίωμα. καὶ ταῦτα μὲν συνηνέχθη γενέσθαι ὧδε.

6 κατονομαζόμενον C

et leone saxeis ibi dedicatis nomen est, se conferens, contenta voce ad imperatorem clamabat "descende, descende, cede alienis." hoc saepenumero factum imperatori metum solicitudinemque haud mediocrem iniecit. itaque rem cum familiari ac domestico suo quodam Theodoto Michaeli filio patricii Melisseni, cui et Cassiterae cognomentum fuit, communicat, cupiens eorum quae praedicebantur periculum facere. is

χον τῇ μανίᾳ γένηται τὸ κοράσιον κατασχεθῇ, καὶ διερωτηθῇ τίνι προσήκουσα ἡ οἰκία τοῦ παλατίου ἐστί, καὶ ὁποῖον εἴη τούτῳ τὸ γνώρισμα. ἐγένετο τοῦτο, τοῦ Θεοδότου τῇ πράξει ὑπηρετοῦντος. καὶ τὸ τῇ κατοχῇ κατάσχετον γύναιον ἐρωτηθὲν τήν τε κλῆσιν ἐμφαίνει τοῦ Λέοντος καὶ τὸν χαρακτῆρα καὶ τὴν μορφήν, B προστίθησί τε ἀπελθεῖν κατὰ τὴν ἀκρόπολιν, ἐν ᾗ συναντήσειε δυσὶν ἀνδράσιν, ὧν ὁ τῷ ἡμιόνῳ ἔποχος ἐπιβήσεται πάντως τῆς βασιλείας. ἡ μὲν οὖν εἶπε, καὶ Θεόδοτος ἠκριβώσατο εἰς τὸν εἰρημένον ἀπελθὼν τόπον, τὸν ἄνδρα τε κατεφώρασεν ἐκ τῶν γνωρισμάτων, καὶ κατ' οὐδὲν διαψεύδεσθαι ἔγνω τὴν ἄνθρωπον. τῷ μὲν οὖν βασιλεῖ ἀπήγγειλε τῶν ἐγνωσμένων οὐδέν, κενολογίαν δὲ τὰ τῆς γυναικὸς ἐκάλει ῥήματα καὶ φλυαρίαν μηδὲν ἴχνος φέρουσαν ἀληθείας. τὸν Λέοντα δὲ λαβὼν τῆς χειρός, καὶ εἰς τὸν ναὸν εἰσελθὼν Παύλου τοῦ ἀποστόλου κατὰ τὸ ὀρφανοτροφεῖον, C καὶ πίστεις δοὺς αὐτῷ καὶ λαβών, ἀνακαλύπτει τὰ ἔκφορα, τὴν μὲν ἀλήθειαν ἀποκαλύψας, εἰπὼν δ' ἐκ θείας ἀποκαλύψεως πεπληροφορῆσθαι ὡς τῆς Ῥωμαίων ἡγεμονίας πάντως ὁ Λέων γενήσεται ἐγκρατής. ἐκβεβηκυίας δὲ τῆς προρρήσεως ἐζήτει μὴ ἄμισθον αὐτῷ γενέσθαι τὸ εὐαγγέλιον. καὶ ὁ Λέων, εἰ ὁ λόγος εἰς ἔργον ἐκβαίη, ὑπίσχετο ὧν δέοιτο μὴ ἀτυχήσειν αὐτόν. ἀλλὰ ταῦτα μὲν συνετίθετο οὕτως.

Συνέβη δὲ καὶ δι' ἄλλας μὲν αἰτίας Ῥωμαίοις τε καὶ Βουλ-

1 κατασχεθῆναι τοῦτο καὶ διερωτᾶσθαι C 10 διαψεύσασθαι C 12 ἔχουσαν C

consulit ut puella furore iam corripiente comprehendatur, interrogeturque ad quemnam domus Palatina pertineat, quibusque is notis agnosci queat. hoc consilium ipsius Theodoti opera imperator est exsecutus. ergo puella cum fureret comprehensa et interrogata Leonem nominatim indicavit eiusque notas et formam descripsit. quin et praeterea Theodotum descendere ab arce iussit: ibi ei duos viros obviam futuros, quorum alter mulo insidens omnino sit imperio potiturus. Theodotus ad indicatum sibi locum ivit rei explorandae causa, hominemque ibi iis quas puella docuerat ex notis agnovit, eamque sensit minime falsum praedicere. neque tamen imperatori rem aperuit, sed nugari mulierculam vanaque eius verba nullum veritatis vestigium continere dixit. ipse Leonem manu apprehensum in aedem divi Pauli apud orphanotropheum (sic vocatur domus pupillis fovendis destinata) deducit, dataque et accepta fide, puellae historia dissimulata, divina quadam patefactione se certo cognovisse ait Leonem Romanorum imperatorem haud dubie fore; petitque ut hanc praedictionem eventu comprobante, se huius tam laetae rei nuntium remuneraturum is polliceatur. stipulatur Leo, siquidem exitus his verbis sit responsurus, Theodotum a se nihil frustra petiturum. atque ita quidem inter hos tum pactum est.

Ceterum bellum inter Romanos et Bulgaros, quo cladem passos im-

γάροις ἀναρριπισθῆναι τὸν προρρηθέντα πόλεμον, οὐχ ἥκιστα δὲ
D καὶ διὰ τὴν ῥηθήσεσθαι μέλλουσαν. Βούλγαροί τινες ἐξ ἠθῶν ἀναστάντες τῶν πατρῴων τὴν Ῥωμαίων καταλαμβάνουσι παγγενεί, καὶ παρὰ τοῦ βασιλέως προσδεχθέντες Μιχαὴλ ἐν διαφόροις ἐγκατοικίζονται χώραις. καί τινες δὲ Ῥωμαῖοι τῶν ἐν τοῖς προηγησαμένοις αἰχμαλωτισθέντων πολέμοις τὰ δεσμὰ διαρρήξαντες εἰς τὰς ἑαυτῶν ἐπανῆκον πατρίδας. τούτους ἅπαντας ὁ τῶν Βουλγάρων ἀρχηγὸς Κροῦμος ἐκδοθῆναί οἱ ἀπῄτει. τισὶ μὲν οὖν τῶν Ῥωμαίων ἐπαινετὴ ἐδόκει ἡ ἔκδοσις, ᾗ τινὶ καὶ ὁ βασιλεὺς καί τινες ἀξιόλογοι συγκατετίθεντο μοναχοί· ᾤοντο γὰρ διὰ τῆς τῶν προσφύγων ἐκδόσεως τῆς βαρβαρικῆς ἀπαλλαγήσεσθαι λεηλασίας.
P 487 τινὲς δ' ἀπηρέσκοντο πρὸς τὴν γνώμην, ὧν κορυφαῖος ἐτύγχανε Νικηφόρος ὁ πατριάρχης καὶ ὁ μάγιστρος Θεόκτιστος ἐπ' ἀρετῇ καὶ συνέσει πρωτεύων τῷ τότε, καὶ ἄλλοι δὲ οὐκ ὀλίγοι, ἐφεῖναι λέγοντες τὰ καθ' ἑαυτοὺς τῷ θεῷ, καὶ μὴ διὰ προσφύγων ἐκδόσεως τὴν τοῦ θεοῦ παραλιπόντας παναλκῆ βοήθειαν τὴν τοῦ βαρβάρου ἐξευμενίζεσθαι ἀλαζονείαν. μηδαμῶς δὲ συμβάσης τῆς τοιαύτης ἐπιτάσεως τοῦ Κρούμου, ὁ προλεχθεὶς ἀνερριπίσθη πόλεμος, καὶ ἡ τροπὴ καὶ ὁ πολὺς φθόρος τῶν Ῥωμαίων ἐπηκολούθησεν, ἄλλο τι τοῦ θεοῦ ὡς ἔοικε προοικονομοῦντος.

Τέως δὲ τὴν βασίλειον ἀρχὴν περιζωσάμενος ὁ Λέων Θωμᾶν
B μέν, ἕνα τῶν τριῶν ὄντα οὓς ὁ λόγος ἱστόρησε φθάσας συνεῖναι τῷ Βαρδανίῳ ὁπηνίκα πρὸς τὸν μοναχὸν ἐν τῷ Φιλομιλίῳ ἐφοίτησεν, ἄνδρα νέον καὶ ὁρμητίαν τουρμάρχην ἀνέδειξε τοῦ φοιδερά-

16 ἔκδοσιν C   18 προρρηθεὶς C   21 βασιλείας C

perante Rancaba demonstravimus, cum aliis de causis conflatum fuerat, tum eam vel praecipuam habuit quam referemus. Bulgarica quaedam gens paternis sedibus relictis in dicionem Romanam immigraverat, ac concedente imperatore Rancaba hinc inde sedes posuerat. sed et Romanorum quidam superioribus bellis a Bulgaris capti ruptis vinculis domum redierant. eos universos Crumus Bulgarorum princeps dedi sibi postulaverat. et sane quidam Romanorum dedendos iudicaverant, in eamque sententiam et imperator et magni aliquot nominis monachi concesserant: perfugarum enim deditione se barbaricis praedationibus liberatum iri sperabant. alii autem eam sententiam improbaverant, quorum princeps Nicephorus patriarcha et Theoctistus magister, sua aetate virtute et prudentia praestantissimus, aliique non pauci. nam hi deo committendam suam salutem iudicabant, neque transfugarum deditione barbarorum placandam superbiam, omnipotenti auxilio dei posthabito. proinde Crumo repulsam passo bellum id exarsit, quo ingens Romanorum accidit clades, aliud nimirum deo iam tum aliquid praemoliente.

At Leo imperio potitus Thomam, unum ex tribus iis quos Bardanio affuisse narravimus, cum is Philomelii monachum consuleret, inve-

των τάγματος, Μιχαὴλ δὲ τὸν τραυλόν, καὶ αὐτὸν ἕνα τῶν τριῶν
ὄντα, οὗ τὸν υἱὸν ἐκ τῆς ἁγίας ἀνεδέξατο κολυμβήθρας, πατρί-
κιον ἀνεῖπε καὶ κόμητα τῆς τῶν ἐξκουβίτων σχολῆς, καὶ τἆλλα
διεπόνει τῆς βασιλείας καθώσπερ ἦν αὐτῷ βουλητόν. οἱ Βούλ-
γαροι δὲ πλέον τῇ πρὸ μικροῦ τῶν Ῥωμαίων ἥττῃ ἐκφυσηθέντες
τὴν Θρᾴκην κατέτρεχον καὶ τὰ ἐν ποσὶν ἐδῄουν καὶ ἐληΐζοντο.
ἔδοξεν οὖν τῷ βασιλεῖ πρεσβείαν στεῖλαι καὶ λόγους κινῆσαι περὶ
εἰρήνης. τοῦ δὲ Βουλγάρου φρυαξαμένου καὶ τὴν εἰρήνην παρω-
σαμένου, ἐδέησε μάχης ἐξ ἀνάγκης τῷ βασιλεῖ. καὶ γοῦν καὶ
συναθροισθέντων τῶν στρατευμάτων μάχη συνέστη κρατερά, καὶ C
πάλιν ἡττήθη τὰ Ῥωμαϊκὰ στρατεύματα. τῶν δὲ Βουλγάρων τῇ
διώξει ἐπικειμένων, ὁ βασιλεὺς ἔν τινι ὑπερδεξίῳ τόπῳ ἑστὼς μετὰ
τῆς περὶ αὐτὸν ἑταιρείας κατεσκόπει τὰ δρώμενα. καὶ κατανοή-
σας ὡς ἀσύντακτοι καὶ πᾶσαν τάξιν ἀπολείποντες οἱ Βούλγαροι
ἐπιδιώκουσι τοὺς φεύγοντας, παρακαλέσας τοὺς ἀμφ' αὐτὸν καὶ
ἄνδρας ἀγαθοὺς γενέσθαι καθικετεύσας καὶ μὴ τῶν Ῥωμαίων εὔ-
κλειαν περιιδεῖν χωροῦσαν εἰς τὸ μηδέν, ἐπιτίθεται ῥαγδαίως αὐ-
τοῖς. καὶ τῷ παραδόξῳ τῆς ἐπιθέσεως τρεψάμενος τοὺς παρατυ-
χόντας, καὶ τὸ λοιπὸν τῶν Βουλγάρων στράτευμα τῷ αἰφνιδίῳ
κατέπληξε καὶ ταραχῆς καὶ φόβου ἐνέπλησε, καὶ ἀλκῆς οὐδεὶς
ἐμέμνητο. τούτων ἔπεσον μὲν ἐν τῇ προσβολῇ πολλοί, καὶ αὐτὸς
ὁ τῶν ὅλων ἀρχηγός, εἰ καὶ ταχέως ὑπὸ τῶν οἰκείων ἵππῳ κέλητι D
ἀναχθεὶς δρασμῷ τὴν σωτηρίαν ἐπραγματεύσατο, ἑάλωσαν δὲ καὶ

2 ἐδέξατο C 5 νίκῃ P 7 κινῆσαι add C 20 πτοίας C

nem acris animi, turmae ordinis foederatorum praeficit; Michaelum vero Balbum, hunc quoque ex iis tribus unum, cuius filium ex sacro lavacro susceperat, patricium creat et comitem scholae excubitorum facit, reliquasque imperii res pro suo arbitrio constituit. interea Bulgari recenti adhuc de Romanis victoria inflati in Thraciam incursiones faciebant, et obvia quaeque depraedando populandoque vastabant. visum ergo est imperatori legatos pacis componendae causa ad Bulgarum mittere: sed eo ferociente ac pacem superbe recusante, coactus est bello decernere. commisso autem grandi praelio, cum denuo Romani exercitus vincerentur Bulgarique iis persequendis se darent, Leo cum suo sodalitio eminenti loco stans pugnamque spectans animadvertit Bulgaros ordinibus suis solutis effuse persecutioni se dedisse. ibi tum cohortatus suos, obtestatusque ut fortes et strenuos se praeberent neque Romanorum gloriam ad nihilum redigi paterentur; magno cum impetu hostes adoritur; et obvios improvisa impressione pellens, subita re Bulgarorum omnem exercitum perterret, eamque trepidationem inter eos excitat ut virtus omnis animis eorum abierit. ceciderunt eo in praelio complures Bulgari, atque ipse etiam imperator: sed is celeriter a suis in equum liberum impositus fuga salutem consecutus est. multo plures capti sunt quam

τῶν πεσόντων πολλῷ πλείους. τοῦτο τὸ ἔργον τὰ μὲν τῶν Βουλγάρων ἐταπείνωσε φρονήματα, τὰ δὲ τῶν Ῥωμαϊκῶν κεκυφότα καὶ πρὸς γῆν νεύοντα ἀναθαρρῆσαι πεποίηκεν. ὁ δὲ βασιλεὺς μετὰ λαμπρῶν τῶν τροπαίων καὶ λείας ὅτι πολλῆς τὴν βασιλίδα καταλαβὼν τῶν ἐν χερσὶν εἴχετο πραγμάτων.

Ἄρτι δὲ καὶ εἰς μνήμην ἐλθὼν τοῦ κατὰ τὸ Φιλομήλιον μοναχοῦ, ἔγνω δώροις καὶ ἀναθήμασιν αὐτὸν τῆς ἐπ' αὐτῷ προφη-
P 488 τείας ἀμείψασθαι. ἐξαπέστειλε γοῦν τινὰ τῶν πιστοτάτων, ἀναθήματα εἰς αὐτὸν κομίζοντα καὶ ἔπιπλα καὶ σκεύη ἀργυρᾶ καὶ χρύσεα καὶ εἴδη εὐώδη τῶν εἰς ἡμᾶς ἐξ Ἰνδίας κομιζομένων. ἀλλ' ἐκεῖνος μὲν ὁ μοναχὸς ἔτυχε προαποθανεῖν, κατέστη δὲ τῇ κέλλῃ αὐτοῦ διάδοχος μοναχός τις ἄλλος, τὴν κλῆσιν Σαββάτιος, τῆς ἀθέου τῶν εἰκονομάχων αἱρέσεως ἀνάπλεως ὤν. ἐς τοῦτον ὁ παρὰ βασιλέως πεμφθεὶς ἀφικόμενος τά τε ἀπεσταλμένα τῷ αὐτοῦ καθηγητῇ παρὰ βασιλέως δῶρα δέξασθαι παρηγγύα, καὶ γράμμασι καὶ εὐχαῖς τὸν πέμψαντα ἀνταμείψασθαι. ὁ δὲ τὰ μὲν ἀπεσταλμένα λαβεῖν οὐκ ἠθέλησεν, αὐτὸν δὲ ὀπισθόρμητον ἀπιέναι
B παρεκελεύσατο, ἀνάξιον εἶναι λέγων καὶ τὸν βασιλέα τῆς ἁλουργίδος ὡς εἰδώλοις προστετηκότα καὶ τοῖς λόγοις ἑπόμενον Εἰρήνης τῆς βασιλίδος καὶ Ταρασίου τοῦ πατριάρχου, ὧν τὴν μὲν παρδὼ καὶ θυάδα τὴν Εἰρήνην, τὸν δὲ τὸν ἐν πατριάρχαις ἀοίδιμον Ταράξιον κατωνόμαζεν ὁ παμμίαρος. ἠπείλει δὲ καὶ ταχεῖαν ἔκπτωσιν τῆς βασιλείας τῷ βασιλεῖ καὶ τοῦ βίου καταστροφήν, εἰ μὴ

12 τῇ κλήσει C   16 εὐχῇ P   17 ἠθελήκαν C   ἰέναι παρεκελεύετο C

interfecti. hoc praeclarum facinus Bulgarorum insolentiam depressit, et animos Romanorum demissos atque prostratos confirmavit et erexit. Imperator amplissimo cum triumpho et spoliis in urbem reversus ad alia negotia animum adiecit.

Quo tempore etiam monachi Philomeliensis recordans, vaticinationem eius de se constituit muneribus atque donariis compensare. mittit ergo suorum quendam fidelissimum qui ad eum deferret donaria, supellectilem, vasa argentea et aurea ac species odoratas, quales ad nos ex India afferuntur. verum is monachus iam tum vitam cum morte commutarat, successeratque ei Sabbatius quidam totus impiae imaginiperdarum haeresi immersus. ad eum cum venisset legatus imperatoris, hortatus est ut munera praeceptori suo missa acciperet, literisque et precibus imperatorem remuneraretur. at Sabbatius munera respuere, ipsum retro abire iubere, adeoque imperatorem dignatione ista indignum dicere, imaginum cultui deditum et Irenae imperatricis Tarasiique patriarchae statutis obtemperantem. Irenam impurissimus homo pardalim et baccham, Tarasium vero nobilem in patriarcharum numero, Taraxium quasi turbatorem, denominabat. celerem quoque imperii et vitae amis-

θᾶττον τοῖς αὐτοῦ λόγοις πεισθεὶς τὰς θείας καταστρέψειε στηλογραφίας. δεξάμενος δὲ τὰ γράμματα ὁ αὐτοκράτωρ, καὶ παρὰ τοῦ ἀγγέλου δὲ μαθὼν ὅσα τε ὁ μοναχὸς εἶπε καὶ ὅσα αὐτὸς ἤκουσε, καὶ ταραχῆς ἀνάπλεως γεγονώς, Θεόδοτον μετεπέμψατο τὸν Μελισσηνὸν καὶ περὶ τοῦ σκέμματος ἀνεκοινοῦτο τὰ ποιητέα. C ὁ δὲ καὶ πάλαι τῇ τοιαύτῃ αἱρέσει κατεσχημένος, καὶ καιρὸν ζητῶν παρρησιάσασθαι τὴν ἀσέβειαν, ὑποτίθησι τῷ βασιλεῖ τοιάνδε τινὰ συμβουλήν. μοναχόν τινα φήσας εἶναι ἔργων παραδόξων δημιουργόν, τὰς οἰκήσεις ποιούμενον ἀνὰ τὸν Δαγιστέα, "τούτῳ δεῖ" φησί "προσαναθέσθαι τὴν πρᾶξιν, καὶ ὅπερ ἂν ἐκεῖνος ὑπόθοιτο, τοῦτο δεῖ καὶ ποιῆσαι." καὶ ταῦτα μὲν εἶπε πρὸς τὸν βασιλέα, ἐκεῖθεν δὲ ἐξελθὼν ἄπεισι ταχέως πρὸς τὸν μονάζοντα, καὶ φησὶ πρὸς αὐτὸν ὡς τῇ ἐπιούσῃ νυκτὶ ἐλεύσεταί σοι ὁ βασιλεὺς ἐν εὐτελεῖ τῇ περιβολῇ, ἐρωτήσων περὶ τῆς πίστεως καὶ ἄλλων ἀναγκαιοτάτων πραγμάτων. σὺ δὲ ἀλλὰ μέμνησο ταχεῖάν τε τοῦ D βίου καταστροφὴν καὶ τῆς βασιλείας ἔκπτωσιν ἀπειλῆσαι αὐτῷ, εἰ μὴ ἑκών γε αἱροῖτο τῷ τοῦ βασιλέως Λέοντος τοῦ ἐξ Ἰσαυρίας προστεθῆναι δόγματι καὶ τὰ εἴδωλα τῶν θείων σηκῶν ἐξορίσαι (τὰς θείας εἰκόνας οὕτω καλέσας), ἐπαγγείλασθαί τε τοῦ εἰρημένου βίου γενομένῳ ζωῆς τε μακρὰν βιοτὴν καὶ τῆς βασιλείας κυβέρνησιν εὐτυχῆ τε καὶ πολυχρόνιον. οὕτω παιδαγωγήσας τὸν μοναχόν, καὶ ἃ μέλλει λέγειν ἐς βασιλέα παιδεύσας, ἐπάνεισι. μετὰ μικρὸν δὲ καὶ τὸν βασιλέα νυκτὸς ἐν ταπεινῷ τῷ σχήματι

8 συνβουλίαν C 11 ποιητέον C 18 προσθεῖναι δόγματος C. an προστῆναι? 22 ὡς C

sionem Leoni minari, nisi quamprimum sibi parens sacras deiiceret imagines. imperator iis literis acceptis, cum ex legato intellexisset quae ex monacho audivisset, animo maiorem in modum perturbato Theodotum Melissenum ad se vocat, cumque eo quid agendum sit deliberat. at vero Theodotus iampridem haeresi ista infectus, occasionemque palam impietatem profitendi praestolatus, hoc consilii dat imperatori, in Dagistensi monasterio degere monachum quendam mirabilia edentem facinora: cum hoc rem communicandam, eiusque sententiae obtemperandum. haec cum Leone locutus statim ab hoc ad monachum eum se confert, indicatque imperatorem vili habitu ad ipsum proxima nocte venturum, et de religione consulturum aliisque gravissimis negotiis. proinde meminisset ei praesentem imperii vitaeque amissionem denuntiare, nisi ultro Leonis Isauri imperatoris decretum amplectens idola (sic sacras imagines appellabat) divinis aedibus exturbaret: sin hoc fecisset, fore dominationem vitamque eius diuturnam atque felicem. hoc modo subornato monacho, et quae cum imperatore loqui deberet instructo, abiit. paulo post noctu imperatorem vili habitu velatum ad monachum adducit. ibi

προσλαβόμενος ἔρχεται πρὸς τὸν μοναχόν, καὶ τῆς διαλέξεως ἤδη λαμβανούσης ἀρχὴν ἔγγιστα τὸν βασιλέα παραστησάμενος ὁ μοναχὸς ὡς τάχα προεγνωκὼς ἐκ θείας ἐπιπνοίας τὸ βασιλικὸν ἀξίωμα
P 489 "οὐκ εὔλογα" ἔφη "ποιεῖς, ὦ βασιλεῦ, παραλογιζόμενος ἡμᾶς τῇ ἰδιωτικῇ ἀμπεχόνῃ, καὶ τὸν ἔνδον αὐτῆς κρυπτόμενον ἐπικαλύπτων βασιλέα. ἀλλ' εἰ καὶ σὺ μὲν οὕτως, ἀλλ' ἡ τοῦ θείου πνεύματος χάρις ἡμᾶς οὐκ εἴασεν ἐπὶ πλέον οὕτω κατασοφίζεσθαι ὑπό σου." τοῦτο ὡς ἤκουσεν ὁ βασιλεύς, καὶ ὡς οὐκ ἔλαθεν ἐν εὐτελεῖ προσχήματι τὸ βασιλικὸν κρύπτων ἀξίωμα, κατεπλάγη τε, ὡς ἦν εἰκὸς τὸν τὸ σκαιώρημα ἀγνοοῦντα, καὶ τόν τε μοναχὸν ὡς θεῖον ἄνδρα ἐγνώρισε, καὶ τὰ προσταττόμενα παρ' αὐτοῦ εὐπειθῶς καὶ μετὰ ταχύτητος ποιήσειν ἐπήγγελτο, καὶ τῶν σεβασμίων εἰκόνων ἐπιψηφίζει καθαίρεσιν. καὶ πρότερον μὲν ἐν τῷ
B λεληθότι διεσκοπεῖτο πῶς ἂν αὐτῶν ἐκτελεσθῇ τὸ σπούδασμα, καὶ μή τις στάσις ἀνεγερθῇ περὶ τὴν ἐκκλησίαν· ἔπειτα καὶ εἰς τοὐμφανὲς τὸ δόγμα ἐξήνεγκε, καὶ τῶν ἐν τέλει καὶ τῶν τῆς ἐκκλησίας οἱ μὲν ἑκόντες οἱ δὲ ἄκοντες ὑπέκυπτον τῷ προστάγματι. ἠναγκάζετο δὲ καὶ ὁ μέγας ἐν πατριάρχαις ἀοίδιμος Νικηφόρος ἐν τῷ τῆς καθαιρέσεως τῶν ἁγίων εἰκόνων ὑποσημήνασθαι τόμῳ· ὃν μηδαμῶς πειθαρχήσαντα ὑπερόριον ἀνὰ τὴν Προικόννησον τίθησι, πάλαι προαισθόμενον τὴν τοῦ Λέοντος σκαιοτροπίαν, καὶ ὡς κυκήσει οὗτος καὶ συνταράξει τὰ τῆς ἐκκλησίας. ἔδοξε γὰρ τῷ μακαρίτῃ Νικηφόρῳ, ὁπηνίκα τὸ διάδημα περιετίθει τῇ τοῦ Λέοντος κεφαλῇ, ἀκάνθαις καὶ τριβόλοις τὴν χεῖρα περιπαρῆναι· καὶ τοῦτο σύμβο-

5 εὐτελεῖ C

iam inito colloquio, monachus proxime ad imperatorem adsistens, veluti qui divino instinctu imperatoriam maiestatem adesse sentiret, "non recte" inquit "abs te factum est, imperator, quod nos privati habitu decepisti, intus occultans tuam personam. sed quanquam tu hoc agis, nos tamen gratia divini spiritus non diutius est passa a te falli." hoc ut audiit imperator, seque frustra conatum vili habitu imperatoriam dignitatem celare putavit, animum perculsus est, ut par erat istius machinationis ignarum; monachumque divinum hominem esse fassus, imperata ab eo obedienter et sine mora se facturum promittit, atque ita venerabilium imaginum ab eo mandatam deiectionem suo suffragio probat. principio deinde cogitavit quo pacto promissa occulte impleret, ne quam ea res in ecclesia excitaret seditionem. sed post publice quoque decretum ea de re proposuit, proceribus et ecclesiasticis partim ultro partim contra animorum suorum sententiam obtemperantibus. magnum quoque et inter patriarchas celebrem Nicephorum cogere voluit ut edicto ei subscriberet; nulloque modo parentem Proconnesum relegavit. multo ante is Leonis perversitatem praesenserat, ab eoque res ecclesiae agitatum turbatumque iri. nam quo tempore diadema capiti eius imposuit, visus

λον καὶ οἰωνὸν ἔθετο τῶν μετὰ ταῦτα συμβεβηκότων κακῶν. C ἀπαγομένῳ δὲ τῷ μεγάλῳ πρὸς τὴν ὑπερορίαν ὁ ὁμολογητὴς Θεοφάνης ὁ τῆς τοῦ μεγάλου Ἀγροῦ μονῆς καθηγούμενος, αἰσθόμενος ἐξ ἐπιπνοίας θείας τὴν διέλευσιν τούτου, κατ' ἀγρόν τινα ἐνδιατρίβων, θυμιάμασι καὶ κηροῖς προύπεμπεν αὐτὸν μετὰ τῆς νηὸς διιόντα. αὐτός τε ὁ πατριάρχης προσκυνήσεσιν ἐσχάταις ἐδεξιοῦτο καὶ ἐκτάσει χειρῶν καὶ εὐλογίαις αὐτὸν κατησπάζετο, μὴ θεώμενος μὴ θεώμενον, ἀλλὰ τοῖς πνευματικοῖς ὀφθαλμοῖς ἀλλήλους ἰδόντες, καὶ τὸ προσῆκον ἕκαστος ἑκάστῳ ἀπονέμοντες σέβας. τῶν συμπλεόντων δέ τινος εἰρηκότος τῷ πατριάρχῃ "πρὸς τίνα, ὦ δέσποτα, τὰς χεῖρας αἴρων εἰς ὕψος τὸν ἀσπασμὸν ἐποίου;" D "πρὸς τὸν ὁσιώτατον" ἔφη "καὶ ὁμολογητὴν Θεοφάνην, τὸν καθηγητὴν τοῦ Ἀγροῦ, λαμπάσι καὶ θυμιάμασιν ἡμᾶς δεξιούμενον." μετ' οὐ πολὺ δὲ καὶ ἡ τοῦ πατριάρχου ἐξέβη εἰς ἔργον πρόρρησις· μετὰ πολλῶν γὰρ καὶ ἄλλων ἐν οὐ μακρῷ τῆς ἐκκλησίας ἀφορισθεὶς καὶ πολλαῖς καὶ ἀπείροις κακώσεσιν ὑποβληθεὶς τὸν τῆς ὁμολογίας ἀνεδήσατο στέφανον, μηκέτι θεάσασθαι τοῦ λοιποῦ τὸν πατριάρχην ἀξιωθείς, ἵνα μηδ' ἐν τούτῳ διαπέσῃ ἡ τοῦ πατριάρχου πρόρρησις. ὑπερορίᾳ δὲ τοῦ πατριάρχου παραπεμφθέντος, ὡς εἴπομεν, ἄνεισιν ἀναξίως εἰς τὸν τῆς ἀρχιερωσύνης θρόνον, κατ' αὐτὴν τὴν τῆς ἀναστάσεως τοῦ κυρίου ἡμέραν, Θεόδοτος ὁ Μελισσηνός, ὃν καὶ Κασσιτηρᾶν προσαγορεύεσθαι ὁ λόγος φθάσας παρέστησε. καὶ τοῦ θρόνου ἐπιβάς, ἔχων δὲ συνεπαρήγου- P 490

3 μεγάλου om C   μονῆς add C   7 χειρὸς C   ἀντησπάζετο C   10 ἐρηροτηκότος τὸν πατριάρχην C   12 Θεοφάνιον C   18 τούτου C

sibi fuerat spinis ac tribulis manum compungi, idque omen eorum quae postea eventura essent malorum interpretatus fuerat. cum autem Proconnesum abduceretur, Theophanes confessor, monasterii magni Agri praefectus, eum navigio praetervehi divino instinctu sentiens, cum in parte praedii quadam ipse ageret, suffitu et cereis prosecutus est. sed et Nicephorus intentis manibus vicissim Theophanem salutavit, flexisque genibus summe veneratus benedixit, cum quidem neuter alterum videret, sed acie spiritus mutuo sese cernentes dignum invicem honorem exhibuerunt. et cum quidam una navigantium quaereret quemnam ita manibus in sublime elevatis salutaret, "sanctissimum" respondit "Theophanem confessorem et Agri praepositum, qui nos facibus et suffitu excepit." neque multo post exitus veram Nicephori praedictionem ostendit. nam mox cum multis aliis Theophanes quoque ecclesia eiectus infinitisque vexatus modis confessionis coronam reportavit; neque ei datum est patriarcham porro videre, ne eius vel hac in parte falleret vaticinium. relegato Nicephoro solium archiepiscopale indigne conscendit ipso resurrectionis dominicae die Theodotus Melissenus, quem et Cassiteran dictum supra monuimus. is eo evectus, et imperatoris potentiam

σαν καὶ τὴν βασιλικὴν ἐξουσίαν, οὐκ ἐν σκότει καὶ γωνίαις ἔτι ἀλλ' ἐν ὑπαίθρῳ καὶ παρρησίᾳ τὴν αἵρεσιν τῶν εἰκονομάχων ἐδημοσίευε.

Λέων δὲ ὁ βασιλεὺς τῇ τε προηγησαμένῃ κατὰ Βουλγάρων νίκῃ ἐξωγκωμένος, καὶ κατὰ τῶν Ἀράβων δὲ μικρῷ πρότερον εὐτυχήσας, ἀκατάσχετος ἦν τὸ φρόνημα καὶ πρὸς τὸ σκληρὸν ἀπένευε καὶ ὠμότερον· ἀπαραίτητός τε γὰρ τὴν ὀργὴν ἐγεγόνει, καὶ τῶν ἁμαρτημάτων κολαστὴς αὐστηρότατος, τοῖς τε ἐντυγχάνειν ἐθέλουσιν ἀνέντευκτος καὶ δυσξύμβουλος, ἐπί τε μικροῖς ἁμαρτήμασι μεγάλας ἐπιφέρων τὰς καταδίκας, ὧν μὲν χεῖρας ἀφαιρού-
B μενος ὧν δὲ πόδας ὧν δέ τινα ἕτερα τῶν καιριωτάτων μελῶν, ἅπερ ἀποτέμνεσθαι ἀποφαινόμενος ἀνὰ τὴν λεωφόρον ἀνακρεμαννύειν ἐκέλευσεν εἰς κατάπληξιν τάχα τῶν ὁρώντων καὶ δέος. ἐκ τούτου μισητὸς κατέστη τῷ ὑπὸ χεῖρα παντί. πλέον δ' ἐπέτεινε τὸ μῖσος τὰ μετὰ ταῦτα· οὐ μόνον γὰρ κατὰ τῶν ὁμοτίμων τὴν φύσιν ἀνθρώπων ἐπῆρτο καὶ ἠγριαίνετο, ἀλλὰ καὶ κατ' αὐτῆς ἐκορυβαντία τῆς εὐσεβοῦς πίστεως καὶ τοῦ θεοῦ. ὄργανον δ' ἐπιτήδειον πρὸς τοῦτο ἔσχεν ἄνδρα τινὰ διαβόητον ἐπὶ πανουργίᾳ, τοῦ τάγματος τῶν ἐν τῷ παλατίῳ ψαλλόντων τὴν ἀρχὴν ἔχοντα, ἔξωθεν μὲν ἱεροπρεπῆ φαινόμενον καὶ θεοσεβῆ, ἔνδοθεν δὲ ὡς ἐν βαθεῖ κω-
C δίῳ τὸν λύκον ἐπικαλύπτοντα. οὗτος ὁ βέβηλος καιρὸν ἐπιτήδειον εὑρηκώς, καθ' ὃν εἰς ἐπήκοον ἐν τῇ ἐκκλησίᾳ εἴωθεν ἡ τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου ἀναγινώσκεσθαι προφητεία ἡ λέγουσα "τίνι

11 μερῶν P   18 ἐπὶ τῇ π. C   19 προστασίαν C

sibi habens adiumento, non iam in tenebris et angulis sed palam et pleno ore imaginiperdarum promulgavit haeresim.

At Leonis impetus animi prorsus erant effraenes, recenti de Bulgaris victoria ac paulo ante re contra Arabes feliciter gesta inflati. itaque durior iam esse et ad crudelitatem prolabi, iras implacabiles gerere, et delicta severissime punire; congredi aut consulere volentibus difficilem se praebere; pro parvis delictis graves imponere poenas; manus nonnullis, aliis pedes, aliis alia corporis praestantiora membra amputari eaque in via regia suspendi iubere, quo terrorem videntibus metumque incuteret. ob haec nulli non subditorum invisus, iis quae subsequuta sunt facinoribus odia in se auxit. non enim contra homines tantum eiusdem secum naturae et dignitatis efferebatur atque saeviebat, sed adversus ipsam etiam pietatem deumque furebat. ad haec nactus est aptissimum instrumentum virum quendam nobilis versutiae, cohorti eorum qui in palatio psallerent praefectum; qui prae se sanctimoniam ferens atque pietatem intus sub densa lana lupum abditum gestabat. impurus iste tempus adeptus opportunum, quo ad aures ecclesiae usurpatum est recitari magniloquentissimi Esaiae vaticinium "cui assimilabitis dominum?

ὡμοιώσατε κυριον; καὶ τίνι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτήν, ἢ ὁμοιώματι κατεσκεύασεν αὐτήν;" καὶ τὰ λοιπὰ τῆς προφητείας, παραστὰς οὖν πρὸς οὖς λέγει τῷ βασιλεῖ "σύνες τοῖς λεγομένοις, ὦ βασιλεῦ, καὶ μὴ λάθῃ σε τὸ ἀληθές, καὶ τοιαύτης ἔχου λατρείας ὁποίαν σοι ὑποτίθησιν ὁ προφήτης." τοιαῦτα εἰπὼν ἐνέσταξε τῇ διανοίᾳ τοῦ βασιλέως πλείονα ἰὸν τῆς αἱρέσεως, ὡς ἣν πρότερον μετὰ φειδοῦς καὶ ἐνδοιασμοῦ κηρύττειν ἠπείγετο λατρείαν, ταύτην ἀνακεκαλυμμένῳ προσώπῳ καὶ ἀναιδῶς, εἰπεῖν πλέον μετὰ D
ἀπειλῶν καὶ κινδύνων αἱρεῖσθαι ἠνάγκαζεν. ὅσοι μὲν οὖν μαλακιζόμενοι προυδίδοσαν τὴν ἀλήθειαν, ἐν ἀδείαις ἦσαν· οἱ μὴ πειθαρχοῦντες δὲ τῷ αὐτοῦ δυσσεβεστάτῳ προστάγματι ἀνηκέστοις αἰκίαις καὶ συμφοραῖς παρεδίδοντο.

Καίπερ δὲ οὕτως ἔχων δυσσεβείας καὶ παρανομίας, ἀλλά γε πρὸς τὴν τῶν δημοσίων πραγμάτων ἀντίληψιν ἀγρυπνότατος ἦν, ὡς μηδέν τι τῶν δεόντων καὶ ὀνησιφόρων ἐᾶν ἀτημέλητον. φασί γέ τοι μετὰ τὸν ἐκείνου θάνατον Νικηφόρον εἰπεῖν τὸν πατριάρχην ὡς ἡ πολιτεία Ῥωμαίων ἄρα, εἰ καὶ δυσσεβῆ, ἀλλά γε μέγαν προστάτην ἀπώλεσε. πρὸς τῷ ἐπιμελῶς δὲ καὶ ἀγρύπνως τὰ δημόσια διοικεῖν, καὶ τοῖς ἀδικοῦσι λίαν ἐπαχθέστατος ἦν. ἐξιόντι P 491
γοῦν ποτὲ τοῦ παλατίου τῷ βασιλεῖ προσῄει τις ἐγκαλῶν ὡς το αὐτοῦ γύναιον ἁρπαγείη ὑπό τινος τῶν συγκλητικῶν· "ἐμοὶ δὲ" φησί "καὶ τῷ ἐπάρχῳ τῆς πόλεως περὶ τούτου ἐγκαλέσαντι οὐδε-

1 τὸν κ. C 2 χρυσὸν C 7 αὐτοῦ C 8 λατρείας C
18 μεγαπροστάτην C 23 διεγκαλέσαντι C

num opifex effigiem faciet, aut aurifaber conflato auro eam integet" etc., tunc ergo ille imperatori adstans in aurem "animadverte" inquit "haec verba, ut ne te lateat veritas: amplectere hanc religionem, quam tibi vates dictat." his dictis vaesano imperatori acrius haeresis venenum instillavit, ita ut is quam prius religionem parce ac dubitanter praedicari mandaverat, iam aperte impudenterque omnes amplecti iusserit, ni facerent, gravissima minatus mala. quotquot ergo mollitia victi tunc veritatem prodiderunt, iis omnia tuta erant. qui autem impiissimo mandato non parerent, in gravissimos cruciatus ac calamitates deveniebant.

At enim Leo, quanquam huiusmodi impietate atque iniustitia foedus, vigilantissimus tamen in re publica corrigenda fuit, nihilque omnino rerum necessariarum atque utilium incuratum reliquit. ac fertur eo mortuo Nicephorum patriarcham dixisse rem publicam Romanam impio quantumvis, magno certe praeside orbatam. praeter vigilem accuratamque rei publicae gubernationem summa fuit in eo in flagitiosos severitas; cuius rei exemplum referam. exeuntem aliquando palatio accessit quidam, quaerens suam sibi uxorem a senatore quodam raptam, idque facinus se ad urbis praefectum detulisse, neque tamen suum ius conse-

μία ἐπηκολούθησεν ἐκδίκησις." ὁ γοῦν βασιλεὺς τὸν τοῦ ἀνδρὸς λόγον ἐνωτισθεὶς εὐθέως προσέταξεν ὡς παρασταίη ἐπανιόντι αὐτῷ εἰς πρόσωπον ὁ ἐγκαλούμενος συγκλητικός. ἤδη δὲ καὶ ἐπαναζευγνύντος τοῦ βασιλέως παρέστησαν ἐνώπιον αὐτοῦ ὅ τε παθὼν καὶ τὴν ἐκδίκησιν ἐκζητῶν καὶ ὁ τὸ ἐξάγιστον δράσας ἔργον καὶ αὐτὸς ὁ ἔπαρχος, καὶ τοῦ βασιλέως κελεύσαντος λέγειν τῷ δεο-
B μένῳ ἃ πεπόνθει, ὁ μὲν διεξῄει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὁ δ' ἔνοχος τῷ ἐγκλήματι, ἐπειδὴ μὴ οἷός τε ἦν τοὺς ἐλέγχους διαδιδράσκειν ταῖς ἀποδείξεσι πάντοθεν συνειλημμένος, ὡμολόγησε τὸ ἀνοσιούργημα. ἐρομένου δὲ τοῦ βασιλέως καὶ τὸν ἔπαρχον διὰ τί μὴ πρέπουσαν ἐπενέγκοι τῷ ἀτοπήματι τὴν ἐκδίκησιν, ἐπεὶ καὶ οὗτος ἐνεὸς ἐγεγόνει πρὸς τὴν ἀπολογίαν, τοῦτον μὲν μετέστησε τῆς ἀρχῆς, τὸν δὲ μοιχὸν ταῖς τοῦ νόμου παραδέδωκε τιμωρίαις. ἐχρημάτιζε δὲ τὰ πλείω καὶ ἐν τῷ Λαυσιακῷ καθήμενος τρικλίνῳ, προεβάλλετό τε στρατηγοὺς καὶ στρατιώτας καὶ ἄρχοντας τῶν ἀξιολογωτάτων καὶ ἀδωροτάτων, χρημάτων ὑπερόπτης ὢν καὶ αὐτὸς ἀκριβέστατος. ἐφιλοτιμεῖτο δὲ καὶ περὶ τὴν ἑαυτοῦ φωνήν,
C εὔρυθμός τις εἶναι βουλόμενος, εἰ καὶ μὴ τὴν φύσιν συνᾴδουσαν εἶχεν· ἄρρυθμος γὰρ ἦν καὶ πρὸς τὰ ἐν ἁρμονίᾳ μέλη ἀνεπιτήδειος. εἰώθει γὰρ κἀν ταῖς ψαλμῳδίαις ἐξάρχειν τῶν αἴνων, καὶ μᾶλλον ὅτε ἐν τῇ τοῦ Χριστοῦ γεννήσει οἱ τῆς ἑορτῆς κανόνες ἐψάλλοντο· ἐξῆρχε γὰρ τῶν ᾠδῶν τορωτέρᾳ καὶ ἀγρίᾳ φωνῇ, καὶ ὅτε τῆς ζ' ᾠδῆς κατήρχετο τοῦ εἱρμοῦ τοῦ λέγοντος "τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ." ᾧ δὴ καὶ γέλωτα ὠφλίσκανε παρὰ

2 προσέταξε καὶ τὸν ἐγκαλούμενον συγκλητικὸν καὶ τὸν ἔπαρχον εἰς πρόσωπον αὐτῷ παραστήσεσθαι ἐπανιόντι C 15 στρατηλάτας C 16 ἀξιολογωτέρων C 20 εἴωθε C

cutum. Leo statim mandavit ut redeunti sibi sisterentur actor, reus tam atrocis flagitii, et urbis praefectus. quo facto actorem proponere suam causam iussit. qui cum rem ab initio ad finem usque exposuisset, reus convictus probationibus, cum nullum infitiandi criminis locum inveniret, scelus professus est. et praefectus causam interrogatus cur flagitium digna poena ultus non esset, inops excusationis obmutuit. hunc ergo imperator statim munere suo exuit, et adulterum ex legibus puniendum dedidit. plerumque responsa dabat in Lausiaco sedens triclinio. duces exercituum, milites magistratusque legit optimum quemque et a munerum captura alienissimum, pecuniae contemptor ipse summus. studuit etiam vocis elegantiae, quanquam natura ad eam rem ineptus et a musica concinnitate alienus. solebatque ipse cantum auspicari, cum in dei laudationibus psalmi cantarentur, maxime cum natalicio Christi festo canones psallebantur: tunc enim grandiore ac agresti voce carmen intonabat. risumque auditoribus movit, cum septimam odam inciperet, in cuius tractu est hoc "sprevere summi cuncta amore principis," cum ipse

τοῖς ἀκούουσι, τὸν τοῦ θεοῦ φόβον ἐκφαυλίσας καὶ τῇ τῶν δαιμόνων μερίδι προσθέμενος διὰ τῆς τῶν πανσέπτων εἰκόνων ἀρνήσεως. καὶ τὰ μὲν τοῦ βασιλέως ἐν τούτοις.

Μιχαὴλ δὲ ὁ ἐξ Ἀμωρίου ἀεὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμε- D νος, ἐπὶ τὸ μεῖζον προβαίνων, διαβολὴν ἔσχε καθοσιώσεως· ὃς ταύτην εἰ καὶ δυσχερῶς ὅμως ἀποσεισάμενος ἐκπέμπεται παρὰ βασιλέως τακτικὰ διδάσκειν τὸν ὑπὸ χεῖρα λαόν. ἦν δὲ ὁ Μιχαὴλ οὐ ταῖς ἄλλαις πάσαις κακίαις ἐπιρρεπὴς μόνον, ἀλλ' ἐνόσει καὶ γλώσσης ἀκολασίαν, καὶ τὰ ἔνδον τῆς καρδίας ἐκφαυλίζειν δυνάμενος μυστήρια. ἐλάλει γὰρ πᾶν τὸ παριστάμενον εἰς τοὐμφανές, ἀπερρίπτει δὲ καὶ κατ' αὐτοῦ τοῦ βασιλέως λόγους οὐκ εὐπρεπεῖς, ἀπειλῶν αὐτῷ τε καθαίρεσιν τῆς βασιλείας καὶ τῇ αὐτοῦ συζύγῳ γάμον ἐπισείων ἀνόσιον. ὅπερ ὁ βασιλεὺς πυνθανόμενος πρῶτον μὲν εὐμηχάνως ἐπειρᾶτο παραπροσποιούμενος τὴν γνῶσιν, ἀποστῆσαι τοῦτον τῆς ἀθυρογλωσσίας καὶ τῶν κακῶν βουλευμάτων βουλόμενος· ᾔδει γὰρ αὐτὸν αἰσχίστῃ νόσῳ ἀκολάστῳ γλώσσῃ P 492 δουλεύοντα. ὡς δὲ καὶ παραινέσεσι καὶ ἀπειλαῖς ὅπῃ παρείκοι χρώμενος εὐθὺς μὲν ἐξαρνούμενον εὕρισκε τὰ λεγόμενα, ἀδείας δὲ πάλιν τετυχηκότα τῶν κατὰ σκοπὸν μὴ ἀφιστάμενον, ἐπαφίησιν αὐτῷ σκοποὺς καὶ ὠτακουστὰς λεληθότως, οἵτινες πολλάκις ἐν εὐωχίαις καὶ μέθαις μετακινούμενον τῶν φρενῶν ὑπὸ τοῦ οἴνου καταλαβόντες καὶ τοῖς προτέροις μάλα προθύμως ἐπιτιθέμενον κατάδηλον ποιοῦσι τῷ βασιλεῖ. ἐγένετο δὲ προσθήκη πίστεως τῶν

17 ὅπῃ παρείκοι add C   18 ὡς εὐθὺς μὲν εἰπεῖν C   19 μετεσχηκότος C

metum dei abiiceret et diabolorum in partes concederet venerandissimis imaginibus tollendis. atque hoc modo res imperatoris habebant.

At Michaelus Amoriensis cum semper ad ulteriora ac maiora pergeret, maiestatis accusatus, cum se difficulter admodum purgasset, ab imperatore missus est ut disciplina ordinum exercitus institueret. fuit is homo non ceteris modo vitiis depravatus, sed et linguam habuit effraenem, arcana cordis identidem effutiens et quod in buccam veniret proferens. ita et de imperatore quaedam parum honeste dixerat, minans ei imperii privationem et uxori illicitas nuptias. ea cum essent ad se allata, imperator principio statuit arte eum a maledicentia ac pravis consiliis detrahere (norat enim eum turpissimo linguae immoderatae morbo laborare), dissimulata eorum quae in se erant dicta notitia. cum autem interminatus ususque admonitionibus deprehenderet eum in praesentia maledicta infitiari, rursusque nactum licentiam ab incoepto non desistere, submittit occulte auscultatores, qui observarent hominem. ii cum notassent eum saepenumero in conviviis atque inter pocula vino mente alienata magno conatu propositum suum persequi, rem imperatori

διαβαλλομένων τῷ Μιχαὴλ καὶ ὁ Ἐξαβούλιος, ἀνὴρ φρενήρης καὶ
B συνήθης τῷ βασιλεῖ, οὐκ ἄγνωστος δὲ καὶ τῷ Μιχαήλ. οὗτος
πολλάκις ἐπισχεῖν αὐτὸν τῆς ἀθυροστομίας ἐπιχειρήσας, καὶ
παραινέσας σιγᾶν, καὶ μὴ οὕτως ἀκαίρως παρρησιάζεσθαι καὶ εἰς
προὖπτον ἑαυτὸν συνωθεῖν κίνδυνον παρακαλέσας, ἐπειδὴ μὴ
ἔπειθε, δῆλα πάντα τὰ κατ' αὐτὸν τίθησι τῷ βασιλεῖ. καὶ δὴ
πρὸ μιᾶς ἡμέρας τῆς κατὰ σάρκα Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως
δεξάμενος τὰς μηνύσεις ὁ βασιλεὺς ἐπὶ βήματός τε ἐν τοῖς
ἀσηκρητείοις ἐκάθισε, καὶ ἀκριβὴς ἐξεταστὴς τῶν μηνυθέντων
ἐγίνετο. ἁλίσκεταί τοίνυν τυραννίδος ὁ Μιχαήλ, αὐτὸς καταθέ-
C σθαι ὑπὸ τῆς ἐναργείας τῶν ἐλέγχων ἀναγκασθείς· καὶ ψῆφος
ἐκφέρεται κατ' αὐτοῦ πυρὶ καταστρέψαι τὴν ζωήν, ἐμβληθέντος
ἐν τῇ καμίνῳ τοῦ ἐν τῷ παλατίῳ λουτροῦ, εἶναι δὲ καὶ αὐτὸν
θεωρὸν τὸν βασιλέα τοῦ δράματος. ἤγετο μὲν οὖν τὴν ἐπὶ θάνατον
δεσμώτης, εἵπετο δὲ καὶ ὁ βασιλεὺς θεατὴς εἶναι ὀριγνώμενος
τοῦ δρωμένου. ἐν ὅσῳ δὲ τὸ μεταξὺ παρήμειβον διάστημα, ἡ
βασιλὶς Θεοδοσία, τὸ τοῦ Ἀρσαβὴρ θυγάτριον, μαθοῦσα τὸ μέλλον
πραχθῆναι ἔξεισι μετὰ σπουδῆς ὅτι πολλῆς τοῦ θαλάμου,
παράβακχόν τι καὶ μανικὸν κινουμένη, τὸν βασιλέα τε καταλαβοῦσα
ἀλάστορά τε καὶ θεομάχον ἀπεκάλει οἷς οὐδὲ τὴν θείαν
D ἡμέραν ἄγει διὰ φειδοῦς, τοῦ θείου μέλλων σώματος μετασχεῖν,
καὶ τῆς ὁρμῆς διεκώλυεν. οὗτος δὲ τῷ θεῷ μὴ προσκροῦσαι δεδοικώς,
τὸ μὲν παραχρῆμα παλίντροπον αὐτῷ τὴν σωτηρίαν
ἐβράβευσε, σίδηρον δὲ τοῖς ποσὶ περιθεὶς τοῦ Μιχαήλ, καὶ τῆς

1 ἐκαβούλιος C   20 ὃς P   τὴν ἡμέραν τὴν θείαν C

exponunt. plurimum delatoribus Michaeli fidei conciliavit Exabulius, homo prudens regique familiaris ipsique Michaelo non ignotus. quem is cum saepe ab immodica dicendi licentia esset dehortatus, monuissetque ut taceret neque tam intempestiva libertate oris in praesens periculum se coniiceret, cum non persuaderet, omnia eius studia imperatori declaravit. pridie itaque nataliciorum Christi imperator perceptis indiciis in archivo pro tribunali considet ipse de iis inquisiturus. ibi Michaelus re accurate explorata affectatae tyrannidis reus peragitur, ipse etiam confiteri scelus ob probationum perspicuitatem coactus; ferturque in eum sententia, ut in caminum lavacri, quod est in palatio, vivus coniectus cremetur, inspiciente imperatore. cum iam vinctus ad supplicium duceretur, idque imperator coram cernere gestiret, interim dum spatium quo ad locum poenae venitur perambularent, imperatrix Theodosia, Arsaberi filiola illa, quid agendum esset cognito, celeriter thalamo exit, bacchae cuiusdam instar motu furioso sese agens, imperatoremque apprehensum flagitiosum ac deo adversantem appellat, qui ne sacrae quidem diei parceret, dominicum corpus percepturus. ita imperatoris impetum ea inhibuit, ut metuens ne deum offenderet, in praesentia salute

κλειδὺς ἑαυτῷ τὴν φρουρὰν ἐπιτρέψας, τῷ παπίᾳ τὴν αὐτοῦ φυ-
λακὴν ἀνατίθησι. πρὸς δὲ τὴν σύζυγον ἐπιστραφεὶς ἔφη "ἐγὼ
μέν, ὦ γύναι, ταῖς σαῖς βακχείαις πεισθεὶς ἐποίησα ὡς ἐκέλευ-
σας· σὺ δὲ οὐκ εἰς μακρὰν ἐπόψει, καὶ τὰ τῆς ἐμῆς νηδύος βλα-
στήματα, τὰ ἀποβησόμενα, εἰ καὶ σήμερόν με τοῦ ἁμαρτήματος
ἠλευθέρωσας." οὕτω τὸ μέλλον, εἰ καὶ πόρρω προφητικῆς ἦν
ἐπιπνοίας, ἀληθῶς ἀπεφοίβασε. λέγουσι δ' ὅτι καὶ χρησμὸς ἦν
ἄνωθεν αὐτῷ δεδομένος ὡς κατὰ τὴν ἡμέραν τῆς Χριστοῦ τοῦ
θεοῦ ἡμῶν κατὰ σάρκα γεννήσεως πέπρωται αὐτῷ τήν τε βασιλι-
κὴν εὐδαιμονίαν ἀποβαλεῖν, προσαπολέσαι δὲ καὶ αὐτὴν τὴν ζωήν.
Σιβυλλιακὸς δὲ ἦν ὁ χρησμός, ἔν τινι βίβλῳ τῆς βασιλικῆς βιβλιο- P 493
θήκης ἐγγεγραμμένος, οὐ χρησμοὺς μόνον ἁπλῶς ἐχούσῃ, ἀλλὰ
καὶ μορφὰς καὶ σχήματα τῶν βασιλέων διὰ χρωμάτων. ἦν οὖν
θηρίον μεμορφωμένον ὁ λέων ἐν τῷ βιβλίῳ, ἄνωθεν δὲ τῆς αὐτοῦ
ῥάχεως ἐπεγέγραπτο τὸ χῖ στοιχεῖον μέχρι καὶ αὐτῆς τῆς γαστρός,
κατόπιν δέ τις ἀνὴρ ἐπιθέων δόρατι καιρίαν ἐδίδου πληγὴν τῷ
θηρίῳ διὰ μέσου τοῦ χῖ. ἀσάφειαν δ' ὑποφαίνοντος τοῦ χρη-
σμοῦ, μόνος ὁ τηνικαῦτα κοιαίστωρ αὐτὸν διετράνου, Λέοντα
μέλλειν φήσας τινὰ βασιλέα κατ' αὐτὴν τὴν ἡμέραν τῆς τοῦ Χρι-
στοῦ γεννήσεως θανάτῳ ὀλεθρίῳ παραδοθῆναι. ὑπέθραττε δὲ
οὐδὲν ἧττον τὸν βασιλέα καὶ ἐξεδειμάτου καὶ ἡ τῆς οἰκείας μητρὸς B
ὄψις. ἔδοξε γὰρ αὕτη κατὰ τὸν ἐν Βλαχέρναις θεῖον ναὸν τῆς
θεοτόκου φοιτῶσα συνεχῶς κόρῃ τινὶ συναντᾶν λευχείμοσιν ἀν-

12 ἔχοντι C 13 γενομένων C 23 προσφοιτῶσα C

Michaelum donarit, compedibus modo ferreis inclusum; quarum clave sibi retenta, hominem papiae custodiendum mandavit. ad uxorem vero conversus "feci" inquit "quod iussisti mulier, tuis persuasus bacchationibus: sed tu mox cernes, et proles nostra, quid eventurum sit, etiam si me hodie a peccato abstinuisti." atque hoc quidem ille, quanquam a fatidica inspiratione alienissimus, vere vaticinatus est. fertur et oraculum iam olim accepisse, quo monebatur esse in fatis ut natalicio Christi festo cum imperio vitam amittat. fuit hoc oraculum Sibyllinum, inscriptum libro cuidam bibliothecae imperatoriae, quo non oracula modo continebantur sed et figurae imperatorum coloribus expictae. in eo libro depicta erat fera leo, cui superne in dorso litera χ ad ventrem usque erat inscripta; et a tergo vir quidam accurrens leonem hasta per ipsam literam configebat. cumque id oraculum obscurum videretur, solus eo tempore quaestor interpretabatur, Leonem dicens olim imperatorem fore, qui ipso Christi natali mala morte esset interiturus. neque minus Leonem perterrebat matri eius oblata visio. ea enim dormiens videre sibi visa fuerat se, cum in aedem sacram deiparae Blachernensem crebro commearet, virgini cuidam occurrere albatis vitis stipatae; porro aedem

προσλαβόμενος ἔρχεται πρὸς τὸν μοναχόν, καὶ τῆς διαλέξεως ἤδη λαμβανούσης ἀρχὴν ἔγγιστα τὸν βασιλέα παραστησάμενος ὁ μοναχὸς ὡς τάχα προεγνωκὼς ἐκ θείας ἐπιπνοίας τὸ βασιλικὸν ἀξίωμα
P 489 "οὐκ εὔλογα" ἔφη "ποιεῖς, ὦ βασιλεῦ, παραλογιζόμενος ἡμᾶς τῇ ἰδιωτικῇ ἀμπεχόνῃ, καὶ τὸν ἔνδον αὐτῆς κρυπτόμενον ἐπικαλύπτων βασιλέα. ἀλλ' εἰ καὶ σὺ μὲν οὕτως, ἀλλ' ἡ τοῦ θείου πνεύματος χάρις ἡμᾶς οὐκ εἴασεν ἐπὶ πλέον οὕτω κατασοφίζεσθαι ὑπό σου." τοῦτο ὡς ἤκουσεν ὁ βασιλεύς, καὶ ὡς οὐκ ἔλαθεν ἐν εὐτελεῖ προσχήματι τὸ βασιλικὸν κρύπτων ἀξίωμα, κατεπλάγη τε, ὡς ἦν εἰκὸς τὸν τὸ σκαιώρημα ἀγνοοῦντα, καὶ τόν τε μοναχὸν ὡς θεῖον ἄνδρα ἐγνώρισε, καὶ τὰ προσταττόμενα παρ' αὐτοῦ εὐπειθῶς καὶ μετὰ ταχύτητος ποιήσειν ἐπήγγελτο, καὶ τῶν σεβασμίων εἰκόνων ἐπιψηφίζει καθαίρεσιν. καὶ πρότερον μὲν ἐν τῷ
B λεληθότι διεσκοπεῖτο πῶς ἂν αὐτῶν ἐκτελεσθῇ τὸ σπούδασμα, καὶ μή τις στάσις ἀνεγερθῇ περὶ τὴν ἐκκλησίαν· ἔπειτα καὶ εἰς τοὐμφανὲς τὸ δόγμα ἐξήνεγκε, καὶ τῶν ἐν τέλει καὶ τῶν τῆς ἐκκλησίας οἱ μὲν ἑκόντες οἱ δὲ ἄκοντες ὑπέκυπτον τῷ προστάγματι. ἠναγκάζετο δὲ καὶ ὁ μέγας ἐν πατριάρχαις ἀοίδιμος Νικηφόρος ἐν τῷ τῆς καθαιρέσεως τῶν ἁγίων εἰκόνων ὑποσημήνασθαι τόμῳ· ὃν μηδαμῶς πειθαρχήσαντα ὑπερόριον ἀνὰ τὴν Προικόνησον τίθησι, πάλαι προαισθόμενον τὴν τοῦ Λέοντος σκαιοτροπίαν, καὶ ὡς κυκήσει οὗτος καὶ συνταράξει τὰ τῆς ἐκκλησίας. ἔδοξε γὰρ τῷ μακαρίτῃ Νικηφόρῳ, ὁπηνίκα τὸ διάδημα περιετίθει τῇ τοῦ Λέοντος κεφαλῇ, ἀκάνθαις καὶ τριβόλοις τὴν χεῖρα περιπαρῆναι· καὶ τοῦτο σύμβο-

5 εὐτελεῖ C

iam inito colloquio, monachus proxime ad imperatorem adsistens, veluti qui divino instinctu imperatoriam maiestatem adesse sentiret, "non recte" inquit "abs te factum est, imperator, quod nos privati habitu decepisti, intus occultans tuam personam. sed quanquam tu hoc agis, nos tamen gratia divini spiritus non diutius est passa a te falli." hoc ut audiit imperator, seque frustra conatum vili habitu imperatoriam dignitatem celare putavit, animum perculsus est, ut par erat istius machinationis ignarum; monachumque divinum hominem esse fassus, imperata ab eo obedienter et sine mora se facturum promittit, atque ita venerabilium imaginum ab eo mandatam deiectionem suo suffragio probat. principio deinde cogitavit quo pacto promissa occulte impleret, ne quam ea res in ecclesia excitaret seditionem. sed post publice quoque decretum ea de re proposuit, proceribus et ecclesiasticis partim ultro partim contra animorum suorum sententiam obtemperantibus. magnum quoque et inter patriarchas celebrem Nicephorum cogere voluit ut edicto ei subscriberet; nulloque modo parentem Proconnesum relegavit. multo ante is Leonis perversitatem praesenserat, ab eoque res ecclesiae agitatum turbatumque iri. nam quo tempore diadema capiti eius imposuit, visus

λον καὶ οἰωνὸν ἔθετο τῶν μετὰ ταῦτα συμβεβηκότων κακῶν. C ἀπαγομένῳ δὲ τῷ μεγάλῳ πρὸς τὴν ὑπερορίαν ὁ ὁμολογητὴς Θεοφάνης ὁ τῆς τοῦ μεγάλου Ἀγροῦ μονῆς καθηγούμενος, αἰσθόμενος ἐξ ἐπιπνοίας θεϊκῆς τὴν διέλευσιν τούτου, κατ' ἀγρόν τινα ἐνδιατρίβων, θυμιάμασι καὶ κηροῖς προύπεμπεν αὐτὸν μετὰ τῆς νηὸς διόντα. αὐτός τε ὁ πατριάρχης προσκυνήσεσιν ἐσχάταις ἐδεξιοῦτο καὶ ἐκτάσει χειρῶν καὶ εὐλογίαις αὐτὸν κατησπάζετο, μὴ θεώμενος μὴ θεώμενον, ἀλλὰ τοῖς πνευματικοῖς ὀφθαλμοῖς ἀλλήλους ἰδόντες, καὶ τὸ προσῆκον ἕκαστος ἑκάστῳ ἀπονέμοντες σέβας. τῶν συμπλεόντων δέ τινος εἰρηκότος τῷ πατριάρχῃ "πρὸς τίνα, ὦ δέσποτα, τὰς χεῖρας αἴρων εἰς ὕψος τὸν ἀσπασμὸν ἐποίου;" D "πρὸς τὸν ὁσιώτατον" ἔφη "καὶ ὁμολογητὴν Θεοφάνην, τὸν καθηγητὴν τοῦ Ἀγροῦ, λαμπάσι καὶ θυμιάμασιν ἡμᾶς δεξιούμενον." μετ' οὐ πολὺ δὲ καὶ ἡ τοῦ πατριάρχου ἐξέβη εἰς ἔργον πρόρρησις· μετὰ πολλῶν γὰρ καὶ ἄλλων ἐν οὐ μακρῷ τῆς ἐκκλησίας ἀφορισθεὶς καὶ πολλαῖς καὶ ἀπείροις κακώσεσιν ὑποβληθεὶς τὸν τῆς ὁμολογίας ἀνεδήσατο στέφανον, μηκέτι θεάσασθαι τοῦ λοιποῦ τὸν πατριάρχην ἀξιωθείς, ἵνα μηδ' ἐν τούτῳ διαπέσῃ ἡ τοῦ πατριάρχου πρόρρησις. ὑπερορίᾳ δὲ τοῦ πατριάρχου παραπεμφθέντος, ὡς εἴπομεν, ἄνεισιν ἀναξίως εἰς τὸν τῆς ἀρχιερωσύνης θρόνον, κατ' αὐτὴν τὴν τῆς ἀναστάσεως τοῦ κυρίου ἡμέραν, Θεόδοτος ὁ Μελισσηνός, ὃν καὶ Κασσιτηρᾶν προσαγορεύεσθαι ὁ λόγος φθάσας παρέστησε. καὶ τοῦ θρόνου ἐπιβάς, ἔχων δὲ συνεπαρήγου- P 490

3 μεγάλου om C   μονῆς add C   7 χειρὸς C   ἀντησπάζετο C   10 ἐρηρωτηκότος τὸν πατριάρχην C   12 Θεοφάνιον C   18 τούτου C

sibi fuerat spinis ac tribulis manum compungi, idque omen eorum quae postea eventura essent malorum interpretatus fuerat. cum autem Proconnesum abduceretur, Theophanes confessor, monasterii magni Agri praefectus, eum navigio praetervehi divino instinctu sentiens, cum in parte praedii quadam ipse ageret, suffitu et cereis prosecutus est. sed et Nicephorus intentis manibus vicissim Theophanem salutavit, flexisque genibus summe veneratus benedixit, cum quidem neuter alterum videret, sed acie spiritus mutuo sese cernentes dignum invicem honorem exhibuerunt. et cum quidam una navigantium quaereret quemnam ita manibus in sublime elevatis salutaret, "sanctissimum" respondit "Theophanem confessorem et Agri praepositum, qui nos facibus et suffitu excepit." neque multo post exitus veram Nicephori praedictionem ostendit. nam mox cum multis aliis Theophanes quoque ecclesia eiectus infinitisque vexatus modis confessionis coronam reportavit; neque ei datum est patriarcham porro videre, ne eius vel hac in parte falleret vaticinium. relegato Nicephoro solium archiepiscopale indigne conscendit ipso resurrectionis dominicae die Theodotus Melissenus, quem et Cassiteran dictum supra monuimus. is eo evectus, et imperatoris potentiam

σαν καὶ τὴν βασιλικὴν ἐξουσίαν, οὐκ ἐν σκότει καὶ γωνίαις ἔτι ἀλλ' ἐν ὑπαίθρῳ καὶ παρρησίᾳ τὴν αἵρεσιν τῶν εἰκονομάχων ἐδημοσίευε.

Λέων δὲ ὁ βασιλεὺς τῇ τε προηγησαμένῃ κατὰ Βουλγάρων νίκῃ ἐξωγκωμένος, καὶ κατὰ τῶν Ἀράβων δὲ μικρῷ πρότερον εὐτυχήσας, ἀκατάσχετος ἦν τὸ φρόνημα καὶ πρὸς τὸ σκληρὸν ἀπένευε καὶ ὠμότερον· ἀπαραίτητός τε γὰρ τὴν ὀργὴν ἐγεγόνει, καὶ τῶν ἁμαρτημάτων κολαστὴς αὐστηρότατος, τοῖς τε ἐντυγχάνειν ἐθέλουσιν ἀνέντευκτος καὶ δυσξύμβουλος, ἐπί τε μικροῖς ἁμαρτήμασι μεγάλας ἐπιφέρων τὰς καταδίκας, ὧν μὲν χεῖρας ἀφαιρού- B μενος ὧν δὲ πόδας ὧν δέ τινα ἕτερα τῶν καιριωτάτων μελῶν, ἅπερ ἀποτέμνεσθαι ἀποφαινόμενος ἀνὰ τὴν λεωφόρον ἀνακρεμαννύειν ἐκέλευσεν εἰς κατάπληξιν τάχα τῶν ὁρώντων καὶ δέος. ἐκ τούτου μισητὸς κατέστη τῷ ὑπὸ χεῖρα παντί. πλέον δ' ἐπέτεινε τὸ μῖσος τὰ μετὰ ταῦτα· οὐ μόνον γὰρ κατὰ τῶν ὁμοτίμων τὴν φύσιν ἀνθρώπων ἐπῆρτο καὶ ἠγριαίνετο, ἀλλὰ καὶ κατ' αὐτῆς ἐκορυβαντία τῆς εὐσεβοῦς πίστεως καὶ τοῦ θεοῦ. ὄργανον δ' ἐπιτήδειον πρὸς τοῦτο ἔσχεν ἄνδρα τινὰ διαβόητον ἐπὶ πανουργίᾳ, τοῦ τάγματος τῶν ἐν τῷ παλατίῳ ψαλλόντων τὴν ἀρχὴν ἔχοντα, ἔξωθεν μὲν ἱεροπρεπῆ φαινόμενον καὶ θεοσεβῆ, ἔνδοθεν δὲ ὡς ἐν βαθεῖ κω- C δίῳ τὸν λύκον ἐπικαλύπτοντα. οὗτος ὁ βέβηλος καιρὸν ἐπιτήδειον εὑρηκώς, καθ' ὃν εἰς ἐπήκοον ἐν τῇ ἐκκλησίᾳ εἴωθεν ἡ τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου ἀναγινώσκεσθαι προφητεία ἡ λέγουσα "τίνι

11 μερῶν P   18 ἐπὶ τῇ π. C   19 προστασίαν C

sibi habens adiumento, non iam in tenebris et angulis sed palam et pleno ore imaginiperdarum promulgavit haeresim.

At Leonis impetus animi prorsus erant effraenes, recenti de Bulgaris victoria ac paulo ante re contra Arabes feliciter gesta inflati. itaque durior iam esse et ad crudelitatem prolabi, iras implacabiles gerere, et delicta severissime punire; congredi aut consulere volentibus difficilem se praebere; pro parvis delictis graves imponere poenas; manus nonnullis, aliis pedes, aliis alia corporis praestantiora membra amputari eaque in via regia suspendi iubere, quo terrorem videntibus metumque incuteret. ob haec nulli non subditorum invisus, iis quae subsecuta sunt facinoribus odia in se auxit. non enim contra homines tantum eiusdem secum naturae et dignitatis efferebatur atque saeviebat, sed adversus ipsam etiam pietatem deumque furebat. ad haec nactus est aptissimum instrumentum virum quendam nobilis versutiae, cohorti eorum qui in palatio psallerent praefectum; qui prae se sanctimoniam ferens atque pietatem intus sub densa lana lupum abditum gestabat. impurus iste tempus adeptus opportunum, quo ad aures ecclesiae usurpatum est recitari magniloquentissimi Esaiae vaticinium "cui assimilabitis dominum?

ὡμοιώσατε κύριον; καὶ τίνι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτήν, ἢ ὁμοιώματι κατεσκεύασεν αὐτήν;" καὶ τὰ λοιπὰ τῆς προφητείας, παραστὰς οὖν πρὸς οὖς λέγει τῷ βασιλεῖ "σύνες τοῖς λεγομένοις, ὦ βασιλεῦ, καὶ μὴ λάθῃ σε τὸ ἀληθές, καὶ τοιαύτης ἔχου λατρείας ὁποίαν σοι ὑποτίθησιν ὁ προφήτης." τοιαῦτα εἰπὼν ἐνέσταξε τῇ διανοίᾳ τοῦ βασιλέως πλείονα ἰὸν τῆς αἱρέσεως, ὡς ἣν πρότερον μετὰ φειδοῦς καὶ ἐνδοιασμοῦ κηρύττειν ἠπείγετο λατρείαν, ταύτην ἀνακεκαλυμμένῳ προσώπῳ καὶ ἀναιδῶς, εἰπεῖν πλέον μετὰ D
ἀπειλῶν καὶ κινδύνων αἱρεῖσθαι ἠνάγκαζεν. ὅσοι μὲν οὖν μαλακιζόμενοι προυδίδοσαν τὴν ἀλήθειαν, ἐν ἀδείαις ἦσαν· οἱ μὴ πειθαρχοῦντες δὲ τῷ αὐτοῦ δυσσεβεστάτῳ προστάγματι ἀνηκέστοις αἰκίαις καὶ συμφοραῖς παρεδίδοντο.

Καίπερ δὲ οὕτως ἔχων δυσσεβείας καὶ παρανομίας, ἀλλά γε πρὸς τὴν τῶν δημοσίων πραγμάτων ἀντίληψιν ἀγρυπνότατος ἦν, ὡς μηδέν τι τῶν δεόντων καὶ ὀνησιφόρων ἐᾶν ἀτημέλητον. φασί γέ τοι μετὰ τὸν ἐκείνου θάνατον Νικηφόρον εἰπεῖν τὸν πατριάρχην ὡς ἡ πολιτεία Ῥωμαίων ἄρα, εἰ καὶ δυσσεβῆ, ἀλλά γε μέγαν προστάτην ἀπώλεσε. πρὸς τῷ ἐπιμελῶς δὲ καὶ ἀγρύπνως τὰ δημόσια διοικεῖν, καὶ τοῖς ἀδικοῦσι λίαν ἐπαχθέστατος ἦν. ἐξιόντι P 491
γοῦν ποτὲ τοῦ παλατίου τῷ βασιλεῖ προσῄει τις ἐγκαλῶν ὥς το αὐτοῦ γύναιον ἁρπαγείη ὑπό τινος τῶν συγκλητικῶν· "ἐμοὶ δὲ" φησί "καὶ τῷ ἐπάρχῳ τῆς πόλεως περὶ τούτου ἐγκαλέσαντι οὐδε-

1 τὸν κ. C 2 χρυσὸν C 7 αὐτοῦ C 8 λατρείας C
18 μεγαπροστάτην C 23 διεγκαλέσαντι C

num opifex effigiem faciet, aut aurifaber conflato auro eam integet" etc., tunc ergo ille imperatori adstans in aurem "animadverte" inquit "haec verba, ut ne te lateat veritas: amplectere hanc religionem, quam tibi vates dictat." his dictis vaesano imperatori acrius haeresis venenum instillavit, ita ut is quam prius religionem parce ac dubitanter praedicari mandaverat, iam aperte impudenterque omnes amplecti iusserit, ni facerent, gravissima minatus mala. quotquot ergo mollitia victi tunc veritatem prodiderunt, iis omnia tuta erant. qui autem impiissimo mandato non parerent, in gravissimos cruciatus ac calamitates deveniebant.

At enim Leo, quanquam huiusmodi impietate atque iniustitia foedus, vigilantissimus tamen in re publica corrigenda fuit, nihilque omnino rerum necessariarum atque utilium incuratum reliquit. ac fertur eo mortuo Nicephorum patriarcham dixisse rem publicam Romanam impio quantumvis, magno certe praeside orbatam. praeter vigilem accuratamque rei publicae gubernationem summa fuit in eo in flagitiosos severitas; cuius rei exemplum referam. exeuntem aliquando palatio accessit quidam, quaerens suam sibi uxorem a senatore quodam raptam, idque facinus se ad urbis praefectum detulisse, neque tamen suum ius conse-

μία ἐπηκολούθησεν ἐκδίκησις." ὁ γοῦν βασιλεὺς τὸν τοῦ ἀνδρὸς λόγον ἐνωτισθεὶς εὐθέως προσέταξεν ὡς παρασταίη ἐπανιόντι αὐτῷ εἰς πρόσωπον ὁ ἐγκαλούμενος συγκλητικός. ἤδη δὲ καὶ ἐπαναζευγνύντος τοῦ βασιλέως παρέστησαν ἐνώπιον αὐτοῦ ὅ τε παθὼν καὶ τὴν ἐκδίκησιν ἐκζητῶν καὶ ὁ τὸ ἐξάγιστον δράσας ἔργον καὶ αὐτὸς ὁ ἔπαρχος, καὶ τοῦ βασιλέως κελεύσαντος λέγειν τῷ δεομένῳ
B ἃ πεπόνθει, ὁ μὲν διεξῄει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὁ δ' ἔνοχος τῷ ἐγκλήματι, ἐπειδὴ μὴ οἷός τε ἦν τοὺς ἐλέγχους διαδιδράσκειν ταῖς ἀποδείξεσι πάντοθεν συνειλημμένος, ὡμολόγησε τὸ ἀνοσιούργημα. ἐρομένου δὲ τοῦ βασιλέως καὶ τὸν ἔπαρχον διὰ τί μὴ πρέπουσαν ἐπενέγκοι τῷ ἀτοπήματι τὴν ἐκδίκησιν, ἐπεὶ καὶ οὗτος ἐνεὸς ἐγεγόνει πρὸς τὴν ἀπολογίαν, τοῦτον μὲν μετέστησε τῆς ἀρχῆς, τὸν δὲ μοιχὸν ταῖς τοῦ νόμου παραδέδωκε τιμωρίαις. ἐχρημάτιζε δὲ τὰ πλείω καὶ ἐν τῷ Λαυσιακῷ καθήμενος τρικλίνῳ, προεβάλλετό τε στρατηγοὺς καὶ στρατιώτας καὶ ἄρχοντας τῶν ἀξιολογωτάτων καὶ ἀδωροτάτων, χρημάτων ὑπερόπτης ὢν καὶ αὐτὸς ἀκριβέστατος. ἐφιλοτιμεῖτο δὲ καὶ περὶ τὴν ἑαυτοῦ φωνήν,
C εὔρυθμός τις εἶναι βουλόμενος, εἰ καὶ μὴ τὴν φύσιν συνᾳδοῦσαν εἶχεν· ἄρρυθμος γὰρ ἦν καὶ πρὸς τὰ ἐν ἁρμονίᾳ μέλη ἀνεπιτήδειος. εἰώθει γὰρ κἀν ταῖς ψαλμῳδίαις ἐξάρχειν τῶν αἴνων, καὶ μᾶλλον ὅτε ἐν τῇ τοῦ Χριστοῦ γεννήσει οἱ τῆς ἑορτῆς κανόνες ἐψάλλοντο· ἐξῆρχε γὰρ τῶν ᾠδῶν τορωτέρᾳ καὶ ἀγρίᾳ φωνῇ, καὶ ὅτε τῆς ζ' ᾠδῆς κατήρχετο τοῦ εἱρμοῦ τοῦ λέγοντος "τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ." ᾧ δὴ καὶ γέλωτα ὤφλισκανε παρὰ

2 προσέταξε καὶ τὸν ἐγκαλούμενον συγκλητικὸν καὶ τὸν ἔπαρχον εἰς πρόσωπον αὐτῷ παραστήσεσθαι ἐπανιόντι C 15 στρατηλάτας C 16 ἀξιολογωτέρων C 20 εἴωθε C

cutum. Leo statim mandavit ut redeunti sibi sisterentur actor, reus tam atrocis flagitii, et urbis praefectus. quo facto actorem proponere suam causam iussit. qui cum rem ab initio ad finem usque exposuisset, reus convictus probationibus, cum nullum infitiandi criminis locum inveniret, scelus professus est. et praefectus causam interrogatus cur flagitium digna poena ultus non esset, inops excusationis obmutuit. hunc ergo imperator statim munere suo exuit, et adulterum ex legibus puniendum dedidit. plerumque responsa dabat in Lausiaco sedens triclinio. duces exercituum, milites magistratusque legit optimum quemque et a munerum captura alienissimum, pecuniae contemptor ipse summus. studuit etiam vocis elegantiae, quanquam natura ad eam rem ineptus et a musica concinnitate alienus. solebatque ipse cantum auspicari, cum in dei laudationibus psalmi cantarentur, maxime cum natalicio Christi festo canones psallebantur: tunc enim grandiore ac agresti voce carmen intonabat. risumque auditoribus movit, cum septimam odam inciperet, in cuius tractu est hoc "sprevere summi cuncta amore principis," cum ipse

τοῖς ἀκούουσι, τὸν τοῦ θεοῦ φόβον ἐκφαυλίσας καὶ τῇ τῶν δαιμόνων μερίδι προσθέμενος διὰ τῆς τῶν πανσέπτων εἰκόνων ἀρνήσεως. καὶ τὰ μὲν τοῦ βασιλέως ἐν τούτοις.

Μιχαὴλ δὲ ὁ ἐξ Ἀμωρίου ἀεὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμε- D
νος, ἐπὶ τὸ μεῖζον προβαίνων, διαβολὴν ἔσχε καθοσιώσεως· ὃς ταύτην εἰ καὶ δυσχερῶς ὅμως ἀποσεισάμενος ἐκπέμπεται παρὰ βασιλέως τακτικὰ διδάσκειν τὸν ὑπὸ χεῖρα λαόν. ἦν δὲ ὁ Μιχαὴλ οὐ ταῖς ἄλλαις πάσαις κακίαις ἐπιρρεπὴς μόνον, ἀλλ' ἐνόσει καὶ γλώσσης ἀκολασίαν, καὶ τὰ ἔνδον τῆς καρδίας ἐκφαυλίζειν δυνάμενος μυστήρια. ἐλάλει γὰρ πᾶν τὸ παριστάμενον εἰς τοὐμφανές, ἀπερρίπτει δὲ καὶ κατ' αὐτοῦ τοῦ βασιλέως λόγους οὐκ εὐπρεπεῖς, ἀπειλῶν αὐτῷ τε καθαίρεσιν τῆς βασιλείας καὶ τῇ αὐτοῦ συζύγῳ γάμον ἐπισείων ἀνόσιον. ἅπερ ὁ βασιλεὺς πυνθανόμενος πρῶτον μὲν εὐμηχάνως ἐπειρᾶτο παραπροσποιούμενος τὴν γνῶσιν, ἀποστῆσαι τοῦτον τῆς ἀθυρογλωσσίας καὶ τῶν κακῶν βουλευμάτων βουλόμενος· ᾔδει γὰρ αὐτὸν αἰσχίστῃ νόσῳ ἀκολάστῳ γλώσσῃ P 492
δουλεύοντα. ὡς δὲ καὶ παραινέσεσι καὶ ἀπειλαῖς ὅπῃ παρείκοι χρώμενος εὐθὺς μὲν ἐξαρνούμενον εὕρισκε τὰ λεγόμενα, ἀδείας δὲ πάλιν τετυχηκότα τῶν κατὰ σκοπὸν μὴ ἀφιστάμενον, ἐπαφίησιν αὐτῷ σκοποὺς καὶ ὠτακουστὰς λεληθότως, οἵτινες πολλάκις ἐν εὐωχίαις καὶ μέθαις μετακινούμενον τῶν φρενῶν ὑπὸ τοῦ οἴνου καταλαβόντες καὶ τοῖς προτέροις μάλα προθύμως ἐπιτιθέμενον κατάδηλον ποιοῦσι τῷ βασιλεῖ. ἐγένετο δὲ προσθήκη πίστεως τῶν

17 ὅπῃ παρείκοι add C   18 ὡς εὐθὺς μὲν εἰπεῖν C   19 μετεσχηκότος C

metum dei abiiceret et diabolorum in partes concederet venerandissimis imaginibus tollendis. atque hoc modo res imperatoris habebant.

At Michaelus Amoriensis cum semper ad ulteriora ac maiora pergeret, maiestatis accusatus, cum se difficulter admodum purgasset, ab imperatore missus est ut disciplina ordinum exercitus institueret. fuit is homo non ceteris modo vitiis depravatus, sed et linguam habuit effraenem, arcana cordis identidem effutiens et quod in buccam veniret proferens. ita et de imperatore quaedam parum honeste dixerat, minans ei imperii privationem et uxori illicitas nuptias. ea cum essent ad se allata, imperator principio statuit arte eum a maledicentia ac pravis consiliis detrahere (norat enim eum turpissimo linguae immoderatae morbo laborare), dissimulata eorum quae in se erant dicta notitia. cum autem interminatus usque admonitionibus deprehenderet eum in praesentia maledicta infitiari, rursusque nactum licentiam ab incoepto non desistere, submittit occulte auscultatores, qui observarent hominem. ii cum notassent eum saepenumero in conviviis atque inter pocula vino mente alienata magno conatu propositum suum persequi, rem imperatori

διαβαλλομένων τῷ Μιχαὴλ καὶ ὁ Ἐξαβούλιος, ἀνὴρ φρενήρης καὶ
B συνήθης τῷ βασιλεῖ, οὐκ ἄγνωστος δὲ καὶ τῷ Μιχαήλ. οὗτος πολλάκις ἐπισχεῖν αὐτὸν τῆς ἀθυροστομίας ἐπιχειρήσας, καὶ παραινέσας σιγᾶν, καὶ μὴ οὕτως ἀκαίρως παρρησιάζεσθαι καὶ εἰς προῦπτον ἑαυτὸν συνωθεῖν κίνδυνον παρακαλέσας, ἐπειδὴ μὴ ἔπειθε, δῆλα πάντα τὰ κατ' αὐτὸν τίθησι τῷ βασιλεῖ. καὶ δὴ πρὸ μιᾶς ἡμέρας τῆς κατὰ σάρκα Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως δεξάμενος τὰς μηνύσεις ὁ βασιλεὺς ἐπὶ βήματός τε ἐν τοῖς ἀσηκρητείοις ἐκάθισε, καὶ ἀκριβὴς ἐξεταστὴς τῶν μηνυθέντων ἐγίνετο. ἁλίσκεταί τοίνυν τυραννίδος ὁ Μιχαήλ, αὐτὸς καταθέ-
C σθαι ὑπὸ τῆς ἐναργείας τῶν ἐλέγχων ἀναγκασθείς· καὶ ψῆφος ἐκφέρεται κατ' αὐτοῦ πυρὶ καταστρέψαι τὴν ζωήν, ἐμβληθέντος ἐν τῇ καμίνῳ τοῦ ἐν τῷ παλατίῳ λουτροῦ, εἶναι δὲ καὶ αὐτὸν θεωρὸν τὸν βασιλέα τοῦ δράματος. ἤγετο μὲν οὖν τὴν ἐπὶ θάνατον δεσμώτης, εἵπετο δὲ καὶ ὁ βασιλεὺς θεατὴς εἶναι ὀριγνώμενος τοῦ δρωμένου. ἐν ὅσῳ δὲ τὸ μεταξὺ παρήμειβον διάστημα, ἡ βασιλὶς Θεοδοσία, τὸ τοῦ Ἀρσαβὴρ θυγάτριον, μαθοῦσα τὸ μέλλον πραχθῆναι ἔξεισι μετὰ σπουδῆς ὅτι πολλῆς τοῦ θαλάμου, παράβακχόν τι καὶ μανικὸν κινουμένη, τὸν βασιλέα τε καταλαβοῦσα ἀλάστορά τε καὶ θεομάχον ἀπεκάλει οἷς οὐδὲ τὴν θείαν
D ἡμέραν ἄγει διὰ φειδοῦς, τοῦ θείου μέλλων σώματος μετασχεῖν, καὶ τῆς ὁρμῆς διεκώλυεν. οὗτος δὲ τῷ θεῷ μὴ προσκροῦσαι δεδοικώς, τὸ μὲν παραχρῆμα παλίντροπον αὐτῷ τὴν σωτηρίαν ἐβράβευσε, σίδηρον δὲ τοῖς ποσὶ περιθεὶς τοῦ Μιχαήλ, καὶ τῆς

1 ἐκαβούλιος C 20 ὃς P τὴν ἡμέραν τὴν θείαν C

exponunt. plurimum delatoribus Michaeli fidei conciliavit Exabulius, homo prudens regique familiaris ipsique Michaelo non ignotus. quem is cum saepe ab immodica dicendi licentia esset dehortatus, monuissetque ut taceret neque tam intempestiva libertate oris in praesens periculum se coniiceret, cum non persuaderet, omnia eius studia imperatori declaravit. pridie itaque nataliciorum Christi imperator perceptis indiciis in archivo pro tribunali considet ipse de iis inquisiturus. ibi Michaelus re accurate explorata affectatae tyrannidis reus peragitur, ipse etiam confiteri scelus ob probationum perspicuitatem coactus; ferturque in eum sententia, ut in caminum lavacri, quod est in palatio, vivus coniectus crematur, inspiciente imperatore. cum iam vinctus ad supplicium duceretur, idque imperator coram cernere gestiret, interim dum spatium quo ad locum poenae venitur perambularent, imperatrix Theodosia, Arsaberi filiola illa, quid agendum esset cognito, celeriter thalamo exit, bacchae cuiusdam instar motu furioso sese agens, imperatoremque apprehensum flagitiosum ac deo adversantem appellat, qui ne sacrae quidem diei parceret, dominicum corpus percepturus. ita imperatoris impetum ea inhibuit, ut metuens ne deum offenderet, in praesentia salute

κλειδὸς ἑαυτῷ τὴν φρουρὰν ἐπιτρέψας, τῷ παπίᾳ τὴν αὐτοῦ φυλακὴν ἀνατίθησι. πρὸς δὲ τὴν σύζυγον ἐπιστραφεὶς ἔφη "ἐγὼ μέν, ὦ γύναι, ταῖς σαῖς βακχείαις πεισθεὶς ἐποίησα ὡς ἐκέλευσας· σὺ δὲ οὐκ εἰς μακρὰν ἐπόψει, καὶ τὰ τῆς ἐμῆς νηδύος βλαστήματα, τὰ ἀποβησόμενα, εἰ καὶ σήμερόν με τοῦ ἁμαρτήματος ἠλευθέρωσας." οὕτω τὸ μέλλον, εἰ καὶ πόρρω προφητικῆς ἦν ἐπιπνοίας, ἀληθῶς ἀπεφοίβασε. λέγουσι δ' ὅτι καὶ χρησμὸς ἦν ἄνωθεν αὐτῷ δεδομένος ὡς κατὰ τὴν ἡμέραν τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατὰ σάρκα γεννήσεως πέπρωται αὐτῷ τήν τε βασιλικὴν εὐδαιμονίαν ἀποβαλεῖν, προσαπολέσαι δὲ καὶ αὐτὴν τὴν ζωήν. Σιβυλλιακὸς δὲ ἦν ὁ χρησμός, ἔν τινι βίβλῳ τῆς βασιλικῆς βιβλιοθήκης P 493 ἐγγεγραμμένος, οὐ χρησμοὺς μόνον ἁπλῶς ἐχούσῃ, ἀλλὰ καὶ μορφὰς καὶ σχήματα τῶν βασιλέων διὰ χρωμάτων. ἦν οὖν θηρίον μεμορφωμένον ὁ λέων ἐν τῷ βιβλίῳ, ἄνωθεν δὲ τῆς αὐτοῦ ῥάχεως ἐπεγέγραπτο τὸ χῖ στοιχεῖον μέχρι καὶ αὐτῆς τῆς γαστρός, κατόπιν δέ τις ἀνὴρ ἐπιθέων δόρατι καιρίαν ἐδίδου πληγὴν τῷ θηρίῳ διὰ μέσου τοῦ χῖ. ἀσάφειαν δ' ὑποφαίνοντος τοῦ χρησμοῦ, μόνος ὁ τηνικαῦτα κοιαίστωρ αὐτὸν διετράνου, Λέοντα μέλλειν φήσας τινὰ βασιλέα κατ' αὐτὴν τὴν ἡμέραν τῆς τοῦ Χριστοῦ γεννήσεως θανάτῳ ὀλεθρίῳ παραδοθῆναι. ὑπέθραπτε δὲ οὐδὲν ἧττον τὸν βασιλέα καὶ ἐξεδειμάτου καὶ ἡ τῆς οἰκείας μητρὸς B ὄψις. ἔδοξε γὰρ αὕτη κατὰ τὸν ἐν Βλαχέρναις θεῖον ναὸν τῆς θεοτόκου φοιτῶσα συνεχῶς κόρῃ τινὶ συναντᾶν λευχειμοσιν ἀν-

12 ἔχοντι C 13 γενομένων C 23 προσφοιτῶσα C

Michaelum donarit, compedibus modo ferreis inclusum; quarum clavo sibi retenta, hominem papiae custodiendum mandavit. ad uxorem vero conversus "feci" inquit "quod iussisti mulier, tuis persuasus bacchationibus: sed tu mox cernes, et proles nostra, quid eventurum sit, etiam si me hodie a peccato abstinuisti." atque hoc quidem ille, quanquam a fatidica inspiratione alienissimus, vere vaticinatus est. fertur et oraculum iam olim accepisse, quo monebatur esse in fatis ut natalicio Christi festo cum imperio vitam amittat. fuit hoc oraculum Sibyllinum, inscriptum libro cuidam bibliothecae imperatoriae, quo non oracula modo continebantur sed et figurae imperatorum coloribus expictae. in eo libro depicta erat fera leo, cui superne in dorso litera χ ad ventrem usque erat inscripta; et a tergo vir quidam accurrens leonem hasta per ipsum literam configebat. cumque id oraculum obscurum videretur, solus eo tempore quaestor interpretabatur, Leonem dicens olim imperatorem fore, qui ipso Christi natali mala morte esset interiturus. neque minus Leonem perterrebat matri eius oblata visio. ea enim dormiens videre sibi visa fuerat se, cum in aedem sacram deiparae Blachernensem crebro commearet, virgini cuidam occurrere albatis vitis stipatae; porro aedem

δράσι δορυφορουμένη, ἑώρα δὲ καὶ τὸν θεῖον ναὸν αἵματος πε-
πλησμένον. προστάξαι δὲ τὴν θεαθεῖσαν κόρην ἑνὶ τῶν λευχει-
μόνων ἀνδρῶν χύτραν τινὰ πλήσαντι αἵματος τῇ μητρὶ τοῦ Λέον-
τος ἐπιδοῦναι πιεῖν· αὐτῆς δὲ πολυετῆ χηρείαν προβαλλομένης,
δι' ἣν μήτε κρεῶν μήτε τινὸς τῶν ἐναίμων γεύσασθαι, καὶ διὰ
τοῦτο μηδὲ ταύτης τῆς χύτρας ἅψασθαι, "καὶ πῶς" ἔφησεν ἡ
κόρη μετὰ θυμοῦ "οὐ παύεται ὁ σὸς υἱὸς πολλῶν ἐμπιπλῶν αἱμά-
C των ἐμὲ καὶ τὸν ἐμὸν παροργίζων υἱὸν καὶ θεόν;" πολλά τε ἔκ-
τοτε τὸν ἑαυτῆς ἐξελιπάρει υἱὸν τῆς τῶν εἰκονομάχων ἐκστῆναι
αἱρέσεως, τὴν ὄψιν ἐκτραγῳδήσασα. καὶ ἑτέρα δέ τις ὄψις οὐ
μικρῶς συνετάρασσε· Ταράσιος γὰρ ὁ ἀοίδιμος πατριάρχης, πά-
λαι τὸν βίον μετηλλαχώς, Μιχαήλ τινα ἐδόκει καλεῖν ἐξ ὀνόματος
ἐν ὀνείροις, ἐπιπηδῆσαι προτρεπόμενος τῷ Λέοντι καὶ καιρίαν
πλῆξαι αὐτόν. ἐστρόβει δὲ αὐτὸν καὶ ἡ τοῦ κατὰ τὸ Φιλομίλιον
μοναχοῦ πρόρρησις καὶ ἡ τῆς ἐσθῆτος μεταμφίασις, ἣν ὁ Μιχαὴλ
ἐποιήσατο, ὥς που φθάσαντες ἱστορήσαμεν. οἷς ἅπασι δειμα-
τούμενος ὁ βασιλεὺς ἐπάλλετό τε τῷ δέει καὶ τὴν ψυχὴν ἐκυμαί-
D νετο. διὸ καὶ ἄγρυπνος διετέλει παρ' ὅλην τὴν νύκτα. σοφώ-
τερα τοίνυν ἢ βασιλικώτερα βουλευσάμενος, τὴν ἐπὶ τὸν παπίαν
φέρουσαν πυλίδα διαρρήξας κατεσκόπει τὰ ἔνδον. εἰσελθὼν δὲ
εἴς τι δωμάτιον θέαμα ὁρᾷ εἰς ἔκπληξιν οὐ τὴν τυχοῦσαν ἄγον
αὐτόν· εἶδε γὰρ τὸν μὲν κατάκριτον ἐπὶ στιβάδος ὑψηλῆς πάνυ
μεγαλοπρεπῶς ἀνακείμενον, τὸν δὲ παπίαν ἐπὶ ξηροῦ κατακλινό-

5 ἧς P 7 ἐμπιπλᾷς C 16 περ C 21 εἰς τὸ margo P

se videre sanguine repletam, et virginem istam cuidam albatorum mandare ut ollam sanguine impleret matrique Leonis bibendum porrigeret; se autem multorum annorum viduitatem praetendere, cuius gratia neque carnes neque quicquam sanguine praeditum gustasset, ideoque olla etiam hac abstineret. tum virginem iratam dicere "qui ergo filius tuus non desinit se multo cruore opplere, eoque me et filium deum meum irritare?" atque ab eo tempore mater visionem istam tragice referens, non destiterat Leonem hortari ut imaginiperdarum haeresi obsisteret. perturbabat et alia haud modice visio. nam per quietem visus sibi fuerat audire Tarasium patriarcham nobilem illum, qui iamdudum vitam cum morte commutaverat, Michaelum quendam nominatim exhortari atque impellere ut in Leonem impetum faceret letalique ictu sterneret. exagitabat etiam monachi apud Philomelium praedictio, et vestis suae a Michaelo indutae recordatio, quam rem supra exposuimus. his omnibus terroribus actus imperator metu concutiebatur atque animo fluctuabat, eamque noctem insomnem exigens sapientius quam sibi commodius consilium iniit. nam perrupta qua ad papiam ibatur portula, domum eius intravit, speculatum quid ibi gereretur. ingresso domum eam spectaculum oblatum est, quod eum haud vulgariter perterruit. vidit namque damnatum alto ac magnifice admodum exstructo toro iacere, papia in nudo pavimento re-

μενον τοῦ ἐδάφους. περιεργότερον δὲ προσελθὼν ἐπεσκόπει τὸν Μιχαήλ, εἰ ὅπερ φιλεῖ ἐν τοῖς κυμαινομένοις καὶ τὴν ζωὴν ἀμφίβολον ἔχουσι γίνεσθαι, ἐπιπόλαιόν τινα καὶ ἐμμέριμνον ὑπνώττει ὕπνον ἢ τοὐναντίον ἀφρόντιδα καὶ ἡδύν. ὡς δ᾽ εὗρεν ἀνέτως P 494 ὑπνοῦντα (καὶ γὰρ οὐδ᾽ ἐπαφώμενος αὐτὸν διυπνίσαι ἴσχυσεν), εἰς μείζονα ἀνήφθη θυμὸν τοῖς παρ᾽ ἐλπίδα τούτοις θεάμασι, καὶ ἀπῄει κατὰ σχολήν, δεινὸν οὐκ αὐτῷ μόνον ἀλλὰ καὶ τῷ παπίᾳ εὔσείων. καὶ ταῦτα μὲν ὁ βασιλεύς. οὐκ ἔλαθε δὲ ταῦτα τοὺς περὶ τὸν παπίαν, ἀλλά τις τῶν προκοίτων τοῦ Μιχαὴλ ἐκ τῶν φοινικῶν φωρασάμενος ἐμβάδων ἀπήγγειλε πάντα σαφῶς. οἷς ἐκπαθεῖς καὶ μικροῦ δεῖν ἔκφρονες οἱ περὶ τὸν παπίαν γενόμενοι ἐσκέπτοντο πῶς ἂν τὸν κίνδυνον διαφύγοιεν. ὑπέλαμπεν ἄρτι ἡμέρα, καὶ σκέπτεται σκῆψιν τοιάνδε ὁ Μιχαήλ, ὡς ψυχικάς τινας κηλῖδας βούλεταί τινι τῶν θεοφίλων ἐξαγορεῦσαι διὰ Θεοκτίστου, ὃν μετὰ ταῦτα τῷ τοῦ κανικλείου τετίμηκεν ἀξιώματι. ἐπε- B τέτραπτο γοῦν τοῦτο γενέσθαι παρὰ βασιλέως. ὁ δὲ Μιχαὴλ ἀδείας λαβόμενος λέγει πρὸς τὸν Θεόκτιστον "καιρός, ὦ Θεόκτιστε, τοῖς συνωμόταις ἐπαπειλῆσαι, ὡς εἰ μὴ τάχιον σπεύσουσιν ἐξελέσθαι τοῦ κινδύνου ἡμᾶς, πάντα τὰ τῆς πράξεως ἀνακαλύψαι τῷ βασιλεῖ." καὶ τοῦ Θεοκτίστου ὡς ἐκελεύσθη ποιήσαντος, εἰς ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνέπεσον οἱ συνίστορες, καὶ διεσκοποῦντο πῶς ἂν αὐτοί τε σωθεῖεν καὶ τὸν ὅσον οὐδέπω θανεῖν κινδυνεύσαντα διασώσαιεν. ῥάπτουσιν οὖν βουλὴν ἥτις αὐτούς τε ἐρρύσατο καὶ τῷ Μιχαὴλ πρὸς τῇ βασιλείᾳ καὶ τὴν ζωὴν ἐχαρίσατο.

cumbente. curiosiusque aggressus, ut deprehenderet num Michaelus, quod solent anxii et in vitae discrimine constituti, somnum ancipitem ac curis plenum an contra securum atque suavem duceret, sensit eum profundo sopori deditum, adeo ut ne contrectando quidem eum potuerit excitare. hoc tam insperato spectaculo ira acrius incensa discessit, per otium non Michaelo tantum sed ipsi quoque papiae exitium structurus. neque haec res papiam fefellit, quod quidam Michaeli excubitorum ex puniceis cothurnis imperatorem agnoverat, ipsique quid actum esset perspicue indicaverat. itaque papias cum suis animo gravissime perturbati, ac prope extra se rapti, de periculo effugiendo deliberant. iamque illucescebat, cum Michaelus hoc consilii capit. simulat se opera Theoctisti, quem postea ad caniclei dignitatem evexit, quasdam animae suae mendas quibusdam religiosis hominibus velle aperire. cumque id imperator permisisset, licentiam nactus Theoctisto indicat tempus poscere ut sociis coniurationis minetur, nisi ipsum celerrime discrimini eriperent, se totam rem imperatori enuntiaturum. hoc mandatum exsequente Theoctisto, conspirationis populares non mediocris incessit sollicitudo, anxieque consultaverunt quomodo et suam et Michaeli iam in extremo de vita sua periculo versantis salutem conservarent. tandem consilium componitur, quod et ipsos incolumes reddidit et Michaelo cum vita im-

C ἔθος ἐπεκράτει τότε, μή, ὥσπερ νῦν, ἔνδον τῶν βασιλείων, ἔκτοτε λαβὸν τὴν ἀρχήν, μένειν τοὺς τῇ ἐκκλησίᾳ τοῦ παλατίου ψάλλοντας κληρικούς, ἀλλὰ τοῖς ἰδίοις οἴκοις, περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ἀγείρεσθαι κατὰ τὴν ἐλεφαντίνην, κἀκεῖθεν ἀπιέναι πρὸς τὴν ἐκκλησίαν καὶ τῷ θεῷ τὰς ἑωθινὰς ἀποδιδόναι εὐχάς. τούτοις οἱ συνωμόται ἐγκαταμιχθέντες τότε, ὑπὸ μάλης ἐγχειρίδια ἔχοντες, συνεισῄεσαν, καὶ ἔν τινι σκοτεινῷ τῆς ἐκκλησίας λοχήσαντες τόπῳ τὸ σύνθημα ἐξεδέχοντο. ὡς δ' ὁ ὕμνος διεπεραίνετο, ἤδη δὲ παρῆν καὶ ὁ βασιλεύς, καὶ τῆς ὑμνῳδίας D ἐξῆρχεν, ὡς ἔθος, "τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ" (εἶχε γάρ, ὡς εἴπομεν, τορωτέραν φωνήν), τότε δὴ εἰσπηδήσαντες ἀθρόον οἱ συνωμόται ἐκ μὲν τῆς πρώτης ἡμάρτανον προσβολῆς, πρὸς τὸν τοῦ κλήρου ἔξαρχον ἀποπλανηθέντες, εἴτε παρόμοιον ὄντα τῷ βασιλεῖ κατὰ τὴν σωματικὴν ἐμφέρειαν, εἴτε τῇ περὶ τὴν κεφαλὴν ὁμοίᾳ περιβολῇ· ἦν γὰρ ἡ ὥρα κρυμώδης τε καὶ χειμέριος, καὶ διὰ τοῦτο ἐν περιβλήμασι πάντες διεκαρτέρουν στεγανωτέροις, πίλοις τὰς κεφαλὰς ὀξυτάτοις περικαλύπτοντες. ἀλλ' ὁ μὲν τοῦ κλήρου καθηγεμὼν τὸν κίνδυνον ἀπεώσατο, τὸν πῖλον τῆς κεφαλῆς ἀφελὼν καὶ τῇ φαλάκρᾳ τὴν σωτηρίαν πραγματευσάμενος· ὁ δὲ βασιλεὺς συναισθόμενος τῆς ἐπιβουλῆς εἰς τὰ ἄδυτα τοῦ θυσιαστηρίου εἰσέδυ, καὶ τὴν τοῦ θυμιατηρίου σειρὰν διαρπάσας, ἢ ὥς τινες λέγουσι θεῖον σταυρόν, τὰς βολὰς τῶν πληκ-
P 495 τόντων ἐδέχετο. ἀλλ' οἱ συνωμόται ἀθρόοι καὶ οὐ καθ' ἕνα ἐπιδραμόντες, ὁ μὲν κατὰ τῆς κεφαλῆς, ἄλλος κατὰ τῶν σπλάγχνων

12 ἀθρόως C 14 περὶ] παρὰ C 21 τῶν θυσιαστηρίων P

perium paravit. mos tunc erat non is qui nunc tenetur, ab illo tempore receptus, ut qui in Palatino templo psallunt clerici, in regia habitent: sed quisque domi suae degens circa tertiam noctis vigiliam ad portam elephantinam seu eburneam conveniebant, indeque in templum progressi deo matutina vota nuncupabant. iis tum coniurati se permiscentes, pugionibus subter alas occultatis, una intrabant, abditique in obscuro templi loco tesseram exspectabant. hymno absoluto, venit etiam imperator, ac pro more suo voce grandiore intonavit carmen "spreverе summi cuncta amore principis." tum coniurati confertim impetum dederunt, qui eos initio per errorem in cleri magistrum tulit, sive quod is corpore imperatori adsimilis erat, sive quod caput simili veste velaverat: erat enim tempore eo magnum gelu, ideoque quivis caput suum densiore pileo tectum non denudabat. sed is quidem pileo capiti detracto, ostensa calvitie, periculo se subtraxit. imperator insidias sentiens in penetrale altaris se subduxit, dereptaque thuribuli catena, aut ut alii perhibent, diva cruce, ictus percussorum excepit. verum ii non singuli sed facto cuneo irruentes, alius capiti, ventri alius, alius alii corporis

καὶ ἄλλος ἀλλαχόθι τοῦ σώματος κατετίτρωσκον. καὶ χρόνον μέν τινα ἀντέσχε, τῷ θείῳ σταυρῷ τὰς τῶν ξιφῶν ὁρμὰς ἀποκρουόμενος· πάντοθεν δ' ὡς θηρίον βαλλόμενος καὶ πρὸς τὰς τρώσεις ἀποκαμών, τελευταῖον ἕνα τινὰ γιγαντιαῖον ἐπιφέροντα ἰδὼν τὴν πληγήν, ὅρκῳ τῆς τῷ ναῷ ἐνοικούσης κατεδέσμει χάριτος καὶ φείσασθαι ἐξελιπάρει· τῆς τῶν Κραμβωνιτῶν οὗτος ὁ γεννάδας ὥρμητο γενεᾶς. ἀλλ' ὅ γε, "οὐχ ὅρκων" εἰπὼν "ἀλλὰ φόνων καιρός," παίει κατὰ τῆς χειρὸς διανταίαν πληγήν, ὡς μὴ μόνον τῆς κλειδὸς B ταύτην ἀποτεμεῖν, ἀλλὰ καὶ τὸ κέρας συναποτεμεῖν τοῦ σταυροῦ. ἀποτέμνει δέ τις αὐτοῦ καὶ τὴν κεφαλήν, ἤδη καταπεπονημένου ταῖς πληγαῖς καὶ ὀκλάσαντος. τοιούτῳ μὲν βίου τέλει ὁ Λέων ἐχρήσατο, κατὰ τὸν Δεκέμβριον μῆνα, ὥρα ἦν ὡς δεκάτη τῆς νυκτός, ἐπ' ἔτη βασιλεύσας ζ' καὶ μῆνας ε', ὠμότατος, εἴπερ τις ἄλλος, γεγονώς, καὶ τῶν πρὸ αὐτοῦ πάντων ὁ ἀσεβέστατος, οἷς τήν τε προσοῦσαν αὐτῷ ἐν τοῖς κοινοῖς ἐπιμέλειαν καὶ τὴν ἐν χερσὶ γενναιότητα ἀπημαύρωσε. λέγεται δὲ καὶ φωνὴν οὐρανόθεν καταρραγῆναι εὐθὺς τὴν αὐτοῦ κατάλυσιν εὐαγγελιζομένην πολλοῖς· ἧς καί τινες ἀκηκοότες ναυτίλοι, τὸν καιρόν τε καὶ τὴν νύκτα C καταγραψάμενοι, ἐκ τοῦ μετὰ ταῦτα συμπεράσματος εὗρον οὖσαν ἀληθινήν. ἀνῃρημένου δὲ τοῦ Λέοντος, οἱ ἀνῃρηκότες σύροντες τὸν τούτου νεκρὸν ἀνηλεῶς διὰ τῶν Σκύλων εἰς τὸν ἱππόδρομον ἐξήγαγον, παντὸς αὐτοῖς περιῃρημένου φόβου διὰ τὸ τὴν βασίλειον αὐλὴν ὅπλοις οἰκείοις πάντοθεν περιφραχθῆναι. κατέσπασαν δὲ τῶν βασιλείων καὶ τὴν αὐτοῦ γαμετὴν σὺν τοῖς τέσσαρσι

parti plagas intentabant. Leo aliquamdiu cruce se defendit, ictibus gladiorum repulsis, donec ferae instar undiquaque impetitus succubuit. tandem quendam immani corpore gigantis similem inferre ictum cernens, per inhabitantem fanum illud gratiam iuratum obsecratus est ut sibi parceret. fuit nobilis iste Crambonitarum stirpe oriundus; ac dicens non iuramentorum esse hoc sed caedis tempus, gravi ictu manum Leonis clavicula abscidit, simulque cornu crucis. tandem vulneribus victo et ad terram subsidenti quidam caput amputavit. hunc finem vitae sortitus est Leo, mense Decembri, hora noctis prope decima, cum imperium annos 7, menses 5 gessisset, et maiori quam ullus antecessorum crudelitate atque impietate usus diligentiam in re publica procuranda inque rebus bellicis fortitudinem suam obscurasset. aiunt vocem quoque caelitus statim editam, quae laetum de eius morte nuntium multis patefecerit. ac naviculariós quosdam qui eam audivissent, notato tempore et nocte ea, ratiocinando eam veracem deprehendisse. interfecti Leonis cadaver percussores crudeliter per spolia in Circum traxerunt, omnis metus vacui, quod suis armis regiam undiquaque cinxissent. aula quoque Augustam eiecerunt cum quattuor filiis eius, Sabbatio, qui im-

τέκνοις αὐτῆς, Σαββάτιον τὸν μετονομασθέντα κατὰ τὴν ἀνάρρησιν Κωνσταντῖνον Βασίλειόν τε καὶ Γρηγόριον ἅμα Θεοδοσίῳ· D οὓς καὶ ἀκατίῳ ἐνθέντες πρὸς τὴν Πρώτην νῆσον ἀπήγαγον, κἀκεῖσε τῶν πάντων ἐκτμηθέντων συνέβη τὸν Θεοδόσιον τὴν ἑαυτοῦ καταλῦσαι ζωὴν καὶ ταφῆς τῷ ἰδίῳ κεκοινωνηκέναι πατρί.

Ὁ δὲ Μιχαὴλ τῆς ἐκ τοῦ παπία φρουρᾶς ἀνεθείς, ἔτι τοὺς πόδας ἐν σιδηροπέδαις ἔχων κατισχημένους διὰ τὸ τὴν κλεῖν τῶν σιδήρων ἐν τῷ κόλπῳ τοῦ Λέοντος φυλάττεσθαι, οὕτως ὡς εἶχε μετὰ τῶν σιδήρων ἐπὶ τὸν βασίλειον ἐκάθισε θρόνον, καὶ παρὰ πάντων τῶν τέως ὄντων ἐν τῷ παλατίῳ ἀναγορευθεὶς προσεκυνήθη. ἤδη δὲ μεσούσης ἡμέρας, πανταχοῦ τῆς φήμης διαδραμούσης, τῶν δεσμῶν θλασθέντων ὑπὸ σφύρας βιαίως, οὐ χεῖρας ἀπονιψάμενος, οὐ τὸν τοῦ θεοῦ φόβον ἐπὶ νοῦν εἰληφώς, οὐκ ἄλλο οὐδὲν τῶν δεόντων πράξας, πρὸς τὸν μέγαν τῆς ἁγίας Σοφίας ναὸν προελήλυθε, χειρὶ τοῦ πατριάρχου στεφθῆναι βουλόμενος, καὶ γλιχόμενος καὶ τῆς πανδήμου τυχεῖν ἀναρρήσεως, ἐκείνοις μόνοις P 496 τοῖς τὸν φόνον ἐξηνυκόσι συνωμόταις θαρρῶν. ἔνθα καί τις θαυμάσειεν ἀμφοτέρων τὸ κακόγνωμον, τοῦ μὲν ἀπελθόντος, ὅπως οὐδένα ἔσχε τὸν βοηθοῦντα ἐκ τῶν τοσούτων καὶ τηλικούτων κολάκων, ἑρπετῶν δίκην ἁπάντων καταδεδυκότων εἰς χηραμούς, τοῦ δὲ μετ' ἐκεῖνον τὸ ἀναιδὲς καὶ ἀναίσχυντον, ὃς εἰς τὴν ἐκκλησίαν εἰσῄει οὐχ ὥς τις φονεὺς καὶ δήμιος, ᾑμαγμένας ἔχων τὰς χεῖρας, ἀλλ' ὥσπερ τις ἀθλοφόρος καὶ νικητής, ἐπὶ τῷ γεγονότι γαννύ-

1 Συμβαντίῳ τῷ κατὰ τὴν ἀνάρρησιν μετονομασθέντι Κωνσταντίνῳ, Βασιλείῳ τε καὶ Γρηγορίῳ, σὺν ἅμα Θεοδοσίῳ C 6 ἐκ τῆς τοῦ? πακίου C 14 μέγαν ναὸν τῆς σοφίας C 17 κἂν C

perator designatus Constantini nomen susceperat, Basilio, Gregorio et Theodosio; quos omnes in lembum impositos in Protam insulam avexerunt. ibi omnes castrati sunt, et Theodosius vita defunctus una cum patre est sepultus.

At Michaelus papiae custodia liberatus, ita ut pedes adhuc in ferreis habebat compedibus inclusos (earum enim claves in sinu Leonis asservabantur), imperatorio solio consedit, estque ab omnibus qui tum in palatio aderant imperator salutatus atque adoratus. sub meridiem vero fama iam undiquaque dissipata, malleo per vim diffissis compedibus, neque manibus ablutis, neque dei metu in animum suum inducto, neque ulla alia re quam decebat fieri peracta, ad magnum sanctae sapientiae templum prodiit, cupiens manu patriarchae coronari et ab universo populo imperator salutari, solis fidens coniurationis sociis et Leonis percussoribus. utriusque hic miretur aliquis perversitatem, Leonis, quod adeo nullum habuit sui defensorem de tot tantisque assentatoribus, qui tum omnes reptantium bestiarum in morem in foramina se sua abdiderant, Michaeli vero impudentiam, qui in aedem intraret non ut homicida aliquis aut carnifex sanguine pollutis manibus, sed veluti victor

μενος, ἐμφύλιον ἐκχέας αἷμα οὐκ ἐπὶ τοῦ τυχόντος τόπου ἀλλ' ἐν τῷ θείῳ θυσιαστηρίῳ, ἔνθα τὸ δεσποτικὸν καθ' ἡμέραν ἐκχέεται τῶν ἡμετέρων ἕνεκα λύτρον ἁμαρτιῶν.

Τοῦτον τὸν Μιχαὴλ ἤνεγκε μὲν ἡ κατὰ τὴν ἄνω Φρυγίαν B πόλις Ἀμώριον, οὕτω καλουμένη, ἐν ᾗ Ἰουδαίων καὶ Ἀθιγγάνων καὶ ἑτέρων ἀσεβῶν πλῆθος ἔκπαλαι τῶν χρόνων ἐγκατοικίζεται. καί τις δὲ αἵρεσις ἐκ τῆς ἀλλήλων κοινωνίας καὶ διηνεκοῦς ὁμιλίας καινὸν ἔχουσα τὸν τρόπον καὶ ἀλλόκοτα δόγματα ἐπιφύεται, ἧς καὶ αὐτὸς μέτοχος ἦν, πατροπαράδοτον θρησκείαν ἀποπληρῶν. αὕτη τοῦ μὲν θείου λουτροῦ καὶ σωτηριώδους τοὺς τελουμένους μεταλαγχάνειν ἀνίησι, τἄλλα δὲ πάντα σώζει, φυλάττουσα τὸν νόμον τὸν Μωσαϊκὸν πλὴν τῆς περιτομῆς. εἶχε δὲ διδάσκαλον ὁ Μιχαὴλ καὶ οἷον ἔξαρχον, ὑπ' αὐτοῦ μεμυσταγωγημένος, Ἑβραῖόν τινα ἢ Ἑβραΐδα κατὰ τὸν ἑαυτοῦ οἶκον, οὐ μόνον τὰ ψυχικὰ ἀλλὰ C δὴ καὶ τὰς κατ' οἶκον οἰκονομίας αὐτὸν ἐκπαιδεύοντα. ὑφ' οὗ προληφθεὶς οὐδὲν ἀκέραιον ἔσωζεν, ἀλλ' ἦν ἀπιστίας τις σύνοδος, τά τε Χριστιανῶν παραχαράξας, τὰ Ἰουδαίων κιβδηλεύσας καὶ τἄλλα παρανοθεύσας, καὶ τοιοῦτος τὴν πίστιν γενόμενος, ποικίλος τε καὶ πολύμορφος, ὁποῖά φασι τὰ ἐν Λιβύῃ γίνεσθαι θηρία διὰ τὴν τοῦ ὕδατος ἔνδειαν συναγόμενα καὶ ἀλλήλοις ἐπιμιγνύμενα. ὡς δὴ καὶ εἰς τὴν βασίλειον ἀνήχθη ἀρχήν, ἐσεμνύνετό τε καὶ ὡραΐζετο [ἢ] τῷ διαδήματι καὶ τῇ ἀλουργίδι, λόγον δὲ καὶ

8 ἔχουσι P   22 ὡραΐζετό τε καὶ ἐσεμνύνετο C

ac qui palmam meruisset, eo facinore superbiens, cum quidem civilem sanguinem non quovis loco fudisset, sed ad sacram aram, ubi quotidie dominicus sanguis pro peccatis nostris expiandis funditur.

Fuit hic Michaelus Amorii natus, superioris Phrygiae urbe; in qua ab antiquis temporibus Iudaeorum Athinganorum aliorumque impiorum multitudo habitabat; et quaedam ibi haeresis ex istorum diuturna atque continenti inter se conflata consuetudine enata erat, nova prorsus et inusitatis constans opinionibus; a qua et ipse erat imperator, traditae a maioribus superstitioni inhaerens. ea haeresis suos ad divinum ac salutare baptismi lavacrum admittit quidem, in reliquis autem omnibus, dempta circumcisione, Mosaicam legem tenet. erat Michaelo praeceptor, qui eum iis sacris initiaverat, et quasi praefectus, Ebraeus quidam (sive is femina potius Ebraica fuit), quem domi fovebat, ab eoque non ad religionem modo sed et ad rem domesticam pertinentibus rebus instituebatur. ab eo praeoccupatus nihil integrum servaverat, sed erat pravae religionis in eo quasi colluvio quaedam, cum et Christianae fidei decreta adulteraret et Iudaicam religionem spuriis opinionibus pollueret. fuitque omnino, quod ad pietatis professionem attinet, talis in eo varietas et confusio, qualis fertur Libycarum esse bestiarum natura, quae ex diversis animalibus ob aquae defectum congressis nascuntur. is ergo potitus imperio nulla re alia quam diademate et purpura se ostentavit,

μάθησιν ὡς τὰ αὐτοῦ ἀνατρέποντα καὶ δυνάμενα μεταδιδάσκειν
D τὰ κρείττονα ἀπεβάλλετο καὶ ἠτίμαζεν. ἐτίμα δὲ τὰ οἰκεῖα δια-
φερόντως· τὰ δὲ ἦν, συῶν μὲν τῶν ἀρτιτόκων προλέγειν ὅσοι τε
ἔσονται εὐτραφεῖς καὶ σωμάτων μεγέθους οὐκ ἀμοιρήσουσι, καὶ
ὅσοι τοῖς ἐναντίοις περισχεθήσονται, καὶ ἵππων μὲν ἐγγὺς ἑστάναι
τῶν λακτιζόντων εἰδέναι, ὄνους δὲ τοὺς λακτίζοντας ὡς πορρω-
τάτω ἐκτρέπεσθαι εὐφυῶς. ἡμιόνων τε κριτὴς ἄριστος ἦν, καὶ
τούτων ὅσοι μὲν πρὸς φόρτον ἐπιτήδειοί εἰσι διακρίνειν, ὅσοι δὲ
τοὺς ἐπιβάτας εὐφόρως φέρειν δύνανται, καὶ μή τινι πτοίᾳ περι-
δεεῖς γινόμενοι ἐκτραχηλίζοιεν. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἵππους
ὀφθαλμῶν μόνον κρίνων ἐπιβολαῖς, ὅσοι τε πρὸς δρόμον εὔτονοι
P 497 καὶ ταχεῖς καὶ ὅσοι πρὸς πόλεμον τὸ καρτερικὸν διασώζουσι· προ-
βάτων τε καὶ βοῶν εὐτοκίας, καὶ τὴν τοῦ γάλακτος ὅσαι δαψί-
λειαν ἐκ φύσεως ἔλαχον· τῶν τε ἀρτιγενῶν γεννημάτων εἰδέναι
διακρίνειν ποῖον ὁποίας ἐστὶ μητρός. καὶ τὰ μὲν τῆς πρώτης ἡλι-
κίας, εἰπεῖν δὲ καὶ τῆς τελευταίας, ταῦτα δὴ τὰ μαθήματα καὶ
σεμνολογήματα· ὡς δὲ ἤκμαζεν ἤδη, τὸν πένητα βίον διαθλῶν
καὶ καρτερῶν, ἔσπευδε τοῦτον πάσῃ ἀποτρίψασθαι μηχανῇ. καί
ποτε τῷ ἑαυτοῦ παραστὰς στρατηγῷ ἑαυτὸν ὑπέφαινε, τῇ τῆς
γλώττης τραυλότητι τὸν ἄρχοντα ἐκκαλούμενος. τῶν δὲ Ἀθιγγά-
B νων τις, γνωστὸς ὑπάρχων τῷ στρατηγῷ, αὐτόν τε τοῦτον τὸν Μι-
χαὴλ καί τινα ἕτερον περιβοήτους ἔσεσθαι μετ' οὐ πολὺ διηγόρευε,
καὶ βασιλείας αὐτῆς ἐπιτυχεῖν οὐκ ἐν μακρῷ τῷ χρόνῳ. τούτοις
ὁ στρατηγὸς τὴν ψυχὴν ἐκθερμανθείς, καὶ τὸ μέλλον ὥσπερ ἐν-

6 τε CP 8 διακρῖναι P 24 διαθερμανθεὶς C

omni doctrina et disciplina ignominiose repudiata, quod inde sua everti et se melius aliquid doceri posse metueret. sua vero maximi ducebat, quae erant praedicere porcorum recens natorum qui praeclare adulturi essent aut contra, posse equis calcitrantibus prope assistere, asinos calcitrantes arte quam longissime vitare; de mulis optime iudicare, et discernere qui oneribus aut qui sessori commodissime ferendo apti forent, ut nullo pavore consternati eum excuterent; equos solo intuitu dignoscere, qui ad cursum robusti et celeres vel bellica fortitudine nobiles essent futuri; item de ovium et boum fecunditate ac lactis abundantia et de recenti fetu iudicare, cuius quivis matris esset. haec eius fuerunt prima aetate studia, quibus et postremis suis sese iactavit temporibus. cum autem paupere vita toleranda adolevisset, omni conatu nixus est ea sese liberare; et aliquando suum tribunum adiit, balba, ut erat, voce eum iccirco compellans. ibi Athinganus quidam notus tribuno affirmavit paulo post hunc Michaelum et quendam alium illustrem fore, ac imperio ipso Romanorum potiturum. ad quam praedictionem tribunus animo ita incaluit ut qui futurum iam quasi in speculo ante oculos cerneret; et

οπτριζόμενος, οὐκ ἔγνω βραδυτῆτι παρώσασθαι τὸν καιρόν, οὗ πάλιν τυχεῖν οὐ ῥᾴδιον. τράπεζα οὖν παραχρῆμα, καὶ τοὺς ἄλλους πάντας καταλιπὼν τοὺς καὶ γένει καὶ ἀξιώμασι διαφανεστέρους, τούτους δὴ τοὺς ἄνδρας εἰς ἑστίασιν συγκαλεῖ, καὶ τοῦ πότου ἀκμάζοντος τὰς θυγατέρας ἄγων ἐδίδου τοῖς ξένοις ὁ στρατηγός, καὶ νυμφίους ἔχειν καθωμολόγει, τῷ ξένῳ μὲν καὶ παραδόξῳ τοῦ πράγματος ἐν ἐκστάσει πρότερον γενομένους, ἀποδεχομένους C δὲ ὅμως καὶ συγκατατιθεμένους, καὶ θεοῦ ἔργον τὸ τοιοῦτον, οὐκ ἀνθρώπου ὁμολογοῦντας.

Ἀλλὰ ταῦτα μὲν ἐπράττετο οὕτως· τὴν δὲ τοῦ ῥηθέντος Ἀθιγγάνου φωνὴν ὥς τινα θείαν πρόρρησιν ἐνηχηθεὶς ὁ Μιχαήλ, δεύτερον δ' οἰωνὸν εἰληφὼς καὶ τὴν κατὰ τὸ Φιλομίλιον τοῦ μοναχοῦ προαγόρευσιν, ὡς ἤδη φθάσαντες εἴπομεν, τῷ τοῦ Λέοντος φόνῳ ἰταμώτερον ἐπέθετο καὶ θρασύτερον, κακὸς μὲν περὶ τὸν πρῶτον εὐεργέτην φανείς, ἐκεῖνον δὴ τὸν εἰρημένον Βαρδάνιον, κακίων δὲ περὶ τὸν δεύτερον, φημὶ δὴ τὸν Λέοντα, ὃς καὶ τὸν υἱὸν αὐτοῦ ἐκ τοῦ θείου βαπτίσματος υἱοθετησάμενος ἦν. ὅμως D δὲ καὶ τὸν Λέοντα οἰκτίστῳ θανάτῳ κατεργασάμενος ἀπόμοιράν τινα χορηγίας τοῖς τοῦ Λέοντος ἐναποτάττει παισὶ καὶ τῇ τούτων μητρὶ ἐκ τῶν δημευθέντων κτημάτων αὐτοῦ, καί τινας τῶν ἑαυτοῦ παίδων πρὸς ὑπηρεσίαν αὐτοῖς δωρησάμενος, καὶ τὴν μὲν τοῦ Λέοντος γαμετὴν εἰς τὴν οὕτω λεγομένην τῶν δεσποινῶν μονὴν

1 βραδυτῆτα C   7 γινομένους C   20 δημευθέντων χρημάτων αὐτοῦ καὶ κτημάτων P   22 ἐς τὴν μονὴν τὴν οὕτω λεγομένην τῶν δεσποτῶν κελεύσας ἐνασφαλίζειν C

occasionem nequaquam repudiandam ratus, quam non facile rursus esset consecuturus, e vestigio aliis omnibus qui et generis splendore et dignitatibus florebant postpositis, hos viros convivio adhibuit, ac vigente compotatione filias adducens iis in matrimonium despondit, ad novam quidem et inopinatam rem principio stupentes, adsentientes tamen et paciscentes nuptias, ut qui non hominis sed dei hoc esse opus putarent.

Enimvero Michaelus Athingani istius vocem ita auribus hausit, ut qui eam divinae praedictionis loco reputaret. altero deinde omine confirmatus, monachi nempe apud Philomelium vaticinio, quod supra rettulimus, eo audacius ac ferocius caedem Leoni molitus est. male se gesserat adversus primum suum benefactorem Bardanium: peius se gessit adversus secundum, Leonem inquam, qui etiam filium Michaeli ex sacro lavacro susceperat. quamvis autem Leonem atrocissima nece sustulit, portionem tamen quandam ad vitae sustentationem filiis eius et uxori ex publicatis ipsius bonis atque possessionibus decidit, pueros quoque de suis aliquot eis donans, quorum uterentur ministerio. uxorem namque Leonis in monasterium quod dominorum dicitur inclusit, filios mares in

ἐνασφαλίζει κελεύσας, τοὺς ἄρρενας δὲ τῶν παίδων ἐν τῇ Πρώτῃ νήσῳ, ὡς εἴρηται. ὧν κατ' αὐτὴν εὐνουχισθέντων Θεοδόσιος μὲν ἀπεβίω, Κωνσταντῖνος δ' ὁ μετονομασθεὶς Βασίλειος ἀφωνίᾳ μετὰ τὸν εὐνουχισμὸν κατασχεθεὶς ἐδεῖτο μὲν τοῦ θεοῦ τὴν ἑαυτοῦ λυθῆναι φωνήν, ἐδεῖτο δὲ καὶ τοῦ ἐν θεολογίᾳ περιωνύμου Γρη-
P 498 γορίου, ἐκεῖσέ που ἀνεστηλωμένου τυγχάνοντος. ὑπήκουσεν οὖν τῆς αὐτοῦ δεήσεως ὁ ἅγιος, καὶ ὠράθη τῷ Κωνσταντίνῳ φάσκων ὁ θεῖος τύπος "κατὰ τὸν ὄρθρον τουτονὶ τὸν κηρὸν λαβὼν ἀνάγνωθι." ὁ δὲ πιστεύσας τοῖς λεγομένοις, εἰσελθὼν ἀνέγνω λαμπρᾷ καὶ καθαρωτάτῃ φωνῇ τὸ "πάλιν Ἰησοῦς ὁ ἐμός." τῆς φωνῆς δὲ λυθείσης αὐτοῦ τήν τε πατροπαράδοτον ἐβδελύξατο ἄνοιαν, καὶ περὶ τὰς θείας εἰκόνας τὴν εὐγνωμοσύνην μετέθετο.

Ἀλλὰ ταῦτα μὲν ὕστερον· ἤδη δὲ τὴν αὐτοκράτορα τοῦ Μιχαὴλ ἐπανελομένου ἀρχὴν καὶ τὰ κατ' αὐτὴν ὡς ἐβούλετο διοικοῦντος, ἐπιστολὴν ὁ ἀοίδιμος Νικηφόρος ὁ πατριάρχης ἐκπέμπει, παρακαλῶν ἀπολαβεῖν τὸν ἀσπασμὸν τὰς θείας εἰκόνας καὶ ἀνά-
B κλησιν γενέσθαι τῆς εὐσεβείας. ἀλλ' ὁ Μιχαὴλ ἀπεκρίνατο μήτε τι κακουργήσων ἐλθεῖν τῶν περὶ πίστεως ἐκτεθειμένων, μήτε μὴν τῶν ἤδη παραδοθέντων καὶ ἀνομολογηθέντων καταδρομήν τινα ἐργάζεσθαι καὶ καθαίρεσιν. "ἕκαστος οὖν" φησὶ "τὸ δοκοῦν αὐτῷ ποιείτω καὶ ἐφετόν, ἀπαθὴς πόνων καὶ ἄγευστος λύπης διατελῶν." πλὴν οὐ μέχρι τέλους ταύτην ἐτήρησε τὴν προαίρεσιν ὁ μηδὲ τὴν ἀρχὴν ἀληθὴς Χριστιανὸς γεγονώς· ἀλλ' ὅσον τὰ τῆς βασιλείας αὐτῷ ἐκρατύνετο, τοσοῦτον κακοδαίμονι φύσει καὶ ὠμο-

13 αὐτοκρατορίαν C 15 οἰκονομοῦντος C 20 ἐργάσασθαι C

Prota insula. qui cum ibi castrarentur, Theodosius in fata concessit, Constantinus autem, qui alio nomine Basilius dicitur, vocis usu ab exsectione virilium privatus, eius restitutionem cum deum flagitavit, tum Gregorium theologiae nomine illustrem, cuius ibi forte quaedam erat statua. exaudiit eum sanctus ille, visaque est ei imago sacra mane iubens ceram quam porrigebat legere. ac Basilius fidem dicto habens, ingressus fanum, clara purissimaque voce recitavit haec "rursum Iesus meus." voce itaque recepta traditam a patre sibi impietatem abominatus, gratum se erga sacras imagines praebuit.

Verum haec aliquanto post evenerunt. ceterum ad Michaelum imperio ita potitum, resque suo arbitratu constituentem, Nicephorus nobilis patriarcha epistolam mittit, petens ea sacrarum imaginum instaurationem et pietatis revocationem. respondet Michaelus se neque ullum decretorum de fide convellere statuisse, neque etiam quicquam eorum quae tradita iam et confessa haberentur damnaturum vel mutaturum: quivis secure id sequeretur atque ageret quod sibi probaretur atque liceret. non tamen in hoc proposito perseveravit, quippe qui ne initio quidem verus fuerit Christianus. sed quamdiu imperium tenuit, bellum

τύχη τὸν κατὰ τῶν Χριστιανῶν καὶ τῶν ὁμοφύλων ἀνερρίπιζε
πόλεμον, νῦν μὲν τοὺς μοναχοὺς διαπτύων καὶ παντοίοις περιβάλ-
λων δεινοῖς, καὶ ποιναῖς ἐξευρίσκων ποινάς, νῦν δὲ τοὺς ἄλλους C
πιστοὺς ἐγκλείων φρουραῖς καὶ ὑπερορίους τιθείς. ἐντεῦθεν καὶ
Μεθόδιον τὸν μετὰ βραχὺ πατριαρχικοῦ θρόνου ἀξιωθέντα καὶ
Εὐθύμιον τὸν τηνικαῦτα τῶν Σάρδεων προεδρεύοντα, τῷ αὐτοῦ
θελήματι μὴ ὑπείκοντας μηδὲ τὴν τῶν θείων εἰκόνων ἐξαρνουμέ-
νους τιμήν, τῆς πόλεως ἐξωθεῖ, καὶ τὸν μὲν θεῖον Μεθόδιον
φυλακῇ παραδίδωσι κατὰ τὴν νῆσον τοῦ Ἀκρίτου, τὸν δὲ μακαρί-
την Εὐθύμιον διὰ Θεοφίλου τοῦ οἰκείου υἱοῦ θανάτῳ παραδίδωσι,
βουνεύροις τυπτόμενον ἀφειδῶς. ὅσον δὲ τὴν Χριστοῦ κληρονο-
μίαν ἐπίεζε, τοσοῦτον τοὺς Ἰουδαίους ἀνέτους φόρων καὶ ἐλευθέ-
ρους ἐτίθει, ἀγαπωμένους καὶ στεργομένους αὐτῷ τῶν ἄλλων ἀν- D
θρώπων διαφερόντως. προυβάλλετο δ' ὥσπερ τι προκέντημα καὶ
ἀρχέτυπον τοῦ οἰκείου βίου πρὸς μίμησιν τὸν τοῦ Κοπρωνύμου
βίον, καὶ τοῦτον μιμεῖσθαι εἰς ἄκρον ἐσπούδαζε. διὸ καὶ πρὸς
τὴν ἀκρόπολιν ἔφθασε τῆς ἀσεβείας, ἄρτι μὲν σάββατον νηστεύειν
νομοθετῶν, ἄρτι δὲ κατὰ τῶν θείων προφητῶν τὴν γλῶτταν ἐξα-
κονῶν, ἄρτι δὲ τὴν μέλλουσαν ἀνάστασιν ἀθετῶν καὶ τὰ ἐκεῖθεν
ἐπηγγελμένα ἀγαθὰ διασύρων, διάβολόν τε μὴ εἶναι ὅλως ἰσχυρι-
ζόμενος ἅτε μηδ' ὑπὸ Μωσέως τούτου παραδεδομένου. πορνείαν
δὲ κατησπάζετο, καὶ τὸν ἐπὶ πᾶσι δεῖν ὀμνύναι θεὸν ἐνομοθέτει,
καὶ τὸν Ἰούδαν ἀκολάστῳ γλώσσῃ τάττων μετὰ τῶν σωζομένων.

9 ἀκρίτα C 11 ἀναιδῶς margo C ὅσῳ — τοσούτῳ C
18 γλῶσσαν C

Christianis et gentilibus eorum animo malo atque crudelissimo movit, modo monachos despuens, eosque varie affligens, aliaque in eos super alia statuens supplicia, modo alios pios in carceres coniiciens extorresve agens. inter hos Methodium, qui non multo post ad solium patriarchae evectus est, ac Euthymium, eo tempore Sardium praesulem, quod suae voluntati non obsequerentur neque sacris imaginibus deberi honorem diffiterentur, urbe eiecit. et Methodium quidem in insula Acritae in custodiam dedit, beatum vero Euthymium opera filii eius Theophili flagris necavit. quantum vero Christi patrimonio incommodi dabat, tantum tributi immunitatis et libertatis donationibus Iudaeos sublevabat, sibi supra omnes homines dilectos. exempli loco quod imitaretur ac pro stimulo quasi haberet, vitam Copronymi sibi proposuit, summoque eam studio aemulatus ad summum impietatis perrexit. itaque modo sabbati ieiunium praecipere, modo linguam contra divinos vates acuere, modo futuram resurrectionem infitiari et bona quae ex ea nobis promittuntur deridere, modo diabolum ullum esse negare, quod nihil de eo Moses tradiderit. idem et scortationes magni fecit, et de deo qui supra omnia est iurando legem tulit, et inter beatos Iudam effreni lingua numeravit.

P 499 τὴν ἑορτὴν τοῦ σωτηρίου πάσχα κακῶς καὶ παρὰ καιρὸν χλευάζων τιμᾶσθαι, καὶ ὡς Ἑλληνικὴν τάχα παίδευσιν διαπτύων τὴν ἡμετέραν καὶ θείαν παίδευσιν τοσοῦτον ἀποστρεφόμενος ὡς μηδὲ τοὺς νέους παιδοτριβεῖσθαί που συγχωρεῖν, ἵνα μήτε τῇ αὐτοῦ ἀλογίᾳ ἀντιστῆναί τις ἔχῃ ποτὲ καὶ διελέγξαι, μήτε πάλιν τῷ τάχει τῶν ὀφθαλμῶν καὶ τῇ τῆς γλώττης ῥύμῃ φερόμενος διὰ τῆς παιδεύσεως τὰ δευτερεῖα τοῦτον φέρειν καταναγκάσειε. τοσοῦτον γὰρ ἤργει πρὸς τὴν μῖξιν τῶν γραμμάτων ἐκεῖνος καὶ τὴν τῶν συλλαβῶν ἀνάγνωσιν, ὡς ῥᾷον ἄν τις διῆλθε βιβλίον ἢ αὐτὸς τῇ βραδυ- B τῆτι τοῦ νοῦ τὰ τοῦ οἰκείου στοιχεῖα ὀνόματος.

Ἀλλὰ ταῦτα μὲν παρείσθω ὡς καὶ ἄλλοις ἱκανῶς ἐστηλιτευμένα, ἡ δ' ἱστορία ἐχέσθω τῶν ἐφεξῆς. κατὰ γὰρ τὸν καιρὸν τοῦτον ὁ ἐμφύλιος πόλεμος ἀρχὴν εἰληφὼς ἐξ ἀνατολῆς παντοίων ἐνέπλησε τὴν οἰκουμένην κακῶν, φθόρον δὲ πολὺν τῶν ἀνθρώπων καὶ παρὰ τοῦτο ὀλιγανδρίαν εἰργάσατο. Θωμᾶς ἦν τῆς ἀποστάσεως ἔξαρχος, περὶ οὗ διττοὶ φέρονται λόγοι, ὧν ὁ μὲν εἷς ὁρμᾶσθαι τοῦτόν φησιν ἐξ ἀσήμων γονέων καὶ πενιχρῶν καὶ τὸ γένος βαρβάρων, ἐπὶ πολὺ δὲ πενίᾳ συζῆν, διὰ τῆς τῶν χειρῶν ἐργασίας τὰ πρὸς τὸ ζῆν ποριζόμενον, ἐνίοτε δὲ καὶ θητεύοντα· εἶτα τὴν ἐνεγκοῦσαν ἀπολιπόντα καὶ πρὸς τὴν μεγαλόπολιν ταύτην C πεφοιτηκότα, καί τινι τῶν συγκλητικῶν εἰς ὑπηρεσίαν προσληφθέντα, ἐς τοσοῦτον ἀκολασίας ἐληλακέναι καὶ ὕβρεως ὡς καὶ αὐτὴν κατατολμῆσαι τὴν δεσποτικὴν καθυβρίσαι εὐνήν. καὶ ἐπεὶ

1 σωτηρίου om C   20 πρὸς om C   23 κοίτην margo C

quin et pascha male et intempestive a nobis festum celebrari dixit, et omnino nostram rerum sacrarum institutionem ut Graecanicam est detestatus. literaturam quoque adeo est aversatus ut ne pueros quidem ea permiserit erudiri, ne vel vaesaniae ipsius coarguendae atque refellendae instrumenta alii inde pararent, vel disciplina adiuti, cum oculorum ac linguae velocitate in legendo uterentur, ipsi palmam eius rei praeriperent. adeo enim in literis componendis tardus erat et syllabis conficiendis, ut librum alius facilius perlegeret quam ipse sui nominis elementa recenseret.

Sed his omissis quae in eius opprobrium sunt ab aliis satis copiose exposita, historiam pertexamus ac bellum civile narremus, quod eo tempore in Oriente exortum, omnis generis mala orbi terrarum intulit, magnaque mortalium internecione edita hominum penuriam effecit. princeps eius fuit Thomas, de quo duplex fertur sermo. quidam hunc obscuris maioribus ortum atque pauperibus ferunt, iisque barbaris; diuque in paupertate vixisse, victum labore manuum suarum parantem, nonnunquam etiam servilibus ministeriis. deinde patria relicta cum Cpolin venisse, ibique famuli loco a quodam senatorii ordinis assumptum eo libidinis ac foeditatis progressum, ut heri quoque lectum polluere ausus

ἐφωράθη, μὴ οἷός τε ὢν τὰ ὀνείδη φέρειν, δεδοικὼς δὲ καὶ τὰς ἐπηρτημένας ποινὰς τοῖς τῶν τοιούτων τολμηταῖς, φυγὰς πρὸς τοὺς Ἀγαρηνοὺς γίνεται· καὶ τούτοις πίστιν ἱκανὴν δεδωκὼς ἔκ τε τοῦ κατallήλαις χρῆσθαι πράξεσι καὶ ἐκ τοῦ χρόνου βεβαιῶσαι τὰ ἔργα (ἔτος γὰρ πέμπτον καὶ εἰκοστὸν διηνύσθη τούτῳ ἐν τῇ πρὸς ἐκείνους διατριβῇ) καὶ ἐκ τοῦ τὴν ἱερὰν τῶν Χριστιανῶν ἀπομόσασθαι θρησκείαν καὶ τῇ τοῦ ἐπαράτου προστεθῆναι Μωάμεδ, πολεμικῆς τινὸς φάλαγγος ἀποδείκνυται ἀρχηγὸς καὶ κατὰ D Χριστιανῶν ἐκπέμπεται, τὴν τῶν Ῥωμαίων βασιλείαν ὑπὸ τὴν αὐτῶν θεῖναι χεῖρα καθυποσχόμενος. καὶ ἵνα μή τινα ὡς ἀλλόφυλος καὶ ἀλλόπιστος ἐμποδισμὸν ἔχῃ ἀπιστούμενος ὑπὸ Ῥωμαίων, Κωνσταντῖνον ἑαυτὸν ἐπεφήμιζεν εἶναι τὸν τῆς Εἰρήνης υἱόν, ὃν ἡ μήτηρ διὰ τὸ κακόνουν καὶ τὸ τοῦ τρόπου ὕπουλον καὶ κακόηθες πάλαι μετὰ τῆς βασιλείας καὶ τῶν ὀφθαλμῶν ἀπεστέρησε, τηνικαῦτα δὲ καὶ τὸν βίον ἐτύγχανε καταστρέψας. καὶ ὁ μὲν πρῶτος καὶ πολὺς οὕτως ἔχειν περὶ τῆς τοιαύτης ὑποθέσεως πιστεύεται λόγος· ἅτερος δὲ τοῦτον εἶναί φησι τὸν Θωμᾶν τὸν τῷ Βαρδανίῳ πάλαι συνόντα, περὶ οὗ καὶ ὁ ἐν τῷ Φιλομιλίῳ μονα-

1 ἐγνώσθη margo C 4 χρόνῳ? 10 χεῖρα om C 15 post καταστρέψας C: ἐπεὶ δὲ τὸ τῶν πράξεων μέγεθος καὶ αἱ βόσκουσαι τοῦτον ἐλπίδες κοινωνόν τινα τῶν πραγμάτων ἀπῄτουν (οὐ γὰρ ἂν ἄλλως οἷός τ' ἦν τὰ πράγματα κυβερνᾶν μόνος, καὶ κατὰ γῆν ἐπιχειρήσας καὶ κατὰ θάλασσαν), εἰσποιεῖταί τινα υἱὸν τῇ διαμορφώσει τοῦ σώματος τὴν τῆς ψυχῆς δηλοῦντα ἀπόνοιαν. τοῦτον Κωνστάντιον μετονομάσας καὶ χεῖρα ἀρκοῦσαν παρεσχηκὼς πρὸς ἕτερον μέρος ἀπέστειλε, τὰ Ῥωμαίων ἄγειν καὶ φέρειν προστάξας. αὐτός τε καθ' ἕτερον ἐπῄει κείρων καὶ κατακόπτων τὰ ἐν ποσί. Λέων τότε καιροῦ ὁ ἐξ Ἀρμενίας τὰς τῆς βασιλείας κατεῖχεν ἡνίας· ὃς δύναμίν τινα κατ' αὐτοῦ ἐκπέμψας οὐκ ἀξιόλογον καὶ τοῖς ὅλοις σφαλεὶς θρασύτερον αὐτὸν ἐπὶ πλέον ὁρμητικὸν ἀπειργάσατο. cf. p. 78 12 infra: τούτοις ἅπασι κτλ. 16 κινήσεως C 17 θάτερος P

fuerit. qua re detecta, cum ignominiam non ferret ac poenas praeterea talia facinora aggressis constitutas metueret, ad Agarenos perfugisse; quibus cum se satis probasset continentibusque actionibus per longum tempus fidem confirmasset (annos enim 25 apud eos exegit, sancta Christianorum eiurata religione Moamedicam detestabilem impietatem amplexus), ab iis bellicae cuidam phalangi praefectum ac contra Christianos missum fuisse, pollicitum se Romanum imperium in illorum potestatem redacturum. ac ne Romani fraudem struenti ut alienigenae et diversam religionem colenti fidem non haberent, Constantinum sese eum nominasse, Irenes filium, quem ob ingenii morumque perversitatem et malitiam mater iampridem oculis imperioque orbaverat morsque iam tum vivis exemerat. haec prior est et multis credita narratio. alii hunc Thomam eum affirmant qui quondam in familia Bardanii fuerit, ac de

P 500 χὸς τὴν πρόρρησιν ἀπεφοίβασε, παρὰ τοῦ βασιλέως δὲ Λέοντος ἀναχθέντα εἰς τὴν ἀρχὴν τοῦ τῶν φοιδεράτων τάγματος. ὃς ἐπεὶ μεμαθήκοι τὸν Λέοντα ὑπὸ τοῦ Μιχαὴλ ἀνῃρῆσθαι, ἐκδικῶν τάχα τὸν εὐεργέτην, ὁμοῦ δὲ καὶ θυμὸν ἴδιον ἐμπιπλὰς (ἐτύγχανε γάρ πως ἐξ ἡλικιωτῶν διαφερόμενος πρὸς τὸν Μιχαήλ), ἅμα δὲ καὶ τὰς περὶ αὐτοῦ τοῦ ἐν τῷ Φιλομιλίῳ μοναχοῦ προρρήσεις φοβούμενος, χεῖρα ἐναντίαν κινεῖ, τοῦ τῶν ἀνατολικῶν ἀρξάμενος θέματος, ὅπῃ δὴ καὶ διέτριβε, δύναμιν οὐκ ἀγεννῆ τινὰ καὶ μικρὰν ἀλλὰ βαρεῖαν καὶ ἀνδρώδη συνηθροικώς, πάντα τὸν ὅπλον τὸ
B οἱονοῦν κινεῖν δυνάμενον ἕπεσθαί οἱ καταναγκάσας, ὃν μὲν βίᾳ, ὃν δὲ φιλίᾳ τῇ πρὸς αὐτόν, ὃν δὲ καὶ ἐλπίδι διαρπαγῆς λαφύρων, ὃν δὲ καὶ τῷ πρὸς τὸν Μιχαὴλ μίσει· ἐτύγχανε γὰρ οὗτος ὑπὸ πάντων διὰ σκαιοτροπίαν μισούμενος, καὶ διὰ τὸ τῆς τῶν Ἀθιγγάνων θιασώτην εἶναι αἱρέσεως, καὶ διὰ τὴν τῆς γλώττης τραυλότητα, καὶ δι' ἀνανδρίαν καὶ μαλακίαν συμπεισθέντων αὐτῷ συστρατεύεσθαι. ὁ Θωμᾶς γὰρ εἰ καὶ τὸν ἕτερον τῶν ποδῶν εἶχε πεπηρωμένον καὶ τὸ γένος βάρβαρος ἦν, ἀλλ' οὖν τῇ γε πολιᾷ αἰδέσιμος ἐτύγχανεν ὢν καὶ τὸ εὐπροσήγορον καὶ ἀστεῖον εἶχεν,
C ἅπερ φιλεῖ ὁ στρατιώτης λαός, ἀλλὰ καὶ τῶν κατὰ γενναιότητα σώματος οὔ τινος ἐφαίνετο δεύτερος. οὗτος τοίνυν ὁ Θωμᾶς πᾶσαν τὴν ἕω παραλαβών, καὶ τοὺς τῶν δημοσίων πράκτορας φόρων ὑφ' ἑαυτὸν ποιησάμενος, καὶ μεγαλοφροσύνῃ καὶ ἐπιδόσει ἄκρᾳ

1 ἀπεφήνατο C 8 ἀσθενῆ C 10 ὁτιοῦν κινῆσαι C 11 κουρσευμάτων margo C 14 λατρευτὴν margo C 16 καὶ θάτερον C 18 μέτριον margo C 19 λεώς C 20 οὔτινος C

quo monachus Philomelii sit vaticinatus, et quem Leo imperator foederatorum cohorti praeposuerit. eum ergo Thomam, cum interfectum a Michaelo Leonem cognovisset, partim ut benefactorem ulcisceretur, partim ut suum animum exsatiaret (nam ab adolescentia usque ei cum Michaelo inimicitiae intercesserant), simul et monachi istius de eo praedictionis metuentem exitum, arma contra Michaelum sumpsisse. primo Orientales copias, apud quas degebat, concitavit, exercitumque minime imbellem aut exiguum sed grandem fortemque collegit, omnibus qui quocunque modo arma ferre possent ad militiam vocatis. horum alii vi coacti castra Thomae sequebantur, alii benevolentia erga eum ducti, nonnulli spe praedae, quidam etiam odio in Michaelum. is enim omnibus invisus erat ob morum perversitatem, et quod se ducem Athinganae sectae praebebat, nec non propter linguae balbutiem et mollitiem. nam Thomas tametsi alterum pedem habebat mutilum ac genere barbarus erat, tamen ob canitiem venerabilis, aditu et in congressu facilis atque civilis, quae gratissima sunt militari multitudini, neque quoquam corporis fortitudine posterior habebatur. is ergo Oriente occupato, publicorum tributorum exactoribus in suam redactis potestatem, animi magni-

χρησάμενος, πολὺς ἐκ μικροῦ γέγονε καὶ ἐξ ἀσθενοῦς ἰσχυρός·
τοὺς μὲν γὰρ ἦγε πειθοῖ καὶ φιλίᾳ, ὁπόσοις ὁ τῶν καινῶν πραγμά-
των καὶ τοῦ φιλοπλουτεῖν ἔρως ἐνῆν, τοὺς δὲ ἀνάγκῃ καὶ βίᾳ
ὑπήγετο, ὅσοις δὴ τὰ τῶν ἐμφυλίων στάσεων κακὰ ἐμισεῖτο. ἐν-
τεῦθεν οἱ ἐμφύλιοι ἀναρρηγνύμενοι πόλεμοι, καὶ οἷόν τινες ποτα-
μοῦ καταρράκται φερόμενοι, οὐχ ὕδασιν ἀλλ' αἵμασι τὴν γῆν D
κατέκλυζον. πᾶσα μὲν οὖν ἡ Ἀσία πορθουμένη καὶ ληϊζομένη
ἐδυσθανάτα, τῶν ἐν αὐτῇ πόλεων τῶν μὲν προστιθεμένων τῷ
Θωμᾷ διὰ τὸν φόβον, τῶν δ' ὅσαι τὰ πιστὰ τῷ κρατοῦντι ἐτή-
ρουν λεηλατουμένων καὶ ἀνδραποδιζομένων. καὶ τὰ μὲν τῆς
Ἀσίας ἅπαντα ὑπήκοα γέγονε τῷ ἀποστάτῃ, ἐξῃρημένου τοῦ θέ-
ματος τοῦ Ὀψικίου (τούτου γὰρ στρατηγῶν ὁ Κατάκηλας διετή-
ρησεν ἄχρι τέλους τῷ βασιλεῖ εὔνοιαν), ἔτι δὲ καὶ τοῦ τῶν Ἀρ-
μενιακῶν· καὶ τούτου γὰρ στρατηγὸς ὢν ὁ Ὀλβιανὸς εὔνοιαν ἐτή-
ρησε τῷ βασιλεῖ. οἷς τισὶν ἀπονέμων ἀμοιβὰς ὁ βασιλεὺς τὸ εἰς
τὸ βασιλικὸν ταμιεῖον εἰσαγόμενον δημόσιον τέλος, ὃ καπνικὸν
καλεῖν εἰώθασιν, ἐδωρήσατο. μανθάνουσι δὲ τοῖς Ἀγαρηνοῖς
τὴν ἐμφύλιον στάσιν χαίρειν ἐπῄει καὶ σκιρτᾶν· καιροῦ γὰρ λα-
βόμενοι πᾶσαν νῆσον καὶ χώραν κατέτρεχον ἀδεῶς. δείσας οὖν ὁ P 501
Θωμᾶς ὡς μὴ πτοηθέντες οἱ σὺν αὐτῷ στρατιῶται τὴν τῶν Ἀγα-
ρηνῶν ἔφοδον, λείαν, ὡς εἴρηται, ποιουμένων πάντα τὰ ἐν ποσὶ
καὶ αἰχμαλωτιζόντων τὰ προστυχόντα, καταλιπόντες αὐτὸν οἰχή-
σονται, δέον ἐγνώκει τέως ἀναχαιτίσαι τὴν αὐτῶν ὁρμὴν δι' ἐπι-

1 πολὺς — ἰσχυρὸς om C   3 ἦν P   4 κακα om P   8 τῷ Θωμᾷ] αὐτῷ C   12 κατάκυλας C   14 καὶ τοῦτο γὰρ τὸ θέμα στρατηγὸς ὢν ἐν αὐτῷ ὁ C   17 εἴωθεν C

tudine et rebus secundissimis usus, magnus de parvo deque imbecillo potens factus est, alios favore sibi et persuadendo adiungens, quos rerum novarum et opum cupiditas ei conciliabat, alios vi subigens, quibus civilium bellorum mala exosa erant. eo initio civilia bella erupere et quasi fluminis praecipites decursus ruentia, non aqua sed sanguine terras inundaverunt. tota Asia vastationibus ac depraedationibus misere affligebatur, urbibus aliis Thomae se ob metum adiungentibus, aliis quod fidem imperatori servarent direptis atque in servitutem actis. potitus est auctor rebellionis tota Asia, solis Opsicianis et Armeniacis demptis, quorum his Olbianus illis Catacelas praefecti ad extremum usque in fide imperatoris perseveraverunt. ideoque imperator referendae gratiae causa publicum vectigal, quod Fumarium dicitur et in aerarium principis inferri solebat, iis dono dedit. interim Agareni bello civili Romanorum cognito gaudio exsultare, eamque occasionem suam facere, et omnes insulas, omnes regiones secure incursionibus infestare, obvia quaeque depraedari et capere. itaque metuens Thomas ne a suis metu impetus Agarenorum territis desereretur, reprimere eos, iisque cum

φανείας αὐτοῦ, καὶ τῷ πλήθει τῶν ἑπομένων δυνάμεων ἐκπλῆξαί
τε καὶ πρὸς εἰρήνην αὐτοὺς ἐκκαλέσασθαι. ὃ καὶ συνέβη· ἄρτι
γὰρ τοῖς Σαρακηνοῖς τὴν ἕω ληϊζομένοις αἰφνίδιος ἐπιφανεὶς ἐξέ-
πληξε, καὶ εἰς λόγους ἐλθὼν ἐσπείσατο, ὑποσχόμενος προδοῦναι
τούτοις τὰ Ῥωμαίων ὅρια, καὶ τὴν αὐτῶν αὐτοῖς ὑποχείριον θέ-
σθαι ἀρχήν. ἀπαλλαγεὶς δὲ τοῦ ἀπὸ τούτων δέους βασιλέα ἑαυ-
B τὸν ἀνεῖπε καὶ διάδημα τῇ κεφαλῇ περιέθετο, καὶ αὐτοκράτωρ ἐν
Ἀντιοχείᾳ ἀναγορεύεται παρὰ τοῦ τηνικαῦτα τὴν ἐκεῖσε ποιμαίνον-
τος ἐκκλησίαν Ἰώβ. χεῖρα δὲ πολλὴν αὐτός τε συλλέγει καὶ παρὰ
τῶν Ἀγαρηνῶν λαμβάνει, οὐ μόνον δὲ τῶν προσοίκων ἡμῖν ἀλλὰ
καὶ τῶν ἐκ τῆς περαίας Αἰγυπτίων Ἰνδῶν Περσῶν Ἀσσυρίων Ἀρ-
μενίων Χαλδαίων Ἰβήρων Ζικχῶν καὶ Καβήρων. τούτοις ἅπασι
κατοχυρωθεὶς καὶ ἑαυτὸν περιφράξας ἄριστον ἐνόμισεν εἶναι καὶ
βοηθὸν καὶ συνεργὸν τῆς ἀρχῆς προσλαβέσθαι, τήν τε ἑαυτοῦ
κλῆσιν ἀλλάξασθαι καὶ υἱὸν εἰσποιήσασθαι. ἐκεῖθεν ὁρμηθεὶς
ἅπασαν ἐδῄου καὶ ἐπόρθει τὴν ἀνατολήν. ἃ δὴ ὁ βασιλεύων
C ἀκηκοὼς καὶ αὐτὸς πρὸς ἀντιπαράταξιν ηὐτρεπίσθη. καὶ στρα-
τιὰν καὶ στρατηγὸν οὐκ ἀξιόμαχον πρὸς αὐτὸν ἀποστέλλει, ᾗ τινὶ
συρραγεὶς ὁ Θωμᾶς ἄρδην ἠφάνισε, μέρος μὲν τῆς δυνάμεως
ἀνελών, τὸ δ' ἄλλο τρεψάμενος εἰς φυγήν. καὶ λοιπὸν ἀδείας
τυχὼν διετίθετο τὰ καθ' ἑαυτὸν κραταιότερον, ναῦς ἐξαρτύων
πολεμικὰς καὶ ἑτέρας σιταγωγοὺς καὶ ἱππαγωγούς. γίνεται δὲ καὶ

2 πανούργως αὐτοὺς ἐπισπάσασθαι C 10 δὴ C 12 Χάλδων C Ζεχῶν καὶ Καβείρων C 13 παραφράξας C 21 αὐτὸν C 22 ἑτέρους C

tantis suis copiis superveniendo terrere adque pacem componendam adigere intendit. atque id consilium successit: subito enim superveniens Agarenis Orientem populantibus eos terruit, habitoque colloquio pacem pepigit, pollicitus se fines Romanorum ipsis proditurum imperiumque Romanum ipsis subiecturum. proinde metu Agarenorum liberatus imperatoris nomen sibi arrogavit, diadema suo capiti imposuit, estque Antiocheae ab eius temporis pastore ecclesiae Antiochenae Iobo imperator declaratus. manum porro militum validam cum ipse coegit tum ab Agarenis accepit, non ex nostris modo vicinis collectam, sed etiam ex remotioribus, Aegyptiis Indis Persis Assyriis Armeniis Chaldaeis Iberis Zichis Cabiris. his omnibus munitus atque stipatus optimum factum existimavit eum in filium adoptatum imperii socium adiutoremque adsciscere et nomen mutare. inde profectus totum ferebat agebatque Orientem. imperator his cognitis, se quoque ad resistendum bello paravit, copiasque nequaquam certamini pares cum duce emisit; quas congressus praelio Thomas penitus dissipavit, parte occisa parte in fugam coniecta. post haec licentiam nactus suas validius confirmavit, naves ad pugnam aliasque frumento et equis vehendis aptas construens. quin et impera-

τοῦ βασιλικοῦ στόλου κύριος, καὶ πρὸς τὴν Λέσβον ἅπαν ἀθροίζει τὸ ναυτικόν. αὐτὸς δὲ ὀκτὼ μυριάδων ἄρχων στρατοῦ ἐπὶ Ἄβυδον ἥκει ὡς ἐκεῖθεν εἰς τὴν περαίαν διαβησόμενος, πάντα τὰ ἐν παρόδῳ καταδραμών, καὶ σποδὸν ποιήσας οὐ τὰ ταπεινὰ καὶ εὐχείρωτα καὶ εὐάλωτα ἀλλὰ καὶ τὰ ἐπικαιρότατα καὶ δυσάλωτα. D *ἦν δέ τι χωρίον ἐρυμνὸν τὴν εἰς τὸν βασιλέα πίστιν τηροῦν, καὶ ἐπ' αὐτῷ τὸν εἰσποίητον ἐκπέμπει υἱόν· ὁ δὲ θρασέως ἱππαζόμενος καὶ ἀτάκτως τῷ οἴεσθαι γυμνὸν ἀντιπάλων εἶναι τὸ χωρίον λόχῳ δή τινι περιπίπτει τοῦ Ὀλβιανοῦ, καὶ τὴν κεφαλὴν ἀποτμηθεὶς ἔμαθε μὴ θρασύνεσθαι. τὴν μὲν κεφαλὴν τοῦ δειλαίου ἐκείνου ἔπεμψε τῷ βασιλεῖ ὁ Ὀλβιανός, οὗτος δὲ πάλιν Θωμᾷ τῷ ἐκείνου πατρὶ μετὰ βρυάγματος βαίνοντι καὶ μεγαλαυχουμένῳ. ἥνπερ οὗτος δεξάμενος, καὶ κατὰ μηδὲν τοῦ φρονήματος ὑπενδούς, πρὸς τὴν Θρᾴκην ἀπὸ τοῦ χωρίου ὃ καλοῦσιν Ὁρκώσιον περαιοῦται, νύκτα κατατηρήσας συνοδικήν. ἔμελε δὲ περὶ τούτου τῷ* P 502 *βασιλεῖ Μιχαήλ, καὶ τὴν ἐκείνου προλαβὼν περαίωσιν αὐτὸς τάς τε πόλεις ἀνελάμβανε καὶ τοὺς στρατιώτας ἐστήριζε καὶ τὰ ἀσθενῆ τῶν χωρίων ὠχύρου, κἂν μηδὲν ἐκ τῆς τοιαύτης σπουδῆς ἀπώνατο, ἅμα τῇ ἐκείνου πρὸς τὴν πόλιν ὑποστροφῇ καὶ τῇ τοῦ Θωμᾶ περαιώσει πάντων τὴν ἐκείνου πίστιν ἀπαρνησαμένων καὶ προσκεχωρηκότων τῷ ἀποστάτῃ καὶ μετ' αὐτοῦ στρατεύεσθαι κατὰ τῆς βασιλίδος προθυμουμένων. ὁ δὲ βασιλεὺς κατὰ τὸ ἐγχωροῦν*

2 *κατάρχων* C 3 *ἥξει* C 8 *ἐγκρύμματι* margo C
12 *φρυάγματος* C 15 post *τούτου* C: *καὶ πρὸ τούτου*
16 *βασιλεῖ* om C 18 *ἀπὸ* C 22 *βασιλείας* C

toriam classem in suam potestatem redegit, omnesque naves ad Lesbum congregavit. deinde cum octoginta hominum milibus Abydum petiit, inde traiecturus, in itinere omnia populatus, inque cinerem reductis non humilibus modo et captu facilibus, sed et loco optimo sitis ac expugnatu difficillimis castris. erat quoddam castellum munitum loci natura, quod imperatori fidem servabat. ad hoc capiendum adoptivus ille filius Thomae a patre missus, dum audacius et nullo suorum instructo ordine equitat, hostibus nudum castellum opinatus, in insidias Olbiani delapsus atroces temeritatis poenas dedit. nam caput eius praesectum Olbianus ad imperatorem, isque ad Thomam ferociter ac superbe invadentem misit. Thomas filii capite accepto nihil de ferocia diminuens, a loco cui Horcosium (a iuramentis, ut videtur) nomen est in Thraciam traiicit, nocte ad hoc usus, qua luna ob suum cum sole coitum non lucet. verum ea res Michaelo curae fuerat; utque eius adventum praeveniret, urbes refecerat, milites confirmaverat, et loca infirmiora muniverat. quanquam nullum eius diligentiae fructum cepit. simul enim atque ad urbem rediit et in Thraciam Thomas appulit, universi ab imperatore ad Thomam defecerunt, parati cum eo Cpolin oppugnatum proficisci. imperator, quantum eius fieri potuit, exercitum copiasque,

στρατὸν ἀγχιοχῶς καὶ δύναμιν τῷ δοκεῖν ἀξιόλογον συστησάμενος, στρατηγούς τε ἐπιστήσας αὐτῇ τόν τε ῥηθέντα Κατάκηλαν καὶ τὸν B Ὀλβιανόν, ἐπαφίησι κατὰ τοῦ τυράννου. ἐπεμελεῖτο δὲ καὶ τῶν κατὰ θάλασσαν, ὡς ἀνυστὸν ἦν. ὥσπερ δέ τις χείμαρρος ἐξ ὑψηλῶν ὀρέων ὁ τύραννος ἐπελθὼν τήν τε κατὰ χέρσον δύναμιν καὶ τὴν κατὰ θάλασσαν διεσκέδασε, καὶ τοσαύτην ἐνέθηκε πτοίαν τῷ βασιλεῖ ὡς καὶ σιδηρᾶν ἅλυσιν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὸ καταντικρὺ πολίχνιον ἀποτεῖναι, τὴν ἔσωθεν ἄβατον τηροῦσαν θάλασσαν. ἦν δέ τις στρατηγὸς ὑπερόριος ἐν Σκύρῳ τῇ νήσῳ (μία δὲ αὕτη τῶν Κυκλάδων), ἀδελφιδοῦς μὲν τυγχάνων Λέοντος τοῦ βασιλέως, τούτου δὲ ἀναιρεθέντος παρρησιασάμενος πολλάκις καὶ τὸν Μιχαὴλ εἰς πρόσωπον ὀνειδίσας διὰ τὸν φόνον, καὶ διὰ C τοῦτο τὴν ὑπερορίαν κατακριθείς. τοῦτον προσεταιρισάμενος ὁ Θωμᾶς στρατεύματός τινος κατὰ γῆν ὡσεὶ χιλιάδων δέκα ἀναδείκνυσι στρατηγόν· καὶ τὸν κατὰ θάλατταν δὲ στόλον εὐτρεπισάμενος καὶ ἕτερον αὐτῷ ἐπιστήσας στρατηγόν, οἱόν τινας προδρόμους ἐξέπεμψε κατὰ τῆς βασιλίδος, διά τε γῆς καὶ θαλάσσης ὠφέλιμον εἶναι κρίνας ποιεῖσθαι τὰς προσβολάς. οὗ γενομένου, καὶ κατὰ ταυτὸν ἀναφανέντων τῶν τε ναυτικῶν καὶ πεζικῶν δυνάμεων ἐν τῷ πρὸς Βλαχέρναις κόλπῳ, ἀντισχεῖν ὅλως μὴ δυνηθείσης, ὡς εἴρηται, τῆς ἐκτεταμένης σιδηρᾶς ἁλύσεως, προσβολαὶ D τοῖς τείχεσι πανταχόθεν ἐγίνοντο. ἐπῆλθε δὲ μετ' ὀλίγον καὶ ὁ Θωμᾶς, καὶ ἐνεργὸς πάντοθεν ἐγίνετο ἡ πολιορκία. οὐδὲν δὲ ὅ τι καὶ λόγου ἄξιον ἐπράττετο, τῶν ἔνδον εὐρώστως ἀμυνομένων καὶ

πτόησιν
6 πτοίαν C   12 διὰ ante τὸν om C   23 ἐνεργὴς C

ut videbatur, non contemnendas conduxit; easque ducibus Catacela et Olbiano factis tyranno obviam misit. res quoque maritimas summo conatu procuravit. sed instar torrentis alto monte decurrentis irruens tyrannus Thomas terra marique exercitus imperatoris profligavit, tantumque ei terrorem incussit, ut is ferream catenam ab arce ad oppositum oppidulum extenderit, ut interiore hostem mari arceret. vivebat tum Scyri, quae una Cycladum insularum est, dux quidam, Leonis imperatoris consobrinus, eo relegatus a Michaelo, quod ei caedem Leonis saepius libere in faciem exprobrasset. hunc in societatem suam adscitum Thomas duodecim milibus terrestrium copiarum praeficit. classem quoque adornat, aliumque ei ducem praeficit. utrumque ad tentandam Cpolin mittit quasi praecursores, ex re fore indicans, si urbs simul terra marique oppugnaretur. cum et terrestres et navales copiae simul ad Blachernensem portum pervenissent, perrupta ferrea ista catena urbs undique oppugnari coepta est. supervenit paulo post etiam Thomas. quamvis autem urbem undique strenue oppugnaret, nihil tamen memorabile effectum est, iis qui intus erant fortiter propugnantibus et ma-

τὰς ἑλεπόλεις ἐκκρουομένων. ᾤετο μὲν γὰρ ὁ Θωμᾶς ἅμα τε ἐπιφανῆναι τῇ βασιλίδι καὶ ἅμα τοὺς πολίτας ἀναπετάσαι αὐτῷ τὰς πύλας διὰ τὸ πρὸς τὸν Μιχαὴλ μῖσος, καὶ διὰ τοῦτο τόν τε Γρηγόριον, ὡς εἴπομεν, πρότερον ἔπεμψε, καὶ αὐτὸς πανσυδὶ μετὰ καὶ τοῦ υἱοθετηθέντος αὐτῷ Ἀναστασίου, ἄρτι τὸν μοναχικὸν ἀρνησαμένου βίον καὶ πρὸς τὸν κοσμικὸν ἀποκλίναντος, κατόπιν ἐπηκολούθησεν· ὡς δὲ οὐδὲν τῶν κατ' ἐλπίδας αὐτῷ ἀπήντησεν, ἀλλὰ καὶ ὕβρεσι μᾶλλον ὑπὸ τῶν ἔνδον ἐπλύνετο, τότε μὲν παρεμβολὴν ἐν τοῖς Παυλίνου, ἔνθα τὸ τῶν θαυματουργῶν Ἀναργύρων τέμενος ἵδρυται, ὀχυρὰν ἐπήξατο, λαὸν δὲ πεπομφὼς ἄχρι τοῦ P 503 Εὐξείνου πόντου καὶ τοῦ Ἱεροῦ ἀπεπειρᾶτο τῶν πολιχνίων, εἴ πως αὐτὰ προσαγάγοι καὶ μή τινα κατὰ νώτου ἔχοι ἐχθρόν. ταῦτα δὲ καταστησάμενος, καί τινας ἡμέρας εἰς παρασκευὴν δοὺς ἑαυτῷ, ὡς ἔκ τινος ἀπόπτου κατεῖδε τὸν μὲν Μιχαὴλ τὸ πολεμικὸν σημεῖον ἐπὶ τοῦ στέγους τοῦ τῆς θεοτόκου τοῦ ἐν Βλαχέρναις πεπηγότα ναοῦ, κἀκεῖθεν τὴν κατὰ τῶν ἐναντίων ἰσχὺν ἐξαιτούμενόν τε καὶ προσλαμβάνοντα, τὸν υἱὸν δὲ αὐτοῦ Θεόφιλον πάντα τὸν τῆς πόλεως περίβολον μετὰ τοῦ πατριάρχου καὶ τοῦ ὑπ' αὐτὸν τάγματος περικυκλοῦντα, τό τε ζῳοποιὸν τοῦ σταυροῦ ξύλον ἐπιφερόμενον B καὶ τὴν ἐσθῆτα τῆς πανάγνου θεοτόκου, εἰς πολλὴν τῶν πραγμάτων ἐνέπιπτε δυσελπιστίαν καὶ παντοῖος ταῖς γνώμαις ἐγίνετο. οὐκ ἔχων δ' ὅ τι καὶ πράξειεν, ἄλλως τε δὲ καὶ ὄχλῳ τοσούτῳ θαρρῶν τὸ ὅλον διὰ μάχης κριθῆναι ἠπείγετο. ὅθεν τῇ

6 κατόπιν om P 11 post Ἱεροῦ C: καλουμένου 15 τέγους C
22 δ' om P

chinas oppugnatorias repellentibus. speraverat enim Thomas sibi, simulatque ad urbem accessisset, a civibus odio Michaeli portas reseratum iri; itaque et Gregorium praemiserat, uti rettulimus, ipseque cum omnibus copiis et adopticio filio suo Anastasio, qui recens vita monastica deserta ad profanam desciverat, subsecutus fuerat. ut vero nihil exspectationi eius consentaneum evenit, sed contumeliis quoque est ab oppidanis affectus, ibi tum castra in loco qui Paulini dicitur, ubi mirificorum Anargyrorum templum est, admodum muniit, misitque exercitum ad mare usque Euxinum et ad Hierum, oppidula ad defectionem sollicitans, ne quem a tergo hostem relinqueret. his ita constitutis, dum apparatui aliquot dies impendit, ex specula quadam videt Michaelum in tecto aedis deiparae Blachernensis signum belli defigere, indeque vires contra hostem deposcere atque exspectare, filium autem eius Theophilum tota urbis moenia circumire cum patriarcha et sacro ordine, eosque secum circumferre lignum crucis, et intactae deiparae vestem. hoc spes eius de summa rerum valde labefactavit, variisque distractus cogitationibus et consilii incertus, tandem multitudini suorum confisus pugna decernere statuit. itaque postridie prima luce classicum canere iubet,

ἐξῆς ἅμα φωτὶ σημάνας τὸ ἐνυάλιον τοὺς ἄνδρας ἐξῆγε. καὶ τῷ μὲν υἱῷ τὸν κατὰ τὸ χερσαῖον τεῖχος ἐπέτρεψε πόλεμον, αὐτὸς δὲ τὸ πολὺ τῆς δυνάμεως ἔχων καὶ τὰς καρτερὰς ἑλεπόλεις καὶ μηχανὰς κατὰ τοὺς τῶν Βλαχερνῶν πύργους ἐποιεῖτο τὴν προσβολήν, κλίμακάς τε προσφέρων τοῖς τείχεσιν ἀναλόγους τῷ ὕψει, καὶ C ἀλλαχοῦ μὲν χελώνας ἀλλαχοῦ δὲ κριούς· τοξεύμασι δὲ καὶ πετροβόλοις πανταχόθεν χρώμενος ἠπείγετο παντοῖος φαινόμενος καταπλῆξαι μὲν τοὺς πολίτας κρατῆσαι δὲ τῆς πόλεως, περιστοιχίσας καὶ τὰ λοιπὰ τείχη τῇ ναυτικῇ δυνάμει, πυρί τε καὶ τοξεύμασιν ἐκφοβῶν. ἀλλ' οὐδὲν τῶν εἰς ὄνησιν φερόντων αὐτῷ ἡ τοσαύτη δύναμις καὶ φαντασία κατεπράξατο. τὸ μὲν γὰρ ναυτικὸν εὐθύς τις ἐπιπνεύσας ἐναντίος ἄνεμος διέλυσέ τε καὶ ἄλλην ἄλλῃ διασπαρῆναι ἐποίησε τῶν σκαφῶν ἅτε καὶ χειμῶνος ἐξαισίου ὑπάρχοντος· κατὰ δὲ τὴν ἤπειρον γενναίως τῶν ἀπὸ τῆς πόλεως ἀγωνιζομένων D καὶ ἀχρήστους αὐτῷ ποιούντων τὰς μηχανάς, διαπορηθεὶς τοῖς πᾶσιν ἀνέζευξε, καὶ ἡ πολιορκουμένη πόλις ἀνεθάρσησε, καὶ τοσοῦτον ἀνδρικώτερον ἐπετίθετο τοῖς τοῦ ἀποστάτου ὡς καί τινας τῶν ἔνδον πυλίδας ἀνοιγνύντας τῆς πόλεως ἐξιέναι καὶ τοῖς πολεμίοις συμπλέκεσθαι. ἔγνω οὖν ὁ ἀποστάτης διὰ τὸ τῆς Θρᾴκης χειμέριον ἐπὶ παραχειμασίαν τραπῆναι καὶ τὸν λαὸν σκεδάσαι ἐν ἀλεεινοτέροις χωρίοις. ὃ δὴ καὶ ποιήσας, ὡς ἤδη τὸ ἔαρ ἐπέλαμπεν, ἀμφοτέρωθεν αὖθις κατὰ γῆν τε καὶ θάλασσαν ἔκρινε προσβάλλειν τῇ Κωνσταντίνου. ἀλλ' ἤδη καὶ τὸν Μιχαὴλ οὐχ

5 ἀναλογούσας C   12 ἀλλαχῇ C   13 πεποίηκε C   20 δυσχείμαρον C   22 ἔγνωκε C   23 Κωνσταντινουπόλει P

suos castris educit, filio terrestris muri oppugnationem demandat: ipse cum maiori copiarum parte validioribusque machinis et tormentis turres Blachernenses aggreditur, scalas muris altitudine aequales applicans, alibi testudines alibi arietes adhibens, tormentisque saxa iactantibus undique utens. denique omni arte ac conatu nititur oppidanos perterrere urbemque capere. reliquos etiam muros navalibus copiis cingit, igne et missilibus terrens. neque tamen quidquam tanta vi atque apparatu consecutus est. classem enim illico ventus adversus dissipavit, aliaque alio navigia disiecit, tempestate vehementi oborta, terra quoque oppidanis fortiter pugnantibus machinasque ei inutiles redigentibus. itaque omni spe ad irritum recidente receptui canit. et qui in urbe erant, oppugnatione soluta animos receperunt; tantumque eis accessit fortitudinis, ut quibusdam etiam portulis apertis eruperint manumque cum Thomae militibus conseruerint. ex eo statuit Thomas ex Thracia discedere, quod frigidior ea est per hiemem regio, exercitumque in hiberna per regiones calidiores dispergere. quam sententiam exsecutus, ineunte vere rursus terra marique Cpolin oppugnare intendit. neque

ιως τὸ πρότερον, ἄρτι δὲ στρατιωτικήν τινα δύναμιν εὕρισκε συλλεξάμενον καὶ ἑτέραν κατὰ θάλασσαν ναυτικήν. κατ' ἐκεῖνο γοῦν πάλιν ἥει τὸ μέρος ὁπλισάμενος ᾗ καὶ πρότερον, τὸν κόλπον τῶν Βλαχερνῶν, καὶ σύνθημα δοὺς τὸ πολεμικὸν ἐνεργὸς ἦν τὰς μηχανὰς προσάγων καὶ τὰ τείχη κατασείειν πειρώμενος. ἐν ᾧ δὲ P 504
ταῦτα ἐπράττετο, εἰς λόγους ὁ Μιχαὴλ ἦλθέ τισι τῶν στρατευομένων τῷ ἀποστάτῃ, ἀμνηστίαν τε κακῶν αὐτοῖς ἐπαγγελλόμενος καὶ καθυπισχνούμενος δώσειν ἀγαθὰ πολλά, εἰ μόνον δὴ μετατάξαιντο καὶ αἵμασιν ἐμφυλίοις ἀπόσχοιντο χραίνεσθαι. ἐπέραινε δὲ οὐδέν, ἀλλὰ θαρραλεωτέρους, ὅτι δὴ καὶ παρακαλοῖντο, τοὺς ἀκούοντας ἐποίει, καὶ τῆς ἐκ τοῦ φόβου συστάσεως λελυμένους καὶ βεβαιοτέρους τῷ ἀποστάτῃ εἰργάσατο. τῆς τοιαύτης δὲ πείρας ἀπεγνωκώς, καὶ πολλὰ τοὺς σὺν αὐτῷ παρακαλέσας ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ μὴ προέσθαι ἀλάστορι τυράννῳ τὴν ἐλευθερίαν, ἄφνω ἐκ πολλῶν πυλίδων ἐξελθὼν ἀπροσδοκήτως ἐπιτίθεται τοῖς ἐναντίοις· καὶ τῷ παραδόξῳ καταπληξάμενος τοὺς ἀντιτεταγμέ- B
νους ἐτρέψατο, φθόρον ἱκανὸν ἐργασάμενος καὶ νίκην λαμπρὰν ἐνεγκάμενος. καὶ τὰ ναυτικὰ δὲ κακῶς ἠνέχθη τοῦ ἀποστάτου· ὡς γὰρ αἱ βασιλικαὶ τριήρεις ἀνήγοντο καὶ ἤδη συμπλέκεσθαι ἔμελλον, δείμασί τισι καὶ θορύβοις περικτυπηθέντος τοῦ ἐναντίου στόλου πρύμναν αἱ νῆες ἐκρούσαντο καὶ πρὸς τὴν χέρσον κατήγοντο, καὶ οἱ μὲν τῶν ἀνδρῶν ηὐτομόλουν πρὸς βασιλέα, οἱ δὲ πρὸς τὸ οἰκεῖον στρατόπεδον τὸ κατὰ γῆν ἀπεδίδρασκον. καὶ

1 εὕρισκε om C 6 στρατευσαμένων C 12 τῷ ἀποστάτῃ om C

vero Michaelum qualem antea, sed iam et terrestri collecto exercitu instructum et nova classe invenit. rursus ergo eandem quam prius urbis partem aggreditur apud sinum Blachernensem, dataque irruendi tessera omni vi muros machinis adductis concutere tentat. dum haec geruntur, Michaelus cum quibusdam Thomae militibus colloquendi opportunitatem nactus oblivionem iniuriarum multaque beneficia promittit, si ad se transirent sanguinisque civilis pollutione abstinerent. verum hoc frustra fuit, ferocioribus etiam ista petitione factis illis, et quod metu hostium liberati essent, Thomae eo fidelioribus. hoc itaque desperato conatu Michaelus multis verbis suos cohortatur ut se fortiter gerant neque scelerato tyranno libertatem prodant: tum subito multis portis effundens suos hostem nihil tale exspectantem adoritur, subitoque impetu perterritum magna clade afficit, adversosque fundit, ac victoriam praeclaram reportat. sed et classis Thomae infortunium habuit. cum enim imperatoriae triremes proveherentur, iamque pugnae conserendae tempus esset, hostium naves metu quodam et tumultu consternatae retro ad terram profugerunt. classiarii pars ad imperatorem abierunt, pars terra in sua castra profugerunt. sic absque labore classis Thomae distributa

οὕτω μὲν ἀπονητὶ διελύθη τοῦ τυράννου τὸ ναυτικόν. ὅθεν καὶ
C Γρηγόριος, ὁ τοῦ βασιλέως ἀδελφιδοῦς Λέοντος, συνεωρακὼς εὐκαταφρόνητον ὄντα τὸν Θωμᾶν (ὑπετόπαζε δὲ καὶ προϊόντος τοῦ χρόνου γενησόμενον ἐπὶ πλέον), διά τινος μοναχοῦ τῶν ἀπὸ τῆς μονῆς τῶν Στουδίου κοινολογησάμενος τῷ βασιλεῖ, μοῖράν τινα τοῦ ὑφ' ἑαυτὸν τάγματος εἰληφὼς ῥῆξιν ἐννοεῖ καὶ κατὰ νώτου γίνεται τῷ τυράννῳ, ὁμοῦ μὲν τοῦτον ἐκδειματῶν, ὁμοῦ δὲ καὶ τὸν βασιλέα ἐξιλασκόμενος, ὁμοῦ δὲ καὶ γυναικὶ καὶ τέκνοις (ἔτυχον γὰρ καθειργμένοι τούτου τῷ Θωμᾷ προσχωρήσαντος) σωτηρίαν πραγματευόμενος. ἀλλ' οὔτε ὁ βασιλεὺς ἔφθασε διακοῦσαι, καὶ ὁ Θωμᾶς τὸ μὴ πολὺν ἐξαίφνης τοῦτον γενέσθαι
D κατορρωδῶν, καὶ φόβον τοῖς ἑαυτοῦ ἐμποιῆσαι βουλόμενος, τὴν μὲν στρατοπεδείαν τῆς πόλεως οὐ μετεκίνησε, τὸ μὴ διωχθῆναι ἐξόπισθεν δεδοικώς, ὅσους δὲ ᾔδει ἀξιομάχους εἶναι τῆς πρὸς τὸν Γρηγόριον συμπλοκῆς παραλαβὼν στρατιώτας ἔξεισι πρὸς αὐτόν, καὶ μάχῃ τρεψάμενος φεύγοντα καταλαβὼν ἀναιρεῖ. καὶ αὖθις διὰ ταχέων πρὸς τὰς προσεδρευούσας τῇ πόλει δυνάμεις ἐπάνεισι, καὶ γράμμασιν ἐπιστέλλων ἁπανταχοῦ ἐπεφήμιζεν ὡς εἴη νενικηκώς, ὅπερ οὐκ ἦν, καὶ ὅπερ εἶχε κατὰ τὴν Ἑλλάδα ναυτικὸν ταχέως ἐκέλευεν ἀναχθῆναι ὡς αὖθις τῶν κατὰ θάλατταν ἀνθεξόμενος πραγμάτων. καὶ τὸ μὲν ναυτικὸν εὐθυπλοῆσαν ταχέως ἀνάγεται καὶ τῷ χωρίῳ προσορμίζεται τῶν Βηρίδου, ἐκ ν' καὶ τ' συν-
P 505 ιστάμενον πλοίων πολεμικῶν τε καὶ σιταγωγῶν· οἱ δὲ τοῦ βασιλε-

5 τοῦ C   τῷ om C   8 τὸν om C   21 ταχυπλοῆσαν εὐθέως C   22 τῶ Βηρύδων C

est. id videns Gregorius Leonis consobrinus, Thomamque intelligens exiguae auctoritatis esse, suspicansque paulo post plus etiam ei existimationis decessurum, re opera cuiusdam monachi de collegio Studii cum imperatore communicata, cum parte sui exercitus a reliquis se avellit, ita ut eum iam Thomas a tergo haberet. hoc et hominis perterrendi et imperatoris placandi et uxorem liberosque (nam a Michaelo captivi detinebantur ex quo iste ad Thomam desciverat) servandi studio faciebat. sed neque res adhuc erat imperatori audita, et Thomas metuens ne subito magna fieret Gregorii auctoritas, simulque ut suis metum iniiceret, castra ab urbe non dimovit, veritus ne hostis se a tergo sequeretur: milites quantos ad debellandum Gregorium suffecturos iudicabat, assumens in hunc duxit, praelioque fusum et in fuga comprehensum necavit. inde celeriter ad relictos ad obsidendam urbem exercitus reversus literas in omnes partes dimittit, quibus falso iactabat se victoria potitum fuisse; classemque quae apud Graeciam erat, statim ad se vocat veluti rem mari continuo gesturus. atque haec quidem; quod rectum cursum tenuisset, absque mora ad locum qui Beridi dicitur appulit. constabat navibus pugnae frumentoque vehendo aptis 350. at imperatoriae classis

κοῦ στόλου κατάρχοντες τὴν τούτων ἐπεγνωκότες ἔλευσιν νυκτὸς
ἐπιτίθενται ναυλοχοῦσι τοῖς ἐναντίοις, καὶ τῷ αἰφνιδίῳ καταπλη-
ξάμενοι πολλὰς μὲν αὐτάνδρους ἔσχον τῶν νηῶν, τινὰς δὲ καὶ τῷ
σκευαστῷ πυρπολοῦσι πυρί, ὀλίγων παντελῶς ἔξω γενομένων τοῦ
πάθους καὶ πρὸς τὸν κόλπον τῶν Βλαχερνῶν κατᾶραι ἐπειγομένων,
ὡς ἂν εἶεν ἡνωμέναι τῇ κατὰ γῆν στρατιᾷ· ὃ δὴ καὶ γέγονε. καὶ
τὰ μὲν κατὰ θάλασσαν τοῦτον εἶχε τὸν τρόπον· κατὰ γῆν δὲ ἀκρο-
βολισμῶν συνεχῶν γινομένων, νῦν μὲν τοῦ Μιχαὴλ νῦν δὲ τοῦ
υἱοῦ αὐτοῦ Θεοφίλου ἐπεξιόντος τοῖς ἀποστάταις μετὰ τοῦ Ὀλ-
βιανοῦ καὶ τοῦ Κατακήλα, ποτὲ μὲν τὰ τοῦ βασιλέως ἐπικρατέ- B
στερα ἦν ποτὲ δὲ τὰ τοῦ ἀποστάτου, οὐ μὴν ἀγῶνές τινες λαμ-
προὶ καὶ νεανικοὶ ἐκ παρατάξεως συνέστησαν, ἅτε δὴ πολλῷ τοῦ
βασιλέως ἐλαττουμένου τῷ πλήθει καὶ μὴ πρὸς τὴν τοῦ τυράννου
δύναμιν ἀντιτάττεσθαι δυναμένου. ἐν τούτοις ὄντων αὐτῶν,
Μορτάγων ὁ τῶν Βουλγάρων βασιλεὺς (καὶ γὰρ ἔφθασεν ἡ φήμη
πληρῶσαι τὴν οἰκουμένην ὡς ὁ βασιλεὺς τῶν Ῥωμαίων συγκλει-
σθεὶς τειχήρης ἐστὶ καὶ πολιορκεῖται) λάθρᾳ τινὰ πεπομφὼς ὡς
αὐτὸν ἐξαποστεῖλαι βοήθειαν αὐτομάτῳ ἐπηγγέλλετο γνώμῃ καὶ
συμμαχίαν. ὁ δὲ Μιχαήλ, εἴτε τῇ ἀληθείᾳ τὸ τῶν ὁμοφύλων
οἰκτείρων πλῆθος εἴτε καὶ χρημάτων φειδόμενος (ἐτύγχανε γὰρ C
τῶν πώποτε βασιλέων σμικρολογώτατος), τὴν μὲν γνώμην τοῦ
Βουλγάρου ἠξίου ἀποδοχῆς, τὴν δὲ βοήθειαν παρῃτεῖτο. ἀλλ'
ὅ γε Μορτάγων χαίρων μὲν καὶ ἄλλως πολέμοις καὶ τὰς ἐκ τούτων
λείας καρποῦσθαι φιλῶν, καὶ τὰς πρὸς τὸν βασιλέα δὲ τριακον-

2 ἐνεδρεύοντες διὰ νηῶν ἤγουν πλοίων margo C   10 κατάκυλα C

praefecti cognito huius adventu, noctu hostiles naves in statione adorti, subito impetu classiariis perterritis, multas cum ipsis vectoribus ceperunt, quasdam artificioso igni combusserunt, paucis admodum periculo ereptis, quae celeri fuga ad portum Blachernensem avectae ibi se cum terrestribus copiis coniunxerunt. hoc modo res mari gesta. at terra continenter levia praelia fiebant, modo Michaelo modo filio eius Theophilo cum Catacela et Olbiano adversus hostem suos educente. horum praeliorum varia fuit in utramque partem fortuna. iusta autem pugna decertatum nunquam est, quod imperator cum hoste, cuius multo erant numerosiores copiae, congredi acie non audebat. hoc rerum statu Mortagon Bulgarorum rex fama, quae totum orbem terrarum pervaserat, Romanorum imperatorem muris inclusum obsideri, excitus, clam ad Michaelum mittit, eique ultro pollicetur se auxilium suppetiasque missurum. imperator, sive quod re vera civiles miseraretur multitudines, sive pecuniae parcens (neque enim eo alius imperator sordidior fuit), laudata Bulgari voluntate subsidium recusavit. sed Mortagon, ut qui alioqui bellis praedisque per ea partis gauderet, et foedus triceonale

τούτεις σπονδὰς παρὰ τοῦ προβεβασιλευκότος Λέοντος γεγενημένας ἐπιβεβαιῶσαι καὶ ἰσχυροτέρας ποιῆσαι ζητῶν, τὴν κατὰ τοῦ τυράννου στρατιὰν ηὐτρέπισε, καὶ δὴ τῶν Ῥωμαίων ὅρων ἔντοσθε D γεγονὼς κατὰ τὸν Κηδούκτου χῶρον οὕτω καλούμενον τὴν παρεμβολὴν ἐπήξατο. ἠκούετο δέ, καὶ λαθεῖν ταῦτα τὸν ἀποστάτην οὐκ ἦν. καὶ ἐδονήθη μὲν ὡς εἰκὸς καὶ τὰς φρένας κατεκτυπήθη, ἐν ἑαυτῷ δ' ὅμως πάλιν γενόμενος τὴν ἑαυτοῦ στρατιὰν ἐξώπλιζεν. ἐπεὶ δὲ εἰς δύο μεριζόμενος ἐδόκει παντελῶς ἀσθενής τε εἶναι καὶ εὐχείρωτος (ἥ τε γὰρ βασιλὶς τῶν πόλεων οὐκ εὐαριθμήτου ἀλλὰ πλείστου καὶ ἀξιολόγου στρατοῦ ἐδέετο πολιορκουμένη, ἤδη καὶ τοῦ βασιλέως συνειλοχότος δυνάμεις οὐκ ἀγεννεῖς καὶ κατὰ πρόσωπον ἵστασθαι δυναμένας, καὶ ἡ τῶν Βουλγάρων δὲ δύναμις οὐ μικρᾶς τινὸς πολλῆς δὲ καὶ οὐ τῆς τυχούσης ἐδέετο ἀντιπαρατάξεως), ὡς ἂν μὴ εἰς δύο τινὰ διαιρούμενος εὐχείρωτος γένηται, ἀπαίρει μὲν τῆς πόλεως, πρὸς τὸν Βούλγαρον δὲ ἀξιόμαχον κρίνας ἑαυτὸν κατὰ τὸν εἰρημένον ἀντιπαρατάσσεται τόπον. καὶ P 506 δῆτα συμβολῆς γενομένης ἡττᾶται κατὰ κράτος ὁ τύραννος, καὶ φόνος γίνεται πολὺς τῶν περὶ αὐτόν· οἱ δὲ περισωθέντες φυγῇ τὴν σωτηρίαν πορίζονται, καὶ ἔν τινι χώρῳ δυσβάτῳ συναχθέντες τὸ μέλλον ἐσκόπουν. ὁ δὲ τῶν Βουλγάρων ἀρχηγὸς τά τε σώματα, ὧν ἐγένετο κύριος, καὶ λείαν πολλὴν προσλαβόμενος πρὸς τὴν οἰκείαν ὑπέστρεψε χώραν, τῇ νίκῃ ἐπαιρόμενός τε καὶ γαυριῶν. τὸ δὲ καταλειφθὲν ναυτικὸν ἐν τῇ πολιορκίᾳ τῆς πόλεως,

3 ηὐτρεπίζετο P 8 παντελὴς C τε om C 11 συνειληχότος, συναθροίσαντος margo C 12 δυναμένου C 13 παρατάξεως P 16 ἀντιτάσσεται C

cum Leone Armenio pactum confirmare cuperet, nihilominus contra Thomam expeditionem suscepit; cumque in fines Romanorum pervenisset, ad locum cui Cedoctus nomen castra posuit. ibi Thomas, quem Bulgarorum adventus minime fefellerat, graviter, ut par erat, animo perturbatus, ut se ex aestuatione collegit, arma suos sumere iubet. cumque videret se imbecillum victuque facilem fore, siquidem in duas partes suas copias diduxisset (nam et ad Cpolin oppugnandam nonnisi numerosissimus et magnae virtutis exercitus requirebatur, eo magis quod iam imperator haud contemnendum et qui in faciem hosti resistere posset exercitum paraverat, et contra Bulgarorum copias nonnisi magno validoque cum exercitu pugnari poterat), potius existimat ab urbe in Bulgaros ducere, quibus se parem esse putabat. itaque apud Cedoctum instructa acie cum iis congreditur. verum eo in praelio magna cum suorum strage superatur, iis qui fuga salutem paraverant in locum quendam accessus habentem difficiles congregatis, et quid futurum esset speculantibus. Bulgarus captivis et spoliis amplissimis abductis domum redit, elatus superbiensque victoria. sed classis, quam ad obsidionem

πυθόμενον τὴν ἧτταν τοῦ ἀποστάτου, προσκεχώρηκεν ἅπαν τῷ
βασιλεῖ. ὁ δ' ἀποστάτης εἰς τοῦτο ἀφῖκτο μανίας παρὰ τῶν
συμμαχούντων αὐτῷ, ὡς ἔοικεν, δαιμόνων, καὶ τὴν τῆς βασι- B
λείας εἰσέτι ὠνειροπόλει κατάσχεσιν, ὅτι πάντοθεν συντριβόμενος
καὶ μικρὸς ἐκ μεγάλου γινόμενος ἔτι προσελιπάρει τῇ πολιορκίᾳ.
ὡς δ' ἐγνώκει μάτην πονῶν, ἄρας παντὶ τῷ στρατῷ εἴς τι πεδίον
Διάβασιν κατονομαζόμενον, σταδίους ἀπέχον τῆς πόλεως ἱκανούς,
εὐφυῶς ἔχον πρός τε νομὰς καὶ ὑδάτων ὑπορροάς, στρατοπεδείαν
ἐπήξατο, κἀκεῖθεν ποιούμενος προνομὰς τῶν τῆς πόλεως προα-
στείων τὰς ἀγλαΐας ἀπέκειρεν. ἐνεφανίζετο δὲ τοῖς κατὰ τὴν πόλιν
ὡς τὸ πρότερον οὐδαμῶς. τοῦτο δὲ συνεὶς ὁ Μιχαήλ, ἀξιόλογον
συστησάμενος στράτευμα καὶ στρατηγοὺς ἐπιστήσας αὐτῷ τὸν
Κατάκηλαν καὶ τὸν Ὀλβιανόν, αὐτός τε τὰς φυλαττούσας ἐν τῷ C
παλατίῳ σχολὰς εἰληφὼς καὶ τὰς ἑταιρείας, ἔξεισι κατὰ τοῦ τυ-
ράννου, διὰ σταδαίας μάχης κρῖναι τὸ πᾶν βουληθείς. ἔνθα δὴ
καὶ ὁ τύραννος κατεστρατοπεδευμένος εὐρώστως ὑπεδέξατο τὸν
βασιλέα, καὶ συμπλοκῆς γενομένης καταστρατηγῆσαι τάχα τοὺς
ἀντιπάλους βουλόμενος ὁ Θωμᾶς ἅμα τῇ συμβολῇ νῶτα δοῦναι
τοῖς περὶ αὐτὸν προσέταξεν, εἶτα τῶν ἐναντίων εἰς διωγμὸν τρα-
πέντων ἐκ παλινδιώξεως ἐπιστραφῆναι τούτους καὶ τῷ παραδόξῳ
τρέψασθαι τῆς ὑποστροφῆς. καὶ ἦν μὲν αὐτῷ τοιαύτη παραγγε-
λία, οὐκ ἔμελλε δὲ ἄρα εἰς ἔργον ἐκβῆναι τὰ μεμελετημένα. οἱ
γὰρ σὺν αὐτῷ στρατιῶται πολὺν χρόνον γυναικῶν καὶ τέκνων D

3 συμμάχων, ὡς ἔοικεν, αὐτοῦ P 13 κατάκυλαν C

reliquerat Thomas, suorum audita clade tota ad imperatorem defecit. at Thomam daemones, puto, quos belli istius socios habebat, et regni quod adhuc somniabat potiundi cupiditas eo vaecordiae adegerunt, ut undique attritus, deque amplissimis rebus in angustias compulsus, tamen ab obsidione non desisteret. tandem frustra se laborare sentiens, in campum quendam cui Diabasis nomen, omnes suas copias traducit, aliquot multis ab urbe stadiis dissitum, sed excursionibus aptum et ob aquarum affluentiam idoneum, ibique castra locat; atque inde factis excursionibus omnem suburbiorum elegantiam corrumpit, non, ut ante, in conspectum eorum, qui in urbe erant suos educens. hoc ubi intellexit imperator, egregium exercitum comparat, eique Catacelam et Olbianum duces praeponit; ipseque scholas quae vigilias in palatio obeunt, sodalitatesque assumens, contra Thomam ducit, rem collatis signis decreturus. fortiter eum Thomas sustinuit. cumque, ut apparet, arte vincere hostes studeret, primo congressu terga suos dare, rursusque persequentibus hostibus sese adversos obiicere inopinataque conversione in fugam coniicere iubet. hoc quidem ille praecipiebat: sed non erat futurum ut ei hoc consilium succederet. milites enim eius, qui ipsius

στερόμενοι δι' αὐτὸν καὶ τὰς χεῖρας χραίνοντες ὁμογνίοις αἵμασιν, ἅμα δὲ καὶ τῷ χρόνῳ πεπιεσμένοι (τρίτον γὰρ ἐξηνύετο ἔτος, καὶ ἀνηνύτοις ἐδόκουν ἐπιχειρεῖν ἀνδρὸς ἑνὸς ἀπονοίᾳ καὶ ἐπιθυμίᾳ δουλεύοντες), τὸ κελευσθὲν ὡς ἕρμαιόν τι λαβόντες, τῆς σάλπιγγος ἠχησάσης τὸ ἐνυάλιον καὶ εἰς χεῖρας συμπλοκῆς τῶν ταγμάτων ἐλθόντων, οὐ δοκήσει τὴν τροπὴν ὡς παρηγγέλθησαν ἐποιοῦντο, ἀλλ' ἀτάκτως καὶ κόσμου χωρὶς τὴν τάξιν διαλελυκότες ἐσκεδάννυντο. καὶ οὕτως νῦν μὲν ὀλίγοι αὖθις δὲ πλείους τῷ βασιλεῖ προσχωροῦσιν. ὁ δὲ Θωμᾶς σὺν ὀλίγοις τισὶν εἰς Ἀδριανούπολιν περισώζεται. ὁ δὲ τούτου παράγραπτος καὶ νόθος υἱὸς Ἀναστάσιος τὸ τῆς Βιζύης φεύγων κατέσχε φρούριον. ὁ δὲ
P 507 βασιλεὺς ἐκ ποδὸς τούτοις ἑπόμενος πρῶτον ἔγνω πολιορκεῖν τὸν Θωμᾶν. ὅθεν ἐπάγει αὐτῷ πολιορκίαν, οὐ διὰ μηχανῶν καὶ ἑλεπόλεων σπουδάζων αὐτὸν καθελεῖν, ἅμα μὲν τὸν ἐμφύλιον εὐλαβούμενος πόλεμον, ἅμα δὲ καὶ τοὺς προσοικοῦντας τῇ Ἀδριανουπόλει Σκύθας μὴ ἐθέλων τῶν πολιορκητικῶν ὀργάνων πεῖραν λαβεῖν, ἀλλὰ λιμῷ καὶ ἀνάγκῃ τῶν ἐπιτηδείων ἐπειγόμενος τὸν ἀντίπαλον παραστήσασθαι· καὶ δὴ παρακαθίσας τὴν Ἀδριανούπολιν καὶ χάρακι καὶ σταυρώμασι στεφανώσας ἐνεργῶς ἐπολιόρκει.
B ὁ δὲ Θωμᾶς πρῶτον μὲν πᾶσαν ἄχρηστον ἡλικίαν καὶ πᾶν ζῷον ἀνεπιτήδειον τῆς πόλεως ἐξωθεῖ, ἔπειτα, ὡς ἤδη ἤκμαζεν ὁ λιμὸς καὶ σωτηρίας ἐλπὶς οὐδαμοῦ, οἱ μὲν τῶν συνόντων αὐτῷ λάθρᾳ διά τινων πυλίδων κλέπτοντες τὴν ἐξέλευσιν, οἱ δὲ διὰ τῶν τειχῶν

1 στερισκόμενοι P   3 ἀθυμίᾳ P   12 ἐκποδῶν C

causa diu iam uxoribus liberisque suis caruerant manusque gentilium sanguine contaminaverant, simul et temporis mora confecti (iam enim triennium exactum erat) et exitu carentem conatum se suscepisse sentientes, qui insaniae atque cupiditati unius viri servirent, praeceptum illud divinitus oblati commodi loco ducentes, ut primum tubae cecinerunt classicum aciesque congressae sunt, non fingentes, ut erant iussi, fugam, effuse nullaque cum convenientia ordines solverunt ac dissipati sunt; atque ita pauci modo, mox complures ad imperatorem transfugerunt. Thomas cum paucis quibusdam Adrianopolin salvus pervenit; et ficticius ille eius filius Anastasius ex fuga castellum Bizyae occupavit. hos e vestigio subsecutus imperator primo obsidere Thomam decrevit. quam ad obsidionem non machinas, non tormenta adhibuit, cum quod belli civilis damna cuperet devitare, tum quod Adrianopoli vicinos Scythas nolebat instrumentorum quibus urbes oppugnantur notitiam consequi: sed fame ac penuria rerum ad vitam necessariarum statuens eum in suam potestatem redigere, vallo ac fossa circumventam urbem acriter obsedit. Thomas primo omnes qui per aetatem bello idonei non erant et omne animal inutile urbe expulit. deinde ingravescente fame ac salute desperata, qui cum ipso erant, per portulam quandam furtim elapsi,

καθιμώμενοι νύκτωρ φέροντες ἑαυτοὺς τῷ βασιλεῖ παρεδίδοσαν, ἄλλοι δὲ πρὸς τὸν τοῦ ἀποστάτου νόθον υἱὸν Ἀναστάσιον εἰς τὸ Βιζύης πτολίεθρον ἀπεδίδρασκον. ἐπεὶ δὲ τοῖς πολιορκουμένοις ἤδη τὰ ἀναγκαῖα κατεδήδοτο, ἥψαντο δὲ καί τινων ἀήθων βρωμάτων, ἐχώρει δὲ ἡ ἀνάγκη καὶ μέχρι τῶν σεσημμένων σκυτῶν καὶ τῶν καττυμάτων, καὶ τούτοις ἀναγκαζόμενοι ἐσιτοῦντο, λάθρᾳ πρὸς λόγους ἐλθόντες τῷ Μιχαήλ, καὶ τῶν ἡμαρτημένων C συγχώρησιν ἐξαιτήσαντες καὶ λαβόντες, τὸν Θωμᾶν πεδήτην προσάγουσι τῷ ἐχθρῷ. ὁ δὲ τὸ δόξαν πάλαι τοῖς βασιλεῦσι καὶ εἰς συνήθειαν ἤδη ἐλθὸν πρῶτον τελέσας, καὶ ἐπ' ἐδάφους ἁπλώσας αὐτὸν καὶ τοῖς ποσὶ τὸν αὐχένα τούτου πατήσας, ἀκρωτηριάζει ποδῶν αὐτὸν καὶ χειρῶν, ὄνῳ τε ἐπικαθίσας θεατρίζει διὰ τοῦ στρατοπέδου, οὐδὲν ἄλλο ἐπιβοώμενον ἀλλ' ἢ "ἐλέησόν με, ἀληθῶς βασιλεῦ." ἐρομένου δὲ τοῦ βασιλέως εἴ τινες τῶν αὐτῷ συνόντων καὶ ἕτεροι εἶεν τὰ αὐτοῦ φρονοῦντες, τάχα ἂν κατεῖπε πολλῶν, εἰ μὴ ὁ πατρίκιος Ἰωάννης ὁ Ἑξαβούλιος "οὐ δέον" ἔφη, "ὦ βασιλεῦ, ἀλλὰ καὶ λίαν ἀλόγιστον, ἐχθροῖς πιστεύειν κατὰ τῶν D φίλων," καὶ τούτῳ τῷ λόγῳ διέλυσε τὰς κατὰ τῶν ταλαιπώρων πολιτῶν καὶ φίλων αὐτοῦ μελλούσας ἐγείρεσθαι τιμωρίας. καὶ ὁ ἀποστάτης δὲ κατέλυσε τὸν βίον, ἀπορρήξας τὸ πνεῦμα ταῖς κατὰ μικρὸν ποιναῖς, μεσοῦντος Ὀκτωβρίου μηνός, κατὰ μὲν τὰς ἀρχὰς μεγαλεπήβολος δοκῶν γενέσθαι καὶ τολμηρὸς καὶ τοῦ προτεθέντος ἐξεργαστικός, προβαίνων δὲ ἐπὶ τὰ ἔμπροσθεν πολὺ καταδεέστερος

1 παρέδωσαν P   4 ἥψατο C   6 κασσυμάτων C   11 τῷ ποδὶ C

nonnulli etiam noctu per funes de muro demissi, alii imperatori sese dediderunt, alii Bizyam ad Anastasium filium naturalem profugerunt. tandem cum obsessi omnia victui apta consumpsissent, iamque ad inusitatos cibos et usque ad putrefactorum coriorum esum necessitas perpulisset, occulte cum Michaelo collocuti, pactique delictorum veniam, Thomam in compedibus imperatori tradiderunt. is morem qui iampridem imperatoribus placuerat receptusque consuetudine erat, primo omnium servans, porrectum in pavimento iacere iussit, cervicemque eius pedibus suis calcavit; tum pedibus manibusque mutilatum et asino impositum spectaculi loco per castra circumduci iussit, nihil aliud vociferantem quam "miserere mei, qui verus es rex." cumque rex percontaretur an ex aulicis quoque conscios quosdam suae seditionis et socios habuisset, fuerat haud dubie multos delaturus, nisi Ioannes Exabulius patricius monuisset imperatorem non convenire, sed prorsus rationi repugnare, inimicis fidem habere amicos accusantibus. qua ille voce multis miserorum civium amicorumque imperatoris suppliciis ansas praecidit. Thomas lentis confectus suppliciis tandem animam exhalavit, medio Octobri mense, homo qui initio quidem magna conatus animosusque et propositi strenuus persecutor, in progressu multo se ipso deterior mi-

ἑαυτοῦ φανεὶς καὶ τῆς τῶν ἐκτὸς προσδοκίας. καὶ οἱ ἐκ Βιζύης δὲ τοῦ φρουρίου ἑτέρας ταχέως ἐγένοντο γνώμης, τὸν ἐπηρτημένον ὑφορώμενοι κίνδυνον· ἅμα γὰρ τῷ πυθέσθαι τὰ κατὰ τὸν Θωμᾶν ἀτυχήματα, τὰ ὅμοια πεποιηκότες καὶ τὸν Ἀναστάσιον συσχόντες
P 503 δεδεμένον χεῖρας καὶ πόδας προσήνεγκαν τῷ βασιλεῖ. πέπονθε δὲ καὶ οὗτος τὰ παραπλήσια τῷ πατρί, καὶ τὸν βίον βιαίως μετήλλαξε. καὶ τῶν τυράννων δὲ καθαιρεθέντων αἱ παράλιοι τῆς Θρᾴκης πόλεις, τό τε Πάριον καὶ ἡ Ἡράκλεια, ἔτι τὰ τοῦ τυράννου φρονοῦσαι ἀντεῖχον, μίσει τε τῷ πρὸς Μιχαὴλ καὶ διὰ τὸ μὴ θέλειν τοῦτον τὰς θείας ἀναστηλῶσαι εἰκόνας. καὶ τὸ μὲν Πάριον ἑάλω τοῦ τείχους καταβληθέντος ἀπό τινος γενομένου σεισμοῦ, ἡ δ' Ἡράκλεια ἐχυρώθη ἀπὸ τῶν τῆς θαλάσσης μερῶν.

Καὶ τὰ μὲν κατὰ Θωμᾶν τοιοῦτον ἔσχε τὸ τέλος, καὶ οὕτως ὁ βασιλεὺς τροπαιοφόρος ἐκ τῶν κατὰ Θρᾴκην ἔρχεται πόλεων,
B οὐδὲν ἕτερον κατὰ τῶν συναποστατησάντων τῷ Θωμᾷ ἐννοήσας καὶ τῷ πολέμῳ ἁλόντων, ἀλλ' ἱπποδρομίας γενομένης ὄνοις ἐποχουμένους περιαχθῆναι καὶ ἐξορίᾳ παραδοθῆναι. ἔμεινε δὲ ζώπυρον τῆς ἀποστασίας τὸ φρούριον ἡ Καβάλα καὶ ἡ Σανίανα, ὧν τὴν μὲν ὁ Χοιρέας κατεῖχε τὸ δ' ὁ Γαζαρηνός, ἐξ ὧν ὁρμώμενοι λῃστείας ἐποιοῦντο καὶ προνομάς. ἀλλὰ καὶ οὗτοι ὡς οὐκ ἐδέξαντο τὰς ἀθωούσας αὐτοὺς βασιλικὰς συλλαβὰς καὶ τὰ πεμφθέντα ἀξιώματα (καὶ ἄμφω γὰρ μαγίστρῳ πεποίηκεν ὁ βασιλεύς),

1 τῆς προσδοκίας ἐκτός P 5 προσήγαγον C 6 τῷ om C 8. 11 πάνιον P 12 τῆς] ἐκ C 18 ὑπερορίᾳ παραπεμφθῆναι C

nimeque respondens exspectationi de se conceptae visus est. quos Bizyam pervenisse diximus, ii quoque periculi metu sententiam mutarunt; et accepto de Thomae calamitate nuntio, imitati Adrianopolitas, Anastasium manus pedesque vinctum imperatori attulerunt. isque eodem quo pater modo tractatus violenta morte periit. tyrannis sublatis, Parium et Heraclea maritimae urbes Thraciae adhuc iis faventes resistebant imperatori, cum odio eius, tum quod sacras reponere imagines nolebat. ac Parium quidem captum est, muris terrae motu coorto prostratis. Heraclea autem a partibus quibus ad mare spectat, expugnata est.

Hic rerum Thomae finis fuit, et Michaelus ex Thracia triumphans in urbem rediit. in socios autem defectionis Thomae et captos bello nihil aliud statuit quam quod asinis eos impositos ludis Circensibus circumduci solumque exsilii causa vertere iussit. supererant adhuc defectionis istius quasi fomites duo castella, Cabala et Saniana; quorum alterum Choereas alterum Gazarenus tenebat, iisque ex arcibus praedationes ac latrocinia exercebant. sed hi quoque cum impunitatis pacta ab imperatore missa, oblatamque dignitatem (nam utrumque magistrum

ὑποφθαρέντων τῶν ἔνδον, ὡς ἐξῆλθον οὗτοι πρὸς τὰς συνήθεις διαρπαγάς, ἐκλείσθησαν τῶν φρουρίων αἱ πύλαι αὐτοῖς, καὶ C φεύγοντες πρὸς Συρίαν ὑπὸ τῶν τὰς ἄκρας διεπόντων στρατηγῶν κατασχεθέντες ἀνεσκολοπίσθησαν.

Καὶ οὕτω μὲν τὰ τῆς ἀποστασίας ἀπέσβη τέλεον καὶ ᾤχετο, οὐκ ἔμελλε δὲ ἄχρι τούτων στήσεσθαι ἡ φορὰ τῶν κακῶν, ἀλλὰ τῶν δύο ἠπείρων, Ἀσίας φαμὲν καὶ Εὐρώπης, ἐν θυμῷ κυρίου οἷόν τινος κεφαλῆς καὶ οὐρᾶς, εἰ καὶ μὴ συνίεσαν, παιδευθεισῶν φόνοις ἐμπρησμοῖς σεισμοῖς ἁρπαγαῖς ἐμφυλίοις καταδρομαῖς, πόλεων ἀνελπίστοις μεταναστάσεσι, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, τέλος καὶ ταῖς ταλαιπώροις νήσοις, οἷόν τινα D μέσην, ἵν᾽ ὁλοσώματος εἴη ἡ πληγή, ἐπέδραμε τὰ δεινά. ἀλλ᾽ οὐκ ἦν παιδευθῆναι τοὺς τὴν θεάνθρωπον ἐξηρνημένους μορφὴν προσκυνεῖν. ἄρτι γὰρ τοῦ κατὰ τὸν Θωμᾶν ἄρξαντος νεωτερισμοῦ, ἐπεὶ ταῦτα ἠκούετο πανταχοῦ, οἱ τὸν ἑσπέριον κόλπον τῆς Ἰβηρίας οἰκοῦντες Ἀγαρηνοί, πρόσχωροι τῷ Ὠκεανῷ ὄντες (Ἱσπάνους τούτους κατονομάζουσιν), εἰς εὐανδρίαν ἐληλακότες, καὶ ἣν ᾤκουν γῆν λυπρὰν οὖσαν καὶ μετρίως εὐδαίμονα ὁρῶντες καὶ διὰ τοῦτο τρέφειν μὴ δυναμένην αὐτούς, προσελθόντες τῷ ἑαυτῶν ἄρχοντι Ἀπόχαψ (ἀμερμουμνῆν οἶδε τοῦτον ἡ ἐγχώριος γλῶσσα καλεῖν) ἀποικίαν καὶ γῆς μετανάστασιν ᾔτουν γενέσθαι αὐτοῖς πλήθει τε στενοχωρουμένοις καὶ τῶν ἀναγκαίων σπανί-

1 ἔσω C 5 τελέως C 12 ὁλόσωμος C 18 λυπηρὰν margo C

imperator creabat) respuerent, corruptis castellorum praesidiis, cum ad consueta latrocinia exivissent, portis castellorum obiectis exclusi, cumque in Syriam fuga contenderent, a praefectis limitum comprehensi inque crucem acti sunt.

Ita demum defectio omnino exstincta. neque vero malorum impetus hoc cardine cessaturus erat: sed cum duae continentes, Europam dico atque Asiam, veluti caput et cauda, divinitus castigarentur, tametsi id non intelligerent, ira dei eis caedes, incendia, terrae motus, latrocinia, civiles turbas, urbium insperata excidia, signa in caelo et in aëre immittente, tandem miseras quoque insulas, veluti medium corporis, ne ulla eius pars plagis careret, invaserunt. sed nimirum corrigi non poterant, qui dei hominis formam adorandam negarent. quo tempore novas res moliri Thomas coepit, fama rei in omnes partes divulgata, Agareni, qui occiduum Iberiae sinum accolunt Oceano finitimi, quos et Hispanos nominant, aucti hominum multitudine, suamque terram parum fertilem atque opulentam sentientes ideoque ipsis alendis non sufficere, principem suum Apochapsum (ipsi sua lingua amermumnem dicunt) accesserunt, utque colonia deduceretur poposcere, quia et ob multitudinem anguste habitarent et rebus necessariis destituerentur.

P 509 ζουσιν. ὁ δὲ ἀσπασίως τὸν λόγον δεξάμενος, πλοῖα εὐθέως ἐπισκευάσας μακρὰ καὶ δύναμιν τούτοις ἐξ αὐτῶν ἐμβιβάσας, ἐπὶ ληστείαν τέως, λανθάνουσαν ἔχων τὴν ἔννοιαν, τῶν πρὸς τῇ ἕῳ κειμένων νήσων καὶ ἡμετέρων ἐτράπετο, ὁμοῦ μὲν τὸ τοῖς ὑπηκόοις ὀρεκτὸν ἐκπληρῶν καὶ ἐκ τῶν ἀλλοτρίων αὐτοὺς κορεννύς, ὁμοῦ δὲ καὶ μετασκεψόμενος εἴ τίς ἐστιν εὔφορος τῶν νήσων καὶ πρὸς μετοικίαν ἐπιτηδεία αὐτοῖς. ποιησάμενος δὲ τὸν ἀπόπλουν ἔαρος ὥρᾳ, καὶ πολλὰς ἐπιὼν τῶν νήσων, οὐδένα εὕρισκε τὸν ἀντιπαρατατόμενον· ἐχήρευον γὰρ πᾶσαι βοηθείας, τοῦ εἰωθότος φυλάττειν στόλου παντὸς συστρατευομένου τῷ Θωμᾷ. διὸ καὶ
B μεγάλας ὠφελείας ἐκ πασῶν, αἷς καὶ προσώρμιζεν, ἐκαρποῦτο. ἧκε δέ ποτε καὶ εἰς Κρήτην, καὶ ταύτην καταδραμὼν καὶ ἀνδραποδισάμενος ὡς ἐνῆν, καὶ τὴν τῆς νήσου καταμαθὼν ἀρετὴν καὶ χάριν, τοῦτο ἔφη πρὸς τοὺς ὑπηκόους, "ἰδοὺ γῆ ῥέουσα γάλα καὶ μέλι." καὶ τότε μὲν ἔφη πλέον οὐδέν, παντοίων δὲ τὸν στόλον ἐμπεπληκὼς ἀγαθῶν τῶν ἐπ' οἶκον νόστων ἐμέμνητο. ὡς δ' ὁ χειμὼν ὑπέληγε καὶ τὸ ἔαρ ἐπέλαμπε, τεσσαράκοντα ναῦς πληρώσας ἀνδρῶν μαχίμων καὶ οὔριον ἄνεμον ἐπιτηρήσας πρὸς Κρήτην ἀπέπλει, τὰς ἄλλας τῶν νήσων παρατρέχων ἐπιεικῶς. καταλαβὼν δὲ τὴν νῆσον τῷ ἀκρωτηρίῳ τῷ λεγομένῳ Χάρακι προσορμίζεται. ὡς δ' οὐδὲν αὐτῷ οὔτε κατὰ τὴν ἀπόβασιν οὔτε κατὰ
C τὴν καταγωγὴν ἐφάνη πολέμιον, παρεμβολὴν πηξάμενος ὀχυρὰν

2 μικρὰ C 5 χορτάζων καὶ ἐμπιπλῶν margo C 6 κατασκεψόμενος P ἥτις C 9 γὰρ βοηθείας αἱ νῆσοι C 11 προσώρμησεν P 13 καθελὼν C 17 ἔληγε C 20 καλουμένῳ C

princeps, cui is sermo pergratus erat, longas confestim naves paravit, easque instructas, consilio suo etiamnum celato, praedatum ad insulas Orientis, quae nostrae erant dicionis, emisit, simul et rem subditis gratam facturus, quorum cupiditatem alienis opibus satiaret, et exploraturus, essetne aliqua ferax insula, in quam commode suorum posset deducere coloniam. navigatione inito vere suscepta, multis appulsus insulis neminem sibi resistentem invenit: omnes enim praesidio orbatae erant, quod classis tota iis custodiendis destinata Thomam tunc adiuvabat. ingentem itaque praedam ex omnibus quas attigit insulis rettulit. hoc modo et in Cretam venit; quam cum praedatus populatusque esset pro virili, insulae perspecta bonitate atque amoenitate, suis hoc unum dicens "en terram lacte ac melle fluentem," navibus omnis generis praeda oneratis domum repetiit. finita deinde hieme ac vere ineunte naves quadraginta oneravit viris bellicosis; observatoque secundo vento, reliquas insulas fere absque maleficio praetervehens, ad Cretam appulit, castraque ad promontorium cui Charax nomen imposuit. cum autem neminem neque in excensione neque dum suos deduceret hostem inve-

τοὺς μὲν ἐπιτηδείους εἰς προνομὴν ἐξαπέστειλεν, αὐτὸς δὲ τοὺς λοιποὺς ἔχων ἄρτι δὴ τοῦ πνεύματος ἐπακμάζοντος, κἀκείνων πορρωτέρω σταδίων δέκα ἢ καὶ ιε' γενομένων, πῦρ ἐμβαλὼν ταῖς ναυσὶ τὰς πάσας κατέφλεξε, φεισάμενος τὸ παράπαν οὐδεμιᾶς. ὁ δὲ στρατὸς (καὶ γὰρ ἐπαλινόστουν εὐθέως ἐκδειματωθέντες, τῷ παραδόξῳ τοῦ θεαθέντος πράγματος καταπλαγέντες) τὴν αἰτίαν ἐπυνθάνοντο καὶ εἰς λόγους ἦλθον νεωτερικούς. ἐπεὶ δὲ ἤκουον ἃ πάλαι ὤδινον, ὡς αὐτοί τε τούτων ὑμεῖς αἴτιοι, ἀποικίαν ζητοῦντες καὶ γῆν ἀγαθήν, ἐμοὶ δὲ ταύτης οὐδετέρα νενόμισται κρείττων, εἰς ταύτην ἦλθον τὴν ὁδόν, τὰ ὑμῖν τε θυμήρη πράττων καὶ ἐμαυτὸν τῆς ἐξ ὑμῶν ἀπαλλάττων ὀχλήσεως. ὡς δὲ καὶ γυναικῶν καὶ παίδων ἐμέμνηντο, "καὶ γυναῖκες" ἔφη ὁ Ἀπόχαψ D "ὧδε, ἡμέτεραι αἰχμάλωτοι, καὶ παῖδες μετὰ μικρὸν ἐξ αὐτῶν." τούτοις τοῖς λόγοις κατασιγασθέντες, καὶ ἀποδοχῆς ἄξια κρίναντες τὰ λεγόμενα, τάφρον μὲν ἤγειραν πρῶτον βαθεῖαν, καὶ χάρακας ἐν ταύτῃ καταπήξαντες, ἔνθα καὶ νῦν λαβὼν τὴν ἐπωνυμίαν ὁ τόπος σώζει τὴν προσηγορίαν, Χάνδαξ ὀνομαζόμενος, ἐκεῖσε διενυκτέρευον. χρόνος οὐκ ἐρρύη πολύς, καὶ τὰ πραττόμενα ἡ φήμη τὸν βασιλέα ἐδίδασκε. καὶ ὃς τῷ πρωτοσπαθαρίῳ Φωτεινῷ τῶν ἀνατολικῶν στρατηγοῦντι τὰ τῆς Κρήτης ἅπαντα ἀνα- P 510 τίθησιν. οὗτος ἐκεῖσε παραγενόμενος καὶ τὰ πάντα καταμαθὼν τὸν βασιλέα ἀντεδίδασκε τὰ πραττόμενα, καὶ δύναμιν ἠξίου πέμπειν τὴν ἐκεῖθεν ἀποσοβήσουσαν τοὺς ἐχθρούς. Δαμιανὸν γοῦν

5 ἐπανέκαμπτον margo C 6 θεαθέντος om C 9 ἐμοί τε — ὥστε εἰς? 13 ὑμέτεραι C οὐ μετὰ C 16 ἔνθεν? 19 καὶ om C

niret, castris communitis eos qui ad excursionem apti erant emisit: ipse cum reliquis, cum isti ad decem iam aut undecim stadia abiissent et ventus invaluisset, naves ad unum omnes iniecto igni combussit. quo subito incendii spectaculo perterritus exercitus cum illico ad castra rediisset, causamque crematae classis ferocius etiam postularet, dux respondit ea nunc peracta quae ipsi diu ardenter desiderassent: ipsos huic rei causam praebuisse, qui coloniam in locum felicem duci flagitassent: se, quia meliorem alium nullum sciret, huc duxisse, ut et ipsorum voluntati satisfaceret et interpellationibus sese ipsorum exoneraret. cumque uxorum et liberorum inferrent mentionem, respondit Apochapsus in promptu esse captivas mulieres, quibus pro uxoribus uterentur, ac paulo post liberos tollerent. his illi verbis sedati, et approbatione digna rati, altam egerunt fossam, ibique vallum iecerunt, unde adhuc loco Charax nomen servatur, atque iis in castris pernoctarunt. brevi admodum tempore fama rei certiorem fecit imperatorem, qui Photino protospathario orientalis exercitus duci summam rei ad Cretam pertinentis commisit. hic eo profectus omnique re cognita imperatorem edocuit, copiasque ad profligandos ex insula hostes petiit.

τινὰ ὄντα κόμητα τοῦ βασιλικοῦ ἱπποστασίου καὶ πρωτοσπαθάριον μετὰ πολλῆς δυνάμεως καὶ παρασκευῆς ὁ βασιλεὺς ἀπέστειλεν εἰς βοήθειαν τοῦ στρατηγοῦ Φωτεινοῦ, οἳ καὶ ἑνωθέντες κατὰ τῶν Ἀγαρηνῶν ὡπλίζοντο. εἰς οὐδὲν δὲ χρήσιμον αὐτοῖς τὸ τέλος ἐνεπεράνθη· αὐτός τε γὰρ ὁ Δαμιανὸς κατὰ τὴν πρώτην προσβολὴν καιρίαν πληγεὶς καὶ θανὼν καὶ τοῖς λοιποῖς τροπῆς γέγονεν αἴτιος,
B καὶ ὁ Φωτεινὸς μόλις ἐν δρόμωνι διασώζεται καὶ τῷ βασιλεῖ τῶν πραχθέντων αὐτάγγελος γίνεται. ἀλλ' οὗτος μέν, ἐπεὶ διὰ τιμῆς ἦγετο τῷ βασιλεῖ πάντως, τὴν τῆς Σικελίας στρατηγίαν αὖθις τῆς Κρήτης ἀλλάσσεται· τοῖς δὲ Σαρακηνοῖς ἐν ταραχῇ καὶ μερίμνῃ διάγουσιν ἔτι μοναχός τις ἐκ τῶν ὀρέων τῆς νήσου ἐπικαταβὰς ἁμαρτάνειν ἔφησεν, εἰ ἀσφαλῶς οἴονται ἕξειν ἱδρυθέντες ἐν τῷδε τῷ τόπῳ, καὶ ἅμα λέγων τὸν Χάνδακα τούτοις ὑπέδειξε, δεξιὸν τόπον καὶ εὐφυῆ πρὸς πᾶσαν εὐετηρίαν. ἐν τούτῳ πόλιν ἱδρύσαντες καὶ οἷόν τινα πάσης ἀκρόπολιν τῆς νήσου, καὶ ἐκ ταύτης ὁρμώμενοι τὴν ὅλην κατέτρεχον νῆσον καὶ τὰς λοιπάς. ἐδουλώ-
C σαντο δὲ τοὺς αὐτόχθονας καὶ τὰς ἐν τῇ Κρήτῃ πόλεις πλὴν μιᾶς. τότε δὴ καὶ ὁ Κύριλλος ὁ Γορτύνης πρόεδρος στέφει τελειοῦται μαρτυρικῷ, μὴ θελήσας ἀρνήσασθαι τὸν Χριστόν. καὶ Κρήτη μὲν ἑάλω τοῦτον τὸν τρόπον.

Τῶν ἐμφυλίων δὲ πολέμων ἀπαλλαγεὶς ὁ βασιλεὺς Μιχαὴλ οὐ τῷ θεῷ τὴν νίκην ἐπέγραψεν ἀλλὰ τῇ ἑαυτοῦ φρονήσει καὶ στρατηγίᾳ· διὸ καὶ ὑπὸ φρονήματος φυσηθεὶς ἀκάθεκτος ἦν τὴν

5 τε om C   9 πάντοτε τῆς σικελίας στρατηγίδα C

imperator ergo Damianum sui equilis comitem ac protospatharium magnis cum copiis atque grandi apparatu suppetias Photino mittit, iique coniunctis viribus contra Agarenos se armant. sed nihil est profectum, quod cum Damianus primo in congressu letali vulnere accepto periisset, reliqui eam fugae causam habuerunt; et Photinus aegre celoce evasit ad imperatorem, eique cladis nuntium attulit. quem imperator, quod summo apud se esset in honore, pro Creta Siciliae praefecit. Saracenos autem, adhuc inter curas ac turbas versantes, monachus quidam ex insulae montibus degressus docuit errare, si hoc loco tuto se consedisse crederent; simulque eis Chandacem demonstravit, opportunum locum ad quasvis commoditates. ibi illi urbem condiderunt veluti totius insulae arcem, ex eaque in totam insulam incursiones fecerunt, ac vicinas etiam, actis in servitutem incolis, urbibusque Cretae una dempta captis omnibus. tum temporis etiam Cyrillus Gortynis episcopus martyrii coronam supplicio est consecutus, quod Christum diffiteri noluisset. hoc modo Creta in servitutem devenit.

Ceterum imperator Michaelus bellis civilibus liberatus non deo sed suae prudentiae atque solertiae victoriam imputavit. itaque et fastu turgens effrenibus animi ferebatur impetibus. proinde uxore mortua,

ὁρμήν. τῆς γαμετῆς οὖν τελευτησάσης αὐτοῦ ὑπεποιεῖτο μὲν τὸν ἄζυγα βίον, λάθρᾳ δὲ πρὸς τοὺς προύχοντας τῆς συγκλήτου πέμπων ἀνέπεισε παρ᾽ αὐτῶν παρακαλεῖσθαι ἑτέρᾳ συζευχθῆναι γυναικί, εἰ μὴ πεισθείη δέ, καὶ βίαν ἐπενεγκεῖν ἀπειλούντων, D προφάσει δῆθεν εὔσχημον προτεινομένων, ὡς οὐ δέον αὐτοὺς μὲν ὑπὸ βασιλεῖ τάττεσθαι, τὰς δὲ αὐτῶν γυναῖκας δεσποίνης στερεῖσθαι καὶ βασιλίδος. ἐπέπειστο οὖν ὀψέ ποτε διὰ τῶν ἐπιπλαστῶν λόγων, καὶ πρῶτα μὲν ἀπῄτει χειρόγραφα τοὺς ὑπηκόους εὐνοίας, ὡς αὐτήν τε τὴν ἐσομένην αὐτῷ γυναῖκα καὶ τὰ ἐξ αὐτῆς τεχθησόμενα μετὰ τὸν αὐτοῦ θάνατον ὑπερβαλλόντως τιμήσουσι, καὶ μετ᾽ ἐκεῖνον βασιλέας ἔχοιεν κἀκείνην δέσποιναν. οὕτως οὐ τοῦ κατ᾽ ἐκεῖνον ἀλλὰ καὶ τοῦ μετ᾽ αὐτὸν ᾤετο κρατήσειν αἰῶνος. εἶτα καὶ ταῖς μετὰ τέχνης αἰτήσεσι πείθεται τῆς συγκλήτου, καὶ ἠγάγετο πρὸς γάμον γυναῖκά τινα πάλαι νυμφευθεῖσαν Χριστῷ P 511 καὶ τὸν μοναδικὸν ἀσπασαμένην βίον κἀν τῷ ἐν τῇ Πριγκήπῳ μοναστηρίῳ μονάζουσαν ἐκ παιδός· Εὐφροσύνη ταύτης ἡ κλῆσις, πατρὸς δὲ λέγεται εἶναι Κωνσταντίνου τοῦ βασιλέως, ὃν ἡ μήτηρ Εἰρήνη δικαίως διὰ τὰς σφετέρας ἀπετύφλωσεν ἀκολασίας. καὶ ταῦτα μὲν ἐπράττετο τῇδε.

Ὁ δὲ Μιχαὴλ ἕτερον στόλον ἐκπέμπει κατὰ τῶν ἐν Κρήτῃ Σαρακηνῶν, στρατηγὸν ἐπιστήσας αὐτοῖς Κρατερὸν τὸν τῶν Κιβυρραιωτῶν διέποντα τὴν ἀρχήν· ὃς ἑβδομήκοντα διήρεις τὰς ὑφ᾽ ἑαυτὸν λαβὼν καὶ τὰς ἐκ τῶν ἄλλων νήσων ἁπάσας, ἐν τῇ Κρήτῃ B

3 ante πέμπων C μηνύματα ὑπ᾽ C 6 βασιλέα C συζύγους C 9 τε] μὲν libri 10 αὐτῆς C 11 βασιλέα P 12 κρατῆσαι P 15 τῇ om C

simulans se vitam viduam amplecti, occulte cum principibus senatus rem composuit, ut ii sibi alterius uxoris ducendae auctores essent, ac nisi pateretur persuaderi sibi, vim minarentur, hoc honesto utentes praetextu, non convenire ut ipsis imperatori subditis, uxores eorum domina atque imperatrice careant. ita ergo fictis eorum sermonibus ad extremum cessit. ac primum quidem subditos manu sua ipsi se obligare mandavit, futuram imperatoris uxorem, et quos esset ea editura liberos, summo in honore ab ipsis habitum iri, ita ut eam ipso mortuo imperatricem, de filiis unum imperatorem agnoscant. adeo non in hoc modo aevo, sed post mortem quoque suam se imperaturum existimabat. deinde commenticiis istis senatus precibus persuasus scilicet uxorem ducit iampridem desponsam Christo, et monasticum amplexam vitae genus, inque Principis dicto monasterio id a pueritia exercentem, nomine Euphrosynam. ferebatur ea filia esse Constantini imperatoris, eius quem mater Irena sua propter scelera iuste oculis spoliaverat.

Aliam quoque classem Michaelus contra Saracenos Cretam obtinentes emisit, duce Cratero Cibyraeotarum praefecto. is cum septuaginta suis et omnibus reliquarum insularum biremibus ferox admodum

γενόμενος μετὰ μεγίστου φρυάγματος οὐδὲ τοὺς Ἀγαρηνοὺς ὑποκλινομένους εὗρεν, ἀλλὰ καὶ αὐτοὺς γενναίως ὑποστάντας τὸν κίνδυνον. συμπλοκῆς δὲ γενομένης, ἤδη τοῦ ἡλίου τὰς ἀκρωρείας αὐγάζοντος ἄχρι μεσούσης ἡμέρας, οὐδέτερον μέρος ἀπέκλινεν, ἀλλὰ γενναίως ἀντέχοντες ἐκαρτέρουν. ἄρτι δὲ τῆς ἡμέρας κλινούσης πονήσαντες οἱ Κρῆτες ἐνέδωκαν εἰς φυγήν, καὶ πολλοὶ μὲν αὐτῶν ἐν τῷ πολέμῳ ἀπέθανον, πλείονες δὲ τὰ ὅπλα ῥίψαντες ᾐχμαλωτίσθησαν. τάχα δ' ἂν ἑάλω καὶ ἡ πόλις αὐθημερόν, εἰ C μὴ νὺξ ἐπιγενομένη ἀνέτρεψε τέλεον τὰ πράγματα. Ῥωμαῖοι μὲν γὰρ ὡς ἤδη τάχα νενικηκότες, καὶ πάντας αὔριον ἐν βραχεῖ βραχεῖς ὄντας ἐλπίσαντες συλλαβεῖν, ὡς ἐν οἰκείᾳ ἀλλ' οὐκ ἐν ἀλλοτρίᾳ διάγοντες, πρὸς πότους καὶ τρυφὰς ἐξεβάκχευον, μήτε τινὸς φυλακῆς μήτ' ἄλλης σωτηρίας φροντίσαντες, ὕπνου δὲ μόνου καὶ τῆς πάντα ῥᾳδίως ἀνατρεπούσης ἀναπαύλης τε καὶ ῥᾳστώνης. ὅθεν περὶ μέσας νύκτας οἱ Κρῆτες, ἐπειδὴ τῶν ἑαυτῶν φυλάκων ὡς ἐν ἀπορίᾳ ἀγρυπνοῦντες οἴνῳ καὶ ὕπνῳ τοὺς τῆς Ῥωμαϊκῆς παρεμβολῆς ἐμάνθανον κατεχομένους, αὐθωρὸν ἐπιπεσόντες μετ' ἀλαλαγμοῦ καὶ μέθῃ κατεσχημένους εὑρόντες ἅπαντας ἄρδην ἀπώ- D λεσαν, ὡς μηδ' ἄγγελον, τοῦτο δὴ τὸ τοῦ λόγου, περιλειφθῆναι· μόνος δ' ὁ στρατηγὸς ἐμπορικοῦ τινὸς πλοίου ἐπιβὰς τὴν σωτηρίαν ἑαυτῷ ἐμνηστεύετο. ὡς δὲ πολλὰ ζητήσας ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς τοῦτον οὐχ εὕρισκεν οὔτ' ἐν τοῖς πεσοῦσιν οὔτ' ἐν τοῖς αἰχμαλώτοις, ἔμαθε δ' ὅτι φυγὰς ᾤχετο, τοὺς καταδιώξοντας

9 τελέως C 13 δὲ] δὲ καὶ C 21 ἐμνηστεύσατο P, ἐπραγματεύετο margo C

Cretam applicuit, inciditque in Agarenos nequaquam pugnam subterfugientes, sed fortiter admodum eam subsistentes. a prima luce usque ad meridiem acerrime utrinque fuit dimicatum, neutra parte inclinata, sed utrisque animose perdurantibus. iam vergente ad vesperam die superati demum Cretenses fugam fecerunt. horum multi in pugna occisi sunt, plures abiectis armis capti. eademque die videtur urbs quoque eorum capi potuisse, nisi nox ingruens obstitisset. atque ea quidem nox Romanis exitiosa fuit. namque ut victores, et qui superstites paucos postridie nullo negotio se in suam potestatem redacturos sperarent, perinde ac si non in hostico sed domi suae agerent, potationibus et luxuriae sese dederunt, neque excubiarum neque ullius salutaris rei curam habentes, de solo somno ac quiete et socordia facile omnia evertente cogitantes. ergo Cretenses, qui excubitorum inopia ipsi vigilum munere fungebantur, Romana castra vino somnoque capta deprehendentes media nocte magno cum strepitu irruerunt, inque ebrios incidentes, universos ne nuntio quidem, ut proverbio dicitur, superstite interfecerunt. solus dux Craterus mercatorio usus navigio saluti suae consuluit. quem cum Saracenorum dux diu multumque et inter cadavera et inter captivos quaesitum non inveniret ac fuga elapsum perciperet, misit qui

ἔπεμψεν· οἳ καὶ καταλαβόντες αὐτὸν ἐν Κῷ τῇ νήσῳ ξύλῳ κρε-
μάσαντες ἀπέκτειναν. μετὰ δὲ ταῦτα ἀνήρ τις πολεμικὸς καὶ
φρονήσεως καὶ ἀγχινοίας οὐκ ἄμοιρος, τὸ ἐπώνυμον Ὀρύφας,
στρατόν τινα προστάξει ἀθροίσας βασιλικῇ, τὸν τεσσαρακοντά-
ριον τότε καλούμενον ἐκ τοῦ διανεμηθῆναι αὐτοῖς ἀνὰ τεσσαρά-
κοντα χρυσίνους, τάς τε ἄλλας νήσους ἐπιὼν ἀνῄρει τοὺς προνο-
μεύοντας Ἀγαρηνούς, τοῖς μὲν λόχους ἐπάγων τοῖς δὲ φανερῶς P 512
πολεμῶν, καὶ τοὺς Κρῆτας συνέστειλε καὶ τῆς πολλῆς καὶ ἀσχέτου
ὁρμῆς ἀνεχαίτισε. καὶ ταῦτα μὲν συνηνέχθη τῇδε.

Κατὰ δὲ τὸν αὐτὸν καιρὸν Εὐφήμιός τις ἀνὴρ κατὰ Σικελίαν
λαοῦ τινὸς ἐξηγούμενος, ἐρασθεὶς παρθένου τινὸς τὸ μοναδικὸν ἐκ
παιδὸς ἀναλαβούσης σχῆμα, περὶ πολλοῦ ἐποιεῖτο τὸν οἰκεῖον ἔρωτα
ἐκπληρῶσαι, τῶν νόμων οὐδὲ φροντίζων ὅλως, ἀλλ' ὡς εἰς παρά-
δειγμα μόνον ἀποβλέπων τὸν βασιλέα, τοιοῦτόν τι τολμήσαντα
καὶ αὐτόν. ἁρπάζει γοῦν τὴν παρθένον τοῦ ἀσκητηρίου καὶ πρὸς
ἑαυτὸν ἄκουσαν ἄγει. ταύτης οὖν οἱ ἀδελφοὶ προσίασι τῷ Μι-
χαήλ, τὰ τοῦ δράματος διηγούμενοι· ὁ δὲ κελεύει τῷ στρατηγῷ, B
εἰ οὕτως καταλάβοι ἔχουσαν τὴν ἀλήθειαν, τὴν ῥῖνα τοῦ τετολ-
μηκότος Εὐφημίου ἀποτεμεῖν. ὅπερ μαθὼν ὁ Εὐφήμιος, συνω-
μότας λαβὼν τούς τε ὑπὸ τὴν αὐτοῦ χεῖρα καί τινας τῶν συντουρ-
μαρχῶν, τὸν στρατηγὸν ἐπὶ τούτῳ παραγενόμενον ἀπελαύνει καὶ
πρὸς τὸν τῆς Ἀφρικῆς ἀποδιδράσκει ἡγούμενον, πᾶσαν τὴν Σικε-

1 αὐτὸν add C 3 τὸ] οὗ τὸ C 7 λόγους C 11 μοναχικὸν C 13 πληρῶσαι C 20 τούτους τε τοὺς ὑπ' C 21 ἀπελαύνει — 22 ἡγούμενον add C

eum persequerentur. atque hi eum in Co insula assecuti in crucem actum e vivis sustulerunt. secundum haec bellicosus quidam vir, prudentiaeque et sagacitatis non expers, cognomento Oryphas, iussu regis exercitum colligit, qui tum quadragenarius appellabatur, quod quadraginta aurei singulis pendebantur. is et alias obiens insulas Agarenas praedatum excurrentes interfecit, partim insidiis locatis, partim praelio congressus, et Cretensium immodicam ferociam repressit atque inhibuit.

Hoc ipso tempore Euphemius quidam turmae cuiusdam dux amore correptus virginis, quae a tenera aetate monastico habitu velata vivebat, cum nihil antiquius haberet quam amorem suum exsatiare, neque leges quicquam curaret, sed in solius imperatoris exemplum intueretur, qui et ipse simile facinus perpetraverat, rapit ex monasterio virginem ac invitam ad se traducit. huius virginis fratres ad imperatorem se conferunt ac factum narrant. et imperator praefecto Siciliae mandat ut Euphemio, siquidem hos verum crimen detulisse comperirit, nasum amputet. hoc sentiens Euphemius, adscitis in coniurationem iis quibus praeerat aliisque aliarum turmarum ductoribus, praefectum supplicium imponendi causa ad se venientem repellit, atque ad Africae ameram

λίαν ὑπ' ἐκεῖνον ποιῆσαι καθυπισχνούμενος καὶ διδόναι φόρους αὐτῷ πολλούς, εἰ μόνον ἀναγορευθείη Ῥωμαίων βασιλεύς. δεξάμενος οὖν τὸν λόγον ὁ ἀμηρᾶς ἀναγορεύει τοῦτον βασιλέα Ῥωμαίων καὶ χεῖρα δίδωσι πολλήν, καὶ τῆς Σικελίας γίνεται ἐγκρατής, παρ' αὐτοῦ τούτου λαβὼν αὐτήν. πλὴν ὁ μὲν Εὐφήμιος
C οὐ πολὺν χρόνον τοῦ βασιλικοῦ ἀπολαύσας ἀξιώματος ἀφαιρεῖται τὴν κεφαλήν, τῆς οἰκείας ἀποστασίας καὶ παρανομίας τοῦτον λαβὼν τὸν μισθόν. ἄξιον δὲ καὶ τὸν τρόπον εἰπεῖν τῆς αὐτοῦ ἀναιρέσεως. ὡς γὰρ ἐν σχήματι βασιλικῷ περιῄει τὴν Σικελίαν ἀνευφημούμενος, ἀπῄει κατὰ Συράκουσαν. ἄποθεν δὲ γενόμενος τῆς ἑαυτοῦ τάξεως καὶ τῶν δορυφόρων, καὶ ὅσον ἀπὸ τόξου βολῆς τῇ πόλει προσεγγίσας, ὡμίλει τοῖς πολίταις καὶ πρὸς ἑαυτὸν λόγοις τὴν ἐκείνων ἐφείλκετο εὔνοιαν. μεμονωμένον δὲ τοῦτον ἰδόντες ἀδελφοὶ δύο Συρακούσιοι, πρὸς ἑαυτοὺς βουλευσάμενοι καὶ σύμπνοοι γενόμενοι καὶ τὸ ἓν φρονήσαντες προσέρχονται τούτῳ εἰρωνι-
D κῶς τε καὶ τωθαστικῶς, ὡς βασιλεῖ τάχα τὴν προσήκουσαν τιμὴν ἀπονέμοντες. ὁ δὲ Εὐφήμιος μὴ συνεὶς τὸν δόλον, τὴν παρ' αὐτῶν ἀναγόρευσιν καὶ τὸν ἀσπασμὸν προσδεξάμενος, προσεκάλει τούτους μετὰ φιλοφροσύνης ὡς καὶ αὐτὸς τὸν οἰκεῖον ἀσπασμὸν ἀποδώσων. καὶ δὴ κλίνας τὴν κεφαλὴν καὶ τὸ στόμα προσερείσας τῷ στόματι θατέρου τῶν ἀδελφῶν, θριξὶ μὲν κατέχεται ἰσχυρῶς παρὰ τούτου, πρὸς δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν τὴν κεφαλὴν

5 παρὰ τούτῳ C   7 τοῦτον om C   10 κατὰ τὴν σ. C
15 περιέργως margo C

sive praefectum transfugit, promittitque se, modo ab ipso imperator Romanorum declaretur, omnem ipsi Siciliam subiecturum ac grande tributum soluturum. accipit condicionem ameras, et Euphemium magno exercitu instruit, imperatoris Romani titulo insignitum, eiusque opera Sicilia potitur. verum hic Euphemius imperatoriae dignationis perbrevem fructum percepit, truncatus capite, quam dignam sui sceleris et defectionis mercedem rettulit. et sane operae pretium videtur referre quo modo fuerit interfectus. cum obiret Siciliam imperatorio habitu, ut ab omnibus imperator salutaretur, Syracusas quoque petiit: ubi cum a suis stipatoribus longius provolasset, et ad urbem tanto quantum sagitta arcu emissa conficit spatio accessisset, cum oppidanis colloquens eorumque benevolentiam oratione sua captans, duo Syracusani fratres solum et a suis amotum videntes de eo interficiendo conspirant. itaque simulato studio et adulatorio gestu ad hominem accedunt, atque ut imperatorem debito honore afficiunt. Euphemius, qui eorum dolum non intelligeret, gratam eorum imperatorii nominis delationem atque salutationem habens, comiter ad se eos vocat, dignis modis resalutaturus. ergo cum capite inclinato alterum oscularetur, ab eo crinibus arripitur

ἀποτέμνεται. καὶ οὗτος μὲν ταύτην ἔτισε δίκην τῆς οἰκείας ἀπονοίας.

Οἱ δὲ Ἀγαρηνοὶ οὐ τῆς Σικελίας μόνον ἔκτοτε ἀλλὰ καὶ Καλαβρίας καὶ τῶν πλειόνων τῆς Ἰταλίας ἐγένοντο ἐγκρατεῖς, P 513
πάντα κατατρέχοντες καὶ διαπορθοῦντες. ὁ Μιχαὴλ δὲ ἐπὶ μῆνας η' καὶ ἔτη θ' τῆς βασιλείας γενόμενος ἐγκρατής, δυσεντερίας ἁλοὺς ἀρρωστήματι καταστρέφει τὸν βίον, τοσούτων παραίτιος τῇ πολιτείᾳ Ῥωμαίων γενόμενος κακῶν δι' ἣν εἶχεν ἀσέβειαν πρὸς θεὸν καὶ πρὸς τὰ πράγματα μοχθηρίαν, ὅσων προλαβὼν ἐπεμνήσθη ὁ λόγος. ἀπεστάτησε δὲ ἐπ' αὐτοῦ καὶ πᾶσα ἡ Δαλματία. ἐφέρετο δὲ καὶ χρησμὸς παλαιὸς περὶ αὐτοῦ, ἔχων οὕτως

ἀρχὴ κακῶν δὲ προσπεσεῖται τῇ χθονί,
ὅταν κατάρξῃ τῆς Βαβυλῶνος δράκων,
δύσγλωττος οὗτος καὶ φιλόχρυσος λίαν.

ἐτάφη δὲ ὁ τούτου νεκρὸς ἐν τῷ κατὰ τοὺς ἁγίους ἀποστόλους με- B
γάλῳ ἡρῴῳ Ἰουστινιανοῦ, ἐν λάρνακι πρασίνῳ Θετταλικῇ.

Μετὰ δὲ τὸν τοῦ Μιχαὴλ θάνατον ὁ υἱὸς αὐτοῦ Θεόφιλος, ἀνδρὸς ἤδη ἡλικίαν ἔχων, διεδέξατο τὴν πατρῴαν ἀρχήν, κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς η' ἰνδικτιῶνος, λόγῳ μὲν τῆς δικαιοσύνης ἔμπυρος ἐραστὴς καλεῖσθαι βουλόμενος νόμων τε φύλαξ πολιτικῶν ἀκριβής, τῇ δ' ἀληθείᾳ ἔξωθεν ἑαυτὸν τῶν ἐπιβουλευόντων διατηρῶν, ὡς ἂν μή τις κατ' αὐτοῦ νεανικὸν τολμήσειε,

5 χρόνους ὀκτὼ καὶ μῆνας ἐννέα C 11 περιέχων C 12 οὐ προπεσεῖται C

ac valide tenetur, alter ei caput amputat. has suae improbitatis poenas luit Euphemius.

Agareni porro non Siciliam ex eo tantum, sed et Calabriam et plerasque Italiae partes occupaverunt, omnia incursionibus ac populationibus infestantes. Michaelus vero cum imperium annos 9 menses 8 gessisset, ex dysenteria mortuus est, cum sua in deum impietate, inque rebus gerendis perversitate Romano imperio tot tantaque intulisset mala, quae commemoravimus. defecit sub eo etiam tota Dalmatia. et ferebatur de eo antiquum oraculum in hanc sententiam:

hoc initium malorum telluri accidet,
rerum potietur cum Babylonius draco,
linguae impeditae et auri cupientissimus.

cadaver eius repositum est in magno Iustiniani sacello, ad fanum apostolorum, in cista viridi Thessalica.

Huic mortuo filius eius Theophilus iam virili aetate successit, mense Octobri, indictionis 8. is prae se ferebat iustitiae ferventissimum studium et legum civilium accuratam custodiam, cum re ipsa illa simularet, ut ab insidiis se tutum praestaret, neque ulli contra se aliquid moliendi

ταῦτα ὑπεκρίνετο. εὐθὺς οὖν ἐκ προοιμίων τοὺς τῷ πατρὶ αὐτοῦ
C συναραμένους εἰς τὸν τοῦ Λέοντος θάνατον ἔγνω πάντας ὀλέθρῳ
δοῦναι καὶ ἀπωλείᾳ. ὅθεν ἐξέθετο δόγμα τοὺς τῶν βασιλικῶν
ἅπαντας ἀπολαύοντας φιλοτιμιῶν, προσέτι δὲ καὶ βασιλικῆς τιμῆς
μετασχόντας τῆς οἱασοῦν, κατὰ τὴν Μαγναύραν ἤτοι τὸ Πεντα-
πύργιον συναθροισθῆναι. ὡς δὲ τοῦτο ἐγένετο καὶ πάντες ἠθροί-
σθησαν ὡς ἐκέλευσεν, ὡς ἐν σκότῳ τέως τὴν τῆς ψυχῆς κρύψας
θηριωδίαν, πραείᾳ καὶ ἠρεμαίᾳ φωνῇ ἔφη πρὸς τοὺς συνειλεγμέ-
νους "ἐβούλετο μὲν καὶ δι' ἐπιθυμίας εἶχε, ὦ λαὸς καὶ κλῆρος
ἐμός, ὁ ἐμὸς μακαρίτης πατὴρ τοὺς ἀντιλαβομένους καὶ τῆς βα-
D σιλείας ὑπερμαχήσαντας πολλῶν μὲν τιμῶν πολλῶν δὲ τούτους
ἀγαθῶν καὶ ἑτέρων καταξιῶσαι γερῶν, καταχθεὶς δ' ὑπὸ τοῦ
χρεὼν ἐμὲ τὸν τῆς βασιλείας διάδοχον, ἵνα μὴ ἀχάριστος δόξῃ
τοῖς εὐεργέταις, ὀφειλέτην κατέλιπε. διὸ ἕκαστος χωρισθεὶς τοῦ
πλήθους δεικνύτω ἑαυτὸν ἡμῖν ἐμφανῆ, ἵνα γνόντες τοὺς φίλους
ἀξίως ὑμᾶς ἀμειψώμεθα." τούτοις τοῖς λόγοις παρακλαπέντες
οἱ δείλαιοι καὶ συλαγωγηθέντες τὸν νοῦν, ἕκαστος τῶν ὅσοι τῷ
φόνῳ συνήργησαν τοῦ Λέοντος ἑαυτὸν παρεγύμνου. εὐθὺς οὖν
ὁ Θεόφιλος, ἐντὸς σαγήνης ἔχων τὴν θήραν, ἐγκελεύεται τῷ
ἐπάρχῳ τοῖς πολιτικοῖς χρήσασθαι νόμοις, οὕτως εἰπὼν "ἄγε δή,
ὦ ἔπαρχε, ἐκ θεοῦ καὶ τῆς ἡμῶν γαληνότητος τὸ κρίνειν λαβών,
τούτοις ἀξίας τῶν ἔργων ἀπόδος τὰς ἀμοιβάς, οὐχ ὅτι τὰς χεῖρας
ἐμίαναν αἵματι ἀνθρωπίνῳ, ἀλλ' ὅτι καὶ χριστὸν κυρίου ἀνεῖλον
P 514 ἔνδον θυσιαστηρίου." ταῦτα φθεγξάμενος διέλυσε τὸν θαυμα-

4 δωρεῶν C   8 ἔφησε C

ansam praeberet. principio imperii sui omnes, a quibus pater ipsius in Leone interficiendo imperioque occupando fuerat adiutus, perdere statuens, edicto proposito universos qui ab imperatore honores aut beneficia haberent cuiuscunque modi, ad Magnauram, quod et a quinque turribus Pentapyrgium dicitur, convenire iussit. qui cum ad dictum locum frequentes confluxissent, dissimulata animi saevitia, leni ac placida voce "voluit" inquit "pater meus beatae memoriae eos qui auxilium ipsi tulerant ac pro imperio propugnaverant, magnis honoribus atque donis remunerari: sed morte praeventus, ne ingratus erga bene meritos videretur, me successorem suum eius debiti solutorem reliquit. proinde amici paterni, accedentes ex multitudine, nobis sese ostendant, ut eis dignam mercedem rependamus." hac oratione decepti miseri, quotquot Leonis caedem adiuverant, se ipsos indicaverunt. at Theophilus praeda intra casses inclusa urbis praefectum civiles exsequi leges iussit, "iam nunc" inquiens, "praefecte, iudicandi potestatem deo et me tibi mandantibus, dignam his mercedem factorum persolve; qui non tantum humano sanguine manus contaminarunt, sed et unctum dei intra sacrarium interfecerunt." atque haec fatus primam istam admirabilem

στὸν ἐκεῖνον καὶ πρῶτον σύλλογον, οἱ δ' ἄθλιοι ἐκεῖνοι συλληφθέντες παρὰ τοῦ ἐπάρχου ποιναῖς καθυπεβλήθησαν ἀνδροφόνων. ὁ δὲ Θεόφιλος καὶ τὴν αὐτοῦ μητρυιὰν ἀπελάσας τῶν βασιλείων εἰς τὸ μοναστήριον ἠνάγκασεν ἀπελθεῖν, ἐν ᾧ τὸ πρῶτον τὴν κοσμικὴν ἀπέθετο τρίχα, μηδὲν ὠφελησάντων τῶν ὅρκων οὓς ἡ σύγκλητος πρὸς τὸν Μιχαὴλ ἐποιήσατο.

Καὶ ταῦτα μὲν ἐν προοιμίῳ τῷ Θεοφίλῳ, τὰ δ' ἑξῆς οὐκ ἐπαίνων ἀνάξια· ἀντιποιούμενος γὰρ τῆς δικαιοσύνης ἅπασιν ἦν τοῖς πονηροῖς φοβερὸς τοῖς δὲ ἀγαθοῖς θαυμαστός, τοῖς μὲν ὅτι μισοπόνηρός τε καὶ δίκαιος ἐδόκει, τοῖς δ' ὅτι ἐμβριθής τε καὶ B αὐστηρός. οὐκ ἦν δὲ πάντως αὐτὸν πάντων τῶν κακῶν καθαρεύειν. εἴχετο μὲν γὰρ τῆς ἐπὶ θεὸν πίστεως, εἴχετο δὲ πλέον τῆς πατροπαραδότου μιαρᾶς τῶν εἰκονομάχων αἱρέσεως, καὶ τὸν εὐσεβῆ καὶ πανάγιον ἐκάκου λαόν, παρὰ πάντα τὸν τῆς βασιλείας αὐτοῦ χρόνον ἠρεμῆσαί μὴ συγχωρήσας. ὅθεν οὐδ' ἐν πολέμοις εὐτύχησέ ποτε, ἀεὶ δὲ ἥττητο καὶ οὐ κατὰ βασιλέα ὑπέστρεφεν. ἐχόμενος δ' οὖν τῆς δικαιοσύνης καὶ τῆς πρὸς Χριστὸν καὶ τὴν αὐτοῦ μητέρα, ὡς ᾤετο, πίστεως καὶ προθυμίας, ἀπῄει ἑκάστης ἑβδομάδος ἔφιππος διὰ τῆς λεωφόρου ἐπὶ τὸν ἐν Βλαχέρναις τῆς θεομήτορος θεῖον ναόν, ὑπὸ τῶν δορυφόρων παραπεμπόμενος. ἀπῄει δὲ πᾶσι μέν, προηγουμένως δὲ τοῖς ἀδικουμένοις διδοὺς C ἑαυτόν, ὡς ἂν ἔχοιεν τὰ αὐτῶν ἐκτραγῳδεῖν ἀδικήματα καὶ μὴ παρά τινων κωλύοιντο ἀδίκων ὑφορωμένων τὴν ἐξ αὐτοῦ τιμωρίαν,

8 ἄξια P 20 θεομήτερος P 21 δοὺς P

concionem dimisit. miseri vero illi a praefecto arrepti homicidarum more suppliciis sunt affecti. novercam quoque suam Theophilus aula pulsam in monasterium redire coegit, in quo primum religioni devota comam detonderat. nihilque huic profuit iuramentum, quo senatum Michaelus obligaverat.

Haec Theophili principia. quae secuta sunt laudem non merentur. sane iustitiam colens omnibus malis metui bonisque admirationi erat, his, quod eum bonum ac malis infestum, illis, quod gravem austerumque iudicarent. sed non potuit omnibus carere vitiis. nam tametsi veram amplecteretur religionem, magis tamen a patre ad se devolutae impurae imaginiperdarum haeresi deditus erat, piosque omni sui imperii tempore exercuit maleficiis, nullam iis quietem permittens. itaque et in bello nunquam vicit, sed semper succubuit ac domum non convenienter imperatoriae dignitati rediit. iustitiam ergo colens et, ut putabat, erga Christum eiusque matrem pietatem, singulis septimanis per viam publicam satellitibus stipatus ad Blachernense deiparae fanum equitabat; interque equitandum omnibus maxime iniuriis affectis vacabat, ut ii suas querelas proponere possent, neque ab sontibus et poenam metuentibus impedirentur. simul et per forum equitans res venales

εἶθ' ἵνα καὶ κατὰ τὴν ἀγορὰν διερχόμενος θεατὴς γένοιτο τῶν ὠνίων. ἠρώτα οὖν περὶ ἑκάστου τῶν πιπρασκομένων, πόσου πωλεῖται, γινόμενος κατὰ τὴν ἀγοράν. ἠρώτα δὲ οὐ παρέργως, οὐδ' ἐν ἑνὶ εἴδει, ἀλλ' ἐπί τε τοῖς βρωτοῖς καὶ τοῖς ποτοῖς καὶ τοῖς εἰς θάλψιν ἐπιτηδείοις ἀμφιάσμασι καὶ πᾶσιν ἁπλῶς τοῖς κατὰ τὴν ἀγορὰν προκειμένοις. καὶ διὰ πάντων πολλὴν ἐπεδείκνυτο σπουδὴν καὶ ἐπιμέλειαν πρὸς τὰ κοινά, νῦν μὲν ἐν κριτη- D ρίοις, νῦν δέ, ὡς εἴρηται, κατὰ τὰς προόδους τῆς ἑβδομάδος. καί ποτε δὲ καὶ ψυχαγωγίας χάριν προκύπτων ἀπὸ τῶν πρὸς θάλασσαν τοῦ παλατίου τειχῶν ἐθεάσατο ναῦν τινὰ μυριοφόρον ἐξ οὐρίας πλέουσαν ἀναπεπταμένοις δὴ τοῖς ἱστίοις, μεγέθει τε ἀνυπέρβλητον καὶ ἀπαράμιλλον κάλλει· ἣν θεασάμενος εἰς θάμβος ἐνέπιπτεν. ἠρώτα δ' ὅμως τίνος τε ἡ ὁλκὰς εἴη καὶ ὅ τι φέρει τῶν ἀγωγίμων. ὡς δὲ τῆς Αὐγούστης εἶναι ἐμάνθανε, τότε μὲν ἐφησύχασε καὶ παρέπεμψε τὸν καιρὸν ἄχρι καὶ ἧς εἴωθεν ἡμέρας ἀπιέναι πρὸς τὸν ἐν Βλαχέρναις θεῖον ναόν. ὡς δ' ἤδη παρῆν ἡ κυρία καὶ ὁ τοῦ πλοίου ὅρμος δῆλος ἐγεγόνει τῷ βασιλεῖ πυθομένῳ παρά τινος, τῆς εἰς αὐτὸ φερούσης ὁδοῦ εἴχετο, καὶ πλησιάσας ἔστη παρὰ τὴν πρύμναν, καὶ τοὺς παρόντας ἠρώτα πολλάκις ὅτου τις ἔχει χρείαν τῶν ἀγωγίμων, σίτου τυχὸν ἢ οἴνου P 515 ἢ ἄλλου τινὸς εἴδους. ὡς δὲ πολλάκις ἐρωτηθέντες ἅπαξ ἀπεκρίθησαν καὶ μόλις μηδενὸς λείπεσθαι τοὺς ὑπὸ τῆς σῆς προμηθουμένους δεσποτείας καὶ βασιλείας, "ἀλλ' οὐκ ἴστε δὴ" ἔφη ὁ βασιλεὺς "ὅτι με ὑπὸ θεοῦ βασιλέα γεγενημένον ἡ Αὐγοῦστά μου

4 βρωτοῖς εἴδεσι καὶ C   5 θ. καὶ ἀμφίασιν ἐπιτηδείοις C   18 πυθόμενος P   τῆς αὐτὸν φερούσης εἴχετο P   24 ὑπὸ τοῦ θ. C

inspiciebat, ac de pretio interrogabat, neque obiter hoc, aut una tantum aliqua re, sed de iis quae esui sunt ac potui, de vestibus fovendo corpori aptis, et in universum omnibus quae in foro prostabant mercibus. omnibus autem in rebus magnam in curanda re publica diligentiam ostendit, non in his in publicum modo septimanatim progressibus, sed etiam in iudiciis. aliquando animi causa prospiciens de muro palatii qui est versus mare, navim onerariam vidit plenis velis ac secundo vento appellere, mole ac magnitudine parem nullam sibi habentem. eam cum admiratione contemplatus, cuiusnam esset et quid rerum adveheret interrogavit. cum eam Augustae esse didicisset, acquievit in praesentia, et diem exspectavit quo ad Blachernensem aedem iturus erat. cumque ea appetiisset, deduci se ad navis eius stationem iussit, puppique adsistens eos qui aderant aliquoties percontatus est, cibone aliquis ipsorum aut vino aut ulla alia re destitueretur. cum saepe interrogati vix tandem responderent, ita sibi imperatoris solertia prospectum esse ut nullius rei sentiant penuriam, "nescitis vero" ait, "quod me divinitus

καὶ σύμβιος ναύκληρον ἀπειργάσατο;" προσέθετο δὲ μετὰ πικρίας
καὶ τοῦτο "τίς ποτε βασιλὶς Ῥωμαίων ἢ τὴν αὐτοῦ γαμετὴν ἔμπο-
ρον ἐθεάσατο;" ταῦτα δὲ εἰπὼν ἐκέλευσεν αὐθωρὸν μόνους ἐξελ-
θεῖν τοὺς ἀνθρώπους, τὴν δὲ ναῦν ἐκείνην παραδοῦναι πυρὶ αὐ-
τοῖς ἱστίοις καὶ τοῖς ἄλλοις ἅπασιν ἀγωγίμοις. περιέβαλε δὲ καὶ
τὴν δέσποιναν ὕβρεσι, καὶ τῆς ζωῆς ἐξαγαγεῖν ἠπείλησεν εἰ φωρα-
θείη ἔκτοτε τοιοῦτόν τι ποιοῦσα.

Ὥρμητο δ' ἡ βασιλὶς Θεοδώρα ἐκ τῆς χώρας τῶν Παφλα- B
γόνων, γεννήτορας αὐχοῦσα Μαρῖνον οὐκ ἄσημον ἄνδρα καὶ μη-
τέρα Θεοκτίστην τὴν οὕτω Φλωρῖναν κατονομαζομένην, ἀμφο-
τέρους εὐσεβείᾳ ἐντεθραμμένους καὶ τὴν τῶν σεπτῶν εἰκόνων
προσκύνησιν οὐκ ἐξαρνουμένους ὡς οἱ κατ' ἐκεῖνο πάντες καιροῦ,
ἀσπαζομένους δὲ καὶ ἐνστερνιζομένους ὑπερφυῶς. διαδήματι δὲ
τῆς Θεοδώρας καταστεφθείσης καὶ ἡ ταύτης μήτηρ Θεοκτίστη
ζωστή τε καὶ πατρικία τετίμητο. αὕτη δ' οὖν ἡ Θεοκτίστη κατὰ
τὸν ἑαυτῆς οἶκον ἔγγιστα διακείμενον τῶν Γαστρίων, τὰς τῆς
Θεοδώρας μετακαλουμένη παῖδας (πέντε δὲ ἦσαν τὸν ἀριθμόν,
ἥ τε Θέκλα Ἄννα Ἀναστασία Πουλχερία τε καὶ Μαρία) ἄλλαις τε
δωρεαῖς αἷς ὑποσύρεσθαι τὸ θῆλυ πέφυκεν ἐδεξιοῦτο, καὶ ἰδίᾳ C
παραλαμβάνουσα μὴ μαλακίζεσθαι μηδὲ μένειν θηλείας, ὅπερ
ἦσαν, ἐξελιπάρει, ἀνδρίζεσθαι δὲ καὶ τῆς μητρῴας θηλῆς ἄξια
διανοεῖσθαι καὶ πρέποντα, τὴν πατρῴαν μὲν αἵρεσιν μυσαττομέ-
νας, κατασπαζομένας δὲ τὰς τῶν ἁγίων εἰκόνων μορφάς. καὶ

1 εἰργάσατο P   5 δὲ om C   15 τε om C   17 καλουμένη P

imperatorem factum uxor mea et Augusta naucleram reddidit?" addiditque indignanter "fuitne ulla unquam Augusta, quae maritum suum mercatorem viderit?" haec fatus confestim homines nave egredi iussit, nulla re exportata, navemque comburi ipsis cum velis et omnibus mercibus. acriter autem Augustam obiurgavit, minatus ei exitium, si porro aliquid tale fecisset.

Nomen Augustae fuit Theodora, patria Paphlagonia: parentes Marinus vir non ignobilis, et Theoctista cognomento Florina, pie uterque educatus, neque divinarum imaginum venerationem diffitens, sed ardentissimo eam colens studio. coronata Theodora, mater quoque eius Theoctista zostae et patriciae dignitate ornata est. ea domum habuit proximam Gastriis. et filias Theodorae ad se crebro invitans (quinque erant numero, Thecla Anna Anastasia Pulcheria et Maria) ac variis muneribus, quibus demulceri is sexus solet, blandiens, seorsim exhortata est ut supra suum sexum saperent, animosque viriles et materna fortuna dignos sumerent, abominataeque patris haeresin sacras amplecterentur imagines. simul et ex cista quadam depromptas eas in manus

ἅμα ταύτας εἰς χεῖρας ἐμβάλλουσα (ἐφύλαττε δὲ ἔν τινι κιβωτίῳ) τῷ τε προσώπῳ καὶ τοῖς χείλεσιν αὐτῶν ἐπιτιθεμένη ἡγίαζε, καὶ πρὸς τὸ ἐκείνων ἀνηρέθιζε φίλτρον. τοῦτο οὖν ἐνδελεχῶς ποιοῦσα, καὶ ταῖς ἐγγόνοις τὸν περὶ τὰς θείας εἰκόνας πόθον ἀνάπτουσα
D οὐκ ἔλαθε τὸν Θεόφιλον πυνθανόμενον ὅ τι τε αὐταῖς παρὰ τῆς μάμμης δεδώρηται καὶ ὅ τι χάριτος ἐξείργασται ἄξιον. αἱ μὲν οὖν ἄλλαι τὰς τούτου πεύσεις, σταθηρὸν ἔχουσαι φρόνημα, ὥσπερ τινὰς λαβὰς ἐρρωμένως παρέτρεχον· ἡ δὲ Πουλχερία κατὰ τὴν ἡλικίαν νηπιάζουσα τάς τε φιλοφροσύνας κατέλεγε καὶ τὸ πλῆθος τῶν ὀπωρῶν, προσετίθει δὲ καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν, οὕτω δὲ ἁπαλὰ φρονοῦσα καὶ λέγουσα, ὡς νινία πολλὰ εἴη αὐτῇ κατὰ τὸ κιβώτιον, καὶ ταῦτα τῇ κεφαλῇ καὶ τοῖς προσώποις ἡμῶν ἐπιτίθησι μετὰ τὰ φιλήματα. ταῦτα τὸν βασιλέα εἰς μανίαν διήγειρε, πρᾶξαι δέ τι τῶν δραστικωτέρων εἰς αὐτὴν ἐκωλύετο, τῇ τε πρὸς τὴν γυναῖκα αἰδοῖ καὶ εὐλαβείᾳ καὶ πλέον ᾗ ἐκέχρητο παρρησίᾳ εἰργόμενος (καὶ γὰρ ἦν ἀριδήλως ἐπισκώπτουσα τοῦτον καὶ διελέγχουσα ἐπί τε τοῖς καθ᾽ ἡμέραν τῶν
P 516 ὁμολογητῶν διωγμοῖς καὶ τῇ δηλωθείσῃ αἱρέσει, καὶ μόνη μικροῦ φανερὰν ποιοῦσα τὴν πρὸς αὐτὸν τῶν ἁπάντων ἀπέχθειαν), ἐκώλυε δὲ μόνον τὴν πρὸς τὴν Θεοκτίστην τῶν θυγατέρων αὐτοῦ ἄφιξιν.

Τούτοις παραπλήσια συμβέβηκε καὶ τῇ βασιλίδι Θεοδώρᾳ. ἐτρέφετο παρὰ τοῖς βασιλείοις ἀνδράριον παρακεκομμένον καὶ τῷ

7 ἔχουσαι τὸ τούτων φρ. C 16 ἐχρῆν P 19 αὐτὴν ἁπάντων P 20 ἐκώλυσε P

puellis dedit, facieique et labiis admovit, ut earum amorem excitaret. hoc cum illa identidem ageret, ut desiderium cultus venerabilium imaginum in neptibus accenderet, non fefellit Theophilum. nam is aliquando cum filias interrogaret quidnam ab avia donorum accepissent, aut quid scitum egissent, reliquis interrogationem eius veluti ansam constanter declinantibus, Pulcheria tenellae aetatis simplicitate ducta, quam blande tractatae essent ac quam variis fructibus donatae exponens, imaginum quoque adorationem prodidit, aviae in cista multas esse puppas dicens, quas ipsarum capitibus et vultibus ea post oscula applicuerit. ob haec furore percitus imperator durius tamen in socrum statuere nihil ausus est, reverentia uxoris et multo magis ipsius Theoctistae libertate impeditus (nam generum ea palam insectabatur, reprehendebatque propter quotidianas confessorum vexationes haeresimque, et ferre sola universorum in eum odia patefaciebat): tantum filiabus aviae aditu in posterum interdixit.

Similis casus Augustae obtigit. alebatur in aula homuncio fatuus et Homerici Thersitae persimilis, Denderis nomine, impeditae linguae,

Ὁμηρικῷ Θερσίτῃ παρόμοιον, Δένδερις ὄνομα τούτῳ, ἄσημά τε φθεγγόμενον καὶ γέλωτα κινοῦν καὶ θυμηδίας ἕνεκεν τοῖς βασιλείοις ἐνδιαιτώμενον. τοῦτο γοῦν εἰσπηδῆσάν ποτε κατὰ τὸν τῆς Αὐγούστης κοιτωνίσκον θείας εἰκόνας κατέλαβεν αὐτὴν περιπτυσσομένην. ταύτας ἰδὼν οὗτος ὁ παραπαίων τί τε εἰσὶν ἐπυνθάνετο, καὶ πλησιέστερον ἐλθὼν κατεμάνθανεν. ἡ δὲ βασιλὶς "τὰ B
καλά μου" ἔφησεν ἀγροικικῶς "νινία, καὶ ἀγαπῶ ταῦτα πολλά." εἱστιᾶτο τηνικαῦτα ὁ βασιλεύς, καὶ δὴ πρὸς αὐτὸν διαβάντα τὸν αἰσχρὸν τοῦτον Δένδεριν ἤρετο ὅποι ποτὲ ἐτύγχανεν ὤν· ὁ δὲ παρὰ τὴν μάνναν ἔφησεν εἶναι, τὴν δέσποιναν οὕτω καλῶν Θεοδώραν, καὶ θεάσασθαι αὐτὴν καλὰ νινία τοῦ προσκεφαλαίου ἐξαίρουσαν. συνῆκεν οὖν ὁ βασιλεύς, καὶ πλήρης ὀργῆς γενόμενος ἐξανίστη τε τῆς τραπέζης καὶ πρὸς αὐτὴν ἀπῆλθεν εὐθύς, ἄλλαις τε πολλαῖς ὕβρεσι πλύνων καὶ εἰδωλολάτριν ἀκολάστῳ γλώσσῃ ἀποκαλῶν· καὶ ἅμα διεξῄει τοὺς λόγους τοῦ μυσαροῦ. ἡ δὲ τέως μὲν τὸν θυμὸν καταστορεννῦσα τοῦ βασιλέως "κακῶς ὑπείληφας" C
ἔλεγεν "ὦ βασιλεῦ· οὐχ ὡς ὑπωπτεύσας ἔχει καὶ ἡ ἀλήθεια. τῷ δὲ κατόπτρῳ μου ἤμην ἐνατενίζουσα μετὰ τῶν θεραπαινίδων, καὶ τὰς τικτομένας ἰδὼν ὁ Δένδερις ἐκ τούτου μορφὰς ἐλθὼν ἀπήγγειλεν ἀφρόνως τὰ μηνυθέντα." καὶ τὸν μὲν τοῦ βασιλέως θυμὸν τοῖσδε κατεπράϋνε τοῖς λόγοις, τὸν Δένδεριν δὲ παιδείᾳ καθυπέβαλε πρεπούσῃ, πείσασα μή ποτε λέγειν περὶ τῶν νινίων τινί. διὸ τῆς δεσποίνης κατεπαιρόμενός ποτε ὁ Θεόφιλος ἠρώτα τὸν Δένδεριν εἰ πάλιν ἄρα τὰ καλὰ νινία ἡ μάννα ἠσπάζετο· ὁ δὲ

6 πλησιώτερον C 9 νεανίσκον C 14 ἀκολάστῳ γλώσσῃ om C

risus excitator, ac in regiam ioci causa adhibitus. is aliquando subito in cubiculum Augustae intrans deprehendit eam sacras amplectentem imagines, easque videns quidnam rei esset quaesivit, propiusque accedens percepit. Augusta subrustice respondit suas pulchras puppas esse, valde sibi amatas. erat tum in convivio imperator, et turpem istum Denderim ad se inde venientem interrogabat ubi fuisset. respondit is apud manam (sic appellabat Augustam) se fuisse, vidisseque eam ex pulvinari pulchras puppas depromentem. intellecta re imperator irae plenus de mensa surrexit, statimque uxorem adiit, multisque ingestis conviciis eam imaginicolam effraeni lingua nominavit, simul Denderidis indicium exponens. sed Theodora ut mariti iram sedaret in praesentia, falso id eum suspicatum esse dixit, et rem secus habere quam ipse putasset: se cum ancillis in speculo sese contuitam, ac Denderin imagines in eo conspicatum stulte indicium de visis puppis attulisse. his illis verbis cum demitigasset virum, Denderin dignis modis castigavit, docuitque in posterum nihil de puppis loqui. ideoque aliquando imperatrice accedente, Theophilus eum cum interrogaret anne domina rursum

τοῖς χείλεσιν ἐπιθεὶς τὴν δεξιὰν "σίγα σίγα περὶ τῶν νινίων"
D ἀντέφησεν, "ὦ βασιλεῦ." καὶ ταῦτα μὲν συνεχύρησεν ὧδε.

Στρατιώτου δέ τινος χεῖρά τε νεανικὴν καὶ ἵππον ἔχοντος
δεξιόν, ὁ στρατηγὸς ὑφ' ὃν οὗτος ἐτέλει, ἔρωτι κατασχεθεὶς τοῦ
ἵππου ὑφ' οὗ πολλάκις ὁ ἄνθρωπος ἐκ πολέμου ἐρρύσθη, ἐζήτει
τοῦτον, καθυπισχνούμενος δώσειν πολλά. ἀπαναινομένου δὲ
ἐκείνου καὶ βίαν προσῆγε. μηδ' οὕτω δὲ πείθων ἀποδοθῆναί οἱ
τὸν ἵππον, ἀνανδρίας ἔγκλημα προσάψας εἰς βασιλέα μετεκίνησε
τοῦτον ἧς μετῄει στρατείας. ἐγένετο ζήτησις παρὰ Θεοφίλου
περὶ ἵππου ἀκροφυοῦς, καὶ διατάγματα ἐπέμποντο πανταχοῦ
τοιόνδε ἵππον εὑρεθῆναι καὶ πεμφθῆναι αὐτῷ. τοῦτο δραξάμε-
νος ἀφορμῆς ὁ στρατηγὸς ἀφαιρεῖται καὶ ἄκοντι τὸν τοῦ ἀνδρὸς
P 517 ἵππον, καὶ πρὸς βασιλέα ὡς οἰκεῖον ἐκπέμπει κτῆμα. χρείας δὲ
γενομένης ἐν πολέμῳ πλειόνων στρατιωτῶν, καὶ τοῦ βασιλέως κε-
λεύσαντος ἁπαξαπλῶς πάντα στρατεύεσθαι τὸν ὅπλα κινεῖν δυνά-
μενον, ἐστρατεύσατο καὶ ὁ ῥηθεὶς στρατιώτης, τροπῆς δὲ γενο-
μένης ἔπεσε μὴ ἔχων ἵππον τὸν σῶσαι δυνάμενον αὐτόν. ἔπεσε δὲ
γυναῖκα καταλελοιπὼς καὶ τέκνα· ἥτις τὸ φιλοδίκαιον τοῦ βασι-
λέως ἀκούσασα, ἐκκαιομένη δὲ καὶ τῷ τοῦ ἀνδρὸς φίλτρῳ, καὶ
τοῖς τέκνοις ἐπιχορηγεῖν ἀπονοῦσα τὰ ἀναγκαῖα, τὴν βασιλίδα
καταλαμβάνει. καὶ τὸν Θεόφιλον καθ' ἣν ἡμέραν εἴθιστο ἀπιέναι
πρὸς τὸν ἐν Βλαχέρναις θεῖον ναόν, ἔποχον τῷ τοῦ ἀνδρὸς αὐτῆς
B ἵππῳ κατιδοῦσα δρόμῳ πολλῷ τὸν χαλινὸν κατέχει τοῦ ἵππου,
οἰκεῖον εἶναι τοῦτον λέγουσα, καὶ μὴ ἄλλον τινὰ αἴτιον ἀλλ' αὐ-

17 ἵππον σῶσαι τοῦτον δυνάμενον C

pulchras suas puppas amplexaretur, Denderis manu dextra labiis imposita "tace" inquit, "o imperator, de puppis." haec ita gesta.

Porro miles quidam manu promptus equum habuit egregium, qui ipsum saepe ex praelio incolumem extulerat. huius equi amore captus dux sub quo is militabat, cum neque pollicitationibus neque minis impetraret, hominem timiditatis accusatum apud imperatorem exauctorat. cum autem Theophilus equum insigni virtute cuperet habere, et missis in omnes partes mandatis talem sibi quaeri atque afferri iuberet, eam nactus occasionem dux iste militi ei equum invito adimit et tanquam suum imperatori mittit. post cum necessitas bellica plures milites requireret, mandatoque imperatoris omnes qui arma ferre possent in exercitum allegerentur, ille etiam miles arma sumpsit, et in praelio fusis suis, quod equum a quo servari consueverat non haberet, occubuit, uxore et liberis relictis. vidua amissi mariti desiderio accensa, et quod necessaria pupillis suppeditare nequibat, iustitiae imperatoris fama instigante Cpolin venit, Theophilumque ad templum Blachernense equitantem de more conspicata mariti sui equo vehi, concitato cursu aggressa frenum equi apprehendit, suum hunc esse vociferans, et non

τὸν ὑπάρχειν τὸν βασιλέα τῆς τοῦ ἀνδρὸς αὐτῆς σφαγῆς. ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς τέως μὲν αὐτὴν προσμένειν διωρίσατο ἄχρι τῆς ἐπὶ τὰ ἀνάκτορα ἐπανόδου αὐτοῦ, ἤδη δὲ ἐπαναδραμὼν εὐθέως αὐτὴν παρεστήσατο, καὶ διεπυνθάνετο σαφέστερόν τι περὶ τῶν λεγομένων μαθεῖν. ἀναλαβοῦσα δὲ ἡ γυνὴ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀναδιδάσκει τὸν βασιλέα. παρεστήσατο γοῦν εὐθέως τὸν στρατηγόν, καὶ ζήτησιν ποιεῖται περὶ τοῦ ἵππου νεανικήν, τῆς γυναικὸς τέως προστάξει βασιλικῇ κρυπτομένης. ἐνισταμένου δὲ τοῦ στρατηγοῦ οἰκεῖον εἶναι τὸν ἵππον καὶ μὴ ἐξ ἁρπαγῆς κτη- C θέντα αὐτῷ, ἐξάγει παραχρῆμα τοῦ παραπετάσματος τὴν γυναῖκα, ἔλεγχον ἀψευδέστατον καὶ κατήγορον τῶν λεγομένων. ἣν ὁ στρατηγὸς θεασάμενος ἀπεπάγη καὶ ἐπὶ πολὺν χρόνον ἵστατο ἐνεός· μόλις δ' οὖν εἰς ἑαυτὸν γενόμενος τῶν ποδῶν ἅπτεται τοῦ βασιλέως μετὰ κλαυθμοῦ, καὶ ἱκέτης ἐλεεινὸς γίνεται, τὴν ἁμαρτάδα ἐξαγορεύσας. τί οὖν ὁ βασιλεύς; τὴν μὲν γυναῖκα μετὰ τῶν παίδων ἀδελφοὺς ἐξ ἴσου καὶ κληρονόμους τῆς ἐκείνου δείκνυσιν ὑποστάσεως, αὐτὸν δὲ τῆς ἀρχῆς παραλύει καὶ ὑπερορίᾳ διηνεκεῖ D δίδωσιν. οὕτω φιλαπεχθήμων ἦν πρὸς τὰς ἁρπαγὰς καὶ τοὺς ἐξ ἀδικίας πλουτεῖν ἐθέλοντας.

Ἐνέκειτο δὲ καὶ ταῖς οἰκοδομαῖς ὁ αὐτὸς βασιλεύς, καὶ τῶν τειχῶν τῆς πόλεως μεγίστην ἐνεδείξατο ἐπιμέλειαν, τὰ χθαμαλώτερα καταστρέψας καὶ ἀνυψώσας καὶ ἄβατα πεποιηκὼς τοῖς ἐχθροῖς· ἃ καὶ νῦν ἵστανται, τὴν ἐκείνου προσηγορίαν ἐν γράμμασιν ἔχοντα. οὐ μὴν ἀλλὰ καὶ πόρνας ἀπελάσας ἐξ οἰκημάτων

8 περὶ libri 21 ἐποιήσατο C 22 καταστρεψάμενος P
23 ἐγγεγραμμένην C

alium sed ipsum imperatorem caedi mariti sui causam praebuisse. perterritus imperator manere eam iubet dum in palatium ipse rediret; ac reversus statim ad se vocat, ac de re tota accuratius inquirit. quam cum ea a principio ad finem usque recitaret, illico etiam dux iste sistitur, et muliere iussu imperatoris occultata de equo acriter interrogatur; quem cum asseveraret suum fuisse neque raptu paratum, producitur extra velum mulier, reum de vi peractura. qua is conspecta diriguit et aliquamdiu mutus adstitit; tandemque ad se reversus supplex pedibus imperatoris sese advolvit, lacrimans ac peccatum confitens. ergo imperator eius facultates viduae eiusque liberis quasi iure hereditario ex aequo addicit, ipsumque dignitate spoliatum exsilio perpetuo damnat. adeo infensus erat et iis qui iniuste opes parare intenderent.

Aedificiis quoque hic imperator operam dedit, murosque urbis summo studio refecit, humilioribus deiectis et exstructis altioribus, qui ab hostibus conscendi non possent; qui etiamnum stant, nomine eius inscripto. quin et meretrices quibusdam cellulis exturbavit, domumque

τινῶν, καὶ καθάρας ὅλον ἐκεῖνον τὸν χῶρον ξενῶνα πεποίηκε τὴν ἐκείνου προσηγορίαν φέροντα, κάλλει τε κάλλιστον καὶ μέγιστον κατεσκεύασεν, ὅπερ ἐστὶν ἄρτι γυναικεῖον μοναστήριον. οὕτως ἐκεῖνος εἶχε πρὸς τὴν πορνείαν. πλὴν ὅτι γέ φασιν αὐτὸν κάλλει ποτὲ θεραπαινίδος ἁλόντα, ὑπηρετούσης τῇ βασιλίδι, συμφθαρῆναι αὐτῇ, ῥᾳθύμως τότε βιοῦντα. ἐπεὶ δὲ ᾔσθετο ὠλισθηκώς, ἔγνω δὲ καὶ τὴν Θεοδώραν ὅλην γενομένην τοῦ πάθους καὶ κατη-
P 518 φιῶσαν, φασὶν ἐξειπεῖν ἐπομνύμενον καὶ τὰς χεῖρας αἴροντα πρὸς θεὸν ἢ μὴν τότε μόνον διολισθῆναι, καὶ συγγνώμην αἰτεῖν παρὰ τῆς ἑαυτοῦ γυναικός. κατεσκεύασε δὲ καὶ ἀνάκτορα ταῖς ἑαυτοῦ θυγατράσι παρὰ τὸν οὕτω καλούμενον χῶρον τὰ Καριανοῦ, ὧν καὶ ἐς ἡμᾶς τῷ χρόνῳ κατεργασθέντων λείψανα περισώζονται.

1 τὸν οἶκον ἐκεῖνον P 3 ὅπερ — μοναστήριον om C
12 post περισώζονται C: Βουλόμενος δὲ καὶ τοῖς Σαρακηνοῖς τὴν τῆς βασιλείας δύναμιν ποιήσασθαι κατάδηλον, εἴτε καὶ φοβερὸς αὐτοῖς βουλόμενος ἔσεσθαι, Ἰωάννην τὸν σύγκελλον διδάσκαλον αὐτοῦ πρὶν χρηματίσαντα, πολιτικῆς εὐταξίας ἄνδρα πεπληρωμένον καὶ τῇ αὐτοῦ αἱρέσει κατειλημμένον καὶ πρὸς τοὺς ἀντιρρητικοὺς λόγους δεινότατον, πρὸς τὸν τῆς Συρίας ἄρχοντα ἀποστέλλει, ἄλλα τε δοὺς αὐτῷ πολλὰ οἷς θαυμάζεται βασιλεὺς Ῥωμαίων καὶ τὸ τῶν ἀλλοεθνῶν γένος ἐκπλήσσεται, προσεπιδοὺς καὶ χρυσίου κεντηνάρια τεσσαράκοντα· ἀλλὰ τὰ μὲν ἄλλα τῶν εἰδῶν τῷ ἀμερμουμνῇ ὡς δῶρα πέπομφε, τὸ χρυσίον δὲ ὅπως εἴη αὐτῷ παροχή τις φιλοτιμίας χάριν ἐπιδείξεως· εἰ γὰρ ἄμμου δίκην ὁ ἀποσταλεὶς τὸ χρυσίον ἔχει σκεδάζειν ὡς βούλεται, πολλῷ δήπουθεν μᾶλλον ὁ ἀποστείλας θαυμάζεσθαι ἄξιος. δέδωκε δὲ καὶ σκεύη πρὸς τούτοις δύο ἐκ χρυσοῦ τε καὶ λίθων κατεσκευασμένα, ἅπερ ἡ κοινολεξία καλεῖ χερνιβόξεστα, πάντοθεν ἐξαίρων τὸν αὐτοῦ καὶ κοσμῶν πρεσβευτήν. ὃς δὴ ἀφικόμενος πρὸς τὴν Βαβυλῶνα, Βαγδὰ νῦν ὀνομαζομένην, πολὺς μὲν ἐφαίνετο ἐκ τῆς τοῦ λόγου εὐροίας, πολὺς δὲ καὶ ἐκ τοῦ ἔξωθεν αὐτῷ ἐπανθοῦντος πλούτου, οὐ μικρά τινα τοῖς ἀποστελλομένοις ὡς αὐτὸν καὶ φοιτῶσι διδούς· μεγάλα δὲ καὶ τῷ βασιλεῖ Ῥωμαίων προσήκατο, ἐθαυμάζετό τε παρὰ τῶν Σαρακηνῶν καὶ ἐπὶ μέγα ἐξῄρετο. ἀλλὰ ταῦτα μὲν ἐγίνετο τῶν βαρβαρικῶν ὁρίων ἐπιβάντος αὐτοῦ. ἐπεὶ δὲ πλησιάσοι καὶ τῷ ἄρχοντι καὶ τοὺς ἐκ βασιλέως δεδώκει λόγους, ἄπεισι πρὸς τὸ τῆς ἀναπαύσεως καταγώγιον. ἐνταῦθα τὸ οἰκεῖον διέδειξε μεγαλόφρον καὶ πρὸς ἅπαντα δεξιόν· ἐξαίρων γὰρ τὰ Ῥωμαίων πράγματα καὶ μεγαλύνων τοῖς ἐφ' οἱᾳδήποτε αἰτίᾳ πρὸς

eam totam expurgatam xenonem (hoc est aedes peregrinis excipiendis destinatas) fecit, a se denominatum, insigni amplitudine atque pulchritudine. nunc est monasterium muliebre. ex eo liquet quam fuerit scortationi inimicus. fertur sane semel dissolutius tum viventem, ancillae pulchritudine, quae erat imperatricis pedissequa, deceptum, cum ea rem habuisse: sed agnito mox delicto, cum videret ob id Theodoram in summo esse moerore, culpam confessum manibus ad deum sublatis iurasse, nonnisi hac vice lapsum se esse, veniamque eius ab uxore petiisse. palatia etiam filiabus suis condidit, ea regione quae Cariani dicitur; quorum tempore subrutorum nostra etiamnum aetate exstant reli-

ἔκτισε δὲ ὁ βασιλεὺς καὶ τὰ τοῦ Βρύαντος ἀνάκτορα, πρὸς τὴν τῶν Σαρακηνικῶν οἰκημάτων ὁμοίωσιν κατασκευάσας αὐτά.

Καὶ περὶ μὲν τὰ τοιαῦτα ἐδόκει τε καὶ ἐνομίζετο μεγαλοπρεπὴς ὁ Θεόφιλος καὶ θαυμαστός, περὶ δὲ τοὺς τὰς θείας καὶ ἀχράντους προσκυνοῦντας εἰκόνας λίαν βαρύς τις καὶ αὐστηρὸς καὶ πάντας τοὺς πρὸ αὐτοῦ τυράννους ὠμότητι παρελάσαι φιλο- B

αὐτὸν φοιτῶσι καὶ πεμπομένοις μεγάλη τε καὶ μικρᾷ σκεῦός τι ἀργύρεον χρυσίου πληρῶν ἐπεδίδου. καί ποτε δὲ τρὶς βαρβάροις συνεστιώμενος, τῶν εἰρημένων δύο πολυτελῶν ἐκείνων σκευῶν παρήγγειλε τοῖς διακόνοις ἀπολέσαι τὸ ἕτερον. ὡς δὲ θροῦς τις ἀγεννὴς ἐπὶ τῇ τούτου ἀπωλείᾳ ἐγένετο, καὶ πάντες οἱ βάρβαροι τῷ κάλλει τοῦ σκεύους ἐκπεπληγμένοι ἐτέτρωντο τὴν ψυχὴν καὶ πολλὴν ἐποιοῦντο ἔρευναν καὶ ζήτησιν ὥστε τὸ κλαπὲν εὑρεθῆναι, τηνικαῦτα οὗτος τὸ ἕτερον ἐμβαλεῖν κελεύσας, καὶ τὸ ἀπολωλὸς ἐᾶν φθείρεσθαι ἐπειπών, εἰς θάμβος ἤγαγε τοὺς Σαρακηνούς, τὴν τοιαύτην ζήτησιν ὁμαλὸν καταπαύσας. οὐ μὴν ἀλλὰ καὶ ὁ τῶν Ἀράβων ἄρχων ἀντιφιλοτιμούμενος καὶ τούτου δεύτερος ὀφθῆναι μὴ βουλόμενος ἄλλοις τε δώροις αὐτὸν ἐθεράπευεν, οἷς αὐτὸς οὐχ ἡλίσκετο, ἀλλ' ὡς χοῦν κατὰ πρόσωπον αὐτοῦ ἀπερρίπτει, ἐδωρήσατο δὲ καὶ αἰχμαλώτους ἑκατόν, ἄρτι τῆς φρουρᾶς τούτους ἐξαγαγὼν καὶ ἀμφιάσμασι εὐπρεπέσι κατακοσμήσας, τὰ πενθηρὰ τῆς αἰχμαλωσίας ῥάκη περιελών. ἀλλὰ καὶ οὕτως ὁ Ἰωάννης ἐπῄνει μὲν τὸ μεγαλόδωρον τοῦ διδόντος, ἐλάμβανε δὲ οὐδαμῶς, εἰπὼν ἐν ἀνέσει μένειν τέως καὶ ἐλευθερίᾳ παρ' ἑαυτοῖς τοὺς ἄνδρας, μέχρις ἂν πρέπουσαν τὴν ἀντισήκωσιν ἐξεργάσηται καὶ ἄλλους αἰχμαλώτους ἀντιδῷ Σαρακηνοὺς ἐν ταῖς Ῥωμαϊκαῖς κατεχομένους φρουραῖς ἰσαρίθμους αὐτοῖς. τούτοις ἐξέπληττε τὸν Σαρακηνὸν· καὶ οὐκέθ' ὡς ξένον ἀλλ' ὡς οἰκεῖον ἦγεν αὐτόν, συννεῶς μετακαλούμενος καὶ θησαυροὺς τοὺς οἰκείους ἐπιδεικνὺς καὶ τὰ τῶν οἰκημάτων κάλλη. καὶ ἐτίμα τοῦτον διαφερόντως ἄχρι τῆς ἐς Ῥωμαίους ἐπανόδου. 1 ἔκτισε — 2 κατασκευάσας αὐτά] ἐπανελθὼν οὖν πρὸς Θεόφιλον ὁ Ἰωάννης, καὶ τὰ κατὰ Συρίαν διεξιών, ἔπεισε τὸν βασιλέα τὰ τοῦ Βρύαντος ἀνάκτορα πρὸς τὴν τῶν Σαρακηνικῶν οἰκημάτων κατασκευασθῆναι ὁμοίωσιν, σχήματί τε καὶ ποικιλίᾳ μηδὲν ἐκείνων τὸ σύνολον ἀποδέοντα, ἐκείνου τούτοις ἐφισταμένου καὶ τῇ οἰκοδομῇ ἀρχιτεκτονοῦντος. ἔπεισε τὸν βασιλέα, καὶ τὰ ἔργα ἐπερατοῦτο κατὰ τὴν ἐκείνου ἐξήγησιν, ἑνὸς μόνου κατὰ προσθήκην ἐργασθέντος τοῦ ἀνεγερθέντος εἰς ὄνομα τῆς θεοτόκου ναοῦ κατ' αὐτὸν τὸν κοιτῶνα. ἐδομήθη δὲ κατὰ τὸ προαύλιον τῶν τοιούτων παλατίων τρίκογχος ναὸς κάλλει τε κάλλιστος καὶ μεγέθει πολλῶν διαφέρων, οὗ τὸ μὲν μέσον εἰς ὄνομα γέγονε τοῦ ἀρχιστρατήγου Μιχαήλ, τὸ δὲ κάτωθεν τούτου εἰς μαρτύρων γυναικῶν ἁγίων ὀνόματα C. 4 ὁ Θεόφιλος om C

quiae. Bryantis quoque palatium aedificavit, ad similitudinem Saracenicarum aedium.

Atque his quidem in rebus magnifici nomen admirationemque meruit Theophilus. sed in eos qui cultum divinis imaginibus praestarent, nimis durum se atque inhumanum praebuit, omnes qui ante ipsum fuere tyrannos crudelitate vincere contendens. nam Michaelus

νεικῶν. οἱ μὲν γὰρ προλαβόντες Λέων τε ἦσαν καὶ Κωνσταντῖνος
ὁ Κοπρώνυμος καὶ Μιχαὴλ ὁ τούτου πατὴρ ὁ τραυλός. ὁ μὲν
ἐθέσπισε μή τινι τῶν γεγραμμένων εἰκόνων, κἂν που γραφόμεναι
τύχοιεν, τὴν ἅγιος φωνὴν ἐγχαράττεσθαι, ὡς οὐκ ἄλλῳ τινὶ τῆς
τοιαύτης ἁρμοζούσης φωνῆς ἢ μόνῳ τῷ θείῳ, οὐκ εὐστόχῳ βα-
λὼν τῷ νῷ· τῆς γὰρ θεὸς φωνῆς τοῖς ἀνθρώποις μεταδιδοὺς ὁ
θεός, ὑψηλοτέρας οὔσης παρὰ τὸ ἅγιος πρόσρημα, ταπεινοτέρας
οὔσης τῆς ἅγιος κατὰ πολὺ οὐκ ἂν τούτους ἀποστερήσειε. πλὴν
C τοῦτο μὲν οὗτος ἐθέσπισεν, ὁ πρὸ αὐτοῦ δὲ Λέων καὶ ὁ υἱὸς αὐ-
τοῦ Κωνσταντῖνος τὸ μηδὲ προσκυνεῖσθαι ὅλως αὐτάς, Θεόφιλος
δὲ τὸ μηδὲ χρώμασι ταύτας μορφοῦσθαι· χαμαίζηλον γὰρ τὸ
πρὸς τὰ τοιαῦτα ἐπτοῆσθαι, μόνην δὲ σκοπεῖν τὴν ἀλήθειαν.
καθῃροῦντο μὲν οὖν ἐντεῦθεν κατὰ πᾶσαν τὴν ἐκκλησίαν αἱ θεῖαι
μορφαί, θηρία δὲ καὶ ὄρνιθες ἀντὶ τούτων ἀνεστηλοῦντο, τὴν
τούτου θηριώδη καὶ ἀνδραποδώδη ἄνοιαν ἐξελέγχοντα. ἐντεῦθεν
βεβήλοις χερσὶ τὰ ἅγια καὶ ἱερὰ κειμήλια ἐπὶ τῆς ἀγορᾶς ἐρρι-
πτοῦντο καὶ ἐφυβρίζοντο. ἐντεῦθεν τὰ τῶν κακούργων ἐπληροῦτο
D δεσμωτήρια τῶν διὰ τιμῆς ἀγόντων τὰς θείας μορφάς, μοναζόν-
των, ἐπισκόπων, ποιμαινομένων, καὶ τῶν γραφόντων αὐτάς.
πλήρη δὲ καὶ τὰ ὄρη καὶ τὰ σπήλαια τῶν ὡς κακούργων λιμῷ ἀναι-
ρεθέντων καὶ δίψει. ἀβάτους γὰρ τηρεῖσθαι τὰς πόλεις τοῖς μο-
ναχοῖς ἐγκελευσάμενος, καὶ πάντα τρόπον αὐτοὺς ἀπελαύνεσθαι
θεσπίσας, μᾶλλον δὲ μηδὲ κατὰ χώραν ὁρᾶσθαι τολμᾶν, εἰργά-

1 καὶ Κωνστ. ὁ Κ. om C   2 ὧν ὁ μὲν?   4 ἁγίαν C   9 καὶ ὁ — Κ. om C   11 γὰρ τὸ] γὰρ τῷ μηδὲ C   19 αὐτῶν C   23 ἐθέσπισε C

pater eius edixerat ne ulli pictae imagini, ubicumque ea esset, nomen sanctus imprimeretur, quod id nulli rei praeterquam soli deo congruere putabat, errore quidem opinionis. cum enim deus nomen deus, multo quam vox sanctus sit augustius, homini tamen tribuat, quomodo id quod multo vilius est denegaret? Leo autem et filius eius Copronymus omni earum adoratione prorsus interdixerant. Theophilus autem ne pingi quidem eas coloribus concessit, abiecti dicens animi esse talinm rerum admirationem, ipsamque solam spectandam esse veritatem. itaque divinae imagines omnibus in templis deiiciebantur, earumque loco bestiarum et avium simulacra figebantur, belluinam et servilem Theophili arguentia vaesaniam. ex eo sacrosancta donaria in foro impuris manibus iactabantur atque ignominiose tractabantur; ac sontibus debiti carceres iis implebantur, qui divinas imagines colebant, monachis, episcopis, subditis, earumque pictoribus; montes quoque et speluncae iis replebantur qui flagitiosorum loco fame ac siti necabantur. edixerat enim Theophilus ne monachis ullam urbem intrare liceret, iusseratque omni modo eos arceri, atque adeo non tutum erat iis conspici ea in regione.

σατο τὰ μοναστήρια καὶ ἡσυχαστήρια περιφανῆ πολυάνδρια, τῶν ἱερῶν ἀνδρῶν προδοῦναι τὴν ἀρετὴν καὶ τὸ ἱερὸν ἔνδυμα μὴ βουλομένων, λιμῷ δὲ καὶ κακουχίαις προαιρουμένων τὴν ζωὴν καταστρέψειν, ἐνίων δὲ περιβολῆς κατολιγωρούντων καὶ παρὰ τοῦτο ἀπολλυμένων. πολλοὶ δὲ καὶ τῶν ῥαθυμότερον διαζώντων τὸν ἄνετον καὶ ἐκλελυμένον ἠσπάσαντο βίον, ὕμνων θείων καὶ ᾠδῶν καὶ αὐτοῦ τοῦ σχήματος ἀφειδήσαντες· καὶ γὰρ οὐδὲ τούτους τε- P 519
λεῖσθαι τοὺς συλλόγους ὁ τύραννος συνεχώρησεν, οἳ πολλάκις καὶ μόνοι δύνανται τηρεῖν καὶ οἷον χαλινός τις εἶναι τοῖς πρὸς τὰ πάθη ἀλόγως κατολισθαίνουσι. πλὴν οὐ παντάπασι τῶν ἀνθρώπων οὐδὲ τότε τὸ παρρησιαστικόν τε καὶ ἐλευθέριον ἀπεφοίτησεν· ἀλλά τινες τῶν θερμοτέρων, πολλοὶ μὲν καὶ καθ' ἕκαστον, τινὲς δὲ καὶ κατασυστάδην, ὥσπερ οἱ τῆς τῶν Ἀβραμιτῶν ὁρμώμενοι μονῆς μοναχοί, μετὰ παρρησίας ὀφθέντες αὐτῷ λογικῶς ἔκ τε τῶν τοῖς ἁγίοις πατράσιν ἡμῶν εἰρημένων, Διονυσίῳ τῷ μεγάλῳ, Ἱεροθέῳ καὶ Εἰρηναίῳ, ἀπεδείκνυσαν ὡς οὐ χθὲς καὶ πρῴην ἡ B
τῶν μοναχῶν πολιτεία τε ἐφεύρηται καὶ κατάστασις, παλαιὰ δέ τις καὶ ἀρχέγονος. οὐ μὴν δὲ ἀλλὰ καὶ τὰ τῶν θείων εἰκόνων μορφώματα ἀπεδείκνυον σύντροφά τε τοῖς ἀποστόλοις καὶ ὁμοδίαιτα, εἴγε Λουκᾶς μὲν ὁ θεῖος ἀπόστολος τὴν τῆς θεοτόκου μορφὴν ἀνετύπωσεν, αὐτὸς δὲ Χριστὸς ὁ δεσπότης ἡμῶν καὶ θεὸς τὴν ἑαυτοῦ ἐπί τινος ὀθόνης ἀπομαξάμενος ἀχειρότευκτον ἡμῖν καταλέλοιπεν. οὗτοι γοῦν οἱ θειότατοι ἄνδρες τὴν τοῦ τυράννου ἄνοιαν

1 δὲ τὰ C   περιφανῆ πολυάνδρια] πολύανδρα καὶ κοσμικὰ καταγώγια P   8 πολλάκις om P   23 ἔννοιαν C

quin et monasteria atque otii sacri causa conditas aedes profanis hominibus frequentabat. interim pii homines, qui prodere virtutem sacrumque vestitum nollent, fame ac cruciatibus mori malebant. nonnulli neglecto habitu peribant: multi etiam, quibus minus erat virtutis studium, hymnis ac cantionibus sacris ipsoque etiam vestitu dimissis, liberae ac solutae vitae sese dederunt. nam hos quoque coetus imperator dissipavit, qui soli ad refraenandas cupiditates hominum faciebant. neque tamen eo tempore prorsus dicendi libertas ex hominibus sublata fuit, sed quidam animo calidiores, vel singuli vel etiam facto agmine, principem reprehenderunt. horum praecipui fuere Abramitae monachi, qui libere in conspectum eius progressi ex sanctorum patrum dictis, magni videlicet Dionysii Hierothei et Irenaei, demonstrarunt non nuper vivendi rationem institutionemque monasticam exstitisse, sed perantiquam esse: sed et sacras imagines ipsis fuisse apostolis familiares, quando et Lucas divinus apostolus deiparae formam depinxerit, et Christus dominus deusque noster linteo impressam sui effigiem nullo manus ministerio elaboratam nobis reliquerit. hoc modo divinissimi isti viri cum tyranni

ἐξελέγξαντες καὶ τὴν θηριωδίαν τῷ σφόδρα παρρησιασθῆναι ἐκκαλεσάμενοι μετὰ πολλὰς αἰκίας τε καὶ βασάνους τῆς πόλεως ἐξωρί-
C σθησαν, τὸν δὲ τοῦ προδρόμου ναὸν τὸν οὕτω καλούμενον τοῦ φοβεροῦ κἀν τῷ Εὐξείνῳ διακείμενον πόντῳ καταλαβόντες, καὶ ταῖς ἐκ τῶν μαστίγων πληγαῖς τελείως καταπονηθέντες, τῆς ἄνω λήξεως ἠξιώθησαν. ὧν καὶ τὰ τίμια σώματα ἄταφα ἐρριμμένα εἰς τοὔδαφος σῶα ἐπὶ πλεῖστον διετηρήθησαν χρόνον, μέχρι ὅτου πιστοί τινες ἀναλαβόντες ταῦτα ἐκήδευσαν καὶ καταλλήλως ἐτίμησαν τοῖς ὑπὲρ Χριστοῦ τοῦ θεοῦ μαρτυρήμασιν. ἐφάμιλλα τούτοις καὶ ἀδελφὰ καί τις μοναχὸς ἕτερος ἐπεδείξατο, πρὸς ἀρχὴν ἱερωσύνης ἄρτι ἀναδραμών· ζήλου γὰρ θείου πλησθεὶς κατὰ πρόσωπον ἔστη τοῦ τυράννου, καὶ ἄλλα μὲν διεξιὼν οὐκ ὀλίγα,
D καὶ τὸ τοῦ ἀποστόλου δὲ Παύλου ῥητὸν τοῦτο δὴ τὸ φάσκον "εἴ τις ὑμῖν εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω." ἀλλὰ καὶ τούτῳ πληγὰς ἐπιθεὶς οὐκ ὀλίγας, ἐπειδὴ σταθηρότερος ἔδοξεν ἐν τῇ διαλέξει, πρὸς τὸν Ἰαννῆν ἐξαποστέλλει, καθηγητὴν τοῦ τυράννου γεγονότα καὶ διδάσκαλον, διαλεκτικαῖς ἀποδείξεσι τοῦτον πεῖσαι ἐγκελευσάμενος. ἀλλὰ καὶ τοῦτον ὁ γενναῖος ἀγωνιστὴς οὐ σοφιστικαῖς καὶ διαλεκτικαῖς ἀποδείξεσιν, ἀποστολικοῖς δὲ καὶ εὐαγγελικοῖς ῥήμασιν ἀφωνότερον ἰχθύων ἀπέδειξε. καὶ τότε μὲν οὐκ ὀλίγας πάλιν λαβὼν ἐξοστρακίζεται, ὕστερον δὲ τῷ μεγάλῳ συστὰς Ἰγνατίῳ καὶ χρόνον τινὰ συνδιατρίψας αὐτῷ καὶ

9 μαρτυρήσασιν C

inscitiam atque saevitiam redarguissent, ob summam dicendi libertatem multos cruciatus atque tormenta passi, urbe etiam in exsilium relegati sunt. qui cum ad fanum Ioannis baptistae, quod Terribile cognomento dicitur estque in Euxino ponto situm, pervenissent, flagellorum plagis prorsus confecti in coelitum coetum abierunt. eorum cadavera insepulta in solum proiecta diu admodum integra manserunt, donec pii quidam ea humaverunt, et eodem quo Christi martyres honore dignati sunt. germana his sunt facinora monachi cuiusdam iam ad sacerdotium provecti. is divino mentis ardore excitus in faciem tyranno restitit, et cum alia multa disseruit, tum illud Pauli dictum protulit (Gal. 1) "exsecrabilis esto, quicunque aliud ab eo quod accepistis evangelium vobis tradit." sed hunc quoque multis verberibus mulcatum imperator, cum in colloquio constantiorem videret, ad Iannem suum quondam praeceptorem ac magistrum misit, mandato ut iis monachum dialecticis demonstrationibus a proposito diduceret. istum quoque Iannem praeclarus iste certator non dialecticis aut sophisticis ratiocinationibus, sed apostolicis evangelicisque dictis pisce magis mutum redegit. ac tum denuo multis affectus verberibus solum vertere iussus est. post vero cum magno Ignatio aliquamdiu conversatus ac de subsecuturis vaticinatus im-

περὶ τῶν μελλόντων ἀναδιδάξας βασιλέων (ἦν γὰρ καὶ προορατικοῦ ἠξιωμένος χαρίσματος), πρὸς κύριον ἐξεδήμησε.

Ταῖς δὲ θείαις εἰκόσιν ὁ τύραννος ἀπεχθανόμενος ἔσπευδε P 520 πάντας ζωγράφους ἐξ ἀνθρώπων ἀφανίσαι, ἢ τὸ ζῆν αἱρουμένους ἐμπτύειν τε ταύταις καὶ ὡς βέβηλά τινα ἐπ' ἐδάφους καταπατεῖν. πρὸς τοῖς ἄλλοις δὲ συγκατεσχέθη καὶ ὁ μοναχὸς Λάζαρος, περιβόητος τηνικαῦτα κατὰ τὴν ζωγραφικὴν ὑπάρχων τέχνην. καὶ πρῶτα μὲν ὁ θεομάχος θωπείαις αὐτὸν ἐπειρᾶτο ὑποποιεῖσθαι· ὡς δὲ κρείττονα τοῦτον ἑώρα κολακείας ἁπάσης, πρὸς τὴν σύντροφον ἀπεῖδε βίαν, καὶ τοσοῦτον αὐτὸν ταῖς βασάνοις κατῄκισεν ὡς μηδὲ περιγενέσθαι ἐκ τούτων νομίζεσθαι. καὶ οὕτως ἔχοντα πονηρῶς τοῦ σώματος δεσμωτηρίῳ καθείργνυσιν. ἐπεὶ δὲ ἐπύ- B θετο ὡς ἀναρρώσας αὖθις ἀναστηλοῖ τὰς θείας μορφάς, ἐκέλευσε πέταλα σιδηρᾶ ἀπανθρακωθέντα ταῖς παλάμαις αὐτοῦ ἐπιτεθῆναι. ἐβόσκετο οὖν τὸ πῦρ τὰς σάρκας, ἄχρι ποτὲ ἀπαγορεύσας ὁ ἀθλητὴς ἔκειτο ἡμιθανής. ἀλλ' ἔδει τοῦτον ὑπὸ τῆς θείας χάριτος διατηρεῖσθαι καὶ τοῖς ὕστερον ἔναυσμα, ὅθεν ὁ τύραννος ἐπειδὴ τὰ τελευταῖα πνεῖν ἐμάνθανεν, ἱκεσίαις τῆς δεσποίνης καί τινων ἄλλων γνησιωτάτων αὐτῇ ἀπολύεται τῆς εἱρκτῆς, καὶ πρὸς τὸν ναὸν τοῦ ἁγίου προδρόμου τὸν οὕτω καλούμενον τοῦ φοβεροῦ ἐναπεκρύβη, καὶ οὕτως ὡς εἶχε πληγῶν εἰκόνα διετύπωσε τοῦ C προδρόμου μέχρι πολλοῦ διασωζομένην καὶ ἰάσεις ἐπιτελοῦσαν. καὶ ταῦτα μὲν τότε, μετὰ δὲ τὴν τοῦ τυράννου κατάλυσιν τῆς

7 διὰ C   8 πρότερον C   14 ἀπανθρακώσαντας C
17 ἔναυσμα add C   19 αὐτῷ C

peratoribus (nam et dono praescientiae futurorum deus eum dignatus fuerat) ad dominum commigravit.

Enimvero Theophilus animo in imagines infensissimo statuit omnes pictores e medio tollere, vitam non aliter servaturos quam si ea conspuerent et ut profana humi conculcarent. inter alios captus ea de causa fuit etiam Lazarus monachus, eo tempore ob artem pingendi nobilis. atque hunc primum imperator blandis verbis subigere intendit: post ubi hominem adulando capi nequire sensit, ad vim sibi familiarem conversus, tormentis ita excarnificatum ut vita excessurus putaretur in carcerem coniecit. cumque eum aegritudine sublevatum denuo sacras formas pingere audiret, laminas ferreas ignitas palmis eius applicari iussit, quae carnes eatenus depastae sunt, dum victus malo semianimus iacuit. tum, quia eum posteris servare volebat divina clementia, tyrannus animam eum iam agere audiens, deprecationibus uxoris atque huius intimorum motus eum ex carcere dimisit. ita is deinde in fano Prodromi, quod Terribile dicitur, occultatus imaginem Prodromi, utcunque saucio corpore, depinxit tamen; quae diu duravit morbosque

ὀρθοδόξου πίστεως ἀναλαμψάσης τὴν ἐν τῇ Χαλκῇ εἰκόνα τοῦ θεανθρώπου Ἰησοῦ Χριστοῦ οἰκείαις χερσὶν ἀνεστήλωσεν. οὗτος ὁ μακάριος Λάζαρος παρακαλούμενος ὑπὸ τῆς θαυμαστῆς Θεοδώρας τῆς βασιλίδος συγγνώμην δοῦναί τε καὶ αἰτήσασθαι τῷ ταύτης ἀνδρὶ "οὐκ ἄδικος ὁ θεὸς" ἔφη, "ὦ βασίλισσα, ἐπιλαθέσθαι τῆς ἡμῶν ἀγάπης καὶ τῶν πρὸς αὐτὸν κόπων, ἐκείνου δὲ τὸ μῖσος καὶ τὴν ὑπερβάλλουσαν μανίαν προτιμῆσαι."

D Ἀλλὰ ταῦτα μὲν ὕστερον· ὁ δὲ μιαρὸς τύραννος τὸν ὁμολογητὴν Θεοφάνην καὶ Θεόδωρον τὸν αὐτοῦ ἀδελφόν, ἐπὶ σοφίᾳ διαφέροντας ἰδὼν τῶν πολλῶν, κατὰ τὸν τοῦ Λαυσιακοῦ τρίκλινον παρεστήσατο δημοσίᾳ διαλεξομένους περὶ τῆς πίστεως. καὶ "ἄγε δή" φησίν, "ὑμεῖς ὦ κατάρατοι τίσι πειθόμενοι ῥήσεσι τῆς γραφῆς τὰ εἴδωλα," τὰς ἁγίας εἰκόνας ἀκολάστῳ γνώμῃ καὶ γλώσσῃ καλῶν οὕτω, "προσκυνεῖτε, καὶ τοὺς πολλοὺς καὶ μὴ ἀκεραίους οὕτω ποιεῖν ἀναπείθετε;" προσετίθη δὲ καὶ ἄλλ' ἄττα βλάσφημα καὶ ἀπηχῆ κατὰ τῆς ἁγίας εἰκόνος. Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναιδεστέρᾳ φωνῇ. οἱ δὲ μακάριοι "ἐμφραχθείη τὸ στόμα" εἶπον "τὸ λαλοῦν κατὰ τοῦ θεοῦ ἀνομίαν." ὁ δὲ κρύπτει μὲν τέως τὴν λεοντῆν, τὴν δὲ ἀλωπεκῆν ὑποκρίνεται, καὶ χρήσεις προφητικὰς ἀπῄτει καὶ μαρτυρίας τὰς εἰκόνας ἐπιτρεπούσας προσκυνεῖσθαι. P 521 θατέρου δὲ τῶν ἀδελφῶν τοῦ μακαρίτου Θεοφάνους ῥῆσίν τινα ἐκ τῆς τοῦ Ἠσαΐου προφέροντος προφητείας, οὐκ ἔχειν οὕτω

1 ὀρθοδοξίας C 10 Λαυσιακὸν C 14 μὴ om C 16 καὶ ἀπηχῆ add C 21 θεοφάνη C

sanavit. et post mortem Theophili vera religione rursum effulgente imaginem Iesu Christi dei et hominis, quod est in calce, suis manibus condidit. idem ornatus a Theodora praeclarissima imperatrice ut marito suo ignosceret veniamque a deo impetraret, "non est" ait, "o Augusta, deus ita iniustus, ut nostrae dilectionis et ipsius causa toleratarum aerumnarum obliviscatur, iisve Theophili odium et nimium furorem praeferat."

Ceterum impurus tyrannus cum sentiret Theophanem confessorem et fratrem eius Theodorum aliis sapientia multum antecellere, ad Lausiacum triclinium se sistere eos iussit, publice de religione disputaturos. atque ibi "agedum" inquit, "exsecrabiles, quibusnam sacrarum literarum sententiis persuasi, idola" (sic sacras imagines animo et ore impotenti vocabat) "adoratis, multitudinemque hominum imperitorum eo adducitis ut idem faciant?" sed et impudentissima voce alia quaedam impie contra sacram Christi imaginem effutivit. ad haec beati illi dixerunt "utinam obturetur os, quod inique deo obloquitur." sed Theophilus aliquamdiu occultata leonina vulpinam pellem prae se tulit, ac oracula divorum vatum et testimonia sibi proferri postulavit imaginum venerationem concedentia. et cum Theophanes locum ex Esaiae vaticiniis ad-

ταύτην ἀντέλεγεν ὁ Θεόφιλος, καὶ ἅμα τὴν ἑαυτοῦ βίβλον ἀνελίττων ἐδείκνυ τάχα τοὺς λόγους πιστούς. ὡς δὲ νενοθεῦσθαι ὑπ' αὐτοῦ οὐ μόνον δὴ ταύτην ὁ ἅγιος ἐπεβόα, ἀλλὰ καὶ πάσας τὰς ὅσαι εἰς τὴν αὐτοῦ ἐλθοῦσαι ἔτυχον χεῖρα, ἐκείνην ἔλεγε προτιθεὶς ἰέναι πρὸς αὐτὸν τὴν βίβλον τὴν κατὰ τὴν πατριαρχικὴν ἐν τῷ Θωμαΐτῃ κατὰ τήνδε τὴν θέσιν κειμένην βιβλιοθήκην εἰς πίστιν τῶν λεγομένων. ἐπεὶ γοῦν τις ἀπέσταλτο καὶ θᾶττον ἢ λόγος ἤγαγε τὸ βιβλίον, ἑκὼν μὲν ἀνελίττων ὁ βασιλεὺς ἡμάρτανε τοῦ βιβλίου, καὶ αἰσχυνόμενος ὑπερεπήδα μὲν τὴν ζητουμένην φράσιν, B ἐν ἄλλοις δὲ καὶ ἄλλοις ἐποιεῖτο τὴν ζήτησιν. ὡς δ' ὑπὸ τοῦ μακαρίτου Θεοφάνους ἀνεδιδάσκετο δακτυλοδεικτοῦντος ὡς ἐπὶ τρία φύλλα διαβιβάσας τὸ ζητούμενον καταλάβῃς, τότε δὴ μὴ φέρων τοὺς τῆς παρρησίας ἐλέγχους, συνειδὼς δὲ καὶ τὴν ἀλήθειαν ἔχουσαν οὕτως, τὸ ἕως τότε ἀπορρίψας μακρόθυμον καὶ τὸν θῆρα ἀνακαλύψας "οὐ δίκαιον" ἔφησε "βασιλέα ὑπὸ τοιούτων ἀνδρῶν ἐνυβρίζεσθαι," καὶ λοιπὸν προσέταξε τῷ τοῦ Λαυσιακοῦ μεσοκηπίῳ αὐτοὺς ἀπαχθέντας ῥαβδισθῆναι ῥάβδων φοραῖς βαρυτάταις ἄχρι τῶν διακοσίων, καὶ τοῖς μετώποις αὐτῶν ἐπιγραφῆναι βαρβαρικῶς ἐγκεντηθέντας οὓς συντέθεικε λήρους ἰάμβους. εἰσὶ C δὲ οὗτοι.

πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν
ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες

7 post λεγομένων P κομισθῆναι. 11 δακτυλοδείκτως P 17 βαρυτάτων C 19 ἐκκεντηθέντας libri ἰαμβικοὺς C

duceret, respondit Theophilus eum locum non ita habere, simulque suum librum explicavit. ibi Theophanes vociferari non hunc modo librum, sed omnes quotquot in manus Theophili pervenissent, corruptos esse, postulare ut ex patriarchae bibliotheca Thomaitica codex (simulque demonstrabat quo is loco esset repositus) afferretur, dictorum veritatis indagandae causa. celerrime eo missus quidam codicem attulit. quem sponte sua revolvens imperator studiose a proposito aberravit, verecundia ductus, et locum de quo agebatur transiliens alibi quaesivit. cum autem Theophanes intento digito eum doceret, si tres paginas revolvisset, fore ut in locum quaesitum incideret, imperator libertatem reprehensionis non ferens, et veritatis conscius, patientiam eo usque servatam abiecit feramque patefecit. indignam enim esse rem dicens imperatori a talibus hominibus illudi, abduci eos in hortum Lausiaci interiorem iussit, ferulisque usque ad 200 ictus gravissime concidi. quin et frontibus eorum barbarico more notis impressis inscribi iussit ineptos hos a se compositos iambos.

cunctis ad urbem accurrere affectantibus,
castissimos in qua dei verbum pedes

ἔστησαν εἰς σύστασιν τῆς οἰκουμένης,
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
σκεύη πονηρὰ δεισιδαίμονος πλάνης.
ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως,
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.
πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες
οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας.
ὅθεν γραφέντες ὡς κακοῦργοι τὴν θέαν
κατακρίνονται καὶ διώκονται πάλιν.

D τούτου δὲ θᾶττον γενομένου ἐκεῖνοι μὲν τὸν τῆς ὁμολογίας καὶ καρτερίας ἀνεδήσαντο στέφανον, οὗτος δὲ ὁ σοβαρὸς καὶ πάντων ἀθλίων ἀθλιώτερος πᾶσιν ἀνεδείχθη βλάσφημος καὶ διώκτης καὶ τῶν πώποτε κακοδόξων κακοδοξότερος.

Μετὰ τὸ γραφῆναι τοίνυν τὰς ὄψεις οἱ ὁμολογηταὶ εἰς ὑπερορίαν ἐστάλησαν. πρὸ τούτων δὲ καὶ ὁ ἅγιος Μεθόδιος εἴς τινα νῆσον ἐν τάφῳ καθείρχθη ζῶν, ἅμα δυσὶν ἀνδροφόνοις, ἐν ᾧ τάφῳ διά τινος ἐτρέφετο ἁλιέως. ὃν δὴ ἁλιέα εὑρόντες οἱ ἅγιοι Θεοφάνης καὶ Θεόδωρος, καὶ τὰ κατ' αὐτὸν πυθόμενοι, διὰ τοῦ τοιούτου ἁλιέως γράφουσι τῷ μεγάλῳ Μεθοδίῳ τάδε.

P 522 τῷ ζῶντι νεκρῷ καὶ νεκρῷ ζωηφόρῳ,

13 ἀθλίων om C   15 μετὰ — 117 6 συνδεσμίους om C

fixit, generi salutem ut humano daret,
apparuere et isti venerando in loco,
superstitiosi erroris vasa pessima.
et inde, multa postquam perfidi deo
facinora patravissent turpia impie,
ut desertores vertere iussi sunt solum.
fugaque in urbem hanc delati, imperii caput,
non destitere ab impia vaecordia.
compuncti igitur, facinorosi velut, notis,
ex urbe damnati pelluntur hac quoque.

his ita statim peractis, isti quidem confessionis et constantiae reportaverunt coronam, suntque inscriptis frontibus istis versibus in exsilium acti. ac ferox imperator, omnibusque miserior miseris, ab omnibus iudicatus est impie deo obtrectare, pios persequi, et quotquot unquam perverse de rebus sacris senserunt, eorum superare perversitatem.

Ante hos etiam sanctus Methodius in quandam insulam relegatus, vivus cum duobus latronibus in sepulchrum inclusus fuerat, in eoque a piscatore quodam nutriebatur; in quem piscatorem cum incidissent Theophanes ac Theodorus, et Methodii rerum quis esset status ex eo cognovissent, per eundem in hanc sententiam scribunt ad eum.

qui vivus inter vivos esse desiit,

ναίοντι τὴν γῆν καὶ πατοῦντι τὸν πόλον,
γραπτοὶ γράφουσι δέσμιοι τῷ δεσμίῳ.
πρὸς οὓς καὶ αὐτὸς ἀντέγραψε διὰ τοῦ αὐτοῦ ἁλιέως
τοὺς ταῖς βίβλοισιν οὐρανῶν κλησιγράφους
καὶ πρὸς μέτωπα σωφρόνως ἐστιγμένους
προσεῖπεν ὁ ζώθαπτος ὡς συνδεσμίους.

πρὸς τούτοις δὲ καὶ τὸν μακαρίτην Μιχαήλ, τὸν σύγκελλον τῆς κατὰ τὴν ἁγίαν πόλιν ἐκκλησίας, σὺν ἑτέροις πολλοῖς ἀσκηταῖς τῇ φυλακῇ καθεῖρξε, τῇ πολυχρονίῳ κακώσει ὑπάξαι τούτους καραδοκῶν.

Καὶ τὰ μὲν κατὰ τῶν ἁγίων τοιαῦτα αὐτῷ νεανιεύματα, καὶ B οὕτως τὸν δι' ἡμᾶς ὀφθέντα ἄνθρωπον, θεὸν ὄντα ἀληθινόν, ὕβριζε, καὶ τοὺς αὐτοῦ ἀληθινοὺς θεράποντας οὐ βραχεῖ χρόνῳ καὶ περιωρισμένῳ κατὰ πάντα δὲ τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐκάκου καὶ ἀνηκέστοις καθυπέβαλλε συμφοραῖς. ἐφιλοτιμεῖτο δὲ καὶ μελῳδὸς εἶναι, διὸ καὶ ὕμνους ποιῶν τινὰς καὶ στιχηρὰ μελίζων ᾄδεσθαι προετρέπετο· μεθ' ὧν καὶ τὸ τοῦ τετάρτου ἤχου "εὐλογεῖτε" ἐκ τοῦ κατὰ τὴν η' ᾠδὴν "ἄκουε κόρη" μεθαρμοσάμενος, καὶ ῥυθμὸν ἕτερον παρασχών, ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ εἰς ἐπήκοον ᾄδεσθαι διωρίσατο. φέρεται δὲ καί τις λόγος ὡς ἔρωτι τοῦ μέλους βαλλόμενος κατὰ τὴν μεγάλην ἐκκλησίαν ἐν φαιδρᾷ πανη- C

13 χρόνῳ περιορίζων P 17 τὸ om C 21 φαιδραῖς πανηγύρεσιν P

vitamque praebet mortuus, terram incolens,
polumque obit, vincto gravati vinculis,
frontes ei scribuntque inscripti literis.
rescripsit Methodius opera eiusdem piscatoris:
quorum libris inscripta sunt coelestibus
nomina, piaeque frontes compunctae notis,
hos qui sepultus ante funus est suum,
vinctos salutat, et ipse vinculis gravis.

Theophilus praeterea beatum quoque Michaelum, ecclesiae quae est in sancta urbe syncellum, una cum multis aliis monachis in carcerem compegit, diuturna miseria eos se subacturum sperans.

His ergo in pios facinoribus eum qui verus deus propter nos humanam naturam induit, contumelia affecit, genuinos eius famulos non exiguo tempore circumscribens, sed per omnem vitam suam eos vexans ac extremis affligens malis. impendit quoque cantilenis operam, hymnos quosdam et carmina componens ac canere ea iubens. de quibus est "benedicite" quarti toni, quod ex "audi filia" octavi toni translatum a se atque concinnatum in ecclesia dei clara voce cani mandavit. ac ferunt eum carminis amore illectum, in solennibus ad magnam aedem conventibus, ne manus quidem ad cantum artificiosam agitationem detre-

γύρει οὐ παρῃτήσατο τὸ χειρονομεῖν, δοὺς τῷ κλήρῳ ὑπὲρ τούτου χρυσίου λίτρας ἑκατόν. καὶ τὸ στιχηρὸν δὲ τὸ κατὰ τὴν βαϊοφόρον, τὸ "ἐξέλθετε ἔθνη, ἐξέλθετε καὶ λαοί," τὸν ἐκείνου φασὶν εἶναι τόκον ψυχῆς.

Ἐπεὶ δὲ καὶ τὰς περὶ τὴν κεφαλὴν τρίχας ὀλίγας ἐκ φύσεως εἶχεν, ἀναφάλας τις ὤν, θέσπισμα ἐξέθετο πανταχοῦ ἐν χρῷ τὰς τρίχας ἀποκείρειν καὶ μή τινα Ῥωμαῖον ὄντα περαιτέρω ταύτας τοῦ τραχήλου φέρεσθαι συγχωρεῖν, τὸν δὲ τὸ δόγμα παρορῶντα πολλαῖς αἰκίζεσθαι μάστιξι, τὴν τῶν προγόνων Ῥωμαίων ἀρετὴν ἐπανάγειν βρενθυόμενος.

D Πέντε δὲ θυγατέρων ὑπάρχων πατήρ, ὡς προλαβὼν ὁ λόγος ἀπέφηνε, καὶ ἄρρενος ἔρημος γονῆς, τὴν πασῶν ἐσχάτην Μαρίαν ὑπερβαλλόντως ἀγαπωμένην αὐτῷ δεῖν ᾠήθη συζεῦξαι ἀνδρί. ὁ νυμφίος δὲ ἦν τῆς τῶν Κρηνιτῶν γενεᾶς, χώρας τῶν Ἀρμενίων, Ἀλέξιος τοὔνομα, Μωσηλὲ τὴν ἐπωνυμίαν, τῷ εἴδει ὡραῖος, ἀκμάζων τὴν ἡλικίαν. πρῶτα μὲν τῇ τῶν πατρικίων καὶ ἀνθυπάτων τιμήσας ἀξίᾳ, εἶτα καὶ μάγιστρον καὶ ὕστερον Καίσαρα, στρατεύματά τε δοὺς αὐτῷ ἱκανὰ πρὸς τὴν Λογγιβαρδίαν ἐξέπεμψε χρείας κατεπειγούσης τινός. καὶ ὁ μὲν ἀπῄει καλῶς τὰ P 523 κατ' αὐτὴν ἐξανύων, καὶ ὡς ἐδόκει τῷ βασιλεῖ. διὸ καὶ ἤκμαζε μὲν ὁ πρὸς αὐτὸν πόθος, συνήκμαζε δὲ καὶ ὁ ἐξ ἀνθρώπων φθόνος, καὶ διέβαλλον αὐτὸν ὡς τῆς βασιλείας ἐπιθυμοῦντα, προστι-

2 στιχερὸν C   3 ἐξέλθατε C   καὶ om C   5 παρὰ C
6 ἐν χρῷ add C   10 βουλόμενος P   14 κρινιτῶν C
16 πρῶτον C. an ὂν πρ.?   20 αὐτὸν C

ctasse, clerumque musicae exercendae causa centum libris argenti donasse. quidam eius ingenii foetum etiam carmen quod festo Palmarum die cantatur ferunt, cuius initium "exite gentes, exite populi."

Quia vero a natura paucos capitis capillos habebat, et erat recalvaster, ideo edicto edito iussit crines ab omnibus tonderi neque ab ullo Romano ultra collum demissos gestari; sanxitque edictum gravi flagrorum supplicio, priscorum Romanorum virtutem revocare studens.

Cumque haberet, ut supra memoravimus, quinque filias, et mascula prole careret, ex iis minimam natu et impensius sibi reliquis dilectam, nomine Mariam, statuit viro nuptum tradere. maritum ei delegit Alexium cognomento Moselem, Armenium gente, ex Crenitarum natione, forma elegantem ac florentem aetate. huic patricii primum, deinde proconsulis honorem contulit, deinde magistrum ac tandem Caesarem fecit, exercituque copioso instructum in Longobardiam misit, rebus ita poscentibus. eo profectus Alexius rem praeclare gessit et ex sententia soceri. quo factum est ut crescente eius desiderio simul invidia quoque augesceret; criminabanturque eum nonnulli ut imperii cupidum. adde-

θέντες ὡς δήποτε τὸ α τοῦ θ κατακυριεῦσαι. ὅπερ δὴ πυνθανόμενος ὁ Καῖσαρ, καὶ τοῦ φθόνου ὥσπερ ἀκροώμενος, πολλὰ τοῦ βασιλέως ἐδέετο συγχωρηθῆναι αὐτὸν πρὸς τὸν μονήρη μεταμφιάξασθαι βίον. ἀλλὰ τοῦτο μὲν ὁ βασιλεὺς οὐκ ἐπέτρεψε, τὴν χηρείαν τῆς θυγατρὸς εὐλαβούμενος, καὶ ὁ Καῖσαρ ἔμενεν ἐφ' ἡσυχίας τοῖς δημοσίοις ἐνασχολούμενος. ὡς δ' ἀπετέχθη τῷ βασιλεῖ ὁ Μιχαὴλ καὶ ἡ τοῦ Καίσαρος γαμετὴ Μαρία τὸν βίον μετήλλαξε, ταύτην μὲν οὕτως ἐτίμησεν ὡς τὸν νεκρὸν αὐτῆς ἐν λάρνακι θεῖναι B
περιηργυρωμένῃ, καὶ ἀσυλίαν δοῦναι τῷ τάφῳ τοῖς ἐφ' οἵοις δήποτε ἐγκλήμασιν ἁλοῦσιν ἀνθρώποις. τὸν δὲ Ἀλέξιον λάθρα μεταμφιαξάμενον καὶ τὸ μοναχικὸν ἀμφιασάμενον σχῆμα, ἐπεὶ μὴ ἔπειθε τοῦτο ἀποβαλεῖν, μόλις ἐᾶσαι, δεδωκὼς αὐτῷ εἰς ἐνδιαίτημα τό τε κατὰ Χρυσούπολιν βασιλικὸν μοναστήριον, ἔτι δὲ καὶ τὸ τοῦ Βρύσεως καὶ τὸ κατὰ τὴν Ἐλαίαν. ἐκεῖνος δὲ τῷ κατὰ τὴν Χρυσούπολιν ὄντι ἐνδιαιτώμενος, ἐπεί ποτε περιπάτου ἐδεήθη καὶ κατὰ τὸν Ἀνθεμίου λεγόμενον τόπον ἐγένετο, εἵλετο τοῦτον διὰ βασιλικῆς προστάξεως ἐξωνήσασθαι· ἐν ᾧ καὶ μοναστήριον C
κατασκευάσας πολυτελές, τὸν βίον ἐκλιπόντων ἐτέθη ἐκεῖσε, σὺν αὐτῷ δὲ καὶ ὁ τούτου ἀδελφὸς Θεοδόσιος ἐς πατρικίους τελέσας, πολλὰ γνωρίσματα τῆς αὐτοῦ ἀρίστης βιοτῆς ἐν τῷ μοναστηρίῳ καταλιπών.

Τοῦ δὲ ἀρχηγοῦ τῶν Ἀράβων Ἰμπραὴλ κατὰ Ῥωμαίων ἐκ-

1 δεῖ ποτὲ? κατακρατῆσαι C 2 ἀποκρουόμενος C
14 Βυρσέως C 22 Ἰμβραὴλ C

bantque, fore ut A in TH imperium aliquando occuparet. Caesar ubi ea ad ipsum sunt allata, vocesque aemulorum audivit, multis ab imperatore contendit precibus ut sibi permitteret ad vitam monasticam transire. sed Theophilus filiam marito viduare non sustinens id denegavit. proinde Alexius suum statum tenuit, tutusque et securus rem publicam gessit. at postquam imperatori filius Michaelus natus est, et Caesaris uxor diem suum obiit, Theophilus tantum filiae defunctae honoris detulit, ut cadaver in arca argento obducta reposuerit et cuiuscunque flagitii reis sepulchrum eius asylum constituerit. Alexium vero clam vitam habitumque monasticum amplexum cum ab instituto suadendo non deduceret, aegre missum fecit, eique dono dedit regium quod erat Chrysopoli monasterium, Brysei quoque, et quod erat ad Elaeam, in quibus vitam degeret. Alexius in Chrysopolitano vixit. cumque aliquando deambulandi gratia ad locum venisset qui Anthemii dicitur, imperatoris mandato impetrato eum emit, sumptuosumque ibi condidit monasterium; in quo post mortem sepultus est, et cum ipso frater eius Theodosius, qui patriciam dignitatem consecutus multa optimae suae vitae documenta eo in monasterio reliquerat.

Cum autem Impraelus Arabum dux expeditiones contra Romanos

στρατεύσαντος καὶ ὁ Θεόφιλος ἀντιφιλοτιμούμενος ἔξεισιν, ἅπαν δέος ἀποβαλών. εἰ γάρ τι καὶ προσῆν, ἀλλ' ἡ τῶν συνόντων αὐτῷ ἀνδρῶν κατὰ πολέμους πεῖρα καὶ γενναιότης ὡς πορρωτάτω τοῦτο ἐτίθει. Θεόφοβος οἱ ἄνδρες ἦσαν καὶ Μανουήλ. ἀλλ' ὁ
D μὲν Μανουὴλ δῆλος ἦν ἐπ' ἀνδρίᾳ καὶ αὐτοῖς τοῖς ἐναντίοις, τοῦ στρατοῦ τῶν ἀνατολικῶν κατάρξας ἐπὶ τοῦ Λέοντος, καὶ τοῦ πρὸ αὐτοῦ Μιχαὴλ ἱπποκόμων ὁ πρῶτος γενόμενος· πρωτοστράτορα τοῦτον φασί. δηλώσει δὲ καὶ τὸν Θεόφοβον ὁ λόγος, ὅθεν τε καὶ ὅπως ἐκ Περσῶν καταγόμενος τῷ βασιλεῖ γέγονε γνώριμος καὶ τὴν ἀδελφὴν αὐτοῦ εἰς γάμον ἡρμόσατο. εἰς πρεσβείαν τίς ποτε τῶν ἐκ βασιλικῆς σειρᾶς Περσῶν ἀφικόμενος εἰς τὴν Κωνσταντινούπολιν, οὐκ ἐκ νομίμου συναφείας ἐκ λαθραίας δὲ καὶ κρυφίας τοῦτον ἀποτεκὼν ἀπεδήμησεν. ἐπεὶ δὲ νόμος ἀπαράβατος τοῖς Πέρσαις ἐστὶ μή τινα τῆς αὐτῶν ἀρχῆς ἐγκρατῆ γενέσθαι μὴ τῆς βασιλικῆς ὄντα σειρᾶς, ἐξέλιπον δὲ ἐκ τῶν συνεχῶν πολέμων ὑπὸ τῶν Ἀγαρηνῶν ἐλαθέντες οἱ τῆς βασιλικῆς σειρᾶς, τοῦτον τὸν Θεόφοβον πολλάκις ὁρμήσαντες οἱ Πέρσαι ἀναλαβέσθαι ἀπὸ Κων-
P 524 σταντινουπόλεως τοῦ βασιλεῦσαι ἐπ' αὐτοῖς, καὶ πρεσβείαν διάφορον ποιήσαντες πρὸς Θεόφιλον, καὶ εἰρηνικὰς σπονδὰς ὑποσχόμενοι δι' αὐτοῦ γενέσθαι, οὐκ ἔπεισαν τὸν Θεόφιλον τοῦτον ἐκδοῦναι, ἀλλὰ μᾶλλον διὰ τοῦτο ἀνάγει αὐτὸν ὁ Θεόφιλος εἰς τὴν τῶν πατρικίων τιμὴν καὶ τῇ ἑαυτοῦ ἀδελφῇ συνοικίζει, ἑκα-

3 πορρώτατον C 8 τὸν Θεόφοβον] τὰ κατὰ σφᾶς C 14 φυλῆς C 16 τοῦτον τὸν — 22 πατρικίων τιμήν] ἐφέρετο δὲ καὶ λόγος πολὺς ἐν Περσίδι ὡς εἴη τις κατὰ τὸ Βυζάντιον ὠνομασμένος Θεόφοβος (καὶ γὰρ ἦν διαδοθεὶς ὑπὸ τοῦ σπείραντος τοῦτον πατρός), ἔδοξε τῇ τῶν Πέρσων γερουσίᾳ κρύφα τινὰς

suscepisset, Theophilus quoque adversus eum copias suas eduxit, omni metu abiecto. nam etsi aliquid timoris subesset, eum tamen facile profligabat comitum imperatoris virtus ac peritia, Theophobi inquam, et Manueli quorum huius fortitudo ipsis quoque hostibus nota erat, cum is sub Leone Orientalibus copiis praefectus et Michaeli Rangabae equisonum princeps fuisset, quem protostratorem Graeci nominant. de Theophobo etiam dicendum, quomodo Persica oriundus familia in notitiam pervenerit imperatoris eiusque sororem matrimonio sibi iunxerit. quidam regia Persarum stirpe natus aliquando Cpolin legatus venit: is non legitimo coniugio, sed occulto coitu Theophobum genuit, atque discessit. quia vero lex apud Persas inviolabilis est, ne quis in eos regnum occupet nisi regia progenie ortus, cum continentibus bellis regium genus ab Agarenis pulsum defecisset, Persae hunc Theophobum Cpoli abducere regemque suum facere cupientes, eius causa aliquoties ad Theophilum legatos miserant, pacta simul pacis offerentes. neque tamen persuaserant imperatori ut Theophobum ipsis dederet, sed eum potius patricii dignitate ornatum sorori suae matrimonio copulavit, lege

στόν τε τῶν Περσῶν νομοθετεῖ κατ' ἐπιγαμίαν συνάπτεσθαι τοῖς Ῥωμαίοις. πολλοὺς δὲ ἐκ τούτων ἐμπρέπειν τοῖς βασιλικοῖς ἀξιώμασι πεποιηκὼς κώδιξι στρατιωτικοῖς ἀναγράφεται, τάγμα Περσικὸν τούτους ὀνομάσας, καὶ τοῖς κατὰ τῶν Ἀγαρηνῶν ἐξιοῦσι Ῥωμαίοις συναριθμεῖσθαι προσέταξε. τούτοις τοίνυν τοῖς δυσὶ θαρρήσας Θεόφιλος, τῷ τε Μανουὴλ καὶ τῷ Θεοφόβῳ, ἔξεισι B
κατὰ τῶν Ἀγαρηνῶν. ἐγγὺς δὲ γενομένων ἀλλήλοις τῶν στρα-

ἐκπέμψαι εἰς ἔρευναν τοῦ ζητουμένου, καὶ δὴ καταλαβόντες τὴν ἡμετέραν καὶ πολλὰ διερευνησάμενοι, εὗρον αὐτὸν κατὰ τὴν ὀξείαν τῇ μητρὶ συνόντα. ὡς δ' οὐκ ἐκ μόνων ἰνδαλμάτων ἀλλὰ καὶ τῶν τῆς ψυχῆς καὶ σώματος γνωρισμάτων ὁ ζητούμενος ἐδηλοῦτο καὶ ἐγνωρίζετο, προσεμαρτύρει δὲ καί τις τῶν ἐκ γειτόνων τὴν γενομένην τῇ γυναικὶ τὸν Πέρσην συνάφειαν (οὐ γάρ τι κρυπτὸν ὃ τοῖς πολλοῖς οὐ γενήσεται), δήλους ἑαυτοὺς οἱ σταλέντες καθιστᾶσι τῷ βασιλεῖ καὶ τὰ τοῦ σκοποῦ σαφηνίζουσιν, εἰρήνην καὶ σπονδὰς καὶ παντὸς τοῦ ἔθνους ὑποταγὴν ὑπισχνούμενοι εἰ τὸν Θεύφοβον αὐτοῖς οὐ παραιτήσεται παρασῦναι. ἥσθη γοῦν τοῖς ὑποσχεθεῖσιν ὁ βασιλεύς. καὶ ἐπείπερ οὕτως ἔχουσαν εὗρε τὴν ἀλήθειαν, προσλαμβάνεται τοῦτον ἐν τοῖς βασιλείοις, καὶ μαθημάτων καὶ παιδείας μετεδίδου ἐλευθερίου. ἕτερος δὲ λόγος φησὶ μὴ ἐκ πρέσβεος τινὸς τὴν σπορὰν δέξασθαι τὸν Θεόφοβον, ἀλλὰ κατά τινα περιπέτειαν τῶν ἐν πολέμοις συμβαινόντων· καὶ τὸν τούτου πατέρα, εἴτε βασιλεύοντα εἴτε καὶ βασιλέως ἔγγιστα ὄντα κατὰ συγγένειαν φυγεῖν ἐκ Περσίδος καὶ πρὸς τὴν βασιλεύουσαν ἐλθεῖν, πένητα διατελοῦντα βίον. κἀκεῖσε καπηλίδι τινὶ γυναικὶ δουλεύοντα ἁλῶναι τῷ ταύτης ἔρωτι· καὶ νομίμῳ συναφείᾳ τὸν Θεόφον (sic) ἀποτεκεῖν. ἀλλ' ὁ μὲν πατὴρ ἐξ ἀνθρώπων ἐγένετο, ἀστρονομίᾳ δέ τι.ι καὶ μαντείᾳ (καὶ γάρ φασι ταύτας τὰς ἐπιστήμας ἀκμάζειν ἔτι ἐν Περσίδι) μαθεῖν περὶ τοῦ Θεοφόβου τοὺς Πέρσας ὡς ἔστι τις ἐκ βασιλικῆς φυλῆς καταγόμενος ἐν Βυζαντίᾳ. καὶ ἐπείπερ ἔμαθον ἐν Βυζαντίῳ σπουδαίως καταλαβεῖν πρὸς τὴν τοῦ ζητουμένου εὕρεσιν, καὶ γνωστὸν οὕτως γενέσθαι τῷ βασιλεῖ. ἐπεὶ δὲ ἡ τούτου ἐμφάνεια ἅπασιν ἐγνώσθη τοῖς ἐν Περσίδι διὰ τῶν ὑποστρεψάντων πρέσβεων, ἥδιστον ἐφάνη πᾶσιν ἀποστασίαν τινὰ ἐννοῆσαι κατὰ τῶν Ἀγαρηνῶν καὶ τῇ Ῥωμαίων ἀρχῇ προσχωρῆσαι ὡς ἂν τοῦ γένος (sic) ἀρχηγοῦ εὐμηρήσωσιν (sic). ἔτυχε δὲ καὶ ἄλλως ὁ τῶν Περσῶν ἀρχηγὸς Βάβετ ἤδη πενταετίαν ἔχων ἐξ Ἀγαρηνῶν ἀποστὰς σὺν χιλιάσιν ἑπτά· ὃς καὶ τῷ πρὸς τὸν Θεόφοβον πόθῳ καὶ τῷ ἐξ Ἀγαρηνῶν φόβῳ βαλλόμενος εἰς τὴν Ῥωμαϊκὴν ἐπικράτειαν ἔρχεται κατὰ πόλιν Σινώπην καὶ τῷ βασιλεῖ ἑαυτόν τε ποιεῖ καὶ τὸ ὅλον ἔθνος ὑπήκοον. διά τοι τοῦτο τόν τε Θεόφοβον ὁ Θεόφιλος εἰς πατρικίων τιμὴν C
3 πεποιηκὼς ἀξιώμασι C 4 τούτους] οὕτω καλούμενον C
6 θαρσήσας C

etiam lata quae Persis coniugiorum cum Romanis licentiam concederet. cumque multos ea ratione Persas sibi conciliasset eosque dignitatibus cohonestasset, in codices militiae eorum nomina rettulit, legionemque nomine Persicam conscripsit, eamque cum Romanis legionibus in bellum contra Agarenos proficisci iussit. his ergo duobus fretus Theophilus, Manuelo atque Theophobo, in Agarenos duxit. cum prope hostem

τευμάτων ἐδέησε βουλῆς. καὶ ὁ μὲν Μανουὴλ οὐ δίκαιον ἔλεγε βασιλέα Ῥωμαίων πρὸς ἀμερμουμνῆν πολεμεῖν, ἀλλά τινα μέρος λαβόντα τῶν στρατηγῶν ἐξιέναι κατὰ πρόσωπον τῶν ἐχθρῶν· ὁ Θεόφοβος δὲ καὶ αὐτὸν ἐπὶ παρατάξεως εἶναι τὸν βασιλέα ἐβούλετο, καὶ νύκτωρ ἐπιθήσεσθαι τοῖς ἐχθροῖς μετὰ τοῦ πεζικοῦ συνεβούλευε, συνεπιθήσεσθαι δέ, ὅτε δεήσει, καὶ τὸ ἱππικόν. ἀλλ' οὐκ ἔπεισε τὸν βασιλέα, πολλῶν εἰπόντων σφετερίζεσθαι τὸν Θεόφοβον τὴν τῶν Ῥωμαίων δόξαν καὶ διὰ τοῦτο βούλεσθαι ἐν
C νυκτὶ πολεμεῖν. ἔδοξεν οὖν εἰς τοὐμφανὲς μεθ' ἡμέραν συρράξαι τὸν πόλεμον. ὁ μὲν οὖν ἀμερμουμνῆς Ἰμπραήλ, εἴτε ἄλλως καταλαζονευόμενος εἴτε δὴ καὶ τὸν βασιλέα κατορρωδήσας, μέρος τῆς στρατιᾶς αὐτοῦ λαβὼν ἀνεχώρησεν, Ἀβουζάχαρ δέ τινα τῶν ἑαυτοῦ στρατηγῶν πρὸς τὸν κατὰ βασιλέως πόλεμον μετὰ μυριάδων ὀκτὼ ἐξαπέστειλεν. ἐγγισάντων δὲ τῶν στρατευμάτων καὶ συμπλοκῆς γενομένης καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων, τέλος ἔκλιναν αἱ σχολαὶ μετὰ τοῦ δομεστίκου καὶ πρὸς ὑπαγωγὴν ἐκινήθησαν. ὁ βασιλεὺς δὲ μετὰ τῆς βασιλικῆς φάλαγγος καὶ δύο χιλιάδων Περσῶν, προσόντος αὐτοῖς καὶ τοῦ Θεοφόβου, ἐπί τινα βουνὸν ἄνεισι, περιστοιχισάντων τοῦτον τῶν Σαρακηνῶν. καὶ
D ἄχρι μὲν ἑσπέρας πολὺς ἦν ὁ περὶ αὐτῶν πόλεμος, τῶν μὲν ἐλπιζόντων αἰχμάλωτον τοῦτον λαβεῖν, τῶν δὲ ἀμυνομένων καὶ μὴ προδοῦναι τὸν βασιλέα ἀνεχομένων. διὸ νυκτὸς ἐπιγενομένης

1 βασιλεὺς C 5 τοῖς — 6 συνεπιθήσεσθαι om C 6 δ' ὅτι δεήσοι C 9 συρράξασθαι P 10 ἰμβραήλ C 11 φοβηθεὶς margo C 19 τούτοις P καὶ om C

perventum esset, re in deliberationem vocata, Manuelus censuit indignum esse imperatorem Romanorum acie congredi cum amermumna: unum aliquem cum parte ducum et exercitus ei debere occurrere. Theophobus ipsum quoque imperatorem pugnae interesse voluit, suasitque ut cum peditatu hostes per noctem adoriretur, equitibus, ubi necessitas postulasset, opem laturis. multi nocturnum bellum suaderi ab eo dicebant, ut Romanorum gloriam suam faceret; ideoque improbato eius consilio, imperator aperto Marte interdiu statuit cum hoste confligere. ceterum Impraelus amermumna, arrogantia ductus an imperatoris metu incertum, cum parte exercitus sui discessit, relicto cum octoginta milibus ad pugnam Abuzachare quodam suorum ducum. commisso praelio, cum utrinque multi cecidissent, tandem cohortes (scholas ipsi vocabant) una cum domestico (officii hoc nomen est) inclinatae cesserunt Agarenis. imperator cum cohorte praetoria et duobus Persarum milibus ac Theophobo in collem quendam evasit; quem Agareni cinxerunt, et usque ad vesperam acriter est dimicatum, iis capere imperatorem Romanorum conantibus, Romanis contra pro imperatore fortiter propugnantibus. nocte facta Theophobus Saracenos arte delusit, militibus

κατεσοφίσατο τοὺς Σαρακηνοὺς ὁ Θεόφοβος, τοῖς στρατιώταις ἐγκελευσάμενος κρότοις τε καὶ ἀλαλαγμοῖς χρῆσθαι κινύραις τε καὶ χορδαῖς καὶ σαλπίγγων φωναῖς ὡς τάχα βοηθείας ἑτέρας προσγινομένης αὐτοῖς. τοῦτο γὰρ δὴ καὶ ὑποτοπάσαντες οἱ Σαρακηνοὶ μίλια ἓξ ὑπεχώρησαν εἰς τοὐπίσω, κύκλωσιν κατορρωδήσαντες. ὅθεν ἀδείας τυχόντες μικρᾶς οἱ περὶ τὸν βασιλέα φυγῇ χρησάμενοι τὴν σωτηρίαν ἐπραγματεύσαντο καὶ πρὸς τὸ διαπεφευγὸς στρατόπεδον διεσώθησαν. μεμψάμενος οὖν τὸ προδεδωκὸς στράτευμα P 525 μόνον ὁ βασιλεύς, οὐδὲν δὲ πλέον ἄχρι πράξεως, χάρισι καὶ διαφερούσαις τιμαῖς τοὺς περὶ τὸν Θεόφοβον ἐγέραιρεν. ὅθεν οἱ Πέρσαι πλείονα τὸν πόθον πρὸς τὸν Θεόφοβον ἀνῆπτον, καὶ μόνοι μετ' αὐτοῦ τὸν κατὰ τῶν Ἀγαρηνῶν ὑποδύεσθαι πόλεμον καθικέτευον, καὶ τρέπεσθαι τούτους διεβεβαιοῦντο τὸν βασιλέα. διὸ καὶ τοῖς λόγοις αὐτῶν κατακηλούμενος ὁ βασιλεὺς οὐδένα ἄλλον αὐτοῖς ἀλλὰ τὸν Θεόφοβον ἡγεμονεύειν ἐβούλετο.

Τῷ δ' ἐπιόντι ἐνιαυτῷ ἔξεισι πάλιν ὁ βασιλεὺς μετὰ τῶν B δυνάμεων, καὶ κατὰ τὸ Χαρσιανὸν συμπλακεὶς τοῖς Ἀγαρηνοῖς τρέπεται τούτους καὶ οὐκ ὀλίγους χειροῦται, αἰχμαλώτους κατασχὼν ἄχρι τῶν εἰκοσιπέντε χιλιάδων, καὶ μετὰ νίκης λαμπρᾶς ἐπάνεισι πρὸς τὴν βασιλεύουσαν. ἐλήφθη δέ τις αἰχμάλωτος τῶν Σαρακηνῶν κατὰ χεῖρά τε γενναῖος καὶ χειρῶν εὐφυΐᾳ ὀνομαστός, ὃς γνωστὸς ἦν τῷ τῶν σχολῶν δομεστίκῳ καὶ ἐμαρτυρεῖτο παρ'

4 τούτου C 8 στράτευμα C 13 τούτους om C 19 εἴκοσι καὶ πέντε C 20 βασιλεύουσαν — p. 130 12 ἀνενδοιάστως foliis 28 et 29 manu recentiori scriptis C 21 ἐκ τῶν Ἀγαρηνῶν C

mandato ut streperent atque conclamarent, sonitumque cithararum et chordarum tubarumque ederent, veluti adventante ipsis aliunde subsidio. et Saraceni hoc ipsum fieri suspicantes, ne ab hostibus circumdarentur, ad sex milia passuum recesserunt. imperator cum suis periculo aliquantum sublevati fuga salutem quaesivere, atque ad exercitum qui fugam e praelio fecerat pervenerunt. quem imperator verbis modo ob proditionem castigavit, neque in quenquam durius quicquam statuit: Theophobo autem summam gratiam honoremque habuit. auxit hoc desiderium hominis in Persarum animis, supplicesque ab imperatore contenderunt ut sibi seorsim duce Theophobo bellum in Agarenos mandaret, certam polliciti victoriam. quorum verbis delinitus imperator neminem praeter Theophobum eis praeesse voluit.

Anno sequenti Theophilus rursum copias in Saracenos eduxit, cum iisque apud Charsianum congressus eos fudit, et ad viginti quinque milia captivos abduxit, domumque illustri potitus victoria rediit. inter captivos Saracenos quidam fuit manu promptus et manuum agilitate celebris, domestico scholarum notus eiusque testimonio commendatus,

αὐτοῦ ὡς εἴη τε δεξιὸς περὶ τὴν ἱππασίαν καὶ ὡς ἐν τῷ ἱππάζεσθαι δυσὶ δόρασι χρώμενος ἐντέχνως ἄγαν καὶ εὐφυῶς καταβάλλει τοὺς ἐναντίους. ἐπεὶ δὲ ἔδει ἐν τῇ ἱπποδρομίᾳ τὸν τῆς νίκης θρίαμβον C ἐκτελεῖν τὸν δομέστικον, προηγεῖτο δὲ οὗτος τοῦ θριάμβου, θεασάμενος ὁ βασιλεὺς αὐτὸν καὶ τοῖς ἐπαίνοις κλαπεὶς ἵππου τε ἐπιβῆναι ἐκέλευσε, καὶ δόρατα λαβόντα δύο τὴν ἀριστείαν καὶ εὐφυΐαν ἁπάσῃ τῇ πόλει ἐνδείξασθαι. τούτου δὲ γενομένου καὶ τοῖς ἀπειροτέροις τέρψιν παρέχοντος τῇ ὁράσει, Θεόδωρος ὁ τὴν ἐπωνυμίαν Κρατερός, ὁ καὶ μετὰ βραχὺ τῆς τῶν ἁγίων τεσσαρακονταδύο μαρτύρων φάλαγγος ἀρχηγὸς γεγονώς, πλησίον τῷ βασιλεῖ παρεστὼς ἐξεμυκτήριζε τὸν Ἀγαρηνόν, μηδὲν ἀνδρεῖον φάσκων μηδὲ καταπληκτικὸν ἐνδεικνύμενον. ᾧ καὶ χαλεπήνας ὁ βασιλεὺς D "ἀλλὰ σύ, ὦ θηλυδρία καὶ ἄνανδρε, δύνασαί τι τοιοῦτον ἐργάσασθαι;" ὑπολαβὼν δὲ ὁ Κρατερός "δύο μὲν βασιλεῦ μὴ μαθὼν οὐδὲ μεταχειρίσασθαι δόρατα δύναμαι· οὐδὲ γὰρ ἐν πολέμῳ τοιαύτης φλυαρίας χρεία· ἑνὶ δὲ χρησάμενος τὴν εἰς θεὸν πεποίθησιν ἔχω βεβαίαν ὡς κρημνίσω τε τοῦτον καὶ τοῦ ἵππου καταβαλῶ." ἐπὶ τῷ λόγῳ δὲ θυμωθεὶς ὁ βασιλεὺς ἦ μήν, ὤμοσε κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τὸν ὅρκον ἐπαγαγών, θανάτῳ παραδοῦναι τὸν Κρατερόν, εἰ μὴ τοὺς λόγους εἰς ἔργον ἀγάγοι. ἀναβὰς οὖν εὐθὺς τὸν ἵππον ὁ Θεόδωρος καὶ δόρυ λαβὼν συνεπλέκετο τῷ Σαρακηνῷ, καὶ ἐν οὐ μακρῷ τῷ χρόνῳ τοῦ ἵππου αὐτὸν κατεκρήμνισεν. ᾐσχύνθη μὲν οὖν ὁ βασιλεὺς καταβεβλημένον ἰδὼν τὸν Σαρακηνὸν ὑπ' ἀνδρὸς εὐνούχου, ὅμως τὴν ἀρετὴν

2 ἅμα C

quod et eques praeclarus esset et inter equitandum duabus utens hastis scite admodum adversarios deiiceret. cum ergo domesticus in Circo triumphum victoriae eius agere iussus ante reliquos hominem istum duceret, imperator laudationibus eius inductus equum conscendere duabusque acceptis hastis artis suae ac praestantiae specimen coram universis edere eum iussit. id cum fieret et imperitiores spectaculo delectarentur, Theodorus cognomento Craterus, is qui non multo post sanctorum quadraginta duo martyrum cohortis princeps est factus, propius regi adstans subsannare Agarenum istum et affirmare nihil ab eo forte aut terribile agi. imperator aegre id ferre, Craterumque effeminatum et eviratum increpare, qui tale praestare ipse nihil posset. contra Craterus duabus hastis se nescire uti: neque enim hoc didicisse, quod his nugis in bello nihil opus foret. se dei auxilio fretum unica hasta istum equo deturbaturum. imperator his verbis irritatus per suum ipsius caput iurare, Cratero se vitam erepturum, nisi impleret facto quod verbis iactasset. et Theodorus statim conscenso equo hastaque sumpta cum Saraceno manum conseruit, citoque eum equo praecipitem deiecit. pudore quidem affectus est imperator, ab eunucho deiectum cernens Sara-

αἰδεσθεὶς τοῦ ἀνδρὸς λόγῳ τε ἐφιλοφρονήσατο, καὶ στολὰς καὶ περιβολάς, τὴν πολιτείαν αἰδούμενος, ἐδωρήσατο αὐτῷ.

Ἤδη δὲ τοῦ ἔαρος ὑπολάμποντος δύναμιν πάλιν ἠθροικὼς P 526 ὁ Θεόφιλος ἔξεισι κατὰ τῶν Σαρακηνῶν, καὶ τὸν ὅσιον Μεθόδιον ἐκ τῆς ὑπερορίας ἀνακαλεσάμενος εἶχε μεθ' ἑαυτοῦ, εἰθισμένον αὐτῷ ἐν τοῖς πολέμοις τοῦτο ποιεῖν, εἴτε τοῦ ἀσαφῆ ἕνεκα καὶ πολλοῖς ἄγνωστα διαλύειν διὰ τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας, εἴτε καὶ ἐπαναστάσεις φυλαττόμενος παρ' αὐτοῦ τινὰς παθεῖν διὰ τὸν κατὰ τῶν θείων καὶ σεπτῶν εἰκόνων πόλεμον· οὐ μικρῶς γὰρ ἐσέβετο τὸν ἄνδρα τὸ τῆς πόλεως ἔκκριτον καὶ φιλόθεον. διά τοι τοῦτο καὶ κατόπιν ἐᾶν αὐτὸν οὐκ ἐφαίνετο συμφέρον τῷ βασιλεῖ. τέως δ' ὅμως συμπεσόντων ἀλλήλοις τῶν στρατευμάτων, καὶ τῶν B Ἰσμαηλιτῶν ὑπερτερούντων, κύκλωσιν ὑπίστη ὁ βασιλεὺς καὶ ἤδη ἁλώσιμος ἦν. ὃ δὴ καὶ μαθὼν Μανουὴλ ὁ τοῦ στρατοῦ ἐξηγούμενος, καὶ δεινὸν ἡγησάμενος δορυάλωτον βασιλέα Ῥωμαίων ἰδεῖν, τοὺς περὶ αὐτὸν ἀναθαρρύνας εἰσῄει μετὰ θάρσους τὸν κίνδυνον. ὡς δ' εὗρε καμόντα τὸν βασιλέα καὶ τὴν σωτηρίαν ἀπεγνωκότα, προφασιζόμενον δὲ μὴ βούλεσθαι τὸν λαὸν φεύγοντα καταλιπεῖν, "ἄγε δή" φησίν, "ὦ βασιλεῦ, ἕπου μοι προπορευομένῳ καὶ τὴν ὁδόν σοι εὐρύνοντι." ὡς δ' ὁ Μανουὴλ ἐξῄει, ὁ βασιλεὺς δὲ κατεπτηχὼς οὐχ εἵπετο, πάλιν ἐκ δευτέρου ὑποστρέψαι ἠναγκάσθη. ὡς δὲ καὶ πάλιν ἠστόχησε, τὸ τρίτον ἐπιστρα- C

1 λόγοις C   στολαῖς καὶ περιβολαῖς C   2 αὐτῷ om C
5 ἐκ — εἶχε] ἔχων C   6 ἕνεκεν C   11 καὶ om C   14 δὴ καταμαθὼν C   20 εὑρόντι C   21 κατ' ἴχνος P

cenum: tamen et virtutem hominis veneratus et suos reveritus amice compellatum Craterum vestibus honoris causa donavit.

Vere inito, Theophilus rursus contractis copiis in Sarracenos movet, revocato ab exsilio sibique adiuncto sancto Methodio. solebat hoc in bellis factitare, sive quo eius sapientia in multis obscuris atque intricatis rebus explicandis uteretur, sive id cavens, ne rebellionem is se absente aliquam concitaret ob sacrarum imaginum amolitionem. nam civium qui erant praecipui atque erga deum pii, magno in honore habebant Methodium: itaque eum post se relinquere imperatori consultum non videbatur. enimvero tum commissa pugna Ismaelitica res superior fuit, imperatorque circumventus pene in manus hostium venit. id Manuelus sentiens, dux exercitus, animis suorum oratione recollectis, quod indignissimam rem fore iudicaret si Romanus imperator ab hoste caperetur, audacter discrimen adiit. cumque ad imperatorem perrupisset fatigatum iam et de salute desperantem, tamen causantem fuga se suos prodere nolle, hortatus est uti se sequeretur praeeuntem iterque aperientem. postquam ipsum erumpentem imperator e vestigio subsecutus

φεὶς θάνατον ἠπείλησεν εἰ μὴ ἕποιτο, καὶ οὕτως ὀψὲ καὶ μόλις τοῦ κινδύνου διέσωσε. διὸ τιμαῖς τοῦτον ἀνταξίοις ἐδεξιώσατο καὶ δωρεαῖς ἐθεράπευσεν, εὐεργέτην καὶ σωτῆρα ἀποκαλῶν. ἀλλ' ὁ φθόνος ἴσχυσε κατὰ τοῦ τοιούτου ἀνδρός, καὶ εἰς καθοσίωσιν ἐκ λοιδορίας κατεγκλήθη. ὅθεν καὶ κίνδυνον οὐ μικρὸν ἑαυτῷ ἐνηργημένον κατανοήσας, καὶ διά τινος τῶν πιστοτάτων πληροφορηθείς, δούλου μὲν γεγονότος αὐτοῦ οἰνοχοοῦντος δὲ τότε τῷ βασιλεῖ Θεοφίλῳ, ὡς μέλλοι τοῦτον ἀποτυφλοῦν, ἀποστασίαν τολμᾷ καὶ πρὸς Ἀγαρηνοὺς μετατίθεται, μέγας καὶ παρ' αὐτοῖς ὀφθεὶς καὶ D μεγίσταις τιμαῖς γεραιρόμενος. στρατόν τε γὰρ ἐνεπιστεύθη πολύν, καὶ κατὰ τῶν γειτονούντων ἐχθρῶν, οἳ οὕτω δὴ Κερμάται καλοῦνται, ἐπέμφθη. ὃς μηδένα ἕτερον ἕπεσθαί οἱ θελήσας ἀλλ' ἢ μόνον τοὺς ἐν φυλακαῖς καθειργμένους Ῥωμαίους αὐτῷ συστρατεύεσθαι, νίκας μεγίστας καὶ καλλίστας ἠνέγκατο, ὡς καὶ αὐτὸ τὸ λεγόμενον Χωροσὰν ἐκπολιορκῆσαι. οὐ γὰρ μόνον τὸ κατ' ἀνδρίαν διαφέρον ἐξέπληξε τοὺς ἐναντίους, ἀλλὰ καὶ ἡ τῆς διαλέκτου παραλλαγὴ καὶ ἡ τῶν σχημάτων μεταβολὴ καὶ ἡ τοῦ πολέμου παράδοξος ἐξαλλαγὴ εἰς δειλίαν οὐ τὴν τυχοῦσαν συνήλασε τοὺς πολεμίους. καὶ οὐ κατὰ τῶν ἐχθρῶν μόνον οὕτως ὤφθη γενναῖος, ἀλλὰ καὶ κατὰ θηρίων ἀγρίων πημαινομένων τὴν χώραν ἠνδρίσατο. καὶ μεγάλων αἴτιος αὐτοῖς καλῶν γεγονὼς αὐτῷ τε

2 ἐδεξιοῦτο C 3 ὡς εὐεργ. C 5 κατεγκληθεὶς καὶ C 11 κερμάτοι C 12 ἀλλ' — 13 συστρατεύεσθαι om C 15 χωρησᾶν C 17 πολέμου om C 19 μόνον om C οὗτος C 20 κατὰ om C 21 αὐτός C

non est, denuo, et cum ne sic quidem Theophilus sequeretur, tertium reversus, mortem ei nisi comitaretur minatus, vix tandem praesenti periculo eripuit. ideo honoribus eum donisque dignis imperator remuneratus est, benefactorem ac servatorem fassus. ceterum invidiae tanta vis fuit ut per calumniam de maiestate accusato Manuelo summum creaverit periculum. quod is sentiens, et certior factus a fidelissimo quodam, qui aliquando ipsi serviverat, tunc autem imperatori erat a poculis, fore ut oculis ab hoc privaretur, defectionem conatus est transiitque ad Agarenos. magnus etiam apud hos fuit ac summis honoribus affectus. nam magno instructum exercitu Agareni miserunt contra vicinos suos hostes, qui vocantur Cermatae. Manuelus alios quam Romanos qui captivi in carceribus detinebantur, ducere noluit: horum exercitu composito magnas illustresque reportavit victorias, et ipsum quoque Chorosanem (castelli hoc nomen) expugnavit. non enim insigni tantum fortitudine sua terrorem hostibus intulit, sed et sermonis adversitate ac habitus et belli formae inopinata mutatione non in parvum eos metum coniiciebat. neque adversum hostes modo strenue se gessit, sed et contra feras regionem eam vastantes. et ob multa bona quae

ἠγαπήθη διαφερόντως τῷ ἄρχοντι τῶν Σαρακηνῶν καὶ τῇ γερουσίᾳ αὐτῶν. ταῦτα μανθάνων ὁ Θεόφιλος, ὡς εἰκὸς ἦν, ἠνιᾶτο, καὶ P 527 πάντα λίθον ἐκίνει ὡς ἂν τὸν ἄνδρα μετακαλέσοιτο. διὸ καὶ σταυρὸν καὶ χρυσόβουλλον διά τινος ἀγύρτου μοναχοῦ ἐκπέμπει τῷ Μανουήλ, ἐκκαλούμενος ἐπαναστρέψαι καὶ πᾶσαν ἀμνηστίαν κακῶν αὐτῷ χαριζόμενος δι' αὐτῶν. ἃ δὴ κομίσας ὁ εἰληφὼς εἰς χεῖρας λαθὼν τίθησι τοῦ Μανουήλ. καὶ δεξάμενος οὗτος, καὶ οἱονεὶ τὴν ψυχὴν ἐκκαυθείς, ἤδη δὲ καὶ πιστευσάμενος ἐκ τῶν προτέρων ἔργων, μηνύει τῷ ἄρχοντι τῶν Σαρακηνῶν ὡς πόθον τρέφει καὶ κατὰ Ῥωμαίων στρατεῦσαι καὶ τοὺς ἐχθροὺς ἀμύνασθαι οἳ κατεῖπον αὐτοῦ πρὸς τὸν βασιλέα, τὴν Καππαδοκίαν οἰκοῦντας. συνεκπεμφθῆναι δὲ αὐτῷ ἠξίου καὶ τὸν τούτου υἱὸν εἰς πλείονα B τῆς ὑπονοίας ἀναίρεσιν. κατένευσε τοῖς αἰτηθεῖσιν ὁ Ἰσμαήλ, καὶ δίδωσιν αὐτῷ τοῦ ἐκστρατεύειν ἄδειαν. ὡς δὲ ἤγγισε τοῖς Ῥωμαίων ὁρίοις, δῆλα ποιεῖ τὰ κατ' αὐτὸν τῷ τῆς Καππαδοκίας στρατηγῷ καὶ τὴν ἐσαῦθις ἐς Ῥωμανίαν ἐπάνοδον, καὶ ἅμα ἐδίδασκεν ὡς δεῖ κατὰ τὸν δεῖνα τόπον λόχον καὶ ἐνέδραν γενέσθαι, "ἵν' ὅταν ἐκεῖσε" φησί "γένωμαι, τοὺς μὲν Σαρακηνῶν προδρόμους ἐπ' ἄλλον τινὰ τόπον ἐξελαύνειν ποιήσω, αὐτὸς δὲ πρὸς τὰ Ῥωμαίων ἤθη ἀναδραμοῦμαι." ὃ καὶ γέγονεν. ὡς γὰρ κατὰ τὸ σύνθημα τῷ ὁρισθέντι ἐπλησίαζον τόπῳ, πολλὰ τὸν τοῦ Ἰσμαὴλ υἱὸν κατασπασάμενος "σὺ μὲν ὑγιὴς" ἔφη "ἄπιθι, τέκνον, C πρὸς τὸν σὸν πατέρα· ἐγὼ δὲ ἀπελεύσομαι πρὸς τὸν ἐμὸν βασιλέα

2 ἦν om C 6 ἃ διακομίσας C 10 καὶ post τρέφει add C ἀμύνασθαι post βασιλέα C 11 κατὰ τὴν C 16 ῥωμαίους C 17 χρὴ C

ab eo accepere Sarraceni, summe carus principi eorum ac proceribus fuit. haec Theophilus cum cognosceret, gravem, ut par erat, molestiam sensit; utque Manuelum ad se reduceret, nihil intentatum reliquit. tandem opera cuiusdam monachi, quales hinc inde per varias regiones vagari solent, crucem ei mittit et literas, ad revertendum cohortans, oblivionemque omnium offensarum promittens. Manuelus iis sibi occulte redditis, animo accenso, cum iam fidem suam Sarracenorum principi suis factis probasset, significat ei cupere se contra Romanos expeditionem suscipere et inimicos suos, a quibus apud imperatorem delatus fuisset, ulcisci, Cappadociam habitantes. filium quoque principis secum mitti petit, quo magis institutum celaret. assensit eius petitioni princeps Ismaelus. Manuelus finibus Romanae dicionis appropinquans praefectum Cappadociae de suis rebus edocet; simulque certo loco cum insidias collocare iubet, ut ipse, cum eo pervenisset, praecursoribus Sarracenorum alio dimissis in Romanorum dicionem ingredi possit. ergo ubi ad eum locum pervenit qui constitutus erat, filium Ismaeli prolixe salutatum salvum redire ad suum patrem iubet, se ad imperatorem do-

καὶ κύριον.” διασωθεὶς δ' ἐκεῖθεν πρὸς τὴν βασιλεύουσαν ἐντυγχάνει τῷ βασιλεῖ κατὰ τὸν ἐν Βλαχέρναις τῆς θεοτόκου ναόν, καὶ μάγιστρος παρ' αὐτοῦ τιμᾶται καὶ σύντεκνος ἔκτοτε χρηματίζει αὐτῷ. καὶ τὰ μὲν περὶ τοῦ Μανουὴλ ἔσχεν οὕτως· Θεοδότου δὲ τοῦ Μελισσηνοῦ, ὃν καὶ Κασσιτηρᾶν προσαγορεύεσθαι ὁ λόγος ἐγνώρισεν ἄνωθεν, ἐφ' ἱκανὸν τὸν τῆς Κωνσταντινουπόλεως θρόνον κατεσχηκότος, ἄρτι δὲ καταλύσαντος τὸν βίον, ὁ τοῦ Θεοφίλου παιδαγωγὸς Ἰαννὴς τὸν ἐκείνου διαδέχεται θρόνον, ἆθλον τὴν ἱερωσύνην λαβὼν ἀπιστίας καὶ ἀσεβείας.

D Ζητοῦντι δὲ τῷ βασιλεῖ Θεοφίλῳ ἐπιστατικῶς περὶ τούτων οἵτινες ἄρξουσι μετ' αὐτόν, γύναιόν τι ληφθὲν ἐκ τῶν Ἀγαρηνῶν κατά τινα τῶν προηγησαμένων πολέμων, εὐφυῶς ἔχον περὶ τὰς τοιαύτας προρρήσεις, παρέστη τῷ βασιλεῖ. ἤρετο οὖν ὁ βασιλεὺς ἃ δὴ καὶ ἐβούλετο, καὶ τίνων μακρὰν ἔσεσθαι τὴν διαδοχὴν τῆς βασιλείας ἀνειπεῖν προσέταττε. τοῦτο δὲ τὸ γύναιον, εἴτε ἐξ ἐνθουσιασμοῦ εἴτε καὶ ἐκ δαιμονικῆς ἐνεργείας κινούμενον, “σοῦ μὲν” ἔφη “ὦ βασιλεῦ διάδοχος ἔσται ὁ σὸς υἱὸς συνάμα τῇ ἰδίᾳ μητρί, μετὰ δὲ τοῦτον τὸ τῶν Μαρτιναχίων γένος διαρκέσει ἐπὶ πολὺ τῇ βασιλείᾳ.” ὁ δὲ ἅμα τῷ λόγῳ τὸν Μαρτινάκην, καίτοι στεργόμενον αὐτῷ, ἀπέκειρε μοναχόν, καὶ τὸν αὐτοῦ οἶκον κατα-
P 528 γώγιον ἀπέδειξε μοναστῶν. οὐ τοῦτο δὲ μόνον τὸ ῥηθὲν γύναιον, ἀλλὰ καὶ ἄλλα πολλὰ τῶν μελλόντων προεθέσπισε· τόν τε γὰρ

4 αὐτοῦ C 5 κασιτηρᾶν C 9 ἀσεβείας καὶ ἀπιστίας C 13 ἤρετο δὴ οὖν C 16 δαιμονίας C 17 ἔσεται ὁ υἱός C 18 τούτους τὸ μαρτινάκιον C 22 προανεθέσπισε C

minumque suum reverti indicans. salvus inde Cpolin pervenit, imperatoremque in Blachernensi templo accedit, ab eoque magistri honore afficitur et compater ipsius appellatur. hoc modo Manueli res acta. interim vita defuncto Theodoto Melisseno, quem supra ostendimus Cassiteram cognomento dictum, qui aliquamdiu patriarcha Cpolis fuerat, Iannes paedagogus Theophili succedit, sacerdotium istud impietatis suae atque perfidiae praemium adeptus.

Porro Theophilus imperator accurate de suis successoribus inquirens, mulierculam quandam bello de Saracenis captam et vaticinandi gnaram accivit, ac de iis quae volebat interrogavit, praecipue vaticinari eam iubens qui ab ipso essent imperio potituri. ista ergo muliercula, sive divino instinctu sive daemonica efficacitate mota, “tibi quidem” ait, “o imperator, filius tuus succedet, matre imperii socia. post eum vero genus Martinaciorum per multos annos imperium tenebit.” vix haec dixerat illa, cum illico Theophilus Martinacem, quanquam sibi dilectum, capite raso monachum facit, domumque eius in monasterium redigit. praeter hoc alia quoque futura sunt ab illa muliere praedicta,

πατριάρχην Ἰαννῆν ἐκπεσεῖσθαι τοῦ πατριαρχικοῦ θρόνου προήγγειλε, καὶ τὰς σεπτὰς εἰκόνας τὴν προσήκουσαν τιμὴν καὶ προσκύνησιν δέξεσθαι. ἐφ᾽ οἷς περιώδυνος γενόμενος ὁ Θεόφιλος παρεκάλει πολλάκις τὴν δέσποιναν καὶ τὸν τοῦ δρόμου λογοθέτην Θεόκτιστον, καὶ ὅρκοις κατεδέσμει φρικωδεστάτοις μετὰ τὸν ἑαυτοῦ θάνατον μήτε τὸν Ἰαννῆν μεταστῆσαι τοῦ πατριαρχείου μήτε τὴν προσκύνησιν τῶν εἰδώλων ἰδεῖν ἀνασχέσθαι. οὐ τὸ γύναιον δὲ μόνον προεφήτευε ταῦτα, ἀλλὰ καὶ Ἰαννῆς διὰ λεκανομαντείας καθαρῶς ἀπέδειξεν αὐτῷ τὸν μέλλοντα τὴν ἀρχὴν διαδέξασθαι. οὐ τῷ βασιλεῖ δὲ μόνῳ τὸ γύναιον τὰς πεύσεις διέλυσεν, ἀλλὰ B καὶ Κωνσταντίνῳ τῷ κατὰ τοὺς Τριφυλλίους μέγα δυναμένῳ τῷ τότε τὰ συμβησόμενα διετράνωσεν, αὐτόν τε καὶ τοὺς υἱοὺς μέλλειν εἰπὼν ὑπάρξεώς τε στερηθῆναι καὶ τὸ τῶν κληρικῶν ἀμφιάσασθαι σχῆμα· ὃ καὶ γέγονε μετὰ ταῦτα, τοῦ Βασιλείου τὴν ἀρχὴν διιθύνοντος. προεῖπε δὲ καὶ Γεωργίῳ τῷ στρατιωτικῷ τὸν κατειληφότα αὐτὸν θάνατον ἐν τῇ σφενδόνῃ τοῦ ἱπποδρομίου· ἐκεῖσε γὰρ μετέπειτα τοῦ Βασιλείου βασιλεύοντος ἀποστασίας ἐγκλήματι περιπεσὼν ἀπετμήθη.

Ἤδη δὲ τοῦ ἦρος διαλάμποντος οἵ τε Ἀγαρηνοὶ καὶ Θεόφιλος C κατ᾽ ἀλλήλων ἐξώρμησαν, ἀλλήλους δὲ πτοηθέντες ὑπέστρεψαν ἄπρακτοι. ὑποστρέψας δὲ ὁ Θεόφιλος πρεσβείαν ἐδέξατο τοῦ χαγάνου Χαζαρίας, ἐξαιτουμένου κτισθῆναι τὸ Μάρκελ ὀνομα-

1 πατριάρχην om C 3 δέξασθαι καὶ προσκύνησιν C 6 τῆς πατριαρχίας C 7 post εἰδώλων C: τὰς σεπτὰς εἰκόνας οὕτω καλῶν 14 ἀμφιέσασθαι C 22 σάρκελ C

nimirum patriarcham Iannem suo patriarchatu exutum, sacrisque imaginibus suum cultum venerationemque redditum iri. quare vehementi dolore concitus Theophilus saepenumero Augustam et Theoctistum dromi logothetam hortatus est ac iuramentis sibi religiosissimis devinxit, ne se mortuo Iannem patriarchatu dimoverent, neve idolorum (sic venerandas appellabat imagines) paterentur reduci cultum. neque muliercula tantummodo vaticinata erat, sed et Iannes divinatione per pelvim usus successorem imperatori perspicue demonstravit. praeter imperatorem aliis quoque ad interrogata respondit muliercula ista, quomodo et Constantino, cuius tum summa erat apud Triphyllios potentia, fore praedixit ut is cum filiis facultatibus privarentur habitumque clericorum induerent; quod etiam evenit Basilio imperante. et Georgio militiae praefecto ostendit eum in Funda Circi interiturum; atque eo loco is, Basilio imperante, capite est truncatus, cum defectionis esset accusatus.

Vere ineunte, Agareni et Theophilus ad bellum inter se gerendum facta expeditione alter alterius metu domum nulla re gesta redierunt. reversus Theophilus legatos a Chagano Chazariae regulo accepit, pe-

ζόμενον φρούριον· τοῦτο γὰρ ἐδόκει ἔρυμα καρτερὸν εἶναι τῆς τῶν Πατζινακῶν ἐφόδου, διεῖργον αὐτοὺς πρὸς τὰ μέρη τοῦ Τανάϊδος ποταμοῦ. οὗ ὑπακούσας τῇ αἰτήσει ὁ βασιλεὺς ἐξαπέστειλέ τινα Πετρωνᾶν, καὶ τὴν τούτων αἴτησιν εἰς πέρας ἤγαγεν. οὗτος ὑποστρέψας γνώμην ἐδεδώκει τῷ βασιλεῖ ὡς οὐκ ἄλλως ἄρξει τῆς Χερσῶνος βεβαίως ἢ στρατηγὸν προχειριζόμενος ἴδιον· μέχρι γὰρ ἐκείνου τοῦ χρόνου οὐδεὶς τῶν ἡμετέρων ἄρξων ἐκείνων D ἐστέλλετο, ἀλλ' ἐγχώριός τις πρωτεύων τὴν προσηγορίαν τὰ τῆς πόλεως ἦν διοικῶν. προσδεξάμενος οὖν τὴν αὐτοῦ συμβουλὴν ὁ βασιλεὺς οὐκ ἄλλον ἀλλ' ἐκεῖνον αὐτὸν ἐξαπέστειλε στρατηγὸν τῆς χώρας, διατάγματα πέμψας τῷ τότε πρωτεύοντι καὶ τοῖς ἄλλοις αὐτόχθοσι δυνατοῖς ὑπείκειν αὐτῷ ἀνενδοιάστως. ἔκτοτε οὖν ἐκράτησε στρατηγοὺς εἰς Χερσῶνα πέμπεσθαι.

Τῷ δ' ἐπιόντι ἐνιαυτῷ τῆς ἐαρινῆς ἐπιστάσης ὥρας ἔξεισι κατὰ τῶν Ἀγαρηνῶν ὁ Θεόφιλος μετὰ δυνάμεως καὶ χειρὸς πολλῆς. πρόεισι δὲ πορρωτέρω τῆς Συρίας, κείρων ὁμοῦ τὴν γῆν καὶ πορθῶν καὶ πᾶν τὸ προστυχὸν ληϊζόμενος. πόλεις τε γὰρ πολέμου νόμῳ κατέσχε δύο καὶ ἠνδραποδίσατο, καὶ αὐτὴν δὲ τὴν λεγομέP 529 νην Σωζόπετραν ἐξεπολιόρκησε, πατρίδα τυγχάνουσαν τοῦ ἀμερμουμνῆ· ὑπὲρ ἧς πολλὰ κατεδεήθη διὰ γραμμάτων οὗτος, φείσασθαι ἐκλιπαρήσας τῆς ἑαυτοῦ πατρίδος, εἰ καὶ μὴ προσέσχε τοῖς γραφομένοις ὁ βασιλεύς. καὶ ταῦτα διοικησάμενος ἐπάνεισι πρὸς τὴν βασιλεύουσαν ὁ Θεόφιλος, τὸν Θεόφοβον κατόπιν λιπὼν

3 ὧν P 19 σωζομένην C 20 οὗτος om C 23 ὁ Θεόφιλος εἰς τὴν βασιλεύουσαν C

tente ut castellum cui nomen Marcel conderetur: ea enim videbatur valida fore munitio ad Patzinacarum incursiones prohibendas, quos versus Tanain fluvium arceret. horum postulatis acquiescens Theophilus Petronam quendam misit, et quod isti petierant confecit. Petronas reversus imperatorem monuit non posse eum Chersonem tuto in sua potestate retinere, nisi eo peculiarem mittat praefectum. nam ad id usque temporis nemo nostrorum eo missus fuerat, sed indigena aliquis nomine primarii civitatem gubernarat. imperator approbato hoc consilio ipsi Petronae provinciam hanc committit, mittitque eum eo cum mandatis ad primarium reliquosque indigenas proceres, Petronae eos dicto sine tergiversatione audientes esse iubentibus. ex eo obtinuit ut praefecti Chersonam mittantur.

Sequentis anni vere appetente, Theophilus magnis cum copiis adversus Agarenos profectus vastando ac depraedando obvia quaeque longe est in Syriam progressus, duabus etiam urbibus expugnatis, hominibusque inde captivis abductis. expugnavit ipsam quoque Sozopetram, amermumnae patriam, frustra illo per literas multum deprecato ut suae patriae parceret. his gestis imperator Cpolin redit, relicto Theophobo,

ἐφ' ᾧ τε διαθέσθαι τὰ τοῦ στρατοῦ καλῶς καὶ διὰ τάχους πρὸς αὐτὸν ἐπαναδραμεῖν. ἀλλ' οἱ Πέρσαι διὰ τὴν τῶν σφῶν σιτηρεσίων ὑστέρησιν ὄντες περιαλγεῖς ἐν Σινώπῃ συσχόντες τὸν Θεόφοβον βασιλέα καὶ ἄκοντα ἀνεκήρυξαν, πολλὰ λιπαροῦντα καὶ ποτνιώμενον ἀποσχέσθαι τῆς τοιαύτης ὁρμῆς, καὶ ἐπαπειλοῦντα δεινὰ πείσεσθαι τούτους ὅσον οὔπω χάριν τοῦ τοιούτου τολμήματος. B ὡς δ' οὐ προσεῖχον αὐτῷ ἀλλ' ὅλῃ γνώμῃ καὶ προαιρέσει τοῦ ἐγχειρήματος εἴχοντο, λάθρᾳ τὰ τελεσθέντα γνωρίζει τῷ βασιλεῖ, καὶ ἐνόρκως πληροφορεῖ ὡς οὐκ αὐτὸς οἱ Πέρσαι δὲ τῶν τολμηθέντων αἴτιοι. καὶ τότε μὲν τὴν ἐκείνου προαίρεσιν ὁ βασιλεὺς ἀποδέχεται, καὶ πρὸς τὰ βασίλεια αὐτὸν εἰσκαλεῖ, τὴν προτέραν εὐκληρίαν ἀποδιδούς, συγγνώμην δὲ ἅπασι τοῖς Πέρσαις δίδωσι καὶ κακῶν ἀμνηστίαν. οὓς καὶ πεισθέντας ταῖς ὑποσχέσεσι καὶ τῆς Σινώπης ἀποδημήσαντας ἔγνω δεῖν ὁ βασιλεὺς διαστῆσαι καὶ μὴ τοσοῦτον πλῆθος ὁμοῦ διάγειν. καὶ ἐπείπερ εἰς τρεῖς μυριάδας τὸ πᾶν ἐκορυφοῦτο τῶν Περσῶν πλῆθος, καλῶς C σκεψάμενος ἑκάστῳ θέματι χιλιάδας ἐξαπέστειλε δύο, ὑπὸ χεῖρα τελεῖν προστάξας τοῖς ἐν αὐτῷ στρατηγοῦσιν. αὕτη ἡ αἰτία ὑπόπτους τε τοὺς Πέρσας ἐποίησε, καὶ μετ' οὐ πολὺ τὸν Θεόφοβον ἐξήγαγε τῆς ζωῆς. ἐγένετο δέ τις καὶ δευτέρα αἰτία, ἣν ὁ λόγος δηλώσει κατὰ τὸν οἰκεῖον καιρόν.

Ὁ δ' ἀμερμουμνῆς τοσοῦτον ἐτρώθη τὴν ψυχὴν ἐπὶ τῇ καταλύσει τῆς ἐκπορθηθείσης πατρίδος αὐτοῦ, ὡς πανταχοῦ θε-

1 ταχέων C 2 διὰ τὸ σφῶν σιτηρέσιον ὑστερῆσαν C 3 κατασχόντες αὐτὸν β. C 23 κατασχέσει C

qui exercitus rebus constitutis quam primum et ipse eo recurreret. ceterum Persae iniquissime ferentes tardius sibi solvi stipendia, Sinopae comprehensum Theophobum imperatoris titulo afficiunt, reluctantem sane multisque verbis ac querelis eos ab instituto dehortantem, minantemque eos propter id haud multo post graves poenas daturos. quod cum frustra se facere videret, ipsis toto animo omnique conatu propositum urgentibus, occulte rem imperatori significat, iureiurando confirmans non se, verum Persas facinoris huius auctores esse. ac tum quidem Theophilus voluntatem Theophobi approbavit, et in aulam revocato pristinam dignitatem restituit. Persis quoque delicti gratiam fecit et iniuriarum oblivionem promisit. qui cum fidem pollicitis habentes Sinopa discederent, dividere eos statuit, ne tanta multitudo (nam summa eorum ad triginta milia surgebat) simul degeret; utilique consilio bina in singulas provincias milia divisit, qui sub earum praefectis essent. haec res et Persas suspectos fecit, et non multo post Theophobo necem attulit. accessit tamen alia quoque causa, suo loco nobis exponenda.

Ceterum amermumnas excidio patriae animum ingenti dolore saucius, undique ex Babylonia Phoenicia Palaestina Coelesyria ulteriore-

σπίσαι πᾶσαν ἡλικίαν ἔκ τε Βαβυλωνίας καὶ Φοινίκης καὶ Παλαιστίνης καὶ κοίλης Συρίας, ἔτι δὲ καὶ τῆς πορρωτέρω Λιβύης ἀθροίζεσθαι. πάντα δὲ τὸν στρατευόμενον σὺν αὐτῷ γράφειν ἐπὶ D τῆς οἰκείας ἀσπίδος Ἀμώριον ἐκέλευσε, τὴν κατ' αὐτοῦ ὁρμὴν αἰνιττόμενος. συνήχθη γοῦν αὐτῷ πᾶς ὁ στρατὸς ἀνὰ τὴν Ταρσόν. ἐπεξῄει δὲ καὶ ὁ Θεόφιλος κατὰ τὸ Δορύλαιον, τριῶν ἡμερῶν ὁδὸν Ἀμωρίου ἀπέχον. πολλῶν οὖν συμβουλευόντων μετοικίσαι τὸν ἐν Ἀμωρίῳ οἰκοῦντα λαὸν καὶ ὑπενδοῦναι τῇ ἀσχέτῳ φορᾷ τῶν Σαρακηνῶν, τοῦτο μὲν ἄδοξον ἐδόκει τῷ Θεοφίλῳ καὶ ἄνανδρον, καλὸν δὲ καὶ πρὸς ἀνδρίαν εὔοδον τὸ μᾶλλον ἐποχυρῶσαι αὐτὸ καὶ στρατηγοῦ γενναίου διασῶσαι βουλῇ. ἐξαπέστειλε γοῦν Ἀέτιον τὸν πατρίκιον καὶ τῶν ἀνατολικῶν στρατηγόν, δοὺς αὐτῷ καὶ χεῖρα ἀρκοῦσαν εἰς ἀποτροπὴν τῶν ἐχθρῶν. ἐδίδου δὲ καὶ ἡγεμόνας τοῦ λαοῦ τοὺς μετὰ βραχὺ μαρτυρήσαντας, Θεόδωρον P 530 τὸν Κρατερὸν καὶ Θεόφιλον καὶ τὸν Βουβούτζικον καὶ τοὺς λοιπούς, οἵτινες οὐ μόνον τοῦ πεμφθέντος τότε λαοῦ ἀλλὰ καὶ τῆς φάλαγγος τῶν μβ' μαρτύρων γεγόνασιν ἀρχηγοί. ὡς δὲ κατὰ τὴν Ταρσὸν ἐπέστη μετὰ παντὸς τοῦ λαοῦ ὁ τῶν Σαρακηνῶν ἡγεμών, βουλευσάμενος μετὰ τῶν συνόντων αὐτῷ καὶ μαντευσάμενος δέον ἔκρινε μὴ εὐθέως χωρεῖν πρὸς Ἀμώριον, ἀποπειρᾶσαι δὲ πρότερον τῆς τοῦ βασιλέως δυνάμεως διὰ τοῦ υἱοῦ αὐτοῦ, μέρος λαβόντος τοῦ στρατοῦ, τοῦτο λογισάμενος, ὡς εἰ περιγένηται τοῦ βασιλέως

1 Βαβυλῶνος C 3 σὺν αὐτῷ om C 4 οἰκείας χώρας ἀμμόριον, omisso ἐκέλευσε C 6 ἐπέξεισι C 11 βουλαῖς C γὰρ C 15 βοβούτζικον C 22 τοῦ στρατοῦ om C

que etiam Africa copias conduxit, militibus mandato ut quivis scuto suo Amorium inscriberet. quo innuebat se Amorium aggredi velle. apud Tarsum omnes eius copiae convenerunt. Theophilus quoque expeditione facta ad Dorylaeum pervenit, quod tridui itinere abest ab Amorio. fuere tum multi qui suaderent imperatori ut Sarracenorum maiori quam quae inhiberi possit vi ruentium impetum declinaret, incolasque Amorii alio transferret. sed id infame ac parum virile ratus Theophilus, praeclarumque ac forte statuens urbem communire et strenui ducis consilio servare, Aetium patricium Orientalium ducem cum manu ad profligandos hostes idonea eo mittit. multitudini quoque praeficit eos qui paulo post martyres facti sunt, Theodorum Craterum Theophilum Bubutzicum et reliquos, qui non modo tunc missi exercitus, sed et cohortis quadraginta duorum martyrum fuerunt principes. Sarracenorum vero princeps postquam Tarsum toto cum exercitu venit, cum suis quid facto usus sit deliberat, divinatque non recta ad Amorium esse pergendum, sed mittendum cum parte exercitus filium, qui exercitum Romanum tentet. sic enim ratiocinabatur, si quidem filius imperatorem

οὗτος, ἕψεται πάντως ἡ νίκη καὶ τῷ πατρί, εἰ δὲ μή, βέλτιον
ἡσυχάζειν. ταῦτα βουλευσάμενός τε καὶ κρίνας ἐξέπεμψε τὸν
υἱόν, λαβόντα μεθ' ἑαυτοῦ καὶ Ἄμεραμ τὸν τηνικαῦτα διέποντα B
τὴν Μελιτηνὴν καὶ Τούρκους ὡσεὶ χιλιάδας δέκα καὶ πᾶσαν τὴν
ἐξ Ἀρμενίων στρατιὰν καὶ τὸν ἄρχοντα τῶν ἀρχόντων· ὃς κατὰ
τὸν λεγόμενον Δαζύμηνον γενόμενος παρεμβολὴν ἐπήξατο. ἀπῄει
γοῦν καὶ ὁ Θεόφιλος κατ' αὐτοῦ, στρατόπεδον ἐπαγόμενος οὐκ
ἀγεννές, ἔκ τε Περσῶν καὶ τῶν δυτικῶν καὶ τῶν πρὸς ἀνίσχοντα
ἥλιον συνιστάμενον. γενόμενος δὲ κατὰ τὸν οὕτω λεγόμενον
χῶρον Ἀνζὶν ἐπεθύμει κατασκοπεῦσαι πρὸ τοῦ πολέμου καὶ τῆς
προσβολῆς τὸ τῶν ἐναντίων ἄθροισμα. εἴς τινα δὲ ὑψηλοτάτην
περιωπὴν ὑπὸ τοῦ δομεστίκου τῶν σχολῶν ἀναχθεὶς Μανουὴλ
κατεσκόπει τὸ πλῆθος τῶν ἐναντίων, καί πως ἐκ στοχασμοῦ βα- C
ρύτερον ἐδόκει τὸ τῶν ἐναντίων πλῆθος. ἀλλ' ὁ Μανουὴλ "μὴ
πρὸς τὸ πλῆθος, ὦ βασιλεῦ, ἀπόβλεπε, πρὸς δὲ τὸν τῶν δορά-
των διάθρει καλαμῶνα τῶν ἀμφοτέρων." ἐπεὶ δὲ ἰσχυρότερος
ἐδόκει ὁ τῶν ἐναντίων στρατός, ἐβουλεύετο ὅπως ἂν αὐτοῖς ἐπί-
θηται μετὰ δόλου. ὁ μὲν οὖν Μανουὴλ ἅμα τῷ Θεοφόβῳ
νυκτὸς ἐπιθέσθαι τούτοις παρῄνει, οἱ δ' ἄλλοι τῶν στρατηγῶν
ἡμέρας τὴν συμβολὴν γενέσθαι προέτρεπον, οἷς ἐπέπειστο καὶ ὁ
βασιλεύς. ταύτης δὲ ἐπικρατεστέρας γενομένης τῆς γνώμης, ὡς
ἤδη ἡμέρα ἐπέλαμπε, μάχη συρρήγνυται φοβερά. καὶ τῶν βα-
σιλικῶν ταγμάτων εὐθύμως ἀγωνιζομένων οἱ Ἰσμαηλῖται ἐνέκλιναν D

3 ἄμερα C 6 δαζιμῶνα C 9 καλούμενον C 10 Ἀνζῆν C
11 Σαρακηνῶν C 23 ἐκθύμως C

vicisset, patrem quoque haud dubia potiturum victoria: si res secus caderet, praestare quietem. mittit ergo filium suum, et cum eo ameram qui eo tempore Melitenam gubernabat, et Turcorum ad decem milia, omnemque Armeniorum exercitum, et ducem ducum. atque hic castra ad Dazymenum posuit. contra hunc profectus Theophilus, exercitu ex Persis occidentalibus orientalibusque composito eoque nequaquam contemnendo, ut ad locum venit cui nomen Anzin, statuit ante conflictum multitudinem adversariorum contemplari. itaque a Manuelo scholarum domestico in sublimissimam eductus speculam, indeque hostiles contuitus copias, eas suis esse numerosiores coniecit, monente interim Manuelo ne multitudinem sed hastarum utriusque partis segetem consideraret. postquam hostium exercitum robustiorem suo iudicavit Theophilus, deliberatum est quomodo eum dolo aggredi posset. id cum noctu faciendum Manuelus ac Theophobus censerent, reliqui duces interdiu confligendum suasere, quibus et imperator assensit. hac ergo sententia praelata, prima luce praelium acerrimum est initum. quo in praelio cum imperatoriae cohortes fortiter pugnarent, Ismaelici fugae se dederunt. Tur-

εἰς φυγήν. τῶν δὲ Τούρκων ἐπιμόνως χρωμένων τῇ τοξείᾳ καὶ
τὸ καταδιῶκον τῶν Ῥωμαίων ἀνακεκρουκότων, παλίντροπον συνέβη
γενέσθαι τὴν μάχην· μὴ δυνάμενοι γὰρ οἱ Ῥωμαῖοι τὰ τῶν Τούρ-
κων φέρειν τοξεύματα τῷ βάλλεσθαι καρτερῶς, νῶτα δόντες τὸν
βασιλέα κατέλιπον. οὐ μὴν καὶ οἱ τῶν ταγμάτων ἔξαρχοι οὐδ' οἱ
Πέρσαι τοῦτο ἠνέσχοντο δρᾶσαι, ἀλλὰ περιστάντες τὸν βασιλέα
εὐρώστως σώζειν ἠπείγοντο. καὶ κἂν ἀπώλοντο πανδημεὶ οἱ περὶ
τὸν βασιλέα, εἰ μὴ νὺξ ἐπῆλθε καὶ βραχὺς ἐξ οὐρανοῦ κατηνέχθη
ὑετὸς καὶ τὰς μὲν νευρὰς τῶν τόξων χαλαρὰς εἰργάσατο, τοῖς δὲ
Ῥωμαίοις ἄνεσιν τὴν ἐκ τῶν βελῶν περιεποίησε καὶ σωτηρίας ἐνέ-
P 531 δωκεν ἀφορμάς. βαθείας δὲ νυκτὸς γενομένης, ὡς ἠσχόλητο
περὶ τὰς φυλακὰς ὁ Μανουήλ, γλώττῃ πως ᾔσθετο τῶν Σαρακη-
νῶν τοὺς Πέρσας τοῖς Σαρακηνοῖς σπενδομένους καὶ τὸ στράτευμα
τῶν Ῥωμαίων προδοῦναι καὶ πρὸς τὴν ἐνεγκαμένην παλινδρομῆσαι.
δῆλα γοῦν εὐθὺς ταῦτα ποιεῖ τῷ βασιλεῖ, καὶ σώζειν ἑαυτὸν μετὰ
τῶν λογάδων ἠξίου, καὶ μὴ περιμένειν τὴν ἅλωσιν. τοῦ δὲ βασι-
λέως "καὶ πῶς τοῦτο ἔσται" ἐπερωτήσαντος, "τῶν δι' ἐμὲ προσ-
μεινάντων ἀπολομένων," ὑπολαβὼν ὁ Μανουὴλ "σοὶ μόνον ἔστω,
βασιλεῦ," ἔφη "τὸ σώζεσθαι ἐκ θεοῦ, οὗτοι δὲ ταχέως τὰ κατ'
B αὐτοὺς διοικήσουσιν." ὀψὲ γοῦν κατὰ τὸ περίορθρον τοῦ βασι-
λέως φυγῇ χρησαμένου καὶ πρὸς τὸ λεγόμενον Χιλιόκωμον διασω-
θέντος, οἱ λειποτάκται ὑπήντων αὐτῷ, καὶ ἀναξίους ἑαυτοὺς ἔφα-
σκον τῆς ζωῆς βασιλέα ἐν πολέμῳ καταπροέντας, καὶ ἅμα τοῖς

4 κρατερῶς C 5 καὶ om C 7 οἱ περὶ τὸν βασιλέα om C
9 καὶ om C 14 ἐνεγκοῦσαν C

cis autem assiduo sagittarum usu instantibus Romanosque ab insecutione hostium repellentibus, mutata est pugnae fortuna. nam Romanae legiones vim Turcicarum sagittarum non sustinentes deserto imperatore fugerunt, ducibus legionum et Persis nihil in se tale admittentibus, sed imperatorem cingentibus ac pro eo summa vi decertantibus. et quidem tunc imperator cum suis occidione caesus fuisset, nisi et nox ingruisset et pluvia exigua delata nervos arcuum Turcorum relaxasset; quo factum ut Romani sagittarum liberati metu salutis parandae occasionem haberent. concubia nocte Manuelus dum excubias obit, Persas cum Sarracenis ipsorum lingua sentit colloqui, paciscique cum iis de prodendo Romanorum exercitu et repetenda patria. id statim aperit imperatori, eumque hortatur ut cum delectis fuga sibi consulat, ne in hostium perveniat manus. et respondenti imperatori fieri hac vix posse, praesertim perituris qui nunc sui causa secum mansissent, "tibi modo" inquit "deus salutem concedat: reliqui mox rebus suis consulent." imperatori sub ipsum demum diluculum fuga elapso et ad Chiliocomum perlato, milites quos ordinibus desertis terga dedisse commemoravimus occurrerunt, fassique se vita dignos non esse, qui imperatorem in pugna prodidissent,

ἑαυτῶν ἐγυμνοῦντο ξίφεσιν. ἀλλ' ὁ Θεόφιλος τῷ θεάματι τρωθεὶς τὴν ψυχήν, "εἰ ἐγὼ" φησὶ "σέσωσμαι ἐκ θεοῦ, σωθήσεσθε καὶ ὑμεῖς." αὕτη ἡ τῶν Περσῶν πρὸς τοὺς ἐξ Ἄγαρ κοινολογία τοῖς Θεοφόβου ἐχθροῖς καὶ θάνατον αὐτοῦ ψηφιζομένοις δευτέρα τις γέγονεν αἰτία καὶ ἀφορμὴ εὔκαιρος εἰς διαβολήν.

Τῷ δ' ἀμερμουμνῇ ἀκηκοότι τὴν νίκην ἔδοξε μὴ μέλλειν ἀλλ' ἀπιέναι πρὸς τὸ Ἀμώριον. ἀγείρας οὖν τὸ οἰκεῖον στράτευμα, καὶ τῷ υἱῷ δὲ ἐπιστείλας παραπλησίως ποιεῖν, εἴχετο τῆς C
ὁδοῦ. ἑνωθέντων οὖν τῶν στρατευμάτων χάραξ τε ἐπήγνυτο ὀχυρός, καὶ ἡ πόλις τάφρῳ βαθείᾳ ἐστεφανοῦτο, καὶ ἡ πολιορκία ἔμπρακτος καὶ ἐνεργὸς ἐγίνετο, τῶν μὲν Τούρκων ἐπιμόνοις καὶ συνεχέσι χρωμένων τοξεύμασι, τῶν δὲ Σαρακηνῶν τὰς ἑλεπόλεις προσαγόντων τοῖς τείχεσι, τῶν δ' ἔνδον τοῦ τείχους ἐναπειλημμένων Ῥωμαίων εὐψύχως καὶ ἡρωϊκῶς ἀγωνιζομένων καὶ τὰ τῆς πολιορκίας ἀποκρουομένων εὐπετῶς ὄργανα. ἡ μὲν οὖν πολιορκία τῆς πόλεως ἐκ διαδοχῆς ἐνηργεῖτο καὶ συνεχὴς ἦν καὶ ἀδιάκοπος, Θεόφιλος δὲ ἐκ τῆς τροπῆς μόλις διαφυγὼν καὶ πρὸς τὸ Δορύλαιον γενόμενος ἐκεῖσε προσεκαρτέρει τὴν ἔκβασιν ἐκδεχόμενος. D
ἀπεπειρᾶτο δὲ τῆς τοῦ ἀμερμουμνῆ γνώμης, εἴ πως δυνηθείη μεταστῆσαι τοῦτον τῆς πολιορκίας. ἐκπέμπονται οὖν πρεσβευταὶ μετὰ δώρων τιμίων καὶ ὑποσχέσεων οὐκ ὀλίγων τοῦτον ἐκδυσωπήσοντες, οἳ δὴ καὶ τὸ στρατόπεδον καταλαβόντες τῶν Σαρακηνῶν καὶ εἰς ὄψιν ἐλθόντες τῷ ἄρχοντι τὰ παρὰ τοῦ βασιλέως μηνυ-

2 σώθητε C 3 τοὺς ἀγαρηνοὺς C 7 ἀμμόριον C 14 ἐκψύχως C 17 τὸ δορυλαία C 21 ἐκδυσωπήσαντες libri

iam ferrum in se ipsos stringebant, cum imperator spectaculo illo animum perculsus, se divinitus servatum, proinde ipsos quoque salvos fore dixit. ceterum haec Persarum cum Sarracenis collocutio inimicis Theophobi eique mortem machinantibus secunda fuit et opportuna ad calumniandum occasio.

At amermumnas suorum cognita victoria nihil iam cunctari, sed Amorium petere statuit. collecto igitur suo exercitu, et filio ut idem faceret monito, iter iniit; cumque copias coniunxissent, castris vallo munitis Amorium profunda fossa circumvenit omnique vi oppugnare coepit, Turcis continenter sagittas iaculantibus, et Sarracenis machinas ad oppugnandum factas admoventibus, Romanis autem qui intus erant, animose urbem defendentibus machinasque prompte amolientibus. durante ita obsidione, nullamque intercapedinem oppugnandi faciente hoste, interim Theophilus aegre ex fuga elapsus Dorylaeum pervenit, ibique exitum operitur. et animum amermumnae tentandum sibi ratus legatos cum muneribus pretiosis multisque pollicitationibus mittit, petens ut obsidionem solvat. iique ut in castra Sarracenorum pervenerunt et in conspectum amermumnae venerunt, ea quae imperator mandaverat exponunt.

θέντα παρίστων. ὁ δὲ θυμῷ κατεχόμενος ἀσχέτῳ διὰ τὴν τῆς πατρίδος ἅλωσιν τὸν μὲν βασιλέα τῆς δειλίας κατεκερτόμει, ἐξουθένει δὲ καὶ τὴν πρεσβείαν καὶ ἐκωμῴδει, καὶ τοὺς πρεσβευτὰς ἐν δεσμοῖς κατεῖχε, περιμένων τὴν τῆς πράξεως ἔκβασιν. τὴν δὲ πολιορκίαν ἐπὶ πλέον ἐπέτεινεν, εἰς πολλὰ μέρη διελὼν τὸν στρα- P 532 τὸν καὶ ἐκ διαδοχῆς τὰς προσβολὰς ποιούμενος, ἵνα τῷ πλήθει καὶ τῇ ἀκμαιότητι τῶν ὑπαλλαττομένων ἀποκαμόντες οἱ ἔνδον καὶ πρὸς τοὺς πόνους ἀπειρηκότες ἐνδώσουσι. καρτερῶς δὲ καὶ τῶν ἔνδον ἀμυνομένων ἄπρακτοι αἱ ἐπιχειρήσεις τῆς πολιορκίας ἐγένοντο. καὶ κἂν διέφυγεν ἡ πόλις τὴν ἅλωσιν, εἰ μή τις τῶν εἴσω δώροις ὑποκλαπεὶς καὶ τὴν τῶν Χριστιανῶν ἐξομοσάμενος πίστιν διά τινα φιλονεικίαν, εἰς τοσοῦτον κίνδυνον ὀλισθήσας, προδοσίᾳ προύδωκε τὴν πατρίδα· Βαδίτζης ὄνομα τῷ ἀνδρί. οὗτος γὰρ λάθρᾳ τοῖς Σαρακηνοῖς ἐντυχών, καὶ ἔνθα τὸ τεῖχος εὐέφοδον ἦν, ποιεῖσθαι τὰς προσβολὰς ὑποθέμενος, αἴτιος ἐγεγόνει τοῦ τὴν B πόλιν ἁλῶναι. ἧς δὴ πολέμου νόμῳ ληφθείσης, ποῖος ἱκανὸς λόγος ἐξειπεῖν τὸ πλῆθος τῶν ἀναιρεθέντων καὶ τῶν αἰχμαλωτισθέντων; θυμῷ γὰρ βαλλόμενοι οἱ Σαρακηνοὶ διὰ τὸ πολλοὺς τῶν ἐπιφανῶν κατὰ τὸν καιρὸν τῆς πολιορκίας ἀναιρεθῆναι οὐδένα οἶκτον τῶν προστυχόντων ἐλάμβανον, ἀλλ' ἀνῃροῦντο μὲν ἄνδρες, ἤγοντο δὲ γυναῖκες σὺν μειρακίοις καὶ νεανίσκοις, ἐπυρπολοῦντο τὰ κάλλιστα τῶν οἰκημάτων, καὶ ἐν οὐ μακρῷ τῷ χρόνῳ ἡ τῶν

12 προδοσίᾳ om C 13 Βοϊδίτζης κλῆσις C 15 γέγονε C
21 δὲ] δὲ αἱ C 22 ἐπ' C

verum is ira ob excidium patriae implacabili ardens, imperatori timiditatem exprobrare, legationem deridere ac pro ludibrio habere, legatos in vinculis detinere, et finem rei praestolari, oppugnationem porro impensius urgere, divisoque in multas partes exercitu per vices urbem adoriri, sperare fore ut subinde aliis aliisque recentibus et integris viribus oppugnationi subeuntibus, qui intus erant, laboribus defatigati sese dedant. sed oppidani fortiter se tuebantur, neque oppugnationibus quidquam efficiebatur. omninoque capta urbs non fuisset, nisi proditio cuiusdam Amoriensis intercessisset. is Baditzes nomine, muneribus corruptus, eiurata ob contentionem quandam Christiana religione eo prolapsus est temeritatis ut patriam proderet, et occulto cum Sarracenis collocutus monuit ut ab ea parte urbem oppugnarent, qua facilius in muros evadi posse norat. expugnata urbe quantae caedes editae sint et quot captivi facti, dicendo exprimi non potest. nam Sarraceni irati quod durante obsidione multos suorum illustres amisissent, nulla eorum in quos incidebant miseratione moti, viros obtruncabant, mulieres cum infantibus et pueris rapiebant, pulcherrima quaeque aedificia incendebant. denique urbs Orientalium pulcherrima exiguo temporis spatio ita

ἱερῶν πόλεων διαπρεπεστέρα ἐκλελειμμένον ἐδείκνυτο ἐρείπιον. ἤγοντο δὲ ζωγρίαι καὶ οἱ τῶν στρατευμάτων ἐξάρχοντες, Κάλλιστός τε καὶ Κωνσταντῖνος καὶ Θεόδωρος ὁ Κρατερὸς οἱ πατρίκιοι, καὶ ἄλλοι πλεῖστοι τῶν ἐν στρατηγίαις διαφανῶν, μεγίστοις ἐμπρέποντες ἀξιώμασιν.

Οὕτω δὲ χειρωθείσης τῆς πόλεως τοὺς πρέσβεις ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς τῶν πραχθέντων ἕκαστον ἐπισκοπῆσαι ἐγκελευσάμενος, ὥσπερ τις ἐντρυφῶν καὶ ἐνευωχούμενος τοῖς πραχθεῖσιν, αὐταγγέλους τῆς συμφορᾶς ἐκπέμπει τῷ βασιλεῖ. οὓς πάλιν ἐκεῖνος πρὸς τὸν ἀμερμουμνῆν ἐξαπέστειλεν, ἀποδοθῆναί οἱ ζητῶν τούς τε ληφθέντας διαφανεῖς ἄνδρας ἐν τῇ πολιορκίᾳ καὶ τοὺς κατὰ γένος αὐτῷ προσήκοντας καὶ τοὺς λοιποὺς αἰχμαλώτους, εἴκοσιν ἐπὶ τέσσαρσι κεντηναρίους δώσειν ὑπισχνούμενος ὑπὲρ λύτρων αὐτῶν. ὁ δὲ τὴν πρεσβείαν δεξάμενος πάλιν τοὺς πρέσβεις μεθ' ὕβρεως ἀπέπεμψεν, ἀνόητος ἂν εἶναι εἰπὼν εἰ χίλια κεντηνάρια καταναλώσας ἐπὶ συλλογῇ τοῦ οἰκείου στρατοῦ τοσούτων ἀποδώσει τοὺς ἡλωκότας κεντηναρίων. ἀπράκτων δὲ τῶν πρέσβεων ὑποστρεψάντων τῇ ἀπληστίᾳ τῆς συμφορᾶς πληγεὶς ὁ Θεόφιλος, πᾶσάν τε βρῶσιν καὶ πόσιν ἀποστρεφόμενος καὶ σχεδὸν ἀπόσιτος γεγονώς, καὶ μηδὲν ἕτερον προσιέμενος ἢ τὸ ἐκ χιόνος ἀποθλιβόμενον ὕδωρ, δυσεντερίας ἑάλω νοσήματι. ἀλλὰ καίπερ οὕτως ἔχων πονήρως οὐκ ἠρέμει, οὐδὲ μετρίως ἔφερε τὴν τοῦ Ἀμωρίου καταστροφήν, ἀλλὰ καιρὸν καὶ τρόπον ἐζήτει πῶς ἂν ἀμύναιτο

3 ὁ] καὶ C 4 στρατηγίοις C 6 δὴ C 8 τις τοῖς πεπραγμένοις ἐντρ. C 15 ἀπέπεμψε μεθ' ὕβρεων C 22 ἀμμορίου C

perit ut nihil praeter rudera esset reliquum. captivi abducebantur cohortium ductores Callistus, Constantinus, Theodorus Craterus, patricii, cumque his alii plurimi, praeturis bellicis aliisque summis dignitatibus illustres.

Capto ad hunc modum Amorio, princeps Sarracenorum veluti insultans rebus gestis inque iis superbe comessans, legatos imperatoris omnia inspicere iussos quae acta essent, cladis nuntios ad dominum remittit. quos ille rursus ad amermumnam misit, petens sibi captos in urbis expugnatione illustres viros sibique genere propinquos et reliquos captivos reddi, promittensque pro eorum redemptione 24 centenaria. hos quoque ignominiose remisit barbarus, stolidum se fore fatus, si captos tot centenariis redderet, cum ipse mille centenaria in comparandas copias impendisset. legatis re infecta domum reversis, Theophilus mole calamitatis oppressus omnem pene cibum ac potum aversatus, tantumque aquam ex nive expressam admittens, in dysenteriam incidit. sed tamen quanquam ita afflictum Amorii excidium quiescere nequaquam passum est; quod aegerrime ferens occasionem modumque ulciscendi hostem

τὸν ἐχθρόν. διὸ καὶ στέλλει πρὸς τὸν ῥῆγα Φραγγίας τὸν πατρί-
κιον Θεοδόσιον, ἐκ τοῦ τῶν Βουβουτζίκων καταγόμενον γένους,
P 533 ἐπικουρίαν τε ἐξαιτῶν πεμφθῆναι, καὶ ἀποστεῖλαι δύναμιν ἀξιό-
μαχον καὶ κακῶσαι μέρη τινὰ τῆς Λιβύης τῷ ἀμερμουμνῇ διαφέ-
ροντα. ἀλλ' αὕτη μὲν ἡ πρεσβεία ἄπρακτος ἔμεινε, τοῦ Θεοδο-
σίου τὴν ζωὴν καθ' ὁδὸν καταστρέψαντος· ὁ Θεόφιλος δὲ καὶ
ταύτης διεκπεσὼν τῆς ἐλπίδος ἐπὶ πλέον τε ὑπὸ τῆς νόσου σφιγγό-
μενος ἄνεισι κλινήρης πρὸς τὴν Μαγναύραν, ἐν ᾗ τήν τε σύγκλη-
τον ἐκκλησιάσας καὶ τὸ λοιπὸν ἐμφανὲς μέρος τῆς πόλεως τὰ καθ'
ἑαυτὸν ἐξετραγῴδει καὶ ὠλοφύρετο, καὶ τοὺς συνειλεγμένους ἐζήτει
B τὴν εἰς αὐτὸν ἀπομνημονεύειν εὔνοιαν ἐν τῷ πίστιν καὶ εὐμένειαν
τηρῆσαι πρός τε τὴν αὐτοῦ σύζυγον καὶ τὸν παῖδα, καὶ διαφυλάτ-
τειν τούτοις τὴν βασιλείαν ἀνεπιβούλευτον. ἐπικλασθέντων δὲ
τῶν συνηθροισμένων τοῖς ἐλεεινοῖς τούτοις ῥήμασι τοῦ βασιλέως
ὀδυρμὸς ἤρθη καὶ κωκυτὸς παρὰ πάντων· καὶ πάντες θεοκλυ-
τοῦντες ηὔχοντο μὲν τῷ βασιλεῖ ὑγείαν τε καὶ ζωήν, εἰ δ', ὅπερ
ἀπευκτὸν ἦν αὐτοῖς, θάνατος, ἔλεγον, ἐπακολουθήσει, ὑπὲρ τῆς
αὐτοῦ γαμετῆς σφῶν δὲ δεσποίνης καὶ τῶν παίδων ὑπισχνοῦντο
καὶ αὐτάς, εἰ δεήσοι, προέσθαι τὰς ψυχὰς καὶ τηρῆσαι τούτοις
τὴν βασιλείαν ἀδιαλώβητον. καὶ οἱ μὲν κατεπηγγείλαντο ταῦτα,
ὁ δὲ βασιλεὺς Θεόφιλος ὑπὸ τῆς νόσου τελείως τακεὶς καὶ μικρὸν
C ἐπιβιοὺς τὸ κοινὸν ἀνεπλήρωσεν ὄφλημα, ἐπὶ δώδεκα ἔτεσι καὶ
μησὶ τρισὶ τὴν βασιλείαν ἰθύνας. ἐπεὶ δέ, ὡς φθάσας ὁ λόγος

5 τοῦ μὲν Θ. C 12 διαφυλάξαι C 20 ἀβλαβῆ C 21 Θεόφιλος om C 23 ὡς post ἐδήλωσε C

circumspiciebat. ea de causa Theodosium patricium, Bubutzica stirpe natum, ad regem Franciae ablegat, auxiliarias ab eo copias validas petens, hortansque ut is partes Libyae ad amermumnam pertinentes infestet. sed haec quoque legatio irrita fuit, mortuo in itinere Theodosio. Theophilus hac quoque spe lapsus, ingravescente insuper morbo, in lectica se ad Magnaurum deportari iubet; eodemque convocato senatu et parte civitatis nobiliore, suarum rerum miseram condicionem tragice deplorat, coetumque hortatur ut memores suae in ipsum benevolentiae fidem uxori suae porro filioque servent, iisque imperium ab insidiis tutum praestent. miserabili imperatoris oratione fractis concionis animis eiulatum universi sustulerunt, a deoque omnes salutem ac vitam imperatori flagitarunt, simul polliciti, si quid ei humanitus accideret, quod ipsi quidem abominarentur, se tum pro uxore eius, domina sua, et liberis ipsam quoque, si ita res postularet, vitam impensuros, iisque imperium incolume conservaturos. secundum haec Theophilus morbo plane consumptus paulo post debitum naturae persolvit, cum imperium annos 12 et menses 3 gessisset. cum autem ob praedictas causas locus esset

ἐδήλωσε, χώραν ἔσχον οἱ διαβάλλοντες τὸν Θεόφοβον ἀπὸ τῶν εἰρημένων αἰτιῶν, ὡς ἔγνω ὁ Θεόφιλος τὸ τέλος τῆς αὐτοῦ βιοτῆς, ἐν δεσμωτηρίῳ τίθησι τὸν Θεόφοβον ζοφωδεστάτῳ κατὰ τὸν Βουκολέοντα. καὶ ἤδη τοῦ τέλους ἐγγίζοντος προσέταξεν ἀποτεμεῖν τούτου τὴν κεφαλὴν καὶ αὐτῷ ἐνεγκεῖν. ἥνπερ δεξάμενος, καὶ ταῖς χερσὶ τῶν τριχῶν ἐπαφώμενος, ἔσχατον εἶπε λόγον, ὡς ἀπὸ τοῦ νῦν οὔτε ἐγὼ Θεόφιλος οὔτε σὺ Θεόφοβος. τινὲς δὲ τῷ Ὀρύφᾳ δρουγγαρίῳ τῆς βίγλας τυγχάνοντι ἀνατιθέασι τὴν τοῦ D
Θεοφόβου σφαγήν, αὐθαιρέτως αὐτὴν ἐργασαμένῳ μηδενὸς κελεύσαντος.

Καταστρέψαντος δὲ τοῦ Θεοφίλου τὴν ζωὴν ὁ παῖς αὐτοῦ Μιχαὴλ τὰ σκῆπτρα τῆς βασιλείας ἀναδέχεται σὺν τῇ μητρὶ Θεοδώρᾳ, ἐπιτρόπους ἔχων καὶ ῥυθμιστὰς οὓς αὐτῷ ἐνδιαθήκως ἐπέστησεν ὁ πατήρ, τόν τε μάγιστρον Μανουὴλ καὶ δομέστικον χρηματίσαντα τῶν σχολῶν, καὶ τὸν πατρίκιον Θεόκτιστον καὶ λογοθέτην τοῦ δρόμου. οἳ παραχρῆμα τοῦ θανεῖν τὸν Θεόφιλον ἐξελθόντες εἰς τὸν ἱππόδρομον, κἀκεῖσε τὸν δῆμον ἐκκλησιάσαντες, λόγους τε διῆλθον τῆς πρὸς αὐτοὺς εὐνοίας ἀναμιμνήσκοντες τοῦ τελευτήσαντος βασιλέως, καὶ ἐπαγωγὰ πολλὰ καὶ θελκτήρια λέξαντες τὴν τῶν ἀκουόντων εὐμένειαν ἐπεσπάσαντο, τὸ ἑαυτῶν ὑποσχομένων ἐκχέαι αἷμα ὑπὲρ τῆς σωτηρίας τοῦ βασιλέως Μιχαήλ. καὶ ὅρκοις εὐθὺς ἐνεπέδουν τοὺς λόγους. ἐγκρατοῦς P 534
δὲ τῆς βασιλείας σὺν τῷ υἱῷ γενομένης τῆς Θεοδώρας, εὐθὺς καὶ

3 αὐτὸν C   6 ἀπεῖπε C   11 υἱὸς C   13 ἐν διαθήκαις C
22 Μιχαὴλ om C

Theophobum apud imperatorem criminantibus, Theophilus vitae finem instare sibi sentiens Theophobum in carcerem obscurissimum compegit, qui est iuxta Bucoleontem. iamque moribundus caput eius amputari sibique adferri iussit. manibusque crines eius tangens haec ultima verba extulit "exinde neque ego Theophilus sum neque tu es Theophobus." quidam tamen Orypham drungarium vigiliae ferunt sua sponte et nemine iubente Theophobo vitam eripuisse.

Mortuo Theophilo filius eius Michaelus sceptrum imperii tulit, consorte matre Theodora. habuit autem tutores atque moderatores quos ei pater testamento praefecerat, Manuelum magistrum et scholarum domesticum, ac Theoctistum patricium et dromi logothetam. hi statim a morte Theophili in Circum progressi, vocato eodem ad concionem populo, verba mortui recens imperatoris commemoraverunt, eiusque benevolentiae commonefecerunt, ac multis blandis et ad animos conciliandos aptis verbis civium favorem novo imperatori paraverunt, promittentium se vel sanguinem suum pro eius salute profusuros, et dicta sua confestim iuramentis confirmantium. Theodora itaque cum filio summa rerum potita, imperio confirmato, nihil antiquius habuit quam ab initio

ἐκ προοιμίων ὑποθήκαις ἀνδρῶν εὐσεβῶν τὰ τῆς αἱρέσεως ἀνεσκοπεῖτο τῶν εἰκονομάχων, ἀπὸ τῆς βασιλείας Λέοντος τοῦ ἐξ Ἀρμενίων καὶ μέχρι τῆς τελευτῆς Θεοφίλου τὴν ὑπὸ Ῥωμαίους διανεμομένης. συνεπετίθετο δὲ τῇ καθαιρέσει ταύτης καὶ ὁ Θεόκτιστος. ὁ δὲ Μανουὴλ ἐπί τινα καιρὸν ὀκλάζων ἦν, οὐδεὶς δὲ παρρησιάζεσθαι ἐτόλμα, εἰς τοὐμφανὲς ἐνεγκεῖν λόγον περὶ τῆς ταύτης καταστροφῆς, τοῦ πλείστου μέρους τῆς συγκλήτου καὶ τῆς συνόδου καὶ αὐτοῦ τοῦ πατριάρχου τῇ αἱρέσει κατεσχημένων. μόνος δὲ τοῦτο ἐτόλμησε κινηθεὶς ἐκ θείας ἐνεργείας ὁ Μανουήλ.
B πρότερον μὲν γάρ, ὡς εἴρηται, ἐνδοιάζων ἦν περὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν, ὕστερον δὲ ταύτην ἠσπάσατο ἐκ τοιαύτης αἰτίας. νόσῳ κατεσχέθη χαλεπωτάτῃ, καὶ ἀπέγνωστο αὐτῷ ἡ ζωή, πάσης ἰατρικῆς τέχνης ἀποκαμούσης. ἦλθον οὖν τινὲς εἰς αὐτόν, ἀκηκοότες τοῦτον τεθνάναι, εὐλαβεῖς μοναχοὶ ἀπὸ τῆς τοῦ Στουδίου μονῆς· προσεγγίσαντες δὲ τῇ κλίνῃ, καὶ γνόντες αὐτὸν ἔτι ζῆν τε καὶ ἐμπνεῖν, εὐαγγελίζονται ζωὴν αὐτῷ καὶ ἀνάρρωσιν καὶ πρὸς τὴν ἔμπροσθεν ὑγίειαν ἀποκατάστασιν. ὁ δὲ πρότερον μὲν διηπίστει· ὅμως ἐνισταμένων τῶν θείων ἀνδρῶν, καὶ μὴ ἐνδοιάζειν λεγόντων πρὸς τὴν δωρεὰν καὶ δόξαν τοῦ θεοῦ
C τὴν ἀποκαλυφθεῖσαν αὐτοῖς, μικρὸν ἀνενεγκὼν τῆς νόσου οὕτως φησὶ πρὸς αὐτοὺς λεπτῷ καὶ ἀδρανεῖ τῷ ἄσθματι "καὶ πῶς ἔσται μοι τοῦτο, ὦ θεῖοι πατέρες; αἱ ψυχικαὶ δυνάμεις ἀπολελοίπασι, τὸ σῶμα τέλεον ἐξησθένηκε καὶ κατέσκληκεν. ἐγὼ δὲ κεῖμαι τετα-

6 παρρησιάσασθαι C 10 πανσέπτων C 12 κατ. ὁ δηλωθεὶς Μανουὴλ χ. C 20 τὴν δύναμιν τοῦ C

statim, quod pii homines hortabantur, de imaginiperdarum haeresi deliberare, quae ab imperio Leonis Armenii ad mortem usque Theophili per Romanam se propagaverat dicionem. ad eam exstirpandam Theoctistus quoque se socium praebuit, Manuelo aliquamdiu nutante. neque vero aperte quisquam rem aggredi audebat, cum maior pars senatus et concilii atque ipse etiam patriarcha haeresi ei essent dediti. solus hoc ausus est Manuelus, divina excitatus vi. cum enim de negotio isto aliquamdiu, ut diximus, anceps haesitasset, tandem ut serio id susciperet, hanc habuit causam. inciderat in gravissimum morbum, adeo quidem ut omni medicorum arte defatigata iam de vita eius desperaretur. eum accessere quidam pii monachi ex Studii monasterio, quibus nuntiatum fuerat esse mortuum; cumque ad lectum aggressi vivere adhuc et spirare sensissent, laetum ei de vita servanda pristinaque sanitate recuperanda nuntium praedicaverunt. cum autem initio diffideret, tamen instantibus divinis istis hominibus, prohibentibusque ipsum dubitare de dono dei et gloria ipsis patefacta, paululum se ex morbo colligens tenui ac imbecilla voce "quomodo" inquit, "divini patres, hoc mihi contingat? cuius et animae facultates defecerunt et corpus omnino con-

ῥιχνωμένος καὶ σκελετός, ἐν οὐδενὶ διαφέρων ἑτέρῳ τῶν τεθνηκότων ἢ μόνῳ τῷ ἀναπνεῖν. τίς οὖν ἐλπὶς ἢ ποῖος λόγος ἔσεται ὁ πείσων με ἀναρρωσθῆναι καὶ εἰς τὴν προτέραν εὐεξίαν ἐλθεῖν;" ὑπολαβόντες οὖν οἱ ὁσιώτατοι ἔφησαν πρὸς αὐτόν "πάντα δυνατὰ καὶ οὐδὲν ἀδυνατεῖ τῷ θεῷ. εἰ γοῦν σπουδάσεις ἀναρρωσθεὶς D
τὴν τῶν εἰκονομάχων ἀποσβέσαι πυρκαϊὰν καὶ τὰς ἱερὰς εἰκόνας κατὰ τοὺς παλαιοὺς καὶ πατρικοὺς θεσμοὺς ἀναστηλῶσαι, εὐαγγελιζόμεθά σοι τὴν ζωήν." εἶπον καὶ ὑπεχώρησαν. καὶ εὐθὺς ἥ τε νόσος ἐρρᾴισε καὶ αἱ φυσικαὶ ἐνέργειαι ἀκωλύτως ἐπετελοῦντο, καὶ ἐν βραχεῖ τῷ χρόνῳ τελείαν τοῦ ἀρρωστήματος ἐσχήκει ἀπαλλαγήν. ῥᾴων δὲ τῆς νόσου γενόμενος, ἐξιππασάμενος εὐθὺς ἄπεισι πρὸς τὸ παλάτιον καὶ εἴσεισι πρὸς τὴν βασιλίδα, καὶ πάντα τρόπον αὐτὴν παρεκίνει τὰς θείας ἀναστηλῶσαι εἰκόνας, πάλαι καὶ αὐτὴν ἀφορμῆς δράξασθαι γλιχομένην, διὰ παντὸς ἐρεθιζομένην καὶ παρὰ τῆς οἰκείας μητρὸς εἰς τοῦτο καὶ τῶν μητραδέλφων τῶν πατρικίων. ὅμως δὲ ἀντέπιπτεν ἡ Θεοδώρα τοῖς λόγοις τοῦ Μανουήλ, εἴτε τοὺς πρὸς τὸν ἄνδρα ὅρκους εὐλαβουμένη, εἴτε, ὡς ἔφαμεν, καὶ τὸ πλῆθος δεδοικυῖα τῶν τῇ αἱρέσει κατειλημμένων. ἐγκειμένου δὲ τοῦ Μανουὴλ ἔφη ἡ Θεοδώρα ὡς ὁ ἐμός, ὦ μάγιστρε, ἀνήρ τε καὶ βασιλεὺς ἀκριβείας ἦν ἐραστής, καὶ οὐδὲν ἀπερισκέπτως ἔπραξε πώποτε, καὶ τοῦτο τὸ δόγμα, εἰ μὴ ἀπηγορευμένον ἦν τοῖς ἱεροῖς νόμοις καὶ ταῖς ἁγίαις γραφαῖς, P 535

8 ἀναρρωσθήσεσθαι C 8 καὶ εὐθὺς] τῷ δὲ Μανουὴλ παραδόξως καὶ ὑπὲρ πᾶσαν προσδοκίαν C 11 ῥᾷον C 19 ἔφησεν C

fectum exaruit, ita ut totus exsiccatus solis reliquis ossibus iaceam; eoque tantum a cadavere differam, quod spiritum duco? qua ergo spe adducar ut credam me vires recepturum ac pristinae valetudini restitutum iri?" respondere monachi deum nihil non posse: quodsi ergo sanitate recepta operam sit daturus ut incendium ab imaginiperdis excitatum restinguat sacrasque imagines secundum vetera maiorum decreta restituat, se ei vitam certo promittere. atque haec fati discesserunt. statim vero et morbus remisit, et naturales facultates omni impedimento sunt liberatae, brevique temporis spatio infirmitate prorsus est solutus Manuelus. sic ergo allevato corpore statim equo ad palatium it, ingressusque ad imperatricem eam summopere ad reponendas sacras imagines exhortatur. ea vero iampridem occasionem huius rei agendae quaerebat, subinde instigata a matre sua et avunculis patriciis. nihilominus tamen verbis Manueli Theodora tum se opposuit, sive iuramenti marito praestiti religione, sive multitudinem, cuius mentionem fecimus, haeresis istius studiosorum reformidans. et instante Manuelo "meus" inquit, "o magister, maritus imperator accurationem amavit, nihilque unquam nisi re probe deliberata egit. itaque decretum quoque de colendis imaginibus non fuerat ecclesia eiecturus, nisi id legibus literisque

οὐκ ἂν ἐξώσει τῆς ἐκκλησίας. ταῦτα δὲ ἐκείνης εἰπούσης, ταχεῖαν ἠπείλησεν αὐτῇ καταστροφὴν τῆς ζωῆς καὶ τῆς βασιλείας ἔκπτωσιν, καὶ οὐκ αὐτῇ μόνον ἀλλὰ καὶ τῷ ταύτης υἱῷ, εἰ μὴ τὸν θεῖον B κόσμον τῶν ἱερῶν εἰκόνων ἀποδοίη ταῖς ἐκκλησίαις. τούτου τοῖς λόγοις εἴτε ἐκδειματωθεῖσα, εἴτε καὶ ἄλλως ἀρεσκομένη, ὡς εἴπομεν, ἡ βασιλὶς ὅλη τοῦ ἔργου γίνεται. καὶ εὐθὺς ἀγείρεσθαι ἐν τοῖς σκηνώμασι τοῦ Θεοκτίστου προσέταττε πάντας τοὺς ἐπὶ συνέσει καὶ λόγῳ κεκοσμημένους ἔκ τε τῆς συνόδου καὶ τῆς συγκλήτου, καὶ λόγους κινεῖν καὶ προβάλλεσθαι περὶ ὀρθοδοξίας. πάντων δὲ ὡς ἔπος εἰπεῖν συναθροισθέντων καὶ λόγων πολλῶν ῥυέντων, καὶ μαρτυριῶν ἀπὸ τῆς θείας γραφῆς παραχθεισῶν οὐκ ὀλίγων, τὸ εὐσεβὲς ὑπερίσχυσε μέρος καὶ δόγμα γέγονε τὰς θείας παραχρῆμα ἀναστηλοῦσθαι εἰκόνας, τῶν ἀρχιερέων καὶ μοναχῶν καὶ συγκλητικῶν, ὅσοι τῷ πάθει κατείχοντο πρότερον, τῶν πλειόνων C τὸ κρεῖττον μεταμαθόντων καὶ μεταστοιχειωθέντων πρὸς τὴν ἀλήθειαν, ὅσοις δὲ δευσοποιὰ καθίκετο ἡ τῆς εὐσεβείας βαφὴ καὶ ἀμεταθέτως εἶχον, ἀπεληλαμένων τῆς πόλεως καὶ ὑπερορίαις παραπεμφθέντων. καθῃρέθη δὲ καὶ ὁ δυσσεβὴς πατριάρχης Ἰαννῆς, καὶ τοῦ ἀρχιερατικοῦ θρόνου ἀπηλάθη δι' ἀποστολῆς ἀξιολόγων ἀνδρῶν τῶν εἰς φυλακὴν τεταγμένων τοῦ παλατίου. οἷς πρότερον μὲν κατελθεῖν οὐκ ἐπείθετο, οὐδ' ἑκὼν γε αὐτοῖς τῆς ἐκκλησίας ἐκστῆναι διεβεβαιοῦτο· ὡς δ' οὗτοι ὑποστρέψαντες

4 τούτοις C   13 ἀναστηλῶσαι C   14 συνείχοντο C (ει)
16 ὅσοις — 18 παραπεμφθέντων add C, cuius margo: δυσοποιὰ κοπροειδῆς· δεῖσα γὰρ ἡ κόπρος εἴρηται.   18 καθαιρεθέντος δὲ τοῦ δυσσεβοῦς πατριάρχου καὶ τοῦ ἀρχιερατικοῦ θρόνου ἀπορριφθέντος C   22 διεβεβαίου C

sacris scivisset damnari." haec locutae Manuelus praesentem imperii vitaeque finem, eademque filio minatus est, nisi divinum ornatum sacrarum imaginum ecclesiis redderet. quibus verbis Theodora sive perterrita sive alias, ut diximus, delectata, tota isti negotio sese dedit. statim itaque in tabernacula Theoctisti omnes convenire iubet, qui de senatoribus vel concilio sapientia erant ac doctrina ornati, eosque de vera religione in medium consulere. ibi omnibus, quantum eius fieri potuit, congregatis, cum varii essent sermones habiti et non pauca sacrae Scripturae testimonia producta, piae partis sententia obtinuit, decretumque de sacris imaginibus statim reponendis factum. eo in conventu principes sacerdotum, monachi ac senatorii viri, ante haeresi vitiati, maioris partis sententia docti veritatem errore damnato amplexi sunt. abrogatum etiam est patriarchae munus Ianni, missique praestantes viri, quibus palatii custodia erat demandata, qui eum solio deturbarent. Iannes primo cessurum se aut omnino ecclesia exiturum denegavit summa contentione. quam eius contumaciam cum, quos missos

πρὸς τὴν πέμψασαν βασιλίδα γνώριμα τεθείκασι τὰ τῆς ἀπειθείας, ὁ πατρίκιος θᾶττον ἐκπέμπεται Βάρδας, ὁ τῆς δεσποίνης ἀδελφός, τοῦ χάριν πευσόμενος μὴ τῇ ὀρθοδόξῳ πίστει τοῦ πατριαρχείου οὐκ ἀπανίσταται. ὁ δὲ Ἰαννῆς πανοῦργος ὢν καὶ συκοφαντίας ῥάψαι εἴπερ τις εἰδώς, μολίβδῳ καταστίξας τὴν D ἑαυτοῦ γαστέρα καὶ τὰ νῶτα καὶ τοὺς γλουτοὺς ὡς δοκεῖν μαστιχθῆναι παρά τινων, καὶ παρὰ τῶν πεμφθέντων ταῦτα παθεῖν κεκραγὼς βαρβαρικῶς ἐπιθεμένων αὐτῷ, καὶ μᾶλλον παρὰ Κωνσταντίνου τοῦ δρουγγαρίου τῆς βίγλας, ἠντιβόλει συγχωρηθῆναι πρὸς μικρόν, ἔστ' ἂν ἀφανισθεῖεν αὐτοῦ τὰ στίγματα. καὶ ὁ μὲν Ἰαννῆς ταῦτα, ὁ δὲ Βάρδας τοῦ σκαιωρήματος ἀπελεγχθέντος εἰς θυμὸν κινηθεὶς καὶ ἄκοντα τοῦτον τοῦ πατριαρχείου κατάγει. οὗ καταχθέντος ἡ δέσποινα ἀντεισήγαγε τὸν ἱερὸν καὶ θεῖον Μεθόδιον, ἔτι τῆς ὁμολογίας καὶ τῆς μαρτυρίας ἐν τῇ σαρκὶ τὰ στίγματα περιφέροντα, ἁπάντων τῶν εὐσεβῶν ἱερέων, λαϊκῶν τε καὶ μοναχῶν, ἀλλὰ καὶ τῶν ἐν τοῖς ὄρεσιν ἀσκουμένων μετὰ πολ- P 536 λῆς τῆς περιχαρείας ἀποδεξαμένων τὴν προβολήν, καὶ ἀθρόον τὴν βασιλίδα καταλαβόντων καὶ ὁμοφώνως αἰωνίῳ ἀναθέματι παραδεδωκότων τὴν αἵρεσιν τῶν εἰκονομάχων. ταῦτα μὲν ἐν προοιμίοις τῇ ἀοιδίμῳ Θεοδώρᾳ καὶ τῷ ταύτης υἱῷ κατεπράχθη τὰ κατορθώματα· ὁ δὲ ἀνίερος Ἰαννῆς ἐν μοναστηρίῳ τινὶ κατειρ-

2 ὁ τῆς — 3 χάριν add C 3 πεισθεὶς C 4 ὢν καὶ γράψαι καὶ συκ. P 5 συκοφαντίαν C 8 βαρβ. — 9 βίγλας add C 11 post Βάρδας P: ὁ τῆς βίγλας δρουγγάριος, παρ' οὗ καὶ καταικισθῆναι ὁ Ἰαννῆς ἔλεγε. 13 κατενεχθέντος C 15 φέροντα P πάντων C 19 τῶν εἰκονομάχων om C μὲν καὶ ἐν C 21 ἐν om C

ad eum diximus, Augustae indicassent, statim Bardas patricius mittitur, quaesitum ex eo an ob professionem verae religionis patriarchae loco cedere detrectaret. sed Iannes, homo versutus et ut quisquam alius fraudis calumniaeve suendae gnarus, ventrem suum dorsumque et nates plumbo compungit, ut a quibusdam flagris caesus videretur; vociferansque ita se ab iis qui missi fuerant tractatum, tantum sibi temporis concedi flagitat donec vibices eluerentur. Bardas autem vigiliae drungarius, a quo se ita caesum Iannes dicebat, impostura detecta, ira concitus, reluctantem etiam domo patriarchali eiicit. in eius locum imperatrix sanctum ac divinum Methodium introducit, qui adhuc confessionis suae et ob eam tolerati supplicii notas in carne sua gestabat, omnibus piis sacerdotibus, laïcis ac monachis, et iis etiam qui in montibus exercebantur, summo cum gaudio eius designationem approbantibus, ac confertim in urbem venientibus, unoque ore haeresim imaginiperdarum damnantibus aeterno anathemate. hoc praeclarum facinus inclyta Theodora et filius initio imperii sui ediderunt. impius vero Ian-

χθείς, καὶ ἔν τινι μέρει τούτου ἀνεστηλωμένην θεασάμενος εἰκόνα Χριστοῦ τοῦ θεοῦ καὶ τῆς θεομήτορος καὶ τῶν ἀρχαγγέλων, τῷ ἑαυτοῦ διακόνῳ προσέταξεν ἀναβάντι τῶν σεβασμίων εἰκόνων ἀνορύξαι τοὺς ὀφθαλμούς, εἰπὼν μὴ ἔχειν αὐτοὺς τὴν τοῦ ὁρᾶν δύναμιν. ὡς οὖν ἐπύθετο ταῦτα ἡ εὐσεβὴς δέσποινα, ζήλῳ θείῳ B *ἐκπυρωθεῖσα τοὺς αὐτοῦ προσέταξε διορυχθῆναι ὀφθαλμούς. ἀλλὰ τοῦτο μὲν οὐκ ἐγένετο μεσιτευσάκτων τινῶν, δορυφόρους δ' ἐκπέμψασα μάστιξιν αὐτὸν κατῃκίσατο λώρων διακοσίων.*

Ἤνεγκε δὲ τὸν Ἰαννῆν τοῦτον ἡ μεγαλόπολις αὕτη καὶ πασῶν προκαθημένη τῶν πόλεων, τῆς τῶν Μωροχαρζανίων καταγόμενον γενεᾶς. ἁψάμενον δὲ ἤδη καὶ γεροντικῆς ἡλικίας ἡ μονὴ τῶν καλλινίκων μαρτύρων Σεργίου καὶ Βάκχου ὥσπερ τινὰ δράκοντα ἐν ἐκκλησίᾳ φωλεύσαντα εἶχεν ἡγούμενον ἐν αὐτῇ, ἐν δὲ ταῖς κατὰ μικρὸν γενόμενον ἀναβάσεσι τῇ τε τῶν εἰκονομάχων ἀθέῳ αἱρέσει ἰσχυρῶς προστετηκότα καὶ γοητείαις προσανέχοντα καὶ λεκανομαντείαις C *διὰ βίου παντός, διαφερόντως ἀγαπηθέντα τῷ πατρὶ Θεοφίλου Μιχαὴλ τῷ τραυλῷ εἴτε τῷ κοινωνεῖν τῆς αὐτοῦ αἱρέσεως εἴτε καὶ τῷ λογιότητι κτήσασθαι δόξαν, τοῦ Θεοφίλου δὲ διδάσκαλον γεγονότα. καὶ ἐπεὶ οὗτος τὰς τῆς βασιλείας κατέσχεν ἡνίας, σύγκελλον μὲν τοῦτον τιμᾷ πρῶτον, εἶθ' ὕστερον καὶ πατριάρχην ἀποκαθίστησι Κωνσταντινουπόλεως, προγνώσεις τινὰς διὰ λεκανομαντείας καὶ γοητείας αὐτῷ ἀπαγγέλλοντα. κατέτρεχέ*

7 μεσιτευσάντων δ' ἐπιτηδείων τινῶν C   13 ἐμφωλεύοντα C δὲ om C   18 λογιωτα C

nes monasterio inclusus cuidam, cum in quadam eius parte suffixam imaginem Christi dei, deiparae et archangelorum cerneret, diaconum suum eo adscendere et venerabilium imaginum oculos eruere iubet, dicens eas facultate videndi non esse praeditas. hoc ut rescivit pia Augusta, divino animi fervore incensa ipsius effodi oculos iubet. verum intercessione quorundam effectum est ne id fieret. missis tamen satellitibus Theodora ducentis flagrorum ictibus eum multavit.

Natus fuit Iannes iste Cpoli, stirpe Morocharzaniorum. et iam ad senectam aetatem accedens in praestantissimorum martyrum Sergii et Bacchi princeps fuit monasterio, ibi in ecclesia veluti coluber quidam in antro delitescens. paulatim deinde progressus ad altiora fecit, per omnem vitam imaginiperdarum haeresi impense deditus, praestigiarum studiosus et divinationum per pelvim. carissimus fuit Michaelo Balbo, sive ob haeresis societatem, sive ob doctrinae opinionem, et praeceptor Theophilo eius filio datus. Theophilus imperio occepto primum ei syncelli dignitatem contulit, deinde patriarcham creavit Cpolis. solitus fuit ei pelvis vaticinio et praestigiis futura praedicere. etenim aliquando

ποτε τὸ Ῥωμαίων ἔθνος ἄπιστον καὶ σκληρόν, ὑφ' ἡγεμόσι τρισὶ στρατηγούμενον· καὶ ὡς εἰκὸς ἐπὶ τούτῳ τοῦ Θεοφίλου ἀνιωμένου, ἀποθέσθαι τὴν ἀθυμίαν ὁ Ἰαννῆς παρεκάλει καὶ θάρσους πληρω- D θῆναι, εἴγε μόνον τῇ αὐτοῦ συμβουλῇ πειθαρχήσειεν. ἡ δὲ συμβουλὴ τοιαύτη ἦν. ἐν τοῖς εἰς τὸν εὔριπον τοῦ ἱππικοῦ ἱσταμένοις χαλκοῖς ἀνδριᾶσι καί τις ἀνδριὰς ἵστασθαι ἐλέγετο τρισὶ διατυπούμενος κεφαλαῖς. προστάττει τοίνυν ὁ Ἰαννῆς ἰσαρίθμους σφύρας χαλκευθῆναι ταῖς κεφαλαῖς, ἀνδράσι τε ταύτας ἐγχειρισθῆναι κατὰ χεῖρα γενναίοις, κατά τινα δὲ τεταγμένην ὥραν νυκτερινὴν ἅμα αὐτῷ γενέσθαι πρὸς τὸν εἰρημένον ἀνδριάντα, καὶ ἡνίκα τούτοις κελεύσειε, παίειν ἰσχυρῶς ταῖς σφύραις τὰς κεφαλάς, μέχρις ἂν κατενεχθεῖεν εἰς γῆν ὡς ἐξ ἑνὸς κρούματός τε καὶ πλήξεως. ἡσθεὶς οὖν τοῖς λόγοις ὁ βασιλεὺς οὕτω γενέσθαι προσέταξε. καὶ γενομένων ἐκεῖσε τῶν ἀνδρῶν ἅμα τῷ Ἰαννῇ πόρρω νυκτῶν (ἦν δ' ὁ Ἰαννῆς μετὰ λαϊκοῦ τοῦ σχήματος, ἵνα P 537 μὴ κατάφωρος γένηται) τοὺς στοιχειωτικοὺς λόγους ἐπειπὼν καὶ τὴν ἐνοῦσαν δύναμιν ἐν τῷ τοιούτῳ ἀνδριάντι ἀφελόμενος παίειν τοὺς ἄνδρας ἐκέλευε νεανικῶς τε καὶ ἰσχυρῶς. καὶ οἱ μὲν δύο ἰσχυροτάταις χρησάμενοι ταῖς καταφοραῖς τὰς δύο τοῦ ἀνδριάντος ἀπέκοψαν κεφαλάς, ὁ τρίτος δὲ μαλακωτέραν ποιήσας τὴν πληγὴν μικρὸν μὲν κατέκλινεν, οὐ μὴν καὶ ὅλην τοῦ σώματος ἀπέτεμε τὴν κεφαλήν. οἷς δὴ παραπλησίως καὶ τὰ κατὰ τοὺς ἡγεμόνας τοῦ ἔθνους ἐπηκολούθησε· στάσεως γάρ τινος κραταιᾶς ἐπεισπεσούσης τῷ γένει, ταύτῃ δὲ καὶ μάχης ἐμφυλίου ἐπακολουθησάσης, B

11 σφαίραις C 17 ἐκ τῶν τοιούτων τοῦ ἀνδριάντος C
20 ἐπαίσας C, margo ἐπιθεὶς

cum infida atque saeva quaedam gens tribus ductoribus usa Romanam dicionem infestaret, eaque res Theophilum, uti par erat, solicitum teneret, Iannes cum dimissa animi aegritudine optime de rebus sperare iusserat, modo ipsius consilio parere vellet. consilium tale erat. inter aereas statuas, quae erant in euripo Circi, statua quaedam exstare ferebatur triceps. tres ergo malleos aereos fabricari iubebat Iannes, eosque tradi viris manu validis, qui constituta noctis hora secum ad statuam illam accederent, iisque, cum ipse mandasset, capita fortiter ferirent, dum ea veluti uno ictu atque impulsu in terram deiicerent. gratum hoc consilium imperatori fuit, iussitque ita fieri. ergo magna iam parte noctis exacta cum viris istis Iannes, qui ne agnosceretur, profano habitu se induerat, ad statuam venit, magicoque carmine recitato, iisque robore quod inerat statuae adempto, viros omni vi percutere capita statuae iubet. eorum duo validissimis ictibus duo capita statuae decusserunt: tertius remissius aliquanto feriens inclinavit quidem, non tamen a corpore totum avellit caput. eodem modo cum gentis eius ducibus actum fuit: nam seditione coorta, atque ea in pugnam intestinam eva-

οἱ δύο τῶν ἡγεμόνων πίπτουσιν, ἐπλήγη δὲ καὶ ὁ τρίτος, οὐ μήν γε καιρίως, ἤργησε δ' ὅμως ἐκ τῆς πληγῆς, καὶ οὕτως τὸ ἔθνος ἠσθενηκὸς οἴκαδε ἀπενόστησε. καὶ τὰ μὲν τῆς γοητείας οὕτως.

Τῷ δὲ γόητι τούτῳ Ἰαννῇ ἀδελφὸς ἦν σαρκικός, ὄνομα τῷ ἀνδρὶ Ἀρσαβήρ, τὴν τύχην πατρίκιος. τούτῳ προάστειον ἦν κατὰ τὸ εὐώνυμον μέρος τοῦ Στενοῦ, ἔγγιστα τῆς μονῆς τοῦ ἁγίου Φωκᾶ, οἰκοδομὰς ἔχον πολυτελεῖς, στοάς τε καὶ βαλανεῖα καὶ διατριβὰς ἄλλας ἐπιτερπεῖς. ἐκεῖσε δὲ ὁ γόης συχνὰς ποιῶν τὰς καταγωγάς, ὑπόγαιόν τι κατασκευάσας ἐνδιαίτημα καὶ τῷ Τρο-
C φωνίου παρόμοιον, ὄπισθεν δὲ πυλίδας δημιουργήσας εἴσω τοὺς θέλοντας παραπέμπειν, τοὺς βουλομένους ἐδέχετο ἐν ἐκείνῳ τῷ πονηρῷ ἐργαστηρίῳ, καὶ νῦν μὲν ἐταμιεύοντο θαλαμηπολούμεναι μονάζουσαί τε καὶ ἄλλως γυναῖκες τῷ κάλλει διαπρεπεῖς, αἷς συνεφθείρετο, νῦν δὲ ἡπατοσκοπίαι καὶ λεκανομαντεῖαι καὶ γοητεῖαι καὶ νεκυομαντεῖαι ἐνηργοῦντο, δι' ὧν πολλάκις συνεργείᾳ δαιμόνων τινὰ τῶν μελλόντων προέλεγεν. ἀλλὰ τοῦτο τὸ κτῆμα ἐλθὸν ὕστερον εἰς τὸν παρακοιμώμενον εἰς ἔδαφος καταστρέφεται, καὶ εἰς μονὴν κατεσκευάσθη ἐπ' ὀνόματι Φωκᾶ τοῦ μεγαλομάρτυρος.

Καθαιρέσει δέ, ὡς εἴπομεν, οὗτος καὶ οἱ τούτου μέτοχοι
D καθυποβληθέντες οὐδ' οὕτως ἡσυχίαν ἦγον, ἀλλὰ κατὰ τῶν ἁγίων ἔτι ἐνεανιεύοντο εἰκόνων καὶ πονηρὰ κατὰ τῶν εὐσεβῶν ἐμε-

4 Ἰαννῇ om C   11 τοὺς βουλομένους om C   20 μέτοχοι τῇ αὐτῇ καθαιρέσει καθ. P

dente, duo de ducibus ceciderunt, tertius vulnus accepit, sed non letale. nihilominus tamen rei gerendae eo facto inutili, gens ea viribus suis destituta domum rediit.

Fuit huic Ianni frater carnalis, nomine Arsaverus, patricius ordine. is suburbanum habuit ad Steni sinistram partem, proxime sancti Phocae monasterium, aedificiis sumptuosis instructum, porticibus balneis aliisque ad amoenitatem paratis operibus. ibi Iannes crebro solens diversari subterraneum quoddam domicilium Trophoniano adsimile fecit, in cuius postico fores erant ad intromittendos homines. in istam sceleratam officinam modo monachas aliasque insignes forma mulieres condebat, cumque iis rem habebat; modo iocinorum inspectiones, divinationes per pelvim, praestigiasque alias et mortuorum evocationes exercebat, ac saepenumero daemonibus adiuvantibus futura aliqua praedicebat. hoc suburbanum postea temporis imperatoris cubicularius nactus solo aequavit, monasteriumque ibi a magno martyre Phoca denominatum condidit.

Ceterum Iannes hoc quo dixi pacto, eiusque socii eadem ratione deiecti, non se tamen continuerunt quin et contra sacras imagines aliquid adhuc molirentur et piis insidias struerent. quo modo etiam inte-

λίτων. συκοφαντίαν γὰρ ῥάψαντες κατὰ τοῦ μεγάλου Μεθοδίου ἐπειρῶντο διαβάλλειν τὸν ἀνεπίληπτον καὶ οὕτω τὸν ὀρθόδοξον λυπῆσαι λαόν. χρυσίου γὰρ πολλοῦ ὑποφθείραντές τινα γυναῖκα καὶ ὑποσχέσεσιν, εἰ μόνον τούτοις συμφήσειε (μήτηρ δὲ τὸ γύναιον ἦν Μητροφάνους τοῦ μετέπειτα Σμύρνης προεδρεύσαντος), πείθουσι κατειπεῖν τοῦ ἁγίου πρός τε τὴν δέσποιναν καὶ τοὺς ἐπιτρόπους τοῦ βασιλέως ὡς εἴη αὐτῇ πεπλησιακώς. βῆμα γοῦν εὐθέως φρίκης μεστὸν ἐκ πολιτικῶν καὶ ἱερῶν ἀνδρῶν συγκροτούμενον. παρῆσαν οἱ εὐσεβεῖς κατηφείας καὶ λύπης πεπληρωμένοι, οὐκ ἀπῆσαν οἱ ἀσεβεῖς μῶμον ἐκ τῆς πράξεως οὐ τὸν τυχόντα P 538
προστριβῆναι τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ οἰόμενοι. παρῆσαν οἱ συκοφάνται μέγα φρονοῦντες ὡς τάχα τῆς κατηγορίας πρόχειρον ἐχούσης τὸν ἔλεγχον. παρῆγον εἰς μέσον τὸ γύναιον, καὶ ἃ ἐδιδάχθη τοῖς δικάζουσιν ἐθριάμβευεν. ἐσκυθρώπαζον οἱ δικασταί, καὶ τῶν ἄλλων πλέον ὁ μάγιστρος Μανουήλ, εἰ δι' ἑνὸς ἀνθρώπου κινδυνεύσει τὸ τῶν ὀρθοδόξων πλήρωμα γέλως γενέσθαι τοῖς ἀντιθέτοις. τούτων πάντων ἐπαισθόμενος ὁ ἱερὸς Μεθόδιος, καὶ τοὺς μὲν ἀσεβεῖς τῶν ἐλπίδων μεταστῆσαι βουλόμενος, τοὺς δ' εὐσεβεῖς ἀπαλλάξαι τῆς κατεχούσης βαρυθυμίας καὶ τῇ ἐκκλησίᾳ B
μὴ λίθος γενέσθαι προσκόμματος, μηδὲν τὸν ὄχλον ὑποστειλάμενος, ἀποσεισάμενος τὴν ἀναβολὴν ἐπ' ὄψει πάντων τῶν θεωμένων ἀπογυμνοῖ τὰ αἰδοῖα ὁ πάσης αἰδοῦς καὶ τιμῆς ὄντως ἄξιος. καὶ ἐφάνη τοῖς πᾶσι ταῦτα μεμαρασμένα ἀπό τινος νόσου

2 τὸ τῶν ὀρθοδόξων λυπῆσαι πλῆθος C 4 δὲ om C 17 ἐπησθημένος C 18 μεταστ. βουλ. add C

gerrimum Methodium calumnia circumvenire et verae religionis cultoribus dolorem afferre conati sunt. res ea ita acta. mulierem quandam (mater ea fuit Metrophanis, qui postea Smyrnae praesul factus est) multo auro pollicitationibusque corruptam subornant, quae Augustae et imperatoris tutoribus diceret a Methodio se esse stupratam. statim ergo terribile iudicium ex civilibus et sacratis hominibus cogitur concilium. adstant pii, moestitiae ac doloris pleni: non absunt impii, dedecus haud exiguum ea actione conciliatum iri piorum coetui sperantes. prodeunt calumniatores animis inflati, quod crimen id in promptu habere probationes fiderent, producta in medium muliercula, quae composito iudicibus rem narraret. iudices, et praecipue Manuelus, tristi vultu adsident, indigne ferentes unius hominis culpa coetum piorum in periculum ludibrii venire. quae omnia sentiens Methodius, ut et spes impiorum et piorum aegritudinem aboleret neque ecclesiae lapis offensionis esset, nihil multitudinem reveritus homo omni reverentia atque honore dignissimus, in conspectu omnium pudenda nudavit, quae nemo non videbat morbo quodam emarcuisse omnique naturali vi esse privata. pudore hoc factum opplevit calumniatores et malis gaudentes, pios autem lac-

καὶ τῆς φυσικῆς παντάπασιν ἐνεργείας ἄμοιρα. αἰσχύνης τὸ πρᾶγμα τοὺς χαιρεκάκους ἐνέπλησε καὶ τοὺς συκοφάντας, εὐφροσύνης δ' ὅτι πολλῆς καὶ θυμηδίας τοὺς εὐσεβεῖς. καὶ περιλαβόντες αὐτὸν μεθ' ὑπερβαλλούσης περιχαρείας κατησπάζοντο, περιεπλέκοντο, οὐκ εἶχον ὅπως τῷ πλήθει χρήσονται τῆς χαρᾶς. C καί τις τῶν γνησιωτέρων προσελθὼν ἠρέμα ἐπηρώτα τὸν πατριάρχην, τὸν τρόπον μαθεῖν ἐθέλων τοῦ μαρασμοῦ τῶν μορίων. ἀναλαβὼν δὲ οὗτος διηγεῖτο ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτιπερ ἐν Ῥώμῃ πεμφθεὶς πρὸς τὸν πάπαν διὰ τὰς κατὰ Νικηφόρου τοῦ ἁγιωτάτου πατριάρχου ἀνεγερθείσας ἐπαγωγὰς κἀκεῖσε διάγων ἠνωχλήθην ὑπὸ τοῦ φιλοσάρκου δαίμονος, ὃς οὐκ ἐνέλιπε νύκτωρ καὶ μεθ' ἡμέραν γαργαρίζων καὶ μίξεώς μοι σαρκικῆς ἀνακινῶν ἔρωτας. ἀναφλεγόμενος δὲ τῷ πάθει, ὡς ἤδη καὶ ἡττώμενος, ἔγνων Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων ἀναθέσθαι ἐμαυτόν, καὶ D τοῦτον ἐξελιπάρουν ἀπαλλάξαι με τῆς σωματικῆς ταύτης ὀρέξεως. καὶ τὸν ἐπιστάντα νυκτὸς ἅψασθαι τῇ δεξιᾷ χειρὶ τῶν αἰδοίων καὶ καταπρῆσαι, ἐπειπόντα τοῦ λοιποῦ μὴ πτοεῖσθαι τὴν φιλήδονον ὄρεξιν. διυπνισθεὶς δὲ μετὰ σφοδρᾶς ἀλγηδόνος εὑρέθην ἔχων ὡς ἐθεάσασθε. ταῦτα τοῦ πατριάρχου εἰπόντος, οὐκ ἀνάσχετον ὁ Μανουὴλ νομίσας τὸ τύρευμα ἔγνω ἐξετάσει δοθῆναι τὸ γύναιον ἐφ' ᾧ διασαφῆσαι τὴν μηχανορραφίαν. ξίφος τε οὖν εὐθὺς τούτῳ ἐπανετείνετο καὶ ῥάβδοι ἐκομίζοντο ἠκανθωμέναι, καὶ οἱ δήμιοι παρειστήκεισαν εὐτρεπεῖς. οἷς ἐκδειματωθεῖσα ἡ

3 πλείστης C προσβαλόντες αὐτῷ C 6 ἠρέμα om C
8 καὶ om C 12 γαργαλίζων C 14 ἀνέθηκα C

titia: qui ingenti cum gaudio Methodium cingentes salutabant atque amplectebantur, neque habebant quo modo voluptati suae satisfacerent. et quidam de notioribus placide aggressus ex eo quaesivit quonam modo virilia eius ita emarcuissent. cui is rem totam a principio narravit. se, cum Romae degeret, missus eo ad papam ob intentata Nicephoro sanctissimo patriarchae crimina, vexatum fuisse a carnis studioso malo genio, sine intermissione dies noctesque ipsum titillante et rei Venereae appetitum excitante. itaque se ardentem ea cupiditate, ac tantum non ei succumbentem, Petro apostolorum principi sese dedere statuisse, multisque ab eo precibus contendisse uti se libidine ista liberaret. hunc noctu adstitisse, ac virilia sua manu dextra tangentem combussisse, simulque dixisse nihil esse quod in posterum sibi ab ista metueret voluptatis concupiscentia. se ob vehementem dolorem somno excussum talem repertum fuisse qualem ipsi vidissent. haec cum ita narrasset patriarcha, Manuelus intolerabilem hanc fraudem iudicans statuit mulierculam quaestionibus adhibere, ut quae fuisset doli nectendi ratio intelligeret. statim ergo gladius stringitur, virgae igni candentes afferuntur, carnificesque parati adstant; quibus infelix ea perterrita rei veri-

δύστηνος τίθησιν ἔκπυστον τὴν ἀλήθειαν, τὴν μηχανὴν ὅπως ἐρράφη, τὴν ἀπάτην ἣν ἠπατήθη διά τε τῆς δόσεως τοῦ χρυσίου καὶ τῶν πολλῶν ὑποσχέσεων, τὰ πράξαντα πρόσωπα καὶ τὴν ὅλην σκευωρίαν τοῦ δράματος. προσετίθει δ' ὅτι καὶ εἰ ἀπέλθοι τις εἰς τὴν ταύτης οἰκίαν, εὑρήσει τὸ χρυσίον ἐν βαλαντίῳ ἔν τινι κιβωτίῳ σίτου πεπληρωμένῳ. εὐθὺς οὖν ἀποστέλλεταί τις τῶν P 539 δορυφόρων, καὶ τὸ χρυσίον ἤχθη, καὶ ἠλέγχθη τὸ δραματούργημα. καὶ κἂν οἱ συκοφάνται ταῖς προσηκούσαις ποιναῖς παρεδόθησαν, εἰ μὴ ἀνεξικάκως ὁ πατριάρχης ἀφεθῆναι τούτοις τὸ ἔγκλημα ἐξῃτήσατο, τὸν οἰκεῖον δεσπότην μιμούμενος, τοῦτο μόνον εἰς ἔκτισιν λαβὼν καὶ τιμωρίαν, τὸ ἀνὰ πᾶν ἔτος κατὰ τὴν τῆς ὀρθοδοξίας πανήγυριν αὐτὸς μὲν μετὰ λαμπάδων ἀπὸ τοῦ ἐν Βλαχέρναις τῆς παναχράντου ναοῦ πρὸς τὸν θεῖον τῆς ἁγίας σοφίας ἀφικνεῖσθαι ναόν, αὐτοὺς δὲ οἰκείοις ἐνηχεῖσθαι ὠσὶ τὸ ἀνάθεμα. ὃ καὶ μέχρι τῆς αὐτῶν ἐταμιεύθη ζωῆς. καὶ ἡ μὲν τῶν εἰκονομάχων αἵρεσις τοιοῦτον ἔσχε τὸν τρόπον τῆς καταλύσεως, ἡ δὲ τῶν ὀρθοδόξων ἐκκλησία τὸν οἰκεῖον ἀπέλαβε κόσμον, τὴν τῶν σεπτῶν εἰκόνων ἀναστήλωσιν.

Ταύτην τῆς ὀρθοδοξίας τὴν ἑορτὴν ἄγουσά ποτε ἡ μακαρῖ- B τις βασίλισσα Θεοδώρα τὸ πλήρωμα εἱστία τῆς ἐκκλησίας εἰς τὸ ἐν τῇ τοποθεσίᾳ τῶν Καριανοῦ ἀνάκτορον. ἠριθμοῦντο τοῖς ἑστιάτορσι καὶ Θεοφάνης καὶ ὁ τούτου ὁμαίμων Θεόδωρος οἱ γραπτοί. τῆς εὐωχίας δὲ παρακμαζούσης καὶ τῶν τραγημάτων,

4 εἰ om libri 6 οὖν om C 8 τιμαῖς C 14 νεὼν C 20 Θεοδώρα om C κατεσκεύαζε margo C 21 τὰ ἐν τῇ τ. τοῦ Κ. ἀνάκτορα C 22 Θεοφάνιος C

tatem palam fatetur, quo pacto structae insidiae, utque auro et pollicitationibus corrupta et decepta fuerit, qui commenti auctores; denique totam fabulam refert, additque domi suae aurum in sacculo repertum iri quadam in arcula frumenti plena. et missus eo satellitum quidam aurum statim attulit, detectaque res tota est. dedissentque dignas facinoris sui poenas calumniatores, nisi patriarcha, qua erat patientia, unam hanc ultionem petiisset, ut quotannis solemni orthodoxorum conventu sibi liceret a sanctissimo templo deiparae Blachernensi ad sanctae Sophiae templum praelucentibus facibus ire et in ipsorum aures detestationem obnuntiare. quod et per omnem eorum vitam factitatum est. hoc modo imaginiperdarum haeresis eversa, et ecclesia orthodoxorum sua ornamenta, nimirum sacrarum imaginum restitutionem, recepit.

Qua de re festum agens diem Augusta Theodora, in palatio quod est in Cariani regione coetum ecclesiasticum convivio accepit. fuere in convivarum numero Theophanes quoque et eius frater Theodorus, quos a notis faciei impressis Graptos vocant. vergente iam ad finem con-

πλακούντων δηλαδὴ καὶ πεμμάτων, παρατιθεμένων, συνεχῶς ἡ βασίλισσα εἰς τὰ τῶν πατέρων ἐνατενίζουσα πρόσωπα καὶ τὰ ἐνεστιγμένα τοῖς προσώποις αὐτῶν καταμανθάνουσα γράμματα στεναγμοὺς ἠφίει καὶ δάκρυα. εἷς δὲ τῶν πατέρων καταφωράσας τοῦτο τὴν αἰτίαν ἤρετο τῆς εἰς αὐτοὺς συχνῆς ἀτενίσεως. τῆς δὲ εἰπούσης "τὴν καρτερίαν ὑμῶν θαυμάζω, ὅπως ἐγκολαφθῆναι C τοῖς προσώποις ὑμῶν τοσαῦτα ὑπεμείνατε γράμματα, ταλανίζω δὲ καὶ τὴν τοῦ ταῦτα δράσαντος εἰς ὑμᾶς ἀπήνειαν," ὑπολαβὼν ὁ μακαρίτης Θεοφάνης "ὑπὲρ ταύτης ὦ δέσποινα τῆς γραφῆς" εἶπεν "ἐν τῷ τοῦ θεοῦ ἀδεκάστῳ βήματι δικασόμεθα σὺν τῷ ἀνδρί σου καὶ βασιλεῖ." ἐπλήγη σὺν τῷ λόγῳ τὴν καρδίαν ἡ δέσποινα, καὶ μετὰ δακρύων ἔφη πρὸς τὸν ἅγιον "καὶ αὕτη ἐστὶν ἡ ὑπόσχεσις ὑμῶν καὶ αἱ δι' ἐγγράφων ὁμολογίαι, ὡς μὴ μόνον οὐ συγκεχωρηκέναι ἀλλὰ καὶ πρὸς ἀγῶνας καλεῖν;" ἀνακαλούμενος δὲ ταύτην ὁ πατριάρχης καὶ ὁ λοιπὸς τῶν ἀρχιερέων ἑσμός, καὶ τὸ πολὺ τῆς λύπης ἐπικουφίζοντες, ἀναστάντες εὐθὺς ἔφησαν "αἱ μὲν ἡμέ- D τεραι ὦ βασιλὶς ὁμολογίαι τε καὶ συνθῆκαι ἀδιάπτωτοι καὶ ἀμετακίνητοι, τούτου δὲ τὴν ὀλιγωρίαν ἐᾶν χαίρειν καλόν." οὕτω μὲν κατεπραΰνθη τῆς δεσποίνης τὸ ἄλγος. ἀνεφύη δέ τις τηνικαῦτα αἵρεσις ἡ τῶν Ζιλίκων λεγομένη, ἥτις ἅμα τῷ ἀρχηγῷ Ζίλικι τοὔνομα, ἐν τοῖς ἀσηκρήτιαις τελοῦντι, ἀπέσβη καὶ διερρύηκεν, αὐτοῦ τε καὶ τῶν ἑπομένων αὐτῷ μετενεχθέντων εἰς θεοσέβειαν καὶ τῷ θείῳ μύρῳ χρισθέντων τε καὶ τελειωθέντων. καὶ τὰ μὲν κατὰ τὴν πόλιν ἐφέρετο τῇδε.

12 ἔφησε C 13 οὐ om C 15 θεσμός C, in margine κατάλογος 17 βασίλεια C 21 ἀσηκρῆτις C 24 τὴν om C

vivio, cum placentae et bellaria apponerentur, Augusta crebro horum frontes intuens, et quae iis inscripta erant legens, ingemiscebat ac lacrimabatur. quod alter eorum patrum sentiens causam tam crebri obtutus ab ea quaesivit. cumque respondisset mirari sese eorum patientiam quod tam multas sibi insculpi literas sustinuissent, miserarique eius in ipsos odium impotens a quo haec essent passi, Theophanes "huius" inquit "scripturae causam adversus imperatorem maritum tuum deo incorrupto iudice disceptabimus." hoc dictum Theodorae animum non mediocriter perculit, ploransque ad Theophanem ait "haec ergo est vestra promissio et scripta obligatio? qui non tantum non ignoscitis, sed etiam in ius vocare vultis?" eam patriarcha et pontificum coetus ut consolaretur ac gravi dolore levaret, surgens statim dixit "nostra quidem promissa et pacta firma et immota manent, huius vero contemptui vale dicere expedit." atque sic dolor Augustae mitigatus est. sub hoc tempus haeresis quaedam Zilicum nomine exorta simul cum principe suo Zilice, qui a secretis dignitate erat, exstincta et dissipata est, ipso et sectatoribus ad veram religionem conversis sacroque unguento delibutis et perfectis. is fuit rerum urbanarum status.

Βόγορις δὲ ὁ Βουλγάρων ἀρχηγός, γυναῖκα ἄρχειν Ῥωμαίων ἀκηκοὼς μετὰ παιδὸς ἁπαλοῦ, εἰς θράσος ἤρετο· ὅθεν καί τινας ἀγγέλους ἀπέστειλε πρὸς τὴν βασιλίδα, ἀπειλῶν λύειν τὰς συνθήκας καὶ εἰσβολὴν ποιεῖσθαι κατὰ Ῥωμαίων. ἡ δὲ βασιλὶς P 540 μηδὲν ἀγεννὲς μηδὲ γυναικεῖον ἐννοήσασα "καὶ ἐμὲ εὑρήσεις" μηνύει "ἀντιστρατεύουσαν, θεοῦ δὲ νεύσει καὶ κατισχύουσαν. εἰ δ', ὅπερ οὐκ ἔνι, ὑπερέξεις αὐτός, καὶ οὕτως ἡ νίκη ἐμή· γυναῖκα γὰρ ἔσῃ, ἀλλ' οὐκ ἄνδρα νενικηκώς." οἷς ὁ βάρβαρος διαταραχθεὶς ἡσυχίαν ἠσπάσατο καὶ τὰς προηγησαμένας ἀνενέου σπονδάς. διεπρεσβεύσαντο δὲ ἀλλήλοις πάλιν ἥ τε βασιλὶς καὶ ὁ ἄρχων, ἡ μὲν περί τινος Θεοδοσίου τοῦ ἐπίκλην Κουφαρᾶ, ἀξιολόγου ἀνδρὸς καὶ χρησίμου τῷ πολιτεύματι, αἰχμαλώτου ὄντος ἐν Βουλγαρίᾳ, ὁ δὲ περὶ τῆς οἰκείας ἀδελφῆς, κατά τινα προνομὴν ληφθείσης καὶ τοῖς βασιλείοις διατριβούσης. αὕτη γὰρ πρὸ B πολλοῦ ἀχθεῖσα αἰχμάλωτος, τὰ Χριστιανῶν τε μυηθεῖσα καὶ γραμμάτων μετασχοῦσα κατὰ τὸν τῆς αἰχμαλωσίας καιρόν, ἄρτι τε τῆς αἰχμαλωσίας ἀπολυθεῖσα, οὐ διέλιπε πρὸς τὸν ἀδελφὸν τὰ Χριστιανῶν ἐκθειάζουσα καὶ τῇ αὐτοῦ καρδίᾳ πίστεως καταβάλλουσα σπέρματα, προμυηθέντος ἤδη παρὰ τοῦ Κουφαρᾶ τὰ θεῖα μυστήρια. τοῦ ἀλλαγίου δὲ γενομένου καὶ τῆς γυναικὸς ἀποδοθείσης τῷ ἀδελφῷ, ἀντιδοθέντος δὲ τῇ δεσποίνῃ τοῦ Κουφαρᾶ, εἰ καὶ προενήχητο ὁ ἄρχων καὶ προετελέσθη τὰ θεῖα, ἀλλ' ἔτι τὴν αὐτὴν ἐφύλαττε ἀπιστίαν, τῆς οἰκείας θρησκείας ἐξηρτημένος. λιμοῦ δὲ σφοδροῦ τὴν χώραν τῶν Βουλγάρων C

2 ἀκηκοὼς post ἁπαλοῦ C   11 Θεοδώρου C

Bogoris porro Bulgarorum dux, mulierem cum tenero puero imperium Romanum tenere audiens, ferocia sumpta, nuntiis ad Theodoram missis minatus est se rupto foedere bellum illaturum. Theodora animo nequaquam muliebri aut abiecto respondit se bellum defensuram deique nutu victoria potituram; quanquam eam, vel si ipsa, quod futurum non sit, succubuerit, suam futuram, non viro sed muliere a Bogoride victa. hoc responso perturbatus barbarus quietem praetulit bello et antiqua foedera renovavit. rursum deinde utrinque missi legati, Theodora Theodosium cui cognomen Cupharas repetente, virum praeclarum ac rei publicae utilem, qui tum in Bulgaria captivus degebat, Bogoride sororem suam, quae quadam excursione jampridem capta in aula imperatoris asservabatur. haec ibi Christianae religionis doctrina et literis imbuta, postquam domum est remissa, nunquam cessavit fratri Christianam fidem praedicare et semina pietatis in animo eius iacere, initiati iam ante etiam a Cuphara. sed Bogoris facta permutatione, redditoque Augustae Cuphara et recepta sorore, tametsi rebus sacris institutus atque initiatus esset, tamen falsam suam religionem non deseruit. verum postquam pestis vehemens Bulgariam infestavit, neque ul-

κατεσχηκότος, καὶ πάσης βοηθείας ἀργούσης, τὸν τῶν Χριστιανῶν ὁ ἄρχων εἰς βοήθειαν ἐπεκαλεῖτο θεὸν τὸν ὑπὸ τοῦ Κουφαρᾶ καὶ τῆς αὐτοῦ ἀδελφῆς αὐτῷ μυσταγωγηθέντα. τὸ αὐτὸ δὲ τοῦτο καὶ τὸ ἔθνος ποιεῖν παρεσκεύασεν ἅπαν. καὶ τυχόντες ἀπαλλαγῆς, οὕτω δὴ πρὸς θεοσέβειαν μετατίθενται καὶ τοῦ λουτροῦ τῆς παλιγγενεσίας καταξιοῦνται, Μιχαὴλ κατονομασθέντος τοῦ ἄρχοντος κατὰ τὸ ὄνομα τοῦ βασιλέως τῶν Ῥωμαίων παρὰ τοῦ πρὸς αὐτὸν ἀποσταλέντος ἀρχιερέως καὶ τοῦ θείου μεταδεδωκότος λουτροῦ.

Συνέβη δὲ καὶ ἕτερόν τι τὸ ὁδηγῆσαν καὶ βεβαιῶσαν τὸν ἄρχοντα πρὸς εὐσέβειαν. ἀπλήστως οὗτος ἔχων πρὸς τὰ D κυνηγέσια, καὶ βουλόμενος τούτοις ἐντρυφᾶν μὴ μόνον ὅτε πρὸς θήραν ἐξίοι, ἀλλὰ καὶ ὅτε σχολάζοι, διὰ ζωγραφίας ἐντρυφᾶν τοῖς τοιούτοις, οἶκον δημιουργήσας νέον Μεθόδιόν τινα μοναχὸν Ῥωμαῖον τὸ γένος, ζωγράφον τὴν τέχνην, ἐκέλευσεν ἱστορίας πληρῶσαι τὸ οἴκημα. ὥσπερ δὲ ὑπό τινος ἐπιπνοίας θείας ὁδηγούμενος οὐκ ἐπέσκηψε ῥητῶς ὁποῖα δὴ καὶ τίνα τῶν ζῴων ἐξιστορήσοι, ἀλλ' ἐκέλευε γράφειν ἅττα καὶ βούλοιτο, φοβερὰ μέντοι εἶναι τὰ γραφόμενα καὶ πρὸς ἔκπληξιν καὶ δέος τῶν θεωμένων. ὁ δὲ μηδὲν ἕτερον εἰδὼς φρικωδέστερον τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ταύτην ἐκεῖ καθυπέγραψεν. ἰδὼν δὲ ὁ ἄρχων ἔνθεν μὲν τῶν δικαίων τὸν χορὸν στεφανούμενον ἐκεῖθεν δὲ τὸν τῶν ἁμαρτωλῶν κολαζόμενον, καὶ παρὰ τοῦ ζωγράφου συνεὶς τὸν νοῦν τῆς ζωγραφίας, εὐθύς τε τὴν οἰκείαν ἐξόμνυται θρησκείαν, καὶ κατηχηθεὶς,

5 τῆς τοῦ λουτροῦ καταξιοῦνται παλιγγενεσίας C 6 κατονομασθεὶς κατὰ C 17 ἐξιστορεῖν C

lum mali remedium fuit efficax, ibi tum Bogoris deum Christianorum, cuius religioni a Cuphara et sorore esset initiatus, in auxilium vocavit, utque idem facerent toti genti mandavit. liberatique lue, veram fidem amplexi lavacroque regenerationis potiti sunt. principi nomen Michaeli de nomine imperatoris inditum a patriarcha, qui eo ad baptizandum eum missus fuit.

Aliud quoque evenit, quod eum ad pietatem duxit in eaque confirmavit. supra modum venationibus delectabatur, quibus cupiens non tantum cum venatum exiret perfrui, sed etiam in otio, novam domum aedificavit, et monachum Methodium, Roma oriundum pingendique artificem, historiis eam totam exornare iussit. divinoque instinctu factum est ut non diceret nominatim quae animalia depingi vellet, sed pingere suo arbitratu, modo terribilis esset pictura, iuberet. monachus secundum Christi adventum depinxit, quod nihil eo terribilius sciret. princeps ab hac parte videns iustorum coetum expressum, ab altera impiorum supplicia perpetientium, edoctusque a pictore quid sibi ista vellent, illico

ὡς εἴπομεν, παρὰ τοῦ θείου ἐπισκόπου τὰ θεῖα μυστήρια ἀωρὶ P 541
τῶν νυκτῶν τοῦ θείου μεταλαμβάνει βαπτίσματος. οἱ δὲ τοῦ
ἔθνους ἄρχοντες καὶ τὸ κοινὸν τὴν τῆς θρησκείας ἐγνωκότες μετα-
βολὴν κατεξανίστανται τοῦ ἄρχοντος καὶ ἀνελεῖν ἐσπούδαζον.
τούτους δ' ἐκεῖνος μετὰ τῶν περὶ αὐτὸν ὀλίγων ὄντων τρεψάμενος,
τοῦ σταυρικοῦ τύπου προηγουμένου, τῷ παραδόξῳ καταπλαγέντας
χριστιανίσαι πεποίηκε. μεταβληθέντος δὲ παντὸς τοῦ ἔθνους πρὸς
θεοσέβειαν, γράφει πρὸς τὴν δέσποιναν ἐξαιτῶν δοθῆναί οἱ γῆν,
στενοχωρουμένων τῶν ὑπ' αὐτόν, ὑπισχνούμενος ἑνοποιῆσαι τὰ
ἔθνη καὶ εἰρήνην ἐργάσασθαι ἀΐδιόν τε καὶ ἀμετάβλητον. ἡ δὲ
βασιλὶς ἱλαρῶς λίαν τὴν ἱκετείαν προσήκατο, καὶ δέδωκεν ἔρημον B
οὖσαν τηνικαῦτα τὴν ἀπὸ τῆς καλουμένης Σιδηρᾶς, ὅριον τότε
τυγχάνουσαν Ῥωμαίων τε καὶ Βουλγάρων, ἄχρι τῆς Δεβελτοῦ,
ἣν οἱ Βούλγαροι Ζαγορὰν κατωνόμασαν. τοῦτον οὖν τὸν τρόπον
ἡ πᾶσα Βουλγαρία μετερρυθμίσθη πρὸς θεοσέβειαν, καὶ ἡ δύσις
εἰρήνης καθαρωτάτης ἀπήλαυσε. καὶ τὰ μὲν κατὰ τὴν ἑσπέραν
αἰθρία εἶχε, καὶ σταθηρὰ εὐσέβεια ἐπολιτεύετο.

Ἀγαλλομένη δὲ ἡ βασιλὶς ἐπὶ τῷ γεγονότι καὶ τερπομένη,
καὶ οἷον ἐπαυξῆσαι τὸ καλὸν σπουδάζουσα, τοὺς κατὰ τὴν ἀνατο-
λὴν Μανιχαίους, οὓς δὴ καὶ Παυλικιάνους ἀπὸ τῶν αἱρεσιαρχῶν
ἡ κοινολεξία οἶδε καλεῖν, μεταγαγεῖν ἐσπούδασε πρὸς θεοσέβειαν, C
ἢ εἰ μὴ τοῦτο, ἐξᾶραι τελέως καὶ ἀπ' ἀνθρώπων ποιῆσαι. ὃ δὴ
καὶ πολλῶν συμφορῶν τὴν οἰκουμένην ἐνέπλησεν. οἱ γὰρ ἐπὶ τῷ

11 ἱκεσίαν C   13 τυγχανούσης C   21 εὐσέβειαν C

suam eiuravit superstitionem; institutusque, ut diximus, a sancto episcopo divinis arcanis, intempesta nocte baptizatus est. contra eum proceres Bulgarorum ac populus insurrexerunt, et interficere conati sunt. quos ille parva suorum manu, crucis signo praelato, fudit, reque inopinata territos ad fidem Christi perduxit. tota gente Bulgarica Christianam religionem amplexa, per literas Augustam orat ut suis locorum angustia pressis aliquid terrae largiatur, populos se uniturum pacemque aeternam facturum promittens. quam petitionem hilariter admodum Theodora accepit, deditque Bulgaris quidquid soli a Ferrea (loci nomen est, limes eo tempore dicionum Romanae ac Bulgaricae) usque ad Debeltum est, quod tum erat desertum. eam terram Bulgari Zagoram denominaverunt. hoc modo universa Bulgaria pietati se dedit, et in Occidente tranquillissima pax fuit veraque religio viguit.

Quo successu gaudens seque oblectans Theodora, tantumque bonum veluti augere cupiens, Manichaeos, qui per Orientem sunt et vulgo Pauliciani a principibus haeresis usurpantur, aut ad pietatem traducere, aut si hanc amplecti detrectarent, exstirpare et ex hominum numero tollere instituit. quae res magnis orbem terrarum calamitatibus

πρᾶξαι τὸ πρόσταγμα ἐκπεμφθέντες (ὁ τοῦ Ἀργυροῦ δὲ ἦν Λέων καὶ ὁ τοῦ Δοῦκα Ἀνδρόνικος καὶ ὁ Σούδαλις) μὴ μετρίως ἀλλ' ἀγρίως τῷ ἐπιτάγματι χρώμενοι τοὺς μὲν ξύλοις ἀνήρτων, τοὺς δὲ ξίφει παρεδίδοσαν, ἄλλους δὲ ἄλλαις κακῶν ἰδέαις παρέπεμπον, καὶ ποικίλοις καὶ παντοδαποῖς κολάσεων τρόποις ὡς δέκα μυριάδας ἀνδρῶν ἀπώλεσαν καὶ τὰς ὑπάρξεις αὐτῶν ἐδημοσίευσαν, ὡς ἐντεῦθεν τὸ λοιπὸν ἐπαναγκασθὲν πλῆθος πρὸς ἀποστασίαν ἀπιδεῖν. ἡ δὲ ἀρχὴ τῆς ἀποστασίας γέγονε τοῦτον τὸν τρόπον. ἐστρα-
D τήγει τῶν ἀνατολικῶν Θεόδοτος ὁ Μελισσηνός, ὑπηρέτει δὲ τούτῳ τὴν τοῦ πρωτομανδάτορος πληρῶν ἀρχὴν ἀνήρ τις τὴν κλῆσιν Καρβέας, τῇ πίστει τῶν Μανιχαίων κατάσχετος. οὗτος τὸν ἑαυτοῦ πατέρα ἀνεσκολοπίσθαι μαθών, καὶ πέρα δεινοῦ τὸ πραχθὲν ἡγησάμενος, φυγὰς μετὰ καὶ ἑτέρων ὁμοπίστων πεντακισχιλίων πρὸς Ἄμερα παραγίνεται τὸν τῆς Μελιτηνῆς ἀμηρᾶν, κἀκεῖθεν πρὸς τὸν ἀμερμουμνῆν. παρ' ἐκείνου δὲ μετὰ πολλῆς ἀποδεχθέντες τιμῆς, καὶ λόγους ἀσφαλείας καὶ δόντες καὶ λαβόντες, ἐξέρχονται μετ' οὐ πολὺ κατὰ τῆς τῶν Ῥωμαίων γῆς, πόλεις τε ἤρξαντο κτίζειν τὴν Ἀργαοῦν λεγομένην καὶ τὴν Ἄμαραν. καὶ ἐπεὶ πρὸς πολυανδρίαν ἐπεδίδοσαν ἀεὶ συρρεόντων τῶν διὰ τὸν φόβον ἀποκεκρυμμένων Μανιχαίων, προσέθεσαν ταῖς δυσὶ ταύ-
P 542 ταις πόλεσι καὶ τρίτην, ἣν Τεφρικὴν κατωνόμασαν. ἐξ ὧν ὁρμώμενοι καὶ τῷ τῆς Μελιτηνῆς ἀμηρᾷ συμμιγνύμενοι Ἄμερι καὶ Ἀλεὶμ τῷ τῆς Ταρσοῦ, οὐκ ἔληγον ἀφειδῶς τὴν Ῥωμαίων κατα-

2 δουκὸς C   σουδάλης C   3 ξύλῳ C   5 ὡσεὶ C
18 τὸν ἄμαρον C

implevit. nam qui ad eam rem agendam missi fuerunt, Leo Argyri et Andronicus Ducae filius ac Sudalis, non moderate sed crudeliter negotium aggressi, Manichaeorum alios in cruces agebant, alios gladiis caedebant, alios aliis, quorum innumera adhibebant genera, suppliciis tollebant e medio. centum hominum milia ea ratione interfecerunt, publicatis eorum bonis. itaque reliqua multitudo necessitate ita urgente ad defectionem spectavit. eius tale fuit initium. Theodoto Melisseno Orientalium praefecto inserviebat Carbeas quidam, protomandatoris officium gerens, Manichaeus secta. is cum inaudivisset patrem suum in palum actum idque facinus iniquissime ferret, profugus cum 5 milibus eiusdem secum religionis ad Amerem venit Melitenae ameram, atque ab hoc ad amermumnem. ab hoc honorifice acceptus, dataque et accepta fide, paulo post Romanorum dicionem invadit, et urbes condit, quarum nomina Argaunum et Amara; cumque eae hominum multitudine auctae essent, sensim eo confluentibus Manichaeis qui se ob metum occultaverant, duabus urbibus tertia addita est, Tephrica nomine. his ex urbibus erumpentes, et se cum amera Melitenae Amere et Alimo Tarsi praefecto coniungentes, nullam Romanorum dicionem incursionibus ac

τρύχοντες καὶ λυμαινόμενοι γῆν. ἀλλ' ὁ μὲν Ἀλεὶμ ἔν τινι τῶν Ἀρμενίων χώρᾳ μετὰ τοῦ οἰκείου στρατοῦ ἀπελθὼν τὸν βίον κατέλυσε σὺν παντὶ τῷ αὐτῷ ἑπομένῳ στρατεύματι. καὶ ὁ Ἄμερ δὲ πρὸς ἐμφύλιον ἐμπεσὼν στάσιν τοῦ συνάρχοντος αὐτῷ ἐπαναστάντος (ὁ τοῦ Σκληροῦ οὗτος ἐλέγετο) πρὸς τοὺς οἰκείους εἶχε τὸν νοῦν καὶ ἑτέροις πολεμεῖν οὐκ ηὐκαίρει, μέχρις ἂν τὸν ἀντίπαλον καταγωνισάμενος ἀδείας ἔτυχε. τότε γὰρ ἐκεχειρίαν λαβών, καὶ ἄλλως οὐκ εἰδὼς ἠρεμεῖν, τῷ Καρβέᾳ τε ἥνωτο καὶ κατὰ Ῥωμαίων ἔξεισι πανπληθεί. ἀντιστρατεύει δὲ κατ' αὐτῶν ὁ τῆς B
βασιλίδος ἀδελφὸς Πετρωνᾶς, τὴν τοῦ δομεστίκου τῶν σχολῶν ἀρχὴν διοικῶν, λόγῳ μὲν τῷ πρεσβυτέρῳ αὐτοῦ ἀδελφῷ προσήκουσαν Βάρδᾳ, ἔργῳ δὲ παρ' αὐτοῦ διοικουμένην τῷ μὴ ἐκεῖνον σχολάζειν ἀλλὰ περὶ τὴν ἐπιτροπὴν τοῦ βασιλέως προσέχειν τὸν νοῦν. οὗτος τοίνυν ὁ Πετρωνᾶς στρατηγὸς τυγχάνων τῶν Θρᾳκησίων ἀντιπαρατάττεται κατά τε Ἄμερ καὶ τοῦ Καρβέα. ὅπως δὲ συνεπλάκη καὶ οἷα ἔδρασε, κατὰ τὸν οἰκεῖον τόπον ἡ ἱστορία δηλώσει.

Ὁ βασιλεὺς δὲ Μιχαὴλ ἤδη τὴν παιδικὴν παραμείψας καὶ τῆς ἀνδρικῆς ἁπτόμενος ἡλικίας ἱμείρετο τῶν πραγμάτων δι' ἑαυτοῦ ἀντέχεσθαι, παραθηγόμενος εἰς τοῦτο παρὰ τοῦ ἐπιτρόπου C
καὶ θείου Βάρδα τοῦ τῆς βασιλίδος ἀδελφοῦ· οὗτος γὰρ ἔρωτι περικαεῖ τῆς βασιλείας ἐσχηκὼς οὐδὲν ἄλλο ἐπραγματεύετο ἀλλ' ἢ τὰ πρὸς τὸ σπουδαζόμενον συμβαλλόμενα. ἀλλ' ἵνα σαφέστερον

1 κηραινόμενοι C, in margine βλάπτοντες 2 κατέστρεψε C
5 τοῖς οἰκείοις C 9 πανσυδί C, in margine πανστρατί
20 παροξυνόμενος margo C

populationibus vexandi intermissionem fecerunt. sed Alimus in quandam Armeniorum regionem profectus cum suo exercitu ibi periit. et Amer civili bello implicatus, rebellante ei collega, qui Scleri, id est Duri, appellabatur, tantum cum suis habuit aliquamdiu negotii, ut externo bello vacare nequiret. postquam autem adversario superato otium nactus fuit, quietis alioquin homo impatiens cum Carbea se coniunxit, omnesque copias in Romanos duxit. contra hunc expeditionem fecit Petronas Augustae frater, domestici scholarum munus gerens, quod ad fratrem eius natu maiorem Bardam pertinebat, sed a Petrona administrabatur, cum Bardas imperatoris tutelae intentus ei praeesse nequiret. is ergo Petronas Thracensium ductor bellum contra Amerem et Carbeam gessit. quomodo manus cum hoste contulerit, quidquo egerit, suo loco dicemus.

Interea Michaelum iam ex ephebis egressum et ad virilem aetatem accedentem cupiditas incessit rerum sua ipsius industria gerendarum, maxime ad hoc instigante Barda avunculo ipsius et curatore. is enim imperandi amore flagrans in eam solum rem omne studium collocabat.

τὸν λόγον τοῖς ἐντυγχάνουσι θήσωμεν, πορρωτέρω τοῦτον ἀγάγωμεν. ἐγένετο δὴ τῷ Μανουὴλ πρὸς τὸν λογοθέτην Θεόκτιστον, καὶ αὐτοῖς ἐπιτρόποις οὖσι τοῦ βασιλέως καὶ εἰς τὰ ἀνάκτορα διαιτωμένοις, διαφορά τις, ἣ καθοσιώσεως ἐγκλήματι ὑπέβαλε τὸν Μανουήλ· ὅπερ οὗτος εὐλαβούμενος, δεδιὼς δὲ καὶ τὸν φθόνον, ᾠήθη ἔξω δεῖν τοῦ παλατίου γενέσθαι καὶ τῶν συνεχῶν ἀποστῆναι
D ὁμιλιῶν τε καὶ διοικήσεων. κάτεισι γοῦν εἰς τὸν οἶκον αὐτοῦ, ἱδρυμένον κατὰ τὴν κινστέρναν τὴν Ἄσπαρος, ὃν καὶ εἰς σεμνεῖον ὕστερον μετεσκεύασε καὶ τὸν χοῦν ἐκεῖσε κατέθετο. ἐκεῖθεν ἑκάστοτε ἀφικνούμενος κοινωνὸς ἐγίνετο τῶν διοικήσεων. ἀποσεισάμενος δὲ ὁ Βάρδας τὸν Μανουὴλ οὐ δι' αὐτοῦ ἀλλὰ διὰ τοῦ Θεοκτίστου, ἔσπευδε καιροῦ δραξάμενος ἀνύσαι τὸ σπουδαζόμενον. ἐμπόδιον δ' ἔχειν τὸν Θεόκτιστον εἰκότως οἰόμενος, ἔσπευδε καὶ αὐτὸν ποιήσασθαι ἐκποδών, τὸ πλέον δ' ὅτι ὠνείδιζεν αὐτὸν διὰ τὴν πρὸς τὴν οἰκείαν νύμφην λαθραίαν ὁμιλίαν. ὁ δὲ τρόπος τῆς ἐγχειρήσεως εἴληφε τοιαύτην ἀρχήν. ὑπῆρχε τῷ βασιλεῖ Μιχαὴλ παιδαγωγὸς ἀνάγωγός τε καὶ πονηρός· τοῦτον τῶν βασι-
P 543 λικῶν ἀξιωμάτων ἀνωτέρω ἀναγαγεῖν ἠξίου ὁ βασιλεύς, καὶ εἰς μείζονα στῆσαι τιμὴν τήν τε μητέρα παρεκάλει καὶ τὸν Θεόκτιστον. οὐκ ἔπειθε δὲ τὸν Θεόκτιστον, "ἐπαξίως" λέγοντα "ἀλλ' οὐκ ἀναξίως τὰ τῆς βασιλείας χρὴ διοικεῖσθαι." τοῦτον οὖν τὸν παιδαγωγὸν ὄργανον ὁ Βάρδας λαβὼν πονηρὸν οὐκ ἐπαύετο ζιζάνιά τινα κατὰ τοῦ Θεοκτίστου τῇ τοῦ βασιλέως ἐνσπείρειν ψυχῇ, νῦν μὲν

3 καὶ εἰς — διαιτωμένοις om C   14 αὐτῷ συνεχῶς διὰ C
23 ἐμπείρων C

res paulo altius repetenda est, ut lectori planior fiat. intervenerat aliquid discordiae Manuelo cum logotheta Theoctisto, qui et ipsi imperatoris erant tutores inque aula degebant. ex ea Manuelus cum maiestatis crimen incurrisset, invidiam metuens statuit extra Palatium vitam agere et continentibus congressibus atque administrationibus rerum se abstinere. domum itaque suam se confert, quae erat ad Asparis cisternam; quam postea in religiosae domus formam redegit, pulveremque ibi deposuit. inde quoties res postularet, ad tractanda negotia ibat. at Bardas, qui Manuelum opera Theoctisti sic summovisset, nactus occasionem propositum suum perficere nititur. cumque sibi impedimento esse Theoctistum putaret, hunc quoque amoliri intendit, maxime quod cum nuru propria incestam consuetudinem is sibi obiiciebat. hominem adoriendi hanc arripuit causam. paedagogus erat imperatori malus et intractabilis. eum cum vellet imperator summis in aula honoribus atque dignitatibus ornare, mater et Theoctistus monebant imperii munera pro meritis et non in indignos esse conferenda. ergo hunc paedagogum suae nequitiae instrumentum nactus Bardas, non destitit in animum imperatoris pravas de Theoctisto inserere opiniones, modo significans rem

λέγων ὡς οὐ καλῶς οἰκονομεῖται τὰ κοινά, νῦν δὲ ὡς βούλεται τὴν μητέρα σου ἀνδρὶ συναρμόσαι ἢ μίαν τῶν σῶν ἀδελφῶν, καὶ τοὺς σοὺς ἐξορύξαι ὀφθαλμούς, καὶ τῆς βασιλείας ἐξεῶσαι. ταῦτα δὲ πυκνῶς ἐνηχῶν προσετίθει ὡς συνετωτάτης δεῖ καὶ ταχίστης βουλῆς. ὡς δὲ πολλάκις περὶ τοῦ αὐτοῦ συνήρχοντο πράγματος καὶ σκέψεις προυτίθεσαν, ἔγνωσαν τελευταῖον τὸν Θεόκτιστον ποιήσασθαι ἐκποδών. ἐδέδοκτο ταῦτα, καὶ πέρας ἐτυπώθη B τοιοῦτον δοθῆναι τοῖς βουλευθεῖσιν, ἐν τῷ μέλλειν πρὸς τὸν Λαυσιακὸν ἐξέρχεσθαι τὸν Θεόκτιστον μετὰ τὴν τῶν ἀναφορῶν διοίκησιν ἐπακολουθῆσαι μικρὸν τὸν βασιλέα, καὶ τοῦτο μόνον ἀνακραγεῖν "ἄρατε αὐτόν." ὡς οὖν ὁ Θεόκτιστος προέκυπτεν ἐξιὼν τό τε δοθὲν σύνθημα ἔγνω, φυγῇ τὴν σωτηρίαν πραγματεύσασθαι ᾠήθη. ἡ φυγὴ δὲ γέγονεν αὐτῷ πρὸς τὸν ἱππόδρομον κατὰ τὰ ἀσηκρητεῖα· ἐκεῖσε γὰρ τότε τοῖς ἀσηκρήταις ἦν καταγώγιον. ἀλλ' ὑπὸ πολλῶν ὁ εἷς συλληφθεὶς μένειν κατηναγκάζετο, σπασαμένου τοῦ Βάρδα ξίφος καὶ παίσειν ἐπαπειλοῦντος τὸν κωλύσειν ἢ βοηθήσειν ἐπιχειρήσοντα. ἤγετο μὲν οὖν πρὸς τὰ Σκῦλα, C φρουρᾷ τέως παραδοθησόμενος, μέχρις ἂν τὰ κατ' αὐτὸν ἀποφήνωνται. τέλος μὴ συμφέρον εἶναι κρίναντες αὐτοῖς τὸ ζῆν αὐτὸν δέει τῆς Αὐγούστης, ἐκπέμπουσί τινα τῶν τῆς ἑταιρείας γυμνὸν ἐπισεῖσαι τὸ ξίφος αὐτῷ. οὗτος ξιφήρη τὸν ἄνθρωπον ἐπιόντα ἰδὼν ὑπέδυ σκάμνον τινὰ τὴν πληγὴν βουλόμενος ἐκφυγεῖν· ἀλλὰ καιρίαν κατὰ γαστέρα πληγεὶς τῶν ἐγκάτων ἐκχυθέντων αὐτῷ

4 προσετίθει om C 8 τοιοῦτον τοῖς βουλευθεῖσιν ἐξενεχθῆναι C 17 κουρσεύματα margo C 21 τὸ om C 23 καιρίως P τυπεὶς P αὐτῷ om C

publicam non recte administrari, modo hunc velle matrem aut unam sororum imperatoris nuptum dare et imperatorem oculis imperioque spoliare. atque his vocibus aures imperatoris crebro personans, addebat opus esse celerrimo callidissimoque consilio. cum saepenumero de hac re conventum deliberatumque esset, tandem statutum est tollendum esse e medio Theoctistum; itaque compositum negotium, ut cum ad Lausiacum exiturus esset Theoctistus acta referendi gratia, pone imperator sequens hoc tantum vociferaretur, "tollite hunc." Theoctistus exiens et aliquantulum progressus, ut cognovit signum datum, fuga salutem parare conatus versus Circum ad curiam (ibi enim tunc secretariis erat domus) cursu contendit. sed unus a multis comprehensus manere coactus est, Barda stricto gladio icturum se minante, si quis obstare aut defendere hominem tentaret. ad Scyla ergo ductus est, in custodia tantisper adservandus dum de ipso ferretur sententia. tandem cum non videretur ex usu ut diutius viveret, ne quid Augusta moliretur, quendam ex sodalitate mittunt qui gladio hominem obtruncet. Theoctistus

παρεδόθη θανάτῳ. καὶ ὁ μὲν Θεόκτιστος ἀνῃρέθη τοῦτον τὸν τρόπον, τὴν δὲ ἀναίρεσιν αὐτοῦ πυθόμενος ὁ Μανουὴλ εὐθὺς ἧκε πρὸς τὰ βασίλεια, καὶ ὥσπερ ἐνθουσιάσας εἰπεῖν λέγεται πρὸς τὸν Βάρδαν

ξίφος γυμνώσας εἰς Θεοκτίστου φόνον,
ὅπλιζε σαυτὸν εἰς σφαγὰς καθ' ἡμέραν.

D Μετὰ δὲ τὴν τοῦ Θεοκτίστου σφαγὴν ὁ Βάρδας τὴν τοῦ κανικλείου τιμὴν εἰς ἑαυτὸν ἀνελάμβανεν. ἡ βασιλὶς δὲ Θεοδώρα ὡς ᾔσθετο τῶν πεπραγμένων, λυσίκομός τις ᾔει καὶ ὀδυρμῶν ἐπλήρου τὰ βασίλεια, ἀμφοτέρους τε τόν τε υἱὸν καὶ τὸν ἀδελφὸν λόγοις ὀνειδιστικοῖς καὶ ἀραῖς ὑπέβαλλε καὶ τοιοῦτον θάνατον ὑποσχεῖν κατηρᾶτο. οἱ δὲ τοὺς ὀνειδισμοὺς ταύτης μὴ φέροντες, ἅμα δὲ καὶ ὁ Βάρδας τῶν κατὰ σκοπὸν ἐχόμενος, ἔγνωσαν καὶ ταύτην ποιήσασθαι ἐκποδὼν καὶ λοιπὸν ἀδεῶς καὶ ἀνεμποδίστως τὸ δοκοῦν διαπράττεσθαι. ὅπερ ἐκείνη καταφωράσασα (καὶ γὰρ ἦν ἰδεῖν καὶ στοχάσασθαι δυνατὴ) ἀντιπράττειν μὲν οὐκ ᾤετο
P 544 δεῖν, φόνους καὶ χύσεις αἱμάτων ἐκφεύγουσα, τὸν δ' ἐναποκείμενον τοῖς ἀνακτόροις πλοῦτον ἔκρινε τῇ συγκλήτῳ ποιήσασθαι φανερόν, τοῦ τε υἱοῦ τὴν ἀκρατῆ δαπάνην κωλύουσα καὶ τὴν ἰδίαν οἰκονομίαν κηρύττουσα. τὴν σύγκλητον οὖν ἐκκλησιάσασα καὶ εἰς ἐπήκοον στᾶσα τοιούτους ἀπέδοτο λόγους. "χίλια μέν, ὦ πατέρες, πρὸς τοῖς ἐννενήκοντα τῷ βασιλικῷ ταμιείῳ χρυσοῦ ἐναπόκεινται κεντηνάρια, ἀργύρου δὲ ὡσεὶ τριῶν χιλιάδων, ὧν τὰ μὲν ὁ ἐμὸς ἀνὴρ ἐπορίσατο, τὰ δ' αὐτὴ μετὰ τὸν ἐκείνου συνέ-

2 τοῦτον C   5 μόρον C   9 τις] τε C   16 ἦν om C

stricto ense hunc in se ire cernens evitandi ictus causa scamnum quoddam subiit: sed periit ventre ita vulnerato ut intestina effunderentur. huius interitu cognito Manuelus statim in aulam venit;ferturque ad Bardam quasi divino furore concitus dixisse "semel ense districto in Theoctisti necem, quotidianis accingere porro caedibus."

A morte Theoctisti Bardas canielei dignitatem in se transtulit. Theodora autem facinore cognito, passis crinibus per regiam discurrit eamque eiulatu implevit, filium et fratrem diris agens similemque eis interitum imprecans. qui cum eius non ferrent convicia, Barda interim suum institutum urgente, de ea quoque tollenda cogitarunt, ut deinde libere ac nemine obstante pro suo omnia agere possent arbitrio. quod cum deprehendisset Theodora, ut erat mulier sagax, resistendum non rata, quod caedes et sanguinis fusionem formidaret, statuit divitiarum in regiam congestarum summam senatui exponere, ut et filii profusionibus obstaret et suam administrationem praedicaret. vocato ergo in concionem senatu, coram clara voce "auri" inquit, "p. c. centenaria mille ac 90, argenti ad ter mille in aerario imperatorio reposita sunt, partim a marito meo, partim post eius obitum a me congesta. multae

λεξα θάνατον, ἄλλος τε πλοῦτος πολὺς καὶ ποικίλος. διὰ τοῦτο δὲ τοῦτον ἐκπομπεύω ὑμῖν, ἵν' εἰ μετὰ τὴν ἐμὴν ἀπὸ τῶν ἀνακτόρων κάθοδον ὁ ἐμὸς ἔχῃ λέγειν υἱὸς καὶ ὑμέτερος βασιλεὺς ὡς B ἐνδεῆ καταλέλοιπα τὰ βασίλεια πλούτου, μὴ εὐχερῶς πιστεύηται." καὶ ἅμα λέγουσα τοὺς τῶν βασιλικῶν χρημάτων ταμίας παρίστη καὶ συγκατανεύοντας εἶχε πρὸς τὰ λεγόμενα. καὶ ἡ μὲν βασιλὶς ἀσπασμὸν δοῦσα τῇ συγκλήτῳ, καὶ πάσῃ ἐνεργείᾳ καὶ διοικήσει ἀποταξαμένη, ἔξεισι τοῦ παλατίου.

Ὁ δὲ τῶν βασιλείων πλοῦτος τοσοῦτος ὢν καὶ τηλικοῦτος εἰς οὐδεμίαν ἐχώρησεν ὄνησιν τῇ ἀπονοίᾳ τοῦ Μιχαήλ. ταῖς γὰρ τῶν ἵππων ἁμίλλαις, εἴ πέρ τις ἕτερος, ἀγαλλόμενος καὶ ἡνιοχεῖν ἐκεῖσε αὐτὸς οὐ παραιτούμενος, τῶν συμπαιζόντων αὐτῷ καὶ συνηνιοχούντων καὶ συναμιλλωμένων ἐκ τοῦ θείου υἱοθετούμενος τὰ τέκνα βαπτίσματος τὸν βασιλικὸν κατεκένου πλοῦτον, ἑκατὸν ὀγδοήκοντα C καὶ τοὐλάχιστον πεντήκοντα τῷ καθεκάστῳ παρεχόμενος λίτρας. καί ποτέ τινι ἀνδρὶ ὃν πατρίκιον ἐτιμήσατο (Ἱμέριος οὗτος ἐκαλεῖτο, διὰ τὴν τοῦ προσώπου αὐτοῦ οὕτω καλούμενος κατὰ ἀντίφρασιν ἀγριότητα), κολακείᾳ μὲν ὑπερβάλλοντι τὸν ἐπὶ Τιβερίου Ἱμέριον, βωμολοχοῦντι δὲ κατὰ τὴν τράπεζαν καὶ αἰσχρολογοῦντι καὶ ἀναιδῶς ἀποπέρδοντι, ἀκούοντος δὲ τοῦ βασιλέως καὶ τῶν συνδείπνων, ὡς καὶ κηρὸν ἀποσβεννύει τῷ ψόφῳ, χρυσίου δέδωκε λίτρας ρ'. καὶ Χειλᾷ δὲ τοῦ συνηνιοχοῦντος αὐτῷ τὸν υἱὸν ἐκ τοῦ θείου βαπτίσματος ἀναδεξάμενος ἐδωρήσατο χρυσίου λίτρας ρ'.

4 πιστεύητε C 5 παρίστα C 11 ἐκεῖσε om C 16 Ἡμέριος? 21 ἀποσβεννύειν? 22 καὶ — 23 ρ' om C

quoque praeterea et variae opes. id coram vobis in praesentia iacto, ut ne facile fides meo filio imperatori vestro habeatur, si post meum e regia discessum dicat me regiam inopem reliquisse." simul et quaestores aerarii adesse iussit, qui verba ipsius vera esse testati sunt. proinde salutato senatu, omni se functione et administratione abdicavit palatioque excessit.

Sed opes regiae tot tantaeque in nullius momenti res a fatuo Michaelo sunt prodactae. cum enim aurigationibus impensissime delectaretur, neque agere equos in Circo ipse recusaret, eorum qui secum ludere ac certare isto ludicro solebant, filiis e sacro baptismate suscipiendis fiscum exhauriebat, centum octoginta aut ad minimum quinquaginta largiendo singulis libras. Himerium quendam (quasi mansuetum diceres: nam contrario sensu id nominis ei ob vultus feritatem factum fuit) patricii dignitate a se ornatum, qui adulando illum qui Tiberio affuit Himerium vinceret, et ad convivia scurrilibus gestibus turpibusque verbis luderet, impudenterque audiente imperatore et convivis pederet, ita ut ventris crepitu etiam cereum exstingueret, auri libris centum donavit. et Cheilae, uni de sociis suarum aurigationum, filium ex baptismo suscipiens auri libras totidem dono dedit. ita ille pecuniam

D οὕτως ἐκεῖνος εἰς οὐδὲν δέον τὰ δημόσια κατεδαπάνα τε καὶ ἀνήλισκεν. ἐπεὶ δὲ ἐντὸς ὀλίγου ταῖς τοιαύταις ἀθέσμοις πράξεσι τὸν τοσοῦτον κατεδαπάνησε πλοῦτον, ἦλθε δὲ ὁ τῆς διανομῆς τῶν βασιλικῶν δωρεῶν καιρὸς καὶ χρημάτων πόρος οὐκ ἦν, τήν τε χρυσῆν ἐκείνην καὶ πολυθρύλητον πλάτανον καὶ τοὺς δύο χρυσοῦς λέοντας καὶ τοὺς δύο γρῦπας, χρυσοῦς καὶ αὐτοὺς σφυρηλάτους ὄντας, καὶ τὰ ὁλόχρυσα ὄργανα καὶ ἕτερα ἔργα, δι' ὧν ἡ Ῥωμαίων ἐθαυμάζετο βασιλεία, ὁλκὴν ἔχοντα διακοσίων οὐκ ἔλαττον κεντηναρίων, χωνεύσας χαράξαι δέδωκεν ἐν τῷ βασιλικῷ ταμιείῳ. παραπλησίως δὲ ἐποίησε καὶ ἐν στολαῖς βασιλικαῖς, ὧν αἱ μὲν ἦσαν ὁλόχρυσοι αἱ δὲ χρυσοῦφαντοι, δεδωκὼς τῷ εἰδικῷ ὥστε καὶ ταύτας χωνεῦσαι. οὐκ ἔφθασαν δὲ χωνευθῆναι, κἀκεῖ-
P 545 νος ἐξ ἀνθρώπων ἐγένετο, καὶ Βασίλειος τὴν ἀρχὴν διεδέξατο καὶ ταύτας ἀνεκαλέσατο, ἐκ τοσούτου πλούτου μηδὲν εὑρηκὼς πλέον ἀλλ' ἢ χρυσίου μὲν κεντηνάρια τρία, μιλιαρισίων δὲ σακκία ἐννέα· ἃ καὶ δημοσιεύσας ἐπὶ τῆς συγκλήτου ἀπωδύρετο τὴν ἀπορίαν καὶ τὸ πόθεν ἂν ἐκπληρωθεῖεν αἱ δημόσιοι χρεῖαι.

Ἔθος δ' ἐχούσης τῆς βασιλίδος Θεοδώρας ἀπιέναι πρὸς τὸν ἐν Βλαχέρναις τῆς θεοτόκου θεῖον ναόν, ἅμα μὲν προσκυνήσεως χάριν ἅμα δὲ καὶ λουτροῦ μετὰ τῶν ἑαυτῆς θυγατέρων, ἐπεί ποτε ἔγνω αὐτὴν ἐκεῖσε φοιτήσασαν ὁ βασιλεὺς καὶ ὁ ταύτης ὁμαίμων Βάρδας, Πετρωνᾶν ἐκπέμψαντες, ὃν αὐτῆς ἀδελφὸν εἶναι ἄνω-
B θεν ὁ λόγος ἐγνώρισεν, ἀποκείρουσι μοναχὴν σὺν ταῖς θυγατράσι;

10 στολῇ βασιλικῇ C

publicam dilapidabat. cumque brevi temporis spatio per nefas tantas opes prodegisset, ac dies imperatoris donationibus destinatus appetiisset, et pecuniae parandae ratio deficeret, famosam illam auream platanum duosque aureos leones ac vultures, et ipsos ex auro malleis ductos, aliamque solido ex auro factam supellectilem, operaque cetera ob quae Romani imperatoris in admiratione erat regia, conflari et ex iis cusam pecuniam in aerarium suum inferri iussit. appendebant haud minus 200 centenariis. eodem modo vestibus usus est imperatoriis, quarum aliae totae aureae aliae auro intertextae erant. nam et has conflandas dedit; quod ne fieret, morte praeventus est, ut eas Basilius imperii successor recuperarit. hic quidem rerum potitus ex tantis divitiis nihil reliqui invenit praeter auri centenarios tres et miliarisiorum sacculos novem; quibus in senatum allatis deploravit inopiam, et unde publici defectus exsarciri possent deliberare iussit.

Praeter haec, cum Theodora consuevisset ad fanum deiparae Blachernense itare, partim precandi causa partim ut cum filiabus suis lavaret, quodam tempore eo ipsam se contulisse animadvertentes imperator et Bardas, huius avunculus, Petronam, quem ipsum quoque fratrem fuisse Theodorae supra ostendimus, mittunt, qui eam et filias detonsis

καὶ ἐν τοῖς κατὰ τὰ Καριανοῦ ἀνακτόροις τέως περιορίζουσιν, ἀφελόμενοι καὶ ὃν εἶχον αἱ πᾶσαι πλοῦτον, ἰδιωτικῶς ζῆν ἀλλ' οὐ βασιλικῶς ἐπιτάξαντες. ἀλλ' ἡ μὲν Θεοδώρα μετ' οὐ πολὺ τῶν τῇδε μεθίσταται· ἧς τὸν νεκρὸν μετὰ ταῦτα βασιλεύσας ὁ Βασίλειος, καὶ τὰς αὐτῆς θυγατέρας, πρὸς τὸ τῆς Μάμμης ἐξαπέστειλε μοναστήριον ἐνδιαιτᾶσθαι, ὃ Γάστρια κατονομάζεται. ἦσαν δὲ τῇ τοιαύτῃ βασιλίδι ἄρρενες μὲν ἀδελφοὶ δύο, ὅ τε μηχανορράφος οὗτος Βάρδας καὶ ὁ Πετρωνᾶς, ἀδελφαὶ δὲ τρεῖς, Σοφία Μαρία καὶ Εἰρήνη, ὧν ἡ μὲν Σοφία Κωνσταντίνῳ συνήφθη τῷ Βαβουτζίκῳ, εἰς μαγίστρους τελοῦντι, Εἰρήνη δὲ Σεργίῳ πατρικίῳ, ἀδελφῷ τυγχάνοντι Φωτίου τοῦ μετὰ ταῦτα πατριάρχου, C καὶ ἡ Μαρία Ἀρσαβὴρ μαγίστρῳ, ἀνδρὶ γενναίῳ καὶ ἐν τοῖς τότε καιροῖς διαπρέποντι, αἱ πᾶσαι καλαὶ καὶ ἀγαθαὶ τὰς ὄψεις καὶ ἀρετῆς ἐλάσασαι πρὸς ἀκρώρειαν. καὶ ἡ μὲν Θεοδώρα θανοῦσα τοιαύτην ἀπολέλοιπε τὴν γενεάν.

Ἡ πᾶσα δὲ τῶν κοινῶν πραγμάτων διοίκησις εἰς μόνον ἐξεκυλίσθη τὸν Βάρδαν, ἐστέργετό τε διαφερόντως παρὰ τοῦ βασιλέως. ἔνθεν καὶ τὴν τοῦ κουροπαλάτου ἀναλαμβάνει τιμήν, ἆθλον τάχα τῆς καθαιρέσεως τῆς αὐτοῦ ἀδελφῆς. ἔκρινε γοῦν ἅμα τῷ βασιλεῖ καὶ κατὰ τῶν Ἰσμαηλιτῶν ἐκστρατεῦσαι καὶ τοῦ τῆς Μελιτηνῆς ἀμηρεύοντος Ἄμερ, ἄρτι εἰς ἄνδρας τελοῦντι ἐξ ἀγενείων. ὡς δ' οὖν τῆς τῶν ἐναντίων ἐπέβησαν γῆς καὶ κατὰ τὰ Σαμόσατα D ἐγένοντο (πόλις δὲ τὰ Σαμόσατα τῶν παρευφρατείων, δυνάμει τε

1 τὰ om C   4 ὁ βασιλεὺς Βασ. C   9 Μαρῖνα C   11 εἰς τὸν τῆς πατριαρχίας ἀναβιβασθέντος θρόνον C   15 ταύτην C   τὴν om C   20 καὶ ante κατὰ om C   23 παρευφρατιδίων C

crinibus monachas faciat. ita illae in posterum in Cariani palatium relegatae, omnibusque quas possidebant opibus spoliatae, non regio sed privatorum vitae genere usae sunt. neque multo post Theodora e vivis discessit. eius cadaver Basilius imperator et filias eius in aviae monasterium transtulit, quod Gastria nominabatur. habuit Theodora fratres duos, insidiosum hunc Bardam nimirum et Petronam, sorores tres, Sophiam Mariam et Irenam. ex his Sophia nupsit Constantino Babutzico, qui magistri honorem adeptus est; Irena uxor Sergii patricii fuit, fratris Photii eius qui postmodo patriarcha est factus; Mariam duxit Arsaber magister, vir praeclarus eoque tempore illustris. omnes fuere forma eleganti et summa virtute praeditae.

Sublata Theodora, iis quos diximus fratribus et sororibus superstitibus, omnis administratio rerum ad unicum Bardam devoluta est; quem adeo imperator dilexit ut curopalatae eum affecerit dignitate, praemium scilicet ob summotam sororem ei hoc largiens. succrescente imprimum imperatori lanugine, Bardas cum eo expeditionem in Ismaelicos et Amerem Melitenae praefectum suscipit. postquam in hosticum progressi ad Samosata pervenerunt, urbem earum quae iuxta Euphra-

βρίθουσα καὶ ἰσχύϊ), ταύτην ἐπεχείρουν πολιορκεῖν. ἐμποιησαμένων δὲ τῶν Σαρακηνῶν δειλίαν καὶ συγκεκλεικότων αὑτοὺς ἔνδον, καὶ μηδενὸς ἐκπηδῶντος τοῦ τείχους τάχα διὰ δειλίαν τῆς βασιλικῆς δυνάμεως, ἀμελῶς καὶ ἀφυλάκτως οἱ Ῥωμαῖοι διῆγον. κατὰ δὲ τὴν τρίτην τῆς ἐφεδρείας ἡμέραν (ἡ κυρία δὲ ἦν καὶ πρώτη τῶν ἡμερῶν) τῆς ἀναιμάκτου θυσίας ἐπιτελουμένης, ἐν ᾗ τῶν θείων ἔμελλον μετασχεῖν μυστηρίων, τὰς πύλας οἱ Σαρακηνοὶ διαπετάσαντες καὶ μεθ' ὅπλων ἐκπεπηδηκότες πάντοθεν ἐπε-
P 546 τίθεντο τοῖς Ῥωμαίοις. οἱ δὲ τῷ ἀδοκήτῳ καταπλαγέντες τῆς ἐπιθέσεως εὐθὺς πρὸς φυγὴν ὥρμησαν. ἔνθα καὶ Μιχαὴλ ὁ βασιλεὺς μόλις που τὸν ἵππον ἀναβὰς ἐργωδῶς διεσώθη, τῆς ἀποσκευῆς πάσης τοῦ βασιλέως καὶ τῶν στρατιωτῶν ληφθείσης παρὰ τῶν πολεμίων, τοῦ τῶν Μανιχαίων ἐξηγουμένου Καρβέα μᾶλλον τῶν ἄλλων ἀριστεύσαντος, καὶ καταβαλόντος οὐ μόνον πολλοὺς τῶν ἀφανῶν τῆς στρατιᾶς, ἀλλὰ καὶ ζωγρίας λαβόντος οὐκ ὀλίγους τῶν ἐπιφανῶν, στρατηγοὺς καὶ τουρμάρχας οὐκ ἐλάττους τῶν ἑκατόν, ὧν οἱ μὲν ἄλλοι λύτρα δόντες ἀπελύθησαν, μόνος δὲ Σηὼν ὁ στρατηγὸς τῇ φυλακῇ ἐναπέψυξε.

Χρόνων δὲ δύο παραδραμόντων πάλιν ὁ Ἄμερ στρατὸν ἐπα-
B γόμενος, οὐκ ἔλαττον τρισμυρίων, ἐκστρατεύει κατὰ Ῥωμαίων. ὁ Μιχαὴλ δὲ τὴν προτέραν ἧτταν ἀνακαλέσασθαι βουλόμενος, στρατὸν καὶ αὐτὸς συναγηοχὼς ἔκ τε Θρακῶν καὶ Μακεδόνων περὶ τὰς τέσσαρας ἥμισυ μυριάδας, ἔξεισι κατ' αὐτοῦ. ὅπερ μαθὼν Ἄμερ, διά τινων χωρίων δυσχώρων ἐπιτόμων δὲ τὴν πορείαν ποιη-

20 ἐλάττονα C 23 ἥμισυ om C πυθόμενος ἄμερ καὶ διά C

tem sunt opibus ac robore insignem, eam obsidione cingunt. cumque Sarraceni metum simulantes se intus continerent neque in muros exsilirent, quasi Romanorum vires formidantes, exercitus imperatoris secure et sine custodia degere incipit. tertio obsidionis die (erat is dominicus et feria prima) cum incruentum sacrificium perageretur, essentque divinis communicaturi mysteriis Romani, Sarraceni portis passis armati sese effundunt et undique Romanos adoriuntur. qui inopinato hostium impetu perterriti illico fugae se dederunt. ipse Michaelus vix in equum evasit aegreque servatus est: omnia ipsius et exercitus impedimenta ab hoste capta. praecipua fuit eo conflictu virtus Charbeae Manichaeorum ducis, qui non modo multos militum obscuros deiecit, sed et haud pauciores centum de illustribus ducibus atque turmarum praefectis vivos cepit; qui deinde numerato redemptionis pretio dimissi sunt. solus Seon dux copiarum in custodia exspiravit.

Biennio elapso, rursum Amer coacto triginta milibus haud minore exercitu, in Romanorum ingressus est dicionem. Michaelus, ut cladem prius acceptam victoria compensaret, collectis Thracum et Macedonum ad quadraginta quinque milibus ei obviam it. sed Amer eo cognito,

σάμενος καὶ αἰφνίδιον προσπεσὼν, ἐτρέψατο κατὰ κράτος τὸν βασιλέα καὶ πρὸς φυγὴν ἠνάγκασεν ἀπιδεῖν. μικροῦ δ' ἂν καὶ ἥλω αἰχμάλωτος, εἰ μὴ Μανουὴλ ὁ δομέστικος τῶν σχολῶν τὴν φάλαγγα διακόψας αὐτὸν διεσώσατο, τῶν ἄλλων πάντων, ὥσπερ ἔτυχεν ἕκαστος δυνηθείς, διασπαρέντων.

Δεύτερος πάλιν μετὰ τὸν πόλεμον τοῦτον διῆλθεν ἐνιαυτός, καὶ πάλιν ὁ Ἄμερ μετὰ τεσσαράκοντα χιλιάδων ἐκστρατεύσας εἰσ- C βολὴν ἐποιήσατο κατὰ Ῥωμαίων, ὁμοῦ μὲν καὶ τὴν Ἀρμενιακὴν ὁμοῦ δὲ καὶ τὴν πρὸς θάλασσαν ἐκπορθῶν καὶ δῃούμενος, ὅτε φασὶν αὐτὸν παραπλησίως τῷ Ξέρξῃ πάθος παθεῖν, μάστιξι κελεύσαντος παίειν τὴν θάλασσαν, ὅτι μὴ περαιτέρω προήκατο τοῦτον χωρεῖν. ἐφ' οἷς ἀσχάλλων ὁ Μιχαήλ, καὶ πάλιν αὐτὸς ἀντιστρατεῦσαι πρὸς αὐτὸν μὴ τολμῶν, τὸν τῆς ἑαυτοῦ μητρὸς ἀδελφὸν Πετρωνᾶν, τῶν Θρακησίων διέποντα τὴν ἀρχήν, τὰς Ῥωμαϊκὰς δυνάμεις ἐκέλευσε λαβεῖν καὶ παντὶ σθένει χωρεῖν κατ' αὐτοῦ. ἔτυχε δ' οὗτος διατρίβων τότε κατὰ τὴν Ἔφεσον. δεξάμενος δὲ τὰ γράμματα εἰς ἀγωνίαν ἐμπίπτει μεγίστην. εὐθὺς οὖν ἐξιππασάμενος ἄπεισιν ἐν τῷ ὄρει τῷ Λάτρει πρὸς τὸν ἐκεῖσε ἀσκούμενον μοναχὸν Ἰωάννην, ἐπ' ἀρετῇ ὄντα τῷ τότε διαβόητον, καὶ περὶ D τοῦ πράγματος ἐπυνθάνετο. ὁ δὲ μηδαμῶς ἐμβραδύνας πρὸς τὴν ἐρώτησιν "ἄπιθι τέκνον" ἔφη "κατὰ τῶν Σαρακηνῶν· θεὸν γὰρ ἕξεις προπορευόμενον." τούτου καθοπλισθεὶς ταῖς εὐχαῖς ἄπεισι κατὰ τὸν λεγόμενον Λαλακαίωνα τόπον, καὶ λόχους πανταχόθεν

8 τὸν ἀρμενιακὸν C 23 καὶ λόχους] καὶ ἔν τινι τόπῳ γυρὴν ὀνομαζομένῳ λόχους τε οὖν C

per difficilia loca compendioso facto itinere, subito eum invadit, copiasque hostiles fundit inque fugam coniicit. venisset tunc in hostium potestatem Michaelus, nisi Manuelus scholarum domesticus phalange perrupta eum eripuisset, reliquis omnibus ut quisque poterat fuga dispersis.

Iterum biennio ab hac pugna exacto, Amer quadraginta milium exercitum educit, inque Romanas provincias impressione facta simul et Armeniam et maritima populatur atque vastat. quo quidem tempore imitatum eum ferunt Xerxis factum, qui mare flagris caedi iusserat, quod ulterius sibi cum voluptate progrediendi facultatem ademisset. haec graviter ferens Michaelus Petronam avunculum suum, qui tum Thracensibus praeerat, cum Romanis exercitibus omni vi contra eum proficisci iubet. degebat tum apud Ephesum Petronas. cumque literis acceptis in maximam incidisset solicitudinem, illico ad montem Latram eques it, Ioannemque monachum celebrem virtute ibi degentem de re consulit. atque is extemplo ei respondit, "proficiscere, fili, contra Sarracenos: deum enim ductorem habebis." huius armatus votis Petronas exercitum ad Lalacaeonem (loci hoc est nomen) ducit, et undiqua-

ἐπέστησε, καὶ πρὸς συμπλοκὴν ἐξεκαλεῖτο τὸν Ἄμερ. πάντοθεν οὖν ὡς θηρίον περικλεισθεὶς ὁ Ἄμερ, καὶ περὶ τοῦ τέλους ἀγωνιῶν, τῶν αἰχμαλώτων τινὰ Ῥωμαίων προσκαλεσάμενος ἐπυνθάνετο τήν τε τῆς χώρας προσωνυμίαν καὶ τοῦ τόπου ἐν ᾧ ἔτυχεν ἐστρατοπεδευκώς, καὶ τοῦ παραρρέοντος ποταμοῦ. ὡς δὲ τὴν μὲν χώραν Λαλακαίωνα ἤκουσε λέγεσθαι, τὸν δὲ τόπον Πτώσοντα
P 547 καὶ Γύρην τὸν ποταμόν, εὐθὺς κακὸς οἰωνὸς ἑαυτῷ γενόμενος ἐξεφοίβασε λαοῦ τε κάκωσιν σημαίνειν καὶ πτῶσιν τὰ ὀνόματα, καὶ ὡς ἀνάγκη γυρισθῆναι ἡμᾶς ὑπὸ Ῥωμαίων. ἀλλ᾽ ὅμως μὴ ἀποκνητέον φησίν, ἀλλὰ διεγερτέον καὶ πρὸς τὸν αὔριον γενησόμενον πόλεμον ἀνδριστέον ἔφη πρὸς τοὺς παρόντας. ἡμέρας δὲ ἄρτι διαλαμπούσης, ἐπεὶ πάντοθεν συγκεκλεῖσθαι ἔγνω καὶ ἀνεπιχείρητος ἦν ἡ ἔξοδος, συμφέρον ἔκρινε κατ᾽ ἐκεῖνο τὸ μέρος χωρεῖν ὅπου τὸν Πετρωνᾶν εἶδε φυλάττοντα. καὶ δὴ κρότῳ καὶ βοῇ τοῖς πολεμίοις προσέρραξαν. ἐπεὶ δὲ ἀνηνύτοις ἔγνω ἐπιχειρῶν, μικρὸν συσταλεὶς αὖθις σὺν ῥύμῃ ἐπεβάρει μετὰ δυνάμεως, ἀπό-
B δρασιν ἑαυτῷ μηχανώμενος. πάλιν δὲ ἀποτυχὼν καὶ τρὶς τοῦτον ἐπιχειρήσας τὸν τρόπον εἰς ἀμηχανίαν ἐνέπιπτεν. ὡς δὲ πάντοθεν ἀναφανέντας καὶ ἐκπηδῶντας εἶδε τοὺς Ῥωμαίους ἔκ τε μεσημβρίας καὶ τῶν πρὸς ἄρκτον μερῶν, καὶ ἄφυκτα κατενόησε τὰ περὶ αὐτὸν εἶναι, τότε δὴ τὴν σωτηρίαν ἀπογνοὺς ἐμπίπτει τοῖς κατὰ μέτωπον ἀθρόως μετὰ σφοδρᾶς προσβολῆς. ἔνθα καιρίαν πληγεὶς αὐτός τε πίπτει, καὶ τῶν αὐτοῦ διασώζεται οὐδὲ εἷς. πυθόμενος δὲ τὴν ἧτταν ὁ τούτου υἱός, εἰς προνομὰς μετὰ μέρους

6 χώρα λαλάκωνα C 15 συρρήγνυνται C 19 κατενόησε C 20 προσαρκτίων C ἀφύλακτα P 22 ἀθρόον C 24 αἰτίαν C προνομὴν C

que positis insidiis Amerem ad pugnam provocat. qui ferae instar indagine cinctus deque exitu anxius, de regionis locique in quo castra posuerat et fluvii praeterlabentis nomine quendam e captivis Romanis interrogat. cumque audiret regioni Lalacaeonis, loco Ptosontis, amni Gyris nomen esse, statim male sibi ipsi ominatus praedicit ipsis verbis copiarum cladem, easque in gyrum inclusum iri a Romanis, denuntiari. suos tamen monet uti ne desperent, sed fortiter se ad postridie futuram pugnam parent. ut illuxit, undique se inclusum ac nullibi exitum patere sentiens, eo ire decrevit ubi Petronam stationem tenere videbat, hostesque magno cum plausu et clamore invadit. sed conatum suum irritum esse cernens paululum se recipit; rursumque inde impetum facit, effugiendi captans occasionem. tertium hoc frustra conatus et in extremo constitutus discrimine, postquam undique ex insidiis sese proripere videt Romanos ab austrinis et septentrionalibus locis, rebusque suis consuli nullo modo posse intelligit, desperata salute in adversos hostes vehementi cum impetu irruit, ibique et ipse sternitur et exercitus eius occidione perit. filius cum parte copiarum populatum missus

ἀποσταλεὶς τοῦ στρατοῦ, εὐθὺς πρὸς Μελιτηνὴν ἀπεδίδρασκεν. ἀλλὰ καὶ τοῦτον ὁ τοῦ Χαρσιανοῦ καταδιώξας κλεισουράρχης χειροῦται μετὰ τοῦ στρατεύματος καὶ τῷ στρατηγῷ δίδωσι Πετρωνᾷ. ὁ δὲ Πετρωνᾶς τοιοῦτον κατὰ τοῦ Ἄμερ στήσας τρόπαιον τὴν βα- C σιλίδα καταλαμβάνει, ἐπαγόμενος καὶ τὸν τὴν νίκην αὐτῷ προθεσπίσαντα μοναχόν, τήν τε ἀρετὴν ἐκθειάζων αὐτοῦ, καὶ πρὸς τὸν βασιλέα καὶ Βάρδαν τὸν οἰκεῖον ἀδελφὸν ἐξυμνῶν τοῦτον καὶ μεγαλύνων. τιμᾶται γοῦν δομέστικος τῶν σχολῶν, μετὰ μικρὸν δὲ καὶ ἀπεβίω. ἐτελεύτησε δὲ πρὸ τούτου καὶ ὁ Μανουήλ, νόσῳ δή τινι κρατηθείς.

Μονωθεὶς δὲ ὁ Βάρδας ἦγε καὶ ἔφερε πάντα, καὶ τὰς ἐκ βασιλέως ἤμειβε συνεχῶς τιμάς, ἀνῄει δὲ καὶ εἰς τὴν Καίσαρος δόξαν τε καὶ τιμήν, τοῦ Μιχαὴλ μηδενὸς ἑτέρου φροντίζοντος τῶν πολιτικῶν ἀλλ' ἢ θεάτρων καὶ ἵππων ἁμίλλης. καὶ τὸ δὴ D χείριστον, οὐκ ἠγάπα θεατὴς εἶναι μόνον, ἀλλὰ καὶ αὐτὸς ἡνιοχεῖν καὶ παίγνιον τοῖς πᾶσι προκεῖσθαι καὶ γέλως. καὶ ὁ μὲν ἐν τούτοις ἦν, ὁ Βάρδας δὲ διεῖπε τὰ πολιτικὰ καὶ τῆς βασιλείας κατεστοχάζετο ὡς αὐτὴν εὐκαίρως παραληψόμενος. ἐπεμελήθη δὲ καὶ τῆς ἔξω σοφίας (ἦν γὰρ ἐκ πολλοῦ χρόνου παραρρυεῖσα καὶ πρὸς τὸ μηδὲν ὅλως χωρήσασα τῇ τῶν κρατούντων ἀγροικίᾳ καὶ ἀμαθίᾳ) διατριβὰς ἑκάστῃ τῶν ἐπιστημῶν ἀφορίσας, τῶν μὲν ἄλλων ὅπῃ περ ἔτυχε, τῆς δ' ἐπὶ πασῶν ἐπόχου φιλοσοφίας κατ' αὐτὰ τὰ βασίλεια ἐν τῇ Μαγναύρᾳ· καὶ οὕτως ἐξ ἐκείνου

22 πᾶσιν C

nuntio cladis accepto statim Melitenam fuga petit. sed hunc quoque et exercitum eius Charsianis angustiis praefectus insecutus in potestatem redigit ac Petronae tradit. tam illustri de Amere victoria potitus Petronas Cpolin rediit, adducto secum qui eam praedixerat monacho, divinam eius virtutem praedicans, imperatorique et Bardae summopere commendans. iam tum Manuelus ex morbo interierat. itaque Petronas scholarum domesticus honoris causa creatur, pauloque post vita decedit.

At Bardas solus superstes omnia exinde agere ac ferre, honores imperatorios subinde in alios atque alios transferre, adeoque Caesaris quoque dignitatem sibi sumere. Michaelus interea nullam rei publicae curam gerere, theatris modo et equestribus vacare certaminibus, quodque erat deterrimum, non tantum ea spectare, sed et ipse equos agere omnibusque subsannandum se et ridendum exhibere. interim Bardas negotia publica procurabat, imperiumque animo sibi destinabat, quod suo tempore adipisceretur. idem profanas quoque literas, quae imperatorum barbarie atque inscitia iam a multis annis prorsus obsoleverant et evanuerant, recreavit, singulis scientiis certo loco suas scholas attribuens, supremae autem omnium philosophiae ad ipsam regiam in Magnaura. itaque ex eo rursum florere scientiae coeperunt, tametsi prae-

ἀνηβάσκειν αἱ ἐπιστῆμαι ἤρξαντο. τοῦτο τὸ ἔργον κάλλιστον καὶ περιβόητον ὂν οὐκ ἴσχυσεν ἀποπλῦναι τὰς ἐνούσας ἄλλας τῷ Βάρδᾳ κηλῖδας. τῆς μὲν οὖν φιλοσοφίας ἐξηγεῖτο Λέων ἐκεῖνος ὁ μέγας τε καὶ φιλόσοφος, ἀνεψιὸς ὢν Ἰαννῆ τοῦ πατριάρχου,
P 548 ὃς καὶ τὸν θρόνον ἔλαχε τῆς Θεσσαλονίκης, ἄρτι δὲ τῶν εἰκονομάχων καθαιρεθέντων συγκαθῃρέθη καὶ αὐτός, καὶ σχολάζων εἰς ταύτην προεβιβάζετο τὴν σχολήν. ἐγένετο δὲ πρότερον γνώριμος Θεοφίλῳ τῷ βασιλεῖ τοῦτον τὸν τρόπον. πάσας γὰρ κατορθώσας τὰς ἐπιστήμας ὡς οὐδὲ μίαν ἕτερος, ἐν εὐτελεῖ τινὶ καταλύματι διάγων τοὺς βουλομένους ἐμυσταγώγει ὁποίαν ἕκαστος βούλοιτο. ὡς δ' ἤδη χρόνος παρετείνετο καὶ πολλοὶ κατὰ τὰς ἐπιστήμας προέκοπτον, συνέβη τινὰ νεανίαν τῆς γεωμετρικῆς ἐπιστήμης εἰς ἄκρον ἐληλακότα ὑπογραφέα γενέσθαι τινὸς στρατηγοῦ. οὗ γενομένου κατά τινα πόλεμον εἵπετο καὶ αὐτός, καὶ τροπῆς γενομένης
B ζωγρεῖται καί τινι τῶν ἐπιφανῶν εἰς δουλείαν ἐκδίδοται. ὁ δὲ κατὰ τόνδε τὸν καιρὸν τῶν Ἰσμαηλιτῶν κατάρχων Μαμοὺμ ἄλλοις τε μαθήμασιν Ἑλληνικοῖς σχολάζων καὶ δὴ καὶ γεωμετρίας διαφερόντως ἐξεχόμενος ἦν. λόγου δέ ποτε κινηθέντος παρὰ τοῦ τὸν νεανίαν ἔχοντος δεσπότου περὶ τῆς εἰς τὰ μαθήματα σπουδῆς τοῦ ἀμερμνουμνῆ καὶ τῆς περὶ τὴν γεωμετρίαν ἐπιμελείας, "ἀκοῦσαι τούτου" εἶπεν ὁ νεανίας "ἐπιθυμῶ καὶ τῶν αὐτοῦ διδασκάλων, καὶ ἣν ἔχουσι περὶ τὴν γεωμετρίαν κατανοῆσαι σπουδήν." ἔμαθε τοῦτο ὁ Μαμούμ, καὶ μετὰ περιχαρείας εἰσκαλεῖται τὸν νέον πολλῆς, καὶ παραγενόμενον ἐπυνθάνετο εἰ γνῶσιν ἔχει τῆς

19 νεανίσκον C

stantissimum hoc et celeberrimum factum vitiis Bardae eluendis non suffecit. philosophiam docebat magnus ille philosophus Leo consobrinus Iannis patriarchae. hic Leo episcopus cum esset Thessalonicae, imaginiperdis submotis ipse quoque munere suo privatus, cum in otio degeret, huic fuit negotio adhibitus. verum ante in imperatoris Theophili notitiam hoc modo pervenerat. cum omnis scientiarum generis perfecta cognitione non haberet sibi parem, vili quodam in domicilio quibus quisque vellet artibus homines instituebat. lapso aliquanto tempore, cum multi in scientiis progressus haud poenitendos fecissent, forte iuvenis quidam apud eum summam nactus geometriae peritiam scriba fit cuiusdam ducis, cumque eo in bellum profectus, fusis suorum copiis vivus in hostium potestatem pervenit, et Sarraceno cuidam illustri in servitutem deditur. Ismaelitarum eo tempore princeps Mamumus cum aliis Graecis disciplinis vacabat, tum praecipue geometriae erat deditus. accidit aliquando ut eius, de quo diximus, iuvenis dominus de amermumnae in mathemata et geometriam studio mentionem faceret. ibi cupere se eum ipsiusque doctores audire iuvenis ait, et quam adhiberent rebus geometricis diligentiam explorare. Mamumus hoc cognito iuvenem lae-

τοιαύτης δυνάμεως. συγκαταθεμένου δ' ἐκείνου ἠπίστει ὁ βάρ- C βαρος, καὶ διετείνετο μηδένα ἕτερον εἶναι πλὴν τῶν ἐκείνου διδασκάλων τῆς γεωμετρικῆς ἐπιστήμης εἰδήμονα κατὰ τὴν τότε ἡμέραν. ἱμείρεσθαι δὲ φήσαντος τοῦ νεανίσκου τῶν αὐτοῦ διδασκάλων πεῖραν λαβεῖν, θᾶττον ἢ λόγος οὗτοι παρίστανται, καὶ διεχαράττοντο σχήματα τρίγωνα καὶ τετράγωνα, καὶ κανόνες εἰς μέσον προυτίθεντο τοῦ στοιχειωτοῦ, τὸ μέν, ὅτι τὸ σχῆμα τόδε τήνδε φέρει τὴν κλῆσιν καὶ τόδε τήνδε, διδάσκοντες, αἰτίαν δὲ καὶ λόγον καὶ τὸ διότι ἀπεδίδοσαν οὐδαμῶς. ὡς οὖν ἑώρα γαυρουμένους αὐτοὺς ὁ νεανίας καὶ μέγα φρονοῦντας ἐπὶ τῇ τῶν σχημάτων καταγραφῇ, "ἐπὶ παντὸς λόγου, ὦ οὗτοι," ὁ νεανίας ἔφη "καὶ D πράγματος τὸ διότι τὸ κῦρος ἔχει· ὑμεῖς δὲ τὴν ὕπαρξιν μόνην λέγοντες, τοὺς δὲ λόγους παρατρέχοντες οὐχ ἥκιστά μοι διαμαρτάνειν δοκεῖτε, τὸ κυριώτερον ἀγνοοῦντες." τῶν δὲ διαπορησάντων καὶ τὰς αἰτίας τούτων διευκρινεῖν καὶ διδάσκειν παρακαλούντων, ἐπεὶ διερμηνεύοντα καὶ σαφηνίζοντα ταύτας εὕρισκον, ὡς τόδε μὲν διὰ τόδε τόδε δὲ διὰ τόδε τὴν εἰρημένην κλῆσίν τε καὶ γραφὴν ἔχει, καὶ ἅμα ὁ νοῦς αὐτῶν διηνοίγετο καὶ τῶν λεγομένων συνίεσαν, θάμβει λοιπὸν συσχεθέντες, εἰ καὶ ἄλλους ἔχει τοιούτους τὸ Βυζάντιον ἐπηρώτων. εἰρηκότος δὲ τούτου πλείστους ἐν αὐτῷ εἶναι, καὶ ἑαυτὸν τὸν ἔσχατον τῶν μαθητῶν ἀλλ' οὐ τῶν διδασκόντων, περὶ τοῦ διδασκάλου πάλιν διεπυνθάνοντο, τίς τε εἴη καὶ εἰ περίεστιν. ὁ δὲ ὅστις τε εἴη ἀπεκρίνατο, καὶ ὡς ἔτι περίεστιν ἀκτήμονα βίον ἄγων καὶ μηδέ τισιν ἄλλοις ἀλλ' ἢ μόναις

12 κράτος C 14 καιριώτερον C 17 τόδε postremum libri om

tus admodum ad se vocat, et an cognitam haberet eam disciplinam quaerit, et aienti fidem derogat, eo tempore neminem praeter suos magistros geometriae gnarum esse contendens. iuvenis cupere se eorum scientiam examinare cum diceret, statim ii praesto fuerunt, figurasque trium et quattuor angulorum descripserunt, et in medium canones principiorum geometriae adduxerunt, nomina figurarum exponentes, nulla interim reddita causa aut prolata demonstratione. eos cum animo elatos iactare sese ob descriptionem figurarum videret iuvenis, "in omni" inquit "ratione atque re causam continens demonstratio principem obtinet locum. qua vos omissa, cum esse rem tantummodo dicatis, praecipua ignorantes videmini mihi non leviter errare." haerentibus iis et ut causas ipse demonstraret petentibus, cur quaevis figura hoc nomen et hanc delineationem haberet, ordine ostendit. ii ad rei intelligentiam deducti hominem porro admirati interrogant, aliosne etiam tales Byzantium haberet. et cum responderet plurimos, ac se discipulorum minimum, non ex magistrorum esse numero, Mamunus rursum de doctore quaerit, quis ille et an adhuc viveret. respondet Leonem esse in vivis adhuc, inopem et

P 549 ταῖς ἐπιστήμαις προσηλωμένον ἔχων τὸν νοῦν. γράμματα γοῦν εὐθὺς ὁ Μαμοὺμ πρὸς ἐκεῖνον διαχαράττει, τόνδε τὸν νοῦν ἔχοντα "ἐκ τοῦ καρποῦ τὸ δένδρον καὶ ἐκ τοῦ μαθητοῦ ἔγνωμεν τὸν διδάσκαλον. ἐπεὶ γοῦν τηλικοῦτος ὢν περὶ τὴν τῶν ὄντων ἐπιστήμην ἄγνωστος εἶ τοῖς συμπολίταις, τῆς γνώσεως καὶ σοφίας καρπὸν μὴ δρεπόμενος, μὴ ἀπαξιώσῃς ἐλθεῖν πρὸς ἡμᾶς καὶ τῆς σῆς μεταδοῦναι σοφίας. ἐρχομένῳ γάρ σοι αὐχένα ὑποκλινεῖ γένος ἅπαν τὸ τῶν Σαρακηνῶν, καὶ πλούτου καὶ δωρεῶν ἀξιωθήσῃ ὧν οὐδ' εἷς πώποτε τῶν ἀνθρώπων ἠξίωται." ταῦτα τὰ γράμματα δοὺς τῷ νεανίσκῳ καὶ δώροις φιλοφρονησάμενος ἐκπέμπει πρὸς τὸν διδάσκαλον. ὁ δὲ διασωθεὶς πρὸς τὴν βασιλεύουσαν καὶ ζῶντα τὸν
B φιλόσοφον εὑρηκὼς ἐπιδίδωσι ταῦτα τὰ γράμματα. ὁ δὲ οὐκ ἀκίνδυνον εἶναι λογισάμενος εἰ γραφὴν ἀπὸ τῶν ἐχθρῶν δέξοιτο εἰδήσεως ἄνευ βασιλικῆς, πρόσεισι τῷ λογοθέτῃ τοῦ δρόμου (Θεόκτιστος οὗτος ἦν, ὁ παρὰ τοῦ Βάρδα μετὰ ταῦτα ἀναιρεθεὶς) καὶ διηγεῖται ὅπως τε ἀφίκετο πρὸς αὐτὸν ὁ αἰχμάλωτος μαθητής, καὶ ὅπως γράμμα αὐτῷ προσκεκόμικεν ἐκ τοῦ ἀμερμουμνῆ, καὶ ἅμα τὴν γραφὴν ἐκβαλὼν εἰς χεῖρας δίδωσιν. αὕτη ἡ αἰτία τῷ φιλοσόφῳ Λέοντι πρὸς τὸν βασιλέα γνῶσις γίνεται καὶ οἰκείωσις, καὶ ὁ λεχθεὶς μαθητὴς τὴν τοῦ Λέοντος σοφίαν ἔτι κρυπτομένην
C ἐδημοσίευσε· προσκαλεῖται γὰρ ὡς τάχος αὐτὸν ὁ βασιλεὺς καὶ πλουτίζει καὶ δημοσίᾳ διδάσκειν προτρέπεται, κατοικητήριον ἀφορίσας αὐτῷ τὸν θεῖον ναὸν τῶν τεσσαράκοντα καλλινίκων μαρτύρων. ὁ δὲ Μαμοὺμ ἀπογνοὺς τὴν τοῦ φιλοσόφου ἄφιξιν ἀπορίας

1 προσέχων τὸν C 6 δρεπομένοις C 9 πώποτε] που C ἠξίωτο C 16 διηγεῖτο C 17 προσκεκόμικεν C

nulli alii rei quam scientiis deditum. statim ergo ad hunc literas in hanc sententiam Mamumus scribit. "ex fructu arborem, ex discipulo magistrum agnovimus. ergo tu, qui tanta rerum instructus scientia ignotus tuis civibus sapientiae fructum non fers, ne dedigneris ad nos venire tuaque nos doctrina impertire. venienti enim tibi tota Sarracenica natio cervicem submittet, iisque divitiis et donis cumulaberis quibus nemo unquam hominum." has literas iuveni liberaliter donato dat Leoni tradendas. isque Byzantium incolumis perlatus, cum Leonem adhuc vivum repperisset, ei literas reddit. Leo periculosum sentiens literas ab hoste accipere, nesciente id imperatore, Theoctistum logothetam dromi, quem deinde a Barda interfectum docuimus, accedit, et narrat quomodo discipulus suus captivus redierit literasque sibi ab amermumna attulerit; simulque eas exhibet. hoc modo Leonis in occulto versantem doctrinam discipulus in lucem produxit, atque hac occasione imperatori innotuit ac familiaris est factus Leo. statim enim is eum accivit, ditatumque publico docere iussit, gymnasii in usum ei concedens aedem quadraginta martyrum. sed Mamumus Leonis ad se adventu desperato, geometricas

ἐκθέμενος γεωμετρικῶν καὶ ἀστρονομικῶν ζητημάτων καί τινων ἄλλων μαθημάτων ἐκπέμπει, τὰς λύσεις σαφηνισθῆναί οἱ ἐξαιτησάμενος. ὡς δ' ἑκάστην ὁ Λέων ζήτησιν διελύσατο ἁρμοδίως, προσέθετο δὲ καταπλήξεως χάριν καί τινα τῶν μελλόντων σημεῖα προγνωστικά, καὶ τούτῳ ἐξέπεμψε, τότε δὴ ἐπὶ χεῖρας λαβόντα τὸν ἀμερμουμνῆν τρωθῆναι τῷ τούτου ἔρωτι, μέγα τε ἀνακραγεῖν τὸν ἄνδρα τῆς σοφίας ὑπεραγάμενον. εὐθὺς οὖν πρεσβείαν πρὸς τὸν Θεόφιλον καὶ γράμματα τοιαῦτα ἔχοντα τὴν διάνοιαν ἐκπέμ- D πει "ἐβουλόμην μὲν αὐτὸς ἀφικέσθαι σοι, ἔργον γνησίου φίλου ἀποπληρῶν· ἐπεὶ δὲ ἡ ἀνακειμένη μοι ἀρχὴ ἐκ θεοῦ καὶ ὁ ὑπὸ τὴν χεῖρά μου τελῶν πλεῖστος κατεξουσίας λαὸς τοῦτο οὐ συγχωρεῖ, ὃν ἔχεις ἐπὶ φιλοσοφίᾳ καὶ ταῖς λοιπαῖς ἐπιστήμαις διαβόητον ἄνδρα, βραχύν τινα χρόνον αἰτῶ ἐξαποστεῖλαί μοι, τῆς αὐτοῦ ἐπιστήμης μεταδώσοντά μοι ἐκκαιομένῳ καὶ ταύτης ἐρωτικῶς ἔχοντι. μὴ ἀναβολὴ δὲ διὰ τὸ σέβας καὶ τὴν τοῦ γένους ἀλλοτριότητα ἔσοιτο, ἀλλὰ μᾶλλον ὅτι τοιούτοις ἀξιοῖ φίλοις ἐπιεικέσι τε καὶ χρηστοῖς, πέρας τὸ τάχος λαβέτω ἡ αἴτησις. χάρις δέ σοι ὑπὲρ τούτου καταβληθήσεται χρυσίου μὲν ἑκατὸν κεντηνάρια, εἰρήνη δὲ καὶ σπονδαὶ ἀτελεύτητοι καὶ ἀΐδιοι." δεξάμενος δὲ τὰ γράμματα ὁ Θεόφιλος, ἄτοπον κρίνας εἰ τὴν τῶν ὄντων γνῶσιν, δι' ἣν τὸ Ῥωμαίων γένος θαυμάζεται, ἔκδοτον ποιήσει τοῖς ἔθνεσι, P 550 πρὸς τὰ αἰτηθέντα καὶ ἀξιωθέντα οὐκ ἐπένευσε. τὸν δὲ Λέοντα διὰ μείζονος ἦγε τιμῆς καὶ τῆς Θεσσαλονίκης προχειρίζεται πρόε-

2 ἐκπέμπει om C 16 ἔσεται C τοιοῦτον ὁ ἀξιῶν, πέρας ἡ αἴτησις λήψεται παρὰ φίλοις ἐπιεικέσι τε καὶ χρηστοῖς. χάρις C

aliquot astronomicasque et aliarum scientiarum quaestiones ad eum mittit, solutionem earum poscens. quas cum Leo recte omnes discussisset, et admirationis excitandae gratia simul quaedam futura praedicendi signa adscripsisset, Mamumus literis istis acceptis animum desiderio eius sauciatus fertur magna voce exclamasse, admiratione tantae eius viri doctrinae. statim ergo ad Theophilum legatos mittit, cum literis haec significantibus. "statueram, quod est genuini amici officium, ipse ad te venire: sed cum a deo mihi commissum imperium populusque mihi subditus, cuius summa est potestas, id non concedant, peto ut virum quem philosophia aliisque scientiis celebrem habes, ad me mittas, ut exiguum tempus mecum degens sua me doctrina, cuius amore flagro, impertiat. neque ob religionis et gentis diversitatem hoc differas, sed quod bonis amicis debetur, quamprimum praestes. pro hoc officio tibi auri centenaria 100 reddemus, pacemque et foedus perenne componemus." has literas cum accepisset Theophilus, absurdum ratus barbaris prodere scientias, ob quas Romana gens in admiratione esset, petitioni huic non annuit: Leonem vero maiori porro in honore habet ac Thessalonicae

δρον, τὸν πατριάρχην ἀναπείσας Ἰαννῆν χειροτονῆσαι τοῦτον, καὶ αὐτῷ, ὡς ἤδη εἴπομεν, κατὰ γένος ᾠκειωμένον.

Τοῦτον οἱ Θεσσαλονικεῖς μετὰ τὴν χειροτονίαν ὑπερβαλλόντως ἐτίμησαν διὰ τὴν ἐνοῦσαν αὐτῷ σοφίαν καὶ τὴν περὶ πάντα τὰ μαθήματα ἀκρίβειαν, ἐξαιρέτως δὲ ἐθαύμασαν ἀπὸ τῆσδε τῆς αἰτίας. ἄγονος ἦν ἡ γῆ καὶ ἄκαρπος κατ' ἐκεῖνο καιροῦ, καὶ λιμὸς ἦγχε τοὺς οἰκοῦντας Θεσσαλονίκην καὶ τὰ πέριξ αὐτῆς, καὶ B πάντες ἢ μετανάσται γενέσθαι τῆς πατρίδος ἢ λιμῷ καὶ ἐνδείᾳ τῶν ἀναγκαίων διαφθαρήσεσθαι ἤλπιζον. ὁ δὲ Λέων τὴν ἀπορίαν τούτων παραμυθούμενος καιρόν τινα, ὃν ἡ τῶν ἄστρων ὑπετίθη τούτῳ ἐπιτολή τε καὶ φάσις, παραδηλώσας αὐτοῖς, καὶ κατὰ τοῦτον τῇ γῇ καταβαλεῖν ἐπιτρέψας τὰ σπέρματα, τοσαύτης γέγονεν εὐφορίας αἴτιος ὡς ἐπὶ πολλοὺς ἐπαρκέσαι χρόνους τοῖς ἐγχωρίοις τοὺς δρεφθέντας καρπούς.

Τὰ μὲν οὖν γραμματικὰ ἔλεγεν ὁ Λέων καὶ ποιητικὰ μυηθῆναι κατὰ τὴν βασιλίδα, ῥητορικὴν δὲ καὶ φιλοσοφίαν καὶ ἀριθμῶν ἀναλήψεις καὶ τὰς τῶν λοιπῶν ἐπιστημῶν ἐφόδους κατὰ τὴν νῆσον Ἄνδρον γενόμενος. ἐκεῖσε γὰρ σπουδαίῳ τινὶ ἐντυχὼν C ἀνδρὶ Μιχαὴλ τῷ Ψελλῷ, καὶ τὰς ἀρχὰς μόνον καί τινας λόγους καὶ ἀφορμὰς λαβὼν παρ' αὐτοῦ, ἐπεὶ μὴ ὅσον ἐβούλετο εὕρισκε, περιενόστει τὰ μοναστήρια, καὶ τὰς ἐν αὐτοῖς ἀποκειμένας βίβλους ἀνερευνῶν τε καὶ ποριζόμενος καὶ σπουδαίως ἐκμελετῶν πρὸς τὸ τῆς τοσαύτης γνώσεως ὕψος ἀνεβιβάσθη. εἰς κόρον δὲ τῶν μαθη-

15 γράμματα P   ποιητὰς P

episcopum creat, opera Iannis patriarchae, cuius illum fuisse cognatum docuimus.

Leonem Thessalonicenses summopere sunt venerati, doctrinae ergo et in rebus mathematicis solertiae: praecipuam autem, cur ita admirarentur hominem, causam hanc habuerunt. sterilis et infrugifera eo tempore erat tellus, quique Thessalonicam et circumiacentia loca incolebant, fame premebantur; erantque in eo omnes periculo, ne aut patrium solum vertere aut penuria confici oporteret. Leo consolatus eos capto tempore, quod ei siderum certorum ortus atque emicatio indicabant, terram eos conserere iussit. quo facto tantae fertilitatis auctor fuit, ut eius messis fructus ad multos annos suffecerint.

Literis et poetis Leo, ut ipse ferebat, initiatus fuit Byzantii. rhetoricam philosophiam arithmeticam et reliquas scientias in Andro insula didicit. ibi versatus cum Michaele Psello, praestante viro, ab eoque principiis tantum et quibusdam praeceptis occasionibusque discendi instructus, neque tantum quantum desiderabat adeptus, monasteria pervagatus est, librosque in iis repositos perquirens atque scrutans studioseque meditans ad tantae doctrinae fastigium evasit. abunde ergo erudi-

μάτων μετεσχηκὼς πρὸς τὴν βασιλεύουσαν αὖθις ὑπέστρεψε, τὰ σπέρματα τῶν ἐπιστημῶν ταῖς τῶν βουλομένων διανοίαις καταβαλλόμενος. ἀλλὰ ταῦτα μὲν πρότερον· τῆς δὲ τῶν εἰκονομάχων αἱρέσεως καταβληθείσης καὶ τῶν ταύτης ἐχομένων καθῃρεθέντων, καθαιρεθέντος δὲ καὶ Ἰαννῆ τοῦ πατριάρχου, συγκαθῃρέθη καὶ οὗτος, ὃν ὁ Βάρδας, ὡς ἤδη φθάσαντες εἴπομεν, τῆς φιλοσόφου σχολῆς προστάτην ἀπέδειξε, καί τινα Σέργιον, φοιτητὴν αὐτοῦ γενόμενον (πατὴρ οὗτος τοῦ ἄνωθεν εἰρημένου νεανίσκου) τοῦ τῆς γεωμετρίας διαιτητηρίου, καὶ Θεοδήγιον, συνήθη καὶ αὐτὸν τούτου ὑπάρχοντα, ἀριθμητικῆς καὶ ἀστρονομίας, δαψιλεῖς αὐτοῖς τὰς χορηγίας ἐπιμετρῶν. πολλάκις δὲ καὶ ἐπιφοιτῶν ἐκ φιλομαθείας, καὶ τῶν διδασκομένων τὰς προθυμίας ἐπιρρωννύς, διὰ βραχέων εἰς αὔξησιν τὴν γνῶσιν ἀνήγαγεν, ἀπεσβηκυῖαν τελέως πρὸ τοῦ καὶ μηδ᾽ ἴχνος ὅλως δεικνῦσαν ἢ ζώπυρον. D

Ὁ δ᾽ αὐτὸς Βάρδας καὶ Καῖσαρ γενόμενος συνεχῶς ἐφοίτα τοῖς τοῦ ἱπποδρόμου δικαστηρίοις, καὶ τοὺς νόμους ἀνηβᾶν αἴτιος γέγονε, τοῦ χρόνου καὶ τὴν περὶ αὐτοὺς ἀκρίβειαν συγκαλύψαντος. P 551 ἀλλὰ τοσαῦτα καὶ τηλικαῦτα τῶν καλῶν τοῦ Βάρδα πλεονεκτημάτων ὁ τῆς φιλοπρωτίας ἔρως, οἷά τις ἐγγενὴς μολυσμὸς καὶ σπίλος ἄχραντος ὤν, ἠμαύρωσε καὶ ἠφάνισε, καὶ ἣν κατὰ τῆς ἐκκλησίας ἀνήγειρε στάσιν, κυκήσας αὐτὴν καὶ ταράξας. διὸ ἀντὶ τῆς κρείττονος δόξης τὰ ἐναντία ἠνέγκατο. Μεθοδίου γὰρ τοῦ τρισολβίου τὸν βίον μετηλλαχότος, ἐπὶ τέσσαρας χρόνους μό-

2 ἐννοίαις C 22 τὴν ἐναντιότητα C

tionis consecutus Cpolin rediit, et qui opera ipsius uti vellent, eos bonis artibus instituit. verum haec multo ante. ceterum imaginiperdarum haeresi profligata et eius sectatoribus deiectis, interque eos Ianne etiam patriarcha, Leo quoque deturbatus episcopatu fuit, eumque Bardas, ut rettulimus, deinde scholae philosophicae praefecit. idem Sergium Leonis discipulum, patrem huius de quo verba fecimus iuvenis, geometrico gymnasio, et Theodegium, itidem eius familiarem, arithmetico astronomicoque ludo praeposuit. large iis sumptus suppeditavit; utque erat studiosus bonarum artium, saepe ipse quoque scholam frequentavit, alacritatem discentium suo exemplo confirmans. hoc pacto bonas literas prorsus ante exstinctas, ita ut ne vestigium quidem earum aut scintilla exstaret, brevi temporis spatio ad magnam evexit amplitudinem.

Idem Bardas Caesar factus crebro iudicia quae in Circo agebantur visitabat, effecitque ut leges reflorescerent, cum harum quoque temporum vitio accurata obsolevisset tractatio. haec tot tantaque Bardae ornamenta nimia imperii cupiditas, veluti naevus quidam et innata macula, foedavit atque obscuravit, ac praeterea turbae quas ecclesiae dedit; quibus factum est ut pro gloria infamiam reportaret. etenim beatissimo Methodio, cum quattuor duntaxat annos Cpolitani patriarchatus

νον τὸν τῆς Κωνσταντινουπόλεως οἰακίσαντος θρόνον, Ἰγνάτιος ὁ Νικηφόρου μὲν τοῦ βασιλέως θυγατριδοῦς, υἱὸς δὲ Μιχαὴλ τοῦ τῆς βασιλείας ἐκπεπτωκότος, μετὰ τὸ τῆς βασιλείας ἀποπεσεῖν καὶ
B τὰ παιδογόνα ἀφαιρεθῆναι μόρια μοναχὸς γεγονὼς καὶ τῆς μονῆς τοῦ Σατύρου καθηγεμών, πρὸς τὸν πατριαρχικὸν θρόνον ἀνάγεται. οὗτος τὸν Βάρδαν ἐπὶ τῇ τῆς γυναικὸς ἀναιτίῳ ἀποβολῇ, τῇ δὲ τῆς οἰκείας νύμφης περιπλοκῇ τῆς ἐκκλησίας ἀπεῖργεν, ἐπεὶ μὴ τῶν θείων ἠμέλει κανόνων. ὃν ἐπεὶ πολλὰ λιτανεύων καὶ δυσωπῶν ὁ Βάρδας συγχωρήσεως ἀξιωθῆναι οὐκ ἠδυνήθη, ἄλλων ἀπογνοὺς πρὸς ἄμυναν διανίσταται, καὶ τῆς ἐκκλησίας ἐκβάλλει, καὶ μετὰ πολλὰς κακώσεις καὶ ἀνυποίστους τελευταῖον τῷ τοῦ Κοπρωνύμου τάφῳ ἀποκλείει, ἐπιστήσας αὐτῷ φύλακας δεινούς τε καὶ ὠμοτάτους. ἀπεβίω δ' ἂν ὁ ἱερώτατος οὗτος ἀνὴρ ἀπὸ τῆς πο-
C λυωδύνου ταύτης κακώσεως, εἰ μή τις θεοσεβὴς ἄνθρωπος κατά τινας χρείας τῶν φρουρῶν ἀποδημούντων ἐξῆγέ τε τοῦ τάφου καὶ ἐπιμελείας ἠξίου τῆς προσηκούσης. ὃν μετὰ πολλὴν ὅσην τὴν κάκωσιν ὑπερόριον ἐν Μιτυλήνῃ ποιεῖ. ἔπαθον δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἐπισκόπων τὰ παραπλήσιά τε καὶ χείρω, ὅτι μὴ ἠρέσκοντο τοῖς γινομένοις, μηδ' ἄλλον δέξασθαι διαβοώμενοι, κἂν εἴ τι γένηται. ὅμως δ' ὑπενδόντες οἱ μὲν ἀπειλαῖς οἱ δὲ ὑποσχέσεσιν εἴκουσι τῷ τοῦ Βάρδα θελήματι, τῆς ἀρετῆς καὶ δόξης ἔρωτα χρημάτων καὶ λειποταξίαν ἀνταλλαξάμενοι. ὁ δὲ Βάρδας Φώτιον, ἄνδρα ἐπὶ σοφίᾳ γνώριμον, πρωτασηκρήτην τηνικαῦτα ὑπάρχοντα,
D προχειρίζεται πατριάρχην. ἐπεὶ δὲ παρῆσαν καὶ τοποτηρηταὶ τοῦ

9 τῶν ὅλων C 23 πρωτοασηκρῆτιν C

solium tenuisset, vita defuncto, Ignatius Nicephori filia natus, Michaeli Rangabae filius, qui imperii spe adempta insuper castratus fuerat monachusque et monasterii Satyri princeps, patriarcha creatus fuit. is Bardam, quod hic uxorem sine causa repudiasset cumque sua nuru rem haberet, sacrorum canonum minime negligens ecclesia arcet. Bardas cum multis deprecationibus veniam non impetraret, desperatis aliis remediis ad vindictam se confert, Ignatium ecclesia eiicit, variisque et intolerabilibus modis vexatum tandem in Copronymi sepulchrum includit, custodibus additis saevissimis. et mortuus fuisset ibi homo divinissimus ex acerbissimo cruciatu, nisi pius quidam, custodibus suae necessitatis causa alio digressis, eum sepulchro eduxisset et debita cura refecisset. post multam vexationem tandem Ignatium Mitylenam Bardas relegat. multi quoque tum alii episcopi eodem modo sunt tractati aut etiam deterius, quod acta non probarent, neque ullum alium, quocunque modo res caderet, patriarcham se admissurum asseverarent. quidam tamen partim minis cedentes partim pollicitationibus inducti Bardae voluntati obsecuti sunt, virtutis ac gloriae amorem pecunia et desertione permutantes. Bardas ergo Photium, celebrem sapientia virum et secretariorum eo tempore principem, patriarcham creat. cumque adessent Romani

πάπα Ῥώμης κατὰ τῶν εἰκονομάχων σταλέντες, πείθουσι καὶ αὐτοὺς τῆς ἑαυτῶν γενέσθαι θελήσεως. διὸ καὶ ἐν τῷ τῶν θείων ἀποστόλων τεμένει συνέδριον ἠθροικότες δεδημοσιευμένῃ καθαιρέσει καθυποβάλλουσι τὸν Ἰγνάτιον τῆς ἐξορίας μεταπεμψάμενοι. ταῦτα μὲν τὰ τῆς φιλοπρωτίας τοῦ Βάρδα νεανιεύματα.

Τὰ δὲ ἐντὸς Εὐξείνου καὶ πᾶσαν τὴν αὐτοῦ παραλίαν ὁ τῶν Ῥὼς ἐπόρθει καὶ κατέτρεχε στόλος (ἔθνος δὲ οἱ Ῥὼς Σκυθικόν, περὶ τὸν ἀρκτῷον Ταῦρον κατῳκημένον, ἀνήμερόν τε καὶ ἄγριον), καὶ αὐτῇ δὲ τῇ βασιλίδι δεινὸν ἐπέσειε κίνδυνον· οἳ μετ' οὐ πολὺ τῆς θείας πειραθέντες ὀργῆς οἴκαδε ὑπενόστησαν, πρεσβεία τε αὐτῶν τὴν βασιλίδα καταλαμβάνει, τοῦ θείου μεταλαχεῖν βαπτίσματος P 552 λιτανεύουσα, ὃ καὶ γέγονε. καὶ τῆς Κρήτης δὲ στόλος ἄλλος νῦν μὲν τὰς Κυκλάδας ἐδῄου, νῦν δὲ ἄχρι Προικοννήσου τὴν παράλιον ἅπασαν. ἐγένοντο δὲ καὶ κλόνοι γῆς φρικωδέστατοι. εἷς δὲ ὁ μέγιστος, καθ' ἣν ἡμέραν ἡ τοῦ κυρίου ἀνάληψις ἑορτάζεται τὴν γῆν κατασείσας, τό τε κατὰ τὸ Ἐξωκιόνιον πρὸς γῆν ἠδάφισε τεῖχος, καὶ ναοὺς εὐπρεπεῖς καὶ οἴκους λαμπροὺς καὶ τὴν κατὰ τὴν χρυσῆν πύλην τῆς πόλεως ἱδρυμένην νίκην καὶ τὰς ἐν τῷ Δευτέρῳ κατὰ τὴν ἁγίαν Ἄνναν παγίας ἱσταμένας κατέσεισεν, ἧς τὴν πτῶσιν ὁ φιλόσοφος Λέων προσημαίνειν ἀνεῖπε φανερῶς τὴν τοῦ μετὰ βασιλέα δυνάστου καταστροφήν. ἐγένοντο δὲ B καὶ ποταμῶν ἀφάνειαι καὶ πηγῶν, καὶ ἄλλ' ἄττα παθήματα κατὰ πᾶσαν χώραν. ἃ πάντα κατενωτισάμενος ὁ βασιλεὺς ὅλος εἴχετο

16 ἐξακιόνιον C

papae vicarii, adversus imaginiperdas missi, hos quoque isti in suam pertrahunt sententiam, concilioque in aedem apostolorum congregato Ignatium ab exsilio evocatum publicata sententia damnant. haec sunt facinora quae Bardas imperii obtinendi cupiditate impulsus edidit.

Interim quidquid est intra Euxinum pontum maritimarum regionum, Rossica incursionibus vexabat atque vastabat classis. Rossi gens est Scythica, ad septentrionalem incolens Taurum, fera atque immanis. hi cum ipsam Cpolin in grave coniecissent periculum, paulo post dei iram experti domum reversi sunt, legatisque in urbem missis divinum baptismum efflagitarunt impetraruntque. alia porro Cretensis classis modo Cycladas modo maritimam ad Proconnesum usque infestavit regionem. terrae motus quoque ea tempestate apprime horrendi fuerunt. horum unus maximus die Christi in caelum assumptionis festo accidit, qui solo concusso murum qui est ad Exocionium prostravit, templaque pulchra et domos splendidas et Victoriam ad auream urbis portam collocatam subvertit, et quae in Deutero ad divae Annae stabant pagiae decussit. cuius casu Leo philosophus praedixit aperte designari obitum eius qui ab imperatore esset potentia proximus. quin et fluvii fontesque exaruerunt per id tempus, aliaque passim multa portenta exstiterunt. de quibus omnibus cum inaudivisset imperator, totus equestribus certamini-

τῶν ἱππικῶν ἀγώνων κατὰ τὸν ἐν Στενῷ ἀνεγηγερμένον ναὸν τοῦ ἁγίου μάρτυρος Μάμαντος. ἄξιον δὲ καὶ τόδε μὴ παραλιπεῖν τὸ λόγιον παραστατικὸν τυγχάνον τῆς τε τουτουῒ τοῦ βασιλέως ἀβελτηρίας καὶ τῆς τῶν προηγησαμένων ἐπιμελείας.

Τὰς τῶν Σαρακηνῶν κατὰ τῆς τῶν Ῥωμαίων χώρας ἐπιδρομὰς οἱ πάλαι βασιλεῖς διαδήλους ποιεῖν ἐθέλοντες, ἵνα μὴ αἰφνίδιοι εἰσπίπτωσιν ἐκπορθοῦντες τὰς χώρας καὶ ἐν ταῖς κώμαις καὶ τοῖς ἀγροῖς τοὺς ἐνοικοῦντας καταλαμβάνοντες, φρούριόν τι τῇ
C Ταρσῷ ἀγχίθυρον ἐπί τινος ὑψηλοτάτου λόφου καὶ ἐρυμνοῦ ἐδομήσαντο· Λοῦλον τῷ φρουρίῳ τὸ ὄνομα. οἱ ἐν τούτῳ τοίνυν φρουροὶ τῆς ἐκδρομῆς λαμβάνοντες αἴσθησιν πυρσὸν ἀνῆπτον, ὃν βλέποντες οἱ ἐν τῷ Ἀργαίῳ κατοικοῦντες βουνῷ ἄλλον ἀνῆπτον, καὶ αὖ οἱ κατὰ τὸν Ἴσαμον βουνόν. τοῦτόν τε πάλιν ὁρῶντες οἱ κατὰ τὸν Αἰγιαλὸν ἔκαιον ἕτερον, καὶ αὖθις οἱ κατὰ τὸν λεγόμενον Μάμαντα. εἶτα τοῦτον ὁ Κίρκος διαδεχόμενος, καὶ τοῦτον πάλιν ὁ Μόκιλλος, ἐκεῖνον δ' αὖθις ὁ τοῦ ἁγίου Αὐξεντίου βουνὸς τοῖς ἐν τῷ μεγάλῳ παλατίῳ ἐπὶ τοῦτο ἀφωρισμένοις διαιταρίοις δήλην ἐτίθει τὴν προνομήν. καὶ οὕτως κατὰ διαδοχὴν πυρ-
D σεύοντες γνῶσιν ἐν ἀκαρεῖ παρεῖχον τῷ βασιλεῖ, καὶ οἱ τῶν χωρῶν κάτοικοι πυνθανόμενοι τειχήρεις ἐγίνοντο καὶ τὰς ἐκδρομὰς διεδίδρασκον. τοιαύτης δὲ συνηθείας κρατούσης, συνέβη ποτὲ τοῦ Μιχαὴλ κατὰ τὸν τοῦ μάρτυρος Μάμαντος ναὸν μέλλοντος ἡνιοχῆσαι τὸν ἐκ τοῦ φάρου ἀναφθῆναι πυρσόν· ὃν οὗτος θεασάμενος

15 Κύριζος C   16 Μώκιλος C

bus incumbebat ad fanum divi martyris Mamantis, quod in Steno erat exstructum. operae pretium autem est id quoque eius decretum silentio non praeterire, quod ipsius stoliditatem et superiorum imperatorum industriam demonstrat.

Hi Sarracenorum in Romanas diciones volentes nequaquam ignorari incursiones, ne ex improviso irruentes ii regiones evastarent, incolis in pagis et agris deprehensis, castellum quoddam Tarso vicinissimum excelsissimo et natura munitissimo in colle aedificaverant, Lulum nomine, in quo collocati custodes, ubi Sarracenos incursionem moliri sentiebant, igne succenso signum dabant. quo igne conspecto ii qui in Argaeo colle excubabant idem faciebant. eos excipiebant qui in Isamo colle, post hos qui ad Aegialum, et secundum hos qui apud Mamantem, inde qui in Circo, atque ab his qui ad Mocillum, denique post hos qui in divi Auxentii colle stationem habebant, igne edito excubitoribus magni palatii incursionem hostium significabant. hoc ignium ordine sese insequentium indicio et imperator momento temporis de hostium conatu certior reddebatur, et rustici nuntio percepto muris se claudebant et impetum hostium evitabant. hac obtinente consuetudine accidit aliquando ut, dum Michaelus equis ad fanum Mamantis agendis sese parat, ignis a Pharo ederetur. quem ut vidit imperator, timens ne aurigatio sua non

εἰς τοσοῦτον ἐνέπεσε φόβον, δέει τοῦ μὴ παροφθῆναι τὴν αὐτοῦ ἡνιοχείαν ὑπὸ τῶν θεατῶν διὰ τὴν ἀπαίσιον ἀγγελίαν, εἰς ὅσον ἄλλος τις ἦλθε κινδυνεύων ὑπὲρ ψυχῆς· οὕτως ἐκεῖνος θεατριζόμενος οὐκ ᾐσχύνετο. ἵνα δὲ μή τι τῶν προσπιπτόντων ἀνιαρῶν δηλούμενον μαλακωτέρους ποιήσῃ τοὺς θεατάς, προσέταξε μηκέτι P 553 ἐνεργεῖν τοὺς τῇ βασιλίδι γειτονοῦντας πυρσούς.

Ἄλλοτε πάλιν (δεῖ γὰρ ἐκφαντικωτέραν θέσθαι τὴν τοῦ ἀνδρὸς παράνοιαν) ἐφ' ἅρματος αὐτοῦ ἱσταμένου καὶ τῆς ὕσπληγος μελλούσης αἴρεσθαι (ἐνεδέδυτο δὲ τὸ βένετον, καὶ πράσινος ἦν ὁ λογοθέτης τοῦ δρόμου Κωνσταντῖνος, λευκὸς δὲ ὁ Χειλᾶς καὶ ῥούσιος ὁ Κρασᾶς) ἀγγελία πεφοίτηκεν ὡς Ἄμερ ὁ τῆς Μελιτηνῆς ἀμηρᾶς δεινῶς ληλατεῖ τὴν Ἀσίαν καὶ ἤδη πρὸς τοῖς Μαλαγίνοις ἐστὶ καὶ προσδοκῶνται ὅσον οὔπω δεινά. ἣν πυθόμενος ὁ πρωτονοτάριος ἀπελθὼν μετὰ κατηφείας ἀπήγγειλε τῷ βασιλεῖ, καὶ ἅμα ἐπὶ χεῖρας ἔχων τὰ τοῦ δομεστίκου τῶν σχολῶν γράμματα ἐπεδίδου. B ὁ δὲ βλοσυρὸν εἰς αὐτὸν ἐνιδὼν καὶ τιτανῶδες, "καὶ πῶς ἐτόλμησας, ὦ κακὴ κεφαλή," ἔφη "κατὰ τὸν ἀναγκαῖον ἀγῶνα τουτονὶ περὶ τοιούτων μοι διαλέγεσθαι, οὐδὲν ἄλλο σπουδάζοντι ἢ μὴ τὸν μέσον εὐωνύμων ἰδεῖν παρατετραμμένον, ὑπὲρ οὗ μοι πᾶς ὁ ἀγών." τοιοῦτος ἦν ἔκφορος καὶ τὸν λογισμὸν παρακεκινημένος.

Καὶ οὐχὶ τούτῳ μὲν τῷ πόθῳ ἢ πάθει ἡλίσκετο, τῶν δὲ ἄλλων τῶν ἀπρεπεστέρων ἀπείχετο, ἀλλὰ τὸ μέτριον τάχα ἀμέτρως ἦθος μεταδιώκων ἐξέπιπτε τοῦ προσήκοντος καὶ τῆς βασιλ-

1 δέει om C   6 φρυκτοὺς C   19 εὐώνυμον C

spectaretur diligenter, animis spectatorum adverso indicio perculsis, in tantum venit metum quantus in periculo de vita constitutos invadere posset. tantum abfuit ut eum in theatro sese ostentandi puderet. atque adeo, ne quo adversarum rerum indicio animi hominum ad spectandum fierent languidiores, ignem ex speculis urbi vicinis in posterum edi vetuit.

Rursus (oportet enim vaecordiam eius magis illustrare) cum alio tempore in curru consedisset iamque equi essent carceribus emittendi (erat ipse Venetum habitu indutus, prasinum logotheta dromi Constantinus, album Cheilas, et ruseum Crasas), nuntius allatus fuit Amerem Melitenae ameram graviter populari Asiam, iamque ad Malagina pervenisse, et imminere magnum malum. eum nuntium protonotarius moestus imperatori indicat, simul literas domestici scholarum exhibens. tum imperator torvo eum et Titanico intuitus vultu "quomodo" inquit "ausus es, sceleste, mihi tam necessario certamine occupato istis de rebus interturbare? cum in hoc unum incumberem ut eum qui medium tenet, in laevam partem avertam, de quo mihi totum hoc certamen est." tanta fuit eius dementia.

Neque vero hoc tantum vitio laborans ab aliis indecoris rebus abstinuit, sed praeterea immoderate modestiam sectans et imperatoris per-

κῆς ἀξίας ἄξιον. καί ποτε γυναίῳ συναντήσας ἐκ βαλανείου ἐπαν-
C *ιόντι καὶ κάλπην ἐπὶ χεῖρας ἔχοντι (ἔτυχε δὲ τὸν ταύτης παῖδα*
ἐκ τοῦ θείου λουτροῦ υἱοθετησάμενος) τοῦ ἵππου ἀποβὰς τοὺς μὲν
συγκλητικούς, ὅσοι τούτῳ παρείποντο, κατὰ τὰ ἐκεῖσε ἀνάκτορα
ἐξαπέστειλεν, ἃ δὲ προσηταιρίσατο καὶ παρέτρεφεν ἀκόλαστα καὶ
πορνικὰ ἀνδράρια παραλαβὼν ἀπῄει μετὰ τῆς γυναικός, καὶ τὴν
κάλπην τῶν ἐκείνης χειρῶν ἀφείλετο, καὶ "ἄγε δῆτα ὦ γύναι,"
εἶπε "θαρροῦσα δέξαι με ἐν τῇ οἰκίᾳ σου, ψωμοῦ πιτυρώδους
ἔφεσιν ἔχοντα καὶ ἀσβεστοτύρου." ὡς δ' ἀπεπάγη πρὸς τὸν λόγον
ἡ γυνὴ μηδενὸς εὐποροῦσα τῶν πρὸς ὑποδοχήν, ὁ Μιχαὴλ θᾶττον
ἢ λόγος σινδόνα λαβών, ἣν ἤνεγκε τὸ γύναιον ἐκ τοῦ βαλανείου
ἔτι διάβροχον οὖσαν, ἀντὶ τῆς ὑπηρετούσης τῇ τραπέζῃ ὀθόνης
D *ἥπλου ἐπὶ τοῦ ἐδάφους, καὶ τὴν κλεῖδα τὴν τῆς γυναικὸς ἀφελὼν*
αὐτὸς ἦν βασιλεὺς ἑστιάτωρ μάγειρος τραπεζοποιὸς δαιτυμών.
ξυνδειπνήσας δὲ τῇ γυναικὶ πεζὸς καὶ βάδην πρὸς τὰ ἀνάκτορα ἀπῄει, πολλῆς εὐηθείας καταγινώσκων καὶ τύφου τῶν πρὸ αὐτοῦ βασιλέων κοσμιότητος ἀντιποιουμένων. ταῦτ' οὖν ἅπαντα μισητὸν ἐποίει τὸν ἄνδρα, καὶ κατ' αὐτοῦ τὴν πάντων δικαίως ὑπεκίνει ὀργήν.

Καὶ τὸ δὴ χείριστον ἡ τῶν παρεπομένων αὐτῷ κιναίδων φατρία καὶ πρὸς πᾶσαν αἰσχρουργίαν ἐπιτηδείων, οὓς ἐκεῖνος διὰ τιμῆς καὶ αἰδοῦς ἄγων, τὰ θεῖα διαπαίζων τε καὶ ἐξορχούμενος,
P 554 *ἱερατικὰς στολὰς χρυσοϋφεῖς ἐνεδίδυσκε καὶ ἐπωμίδας, καὶ ἀσχη-*

1 ἀπαντήσας C 2 κάλπιν C 3 τὸν ἵππον C 4 ἐκεῖσε om C 7 τὴν κάλπιν τε C 8 δὴ C 14 ἑστ.] αὐτὸς ἑστ. C

sonae conveniente gravitate excidit. occurrit aliquando mulierculae, cuius filium ex sacro susceperat lavacro, a balneo redeunti et situlam manibus gestanti. ibi equo descendens senatoriae dignitatis viros qui ipsum comitabantur, ad palatium abire iubet. ipse cum impuris et libidinosis homuncionibus quos sibi adsciverat, mulierculam secutus situlam e manibus eius aufert, et "bono" ait "animo sis, o mulier, meque domo tua accipe, qui furfuraceum ius appeto et asbestotyrum." cum ad haec verba diriguisset muliercula, ut cui ad convivium nihil esset parati, Michaelus dicto citius sindonem, quam e balneo adhuc madentem illa ferebat, mappae loco in solo stravit, ereptaque mulieri clave imperator ipse convivatoris, coqui, mensam ponentis et structoris munus obivit. peracto eo convivio, pedes lento incessu palatium repetiit, magnae stoliditatis et fastus damnans priores imperatores, qui elegantiae studuissent. haec igitur eum haud iniuria invisum omnibus faciebant.

Id vero iustas adversum eum iras concitabat, facinus deterrimum, quod coetum habebat secum cinaedorum et ad omnem turpitudinem paratorum hominum; quos in honore ille habens, ut rebus sacris illuderet, vestibus eos sacerdotalibus auro intextis amiciebat, atque humeralibus,

μώνως ἠνάγκαζε καὶ ἀνάγνως τελεῖν τὰ θεῖά τε καὶ πανάγια, τὸν ἔξαρχον τούτων (Γρύλλος αὐτῷ ὄνομα) πατριάρχην ἀποκαλῶν, τοὺς δὲ λοιποὺς δώδεκα μητροπολίτας. ἐτίθει δὲ καὶ ἑαυτὸν ἕνα τῶν θυηπόλων, καὶ τῆς Κολωνείας ὠνομάζετο πρόεδρος. ἐπεὶ δὲ ᾄδειν αὐτοὺς ἐχρῆν καὶ τελεῖν τὰ μυστήρια, διὰ κιθάρας τὰς ᾠδὰς ἐξεπλήρουν, νῦν μὲν ἠρέμα πως καὶ λιγυρῶς ἐπηχοῦντες, νῦν δὲ διαπρυσίως, ὥσπερ ἐν ταῖς ἱεραῖς λειτουργίαις οἱ ἱερεῖς τὰς ἐκφωνήσεις ποιοῦσι τῶν ἱερῶν. εἶχον δὲ καὶ σκεύη διάχρυσα καὶ διάλιθα, ταῦτα δὲ πληροῦντες ὄξους τε καὶ σινήπεως τοῖς μεταλαμβάνουσι μετεδίδοσαν, τῶν ἀχράντων οὕτω καταπαίζοντες μυστηρίων. τοῦτον τὸν μιαρὸν θίασον συνέβη ποτὲ τῷ μακαρίτῃ B
συναντῆσαι κατὰ τὴν ὁδὸν πατριάρχῃ, μετὰ τοῦ ἱερατικοῦ κλήρου καὶ τῆς λιτῆς διερχομένῳ. ὃν ἰδὼν ὁ Γρύλλος ἰταμῶς ἄγαν, καὶ ἀνερυθριάσεως μηδὲν ὑποστειλάμενος, φελόνην ἀναστείλας μετὰ τῶν αὐτοῦ συμμυστῶν εὐτονωτέροις ἐχρῆτο τοῖς κρούμασι, καὶ τοὺς εὐαγεῖς ἐκείνους λοιδορίαις καὶ ἀναιδέσιν ἔβαλλε ῥήμασιν.

Ὁ τοιοῦτος αἴσχιστος βασιλεὺς καὶ Θεοδώραν τὴν ἑαυτοῦ μητέρα ἔτι τοῖς ἀνακτόροις οὖσαν μετεκαλέσατό ποτε, εὐλογηθησομένην τάχα παρὰ τοῦ πατριάρχου, πλασάμενος τοῦτον εἶναι τὸν μακαρίτην Ἰγνάτιον. ὡς οὖν ἧκε μετ' εὐλαβείας ἡ σεμνοτάτη γυνὴ καὶ ἔρριψεν ἑαυτὴν εἰς τὸ ἔδαφος ἐξαιτουμένη εὐχήν, μηδὲν C
ὅλως ὑποτοπήσασα, τοῦ μιαροῦ Γρύλλου τὴν γενειάδα τέως κρύ-

1 θεῖα καὶ παναγιέστατα C, in margine καὶ μυσαρώτατα καλῶν C 3 ἕνδεκα C ἐτίθει] ἔτι C 11 ποτὲ Ἰγνατίῳ τῷ μακαρίῳ ἀπαντῆσαι κατὰ τὴν ὁδὸν μετὰ C 13 ἄγαν] ἅμα C

cogebatque turpiter et impure sacras actiones aemulari. principem eius coetus Gryllum patriarchae nomine ornabat, reliquos duodecim metropolitarum: se ipsum quoque unum pontificum et coloniae praesidem appellabat. cum cantandum erat peragendis sacrificiis, citharam adhibebant, modo sensim eam tangentes ut subtilem ederet vocem, modo ut magnum sonitum exhiberet, sicut in sacrificiis sacerdotes contenta voce cantant. aurea etiam et baccata gemmis vasa habebant: ea aceto et sinapi implebant et communicantibus impertiebant, hoc modo impolluta deridentes mysteria. hic coetus aliquando beato patriarchae obviam est factus, cum is supplicationis causa cum clericorum pompa procederet. quem ut conspexit Gryllus, audacter admodum et impudenter absque ulla cunctatione, exemplum suum reliquis sequentibus, veste diducta pulsare citharam contentius coepit et sanctis hominibus obscoene convicia facere.

Michaelus porro matrem suam Theodoram adhuc in palatio degentem aliquando ad se vocavit, quasi fausta ei precaturo Ignatio patriarcha, quem adesse finxerat. ut ergo sanctissima mulier venit et religiose in solum se prostravit, vota pro se concipi petens, ut quae nihil sinistri suspicaretur, cum impurus Gryllus eatenus barbam occultasset, Gryllus

πτοντος, ἀναστὰς ὁ Γρύλλος ἀπέπερδε καὶ ῥήματά τινα ἀπεῖπε τοῦ οἰκείου στόματος ἄξια. ἡ δὲ ἐπὶ τῷ γεγονότι δεινοπαθήσασα ἀραῖς ἔβαλλε τὸν υἱόν, καὶ τῆς τοῦ θεοῦ προνοίας ἐκπεσεῖν ἀπεφοίβασε προφητικῶς τοῦτον οὐκ εἰς μακράν. ἀλλ' οὐκ ἦν τὸν ἅπαξ παρατραπέντα τῆς εὐθείας ὁδοῦ βελτιωθῆναι. ὅθεν καὶ ταχυτάτη κατειλήφει τοῦτον καταστροφή, καὶ πρὸ αὐτοῦ μὲν τὸν Βάρδαν, καὶ πρὸ ἐκείνου τὸν κανικλείου Θεόκτιστον, τοὺς χαριζομένους αὐτῷ καὶ μὴ τῶν πονηρῶν ἀνακόπτειν ἐθελήσαντας διδαγμάτων ὡς ἐπιτρόπους. καὶ ὅπως μὲν ὁ Θεόκτιστος ὤλετο,
D προλαβὼν ὁ λόγος ἐδήλωσε, σημεῖα δὲ τὸν ὄλεθρον δηλοῦντα τοῦ Βάρδα προηγήσατο τάδε, ἐπιτολαὶ κομητῶν, ὄψεις ὀνειράτων ἀλλόκοτοι. ἔδοξε γὰρ καθ' ὕπνους οὗτος πρὸς τὴν μεγάλην ἐκκλησίαν μετὰ τοῦ Μιχαὴλ ἀπελθεῖν ὡς τάχα πανηγύρεως οὔσης. ὡς οὖν ἀφίκοντο καὶ προσωτέρω ἐγίνοντο τοῦ θείου ναοῦ, ὁρᾶν ἐδόκει λευκοφόρους τινὰς προηγουμένους, οἵτινες ὁδηγοῦντες αὐτὸν ἄγουσι πρὸς τὰς κιγκλίδας τοῦ θυσιαστηρίου, καὶ βλέπει μὲν ἄλλο οὐδέν, περὶ δὲ τὸν θρόνον τοῦ πατριάρχου καθήμενόν τινα γηραιόν (Πέτρον εἴκασε τοῦτον εἶναι τὸν κορυφαῖον τῶν ἀποστόλων), οὗ πρὸς τοῖς ποσὶν ὁ μακαρίτης ἐκυλινδεῖτο Ἰγνάτιος,
P 555 ἐκδίκησιν ἐξαιτῶν ὧν ἐπεπόνθει δεινῶν. τὸν δὲ ἑνὶ τῶν παρεστώτων μάχαιραν δοῦναι καὶ εἰπεῖν "ταύτῃ τὸν Θεόργιστον" οὕτω τὸν Καίσαρα κατονομάσαντα "τῇ τῶν εὐωνύμων χώρᾳ ἐγκαταστήσας μεληδὸν διάτεμνε. τὸν δὲ ἀσεβότεκνον" διὰ τοῦ τοιούτου προσρήματος τὸν βασιλέα δηλοποιήσαντα "κατάλεγε μὲν τοῖς

8 θελήσαντας C

surgens crepitum ventris emisit et quaedam ore suo digna blateravit. Theodora facinus hoc aegerrime ferens, detestata filium, vaticinataque est eum divinam indignationem brevi sensurum. sed fieri non poterat ut semel a recta via aversus corrigeretur. itaque et celerrime periit, atque ante ipsum Barda, hocque prior Theoctistus caniclei dignitate ornatus, qui indulgebant ipsi, et cum tutores ipsius essent, a pravis eum abstrahere studiis nolebant. quomodo perierit Theoctistus, supra est expositum. interitum Bardae antecesserunt signa, cometarum nempe exortus et absurda insomnia. namque is per quietem sibi imaginatus fuit se cum Michaelo ad solennem quandam festivitatem in magnum templum ire; quo cum iam appropinquassent, quosdam praeire albis amictos vestibus, et se ab iis deduci ad cancellos tribunalis, ibique se nihil videre aliud quam solio patriarchae residentem senem quendam, quem ipse putaret Petrum esse apostolorum coryphaeum; ad pedes eius volutari Ignatium, et iniuriarum suarum ultionem flagitare. porro Petrum cuidam adstantium ensem tradere, et mandare ut Theorgistum (sic appellasse eum Caesarem, quasi divinae irae obnoxium) inter eos qui a sinistris stant collocet, eoque ense membratim concidat, Asebotecnum autem (hoc nomine eum imperatorem notasse ut impium filium) inter

δεξιοῖς, τὴν δ' ὁμοίαν δίκην ἀπεκδέχεσθαι πρόσειπε." καὶ ὁ μὲν ὄνειρος οὗτος· εἰ δὲ καὶ ἀπέβη τὰ θεαθέντα, δηλώσει τὰ μετὰ ταῦτα.

Ἄρτι κατὰ τῶν Κρητῶν ὁ Βάρδας πανδημεὶ μετὰ τοῦ Μιχαὴλ καθωπλίζετο, καὶ πρὸς τὸν τῆς θεοτόκου ναὸν τῶν ὁδηγῶν φοιτήσας εἰσῄει μετὰ λαμπάδων τὸν συντακτήριον ἐκπληρῶν. ὡς οὖν τοῖς ἀδύτοις προσήγγισεν, ἄφνω τῶν αὐτοῦ ὤμων ἡ χλαμὺς ὀλισθήσασα αἰσθέσθαι τοῦτον δεινοτέρων δεινῶν παρεσκεύασε. B
καὶ αὐτὸς δὲ πρὸ μιᾶς ἡμέρας τοῦ μέλλειν ἀπαίρειν ἀπὸ τῆς πόλεως, εἴτ' ἀφ' ἑαυτοῦ εἴτε καὶ ἄλλως ὑπὸ τοῦ μέλλοντος ἐλαυνόμενος, συναγαγὼν εἰς ταυτὸ τοὺς φίλους καὶ συμποσιάσας μεμνῆσθαί τε τῆς αὐτοῦ παρῄνει φιλίας καὶ λεγάτα, ὡς τοῦ βίου ἤδη ἔξω γινόμενος, παρέσχετο. ὡς οὖν κατὰ τῆς Κρήτης ἐξῄεσαν καὶ τῷ θέματι τῶν Θρακησίων ἐπέβησαν, καὶ κατά τινα Χῶρον τόπον οὕτω λεγόμενον οἱ τούτῳ ὑπηρετοῦντες προκαταλαβόντες τὰς σκηνὰς κατεπήγνυον ἁμίλλῃ χρώμενοι καὶ σπουδῇ, ἐνταῦθά που, εἴτε δὴ κατὰ πρόνοιαν εἴτε καὶ ἄλλως κατ' ἄγνοιαν, τὴν μὲν τοῦ βασιλέως ἐπὶ πεδινοῦ χωρίου αὐλαίαν ἐπήξαντο, εἴς τινα δὲ λόφον ὑπερανεστηκότα τὴν τοῦ Καίσαρος ἀνεπέτασαν. ὅπερ ὡς C
ἕρμαιον λαβόντες οἱ τῷ Μιχαὴλ προσκείμενοι καὶ προσπολεμοῦντες τῷ Καίσαρι κατῃτιῶντο τὸ γεγονὸς καὶ τὰς κατ' ἐκείνου ἐξέκαιον συμβουλάς. ὑπέθραττε δ' ὅμως αὐτοὺς καὶ νωθροτέρους ἐποίει πρὸς τὴν ἐγχείρησιν ἡ τοῦ Καίσαρος κραταιοτέρα ἰσχύς· τὴν

2 οὗτως C 4 κρητικῶν C 8 δεινότερα C 14 τῷ θέματι om C 18 πεδηνοῦ C αὐλέαν C, in margine τένταν

dextros constituat quidem, sed simile tamen supplicium denuntiet. comprobaveritne exitus hoc insomnium, sequentia ostendent.

Moliebatur Bardas una cum Michaelo expeditionem cum omnibus copiis in Cretenses. itaque ad deiparae fanum quod Hodegon dicebatur, quod eam sibi itineris ductricem votis solerent conciliare, accessit, et facibus praelucentibus intravit, ut se suaque deiparae commendaret. cum ergo iam ad penetralia templi perrexisset, subito chlamys de humeris ipsius prolapsa malorum ei maximorum praesagium dedit. idem Bardas pridie quam urbe erat discessurus, sive ultro sive futurae rei urgente fato, amicis in unum conductis legata distribuit, veluti qui iam vita excederet. inita ergo expeditione, ut in Thracensium provinciam perventum est ad locum quendam cui Choro nomen, ministri Bardae reliquis priores, dum certatim festinant, tabernaculum Caesaris sive dedita opera sive imprudentes in edito quodam colle figunt, tentorio ipsius imperatoris in planitie expanso. hoc factum ii qui Michaelum contra Bardam concitare solebant, ut optimo casu oblatam commoditatem arripientes, calumniabantur, et consilia contra eum inita ut exsequeretur imperator instigabant. Caesaris tamen potentia ingens inimicos turbabat et

τε γὰρ τοῦ δομεστίκου τῶν σχολῶν ἀρχὴν ὁ τούτου εἶχεν υἱὸς Ἀντίγονος, καὶ οἱ λοιποὶ στρατηγοὶ αὐτῷ ἐπειθάρχουν, καὶ Συμβάτιος ὁ λογοθέτης τοῦ δρόμου, γαμβρὸς ἐπὶ τῇ θυγατρὶ αὐτοῦ τυγχάνων, ἀναντιρρήτως τὰ ἐκείνου φρονεῖν ἐπιστεύετο. ἀλλ' ἔλαθεν ὁ Συμβάτιος ὑπὸ τοῦ βασιλέως κλαπεὶς καὶ τὸν φόνον τοῦ πενθεροῦ ἐργασάμενος αὐτός, καὶ οὐκ ἄλλος, σύνθημα τοῦ φόνου εὐτρεπισθείς. ἄρτι γὰρ ἐξῄει τὰς ἀναφορὰς ἀναγνούς, καὶ τὸ σημεῖον ἐδίδου τοῦ φόνου, σταυρὸν εἰς τὸ ἑαυτοῦ πρόσωπον ἐγχαράξας. ἀνεβάλλοντο δ' ὅμως οἱ συνωμόται, τὴν ἑταιρείαν παρισταμένην ὁρῶντες τοῦ Καίσαρος. ὅπερ ὁ Μιχαὴλ εὐλαβηθείς, μή πως κατάφωρος γενόμενος καθ' ἑαυτοῦ τὴν μάχαιραν ἐπισπάσηται, διὰ πιστοῦ τινὸς ἐθαρσοποίει τοὺς ἄνδρας ταῖς ὑποσχέσεσι. καὶ παρῆλθεν ἂν τὸν κίνδυνον καὶ παρεκρούσατο ὁ Καῖσαρ τῷ δέει καταπλησσομένων καὶ κατεπτηχότων τῶν συνωμοτῶν, P 556 εἰ μὴ Βασίλειος ὁ μετὰ ταῦτα βασιλεύς, παρακοιμώμενος ὤν, διανέστη πρὸς τὴν ἐγχείρησιν· οὗτος γὰρ ἀπορρῖψαί τε πείθει τὸ δέος τοὺς συνωμότας καὶ πρὸς τὴν πρᾶξιν ἐπιρωννύει. ξιφήρεις οὖν τοὺς ἄνδρας ἰδὼν ὁ Βάρδας ἐπιόντας ἀθρόως ἔγνωκέ τε τὸν θάνατον καὶ πρὸς τοὺς πόδας ἔρριψε τοῦ βασιλέως ἑαυτόν. ἀλλ' ἀποσπῶσι τοῦτον ἐκεῖθεν καὶ μεληδὸν κατατέμνουσιν, εἶτα κοντῷ τὰ παιδογόνα αὐτοῦ ἐπαιωρήσαντες μόρια παραδειγματίζουσιν. ἤρθη δὲ θόρυβος πολὺς καὶ τῷ βασιλεῖ κίνδυνον ἐπισείων, ὃν ὁ τῆς βίγλας δρουγγάριος Κωνσταντῖνος μετὰ πολλῶν εἰς μέσον

D

4 ἐπιστεύσατο P   7 ἀφορμὰς C   13 καὶ κἂν παρῆλθε τὸν C   17 τὸν φόνον C   21 ἀπαιωρήσαντες C, in margine κρεμάσαντες

ad audendum facinus segniores reddebat. quippe et filius eius domestici scholarum gerens munus Antigonus reliquos exercituum duces sibi habebat obsequentes; et Symbatius dromi logotheta Bardae gener haud dubie ab ipsius stare partibus credebatur. nam ignorabant eum a Michaelo Bardae furtim sublatum adeo socero necem moliri, ut nemini alteri quam ipsi tessera facinoris sit credita. proinde Symbatius simul et acta rettulit, et faciem suam cruce signans inferendae Bardae caedis signum dedit. cum autem coniurationis socii cunctarentur, quia sectatores Bardae coram adstare videbant, Michaelus metuens ne illis tergiversantibus re detecta in se gladii stringerentur, misso suorum fidelium quodam, pollicitationibus eos confirmavit. nihilominus tamen evasisset Caesar, adeo coniuratos metus deterruerat a facinore, nisi Basilius imperatoris cui successit deinde, cubicularius ad id peragendum se proripuisset, suosque cohortatus esset ut abiecto metu propositum exsequerentur. Bardas cum eos strictis gladiis in se ruere cerneret mortemque sibi impendere, ad imperatoris pedes se abiicit. unde abstractum ii membratim concidunt, et genitalia eius conto praefixa per ludibrium ostentant. ortum ex eo tumultum ingentem, qui ipsum quoque imperatorem in periculum coniiciebat, Constantinus biglae drungarius subito magna cum

ἀθρόως ἐπιφανεὶς διέλυσεν, εὐφημίαις τε βάλλων τὸν βασιλέα καὶ δικαίως ἀποθανεῖν τὸν Βάρδαν διαβεβαιούμενος. καὶ ὁ μὲν Βάρδας οὕτως ἐξ ἀνθρώπων ἐγένετο, καὶ οὕτω ἡ κατὰ Κρητῶν ἐκστρατεία B ἐλέλυτο, τοῦ βασιλέως πρὸς τὸ Βυζάντιον ὑποστρέψαντος.

Τοῦτο τὸ ἔργον εἰς βασίλειον ὕψος ἀνήγαγε τὸν Βασίλειον. φυσικῆς γὰρ ἀπορῶν γονῆς ὁ Μιχαήλ, καὶ τὰ κοινὰ διεξάγειν οὐχ οἷός τε ὤν, εἰσποιεῖταί τε αὐτὸν εἰς υἱὸν τῇ τῶν μαγίστρων ἀξίᾳ τιμήσας, καὶ διάδημα μετὰ μικρὸν αὐτῷ περιτίθησι κατὰ τὴν μεγάλην ἐκκλησίαν γενόμενος. ἐγκρατὴς δ' οὗτος τῆς ἀρχῆς γεγονὼς ἀπεπειρᾶτο τὸν βασιλέα ὡς πορρωτάτω ἀπάγειν τῶν μισητῶν ἔργων καὶ ἐπιρρήτων. ἔλαθε δὲ διὰ τοῦτο ἑαυτῷ καθοπλίζων τὸν φθόνον. μὴ φέρων γὰρ τοὺς ἐλέγχους ὁ Μιχαήλ, καὶ τὸν Βασίλειον ἐκποδὼν ποιῆσαι διανοούμενος ὡς τῶν αὐτοῦ θελημάτων C ἐμποδιστήν, Βασιλικῖνόν τινα τοῦ βασιλικοῦ δρόμωνος ἐρέτην ὑπάρχοντα εἰς μέσον ἀγαγὼν τὴν πορφύραν τε ἐνδύει καὶ τὸ διάδημα περιτίθησι καὶ πρὸς τὴν σύγκλητον ἐξάγει τῆς χειρὸς ἔχων αὐτόν, καὶ ἐξαγαγὼν τοιούτων τινῶν ῥημάτων ἀπήρξατο "πάλαι μὲν ἔδει τουτονὶ τὸν ἄνδρα, ὦ φίλοι, εἰς τὸν περίβλεπτον κόσμον τῆς βασιλείας ἀναγαγεῖν ἢ τὸν Βασίλειον· πρόσεστι γὰρ αὐτῷ

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος,
τὸ δεύτερον δὲ συμφυὲς πέλει στέφος·
ἅπαντα δ' ἁρμόζουσι πρὸς τὴν ἀξίαν."

9 περιτίθεται C   20 post Βασίλειον C: ἐφ' ᾧ καὶ μεταμεμέλημαι   22 πρῶτα C

manu superveniens compescuit, imperatoremque faustis acclamationibus prosecutus, iure interfectum Bardam affirmavit. hoc pacto Barda sublato imperator omissa Cretensi expeditione Byzantium rediit.

Atque hoc facinus Basilium ad imperatorium fastigium evexit. nam Michaelus cum prole careret et solus rem publicam gerere non valeret, eum adoptavit magistri ornatum dignitate, et paulo post in magno templo diadema ei imposuit. Basilius tantum adeptus potestatis, imperatorem conatus quam longissime ab odiosis et infandis istis studiis abducere, imprudens gravi eum contra se inflammavit odio. Michaelus enim reprehensiones non ferens de eo interficiendo consilia iniit, ut suae voluntatis impedimento. et Basilicino cuidam imperatoriae celocis remigi in medium producto purpuram diademaque circumdedit, manuque sua ad senatum educens, hanc habuit orationem. "iampridem, amici, decreveram hunc potius virum ad imperii honorem summum evehere quam Basilium. sunt enim in eo

primum corona forma digna regia:
deinde cognatum diadema est huic viro.
suntque omnia dignitati convenientia."

αὕτη ἡ πρᾶξις καὶ ὁ λόγος οὗτος ἀρχὴ γέγονε τῆς αὐτοῦ καταλύ- D σεως. ἐπισυνέβη δέ τι καὶ ἄλλο. ἀκρατοποτῶν γὰρ ὁ Μιχαὴλ καὶ μεθυσκόμενος κατὰ τὸν τῆς μέθης καιρὸν πολλὰ καὶ ἄτοπα προσέταττε πράττεσθαι, τοῦ μὲν ἀφαιρεῖσθαι τὰ ὦτα, ἄλλου τὴν ῥῖνα, καὶ τὴν κεφαλὴν ἑτέρου· ἐκώλυε δὲ ταῦτα γίνεσθαι ὁ Βασίλειος, οὐ τοσοῦτον περὶ τῶν ἄλλων ὅσον περὶ ἑαυτοῦ δεδοικώς. ὡς οὖν ἔγνω ὁ Μιχαὴλ ἐμπόδιον αὐτὸν ἔχων, μεγάλην κατ' αὐτοῦ συρράπτει ἐπιβουλήν. ἡ δὲ ἦν· ὑποτίθησί τινι λόγχην ἐπαφεῖναι λόγῳ μὲν κατὰ τοῦ θηρίου, ἔργῳ δὲ κατὰ τοῦ Βασιλείου. καὶ τοῦτο δῆλον γέγονε τοῦ κελευσθέντος ἐν τῷ μέλλειν ἀποθνήσκειν P 557 ἐξαγορεύσαντος. ἀφῆκε μὲν οὖν οὗτος τὴν λόγχην, διήμαρτε δέ, καὶ σέσωστο ὁ Βασίλειος. καὶ σωθεὶς δρᾶσαί τι μᾶλλον ἐσπούδασεν ἢ παθεῖν· καὶ σφάττεται ὁ Μιχαὴλ κατὰ τὰ ἀνάκτορα τοῦ ἁγίου Μάμαντος, ἐν ἔτει τῷ ,ϛτοϛʹ, ὥρᾳ γʹ τῆς νυκτός, ἄρξας μετὰ τῆς μητρὸς μὲν ἔτη ιδʹ, ιαʹ δὲ μοναρχήσας. ἀλλὰ καὶ οὕτως ἐκμελῶς καὶ ἀναγώγως βιώσας οὐ παντάπασιν ἠμοίρησε τῶν ἐπαινετῶν· δισκοποτήριον γὰρ προσήνεγκε τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ πολυκάνδηλα τὰ πρώην λίαν ὑπερελάσαντα.

Ἀναιρεθέντος δ', ὡς εἴπομεν, τοῦ Μιχαὴλ τὸ τῆς βασιλείας ἀνεδήσατο κράτος ὁ Βασίλειος. ὅστις δὲ οὗτος ἦν καὶ ὅθεν ὥρμητο, κἀκ ποίας αἰτίας εἰς τὴν βασίλειον ἄνεισι περιωπὴν ἐκ τα- B πεινῆς καὶ ἀλαμποῦς ὁρμώμενος τύχης, ἄνωθεν διαλαβὼν ὁ λόγος

8 ῥάπτει C 12 σέσωσται C 15 ιαʹ δὲ] δέκα δὲ καὶ ἓν C
20 titulus Βασίλειος ὁ Μακεδὼν ὁ Κεφαλᾶς. ad marginem: αὕτη ἡ γενεαλογία τοῦ Βασιλείου πεπλασμένη λέγεται εἶναι πολυτρόπως ὑπὸ τοῦ υἱοῦ αὐτοῦ λέγεται συντεθεῖσα C

hoc factum atque haec oratio principium fuit interitus Michaeli. accessit huc aliud quiddam. mero sese cum obruisset Michaelus aliquando, per ebrietatem multa absurda praecepit, nempe ut quibusdam aures, aliis nares, nonnullis capita amputarentur. quae ne fierent, Basilius obstitit, non tam de aliis quam de se ipso solicitus. Michaelus postquam hunc sibi obstare sensit, atroces struit insidias, subornato qui hastam ferae simulans feriendae causa se mittere, in Basilium defigeret. eaeque detectae sunt, cum is quem subornatum diximus fuisse, iam moriturus rem efferret. ac misit sane hastam, sed a Basilio aberravit. ergo Basilius ex insidiis servatus agere quam pati potius duxit. estque Michaelus in palatio ad divi Mamantis interfectus, anno ab origine mundi 6376, hora noctis tertia. imperavit cum matre annos quattuordecim, solus undecim. quanquam autem vitam egit dissolutam, non tamen prorsus nihil laudabile gessit. obtulit enim magno templo poculum, quod discopoterium dicitur, et polycandela prioribus plurimo praestantiora.

Interfecto Michaelo Basilius imperium occepit. is unde sumpto initio quaque usus occasione ex humili et obscuro loco ad culmen imperii ascenderit, altius repetita re est explicandum. fuit Basilius patria

διατρανώσει. ἤνεγκε τοίνυν ἡ τῶν Μακεδόνων χώρα αὐτόν, εἷλκε δὲ τὸ γένος ἐξ Ἀρμενίων, ἐκ πάνυ λαμπρᾶς καταγόμενος τῆς τῶν Ἀρσακιδῶν σειρᾶς, ἐξ ἧς μόνης νόμος ἦν βασιλεύεσθαι Πάρθοις καὶ Μήδοις καὶ Ἀρμενίοις διὰ τὸ κλέος τοῦ πρώτου Ἀρσάκου τοῦ ἀνακτησαμένου τοῖς Πάρθοις τὴν βασιλείαν ὑπὸ Περσῶν ἐσφετερισμένην. καὶ συνέβη μέχρι πολλοῦ τοὺς τοῦ Ἀρσάκου ἀπογόνους βασιλεύειν τῶν εἰρημένων ἐθνῶν. ἔσχατος δὲ τῆς βασιλείας ἐκπεσὼν Ἀρτάβανος τῆς προγονικῆς, καὶ ὁ τούτου ἀδελφὸς Κλιένης, φυγάδες εἰς τὸ Βυζάντιον παραγίνονται· Λέων ὁ μέγας τότε τὴν τῶν Ῥωμαίων ἴθυνε βασιλείαν. οὗτος οὖν τοὺς ἄνδρας ὑπο- C δεξάμενος καὶ ἀξιοπρεπῶς τιμήσας οἴκησιν τὴν προσήκουσαν ἐν τῇ βασιλίδι ἀπένειμεν. ὅπερ μαθὼν ὁ τῶν Περσῶν βασιλεὺς γράμμασιν αὐτοὺς μετεκαλεῖτο, εἰς τὴν πατρῴαν ὑπισχνούμενος ἡγεμονίαν ἐγκαταστῆσαι. δεξαμένων δ' ἐκείνων τὰ γράμματα καὶ περὶ τοῦ πρακτέου διασκοπουμένων, μηνύεται διά τινος τῶν ὑπηρετουμένων αὐτοῖς πάντα τῷ βασιλεῖ, καὶ ὅτι οἱ πλανῆται οὗτοι καὶ ἐπήλυδες τῶν ἐπισημοτέρων εἰσί. καὶ εἴς τινα πολίχνην τῆς Μακεδονίας Νίκην ὀνομαζομένην μετὰ γυναικῶν καὶ τέκνων αὐτοὺς κατοικίζει. εἶτα πάλιν τῆς Περσῶν βασιλείας ὑπὸ τῶν Σαρακηνῶν ἀνατραπείσης, τὰ παραπλήσια καὶ ὁ τηνικαῦτα ἀμερμουμνῆς D διεπράξατο, καὶ γράμμασι μετεκαλεῖτο τοὺς ἐν Μακεδονίᾳ τῶν Ἀρσακιδῶν ἀπογόνους. φωραθέντος δὲ καὶ τούτου τοῦ δράματος Ἡρακλείῳ τῷ βασιλεῖ, καὶ ὅτι οὐκ εὐνοίᾳ τῇ πρὸς αὐτοὺς ἡ μετάκλησις γίνεται, ἀλλ' ὥστε δι' αὐτῶν τὸ τῶν Ἀρμενίων καὶ Πάρ-

3 ἀρσακίων libri Πέρσαις C 7 ἔσχατον C 16 πλάνητες C 19 ἐγκατοικίζει C 22 γράμματος C

Macedo, natione Armenius, ex illustri Arsacidarum stirpe, ex qua unica leges sinebant Parthorum Medorum Armeniorumque reges deligi, ob gloriam primi Arsacis, qui Parthis regnum a Persis surreptum recuperaverat. diu admodum huius Arsacis progenies dictis gentibus imperavit. ultimus Artabanus eiusque frater Clienes, avito exturbati regno, Byzantium exsules pervenerunt, Leone magno tum Romanorum imperium gerente. is viros istos excepit, honoribusque dignis afficiens habitationem in urbe iis convenientem assignavit. Persarum rex cognita hac re missis literis eos revocavit, restituturum se in paternum regnum promittens. dum hi literis iis acceptis quid facto usus sit deliberant, quidam ipsorum famulus totum negotium exponit, ostendens errones hos atque advenas esse ex illustrissimis hominibus. itaque Leo eos cum uxoribus et liberis Nicam (oppidum est hoc Macedoniae) transfert. rursum postea Persarum regno a Sarracenis everso, eius temporis amermumnes itidem literis Arsacidas in Macedonia degentes revocavit. quod cum Heraclius tum imperator deprehendisset, intelligeretque eum non benevolentia impulsum ipsos accersere, sed quod speraret eorum opera se Ar-

θιων γένος ὑπήκοον γενέσθαι, εἰς Φιλίππους αὐτοὺς (μία δὲ αὕτη τῶν Μακεδονικῶν πόλεων) μετοικίζει, εἶτα πάλιν ἐκεῖθεν εἰς Ἀδριανούπολιν. εὐθέτου δὲ τοῦ τόπου φανέντος τοῖς ξένοις, εἰς πλῆθος κατέστησαν, ἀσύγχυτον τὸ γένος φυλάσσοντες. χρόνοις δὲ ὕστερον, ἡνίκα Κωνσταντῖνος σὺν Εἰρήνῃ τῇ μητρὶ ἐβασίλευσεν, ἀνήρ τις Μαΐκτης τοὔνομα, εἰς τὸ τῶν Ἀρσακιδῶν ἀναφέρων P 558 γένος, κατά τινα χρείαν εἰσῄει εἰς τὴν βασιλεύουσαν, ὃς ἀνδρὶ περιτυγχάνει τυχαίως ὁμογενεῖ Λέοντι τοὔνομα, καὶ εἰς ὁμιλίαν αὐτῷ καταστὰς ὅλος τῆς τούτου φιλίας ἐγένετο. ὡς δὲ κατενόησε καὶ αὐτὸν τοῦ τῶν Ἀρσακιδῶν αἵματος εἶναι, ἐν Ἀδριανουπόλει οἰκοῦντα, προκρίνει τῆς ἰδίας τὴν ἀλλοτρίαν διὰ τὴν τοῦ ἀνδρὸς ἀρετήν, καὶ τὸ πρὸς αὐτὸν ἀσπασάμενος κῆδος μίαν τῶν αὐτοῦ θυγατέρων ἠγάγετο· ἐξ ὧν ὁ τοῦ ἱστορουμένου προῆλθε πατήρ, ῥώμῃ τε διαφέρων καὶ τῇ λοιπῇ τοῦ σώματος θέσει· ὃν γυνή τις εὐγενής, τῆς τοῦ μεγάλου Κωνσταντίνου, ὡς φασι, καταγομένη σειρᾶς, γαμβρὸν ἐπὶ τῇ ἰδίᾳ ἄγεται θυγατρὶ λίαν εὐπρεπεστάτῃ, ἐξ ἧς ἐτέχθη Βασίλειος, πολλὰ πρὸ τῆς γεννήσεως φέρων τὰ τῆς B βασιλείας σύμβολα. ἐκ τῶν τοιούτων γεννητόρων προαχθεὶς ὁ Βασίλειος ἐλευθερίως ἀνήγετο. ἐπεὶ δὲ Κροῦμος ὁ τῶν Βουλγάρων ἄρχων, ταῖς κατὰ Ῥωμαίων νίκαις πεφυσημένος, μέγα στρατόπεδον ἀγείρας ἐπολιόρκει τὴν Ἀδριανούπολιν, μηδενὸς χεῖρα ἀνταῖραι τούτῳ τολμῶντος ἀνυποστάτῳ τυγχάνοντι διὰ τὰς προηγησαμένας εὐτυχίας, χρόνον τῇ πόλει περικαθίσας ἐφ' ἱκανὸν ὡμολόγει ταύτην διὰ τὴν τῶν ἀναγκαίων ἔνδειαν παραστήσασθαι,

11 οἰκῆσαι C 13 ὑπῆρχε C 15 εὐγενής om C

menios posse et Parthos sibi subiicere, Philippos (urbs et haec est Macedoniae) eos transportat, atque inde Adrianopolin. qui locus cum ipsis opportunus videretur, auxerunt ibi se, genus suum secretum ab aliis servantes. aliquanto post tempore, Constantino cum matre Irena imperium gerente, Arsacides quidam nomine Maictes necessitatis suae causa Cpolin venit, inciditque in gentilem suum Leonem, et artissimam cum eo amicitiam contraxit. qui cum ipsum Adrianopoli quidem habitare, genus autem ab Arsacidis trahere intelligeret, alienum solum patriae ob viri praestantiam praetulit, unamque ex eius filiabus uxorem duxit. hoc ex coniugio natus est Basilii pater, viribus et corporis habitu praestans; cui nobilis quaedam matrona, quae a magno Constantino natales suos trahere credebatur, filiam suam longe formosissimam nuptum tradidit. his parentibus natus Basilius, antequam nasceretur, multa habuit potiundi imperii signa, estque liberaliter educatus. quo autem tempore Crumus Bulgarorum princeps, victoriis quas a Romanis reportaverat inflatus, magno collecto exercitu Adrianopolin obsedit, tractaque aliquamdiu obsidione, cum ob res secundas insuperabilis videretur neque quisquam se ei opponere auderet, eam necessariis rebus de-

πάντας τε τοὺς ἐν αὐτῇ, οἷς ἠριθμεῖτο καὶ ὁ τῆς πόλεως ἀρχιερεὺς Μανουήλ, εἰς Βουλγαρίαν μετέστησε. συνέβη μετὰ τῶν ἄλλων καὶ τοὺς τοῦ Βασιλείου γεννήτορος, ὑπομάζιον αὐτὸν ἔτι φέροντας, εἰς τὴν Βουλγάρων ἀπαχθῆναι γῆν. ἔνθα αὐτός τε ὁ κλεινὸς ἀρχιερεὺς καὶ οἱ τοῦ Βασιλείου γεννήτορες καὶ τὸ σὺν τῷ C ἀρχιερεῖ πλῆθος ἀνόθευτον τὴν εἰς Χριστὸν πίστιν διατηρήσαντες πολλοὺς τῶν Βουλγάρων πρὸς τὴν ὀρθόδοξον πίστιν μετήγαγον, μήπω τοῦ ἔθνους μετηγμένου πρὸς θεοσέβειαν, καὶ πολλαχοῦ τῆς Βουλγαρικῆς γῆς Χριστιανικῆς διδασκαλίας κατεβέβλητο σπέρματα. ἀλλὰ Κροῦμος μὲν ἔφθη καταλύσασθαι τὴν ζωήν, Κρυτάγων δὲ ὁ τούτου διάδοχος πολλῷ τὸν ἀπελθόντα νικῶν εἰς θηριωδίαν, αὐτὸ τὸ γινόμενον οὐκ ἀγνοήσας, καὶ ὅτι τὸ τῶν Βουλγάρων γένος ἠρέμα πρὸς χριστιανισμὸν μεταφέρεται, θυμοῦ πλήρης καθίσταται, καὶ τόν τε θεῖον ἀρχιερέα Μανουὴλ καὶ τοὺς ἐξοχωτάτους τῶν περὶ αὐτὸν μετὰ θυμοῦ παραστησάμενος πρῶτον μὲν D ἠπίως μεταστῆσαι ἐπειρᾶτο καὶ ὁμαλῶς τῆς ὀρθοδόξου καὶ ἀμωμήτου τῶν Χριστιανῶν πίστεως, ἐπεὶ δὲ κρείττους αὐτοὺς κατενόησε καὶ ὑποσχέσεων καὶ ἀπειλῶν, μετὰ πολλὰς αἰκίας τῷ διὰ μαρτυρίου παρέδωκε θανάτῳ. καὶ Μανουὴλ μὲν ὁ κλεινὸς ἀρχιερεὺς οὕτω τῷ διὰ μαρτυρίου τέλει σὺνάμα τοῖς ὑπ' αὐτὸν ἐμφανέσι τὴν ἑαυτοῦ ἐπισφραγίζει ζωήν, καὶ πολλοὺς τῶν καθ' αἷμα συνέβη προσηκόντων μαρτυρικῆς εὐκλείας ἀξιωθῆναι· ἐπεὶ δὲ ἔδει ποτὲ καθόδου τυχεῖν τοὺς ὑπολελειμμένους αἰχμαλώτους, ἄνωθεν τοῦ θεοῦ τὴν ἔξοδον αὐτοῖς πραγματευομένου, ὁ τῶν Βουλγάρων ἀρχηγὸς πολλάκις θραυσθεὶς καὶ μὴ δυνάμενος ἐπὶ πλέον πρὸς τὰς

3 et 5 *βασιλέως* libri 10 *Κουτράγων* C 19 *παραδίδωσι* C

ficientibus deditione cepit, omnesque in ea qui erant urbe, inter quos etiam Manuelus fuit episcopus, in Bulgariam deportavit, Basilii quoque parentes cum Basilio adhuc lactente eo commigrarunt. ibi et inclytus ille episcopus et Basilii parentes et reliqua cum episcopo turba fidem in Christum sincerum conservantes, Bulgarorum multos ad veram religionem, quod ante id tempus nunquam fuerat factum, traduxerunt, passimque per Bulgariam Christianae doctrinae semina iecerunt. Crumo vita defuncto successit Crytagon, longe antecessore crudelior. hic animadvertens Bulgaricam gentem paulatim ad christianismum desciscere, inflammato ob eam rem animo, Manuelum et praecipuos eius socios ad se vocat; ac primum mansueta oratione suadet ut Christianam fidem desecrant, post cum eos neque pollicitationibus neque minis flecti sentiret, acerbe excruciatos interficit. hoc modo Manuelus multique sub eo illustres aliique sanguine iuncti sua morte verae religioni testimonium tulerunt. tandem reliquis captivis deus in patriam redeundi occasionem paravit. nam princeps Bulgarorum saepius cladem passus, cum iam

Ῥωμαϊκὰς δυνάμεις ἀντικαθίστασθαι εἰρήνην ἀντὶ τῆς μάχης
ἀσπάζεται καὶ ἀπολύει τῆς αἰχμαλωσίας τὸν λαόν. ἄρτι δὲ συνα-
P 559 λιζομένων τῶν αἰχμαλώτων, καὶ μελλόντων ἤδη πρὸς τὰ πάτρια
ἤθη παλινοστεῖν, καὶ ὁ ἄρχων θεωρὸς ἐγένετο τῶν αἰχμαλώτων,
καὶ τὸν παῖδα κατιδὼν Βασίλειον ἤδη τὴν παιδικὴν παραλλάσσοντα
ἡλικίαν καὶ τῆς ἐφήβου ἁπτόμενον πρὸς ἑαυτὸν μετεκαλεῖτο, ἐλευ-
θέριον ἰδὼν ἐνορῶντα καὶ χαρίεν ὑπογελῶντα καὶ περισκαίροντα,
καὶ ἐγγὺς παραστάντα ταῖς χερσὶν ἠθέλησε κατασχεῖν καὶ ἀσπάσα-
σθαι καὶ μῆλον ὑπερφυὲς τὸ μέγεθος αὐτῷ παρασχεῖν· ὅπερ οὗ-
τος ἀκάκως πάνυ καὶ θαρραλέως τοῖς τοῦ ἄρχοντος ἐπερειδόμενος
γόνασι διδόμενον ὑπεδέξατο, ἐν τῷ ἀπλάστῳ ἤθει καὶ ἀπεριέργῳ
τὴν ἑαυτοῦ εὐγένειαν ἐνδεικνύμενος, ὡς ἐκπλαγῆναι μὲν τὸν ἄρ-
χοντα, ἀγανακτεῖν δὲ λεληθότως τοὺς ὑπ᾽ αὐτόν, εἰ τοιοῦτος ὢν
B ὁ νέος συγχωροῖτο οἴκοι παλινοστεῖν. ἀλλ᾽ ἀπελύθη ὅμως εὐμε-
νείᾳ θεοῦ ὁ αἰχμάλωτος τῶν Ῥωμαίων λαὸς ἀπαθής, συνεξῆλθον
δὲ οἱ τοῦ Βασιλείου γονεῖς, τὸν φίλτατον ἑαυτῶν παῖδα προσεπα-
γόμενοι.

Φασὶ δὲ καὶ πολλὰ σημεῖα συνενεχθῆναι τούτῳ, γνώριμον
καθιστῶντα τὸν ἄνδρα, ὡς εἰς τὴν βασίλειον ἀναχθείη περιωπήν.
ἀλλὰ τὰ μὲν ἄλλα παριτέον τῷ λόγῳ ὡς παρολκὴν ἐμποιοῦντα·
ὃ δ᾽ οὐ θέμις παραδοῦναι σιγῇ, τοῦτο καὶ διηγήσομαι. θέρους
ἦν ἀκμή, καὶ οἱ τὸν παῖδα γεγεννηκότες ἐξῆλθον εἰς τὸν ἴδιον
ἀγρόν, τοὺς θεριστὰς πρὸς τὸ ἔργον ἐντείνοντες. καὶ οὗτοι μὲν
ἦσαν πρὸς τούτοις, τὸ δὲ παιδίον ἵνα μὴ ὑπὸ τοῦ θάλπους κατα-

3 συναλιζόντων C, in margine συναθροιζομένων 8 ἠθέλησε om C 13 ἦν C 14 ἀπεληλύθεισαν C

Romanorum viribus resistere nequiret, pacem bello praetulit captivosque dimisit. quos cum congregatos iamque in patriam iter ingressuros contemplaretur, Basilium tunc ex pueritia adolescentiam ingressum videt, eleganti vultu praeditum et suaviter subridentem atque circumsaltantem. eum ad se vocat, manibusque apprehendit et osculatur, pomumque rarae magnitudinis donat, quod adolescentulus simplici audacia genibus principis innitens accepit, morum minime fucata simplicitate indolis suae ingenuitatem demonstrans. itaque et miraculo attonitus fuit princeps, et subditi clanculum indignati sunt, tali adolescenti domum redeundi potestatem concedi. sed tamen, deo propitio, captivi omnes incolumes domum dimissi abierunt, interque hos etiam Basilii parentes, carissimum secum ducentes filium suum.

Multa feruntur indicia futuri imperii Basilio fuisse, quae omittenda nobis sunt, ne longius a proposito abducamur. unum tamen praeterire nequaquam convenit. messis tempore parentes eius cum in agrum exissent, ut messorum operas urgerent, Basilium, ne solis aestu laederetur, sub umbraculo quodam ex manipulis subito constructo reposuerunt, ut

φλέγοιτο τοῦ ἡλίου, σκηνήν τινα σχεδιάσαντες ἐκ τοῦ συνδέσμου C τῶν ἀσταχύων ἐν ταύτῃ τοῦτον κοιμηθησόμενον ἔθεντο, ἅμα μὲν τῆς τοῦ ἡλίου θέρμης τὸν καύσωνα ἀβλαβῶς διελθεῖν μηχανώμενοι, ἅμα δὲ καὶ ὡς ἀπερικόπως ὑπνώττῃ, μὴ ὑπό τινος ἔξωθεν ἐνοχλούμενος. ἀλλ' ἐκεῖνοι μὲν τὴν στιβάδα, ὡς ὁ καιρὸς ἐδίδου, σχεδιάσαντες καὶ τὸν παῖδα κατακοιμήσαντες ᾤχοντο πρὸς τὸ ἔργον· τοῦ ἡλίου δὲ τὰς ἀκτῖνας ἐπαφιέντος τῷ παιδὶ καὶ οὐ μικρῶς τούτῳ παρενοχλοῦντος, ἀετὸς ἐπικαταπτὰς ἡπλωμέναις ταῖς πτέρυξι τὸ παιδίον ἐσκίαζεν. ἀρθείσης δὲ παρὰ τῶν ἰδόντων φωνῆς, μή τι καὶ πάθοι παρὰ τοῦ ζῴου εὐλαβηθέντων, ἡ μήτηρ εὐθὺς πρὸς τὸν παῖδα δραμοῦσα, ὡς εὗρε τοῦτον ἡδέως καθεύδοντα, ἰδοῦσα δὲ καὶ τὸν ἀετὸν τῷ παιδίῳ σκιὰν ταῖς πτέρυξι D περιποιούμενον καὶ μηδὲ πρὸς τὴν ταύτης ἐκπλαγέντα ἐπέλευσιν, ἀλλ' ὥσπερ καὶ χάριν ἀπαιτοῦντος αὐτήν, κατὰ μὲν τὸ πρόχειρον οὐκ εἰς νοῦν ἔβαλλε τὸ θεοπρόπιον, ἀλλ' ὡς εἶχε λίθον ἀπὸ τῆς γῆς λαβοῦσα τὸν ἀετὸν ἀπεδίωκε. καὶ οὗτος μὲν μικρὸν ἀπέπτη, τῆς δὲ γυναικὸς πρὸς τὸν ἄνδρα ὑποστρεψάσης πάλιν παρῆν ὁ ἀετὸς κατὰ τὸ πρότερον σχῆμα ἡπλωμέναις ταῖς πτέρυξι τὸ παιδίον ἐπισκιάζων. καὶ πάλιν ἦρτο φωνὴ παρὰ τῶν θεατῶν διωλύγιος, καὶ ἡ μήτηρ πρὸς τὸ παιδίον, καὶ λίθῳ πάλιν ὁ ἀετὸς ἀποσοβούμενος, καὶ ἡ τῆς μητρὸς πρὸς τοὺς ἐργαζομένους ὑποστροφή. ὡς δὲ καὶ τρὶς καὶ πολλάκις τοῦτο ἐγένετο, μόλις ποτὲ συναίσθησιν τοῦ θείου λαμβάνει συμβόλου, καὶ τεκμηριοῦται διὰ τῶν προλαβόντων τὰ γενόμενα ὕστερον.

Ἐτρέφετο τοίνυν διὰ πάσης ἐπιμελείας ὁ παῖς ὑπὸ μόνοις P 560 τοῖς φύσασιν· ἤδη δὲ αὐτοῦ τὴν τῶν νεανίσκων παραμείψαντος

1 ἀποδέσμου C   18 κατασκιάζων C

simul et a radiorum solis fervore tutus esset et sine molestia dormiret, nulla re interturbante; ipsique ad opus sopito puero discesserunt. cum vero sol radios ei immitteret et non parvam afferret molestiam, aquila eo devolavit et passis alis puerum obumbravit. quod cum vidissent alii, et prae metu ne quid aquila puero mali faceret exclamassent, accurrit mater, vidensque puerum suaviter dormire et aquilam ei umbram alis suis praebere, neque ipsius adventu absterreri sed quasi gratiam reposcere, in praesentia divinatione nulla ad animum accidente, lapide a terra sublato aquilam abegit. quae paululum avolans digressa matre statim rediit, et ut ante Basilium obumbravit. rursum ergo exclamatur a spectantibus, materque accurrens aquilam lapide a puero abigit, eaque ipsa digressa redit. hoc aliquoties facto, tandem divinum hoc esse signum mater cognovit et ex praeteritis futura collegit.

Accurate a parentibus educatus Basilius, cum iam ex ephebis excessisset, patrem amisit. ita orbus ille patre, matre vidua, vario affli-

ἡλικίαν μετήλλαξε μὲν ὁ πατὴρ τὸν βίον, χηρεία δὲ περὶ τὴν μητέρα καὶ ὀρφανία περὶ τουτονὶ τὸν νεανίαν καὶ ἐντεῦθεν ἀνίαι καὶ θλίψεις ἀπεφύοντο. ἐπέρρει δὲ καὶ φροντίδων ἑσμός, τῆς περὶ τὸν οἶκον ἐπιμελείας καὶ τῆς μητρικῆς προνοίας καὶ τῶν ἀδελφῶν ἄρτι ἐφ' ἑαυτὸν ἐξηρτημένης. ἐπείπερ ἡ γεωργία μικρά τις ἐπικουρία ἐδόκει αὐτῷ καὶ συνεργὸς πρὸς τὸν βίον, βουλεύεται πρὸς τὴν βασιλεύουσαν εἰσελθεῖν κἀντεῦθεν ἑαυτῷ τε καὶ τοῖς φιλτάτοις ἐπαξίως πορίζεσθαι τὰ δέοντα. καὶ τοῦτον μὲν εἶχεν ὁ πρὸς B τὴν βασιλεύουσαν ἔρως, ἀνθεῖλκε δὲ καὶ κατεῖχεν ἡ μήτηρ, μὴ συγχωροῦσα ποιῆσαι τὸ βουλευόμενον, ἀλλὰ προσμένειν παρακαλοῦσα καὶ γηροτροφεῖν, ἀπελθοῦσαν δὲ παραπέμψαι ταῖς ἑαυτοῦ χερσί, καὶ οὕτω πορείαν στείλασθαι τὴν αὐτῷ καταθύμιον. ἀλλὰ καὶ οὕτως αὐτὴν ἔχουσαν δυσαποσπάστως αἱ βιωτικαὶ φροντίδες ἀναπείθουσιν ἀπολῦσαι. ἄρας οὖν ἐκ Μακεδονίας τὴν βασιλίδα καταλαμβάνει· καὶ τὸ μεταξὺ διανύσας διάστημα, καὶ κατὰ τὰς χρυσᾶς πύλας τῆς βασιλίδος γενόμενος, καὶ δι' αὐτῶν εἰσελθὼν ἤδη πρὸς ἑσπέραν τῆς ἡμέρας οὔσης, ἐν τῇ τοῦ ἁγίου μάρτυρος C Διομήδους μονῇ, κατὰ τὰ ἐν τοῖς προαυλίοις βάθρα πρὸ τοῦ πυλῶνος, κατάκοπος ὤν, ἀτημελῶς ὡς ἔτυχεν ἐπιρρίψας ἑαυτὸν ἀνεπαύετο. περὶ πρώτην δὲ φυλακὴν τῆς νυκτὸς ὄναρ τῷ τῆς μονῆς ἡγουμένῳ ὁ μάρτυς ἐφίσταται Διομήδης, κελεύων ἐξελθεῖν εἰς τὸν τῆς μονῆς πυλῶνα καὶ ὀνομαστὶ καλέσαι Βασίλειον, καὶ τὸν ὑπακούσαντα εἰσαγαγεῖν εἰς τὸ μοναστήριον καὶ ἐπιμελείας ἀξιῶσαι· κεχρισμένον γὰρ εἶναι τοῦτον βασιλέα παρὰ θεοῦ, καὶ

1 ὑπαπῄει C τοῦ βίου C 5 ἀφ' ἑαυτοῦ C ἡ om C 14 καὶ δὴ ἄρας ἐκ C 15 διάστημα om C 17 τῷ — μοναστηρίῳ C

clari coepit ac de re familiari solicitus esse, quanquam in eam curam mater quoque et fratres incumbebant. cumque in agricultura ad sustentandam vitam non satis esse praesidii putaret, statuit Cpolin proficisci ibique sibi et suis ad vitam necessaria parare. hoc eius studium impediebat mater, manere secum et avum enutrire iubens, et se mortuam suis manibus efferre, atque ita demum proficisci quo vellet. victa tamen haec eius retinendi cupiditas est necessitate victus tolerandi. dimissus Basilius ex Macedonia Byzantium venit; et per auream ingressus portam die iam ad vesperam inclinata, in sancti martyris Diomedis vestibulo sub gradus portae propinquos, ut erat fessus ab itinere, non refecto corpore sese abiecit ac quieti dedit. ibi circa primam eius noctis vigiliam monasterii principi sanctus Diomedes in somnis assistit, iubens ad portam egredi Basiliumque nomine vocare secumque in monasterium adductum curare: hunc enim divinitus imperatorem designatum eius monasterii instauratorem amplificatoremque fore. monachus visum hoc inane ratus nihilque moratus somno se rursum dat. cum autem denuo

αὐτὸν μέλλειν εἰς ἀνοικοδομὴν καὶ αὔξησιν τῆς παρούσης γενέσθαι μονῆς. ὁ δὲ καθηγούμενος φάντασμα τὸ θεαθὲν εἶναι ὑπολογισάμενος ἐν οὐδενὶ λόγῳ τὰ λαληθέντα ἐποιήσατο, ἀλλὰ πάλιν ἑαυτὸν τῷ ὕπνῳ ἐπεδεδώκει. τὰ ὅμοια δὲ πάλιν ἐκ δευτέρου θεασά- D μενος, ἐπεὶ μὴ ἀνέφερε νωθής τις ὢν καὶ ὑπνώδης, ἐκ τρίτου βλέπει τὸν μάρτυρα οὐκέθ' ἡσύχως καὶ πράως παρακελευόμενον, ἀλλὰ καὶ λίαν σφοδρῶς ἀπειλοῦντα καὶ μάστιγας τῷ δοκεῖν ἐπιφέροντα, εἰ μὴ θᾶττον ὑπηρετήσει τοῖς λεγομένοις. τότε δ' οὖν ἔμφοβος διυπνισθεὶς καὶ τὸν ὄκνον ἐκτιναξάμενος τῷ πυλῶνι ἐφίσταται, καὶ κατὰ τὸ θεῖον πρόσταγμα ἐκάλει Βασίλειε. καὶ ὃς εὐθὺς "ἰδοὺ ἐγώ, κύριε· τί προστάσσεις τῷ δούλῳ σου;" εἴσω δὲ αὐτὸν τῆς μονῆς εἰσαγαγὼν δεούσης τε θεραπείας καὶ ἐπιμελείας ἠξίωσε καὶ πάσης μετέδωκε φιλοφροσύνης. εἶτ' ἐχεμυθεῖν ἀσφαλισάμενος καὶ μὴ ἔκπυστον πρός τινα θέσθαι ἀλλὰ παρ' ἑαυτῷ φυλάττειν τὸ μυστήριον παρεγγυήσας, τὴν τοῦ μάρτυρος αὐτῷ ἐφανέρωσε πρόρρησιν, καὶ μετὰ τὴν ἔκβασιν τῶν πραγμάτων ἑαυτοῦ τε καὶ τῆς μονῆς μεμνῆσθαι ἐδυσώπει. τοῦ δὲ ὡς ὑπὲρ ἑαυ- P 561 τὸν τὸ πρᾶγμα ἀποσειομένου, καὶ μᾶλλον ἀξιοῦντος τὸν ἡγούμενον εἰσοικισθῆναί τινι τῶν ἐμφανεστέρων εἰς δουλείαν, ἀσπασίως ἑαυτὸν εἰς τοῦτον ἐκδέδωκεν ὁ ἡγούμενος, καὶ ἐπεὶ συνήθως εἶχε πρὸς τὴν τοιαύτην μονὴν ὁ τοῦ βασιλέως Μιχαὴλ καὶ τοῦ Βάρδα τοῦ Καίσαρος συγγενὴς Θεόφιλος, ὃν ὑποκοριζόμενοι διὰ τὸ μικρὸν τῆς ἡλικίας Θεοφιλίτζην ἐκάλουν, τούτῳ συνέστησε τὸν Βασίλειον ἀεὶ σπουδὴν ἔχοντι γενναίους καὶ εὐειδεῖς καὶ ἐπ' ἀνδρίᾳ

10 Βασίλειον P   13 φιλανθρωπίας C

idem insomnium oblatum ipsum, ut erat segnis atque somniculosus, non excitasset, videt ad se tertium venire martyrem, non ut prius placide ista iubentem, sed graviter minas adhibentem, ac nisi mandata perageret, flagra intentantem. ita demum monachus per metum sopore ignaviaque excussis portae assistit, Basiliumque, ut erat divinitus iussus, vocat. qui statim respondit "en adsum, domine: quid mandas servo tuo?" monachus eum in monasterium introducit, humanissime tractat, omni cura reficit. stipulatus deinde arcanum eum sibi occultum servaturum neque evulgaturum, martyris vaticinium exponit, et obtestatur ut exitu hoc comprobante sui atque monasterii velit meminisse. cum Basilius haec ut se longe superiora aversaretur, idque potius a monacho postularet ut aliquem illustrium virorum dominum sibi conciliaret, perlibenter hanc ei ille navavit operam, et Basilium Theophilo (erat is Michaeli imperatoris et Bardae Caesaris cognatus, atque ob staturae humilitatem Theophilitzes diminuto vocabulo appellabatur), qui isto monasterio familiariter utebatur, commendavit. solebat hic Theophilitzes semper generosos, forma eleganti et fortitudine praestantes sibi quae-

διαβοήτους κεκτῆσθαι περὶ αὐτὸν ὑπηρέτας· τοιούτους γὰρ προσλαμβάνων Σηρικαῖς τε εὐθὺς ἐκόσμει ἐσθῆσι καὶ τῇ ἄλλῃ καταστολῇ διαπρεπῶς κατελάμπρυνε. τούτοις ἐγκαταλεγέντα τὸν Βα- B σίλειον καὶ κατὰ πολὺ προύχειν τῶν ἄλλων δοκοῦντα κατὰ τὴν σωματικὴν ῥώμην καὶ ψυχικὴν ἀνδρίαν πρωτοστράτωρα τοῦτον προβάλλεται. ἀεὶ δὲ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος ἡμέραν ἐξ ἡμέρας ἐπὶ πλέον ἠγαπᾶτο παρὰ τοῦ Θεοφίλου, καὶ ἐπὶ τοῖς οἰκείοις προτερήμασιν ἐθαυμάζετο· ἦν γὰρ κατά τε χεῖρα γενναῖος καὶ κατὰ ψυχὴν θαρραλέος καὶ πρὸς πᾶν τὸ κελευόμενον ὀξύς τε καὶ ἐπιτήδειος.

Καὶ ὁ μὲν Βασίλειος ἦν ἐν τούτοις, ἡ δὲ μήτηρ αὐτοῦ ἐγλίχετο μαθεῖν πῶς αὐτῷ τὰ κατὰ τὴν ὁδὸν ἔσχε καὶ ποία τις αὐτὸν παῦλα τῶν πόνων ἐδέξατο. δυσθυμοῦσα δὲ καὶ ἀσχάλλουσα ὁρᾷ καθ' ὕπνους μέγα φυτὸν κυπαρίσσῳ προσεοικός, ἔνδον τῆς αὐλῆς C αὐτῆς ἑστηκός, χρυσοῖς πυκαζόμενον φύλλοις καὶ χρυσοῦς τοὺς κλάδους καὶ τὸ στέλεχος ἔχον, οὗ ἐφύπερθεν ὁ ταύτης υἱὸς Βασίλειος ἐκαθέζετο. διυπνισθεῖσα δὲ διηγεῖται τὸ ὅραμά τινι τῶν εὐλαβῶν γυναικῶν· ἡ δὲ εὐθυμεῖν τε ἐπέτρεπεν ἐπὶ τῷ υἱῷ, καὶ τὸ ὁραθὲν ἐπικρίνουσα βασιλέα Ῥωμαίων γενέσθαι τὸν υἱὸν αὐτῆς ἀπεφαίνετο. τοῖς προτέροις οὖν καὶ τοῦτο προσλαβοῖσα λοιπὸν ἡ μήτηρ οὐκέτι τὸ ἀπὸ τοῦδε περὶ αὐτοῦ ἐδυσφόρει, ἀλλ' ἔχαιρε καὶ χρηστὰς ἐπὶ τῷ υἱῷ ἔτρεφε τὰς ἐλπίδας.

Συνέβη δὲ κατ' ἐκεῖνο καιροῦ Θεόφιλον τὸν τοῦ Βασιλείου κύριον δημοσίων χάριν πραγμάτων ἀποσταλῆναι εἰς Πελοπόννη-

20 προσβαλοῦσα C

rere famulos, eosque sericis vestibus alioque habitu insigni exornare. his insertum Basilium, cum videret animi corporisque fortitudine reliquis admodum antecellere, protostratorem eum creat. et Basilius semper ad superiora tendens in dies sui amorem in animo domini auxit, suique admirationem virtutibus suis excitavit: nam et manu erat promptus et animosus atque ad quaevis mandata exsequenda celer ac idoneus.

Interim mater eius, quomodo iter filio successisset et quem laborum finem sortitus esset, scire desiderans, dum animi angitur, insomnis imaginatur videre se in aula sua magnam plantam cupresso assimilem, aureo trunco, ramis aureis, totam denique auro nitentem, et super hac filium suum Basilium considere. ut evigilavit, insomnium hoc mulieri cuidam religiosae proponit. ea bono ipsam animo iubet esse filii causa, coniiciensque insomnii vim, cum Romanorum imperatorem fore pronuntiat. ex eo mater Basilii, hoc futurae filii felicitatis argumento prioribus addito, solicita pro eo esse desiit animique laeta optimas spes aluit.

Forte per id tempus Basilii dominus Theophilus in Peloponnesum

σον. εἵπετο τούτῳ καὶ ὁ Βασίλειος, τὴν ἀφωρισμένην αὐτῷ ὑπηρεσίαν ἀποπληρῶν. ἐλθόντων δὲ εἰς Ἀχαΐαν εἰσῄει μὲν ὁ Θεόφιλος D εἰς τὸν τοῦ πρωτοκλήτου Ἀνδρέου ναὸν προσευξόμενος, οὐ συνεισῆλθε δ' αὐτῷ καὶ ὁ Βασίλειος τότε, τῇ οἰκείᾳ διακονίᾳ, ὡς ἔοικεν, ἀπασχοληθείς. ὕστερον δὲ καὶ αὐτὸς τῷ ἀποστόλῳ ἀποπληρῶν τὰ καθήκοντα, καιροῦ δραξάμενος, εἴσεισι μόνος εἰς τὸν ναόν. ἐφήδρευε δέ τις τῷ θείῳ τεμένει τοῦ ἀποστόλου μοναχὸς ἀρετῆς ἀντιποιούμενος διὰ βίου. οὗτος τὸν μὲν Θεόφιλον εἰσελθόντα μετὰ τοσαύτης δορυφορίας οὔτε ὑπεδέξατο οὔτε ἀναστὰς κατησπάσατο οὔτε τινὸς ἠξίωσε μικρᾶς γοῦν προσρήσεως, ὕστερον δὲ τοῦ Βασιλείου εἰσερχομένου, ὡς εἴρηται, μόνου ὑπεξανέστη τε ὥς τινι τῶν κρειττόνων, καὶ τὴν ἐξ ἔθους τοῖς βασιλεῦσι πρέπουσαν προσήνεγκεν P 562 εὐφημίαν. ὅπερ τῶν ἐκεῖσε παρατυχόντων ἰδόντες τινὲς τῇ κατὰ τοὺς τόπους ἐκείνους πρωτευούσῃ κατά τε τρόπον καὶ εὐγένειαν γυναικί, ἣ Δανιηλὶς ἀπὸ τοῦ ταύτης ἀνδρὸς ὠνομάζετο, ἀπαγγέλλουσιν. ἐκείνη δὲ τὸ διοπτικὸν τοῦ μοναχοῦ, μηδ' ὅτι προορατικοῦ χαρίσματος ἠξίωται ἀγνοοῦσα, οὐκ ἐγένετο περὶ τὸ λεχθὲν ἀμελής, ἀλλ' ἅμα τε ἤκουσε καὶ προσκαλεσαμένη τὸν μοναχὸν ὀνειδιστικὰ πρὸς αὐτὸν διεξῄει ῥήματα, "τοσοῦτος χρόνος" λέγουσα, "πάτερ πνευματικέ, ἐξ οὗ σοι γνώριμος ἐγὼ καθέστηκα, καὶ οἶδάς με κατὰ τὸν τόπον ἐν πᾶσι τῶν πολλῶν διαφέρουσαν, καὶ οὐδέποτε οὔτε ἐπηγέρθης θεασάμενός με οὔτε ἐπηύξω μοι· B ἀλλ' οὐδὲ τῷ ἐμῷ υἱῷ οὔτε ἐγγόνῳ τὴν τοιαύτην ἀπένειμας φιλο-

1 καὶ om C

rei publicae causa mittitur, una etiam Basilio proficiscente ac sua ministeria obeunte. cum in Achaiam ventum esset, Theophilus precandi gratia templum divi Andreae, qui primus ad apostoli functionem est vocatus, intrat, Basilio tum non comitante, quod is nimirum suorum negotiorum causa abesse cogebatur. post Basilius quoque opportunitatem nactus solus in idem fanum se confert, apostolo debitum exhibiturus cultum. praesidebat tum ei fano monachus quidam, virtuti per omnem vitam deditus. hic cum ante ingressum tanto cum satellitum comitatu Theophilum neque excepisset neque assurgens salutasset neque omnino vel minimo alloquio dignatus esset, tunc Basilio intranti soli et assurrexit ut magistratui, et quomodo imperatores salutari mos est eum salutavit. hoc cum vidissent nonnulli qui sorte ibi aderant, mulieri quae iis locis virtute et generis nobilitate principem tenebat dignitatem, a marito suo Danielis dicta, narrant. ea perspicaciam monachi donumque in eo vaticinandi divinum non ignorans, nuntium eum nequaquam neglexit: sed illico monacho ad se vocato exprobravit quod sibi, quam ut pater spiritualis tanto tempore notam haberet omnibusque hominibus iis in locis longe praestare sciret, nunquam vel assurrexisset conspectae, neque votis prosecutus esset, ac ne filio quidem suo aut nepoti eum unquam habuisset honorem, nunc autem homini pauperi peregrino et

φροσύνην. καὶ πῶς νῦν ἄνθρωπον εὐτελῆ καὶ ξένον καὶ πένητα διανύοντα βίον ἰδὼν ὑπεξανέστης καὶ ὡς βασιλέα ἐτίμησας;" "οὐχ ὡς ἕνα τῶν τυχόντων εἶδον τὸν ἄνδρα ἐγώ" ἀντείρηκεν ὁ μοναχός, "ἀλλ' ὡς ἐκ θεοῦ βασιλέα Ῥωμαίων ὑπὸ Χριστοῦ προκεχειρισμένον ἰδὼν ἐξανέστην καὶ ἐπευφήμησα· τοῖς γὰρ ὑπὸ θεοῦ τετιμημένοις ὀφειλομένη πάντως ἐστὶ καὶ ἡ ἐξ ἀνθρώπων τιμή."

Ὁ μὲν οὖν Θεόφιλος τὰ προστεταγμένα ἀνύσας εἴχετο πάλιν τῆς ἐπὶ τὴν βασιλίδα ὁδοῦ, ὁ δὲ Βασίλειος ἀσθενείᾳ συσχεθεὶς
C σώματος αὐτόθι καταλιμπάνεται· ἐπιμελείας δὲ τῆς προσηκούσης τυχὼν πρὸς τὴν ἄνοδον ἡτοιμάζετο. ὃν μετακαλεσαμένη ἡ προρρηθεῖσα γυνὴ Δανιηλὶς δώροις αὐτὸν καὶ μεγάλοις δεξιοῦται χαρίσμασι, μηδὲν ἕτερον ἐπιζητήσασα παρ' αὐτοῦ ἢ πνευματικῆς ἀδελφότητος συνδέσμῳ συνδεθῆναι πρὸς Ἰωάννην τὸν ταύτης υἱόν. ὁ δὲ πρὸς τὸ ἑαυτοῦ ἀποβλέπων εὐτελὲς καὶ τὸ περιφανὲς τῆς γυναικὸς ὡς ὑπὲρ αὐτὸν μᾶλλον οὖσαν διωθεῖτο τὴν ἔντευξιν· πλείονα δὲ παράκλησιν δεξάμενος ἐκπληροῖ τὸν ταύτης σκοπόν. ἐκπληρωθείσης δὲ τῇ γυναικὶ τῆς ἐφέσεως, ἔδοξεν αὐτῇ μὴ ἐπικρύπτειν τὸ βούλημα τοῦ θεοῦ, ἀλλὰ δημοσιεύειν καὶ φανερὰ τι-
D θέναι τὰ μεγαλεῖα τοῦ θεοῦ, οἷς οἶδε τρόποις προλεγόμενα καὶ δηλοποιούμενα. ἰδίᾳ τοίνυν παραστησαμένη τὸν Βασίλειον "ἴσθι" ἔφη, "ὦ τέκνον, ὡς ὁ θεός σε ἐπὶ μεγάλης μέλλει τιθέναι τῆς σκοπιᾶς καὶ κύριον ἀποδεικνύειν πάσης τῆς γῆς. εἰς ἔργον οὖν ἐκβάσης τῆς ἐμῆς προρρήσεως οὐδὲν αἰτῶ ἕτερον παρὰ σοῦ ἀλλ' ἢ

18 ἀλλὰ — 19 θεοῦ om C

vitam degenti inopem assurrexisset, et tanquam imperatorem honorasset. "atqui ego," respondit monachus, "eum non ut communis condicionis aliquem vidi, sed ut a deo destinatum imperio Romanorum gerendo et ad hoc a Christo delectum intuitus assurrexi, eique gratulatus sum. omnino enim ab hominibus honor iis debetur, quos honore deus dignatus est."

Ceterum Theophilus confectis mandatis Cpolin reverti instituit, relicto ibi Basilio, cuius iter incommoda valetudo impediebat. qui cum diligenter curato corpore sanitatem recepisset, et se iam ad reditum pararet, a Danielide evocatus et amplis bonis affectus est, nihil ab ipso requirente quam ut cum Ioanne (hunc ea filium habebat) spiritualem fratris necessitatem contraheret. quod cum ille et suae tenuitatis conscius et illustrem mulieris statum considerans ut se altiorem rem detrectaret, tandem pluribus eius adhortationibus cedens perfecit. Danielis impetrato quod volebat, statuit consilium dei non occultare, sed quomodo sibi magnifica eius voluntas denuntiata et patefacta erat, ita detegere Basilio. seorsim itaque ei "scito" inquit, "fili, deum te in sublimi imperii specula collocaturum, orbemque terrarum in tuam potestatem daturum. hoc meum vaticinium ubi implebitur, nihil abs te aliud peto

τὸ μόνον ἀγαπᾶσθαι καὶ ἐλεεῖσθαι ἐμέ τε καὶ τοὺς ἐξ ἐμοῦ." ὁ δέ, εἰ δοίη τελεσθῆναι θεὸς τὰ μηνυόμενα, κυρίαν αὐτὴν ἀποφῆναι κατεπηγγείλατο πάσης, εἰ οἷόν τε, ἐκείνης τῆς γῆς. καὶ οὕτως ἀσπασάμενος τὴν γυναῖκα ἀνῄει πρὸς τὴν βασιλεύουσαν καὶ τὸν ἑαυτοῦ κύριον. ἀπὸ δὲ τῶν ἐντεῦθεν αὐτῷ προσγενομένων χρημάτων ἐξωνησάμενος εἰς Μακεδονίαν κτήσεις ἱκανὰς κατέστη- P 563
σεν ἐπὶ εὐπορίας ἅπαντας τοὺς προσήκοντας δαψιλοῦς, συνῆν δ' ὅμως καὶ διηκόνει τῷ κυρίῳ αὐτοῦ.

Ἐν τινὶ δὲ τῶν ἡμερῶν Ἀντίγονος ὁ τῶν σχολῶν ἀφηγούμενος, ὁ τοῦ Καίσαρος Βάρδα υἱός, ἑστίασιν πολυτελῆ κατασκευασάμενος δαιτυμόνα εἶχε τὰ πρῶτα τῶν ἀνακειμένων τὸν ἑαυτοῦ πατέρα Βάρδαν τὸν Καίσαρα, ὃς πολλοὺς καὶ ἄλλους τῶν συγγενῶν καὶ φίλων καὶ συνήθων παραλαβὼν πρὸς τὴν εὐωχίαν ἀπῄει· συμπαρῆσαν δ' αὐτῷ καὶ Βούλγαροι συνήθεις καὶ φίλοι, οὕτω παρατυχὸν τῇ βασιλίδι ἐνδιατρίβοντες. οὐκ ἀπῆν δὲ τῆς πανδαισίας οὐδὲ ὁ Θεόφιλος ὁ τοῦ Βασιλείου κύριος, οἷα συγγενὴς καὶ αὐτὸς τοῦ Καίσαρος. τοῦ δὲ πότου προϊόντος καὶ ἀκμαζούσης τῆς B
εὐωχίας, ἐπεὶ ἔτυχον οἱ Βούλγαροι ἔχοντές τινα μεθ' ἑαυτῶν ἄνδρα ἀθλητικὸν καὶ ἐπ' ἰσχύϊ σεμνυνόμενον σώματος, ἐδόκουν ἐπ' αὐτῷ μέγα φρονεῖν καὶ ἠλαζονεύοντο καὶ μηδένα εἶναι τὸν εἰς χεῖρας αὐτοῦ συμπεσεῖν δυνάμενον ἐμεγαλαύχουν. λέγει γοῦν περὶ μέσας τραπέζας ὁ Θεόφιλος πρὸς τὸν Καίσαρα ὡς εἰ ἀρέσκει τῇ σῇ ἐξουσίᾳ, ἔστι τις τῶν ὑπηρετούντων μοι δυνάμενος συμπλακῆναι τῷ περιβοήτῳ τούτῳ Βουλγάρῳ· μέγα γὰρ ὄνειδος Ῥωμαίοις,

quam ut mihi meisque liberis benevolus sis atque clemens." promisit Basilius se exitu hoc vaticinium comprobante, operam daturum ut eam totius istius regionis dominam faciat. et consalutata Danielide Cpolin ad herum suum rediit. in Macedonia porro praedia multa emit ea pecunia quam ibi acquisivisset, effecitque ut suis omnium rerum suppeditaret copia. ipse autem cum domino suo versabatur, eique inserviebat.

Quodam die Antigonus scholarum princeps, Caesaris Bardae filius, sumptuoso convivio apparato, primo loco patrem suum invitavit, isque secum multos alios de cognatis amicis ac familiaribus adduxit; aderantque ei etiam Bulgari amici, qui tum forte Byzantii degebant. neque aberat Theophilus Basilii dominus, ut ipse quoque cognatus Caesaris. inter pocula de athleta quodam suo se iactabant, quem secum habebant, robore corporis superbum; arroganterque gloriabantur neminem esse qui cum eo manus conferre auderet. medio convivio Theophilus ad Caesarem "si tuae" inquit "maiestati placet, famulum habeo, qui cum glorioso isto Bulgaro decertet. magnum enim dedecus Romanis fuerit istum in-

εἰ οὕτως ἀκαταγώνιστος οὗτος ἐν Βουλγαρίᾳ παραγένηται. ἀποδεξαμένου δὲ τὸν λόγον τοῦ Καίσαρος, καὶ προστάξαντος εἰς μέσον ἄγεσθαι τὸν νεανίσκον, ὁ πατρίκιος Κωνσταντῖνος ὁ Θωμᾶ τοῦ C λογοθέτου πατήρ, σφόδρα φιλίως πρὸς τὸν Βασίλειον διακείμενος ἅτε καὶ αὐτὸς ἐξ Ἀρμενίων τὴν τοῦ γένους ἕλκων σειράν, κάθυγρον ἰδὼν τὸν τόπον ἐν ᾧπερ ἔμελλον οἱ παλαισταὶ συμπλακῆναι, καὶ δείσας τὸν ἐκ τῆς ὑγρότητος ὄλισθον, κόνιν καὶ πρίσμα ἀπὸ ξύλων ἐπιρραίνει τῷ ἐδάφει. οὗ γενομένου συμπλακεὶς τῷ Βουλγάρῳ ὁ Βασίλειος, καὶ ὥσπερ τι παιδίον νεογνὸν πιέσας καὶ περισφίγξας αὐτόν, ὥσπερ τινὰ δεσμὸν χόρτου ἢ πόκον ἐρίου κούφως οὕτω καὶ ῥᾳδίως μετεωρίσας ἐπάνω τῆς τραπέζης ἀπέρριψε. τοῦτο γενόμενον χαρᾶς μὲν τοὺς Ῥωμαίους αἰσχύνης δὲ τοὺς Βουλγάρους ἐνέπλησεν. ἀπ' ἐκείνης δὲ τῆς ἡμέρας ἐπὶ πλέον ἡ D τοῦ Βασιλείου ἡπλοῦτο φήμη ἀνὰ τὴν βασιλεύουσαν, καὶ τοῖς ἁπάντων διεφέρετο στόμασι περίβλεπτος ἤδη καθεστηκώς.

Συνέβη δὲ καὶ ἄλλο τι τὸ ἐπὶ πλέον δόξης ἐξᾶραν αὐτόν. ἵππος ἦν παρὰ τῷ βασιλεῖ Μιχαὴλ σκληραύχην τε καὶ δυσήνιος, ἡλικίᾳ μὲν καὶ κάλλει καὶ τάχει καὶ ὡραιότητι εἴδους τοὺς πώποτε θαυμαζομένους ὑπερβαλλόμενος, ὃς εἰ ἔτυχε λυθεὶς τῶν δεσμῶν ἢ ἄλλως πως ἀφεθείς, λίαν ἦν δυσχερὴς εἰς χεῖρας αὖθις ἐλθεῖν καὶ πολλὰ πράγματα πρὸς τὸ κατασχεῖν παρεῖχε τοῖς ἱπποκόμοις. τοῦτον ἐπικαθήμενος τὸν ἵππον ὁ βασιλεὺς πρὸς θήραν ἐξῄει, καὶ κατευστοχήσας λαγωοῦ τῇ ῥάβδῳ τοῦ ἵππου καθήλατο πρὸς τὸ

9 τι om C 11 ἐπὶ C 17 σκληραύχης C, in margine ἄγριος
19 ὀνομαζομένους C

victum in Bulgariam reverti." probante sermonem Caesare et adolescentem (is erat Basilius) produci iubente, Constantinus patricius, Thomae logothetae pater, qui magnopere favebat Basilio, nimirum et ipse Armeniae stirpis, locum in quo luctaturi erant humidum cernens, metuensque ne ob eius lubricitatem Basilius caderet, pulvere ac scobe quae serra scissis lignis fit ingesta locum contexit. ita Bulgaro congressus Basilius pueruli eum instar compressit, constrictumque veluti manipulum herbae aut globum lanae facillime sublimem arripuit et super mensam abiecit, magnoque Romanos gaudio affecit, pudore Bulgaris oborto. ab eo die fama Basilii sese per urbem diffudit, coepitque in ore et admiratione omnium esse.

Sed et aliud quippiam usu venit, quod gloriam hominis auxit. erat imperatori Michaelo equus infraenis et contumax, ceteroqui statura velocitate et pulchritudine omnes qui unquam admirationem meruerant superans. is semel vinculis solutus aut alioqui dimissus difficillime, et non sine maximo equisonum labore capi atque teneri poterat. huic insidens imperator venatum exit; cumque calamo leporem tetigisset, ab

σφάξαι τὸν λαγωόν. ἄφετος δὲ ὁ ἵππος καταληφθεὶς ἀπεσκίρτα
καὶ ἀπεπήδα· καὶ πολλῶν συνδραμόντων ἱπποκόμων τε καὶ ἀρχόν-
των καὶ τῶν λοιπῶν τῶν περὶ τὸν βασιλέα, οὐκ ἦν τινὶ δυνατὸν
κατασχεῖν τὸν ἵππον, ὥστε θυμωθέντα τὸν βασιλέα κελεῦσαι, εἰ P 564
κρατηθείη, διακοπῆναι τοὺς ὀπισθίους αὐτοῦ τῶν ποδῶν. παρῃ-
τεῖτο δὲ ὁ Καῖσαρ, καὶ ἐδεῖτο τοῦ βασιλέως μὴ διὰ μίαν κακίαν
τοσαύτην ἀρετὴν ἵππου μάτην παραπολέσθαι. καὶ οἱ μὲν ἦσαν
ἐν διαλογισμοῖς τοιούτοις, ὁ δὲ Βασίλειος παραδραμὼν τῷ κυρίῳ
αὐτοῦ, "εἰ περιδράμω τὸν βασιλικὸν ἵππον" ἔφη "καὶ ἀπὸ τοῦ
ἐμοῦ ἐκτιναχθεὶς ἔποχος αὐτῷ γένωμαι, ἆρά γε διὰ τὴν βασιλικὴν
ἐφεστρίδα καὶ τὸν κοκκοβαφῆ χαλινὸν ἀγανακτήσει ὁ βασιλεὺς κατ'
ἐμοῦ;" τοῦ δὲ πρὸς οὖς ὑπομνήσαντος τὸν βασιλέα, κἀκείνου
κελεύσαντος τοῦτο γενέσθαι, εὐφυῶς ὁ Βασίλειος τὸν ἑαυτοῦ
παρελάσας ἵππον, καὶ τῷ τοῦ βασιλέως κατὰ παράλληλον ἐξισώ-
σας γραμμήν, ἥλατό τε εὐθέως καὶ πρὸς τὸν βασιλικὸν ἀπεπήδη- B
σεν ἵππον, μέγα θαῦμα ἐνεὶς τοῖς παρατυχοῦσι καὶ θεωμένοις.
θαυμάσας δὲ καὶ ὁ βασιλεὺς τὴν μετ' ἀνδρίας εὐφυΐαν αὐτοῦ καὶ
σύνεσιν, εὐθέως ἀποσπάσας αὐτὸν ἀπὸ τοῦ Θεοφιλίτζη ἐν τοῖς
ἑαυτοῦ προσέταξε στράτορσιν. ἠγάπα δὲ διαφερόντως αὐτόν, καὶ
ταῖς κατὰ μικρὸν προόδοις εἰς τὴν τοῦ πρωτοστράτορος τάξιν
ἀνήγαγε. κυνηγεσίας δέ ποτε γενομένης τῷ βασιλεῖ κατὰ τὸ Φι-
λοπάτιον προεπορεύετο τούτου ὁ πρωτοστράτωρ ἔφιππος, ἐπιφε-
ρόμενος ἐπὶ ζώνης καὶ τὸ βασιλικὸν βαρδούκιον. θορύβου δὲ καὶ

4 περισχεῖν C 5 διακοπηθῆναι C 9 εἴπερ δράμω C
10 σέλλαν margo C 23 ζώνης] τούτοις C

equo desilit ut eum necaret. equus sessoris vacuus proripit se saltuque aufugit. multisque concurrentibus equisonibus, nec non proceribus et reliquis qui erant in comitatu imperatoris, nemo fuit qui capere eum posset. itaque animo effervescente imperator iubet eius, ubi comprehensus foret, posteriores pedes dissecari, Caesare dehortante et precante ne temere tantae virtutis equus ob unum peccatum perderetur. his ita inter se colloquentibus, Basilius ad dominum suum accurrens "si" inquit "meo equo vectus imperatoris equum cursu assequerer, et a meo delapsus in eum insilirem, numnam succenseret mihi imperator paludamenti regii et purpurati fraeni gratia?" in aurem hoc imperatori insusurrat Theophilus, itaque is fieri iubet. et Basilius solerter suo equo imperatoris equum assecutus a suo desilit inque imperatoris equum evadit, magna omnium qui spectabant cum admiratione. atque imperator etiam eius cum fortitudine prudentiam miratus, a Theophilitze avulsum inter suos stratores recepit, summoque amore prosecutus ac paulatim evehens protostratorem deinde constituit. cum autem aliquando imperator apud Philopatium venaretur, et ante eum eques iret protostrator ferens in balteo barducium imperatoris, tumultuque et clamore a

βοῆς γενομένης ὑπὸ τοῦ πλήθους λύκος τῆς ὕλης ἐξέθορε παμμε-
C γέθης. ὁρμήσας δὲ κατόπιν αὐτοῦ ὁ Βασίλειος ἔρριψε κατ' αὐτοῦ τὸ βασιλικὸν βαρδούκιον, καὶ τυχὼν τοῦ θηρίου κατὰ τὸ μέσον τῆς κεφαλῆς ταύτην ἐδιχοτόμησεν. ὄπισθεν δὲ τοῦ βασιλέως κατὰ τὸ σύνηθες ἑπόμενος ὁ Καῖσαρ, καὶ τὸ γεγονὸς θεασάμενος, εἰπεῖν λέγεται πρός τινα τῶν συνήθων ἐν μυστηρίῳ "τοῦτον, ὦ τᾶν, ἡγοῦμαι τὸν ἄνθρωπον ὄλεθρον γενήσεσθαι ἄρδην τῆς ἡμῶν γενεᾶς." φασὶ δ' ὅτι καὶ Λέων αὐτῷ τοῦτο προεθέσπισεν ὁ φιλόσοφος, ὀνομαστὶ τὸν ἄνδρα καλέσας καὶ σημεῖα ὑποφήνας τινὰ καὶ τῷ δακτύλῳ δείξας, καὶ τοῦτον ἔσεσθαι προειπὼν τῆς συμπάσης ὑμῶν γενεᾶς τὸν ὄλεθρον. ἐνήδρευσεν οὖν ἀεὶ ὁ Καῖσαρ,
D ἤνυε δὲ οὐδέν· ἀκυρῶσαι γὰρ παγχάλεπον ἦν ὅπερ ἅπαξ τῇ προνοίᾳ γενέσθαι ἐδόκει.

Περάσαντος δέ ποτε τοῦ βασιλέως κυνηγεσίου χάριν εἰς τὸ Ἀρμαμέντον, καὶ μετὰ τὴν κυνηγεσίαν εὐωχουμένου συνάμα τῇ μητρὶ Θεοδώρᾳ καί τισι τῶν συγγενῶν καὶ οἰκειοτάτων, εἰσεκλήθη ὁ πρωτοστράτωρ τοῦ βασιλέως κελεύσαντος. πρὸς ὃν ἡ βασιλὶς πυκνότερον ἐνητένιζε, κατανοοῦσα καὶ παρεπισκοποῦσα τὰ κατ' αὐτόν. ἐπιγνοῦσα δέ τι γνώρισμα καὶ σημεῖον ἐν αὐτῷ, εὐθέως ἰλίγγῳ κατασχεθεῖσα καὶ λειποθυμίᾳ βληθεῖσα εἰς γῆν κατέπεσε. θορυβηθέντος δὲ τοῦ βασιλέως ἐπὶ τούτῳ καὶ τῶν περὶ τὸν βασιλέα, ὕδωρ τε εὐθὺς ἐκομίζετο καὶ μύρα τῶν εὐωδῶν, οἷς ἐπιρραίνοντες τὴν δέσποιναν ἀνεκαλοῦντο τοῦ πτώματος. μόλις δ'
P 565 οὖν εἰς ἑαυτὴν ἐλθοῦσα καὶ τοῦ σκότους ἀνενεγκοῦσα, ὡς ἠρωτᾶτο

8 αὐτῷ] αὐτὸ C 10 προσειπὼν C

turba edito lupus ingens e silva procurrisset, Basilius eum insecutus imperatorio barducio petiit, atque eo caput eius medium dissecuit. equitabat post imperatorem de more Caesar, qui cum hoc vidisset, ad familiarium suorum quendam occulte dixisse fertur "heus tu, existimo nostram familiam ab hoc homine exstirpatum iri." idem perhibent Bardae praedixisse Leonem philosophum, qui Basilium signis quibusdam describens, nominans etiam et digito demonstrans, dixerit universae imperatoris familiae exitio futurum. ex eo Caesar semper Basilio insidias struxit, irritis conatibus: difficillimum quippe est id rescindere quod divina semel statuit providentia.

Rursus cum imperator venandi causa in Armamentum traiecisset, et a venatione cum matre coenaret Theodora aliisque necessariis quibusdam, intro vocavit etiam protostratorem. in quem Theodora cum crebro oculos defixisset contemplandi hominis causa et accuratius omnia perspiciendi, quasdamque in eo notas et signa deprehendisset, subito oborta vertigine exanimata est et in terram corruit. ibi turbato imperatore et iis qui aderant, statim aqua allata est et unguenta odorata, quibus Theodoram conspergentes recrearent. aegre animo recepto et

παρὰ τοῦ υἱοῦ καὶ βασιλέως ἐκ ποίας αἰτίας ἐπενεχθείη αὐτῇ τουτὶ τὸ πάθος, μόλις ἐφ' ἑαυτῆς γενομένη τάδε πρὸς τὸν υἱὸν ἀπεκρίνατο "ὅν, ὦ τέκνον, τοῦτον λέγεις Βασίλειον, ὁ τῆς ἡμετέρας ἐστὶν ἀφανισμὸς γενεᾶς· εἶδον γὰρ ἐν αὐτῷ σημεῖον πάλαι μοι παρὰ τοῦ σοῦ ἐξηγηθὲν πατρός, πρὸς ὅπερ ἰλιγγιάσασα εἰς γῆν κατώλισθον." ὁ δὲ βασιλεὺς τοῦτο μὲν λόγοις ἀποτρεπτικοῖς τοῦτο δὲ καὶ πληροφορίαις ἐνωμότοις ἀπῆγε τὴν μητέρα τοῦ δέους, εἰς τὸ καθεστὼς ἐπανάγων καὶ παραμυθούμενος, "τὸν ἄνθρωπον τοῦτον" λέγων "ἴσθι, ὦ δέσποινα καὶ μῆτερ ἐμή, ἄνδρα μὲν εἶναι γενναῖον, ῥώμῃ τε ἀνυπόστατον καὶ ψυχῆς εὐγενείᾳ ἀσύγκριτον, πιστὸν δὲ τὰ εἰς ἡμᾶς καὶ εὔνουν καὶ κατ' οὐδὲν ἡμῖν κακονούστατον." καὶ τότε μὲν τῆς τοιαύτης τύχης ἐπήρειαν οὕτω B παρέδραμεν ὁ Βασίλειος· Δαμιανοῦ δὲ τοῦ παρακοιμωμένου, ὃς εὐνοῦχός τε ἦν καὶ Σκύθης καὶ τῇ τῶν πατρικίων ἀξίᾳ τετίμητο, τὰ πραττόμενα παρὰ τοῦ βασιλέως κακίζοντος ὡς οὐ κατὰ τὸ δέον τελούμενα, ἐξαιρέτως δὲ τὰ παρὰ τοῦ θείου αὐτοῦ Βάρδα τοῦ Καίσαρος, ἀνηρεθίσθη ποτὲ πρὸς ἐπιστροφὴν ὁ βασιλεύς, λίαν ἀμβλὺς καὶ νωχελὴς πρὸς ἀντίληψιν πραγμάτων ὑπάρχων, καὶ ἐνίας τῶν τοῦ Καίσαρος πράξεων ἀνέτρεπε τάχα καὶ διωρθοῦτο. ὅπερ μὴ φέρων ὁ Καῖσαρ λαθρηδὸν κατὰ τοῦ Δαμιανοῦ συσκευάζεται· καὶ πολλαῖς διαβολαῖς κατ' αὐτοῦ πρὸς τὸν βασιλέα χρησάμενος, καὶ πιθανῶς σοφισάμενος τὰς κατηγορίας, ἴσχυσε με- C ταστῆσαι τὸν βασιλέα τῆς περὶ τὸν Δαμιανὸν εὐνοίας, ὡς καὶ διαδέξασθαι δυνηθῆναι τῆς οἰκείας ἀξίας αὐτόν. ἐξωσθέντος οὖν

5 προεξηγηθὲν C ib. εὐθὺς κατέπεσον C 9 λέγων om C 11 οὐδενὸς κακ. C 17 βασίλειος C 23 βασίλειόν C

caligine discussa, interrogata a filio quaenam huius casus causa fuisset, vix tandem ad sese reversa ita respondit "quem tu, fili, Basilium nominas, is est nostrae gentis exitium. conspexi enim in eo notam olim a tuo patre mihi praemonstratam; eaque visa vertigine correpta humi concidi." imperator matrem partim sermone partim iuramentis a metu revocavit, animumque eius aestuantem sedavit, asseverans Basilium hunc virum esse generosum, robore insuperabili animique virtute incomparabili, ceterum imperatori eiusque familiae apprime benevolum ac fidissimum. hoc modo tum Basilius fortunae iniuriam evitavit. erat eo tempore imperatoris cubicularius Scytha genere, eunuchus, nomine Damianus, patricia dignitate donatus. is acta imperatoris ut parum convenientia culpabat, praesertim vero Bardae Caesaris. quo factum est ut imperator, homo nimium alioquin hebes atque rerum curam suscipiendam ignavus, tandem irritatus quaedam Bardae acta rescinderet atque corrigeret. quod non ferens Caesar, occulte Damianum adortus, multisque calumniis et fucatis criminibus imperatoris animum ita ab eo alienavit ut cubicularii munus ei abrogaverit. submoto Damiano aliquamdiu

ἐκείνου ἐχήρευε λοιπὸν ἐπὶ χρόνον τινὰ τὸ τοῦ παρακοιμωμένου λειτούργημα· τοῦ Καίσαρος δὲ καὶ τῆς περὶ αὐτὸν φατρίας ἄλλον καὶ ἄλλον εἰς τοῦτο προβιβαζόντων, ἡ τοῦ θεοῦ πρόνοια, ἀοράτως ὡς αὐτῇ βουλητὸν τὰ πράγματα διεξάγουσα, πᾶσαν φρόνησιν καὶ πανουργίαν ἀπέδειξεν ἄπρακτον. μετὰ χρόνον γάρ τινα προβάλλεται παρακοιμώμενον ὁ βασιλεὺς τὸν Βασίλειον, τιμήσας αὐτὸν καὶ πατρικιότητι, καὶ γυναικὶ συζεύξας εὐπρεπείᾳ τε σώματος καὶ κάλλει καὶ σωφροσύνῃ πασῶν πρωτευούσῃ τῶν κατ᾽ αὐ- D *τήν· αὕτη δὲ ἦν θυγάτηρ τοῦ παρὰ πάντων ἐπὶ φρονήσει καὶ εὐγενείᾳ διαβοήτου Ἴγγερος, τοῦ γένους καταγομένου τῶν Μαρτιναχίων. τούτου δὲ γενομένου, καὶ προσθήκην τῆς πρὸς τὸν Βασίλειον τοῦ βασιλέως ἀγάπης ἐπιδιδούσης ἀεί, ὁρῶν ὁ Καῖσαρ, καὶ τῷ φθόνῳ δακνόμενος καὶ περὶ τοῦ μέλλοντος ὀρρωδῶν, ἔλεγε πολλάκις πρὸς τοὺς αὐτὸν ἀναπείσαντας ἀποσκευάσασθαι τὸν Δαμιανὸν ὅτι ταῖς κακοβουλίαις ὑμῶν πιθήσας ἐγώ, ἐξώσας ἀλώπεκα, λέοντα ἀντεισήγαγον, ἵνα πάντας ἡμᾶς ἀθρόως λαφύξηται.*

Ἄρτι δὲ τοῦ βασιλέως Μιχαὴλ κατὰ Κρητῶν ἐξελάσαντος μετὰ Βάρδα Καίσαρος τοῦ θείου αὐτοῦ, καὶ συβαριώτερον ἁπτομένου τῶν πραγμάτων τοῦ Βάρδα καὶ κατὰ μικρὸν ἀνιῶντος τὸν βασιλέα καὶ τοῖς περὶ αὐτὸν ὑπονοίας ἀφορμὴν διδόντος, ἐπεὶ ἐν P 566 *τοῖς Κήποις ἐγένοντο (τόπος δὲ οἱ Κῆποι κατὰ τὴν παράλιον, ἔνθα πρὸς τὴν θάλασσαν εἰσβολὰς ποιεῖται ὁ Μαίανδρος ποταμός), ἐνταῦθα δὴ τῆς συσκευῆς καὶ μελέτης γενομένης τοῖς περὶ τὸν βασιλέα, ἵνα μὴ καταταχηθέντες πάθωσι μᾶλλον ἢ δράσωσιν, ἐπι-*

officium cubicularii vacavit: Caesare autem eiusque sociis modo hunc modo alium ei praeficere conantibus, dei providentia occulte res suo arbitrio gubernans omnem calliditatem ac versutiam irritam fecit. aliquanto enim post imperator Basilium cubicularium creat, patricia etiam dignitate ornans; uxoremque ei copulat formae pulchritudine ac pudicitia omnibus aequalibus praestantem, filiam prudentia et nobilitate incilitissimam Ingeris, stirpis Martinaciae. hoc facto, et amore imperatoris in Basilium subinde crescente, videns ista Bardas, invidiaque stimulatus et de futuris sollicitus, saepe ad eos quorum hortatibus motus Damianum submoverat dicebat "vestris ego pravis consiliis obsecutus vulpem eieci, inque eius locum induxi leonem, qui nos omnes simul laniabit."

Postquam deinde Michaelus cum Barda avunculo expeditionem suscepit, et Bardas insolentius res tractare coepit, paulatimque imperatorem offendens sinistris de se suspicionibus ansam praebuit, ut Cepos ventum est (Cepi, Latine hortos dixeris, loci nomen est maritimi, ubi Maeander fluvius in mare illabitur), imperator cum suis iniit consilia, ne a Barda praeventi opprimerentur; et re composita atque maturata

σπεύσαντες ἀναιροῦσι τὸν Βάρδαν, καθὼς ἄνωθεν ὁ λόγος διαῤῥήδην ἐδήλωσε, περιπλακέντα τοῖς τοῦ βασιλέως ποσί. πρώτην ἦγε τηνικαῦτα μὴν ὁ Ἀπρίλλιος τῆς ιδ' ἐπινεμήσεως. ἀποκτανθέντος οὖν τοῦ Βάρδα εὐθὺς ὁ βασιλεὺς τήν τε στρατοπεδείαν καταλύει καὶ νόστου πρὸς τὴν βασιλεύουσαν μέμνηται. ἐπανελθὼν δὲ πρὸς τὸ Βυζάντιον, ἐπείπερ οἰκείας ἠμοίρει γονῆς, εἰσποιεῖταί B τε τὸν Βασίλειον καὶ εἰς τὴν τῶν μαγίστρων ἀναβιβάζει τιμήν. ὃ μὴ φέρων ὑπὸ φθόνου ὁ Συμβάτιος ὁ λογοθέτης τῶν δρόμου, ὁ τοῦ Καίσαρος Βάρδα γαμβρός, προφασισάμενος τὸ μὴ δύνασθαι ζῆν ἐπὶ τῆς βασιλίδος τὴν τῶν Θρᾳκησίων ἐξαιτεῖ στρατηγίαν, καὶ δὴ καὶ λαμβάνει. ὀλίγου δὲ καιροῦ παρελθόντος καὶ τῆς βασιλείας ἐπισφαλῶς κυβερνωμένης, ἅτε τοῦ βασιλέως πρὸς ἄλλοις ἀλλ' οὐ ταῖς τῶν πραγμάτων διοικήσεσι τὸν νοῦν ἔχοντος, καὶ τοῦ θανάτου δὲ τοῦ Βάρδα καθαρῶς ἐλέγξαντος τὴν αὐτοῦ οὐθένειαν καὶ ἀφέλειαν (ἐκείνου γὰρ ἐπαγρυπνοῦντος ὡς κοινωνοῦ τῶν πραγμάτων, καὶ τῆς διοικήσεως καθ' ὅσον οἷόν τε ἀντεχομένου, τῇ τούτου ἐπιμελείᾳ καὶ σπουδῇ ἡ τοῦ βασιλέως οὐθένεια ἐκαλύπτετο· ἐπεὶ δ' ἐκεῖνος ἀπεσφάγη καὶ ἡ πᾶσα τῆς βασιλείας φροντὶς εἰς C μόνον περιέστη τὸν βασιλέα, τότε δὴ καθαρῶς τὸ αὐτοῦ ἀνεπιτήδειον καὶ πρὸς τὰς πολιτικὰς πράξεις ἀναπεπτωκὸς ἐξηλέγχετο), ἐγίνοντο παρὰ τοῦ κοινοῦ συνεχεῖς διαγογγυσμοὶ κατὰ τοῦ βασιλέως, καὶ οὔθ' ἡ σύγκλητος οὔτε τὸ πολίτευμα τοῖς πραττομένοις ἠρέσκοντο, καὶ αὐτὸ δὴ τὸ στράτευμα ἀνασεσοβημένον καὶ κεκινημένον ἐτύγχανεν. ἅτινα διὰ τῶν οἰκειοτάτων ὁ βασιλεὺς ἐνωτιζό-

3 τρισκαιδεκάτης C 12 βασιλείου ἀρχῆς P 20 ἀποκεφυκὸς C 23 ἀνασεσεισμένον C, margo διεγηγερμένον

Bardas pedes imperatoris amplexus trucidatus est; quae res supra a nobis exposita. actum hoc die prima Aprilis, indictione 14. interfecto Barda, imperator expeditione omissa statim Byzantium rediit. et eo reversus, cum prole careret, Basilium ad magisterii dignitatem evectum adoptavit. quod cum non ferret prae invidia Symbatius dromi logotheta, Bardae gener, praetendens se Cpoli vivere non posse, petiit impetravitque ut Thracensibus praeficeretur. paulum effluxit temporis, cum satis patuit imperium periculose gubernari, quippe Michaelo aliis quam rei publicae gerendae negotiis intento, eiusque futilitate ac stultitia a Bardae interitu palam innotescente. etenim Barda, ut qui imperatoris collega esset, pro re publica excubante ac pro virili eius administrationi intento, industria huius atque diligentia ignaviam Michaeli occultarat. sublato Barda, et omni imperii procuratione in unicum incumbente Michaelum, perspicue apparuit quam is esset homo ad rem publicam tractandam ineptus atque segnis. itaque subditorum crebrae erant de imperatore querelae, et neque senatui neque civibus acta probabantur, ipsique etiam exercitus ferociebant atque exagitabantur. quae

μενος, καὶ τὴν ἑαυτοῦ κατανοῶν πρὸς τὰς κοσμικὰς ἐπιχειρήσεις
ἀδεξιότητα, ἅμα δὲ καὶ ἐπανάστασιν εὐλαβηθείς, κοινωνὸν ἔγνω
τῶν πραγμάτων προσλαβέσθαι καὶ τῆς ἀρχῆς. καὶ ἐπεὶ πρὸ ὀλί-
D γου, ὡς ἄνωθεν εἴπομεν, υἱοποιησάμενος ἦν τὸν Βασίλειον, ᾔδει
δὲ αὐτὸν καὶ ἀνδρίᾳ καὶ συνέσει τῶν πολλῶν διαφέροντα καὶ ἱκα-
νὸν ἀναπληροῦν τὸ ἐν τῇ κυβερνήσει τοῦ κοσμικοῦ σκάφους ὑστέ-
ρημα, τὸ πλέον δὲ καὶ ὑπερτάτης δυνάμεως ἐναγούσης εἰς τοῦτο
αὐτόν, καὶ βασιλείας τιμῇ καὶ δόξῃ καὶ χρίσματι κατακοσμεῖ τὸν
Βασίλειον, κατὰ τὴν ἱερὰν καὶ ἁγίαν ἡμέραν τῆς πεντηκοστῆς, ἐν
τῷ περιωνύμῳ τῆς τοῦ θεοῦ σοφίας ναῷ, δημοσίαν πρόοδον ποιη-
σάμενος, καὶ τὸν βασίλειον τῷ Βασιλείῳ περιτίθησι στέφανον,
ἕκτην πρὸς εἴκοσιν ἄγοντος τοῦ Μαΐου μηνὸς τῆς ιδʹ ἐπινεμή-
σεως.

Τοῦτο μαθὼν ὁ Συμβάτιος μετρίως οὐκ ἤνεγκεν, ἀλλὰ
συνεργὸν εἰληφὼς καὶ τὸν πατρίκιον Πηγάνην (στρατηγέτης δὲ
οὗτος τοῦ Ὀψικίου ἐτύγχανε) πρὸς ἀπόστασιν εἶδον, Μιχαὴλ μὲν
P 567 εὐφημοῦντες τὸν βασιλέα, ὡς ἂν ἐκ τούτου τὰ πλήθη ἐπάγοιντο
καὶ μὴ δοκοῖεν χεῖρας αἴρειν κατὰ τοῦ αὐτοκράτορος, δυσφη-
μοῦντες δὲ τὸν Βασίλειον καὶ μυρίαις πλύνοντες ὕβρεσι. καὶ ταῦτα
μὲν ἐπράττετο θέρους· χειμὼν δ' ἐπιστὰς τὰς συστάσεις τούτων
διέλυσε, τῶν ἀρχηγῶν τῆς ἀπονοίας φυγῇ τὴν σωτηρίαν πραγμα-
τευσαμένων. ὁ μὲν οὖν Συμβάτιος τὴν Πλατεῖαν πέτραν (φρού-

5 διορθῶσαι καὶ ἀνακλησῶσαι C 10 περιωνύμῳ om C δημοσίᾳ πορευθεὶς C 14 συμβάντιος C 15 στρατηγὸς C

omnia Michaelus cum a familiarissimis sibi nuntiata percepisset, sentiens quam ipse esset ad tanti imperii gubernationem parum idoneus, simulque sibi a seditione metuens, collegam statuit sibi adsciscere. et quia paulo ante, ut diximus, Basilium adoptaverat, sciebatque eum reliquis fortitudine et prudentia anteire, et posse implere quod sibi ad rem publicam temperandam dexteritatis deerat, maxime autem suprema potestate eo ipsum impellente, imperatoriis eum honoribus insignibus atque opibus exornat, progressus huius rei causa publicae in nobile divinae sapientiae fanum, ac Basilio coronam regiam imponit, ipso sanctae pentecostes festo die, qui fuit dies Maii vigesima sexta, indictione decima quarta.

Hoc ubi rescivit Symbatius, inique tulit, nactusque socium facinoris Peganem patricium, Opsicii praefectum, rebellionem est molitus. Michaelum ii imperatorem faustis vocibus probabant, ut multitudinem sibi conciliarent, neque viderentur contra suum imperatorem manus tollere, Basilium autem improbabant ac infinitis proscindebant conviciis. haec aestate agebantur. sed ut hiems iniit, dissipata est haec coitio, ducibus sceleris fuga sibi salutem quaerentibus. Symbatius Latum saxum

ριον δὲ τοῦτο ἐρυμνὸν καὶ δυσάλωτον κατὰ τὴν Ἀσίαν διακείμενον) ἐπεισέρχεται, ὁ δὲ Πηγάνης κατέσχε τὸ Κοτυάειον. ἀλλὰ μετὰ μικρὸν καταπολεμηθέντες δέσμιοι πρὸς αὐτὸν ἀναφέρονται τὸν βασιλέα· οἳ καὶ τοὺς ὀφθαλμοὺς πηρωθέντες, καὶ προσέτι τούτων τὴν μὲν δεξιὰν ὁ Συμβάτιος τὴν ῥῖνα δὲ ὁ Πηγάνης ἀποτμη- B
θείς, ἐξορίαις παραπέμπονται.

Πάντες δ' ηὐφράνθησαν ἐπὶ τῇ ἀναρρήσει τοῦ Βασιλείου οἱ τῆς Ῥωμαίων βασιλείας ὑπήκοοι, γλιχόμενοι ἄνδρα θεάσασθαι ἐπὶ τῶν οἰάκων τῆς βασιλείας καθήμενον ἰδιωτικῆς τε τύχης πεπειραμένον καὶ μὴ ἀγνοοῦντα οἷα πάσχουσιν ὑπὸ τῶν δυνατωτέρων οἱ ταπεινότεροι. ἐλύπει γὰρ αὐτοὺς καὶ ἡ τοῦ βασιλέως Μιχαὴλ ἀρχὴ λίαν ὑγρὰ καὶ ἐκδεδιῃτημένη ὑπάρχουσα, καὶ μηδὲν ἄλλο ἔργον ἔχουσα ἀλλ' ἢ κώμους καὶ μέθας, καὶ εὐθηνοῦσαν ἱπποδρομίαν καὶ γελωτοποιοὺς καὶ τὰς ἄλλας τὰς παρεξηυλημένας τῶν πράξεων, ὧν ὡς ἐν παρόδῳ μνείαν ἄνωθεν ὁ λόγος διὰ βρα- C
χέων ἔθετο, τοὺς βασιλικοὺς θησαυροὺς κιναίδοις καὶ σαμβυκιστρίαις καὶ ὀρχηστρίσι καὶ ἀκολάστων ὅλων πληθύϊ διαρρύτοις ὅλοις ἀποκενοῦντος. ἀφ' ὧν τὰ μὲν Ῥωμαίων ἐστενοχωρεῖτο πράγματα, αὐτὸς δὲ στενοχωρούμενος ὑπὸ τῆς ἐνδείας, καὶ μὴ ἔχων ὅ τι καὶ δράσειεν, ἀδίκους πόρους ἐπενοεῖτο εἰς θεραπείαν τάχα τῆς χρείας, καὶ χεῖρας ἀνοσίους ἐπέβαλλε τοῖς κατὰ μηδὲν ὅλως αὐτῷ προσήκουσι. κατέπαιζε δὲ καὶ τῶν θείων μετὰ μιαρῶν καὶ ἀσελγῶν ἀνδρογύνων· καὶ οὐδὲν ἦν ἀρρητούργημα ὃ μὴ δι' αὐτοῦ

2 μετὰ om C   11 βασιλέως om C   12 ἠμελημένη margo C
13 εὐθυνοῦσαν libri   16 ζαμβυκιστρίαις C, margo σαλπιγγαρίαις   22 τὸ θεῖον C   23 ἀσεβῶν C

(id est Asiae castellum excelsum et munitissimum) intravit, Peganes Cotyaeium obtinuit. uterque paulo post expugnatus in vinculis est ad imperatorem perductus. oculi iis effossi, Symbatio dextra amputata, nasus Pegani, et relegati sunt.

Omnibus Romano imperio subditis grata fuit Basilii designatio, cupientibus eum virum videre ad clavum rei publicae sedentem, qui privati fortunam expertus non ignoraret quomodo humiles a potentibus tractarentur. praeterea molestum erat Michaeli imperium, dissoluti nimium, nullique rei quam comessationibus et crapulae dediti atque aurigationibus scurrisque et aliis istis decantatis nugis, quarum supra obiter mentionem fecimus. idem aerarium cum effusis in cinaedos sambucistrias saltatrices aliamque impurorum hominum catervam largitionibus exhausisset et in artum rem Romanam coegisset, deinde inopia premente cum quo se verteret non haberet, iniustas parandae qua necessitatibus suis mederetur pecuniae rationes excogitavit, manusque impias rebus nihil ad se pertinentibus intulit. quin et cum coetu nefariorum atque obscoenorum cinaedorum rebus sacris illudebat, nullumque erat adeo infandum

καὶ τῶν ἄλλως παρατρεφομένων αὐτῷ καὶ ἐλέγετο καὶ ἐπράττετο. ἀποτρέπειν δὲ τῶν τοιούτων ἀθεμίτων ἔργων τοῦτον βουλόμενος ὁ D Βασίλειος πολλάκις πειραθεὶς οὐ μόνον οὐκ ἴσχυσε, μᾶλλον μὲν οὖν καὶ πρὸς ὀργὴν ἀνηρέθισε, καὶ μελετᾶν κατ' αὐτοῦ σκαιὰ καὶ ἄτοπα ἀνεκίνησε, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται. ταῖς δὲ κατ' αὐτοῦ συνεχέσιν ἐπιβουλαῖς καὶ μελέταις ἐκδειματωθεὶς ὁ Βασίλειος δρᾶσαί τι μᾶλλον πρὸ τοῦ παθεῖν ἠγωνίσατο· οὐκοῦν καὶ παρασκευασάμενος μετά τινων οἰκείων τε καὶ συγγενῶν καὶ τῶν παρακοίτων ἐν τοῖς βασιλείοις στρατιωτῶν ἀναιρεῖ τὸν βασιλέα ἐν τοῖς παλατίοις τοῦ ἁγίου μεγάλου μάρτυρος Μάμαντος.

Καὶ Μιχαὴλ μὲν οὕτω βιοὺς ἀνειμένως καὶ μαλθακῶς τοιοῦτον καὶ τὸ τέλος ἐδέξατο, ἀναγορεύεται δὲ μόναρχος εὐθὺς ὁ Βασίλειος παρά τε τῶν συνωμοτῶν πρῶτον, εἶτα καὶ τῆς συγκλήτου βουλῆς καὶ τῶν βασιλικῶν ταγμάτων καὶ παντὸς τοῦ στρατεύμα- P 568 τος καὶ τῆς πληθύος τῆς ἀστικῆς. ἅμα δὲ τῷ παρελθεῖν ἐπὶ τὴν τῶν ὅλων ἀρχήν, προσκαλεσάμενος αὐτίκα τὴν γερουσίαν καὶ τοὺς ἐν ἀξιώμασι προύχοντας, τὸν βασιλικὸν ἠνέῳξε θησαυρόν, καὶ οὐδὲν ἕτερον ἐκ τοσούτου τῶν χρημάτων πλήθους εὑρέθη εἰ μή, ὡς καὶ πρόσθεν εἴρηται, τρία μόνα κεντηνάρια. ζητήσας οὖν ὁ βασιλεὺς τὴν τῆς ἐξόδου ἀπογραφήν, καὶ ταύτην εὑρὼν παρά τινι γέροντι εὐνούχῳ, καὶ μαθὼν ὅπῃ ταῦτα ἐχώρησε, βουλὴν περὶ τούτου προύθετο τοῖς ἀρίστοις. ψήφου δὲ παρὰ πάντων δοθείσης ἐκείνους τοὺς κακῶς ταῦτα λαβόντας ἀντιστρέψαι τὰ ληφθέντα πρὸς τὸ δημόσιον, ὁ βασιλεὺς τοῦ ἄγαν ὑπενδιδοὺς τὰ ἡμίση ὧν ἕκαστος ἔλαβεν ἀντιστρέψαι πρὸς τὸ βασιλικὸν ταμιεῖον ἐκέ-

17 ἀνέωξε C   22 περὶ τῶν πάντων δ. ἐκεῖ C

scelus quod is cum suis asseclis verbis reque non perpetraret. a quibus cum eum avertere studeret Basilius reque saepius tentasset, non modo nihil effecit, sed et contra se Michaelum irritavit, estque ab eo insidiis petitus, ut supra docuimus. itaque continentibus imperatoris contra se machinationibus perterritus praevertere maleficium statuit tandem, reque cum quibusdam suis necessariis cognatis ac excubitoribus palatii composita, illum in palatio divi Mamantis interfecit.

Hunc finem Michaeli mollis ac dissoluta vita habuit. eo sublato, statim Basilius primum a coniurationis sociis, deinde a senatu et cohortibus imperatoriis et omni exercitu atque urbana multitudine imperator est declaratus. ut primum occepit imperium, senatu ac magistratibus advocatis aerarium imperatoris aperuit, inque eo de tanta pecuniae copia nihil reliquum invenit praeter tria, ut diximus, centenaria. quaerens autem expensarum tabulas, et eas penes quendam senem eunuchum reperiens, ubi deprehendit quorsum ea pecunia esset data, optimatibus rem deliberandam proposuit. qui cum una sententia decrevissent debere

λευσε· καὶ οὕτως ἀπὸ τῶν τοιούτων συνήχθη τῷ δημοσίῳ χρυσίου B κεντηνάρια τριακόσια. ἐποιήσατο δὲ καὶ πρόοδον ὁ βασιλεὺς δημοσίαν ἐπὶ τὸν μέγαν τῆς τοῦ θεοῦ λόγου σοφίας ναόν, καὶ χρήματα πολλὰ ἐν τῷ ὑποστρέφειν τῷ πλήθει διένειμεν, οὐκ ἐκ τῶν δημοσίων ἀλλ' ἐκ τῶν ἰδίᾳ διαφερόντων αὐτῷ· προσεγένετο γὰρ αὐτῷ πλῆθος χρημάτων ἀπροσδόκητον καὶ ἀπὸ θησαυρῶν κεκρυμμένων ἀναφανέντων τῆς γῆς. εὑρέθη δὲ καὶ ἐν τῷ εἰδικῷ χρυσίον οὐκ ὀλίγον, ὅπερ ὁ προβεβασιλευκὼς Μιχαὴλ συνέλεξε, τὴν θρυλουμένην ἐκείνην πλάτανον χωνεύσας καὶ τοὺς δύο ὁλοχρύσους γρῦπας καὶ τοὺς δύο σφυρηλάτους λέοντας καὶ τὸ ὁλόχρυσον ὄργανον καὶ ἕτερα τῶν ἐπὶ τῆς τραπέζης χρυσωμάτων ἔργα διάφορα, καὶ βασιλικὰς καὶ Αὐγουστικὰς στολάς, οἷσπερ ἔμελλεν ἀποχρή- C σασθαι πρὸς τὰ αὐτῷ καταθύμια, φθάσαν δὲ τὸ χρεὼν εἰς Βασίλειον ταῦτα διεβιβάσθη. ἀλλὰ ταῦτα μὲν ὕστερον.

Ἄρτι δὲ τῆς ἀρχῆς ἐπιβὰς ὁ Βασίλειος πρῶτον μὲν ἐπὶ τὰς ἀρχὰς ἀδωροτάτους λεγομένους προυβάλλετο καὶ μαρτυρουμένους τὰς ἰδίας χεῖρας καθαρὰς παντοίου διαφυλάττειν λήμματος, εἶθ' οὕτως δικαιοσύνης ἐπεμελεῖτο, καὶ ἰσονομίαν ἐμπολιτεύεσθαι τοῖς ἀρχομένοις καὶ τὸ μὴ καταδυναστεύεσθαι ὑπὸ τῶν πλουσίων τοὺς πενεστέρους ἐπραγματεύσατο. πανταχοῦ δὲ διατάγματα ἐξετίθει τέλεον ἐξαρθῆναι τὴν ἀδικίαν ὁρίζοντα. δικαστάς τε ἔταξε, σιτηρεσίοις καὶ φιλοτιμίαις παντοδαπαῖς αὐτοὺς μεγαλύνας, καὶ D τάξας διημερεύειν καὶ τὰς διενέξεις διαλύειν τῶν φιλονεικούντων,

1 ἀπὸ τούτου C 2 ἐποιήσατο — 3 ναόν add C 4 τῇ πόλει C 8 Μιχαὴλ om C 12 καὶ ante Αὐγουστικὰς om C 18 ἰσωνυμίαν C

eos qui pecuniam malis rationibus accepissent, eam aerario restituere, ipse mitigata sententia dimidium reddi iussit. hoc modo trecenta auri centenaria aerario recuperata sunt. inter recipiendum, plurimum pecuniae in multitudinem divisit, non de publico sed de suo: insperata enim ei pecuniae copia obtigit ex occultis etiam thesauris e terra emergentibus. quin et in Eidico auri haud parum inventum est, collectum a Michaelo: nempe nobilem istam platanum, duos solide aureos grypes, duos ex auro ductos leones, totum aureum instrumentum, et vasa mensae aurea varia, ac imperatorias vestes. quibus is pro sua libidine cum esset abusurus, morte praeventus est istaque ad Basilium devenerunt. sed haec postea acta sunt.

Ceterum Basilius principio sui imperii, magistratus commisit iis qui a capiundis muneribus perhiberentur quam maxime alieni, et quos testatum esset manus omnis capturae puras habere. deinde operam dedit ut iustitia vigeret, et aequo iure inter se viverent subditi, neque a divitibus inopes opprimerentur, propositis passim decretis quibus iniustitia exterminabatur. iudices quoque constituit, amplisque stipendiis et honoribus auxit, iussos per diem sedere pro tribunali et litigantium cau-

τόπους ἀφορίσας αὐτοῖς ἐπιτηδείους, τήν τε Μαγναύραν καὶ τὸν καλούμενον ἱππόδρομιον καὶ τὴν λεγομένην Χαλκῆν, χρόνῳ μογήσασαν καὶ ὅσον οὐδέπω πεσεῖν κινδυνεύουσαν ἐπισκευάσας καὶ καινουργήσας. ἔταξε δὲ καὶ τροφὴν τοῖς πενεστέροις τῶν τὰς δίκας ἐχόντων, ἵνα μὴ ὑπὸ ἐνδείας πιεζόμενοι ταῖς δίκαις ἀπαγορεύοιεν. ἐπεδίδου δὲ καὶ ἑαυτὸν εἰς τὸ τοιοῦτον μέρος, ὁπηνίκα τῶν στρατειῶν ἔτυχεν ἄγων σχολὴν καὶ τοῦ χρηματίζειν ταῖς ἁπανταχόθεν πρεσβείαις, καὶ εἰς τὸ λεγόμενον γενικὸν κατιὼν τοὺς εἰσπραττομένους ἐσκόπει παρὰ τοῦ δημοσίου, μή πού τις ἀδίκως εἰσπράτ- P 569 τοιτο, καὶ οὕτως τοῖς ἀδικουμένοις ἐπήμυνε. λέγεται δ' ὅτι κατελθόντος αὐτοῦ εἰς τὴν εἰρημένην διατριβήν, ὡς οὐδεὶς ἔτυχεν ἐγκαλῶν, ὑποτοπάσας εἴργεσθαι ἀπό τινων τῆς εἰς αὐτὸν εἰσόδου τοὺς δεομένους, ἀπέστειλέ τινας τῶν δορυφόρων κατὰ πολλὰ μέρη τῆς πόλεως ζητήσοντας εἴ τις ἐστὶ βοηθείας δεόμενος. ὡς δ' ἐπανῆλθον ἐκεῖνοι μηδένα μηδαμῶς εὑρηκέναι λέγοντες, μεθ' ἡδονῆς τε ἀπέσταξε δάκρυον καὶ θεῷ τὴν εὐχαριστίαν ἀπέδωκεν.

Ὁρῶν δὲ ὅτι ἔστι τις τοῖς πονηροῖς εἰς τὸ ἀδικεῖν ἀφορμὴ διὰ τὸ σύντομον ἀπὸ τῶν ἐν τοῖς ἀριθμοῖς μορίων, τοῦ ἡμισεός φημι καὶ ἕκτου καὶ δωδεκάτου καὶ τῶν τοιούτων, χρωμένων τοῖς B παλαιοῖς σημείοις τῶν γραφέων, ἠθέλησε καὶ τὴν τοιαύτην τῶν ἀδικεῖν ἑλομένων περιελεῖν ἀφορμήν, καὶ διωρίσατο γράμμασι λιτοῖς, ἃ καὶ τοῖς ἀγροίκοις ἀναγινώσκεσθαι ῥᾴδιον, τὰ τοιαῦτα

10 οὕτως om C 17 τοῖς πονηροῖς om C 18 ἀπὸ] ἐπὶ? 19 χρωμένοις P

sas diiudicare. ad eam rem loca iis designavit commoda, Magnauram Circum et Chalcen (aeream portam), quam temporis culpa laborantem ruinamque minantem ad hoc instauravit atque adornavit. alimenta etiam pauperioribus quibus iudicio erat disceptandum ordinavit, ne inopia coacti vadimonia desererent. ipse etiam his rebus operam dedit, quoties a bello et audiendis legatis vacaret; et descendens ad Genicum, ubi rei publicae nomine vectigalia et tributa accipiuntur, prospexit ne ab ullo quicquam iniuste exigeretur, et iniuriam passis opitulabatur. ferunt eum, cum aliquando ad Diatribam (loci nomen est, in quo iudicia exercebantur) descendisset neminemque inveniret conquerentem, suspicatum esse arceri a certis hominibus eos qui ipsum compellare cuperent, et satellites per urbem dimisisse quaesitum, si qui essent imperatoris auxilio indigentes. quibus reversis ac neminem se repperisse dicentibus, eum prae gaudio lacrimas emisisse egisseque deo gratias.

Animadvertens porro occasionem maleficii pravis hominibus eo dari quod numeri, quibus verbi gratia semissis sextans uncia et similia designantur, per notas recepta antiquitus consuetudine scriberentur, loco

γράφεσθαι σημεῖα, οἴκοθεν καταβαλὼν καὶ τὴν τῶν χαρτίων δαπάνην καὶ τὴν τῶν γραμμάτων καὶ τὴν τῶν γραφέων.

Ἐπιστροφὴν δ' ἐποιήσατο καὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἐκβαλὼν μὲν τῆς ἀρχιερωσύνης μετὰ συνόδου συναθροισθείσης τὸν ἐπεισπηδήσαντα τῇ ἀρχῇ Φώτιον, σχολάζειν κελεύσας ἕως ἂν τὸν δικαίως ταχθέντα πρὸς αὐτὸν μεταστήσῃ θεός, ἀντεισαγαγὼν δὲ τὸν κακῶς καὶ παρανόμως ἐκβληθέντα παρὰ τοῦ Βάρδα Ἰγνάτιον. καὶ οὕτω γαληνιᾶν τὰς τοῦ θεοῦ ἐκκλησίας παρε- C
σκεύασεν.

Ἀλλὰ καὶ τοὺς πολιτικοὺς νόμους πολλὴν ἀσάφειαν καὶ σύγχυσιν ἔχοντας ἰδών, καὶ τούτους κατὰ τὸ προσῆκον προσφόρως ἐπανασώσασθαι ἔσπευσε, καὶ τὴν μὲν τῶν ἀνῃρημένων ἀχρηστίαν περιελεῖν, τῶν δὲ κυρίων ἀνακαθᾶραι τὸ πλῆθος. οὐκ ἔσχε δὲ καιρὸν προκαταληφθεὶς θανάτῳ. ἤρξατο δὲ τοῦ ἔργου καὶ ἐξεπλήρωσε Λέων ὁ υἱὸς αὐτοῦ μετὰ ταῦτα.

Κατὰ τὸ πρῶτον ἔτος τῆς βασιλείας τοῦ Βασιλείου ἐπιβουλὴ καὶ συσκευή τις ἐγένετο κατ' αὐτοῦ, ἐξαρχόντων τῆς μελέτης Γεωργίου καὶ Συμβατίου τῶν πατρικίων. φωραθέντος δὲ τοῦ κακουργήματος, προφανῶν δὲ γενομένων καὶ τῶν ἐλέγχων, οὗτοι D
μὲν ἐκκόπτονται τοὺς ὀφθαλμοὺς ὡς αἴτιοι πρωτουργοὶ τῆς συμβουλῆς, τὸ δὲ λοιπὸν ἅπαν πλῆθος τῶν συνωμοτῶν πομπευθέντες ἐξωρίσθησαν. ἀνακόπτων δὲ τὰς ἐπιβουλὰς τῶν βασιλειώντων, στέφει Κωνσταντῖνον καὶ Λέοντα τοὺς οἰκείους αὐτοῦ υἱούς. τῷ

7 παρὰ τοῦ Βάρδα om C 10 καὶ τοὺς π. δὲ C 12 ἐπανορθώσασθαι C 13 καιρὸν δὲ οὐκ ἔσχε C 15 μετὰ ταῦτα om C 16 τὸ πρ. ἔτος] τὴν ἀρχὴν C 19 φανερῶν C 21 στῖφος C 23 αὐτοῦ om C

notarum literis uti iussit, quas etiam rustici legere possent; et de suo sumptus in chartas literas atque scribas ipse suppeditavit.

Res etiam ecclesiasticas correxit, pontificatu exturbans, auctoritate ad hoc congregati concilii, Photium, qui in eum se ingesserat; ac tantisper vacare iussit, dum deus eum reduceret qui legitime patriarcha fuisset creatus. reduxitque in locum Photii Ignatium a Barda iniuste pulsum; itaque ecclesiis dei tranquillitatem restituit.

Sed et civiles leges videns multum habere confusionis atque obscuritatis, operam dedit ut iis convenientem faceret medicinam. itaque abrogare inutiles, iisque amputatis multitudinem bonarum expurgare intendit. sed mors eius hoc institutum intercepit, res a filio deinde perfecta est.

Anno primo imperii Basilii insidiae ipsi sunt factae, Georgio et Symbatio patriciis auctoribus. qui re detecta sceleris convicti oculis privati sunt: reliqua coniuratorum multitudo in pompa ludibrii causa circumducta inque exsilium acta est. Basilius, ut insidias amoliretur,

δὲ τρίτῳ ἔτει τῆς μοναρχίας ἀναγορεύει καὶ Ἀλέξανδρον τὸν υἱόν. τὸν δὲ νεώτερον πάντων Στέφανον ἱεροῖ καὶ τῇ τοῦ θεοῦ καταλέγει ἐκκλησίᾳ. ἐπεὶ δὲ καὶ τέσσαρες ἦσαν αὐτῷ θυγατέρες, ἐν τῷ θείῳ σεμνείῳ τῆς πανευφήμου μάρτυρος Εὐφημίας καὶ ταύτας καθιεροῖ.

Οὕτω δ' ὡς ἐδόκει εὖ διαθεὶς τὰ οἰκεῖα, καὶ κατὰ τῶν ἀντιτασσομένων τῇ Ῥωμανίᾳ ἔσπευσεν ἐκστρατεῦσαι. καὶ δὴ τοὺς στρατιωτικοὺς καταλόγους ἐλαττωθέντας παρὰ τοῦ πρῴην βεβασι-
P 570 *λευκότος Μιχαὴλ ἐκ τοῦ διακοπῆναι τὰς ῥόγας αὐτῶν καὶ τὰ σιτηρέσια, διὰ νέων συλλογῆς ἀναπληρώσας τὰς φάλαγγας κατὰ τῶν βαρβάρων ἐστράτευσε, καὶ πρότερον μὲν κατὰ τῆς Τεφρικῆς, ἧς ὁ Χρυσόχειρ ἡγεῖτο, ἐπ' ἀνδρίᾳ καὶ συνέσει διαφέρειν δοκῶν καὶ σφόδρα τὰ Ῥωμαίων κατατρέχων καὶ ληϊζόμενος. κατὰ τούτου καὶ τῆς πόλεως ἐκστρατεύει ὁ βασιλεύς. τοῦ δὲ μὴ ὑποστάντος τὴν ἐπέλευσιν ἀλλ' εἴσω τειχῶν γενομένου, καταδραμὼν τὴν ὑπ' αὐτὸν ἅπασαν χώραν ὁ βασιλεὺς καὶ ληϊσάμενος, καὶ πρὸς αὐτῷ τῷ τείχει τῆς Τεφρικῆς ἔθετο τὴν παρεμβολήν, διὰ προσεδρείας μακρᾶς ἑλεῖν τὸ ἔρυμα οἰηθείς. ἐπεὶ δὲ κατενόησε πάντοθεν*
B *κατωχυρωμένον αὐτό, καὶ ἀνέλπιστον ἦν ἁλωθῆναι πολιορκίᾳ (ἤδη γὰρ καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναγκαῖα κατεδήδοτο), ἔλυσε τὴν πολιορκίαν, τὰ πλησιάζοντα τῇ Τεφρικῇ φρούρια ἐκπορθήσας,*

4 *θείῳ* om C 8 *καταλόγους παρὰ τοῦ μιχαὴλ καταφρονηθέντας καὶ ἐλαττωθέντας* C. utique addendum *λαβὼν* s. *εὑρών*. 9 *ἐκκοπῆναι?* 10 *νέων πληρώσας* C 11 *Ἀράβων χωρεῖ. καὶ πρῶτα* C 18 *ταῦτα* C 19 *ἦν* om C 21 *ἐκπολιορκήσας* C

Constantinum ac Leonem, ac tertio sui imperii anno Alexandrum quoque, filios suos, diademate insignit: natu minorem reliquis Stephanum ecclesiasticorum collegio adscribit. et quattuor suas filias monasterio sanctae Euphemiae martyris consecrat.

Ad hunc modum rebus domesticis satis, ut videbatur, commode constitutis, expeditionem etiam in Romani imperii hostes suscipere statuit. cumque deprehenderet numerum militum a Michaelo imminutum, quod is stipendia accidisset, cohortes tironibus allectis implevit, et in barbaros duxit. prima expeditio ad Tephricam urbem fuit, cui Chrysochir praeerat, homo laudatae fortitudinis atque calliditatis, qui rem Romanam crebris vexabat grassationibus. is cum Romanos adventantes non subsisteret, sed muris clausus se contineret, Basilius omnem ipsius dicionem populatus Tephricam obsedit, diuturna obsidione se ea potiturum opinans. sed ut eam sensit undique communitam, et spes obsidione potiundi evanuit, omnibus alimentis quae in ea fuerant regione iam absumptis, obsidio soluto vicina Tephricae castella vi expugnavit,

τὴν Ἄβαραν, τὸν Κοπτόν, τὴν Σπάθην καὶ ἄλλα πολλά. ἀγείρας δὲ τὸν στρατὸν ἐκεῖθεν ἐπανῄει μετὰ λαμπρῶν τῶν τροπαίων τε καὶ λαφύρων.

Ληϊζομένης δὲ τῆς περὶ τὴν Τεφρικὴν χώρας ἁπάσης καὶ ἐκπορθουμένης, ἡ γειτονοῦσα ταύτῃ πόλις τῶν Ἰσμαηλιτῶν ἣ Ταύρας ἡ ἐπωνυμία, ὁμαιχμίαν ἔχουσα καὶ κοινοπραγίαν μετὰ τῆς Τεφρικῆς, ὀρρωδήσασα τὸν κίνδυνον, πρέσβεις πέμψασα εἰρήνης ἠξίου τυχεῖν καὶ ταῖς συμμαχίσιν ἐγγραφῆναι Ῥωμαίων·
καὶ δὴ ἔτυχε τοῦ βασιλέως μετὰ προσηνείας δεξαμένου τὴν πρεσ- C
βείαν. προσερρύη δὲ καὶ ὁ Κουρτέριος, γένος ὢν Ἀρμένιος, ὃς κατεῖχε τὴν Λόκαναν καὶ τὰς ἐσχατιὰς τῶν Ῥωμαίων συνεχῶς ἐπόρθει καὶ κατεστρέφετο, ἑαυτὸν παραδοὺς τῷ βασιλεῖ καὶ τὴν πόλιν καὶ τὸν ὑπείκοντα αὐτῷ λαόν. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, λαὸν ὁ βασιλεὺς κατὰ Σαμοσάτων καὶ τῆς λεγομένης Ζαπέτρας ἐπιλέκτων πολεμιστῶν ἐκπέμψας εὐτύχησεν, ἐξ ἐφόδου τὰ στενὰ τοῦ στρατοῦ διελθόντος αὐτῇ τε τῇ πόλει ἐξαίφνης ἐπεισπεσόντος· κατεσχέθη τε γὰρ ἡ πόλις τῷ ἀπροσδοκήτῳ, καὶ λαὸς ἀπεσφάγη πολύς, καὶ αἰχμαλωσία ἐλήφθη ἄπειρος, καὶ δέσμιοι Ῥωμαῖοι χρονίων δεσμῶν ἠλευθερώθησαν. καταδραμὼν δὲ καὶ πυρπολή-
σας ὁ πεμφθεὶς λαὸς τὰ συμπαρακείμενα τῆς χώρας καὶ τὰ Σαμό- D
σατα ἐξεπόρθησε, καὶ ὁμοίᾳ ῥύμῃ περαιωθεὶς τὸν Εὐφράτην καὶ πᾶσαν τὴν περαίαν αἰχμαλωτίσας, καὶ πολλὴν συλλέξας αἰχμα-

1 τὴν Ἄβαραν om C ἐγείρας? 2 τῶν om C 6 τάρας C 8 ἐγγρ. καὶ συναριθμηθῆναι C 9 εὐμενῶς καὶ προσηνῶς τὴν πρεσβείαν προσδεξάμενον C 10 κουρτίκιος C 11 λώκαναν C συνεχῶς om C 15 ἐξ] καὶ καλῶς ἔσχεν ἐξ C 17 τε om C τῷ ἀπροσδοκήτῳ om C

Abaram Coptum Spatham aliaque multa; atque exercitum inde abduxit amplis partis spoliis atque tropaeis.

Evastata quae est circum Tephricam regione, Tauras vicina Ismaelicorum urbs, confoederata cum Tephrica, periculum metuens, pacem a Basilio missis legatis foedusque cum Romanis petiit. eos imperator comiter acceptos voti fecit compotes. adiunxit se imperatori et Curterius genere Armenius, qui Locanam urbem tenebat et fines Romanos crebris incursionibus infestarat. is et se et urbem et subditum sibi populum imperatori dedidit. interim Basilius selectorum militum manum ad Zapetram et Samosata mittit prospero plane conatu: nam ii per angustias primo aditu penetrantes urbem de improviso ceperunt, magnaque peracta caede immensam abstulerunt praedam; Romanique multi vinculis, in quibus diu captivi detenti fuerant, tum soluti sunt. locis circumiacentibus incendio vastatis ac Samosatis pessundatis, exercitus eodem impetu Euphratem transivit; et ulteriorem populatus regionem, multis

λωσίαν καὶ λάφυρα, ὑπέστρεψεν ἀσινὴς πρὸς τὸν αὐτοκράτορα,
πρὸς τῷ Ἀτζαρνοὺκ ποταμῷ τὴν παρεμβολὴν ἔχοντα.
Ἐντεῦθεν ἄρας ὁ βασιλεὺς μετὰ παντὸς τοῦ στρατοῦ τὴν
ἐπὶ Μελιτηνὴν ἄγουσαν ὥδευε. προσπελάσας δὲ τῷ Εὐφράτῃ,
καὶ ὥρᾳ θέρους πελαγίζοντα τοῦτον εὑρὼν καὶ παντελῶς ἄβατον,
γεφυρώσας τὸν ποταμὸν διεπέρασε. καὶ πολλὰ τῆς χώρας λυμη-
νάμενος καὶ καταστρεψάμενος, ἑλὼν δὲ καὶ τὸ φρούριον ὃ Ῥαψά-
κιον λέγεται, μέρος δὲ τοῦ στρατοῦ τῇ μεταξὺ Ἀρσίνου τε καὶ
Εὐφράτου χώρᾳ ἐκπέμψας καταδραμεῖν προσέταξεν, οἳ πᾶσαν αὐ-
τὴν ἀπτέρῳ τάχει διαδραμόντες, τό τε λεγόμενον Καρκίνιον καὶ
P 571 τὸ Γλασχὼν καὶ τὸ Ἄμαν καὶ τὸ Μουρὴξ καὶ τὸ Ἄβδηλα εἷλον καὶ
ἐξεπόρθησαν. αὐτὸς δὲ τῇ Μελιτηνῇ προσβαλὼν εὐανδρούσῃ
τότε καὶ πληθύϊ βαρβάρων γεγανωμένῃ, ἐπεὶ τοῖς τείχεσιν ἐπλη-
σίασε, βαρβαρικὰς ὑπεδέξατο φάλαγγας μετὰ φρυαγμάτων καὶ
ἀλαλαγμῶν ἀπαντώσας αὐτῷ, οἷς νεανικῶς συμμίξας καὶ πρῶτος
τῆς φάλαγγος προϊστάμενος τοὺς ἀντιτεταγμένους ἐτρέψατο, εἶθ'
οἱ λοιποὶ τοὺς ἄλλους, καὶ μέχρι τοῦ ἄστεως ἀναιροῦντες ἐδίω-
κον, ὡς καταστρωθῆναι τὸ μεταξὺ ἔδαφος καὶ πληρωθῆναι νε-
κρῶν, ἁλῶναι δὲ καὶ ζῶντας οὐκ ὀλίγους, τοὺς δὲ λοιποὺς ἀγεν-
νῶς εἴσω τειχῶν συγκλεισθῆναι. ἐβουλήθη μὲν οὖν ὁ βασιλεὺς
B ἑλεπόλεσι καὶ μηχαναῖς ἀποπειρᾶσθαι τοῦ χωρίου· ὡς δὲ ἑώρα
τὴν πόλιν εὔπυργον καὶ πλήθει τῶν ἀπὸ τοῦ τείχους ἀμυνομένων
βρίθουσαν, ἐπύθετο δὲ καὶ παρὰ τῶν αὐτομόλων ἀφθονίαν ἔχειν

8 καὶ τὴν μεταξὺ ἀρσίνην καὶ εὐφράτου χώραν ἐκπ. κατ. ἐκέλευσε C 9 οἳ] καὶ οὗτοι C 11 γλάχον C αὔδηλα C 12 μελιτηνῶν C

captivis abductis et parata maxima praeda, incolumis ad imperatorem rediit, qui tunc ad flumen Atzarnucum castra habebat.

Inde Basilius cum omnibus copiis versus Melitenam movit; cumque ad Euphratem pervenisset, tunc (erat enim aestas) stagnantem et invium omnino, eum ponte constratum transivit, magnamque eius regionis partem vastavit, capto etiam Rapsacio castello. inde partem exercitus mittit quae inter Arsinem et Euphratem sita popularetur; qui eam regionem incredibili celeritate pervagati Carcinium Glaschonem Amanem Murecem et Abdela exciderunt. porro Melitenam ingressus, quae tunc barbarorum fortium copia florebat, ut appropinquavit muris, barbaricas cohortes habuit obvias, ferociter et sublato cum clamore incedentes. cum quibus audacter congressus, ipse in prima acie constitutus, hostes repulit; idemque a reliquis factum, et barbari ad urbem usque caesi atque fugientes acti, ita ut solum quod interiacet cadaveribus fuerit oppletum, multique vivi in potestatem Romanorum venerint, et reliqui turpiter sese moenibus clauserint. statuit ergo Basilius eam urbem machinis adhibitis oppugnare. sed cum et turribus munitam eam cerneret et propugnatoribus abundare, atque e perfugis cognosceret maxi-

πολλὴν τῶν ἐπιτηδείων καὶ μὴ δεδιέναι χρονίαν πολιορκίαν, ἄρας
ἐντεῦθεν τῇ Μανιχαίων προσβάλλει γῇ, καὶ πάντα τὰ ἐν ποσὶν
ἐκτεφρώσας, τὸ Ἀργαοὺθ λεγόμενον φρούριον καὶ τὸ Κουτακίου
καὶ τὸ Στεφάνου καὶ τὸ Ἀραρὰχ ἐμπρήσας κατέσκαψεν. ἐκεῖθεν
ἀγείρας τὸν στρατὸν τῆς ἐπὶ τὴν βασιλεύουσαν εἴχετο. καὶ τοὺς
μὲν ἀριστεύσαντας τῶν στρατιωτῶν τιμήσας ἀπέλυσεν· αὐτὸς δὲ
τὴν βασιλίδα κατασχὼν καὶ περαιωθεὶς εἰς Θρᾴκην, ἐκ τοῦ Ἑβδό-
μου τὴν δημοσίαν ποιησάμενος πρόοδον, διὰ τῆς χρυσῆς πόρτης C
εἰσελθὼν καὶ θρίαμβον καταγαγὼν μεγαλοπρεπέστατον, τοῦ δήμου
παντὸς ἐπινικίοις φωναῖς καὶ εὐφημίαις αὐτὸν μεγαλύνοντος ἄχρι
τοῦ ναοῦ τῆς τοῦ θεοῦ ἐνυποστάτου σοφίας ἐγένετο. ἐκεῖσε δὲ
γενόμενος καὶ τῷ θεῷ εὐχαριστηρίους ἀποδοὺς ὕμνους, παρὰ Ἰγνα-
τίου τε τοῦ πατριάρχου ταινιωθεὶς στεφάνοις, ἐπανῆκεν εἰς τὰ
βασίλεια, μικρόν τε συνησθεὶς τῇ γυναικὶ καὶ τοῖς τέκνοις τῶν
πολιτικῶν αὖθις εἴχετο διοικήσεων.

Τῷ δ' ἐπιόντι χρόνῳ τοῦ τῶν Μανιχαίων ἐξηγουμένου
Χρυσόχειρος εἰς τὴν τῶν Ῥωμαίων ἐμβαλόντος βαρεῖ στρατῷ καὶ
ταύτην ληϊζομένου, ἀποστέλλει κατ' αὐτοῦ συνήθως ὁ βασιλεὺς
τὸν τῶν σχολῶν ἐξηγούμενον. οὗτος δὲ πάντα τὸν Ῥωμαϊκὸν D
στρατὸν συμπαρειληφώς, ἐπειδὴ σταδαίᾳ μάχῃ κρῖναι τὸ πᾶν
ἐδειλία, παρείπετο τέως αὐτῷ ἀπό τινος διαστήματος, καὶ τὰς
μερικὰς ἀνεῖργε καταδρομάς; καὶ οὐ συνεχώρει κατὰ τῆς χώρας

3 ἀργαοὺβ C 4 ἀραχὰχ C 8 τὴν om C 11 ἐγένετο om C 20 σταδαίῳ C

ma cam rerum necessariarum copia instructam, ita ut a diuturna obsidione ei nihil esset periculi, motis castris inde ad Manichaeorum dicionem duxit. eo in itinere omnia quacunque iret incendio in cineres redegit, interque haec Argauthum Cutacium Stephasicum et Arachacum castella. his rebus gestis Cpolin suos reduxit, et milites quorum eo bello virtus praeclara fuisset, honoratos dimisit. ipse ad urbem reversus cum in Thraciam traiecisset, ab Hebdomo publice per auream portam intravit splendidissimumque duxit triumphum, universo populo victoriae gratulantibus vocibus faustisque acclamationibus prosequente usque ad aedem sapientiae, quae eiusdem est cum deo essentiae. ibi actis deo gratiis, ab Ignatio patriarcha coronis redimitus in regiam rediit; cumque se paululum cum uxore et liberis oblectasset, rursum se ad rem publicam gubernandam contulit.

Anno qui hunc proxime subsecutus est, cum Manichaei duce Chrysochire magno cum exercitu in Romanorum dicionem impressionem fecissent eamque depraedarentur, imperator de more contra hunc mittit scholarum principem. is universum secum ducens Romanum exercitum, cum de summa rerum praelio decertare non auderet, aliquamdiu intervallo interposito hostem insequitur, et obstat ne hinc inde excurrere ac

ἀδεῶς διασκίδνασθαι. ὡς οὖν τὰ μὲν δρῶν τὰ δὲ ἀπρακτῶν ὁ βάρβαρος ἤδη καὶ τῆς πρὸς τὰ οἴκοι ἐπανόδου ἐμέμνητο καὶ μετὰ λείας συχνῆς ὑπέστρεψεν, ὁ δομέστικος τῶν σχολῶν δύο τῶν στρατηγῶν ἀφώρισε, τόν τε τοῦ Χαρσιανοῦ καὶ τὸν τῶν Ἀρμενιακῶν, μετὰ τῆς περὶ αὐτὸν δυνάμεως ἕκαστον συμπαρομαρτεῖν τῷ Χρυσόχειρι ἄχρι τοῦ λεγομένου Βαθυρρύακος, κἀκεῖθεν εἰ μὲν ἐπαφήσει, φησί, κατὰ τῶν Ῥωμαϊκῶν ὁρίων στρατόν, δῆλα θέσθαι
P 572 αὐτῷ τὰ περὶ τούτου, εἰ δὲ οἴκαδε ἀμεταστρεπτὶ βαδίσειεν, ἐάσαντας τοῦτον αὖθις ἐπανελθεῖν πρὸς αὐτόν. ἑσπέρας οὖν καταλαβούσης, καὶ τοῦ βαρβαρικοῦ στρατεύματος γεγονότος κατὰ τὸν Βαθυρρύακα αὐλισαμένου τε κατὰ τὴν τοῦ ὄρους ὑπώρειαν, τῶν δὲ εἰρημένων στρατηγῶν κατασχόντων τὰ τούτου μετεωρότερα καὶ τὸ μέλλον ἀποσκοπούντων, ἐμπίπτει τις ἔρις περὶ πρωτείων καὶ ἅμιλλα τοῖς τῶν δύο θεμάτων στρατιώταις· οἱ μὲν γὰρ τοῦ Χαρσιανοῦ ἑαυτοῖς ἐνίσταντο τὰ τῆς ἀνδρίας ἁρμόζειν πρωτεῖα, ἔμπαλιν δὲ ἑαυτοῖς οἱ Ἀρμενιακοί. ὡς οὖν ἐπὶ πλεῖστον ἐχώρει τὰ τῆς φιλονεικίας καὶ πρὸς τὸ μεγάλαυχον ἑκάτερα ἔρρεπε τῶν ταγμάτων, ἐνταῦθα δὴ λέγεται παρά τινος λεχθῆναι τοῦ τῶν Ἀρμε-
B νιακῶν συστήματος ὡς ἵνα τί μάτην ὦ συστρατιῶται ἀπρεπῶς θρασυνόμεθα, ἐξὸν τοῖς ἔργοις ἀναμφισβήτητον ἀρετὴν ἐπιδείξασθαι; οἱ πολέμιοι γὰρ οὐ μακράν, καὶ ἔξεστιν ἐπὶ τῶν ἔργων φανῆναι τοὺς ἀριστεῖς. τοὺς τοιούτους τοίνυν λόγους δὶενωτισθέντες οἱ στρατηγοὶ καὶ τὴν πρὸς ἀνδρίαν ὁρμὴν κατανοήσαντες τοῦ λαοῦ, καταμαθόντες δὲ καὶ τὴν ἀπὸ τοῦ τόπου βοήθειαν, ὅτι ἐξ ὑπερδεξίων μέλλουσιν ἐπιτίθεσθαι τοῖς πολεμίοις ἐν κοίλῳ κειμένοις

palando per loca dispergi auderet. sed ubi barbarus quaedam agens, partim propositi impos, domum redire intendit ac copiosa cum praeda iter illud inivit, domesticus scholarum duobus ducibus, quorum unus Charsianis alter Armeniacis praeerat, praecipit ut cum iis quas ducebant cohortibus Chrysochirem usque ad Bathyrrhyacem pone sequantur, et si quidem is inde in Romanos agros ac fines emittat militem, sibi id significent, sin ab eo loco recta domum versus proficiscatur, ipso omisso ad se revertantur. sub vesperam cum ad dictum locum (nomen est loco ab altis inditum crepidinibus) barbari in radice montis consedissent, inter milites Romanorum, qui superiores montis partes occupaverant, de virtutis praestantia certamen incidit, utroque exercitu sibi primas fortitudinis arrogante. augescente contentione, et utroque exercitu ad maiorem prolabente iactantiam, quendam ex Armeniacis ferunt dixisse "quorsum attinet, commilitones, tam indecenter ferocire? cum liceat factis virtutem testatam reddere, hostibus in proximo versantibus, reque ipsa detur demonstrare qui virtute sint primi." ea verba cum ad aures ducum pervenissent, et alacritatem militum ad pugnam intelligerent, nec non ipsius loci opportunitatem sentirent sibi ad victoriam momentum

τόπῳ, διχῇ διαιροῦσι τὴν δύναμιν. καὶ τὸ μὲν ἔκκριτον ταύτης ἄχρις ἑξακοσίων μετ' αὐτῶν γε τῶν στρατηγῶν προσβαλεῖν ἐκρίθη τῷ τῶν βαρβάρων στρατῷ· τὸ δὲ λοιπὸν καὶ εὐαρίθμητον τῆς Ῥωμαϊκῆς στρατιᾶς εἰς δόκησιν πλήθους αὐτοῦ που σκευάσαντες πρὸς τὰ μετέωρα ἔστησαν, σύνθημα δόντες ἵν' ὅταν οὗτοι προσ- C βάλωσι τοῖς ἐχθροῖς, κἀκεῖνοι σὺν ἀλαλαγμῷ μεγίστῳ καὶ σάλπιγξιν ἐκπληκτικὴν βοὴν ἀναρρήξωσι, συνεπηχούντων καὶ τῶν ὀρέων, καὶ οὕτως ἀφανῶς διὰ τῆς νυκτὸς τῇ στρατοπεδείᾳ τῶν ἐχθρῶν πλησιάζωσι. καὶ τοιούτου δοθέντος συνθήματος, οὔπω τοῦ ἡλίου τὰς ἀκρωρείας αὐγάζοντος, βοῇ στιβαρᾷ παιανίσαντες καὶ τὸ "σταυρὸς νενίκηκε" συμβοήσαντες ἐπιτίθενται τοῖς ἐχθροῖς, συνεπαλαλαζόντων ἀπὸ τοῦ ὄρους καὶ τῶν λοιπῶν. εὐθὺς οὖν οἱ βάρβαροι τῷ ἀνελπίστῳ καταπλαγέντες, καὶ μήτε συστῆναι μήτε τὸ ἐπιὸν πλῆθος ὅσον ἐστὶ λαβόντες καιρὸν ἰδεῖν, μήτ' ἄλλο τι σωτήριον ἑαυτοῖς ἐκ τοῦ παραχρῆμα βουλεύσασθαι, ὥρμησαν πρὸς φυγήν. τῶν οὖν διωκόντων Ῥωμαίων καὶ τοὺς μὴ συνόντας D ἐπιβοωμένων στρατηγοὺς καὶ τὰ τάγματα καὶ τὸν τῶν σχολῶν ἀφηγούμενον, καθάπερ αὐτοῖς συνετέτακτο, καὶ τῶν φευγόντων εἰς πλείονα συνελαυνομένων φόβον καὶ ταραχήν, συνέβη μέχρι μιλίων τριάκοντα γενέσθαι τὴν δίωξιν καὶ τὸν μεταξὺ χῶρον ἀπείροις καταστρωθῆναι νεκροῖς.

Τότε δὴ καὶ ὁ ἀναιδὴς Χρυσόχειρ σὺν ὀλίγοις φεύγων τῶν μετ' αὐτόν, ἐπεὶ καταδιώκειν ἔγνω Ῥωμαῖον τινὰ Πουλάδην τὴν

12 συνεπαλαλαξάντων C   23 κατ'?

haud leve afferre, quod e sublimi loco in hostes erant impetum daturi, qui in valle castra habebant, exercitum omnem in duas dividunt partes, ita ut selecti ad sexcentos milites cum ipsis ductoribus in hostem irruerent, reliqui numero non multi in sublimi starent, simulata multitudine; itaque rem componunt, ut cum illi hostem adorirentur, illico hi maximo cum plausu et tubis canentibus terribilem ederent vociferationem, reboantibus simul montibus. his ita compositis, occulte per noctem, antequam sol summa montium illustraret, ad castra hostium perveniunt, magnaque voce paeanem cantantes, et "vicit crux" conclamantes, aggrediuntur hostem, simul reliquis de monte militarem conclamationem edentibus. at barbari subito re insperata perterreri, et neque inter se coire, neque contemplandae irruentium hostium multitudinis tempus habere, neque omnino quicquam salutare ex tempore consulere posse, sed fugae se dare. eos Romani insequi, et absentes simul legiones earumque duces accersere, cumque his domesticum scholarum, sicuti fuerat praeceptum. aucto fugientium pavore ac tumultu, Romani eos usque ad trigesimum miliare insequuntur, spatium intermedium innumeris hostium cadaveribus consternentes.

Tunc etiam impudens ille Chrysochir cum paucis suorum fugiens, cum instare sibi videret Puladem quendam e Romanis, quem ipse olim

προσηγορίαν, ὃν αἰχμάλωτον ἔλαβέ ποτε κατὰ τὴν Τεφρικὴν καὶ διὰ ἀστεϊσμὸν καὶ χάριτα συνήθη εἶχε καὶ γνώριμον, θεασάμενος
P 573 αὐτὸν καὶ γνωρίσας, ἐπιστραφεὶς "τί σοι" φησίν, "ὦ ἄθλιε Πουλάδη, διεπραξάμην κακόν, ὅτι με οὕτω καταδιώκεις μανιωδῶς ἐπιθυμῶν ἀνελεῖν;" ὁ δὲ συντόμως ὑπολαβών, "τῶν εὐεργεσιῶν σου, πάτρων, τὴν ἀμοιβὴν" ἔφη "ἀποδοῦναί σοι κατὰ τὴν παροῦσαν ἡμέραν πεποιθώς εἰμι τῷ θεῷ." ὁ μὲν οὖν προῄει οἷά τις ἐμβρόντητος καὶ βεβλαμμένος τὰς φρένας, ὁ δὲ ἐφείπετο μετ' εὐτολμίας νεανικῆς. τάφρῳ δὲ βαθείᾳ ὁ διωκόμενος ἐντυχών, καὶ ὑπερπηδῆσαι ταύτην τὸν ἵππον μὴ συγχωρῶν, βάλλεται κατόπιν παρὰ τοῦ Πουλάδου φθάσαντος κοντῷ κατὰ τῆς πλευρᾶς. καὶ ὁ μὲν εὐθέως περιδινηθεὶς τῷ ἀλγήματι κατερρύη τοῦ ἵππου, τῶν δὲ σὺν αὐτῷ τις (Διακονίτζης τούτῳ ἦν τὸ ἐπώνυμον) τοῦ ἵππου
B ῥίψας ἑαυτὸν ἐπιμελείας ἠξίου τὸν πεσόντα, τοῖς τε οἰκείοις γόνασι τὴν ἐκείνου κεφαλὴν ἐπιθεὶς καὶ τὸ συμβὰν ὀδυρόμενος. ἐν τοσούτῳ δὲ προσγίνονται τῷ Πουλάδῃ καὶ ἕτεροι, καὶ καθαλλόμενοι ἐκ τῶν ἵππων τὴν τοῦ Χρυσόχειρος ἀποτέμνουσι κεφαλὴν ἤδη θανατῶντος καὶ ἐκλιμπάνοντος. δεσμοῦσι δὲ καὶ τὸν Διακονίτζην καὶ τοῖς ἄλλοις αἰχμαλώτοις συγκαταλέγουσιν. εὐθὺς οὖν εὐαγγέλια πρὸς τὸν βασιλέα ἐκπέμπονται, μεθ' ὧν ἦν καὶ ἡ τοῦ Χρυσόχειρος κεφαλή. πεσόντος οὖν τοῦ Χρυσόχειρος συναπεμαράνθη πᾶσα ἡ ἀνθοῦσα τῆς Τεφρικῆς εὐανδρία. καὶ τὰ μὲν κατὰ τὴν Τεφρικὴν τοιοῦτον ἔσχε τὸ τέλος, καὶ ἐν ὥρᾳ μιᾷ ἡ ἐπὶ
C μεῖζον δόξης ἀρθεῖσα ὕψος τῶν Μανιχαίων πληθὺς ὡσεὶ καπνὸς διελύθη.

11 κοντῷ om C   13 ἦν om C   19 δεσμώταις C

in bello apud Tephricam ceperat notumque et familiarem habuerat, agnoscens hominem et ad eum conversus "quid" ait, "miser Pulades, mali tibi feci, quod me tam furiose persequeris, interficere cupiens?" cui breviter Pulades "deo" inquit "confido, hac die me tibi pro tuis meritis gratiam relaturum." pergit exinde Chrysochir attonitus ac vaecors, audacter insequente Pulade, donec ad altam fossam perventum est. eam cum transilire equum Chrysochir non pateretur, conto latus a Pulade propere ictus doloris impatientia ab equo delabitur. aderat quidam Diaconitzes nomine. is statim a suo desiliens equo Chrysochirem curandum suscipit, caputque suis genibus imponens casum hunc deplorat. interim Puladem alii socii assequuntur, et ab equis desilientes Chrysochiri iam deficienti atque moribundo caput amputant, Diaconitzem et reliquos vinciunt interque captivos statuunt. statim rei feliciter gestae nuntius ad imperatorem una cum capite Chrysochiris mittitur. atque hoc ita interfecto simul omnis Tephricae vigor atque robur elanguit. hunc ergo finem habuit Tephricana res, et ad summam elata gloriam Manichaeorum multitudo unius horae spatio in fumum abiit.

Ἰγνατίου δὲ τοῦ πατριάρχου τὴν παροῦσαν μεταλλαξαμένου ζωήν, ἀπέδωκεν αὖθις τὴν ἐκκλησίαν Φωτίῳ ὁ βασιλεύς. κατὰ τοῦτον τὸν καιρὸν ἐπιβουλὴ μηνύεται τῷ βασιλεῖ παρά τινος τῶν συνωμοτῶν, ἔξαρχον ἔχουσα τὸν πατρίκιον Ῥωμανὸν τὸν Κουρκούαν. καὶ δὴ συλληφθέντων τῶν ἐπιβουλευσάντων ὁ μὲν Κουρκούας ἐπηρώθη τοὺς ὀφθαλμούς, οἱ δὲ λοιποὶ τυφθέντες καὶ καρέντες ἐξωρίσθησαν. ὁ αὐτὸς βασιλεὺς καὶ τὸ Λοῦλον φρούριον ὑπὸ Σαρακηνῶν κατεχόμενον ἀνεκτήσατο. προσέθετο δὲ αὐτῷ καὶ τὸ Μελοῦος, καὶ δεσπότην τὸν βασιλέα ἀνηγόρευεν. ἐξεπόρ- D θησε δὲ καὶ τὴν τῶν Μανιχαίων μητρόπολιν τὴν Κάμειαν δι' ἑαυτοῦ.

Ἔαρος δὲ ἤδη λάμποντος, τὸν πρεσβύτερον τῶν υἱῶν εἰληφὼς Κωνσταντῖνον ἐκστρατεύει κατὰ Συρίας. καὶ τὴν πρὸς τῷ Ἀργαίῳ Καισάρειαν τὴν πρώτην καταλαβὼν τῶν Καππαδοκῶν, ἐκεῖσέ τε αὐλισάμενος, τὴν μὲν ἄλλην πληθὺν ταχτικαῖς ἐξεπόνει μελέταις, μοῖραν δὲ τοῦ στρατοῦ ἀποτεμὼν κατόπτας ἐξέπεμψεν. αὐτὸς δὲ κατόπιν ἐφείπετο. οἱ δὲ προόπται καὶ πρόδρομοι τὰς ἐρήμους ὀξέως διαδραμόντες φρούριον τὸ λεγόμενον Ξυλόκαστρον καὶ τὸ ἕτερον τὸ καλούμενον Φυρόκαστρον ἐξεπόρθησαν, καὶ τοὺς ἐνοίκους τούτων ἠνδραποδίσαντο. ἐφ' οἷς καταπλαγέντες οἱ τὸ τοῦ Φαλακροῦ λεγόμενον κάστρον οἰκοῦντες ἑκουσίως προσεχώρησαν τοῖς Ῥωμαίοις. ὁ δὲ τοῦ Ἄμβρωνος υἱὸς Ἀπάβδελε, ὁ τῆς Ἀναβάρζης ἀμηρᾶς, ἕως μὲν μακρὰν ἀπεῖχεν ὁ βασιλεύς, βαρ- P 574

1 ἀλλαξαμένου C 10 κάβαν C 18 φιλόκαστρον C
20 ἐκοίκους P

Ceterum Ignatio patriarcha vita defuncto, imperator Photio episcopatum reddidit. eo tempore ad imperatorem relatum est de insidiis ipsi a coniuratis quibusdam structis, principe facinoris patricio Romano, cui cognomen Curcuas. index unus eorum fuit qui conspiraverant. comprehensi insidiatores, effossi Curcuae oculi: reliqui verberati et tonsi relegati sunt. idem imperator etiam Lulum castellum a Sarracenis occupatum recepit. et Meluus castellum se ei dedidit, eumque pro domino suo agnovit. Manichaeorum porro metropolin Cameiam ipse excidit.

Veris initio, Basilius assumpto filio suo Constantino natu maximo expeditionem in Syriam suscepit; occupataque Caesarea, quae ad Argaeum est prima Cappadociae urbs, stativa ibi habuit, cohortesque ordinum disciplina exercuit. aliquam deinde partem exercitus speculatum emisit, ipse subsequens. quos speculatum missos dixi, ii per solitudines summa celeritate profecti Xylocastrum et Phyrocastrum castella evastarunt, incolasque captivos abduxerunt. qua re perterriti qui Phalacrum castellum tenebant, ultro se Romanis dediderunt. at Ambronis filius Ababdeles, Anazarbi ameras, quamdiu procul abfuit Basilius, bar-

βαρικῶς ἐθρασύνετο, ἐπεὶ δὲ ἤγγιζε, τῷ τῶν Μελιτηνῶν στίφει συμμίξας φυγῇ τὴν μετ' αὐτοῦ σωτηρίαν ἐπραγματεύσατο. ὁ δὲ βασιλεὺς τήν τε Κασάμαν ἐξεπόρθησε καὶ τὴν Καρβὰν τὴν Ἀρδαλάν τε καὶ τὴν Ἐρημοσυκέαν, ὁπηνίκα καὶ Σίμας ἐκεῖνος ὁ τοῦ Ταήλ, τὰς δυσχωρίας κατέχων τοῦ Ταύρου καὶ ἐξ ἐφόδου τὰς τῶν Ῥωμαίων λυμαινόμενος ἐσχατιάς, πρὸς τὸν βασιλέα κατέφυγε. μετὰ ταῦτα τὸν Ὀνοπνίκτην λεγόμενον ποταμὸν καὶ τὸν Σάρδον διαπεράσας ὁ βασιλεὺς μετὰ τοῦ στρατοῦ ἦλθεν εἰς Κουκουσόν, καὶ τὰς ἐκεῖ λόχμας ἀποκαθάρας καὶ τὴν ἄβατον εὐπόρευτον πε-
B ποιηκὼς τῶν ἐνταῦθα λόχων ἐκράτησε. πρὸς δὲ τὴν Καλλίπολιν καὶ Παδασίαν φθάσας, δυσβάτοις δὲ περιτυχὼν καὶ ἀποκρήμνοις ὁδοῖς, τοὺς ὑπὸ χεῖρα παραμυθούμενος πεζῇ καὶ βάδην αὐτὸς προεπορεύετο τοῦ στρατοῦ. ὑπερβὰς δὲ τὰ στενὰ τοῦ Ταύρου τῇ Γερμανικείᾳ προσβάλλει. ἐπεὶ δὲ τὸ ἀνθιστάμενον ἅπαν τοῖς τείχεσι συνεκλείετο καὶ οὐδεὶς ἐτόλμα πρὸς χεῖρας ἐλθεῖν, τὰ πρὸ τῆς πόλεως κάλλη κείρας καὶ πυρὶ παραδοὺς πρὸς Ἀδάπαν παρεγένετο τὴν πόλιν. καὶ τῶν ταύτης δὲ ἐποίκων μὴ τολμώντων ἐν τοῖς ὑπαίθροις διαγωνίζεσθαι ἀλλ' εἴσω συνελαθέντων τειχῶν, τὰ
C ἔξω τῆς πόλεως ληϊσάμενος καὶ ἀποτεφρώσας, ἐκπολιορκήσας δὲ καὶ τὸ πολίχνιον ὃ Γέροντα ἐκάλουν, καὶ διαρπάσαι ἐφεὶς τοῖς στρατιώταις, τελευταῖον αὐτοῖς προσβάλλει τοῖς τείχεσι, καὶ παντοδαπὰς προσέφερε μηχανάς, καὶ ἐνεργὸς ἦν ἐν τῇ πολιορκίᾳ, ἐλπίδας οὐ μικρὰς ἔχων αἱρήσειν τὴν πόλιν διὰ τὸ τῆς περὶ αὐτὸν δυνάμεως βάρος. εὐρώστους δὲ τοὺς ἔνδον εὑρὼν καὶ ἀδεῶς τὰ

20 φρούριον C

barice ferociens, ubi is appropinquavit, Melitenorum turmae se immiscuit, cumque ea fugiendo saluti suae consuluit. Basilius Casamanem Carbanem Ardalam et Eremosycaeam excidit. atque tum ad eum confugit Simas ille Taeli filius, qui Tauri montis angustias insidens in Romanorum fines solitus erat grassari. secundum haec imperator Onopnicten fluvium et Sardum traiecit cum exercitu, pervenitque ad Cucusum, et saltibus ibi repurgatis invia loca itineribus commoda redegit, et quae ibi erant insidiis apta loca in potestatem suam recepit. inde ad Callipolin et Padaseam profectus, cum in transitu difficilia quaedam incidisset praecipitia, suos consolatus pedes lento ingressu ante exercitum ivit; superatisque Tauri angustiis ad Germaniciam accessit. cumque hostes intra muros se continerent, nemoque manum conferre auderet, suburbiis direptis atque incensis ad urbem Adapam venit. cumque hic etiam oppidani moenibus se tuerentur, quae extra urbem erant depraedatus incendit; oppidulum cui nomen Geron expugnavit, militibusque diripiendum tradidit. tandemque adhibitis machinis muros Adapae aggressus oppugnationem undique acrem instituit: nam suarum copiarum robur in spem eum haud exiguam urbis potiundae adducebat. cum autem

προσπίπτοντα φέροντας, ἀνοχὴν τῷ πολέμῳ δοὺς ἐπυνθάνετο τῶν ἔνδον ἐφ' ὅτῳ πεποιθότες, τῆς πατρίδος αὐτῶν ἤδη μελλούσης παραλαμβάνεσθαι, ὀλίγον αὐτοῦ λόγον ποιούμενοι φαίνονται· πρὸς ὃν ἀπεκρίνατό τις τῶν γεραιτέρων πληροφορίαν ἐσχηκέναι οὐχ ὑπὸ σοῦ πολιορκηθῆναι νῦν τὴν πόλιν, ἀλλ' ὑφ' ἑτέρου τινὸς πεπρωμένον D εἶναι ταύτην ληφθῆναι κατὰ γένος σοι προσήκοντος (Κωνσταντῖνος τούτῳ τὸ ὄνομα), καὶ διὰ τοῦτο μὴ καταπλήττεσθαι τοῖς προσπίπτουσι. τοῦ δὲ τὸν υἱὸν ἐπιδείξαντος καὶ ὡς Κωνσταντῖνος καλεῖται εἰπόντος, οὐ τοῦτον ὁ ἐξηγούμενος ἔλεγεν εἶναι τὸν Κωνσταντῖνον ὃς αὐτῶν μέλλει ποιῆσαι τὴν πόλιν ἀνάστατον, ἄλλον δέ τινα μετὰ χρόνον συχνὸν καὶ τῶν ἀπογόνων τῶν σῶν. ἐφ' οἷς ὁ βασιλεὺς ὀργισθείς, καὶ ἔργοις ἐξελέγξαι βουληθεὶς ψεῦδος τὴν πρόρρησιν, συντονώτερον ἥπτετο τῆς πολιορκίας. ὡς δὲ πάντων πονούντων μὴ προβαίνουσαν ἑώρα τὴν σπουδήν, ἐπεγένετο δὲ κρύος ἀμήχανον, τοὺς ἐν ὑπαίθρῳ σφοδρῶς λυμαινόμενον, ἔλυσε τὴν πολιορκίαν. ἐν δὲ τῷ ὑποστρέφειν τὸ πολὺ P 575 τῶν αἰχμαλώτων διὰ τὸ βάρος ξίφει κελεύσας ἀποφορτίζεσθαι, τῆς πρὸς τὴν βασιλεύουσαν εἴχετο, πολὺ δέος τοῖς ἐκ τῆς Ἄγαρ καταλιπών. προσδοκήσας δὲ ἐπιθήσεσθαι αὐτοῖς κατὰ τὰ στενά, λόχους ἐν τοῖς ἐπικαίροις ἀφεὶς πολλοὺς τῶν ἐλλοχώντων ἐζώγρησε. πρὸς ἅπερ Ἀβδελομέλερ ὁ τοῦ τόπου κατάρχων ἀπειρηκώς, πρέσβεις ἐκπέμψας ἀδείας καὶ εἰρήνης ἐδεῖτο τυχεῖν· οὗ τὴν δέησιν δεξάμενος ὁ βασιλεὺς σύμμαχον αὐτὸν τὸ ἀπὸ τοῦδε ἔσχε

3 ἁλῶναι C   20 λόχοις μὲν τοῖς C   ἐλλοχ.] ἐπικαίρων C

videret obsessos fortiter et impavide oppugnationem ferre, factis indutiis eos percontatus est cuinam rei fidentes, patriae imminente exitio, tam securis essent animis. respondit quidam de senioribus certos se esse urbem non ab ipso in praesentia, sed ab alio quodam genus ad ipsum referente, nomine Constantino, expugnatum iri; itaque se non terreri hac oppugnatione. cumque Basilius filium iis suum demonstrasset, atque hunc Constantinum vocari dixisset, non hunc esse illum Constantinum collocutor iste respondit, urbis huius eversorem, sed alium quendam fore multo post tempore, ex posteritate Basilii. ira commotus ob haec imperator, falsumque esse hoc vaticinium re ipsa ostendere cupiens, maiori quam antea vi oppugnationi incubuit: sed cum defatigantibus se omnibus nihil effici videret, simulque gelu ingens obortum sub dio versantes affligeret, obsidionem solvit domumque versus suos abduxit. inter revertendum multitudinem captivorum, quod oneri erat, ferro obtruncari iussit. itaque levato exercitu iter ad urbem institutum prosecutus est, magno Agarenis terrore incusso. quos cum insidias sibi in angustiis structuros praesagiisset, suis militibus ad opportuna loca dimissis insidiatorum multos vivos cepit. quibus rebus Abdelomeleri, qui iis locis praeerat, animus ita est fractus ut missis legatis veniam pacemque petiverit. assensitque imperator, et hunc deinde spontaneum

κατὰ τῶν ὁμοφύλων ἐθελοντήν. ἐκεῖθεν τὸν Ἀργαῖον διελθών, πρὸς Καισάρειαν γενόμενος ἔκ τε Κολωνείας καὶ Μεσοποταμίας ἐπινικίους ἀγγελίας ἐδέξατο, κομισθέντων αὐτῷ λαφύρων καὶ B αἰχμαλώτων πολλῶν Κουρτῶν τε καὶ Σαρακηνῶν, οὓς ἅπαντας τῷ ξίφει ἀπεσκευάσατο· ἦν γὰρ προκαταπεπλησμένον τὸ στράτευμα λαφύρων ἀπό τε Συρίας καὶ Τεφρικῆς, καὶ οὐκ ἐβούλετο καὶ τούτους ἔχειν δύσχρηστον παρακολούθημα. ἐν Μηδαίῳ δὲ γενόμενος, καὶ τιμὰς διανείμας τοῖς ἀριστεῦσι, καὶ πρὸς παραχειμασίαν ἐκπέμψας, αὐτὸς εὔζωνος πρὸς τὴν βασιλεύουσαν ἔφθασε, καὶ κατὰ τὸ εἰωθὸς διὰ τοῦ πατριάρχου τὸν τῆς νίκης ἐδέξατο στέφανον καὶ παρὰ τοῦ πλήθους τὰς ἐπινικίους ᾠδάς.

Ἤδη δὲ τῆς Τεφρικῆς ἀπομαρανθείσης ἡ τῶν Ταρσιτῶν ἰσχὺς θάλλειν καὶ αὐξάνεσθαι ἤρχετο, καὶ πάλιν ἀπὸ τούτων αἱ C τῶν Ῥωμαϊκῶν ὁρίων ἐσχατιαὶ δεινῶς ἐπιέζοντο. καθ' ὧν Ἀνδρέας ἐκεῖνος ὁ στρατηλάτης ὁ ἐκ Σκυθῶν πολλάκις ἠνδρίσατο, καὶ πολλοὺς τῶν εἰς προνομὴν ἐκτρεχόντων ἀνῄρει καὶ αἰχμαλώτους ἐλάμβανεν· ὃν ὁ βασιλεὺς πατρικιότητί τε ἐτίμησε καὶ εἰς τὴν ἀρχὴν τῶν σχολῶν προβιβάζει. τότε δὴ μᾶλλον ὁ Ἀνδρέας ἀπὸ μείζονος ἐξουσίας τε καὶ δυνάμεως ἐμφανέσι μάχαις πολλάκις πρός τε τοὺς ἀπὸ Μελιτηνῆς καὶ τοὺς ἀπὸ Ταρσοῦ παρετάξατο καὶ νενίκηκε. καί ποτε μετὰ φρυάγματος γράμματα πέμψαντος τῷ Ἀνδρέᾳ τοῦ ἀμηρεύοντος τῆς Ταρσοῦ, βλασφημίας ἀνάπλεα, δηλοῦντα ὡς ἴδω εἴ σε ὁ τῆς Μαρίας ὠφελήσει υἱὸς καὶ ἡ τούτου

7 μηδαείῳ C 16 ἠχμαλώτευεν C 22 καὶ βλ. ἀνάπλεω C

contra eius gentiles socium habuit. inde per Argaeum profectus ad Caesaream venit, ibique et ex Colonia et ex Mesopotamia nuntios rei feliciter gestae accepit, allatis simul spoliis ac multis captivis Curtis atque Sarracenis, quos omnes gladio occidi iussit: nam exercitus iam ante spoliis onustus erat Syriacis atque Tephricanis, et nolebat imperator captivorum inutilem secum trahere catervam. ut ad Medaeum pervenit, praemia iis quorum virtus in bello fuerat eximia divisit; militibusque hiematum dimissis, ipse expedito cum comitatu Cpolin rediit, ibique de more victoriae coronam a patriarcha accepit, et populus ei cantilenis gratulatus est.

Tephrica hoc modo abolita, Tarsensium vires florere ac invalescere coeperunt, rursumque ab his Romanorum fines graviter infestari. contra hos Andreas Scytha saepenumero rem fortiter gessit, multosque eorum qui praedatum excurrebant interfecit aut cepit; itaque eum imperator patricia dignitate cohonestatum scholis praefecit. atque Andreas nactus maiorem iam potestatem, viribusque auctus, iustis praeliis aliquoties cum Melitenis ac Tarsensibus congressus victoriam reportavit. misit aliquando Tarsi ameras superbas ad Andream literas, plenas contumeliarum impiarum. inter alia scripserat "experiar an tibi sit commodaturus Mariae filius eiusque mater, ubi meas copias adversus te

τικοῦσα, ὅταν ἐξέλθω κατά σου μετὰ τῆς περὶ ἐμὲ δυνάμεως, τὸ D λοίδορον γραμμάτιον οὗτος δεξάμενος τῇ εἰκόνι τῆς θεομήτορος ἀπεκρέμασεν, εἰπών "ἴδε ὦ μῆτερ τοῦ λόγου τε καὶ θεοῦ, καὶ σὺ ὁ ταύτης υἱός τε καὶ θεός, οἷα ὠνείδισε καὶ ἐφρυάξατο κατὰ σοῦ καὶ τοῦ σοῦ περιουσίου λαοῦ ὁ βάρβαρος οὗτος καὶ ἀλαζών." ταῦτα δὲ εἰπών, ἄρας τὰς Ῥωμαϊκὰς δυνάμεις ἐπῄει κατὰ Ταρσοῦ. καὶ δὴ κατὰ τὸ Ποδανδὸν γενόμενος κἀκεῖ τοῖς ἐναντίοις συμμίξας τρέπεται φόνῳ πολλῷ τὸ τῶν βαρβάρων πλῆθος, πρότερον αὐτοῦ πεσόντος τοῦ ἀμηρᾶ· ὀλίγοι δέ τινες μόγις πρὸς Ταρσὸν ἀποσώζονται. θάψας δὲ τοὺς οἰκείους, καὶ τοὺς πολεμίους εἰς ἕνα χῶρον συναγαγών, καὶ μέγαν ποιησάμενος κολωνὸν P 576 εἰς στήλην καὶ τοῖς μετέπειτα, πρὸς τὰ οἰκεῖα ὑπέστρεψε μετὰ λαφύρων καὶ αἰχμαλωσίας πολλῆς. ἔγραψε δὲ καὶ τῷ βασιλεῖ δηλοποιήσας τὴν νίκην. οἷα δὲ φιλεῖ ποιεῖν ὁ φθόνος, διαβάλλουσιν οἱ πονηροὶ τὸν ἄνδρα πρὸς βασιλέα, καὶ ῥᾴδιόν οἱ κατασχεῖν λέγοντες τὴν Ταρσόν, ὁ δὲ μελλήσει καὶ ῥᾳθυμίᾳ προήκατο τὸν καιρόν. ὑφ' ὧν πολλάκις λεγομένων ἀναπεισθεὶς ὁ βασιλεὺς παραλύει τῆς ἀρχῆς τὸν ἄνδρα, καὶ ἀντ' ἐκείνου προβάλλεται τὸν Στυπειώτην λεγόμενον, τήν τε Ταρσὸν ἐξελεῖν ὑπισχνούμενον καὶ ἄλλα πολλὰ φρυαττόμενον. ὃς αὐτίκα παραλαβὼν τὰς δυνάμεις ἦγε κατὰ Ταρσοῦ, μηδὲν στρατηγικὸν ἐννοήσας μηδὲ εὐβουλίας ἐπάξιον. πλησίον δὲ γενόμενος τῆς Ταρσοῦ αὐλίζεται κατά τινα B τόπον ὃς Χρυσόβουλλον λέγεται, μήτε τάφρον ἀξιόλογον μήτε

9 αὐτῷ C   11 μέγα C

eduxero." eam epistolam Andreas imagini deiparae suspendit, ita fatus "verbi ac dei genitrix, tuque deus eius fili, vide ut conviciatus est et quam insolenter infremuit iactabundus ille barbarus contra te et peculiarem tuum populum." statim deinde exercitum suum ad Tarsum duxit. cumque ad locum cui Podando nomen est venisset, in adversos hostes incidit, pugnaque conserta ingentem eorum stragem edidit, in primis ipso etiam amera interfecto, paucisque fuga Tarsum elapsis. ibi tum suos humavit, et cadaveribus hostium in unum congestis acervum magnum tumulum ac columnam excitavit ad victoriae memoriam; atque ad sua reversus multis cum captivis et ampla praeda, imperatorem per literas de re gesta certiorem reddidit. hic suum tenuit morem invidia; inventique maligni homines, qui Andream apud Basilium criminarentur, facile ei fuisse dicentes Tarso potiri, nisi ob ignaviam cunctando occasionem perdidisset. atque his calumniis crebro inculcatis persuasum est imperatori ut imperium abrogaret Andreae. in eius locum sufficit Stypeiotam, statim se Tarsum occupaturum aliaque multa ferociter iactantem. is ergo Stypeiota confestim exercitum ad Tarsum ducit, nulla prorsus imperatoria calliditate, nullo usus consilio; cumque Tarso appropinquasset, castra eo loco qui Chrysobullum dicitur ponit, neque

στρατοπεδείαν ὀχυρὰν προστησάμενος. ὃν κατανοήσαντες οἱ Ταρσεῖς ἀμελῶς διακείμενον ἐπιτίθενται τούτῳ νυκτὸς στρατηγήματι χρησάμενοι τοιούτῳ. ὀλιγανδροῦντες γὰρ οἱ τοιοῦτοι ἐκ τῆς πρὸς Ἀνδρέαν ἥττης καὶ μὴ ὄντες ἀξιόμαχοι πρὸς παράταξιν, ἵππους συναγαγόντες συχνοὺς καὶ βύρσας ξηρὰς ἐξάψαντες ἀπὸ τῶν ἱππείων οὐρῶν, ὑφ' ἓν παράγγελμα κατὰ πολλὰ τοῦ Ῥωμαϊκοῦ στρατοπέδου ἐπαφιᾶσι μέρη, ὄπισθεν δὲ αὐτοὶ ταῖς σάλπιγξι καὶ τοῖς τυμπάνοις ἐπιδουπήσαντες μέσον τοῦ χάρακος γυμνοῖς τοῖς ξίφεσιν εἰσεπήδησαν. ταραχῆς οὖν συμπεσούσης τῷ τῶν Ῥωμαίων C στρατεύματι, καὶ δειλίᾳ συνταραχθέντων ὁμοῦ καὶ τῶν ἀνδρῶν καὶ τῶν ἵππων καὶ ἀλλήλοις περιπιπτόντων, συνέβη τοὺς βαρβάρους κρατῆσαι καὶ φόνον ἄπειρον ἀπεργάσασθαι τῶν Ῥωμαίων, τῶν πλείστων δυσκλεῶς συμπατουμένων καὶ συμπνιγομένων ὑφ' ἑαυτῶν. οὕτω δὲ παραδόξως κρατήσαντες οἱ Ταρσεῖς καὶ τὴν Ῥωμαϊκὴν ἰσχὺν κατακόψαντες βαρβαρικοῖς ἀλαλαγμοῖς ἐπαιάνιζον.

Καὶ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον οὕτως εἶχε, τὰ δὲ πρὸς ἑσπέραν ἄπεισι λέξων ὁ λόγος. καὶ τούτων γάρ, ὁμοίως τοῖς λοιποῖς, ἐπὶ πλέον ἀμεληθέντων ἐπὶ τῆς βασιλείας τοῦ Μιχαήλ, καὶ D πάσης σχεδὸν ὅση τῇ βασιλείᾳ Ῥωμαίων ἀνήκει Ἰταλίας, καὶ τῶν πλείστων τῆς Σικελίας ὑπὸ τῆς τῶν Καρχηδονίων δυνάμεως καταπολεμηθείσης καὶ ὑποφόρου τοῖς βαρβάροις γενομένης, ἔτι δὲ καὶ τῶν ἐν Παννονίᾳ καὶ Δαλματίᾳ καὶ τῶν ἐπέκεινα τούτων διακειμένων Σκυθῶν, Χρωβάτων φημὶ καὶ Σέρβων καὶ Ζαχλούβων

3 γὰρ οἱ τοιοῦτοι om C 21 γεγενημένης C 22 Παιονία C 23 χωροβάτων C

fossa satis ea neque excubiis muniens. cuius incuriam cum observassent Tarsenses, per noctem eum adoriuntur, tali commento usi. quia accepta ab Andrea clade ad exiguum redacti numerum pugnae sustinendae pares non erant, multis conductis equis ab eorum caudis sicca coria suspendunt, simulque eos ad varias castrorum Romanorum partes dimittunt: ipsi a tergo eorum, tubis ac tympanis sonitum edentes, strictis cum gladiis in media castra insiliunt. orta proinde in exercitu Romano trepidatione, et per tumultum viris equisque in se confuse incidentibus, factum est ut barbari vincerent immensamque Romanorum caedem peragerent, plerisque a suis inglorie obtritis atque suffocatis. Tarsenses hac inopinata potiti victoria, et conciso Romano exercitu, barbarica conclamatione et strepitu paeanem cecinerunt.

Hic tum status rerum in Oriente fuit. nunc res in Occidente ut habuerint, exponemus. cum has quoque, perinde ac cetera omnia, Michaelus imperator neglexisset, omnis prope quae ad Romanum pertinebat imperium Italia et pleraeque Siciliae partes a Carthaginensibus debellatae et tributariae barbaris factae erant. ad haec Scythae, qui in Pannonia Dalmatia ulterioribusque degebant regionibus, Chrobatae in-

Τερβουνιωτῶν τε καὶ Καναλιτῶν καὶ Διοκλητιανῶν καὶ Ῥεντανῶν, τῆς ἀνέκαθεν Ῥωμαίων ἐπικρατείας ἀφηνιασάντων καὶ αὐτονόμων καθεστηκότων, συνεπέθεντο μετὰ τοῦ καιροῦ καὶ οἱ ἀπὸ Καρχηδόνος Ἀγαρηνοί. καὶ ἄρχοντας ἐπιστήσαντες τόν τε Σολδάνον καὶ Σάβαν καὶ τὸν Καλφοὺς, ἐμπειρίᾳ πολεμικῇ διαφέρειν μεμαρτυρημένους τῶν ὁμοφύλων, ἓξ καὶ τριάκοντα πλοίων πολεμικῶν P 577 κατὰ Δαλματίας στόλον ἀπέστειλαν, ὑφ' οὗ διάφοροι πόλεις ἑάλωσαν Δαλματῶν, οἷον ἧτε Βούταμα, ἡ Ῥῶσα καὶ τὰ κάτω Δεκάταρα. προχωρούντων δὲ κατὰ νοῦν τῶν πραγμάτων τοῖς Ἀγαρηνοῖς, ἦλθον καὶ ὑπὸ τὴν τοῦ ὅλου ἔθνους μητρόπολιν ἣ Ῥαούσιον λέγεται, καὶ ταύτην ἐπὶ χρόνον ἐπολιόρκουν πολὺν, ἐκθύμως τῶν ἔνδον ἀγωνιζομένων. ἐπεὶ δὲ χρόνον ταλαιπωρούμενοι οἱ Ῥαούσιοι εἰς τὰς ἐσχάτας συνηλαύνοντο ἀπορίας, πέμπουσι πρέσβεις ἐς βασιλέα ὑπὸ τῆς ἀνάγκης στενοχωρούμενοι, ἐπαμῦναι παρακαλοῦντες τοῖς κινδυνεύουσιν ὑποχειρίοις γενέσθαι τῶν ἀρνητῶν τοῦ Χριστοῦ. μήπω δὲ τῶν πρέσβεων ἀφικομένων Μιχαὴλ μὲν ὁ βασιλεὺς θνήσκει, καταλαμβάνουσι δὲ τὸν Βασίλειον οἱ B πρεσβευταί. ὧν ἐπιμελῶς ἀκροασάμενος καὶ ὅλος τοῦ πάθους γενόμενος, στόλον ἐξαρτυσάμενος νεῶν ἑκατὸν καὶ ἄνδρα τούτοις ἐπιστήσας ἐμπειρίᾳ καὶ συνέσει τῶν πολλῶν διαφέροντα τὸν πατρίκιον Νικήταν καὶ δρουγγάριον τῶν πλωΐμων τὸν τὴν ἐπωνυμίαν Ὠορύφαν, κατὰ τῶν πολεμίων ἐκπέμπει. οἱ δὲ τῇ πολιορκίᾳ τοῦ Ῥαουσίου προσμένοντες Ἀγαρηνοὶ διά τινων αὐτομόλων μα-

5 καλφᾶς C   δοκοῦντας C   8 βούτομα C   9 δεκάτορα C
ῥοῦν C   11 ἐκθύμων C   12 χρόνῳ C   14 ὡς C
19 νηῶν C   22 Ὀρύφαν P

quam, Servi Zachlubi Terbuniotae Canalitae Diocletiani atque Rentani, Romani imperii, cui antiquitus suberant, iugo excusso in libertatem sese asseruerant. quos capta occasione adorti Carthaginenses Agareni, creatisque ducibus Soldano Saba et Calphuso, qui inter gentiles peritiae bellicae primas absque controversia tenebant, classe armata navium 36 emissa, multas Dalmatiae urbes ceperunt, inque his Butamam Rosam et Decataram inferiorem. ita prospere succedentibus rebus Agareni Ragusium quoque totius gentis caput aggressi longo tempore obsederunt, fortiter urbem defendentibus qui intus erant. hi cum aerumnis diu toleratis tandem in extremo essent constituti discrimine, necessitate urgente legatos ad imperatorem mittunt, petentes sibi subveniri, ne in potestatem hostium Christum diffitentium redigantur. antequam legati venirent, iam Michaeli obitu imperium Romanum Basilius occupaverat. is legatos attente audivit, totusque eorum miseratione concitus classem 100 navium comparat, eamque duce Niceta patricio et drungario rei navalis, cognomine Orypha, peritia ac prudentia singulari viro, in barbaros emittit. Agareni, quos in obsidenda urbe perseverasse diximus, cum ex transfugis cognovissent Ragusinorum ad imperatorem legatos

θόντες τὴν πρὸς τὸν βασιλέα τῶν Ῥαουσίων πρεσβείαν, ἀπεγνω-
κότες δὲ καὶ τὴν σύντομον ἅλωσιν, τοῦτο δὲ καὶ τὴν ἐκ βασιλέως
φοβηθέντες ἀφίξεσθαι μέλλουσαν βοήθειαν, λύουσι τὴν πολιορ-
C κίαν, κατὰ δὲ τὴν Ἰταλίαν, ἣ νῦν Λαγγοβαρδία ὠνόμασται, δια-
περάσαντες τὸ κάστρον τῆς Βάρεως ἐξεπόρθησαν καὶ αὐτόθι κα-
τασκηνώσαντες, καὶ τοῖς ἐγγίζουσι καθ' ἑκάστην ἐπιτιθέμενοι καὶ
ἀεί τι προσλαμβάνοντες, πᾶσαν τὴν Λαγγοβαρδίαν ἄχρι καὶ αὐ-
τῆς τῆς ποτὲ μεγαλοδόξου Ῥώμης ἐκράτησαν.

Τὸ δὲ γενόμενον ἐν Δαλματίᾳ παρὰ τῆς Ῥωμαϊκῆς ἐπικου-
ρίας καὶ τὰ προμνημονευθέντα γένη τῶν Σκυθῶν θεασάμενα, οἵ
τε Χρωβάτοι καὶ Σέρβοι καὶ οἱ λοιποί, πρέσβεις πρὸς βασιλέα
στέλλουσιν ἀξιοῦντες ζεύγλῃ τῆς Ῥωμαϊκῆς ἐξουσίας ὑπεισελθεῖν·
D ὧν ὡς εὐλόγου τῆς δεήσεως ἐπακούσας ὁ βασιλεὺς φιλανθρώπως
αὐτοὺς προσεδέξατο, καὶ πάντες τῇ Ῥωμαϊκῇ ἐπανῆλθον ἀρχῇ,
δεξάμενοι ἄρχοντας τῶν οἰκείων καὶ ὁμοφύλων. τῶν δὲ περικαθη-
μένων Ἀγαρηνῶν τὸ Ῥαούσιον ἔτι περὶ τὴν Ἰταλίαν διατρεχόν-
των καὶ συνεχῶς κατατριβόντων αὐτήν, φροντίζων ὁ βασιλεὺς
ὅπως τούτους ἀποσκευάσηται, ἐπεὶ ἐγίνωσκε μὴ ἀξιόμαχον εἶναι
τὸν μετὰ τοῦ Ὠορύφα στόλον, πρὸς Δολῖχον τὸν ῥῆγα Φραγγίας
καὶ τὸν πάπαν Ῥώμης διαπρεσβεύεται, συνεπικουρῆσαι ταῖς ἑαυ-
τοῦ δυνάμεσιν ἐξαιτῶν καὶ μετὰ τούτων κατὰ τῶν ἀθέων συμ-
παρατάξασθαι, καὶ τὰς ὀλίγῳ πρόσθεν μνημονευθείσας χώρας
τῶν Σθλαβηνῶν κελεύσας συνεπιλαβέσθαι τοῦ ἔργου καὶ τοὺς τοῦ

11 χροβάτοι C 19 Ὀρύφα P δολοῖχον C

ivisse, de urbe cito expugnanda desperantes et auxilia missurum ei imperatorem metuentes, obsidionem solvunt, et ad Italiae eam partem quae Longobardia hodie dicitur navigantes Barin castrum occupant, ibique consident. inde paulatim proxima quaeque aggressi et potiti, universam Longobardiam, et aliquando quidquid ad ipsam usque Romam olim gloriosissimam interest regionis, obtinuerunt.

At Chrobati Servi reliquaeque Scythicae quas supra nominavimus gentes, cum vidissent quomodo missis a Romano imperatore auxiliis res in Dalmatia acta esset, missis ad eum legatis petunt rursus sub iugum Romanae potestatis se recipi. quorum honestam indicans petitionem Basilius humaniter assensit. ita istae gentes omnes sub imperium Romanum redierunt, iisque praefecti ex ipsarum corpore dati. cum autem qui Ragusium obsederant Agareni adhuc per Italiam discursarent, eamque continentibus damnis attererent, Basilius de iis profligandis cogitans, sentiensque classem Oryphae ad hoc conficiendum non satis habere virium, per legatos a Dolicho Franciae rege et a papa Romano contendit ut sibi in excindendis impiis hostibus auxilia praebeant. Slavinis quoque istis, quas paulo ante commemoravimus, gentibus praeci-

Ῥαουσίου οἰκήτορας. ὧν ὁμοῦ πάντων γεγενημένων καὶ μεγάλης
ἀθροισθείσης δυνάμεως, ἐπεὶ καὶ ὁ Ῥωμαίων ναύαρχος ἐμπειρίᾳ P 578
στρατηγικῇ ἐκεκόσμητο, θᾶττον ἡ Βάρις ἁλίσκεται. τὸν δὲ Σολ-
δάνον καὶ τὸν ὑπ' αὐτὸν λαὸν τῶν Ἀγαρηνῶν ὁ ἄρχων Φραγγίας
ἀναλαβόμενος αἰχμαλώτους ἐπ' οἶκον ἀπήγαγε. καὶ ἡ μὲν κατὰ
τὴν ἑσπέραν πρώτη στρατεία τῷ Βασιλείῳ τοιοῦτον πέρας ἐδέ-
ξατο.

Ὁ δὲ Σολδάνος αἰχμάλωτος, ὡς εἴρηται, παρὰ τοῦ ῥηγὸς
ληφθεὶς καὶ ἐν Καπύῃ ἀχθείς, ἐπὶ διετίαν ὅλην ἐνδιατρίψας οὐδέ-
ποτε παρά τινος ὤφθη γελῶν. ὁ δὲ ῥὴξ τῷ κατάφωρον αὐτὸν
γελῶντα πεποιηκότι χρυσίου δόσιν κατεπηγγείλατο. προσήγγειλεν
οὖν τίς ποτε τῷ ῥηγὶ γελῶντα τὸν Σολδάνον θεάσασθαι, καὶ τού-
του παρείχετο μάρτυρας. ὃν καλέσας ὁ ῥὴξ τὴν μεταβολὴν τοῦ B
γέλωτος ἐπυνθάνετο. ὁ δὲ "ἅμαξαν" φησὶ "κατιδὼν καὶ τοὺς
ταύτης κατανοήσας τροχούς, πῶς ὁ μὲν ταπεινὸς αἴρεται ὁ δὲ
μετέωρος ταπεινοῦται, καὶ ὡς εἰκόνα ταύτην λαβὼν τῆς ἀσταθμή-
του καὶ ἀβεβαίου τῶν ἀνθρώπων εὐδαιμονίας, ἐγέλασα, ἅμα μὲν
ἐνθυμηθεὶς πῶς ἐφ' οὕτως ἀβεβαίῳ πράγματι ἐπαιρόμεθα, ἅμα
δὲ καὶ οὐκ ἀδύνατον οἰηθεὶς τὸ καὶ ἐμέ, ὥσπερ ἐκ μετεώρου γε-
γονότα ταπεινόν, οὕτως καὶ ἐκ τοῦ χαμερποῦς ἐνδέχεται πάλιν
ἀρθῆναι πρὸς τὸ μέγεθος." τούτου ἀκούσας ὁ ῥὴξ καὶ ἔννοιαν
τῶν οἰκείων λαβών, συνετόν τε τὸν ἄνδρα λογισάμενος διά τε τὴν
προηγησαμένην ἀρχὴν καὶ τὸ γῆρας καὶ τὸ εὐτυχίας τε ἅμα καὶ C

1 φουσίου C 3 στρατηγικῇ ἐμπειρίᾳ C σουλδὰν C
8 σουλδάνος C 12 σουλδάνον C 13 κελεύσας C

pit, ac Ragusinis, ut institutum suum iuvent. hoc modo coniunctis viribus ingens est contractus exercitus; cumque classis Romanae praefectus peritia rei bellicae polleret, mox capta est Baris. Soldanum, et qui sub eo militabant Agarenos, Franciae rex captivos secum abduxit. hunc exitum prima Basilii in Occidentem expeditio habuit.

Soldanus autem a rege Franciae Capuam captivus abductus toto biennio nunquam ridere visus est. itaque rex ei qui effusum Soldano risum concitasset, aureum munus promisit. cum autem quidam regi narraret vidisse se Soldanum ridentem, testemque rei produxisset, vocavit ad se rex Soldanum, causamque mutationis quaesivit. ibi Soldanus "currum" inquit "contemplabar eiusque rotas, ut earum aliae partes in imum aliae in summum obverterentur; atque hanc ego incertae inconstantisque hominum felicitatis imaginem sentiens risi, cumque in mentem mihi veniret quam instabili nos de re superbiremus, tum simul etiam hoc fieri posse indicans, ut quomodo ex summo infimus sum factus, ita ex humili rursum loco ad prius attollar fastigium." his auditis rex de suo quoque statu cogitans, Soldanumque et ob gestum ante imperium et ob senectutem ac utriusque fortunae peritiam virum iudi-

δυστυχίας πειραθῆναι, παρρησίας τε μετεδίδου αὐτῷ καὶ συνδιαιτήσεως. ὁ δὲ δόλιος ὢν καὶ πανοῦργος μηχανὴν ῥάπτει κατὰ τοῦ ῥηγός, ἥτις τὸν μὲν ῥῆγα τῆς Καπύης ἐδίωξεν, ἑαυτῷ δὲ τὴν πρὸς τὰ οἰκεῖα ὑποστροφὴν ἐχαρίσατο. εἰδὼς γὰρ ὁ τοιοῦτος ὡς αἱ δύο Ἰταλικαὶ πόλεις αὗται, ἥ τε Καπύη καὶ ἡ Βενεβενδός, οὐ πρὸ πολλοῦ προσκτηθεῖσαι τῷ ῥηγὶ βεβαίαν οὐ φυλάττουσι τὴν πρὸς αὐτὸν πίστιν, ἀλλ' ἀεὶ τὴν ἐλευθερίαν φαντάζονται, οὐκ ἀγνοῶν δὲ ὅτι καὶ διὰ φροντίδος ἐστὶ τῷ ῥηγὶ ἡ τούτων βεβαία καὶ ἀσφαλὴς κατάσχεσις, πρόσεισι τῷ ῥηγὶ καὶ φησὶν "ὁρῶν σε
D διὰ παντός, ὦ βασιλεῦ, μεριμνῶντα καὶ φροντίζοντα πῶς ἂν ἀσφαλῶς καθέξεις τὰς Ἰταλικὰς ταύτας πόλεις, ἔρχομαι προσοίσων βουλήν. ἴσθι οὖν, ὦ γενναιότατε, ὡς οὐκ ἄλλως σοι ἀμετάπτωτος ἡ τῶν πόλεων τούτων κατάσχεσις ἔσεται, εἰ μὴ τοὺς προύχοντας τούτων εἰς τὰ ἤθη μετοικίσεις τῶν Φράγγων· φύσει γὰρ τὸ ἀκουσίως δουλούμενον ἀντέχεται τῆς ἐλευθερίας, καὶ καιροῦ λαβόμενον ἐκρήσσει τὸ σπουδαζόμενον." τούτοις ἡσθεὶς τοῖς λόγοις ὁ ῥήξ, καὶ λυσιτελεῖν αὐτῷ οἰηθείς, ἐγνώκει οὕτω ποιεῖν. κλοιοὶ τοίνυν ἐχαλκεύοντο καὶ δεσμὰ λεληθότως ὡς ἐπί τινι χρείᾳ τάχα κατεπειγούσῃ. οὕτω δὲ τὸν ῥῆγα εὐμηχάνως ὁ Σολδάνος ἀνδραποδίσας πρόσεισι τοῖς ἐξάρχοις τῶν πολιτῶν (καὶ γὰρ δὴ καὶ
P 579 τούτοις συνήθης ἐγένετο καὶ συνεχῶς ὁμιλῶν διετέλει) καὶ φησὶ πρὸς αὐτοὺς "ἀπόρρητόν τι ἐξενεγκεῖν βούλομαι πρὸς ὑμᾶς, δέδοικα δὲ μὴ ἔκπυστον γενόμενον ἐμοί τε ὄλεθρον καὶ ὑμῖν κίνδυνον

4 ὁ τοιοῦτος om C

cans sapientem, libere postmodo secum congredi ac versari permisit. at Soldanus, homo vafer et versutus, dolum regi tendit, quo eum Capua expulit sibique ad suos reditum confecit. duas Italiae urbes, Capuam ac Beneventum, sciebat nuper a rege subactas in fide eius constanter non permanere, sed adhuc libertatem somniare: neque ignorabat de iis certo tutoque retinendis regem esse solicitum. ergo regem compellans "video" inquit "te assiduo meditari et curam impendere quomodo has duas urbes certo retineas in tua potestate. ea de re consilium affero. scias itaque non aliter tibi firmum in eas fore imperium quam si earum principes in Franciam deportes. natura enim ita comparatum est ut qui inviti serviunt, ii libertatem affectent, et quod cupiunt, ad id obtinendum capto tempore erumpant." hunc sermonem rex gratum habuit, esseque hoc in rem suam ratus statuit exsequi. itaque iam occulte compedes aereae parabantur et vincula, veluti ad usus alios quosdam requirerentur. at Soldanus hoc commento regem ludificatus, principes civium (nam horum quoque familiaritatem ac crebram consuetudinem sibi paraverat) aggressus habere se arcanum ostendit, quod ipsis indicet, nisi metuendum sibi sit ne ii eo evulgato indici exitium, sibi periculum

προξενήσῃ.” τῶν δὲ διομοσαμένων ἐχεμυθήσειν καὶ ἀνέκφορον τηρῆσαι τὸ λαληθέν, τὸν ῥῆγα ἔφη βούλεσθαι πάντας ὑμᾶς πρὸς τὴν ἑαυτοῦ χώραν τῆς Φραγγίας σιδηροδεσμίους ἐκπέμψαι, ὡς οὐκ ἄλλως οὔσης αὐτῷ ἀσφαλοῦς τῆς τῶν ὑμετέρων διακρατήσεως πόλεων. τῶν δὲ ἐνδοιαζόντων καὶ μὴ πιστὰ τὰ λεγόμενα ἡγουμένων, ζητούντων δὲ σαφεστέραν τῶν λεγομένων κατάληψιν, λαβόμενός τινος τῶν ἀρχόντων ἀπῆλθεν εἰς τοὺς χαλκεῖς, καὶ διερευνᾶσθαι παρεκελεύετο τίνα τὰ μετ' ἐπιτάσεως χαλκευόμενα, ἐπεὶ B *δὲ μάθοι ὅτι ἁλύσεις εἰσὶ καὶ πέδαι, ἐπανελθὼν πληροφορίαν ἐδίδου τοῖς ἄρχουσιν εὐνοϊκῶς τὸν ἄνδρα λαλεῖν, καὶ τὰ λαλούμενα ἀληθῆ τυγχάνειν καὶ ταῖς ἡμῶν σωτήρια πόλεσι. πληροφορηθέντες οὖν οἱ ἄρχοντες καὶ σύνεδροι τῶν ῥηθεισῶν πόλεων τρόπον ἐζήτουν ὅπως τὸν ῥῆγα ἀμύνωνται. καὶ δὴ πρὸς κυνηγέσιον ἐξελθόντος ποτὲ ἀποκλείουσι κατ' αὐτοῦ τὰς πύλας καὶ οὐκέτι συγχωροῦσιν αὐτῷ τὴν εἴσοδον. ὁ δὲ μηδὲν ἐκ τοῦ παραχρῆμα δυνάμενος διαπράξασθαι πρὸς τὴν ἑαυτοῦ ὑπενόστησε χώραν. πρόσεισι οὖν τοῖς ἄρχουσιν ὁ Σολδάνος τὴν χάριν τῆς μηνύσεως ἀπαιτῶν· ἡ δὲ ἦν τὸ ἀπολυθῆναι καὶ ἐλευθερίως συγχωρηθῆναι ἀπελθεῖν* C *εἰς τὴν ἑαυτοῦ πατρίδα. ἀπολυθεὶς οὖν ὡς τάχα εὐεργετήσας, καὶ εἰς Καρχηδόνα γενόμενος καὶ τὴν ἰδίαν ἀνακτησάμενος ἀρχήν, ἐκστρατεύει κατὰ Καπύης καὶ τῆς Βενεβενδοῦ· καὶ χάρακα πήξας ὀχυρὸν ἐνεργῶς ἐπολιόρκει τὰς πόλεις. στενοχωρούμενοι δὲ ὑπὸ πολιορκίας οἱ πολῖται διαπρεσβεύονται πρὸς τὸν ῥῆγα, συγγνώμην*

17 *σουλδάνος* C

creaturi essent. ut iureiurando interposito taciturnitatem promisere, constituisse omnino regem significat ipsos in vinculis ferreis in Franciam transmittere, quod iudicaret se aliter in urbes ipsorum stabile imperium habere non posse. dubitantibus et fidem dictis non adhibentibus, sed certius eorum argumentum quaerentibus, quendam principum Soldanus ad fabros duxit, iussitque interrogare quidnam tanta operis contentione fabricarentur. qui cum didicisset catenas et pedicas parari, ad suos reversus fidem eis fecit, Soldani verba a benevolentia erga ipsos profecta vera esse ac patriae ipsorum salutaria. exinde principes istarum urbium rem ita habere persuasi, de ratione qua ulciscerentur regem cogitant; egressumque aliquando venatum portis occlusis reditu arcent. isque cum in praesentia nihil agere posset, urbibus iis exclusus tum in Franciam rediit. Soldanus autem principes adit, ab iisque mercedem indicii postulat; quae erat ut liber in patriam redire sineretur. id pro hoc beneficio consecutus muneris, Carthaginem reversus, ac imperio pristino recepto, expeditionem contra Capuam ac Beneventum suscipit, urbesque eas validis circumpositis castris omni vi oppugnat. pressi obsidione oppidani ad regem legatos mittunt, veniam delicti petentes auxi-

τε τῆς ἁμαρτάδος αἰτοῦντες καὶ συμμαχίαν ζητοῦντες. ἀλλὰ μεθ' ὕβρεως ἀποπέμπονται, ἐπιχαίρειν εἰπόντος τῇ ἀπωλείᾳ αὐτῶν. ἀπράκτων δὲ τῶν πρεσβευτῶν ἐπαναστρεψάντων διαπορούμενοι καὶ μὴ ἔχοντες ὅ τι καὶ δράσειαν, δεινῶς δὲ πιεζόμενοι καὶ ταῖς τῆς πολιορκίας ἀνάγκαις, στέλλουσιν ἄγγελον πρὸς Βασίλειον
D τὸν βασιλέα Ῥωμαίων, βοήθειαν ἐξαιτούμενοι. οὗτος δὲ τὴν πρεσβείαν δεξάμενος θᾶττον ἐκπέμπει τὸν πρεσβευτήν, θαρρεῖν παρεγγυήσοντα ὡς μετὰ μικρὸν ἥξει τε αὐτοῖς ἀποχρῶσα βοήθεια καὶ τῆς ἀνάγκης αὐτοὺς ἐξελεῖται. ὑποστρέψας οὖν ὁ πρεσβευτὴς αἰχμάλωτος ἐγένετο τοῖς ἐχθροῖς· ὃν καὶ παραστησάμενος ὁ Σολδάνος "δυοῖν" ἔφη "προκειμένοιν ὁδοῖν ἔξεστί σοι τὴν ὠφελιμωτέραν ἑλέσθαι. εἰ μὲν γὰρ θέλεις τὴν ἑαυτοῦ σωτηρίαν δωρεῶν τε τυχεῖν καὶ χαρίτων πολλῶν, λάλησον πρὸς τοὺς πέμψαντας ἐν ἐπηκόῳ ὡς ἀπείρηται τῷ βασιλεῖ Ῥωμαίων ἡ πρὸς ὑμᾶς συμμαχία, καὶ σωθήσῃ· τῶν δ' ἀληθινῶν ἐπαγγελιῶν ἐχομένῳ σοι ἕψεται ταχύτατος θάνατος." τοῦ δ' ἀγγελιαφόρου συνθεμένου τὸ θέλημα ποιῆσαι τοῦ ἀμηρᾶ, ἐπεὶ ὡς ἀπὸ τόξου βολῆς τῷ τείχει προσήγγισαν, τοὺς πρώτους ὁ πρεσβευτὴς παραγενέσθαι τῆς πό-
P 580 λεως ἐξῃτήσατο. καὶ δὴ παραγενομένων, τοιούτων πρὸς αὐτοὺς ἤρξατο λόγων "εἰ καὶ πρόδηλός μοι τυγχάνει ὁ θάνατος, ὦ πατέρες, καὶ τὸ ξίφος ἐν τῇ σφαγῇ, ἀλλ' ὅμως οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. αἰτῶ δὲ ἀποδοῦναί μοι τὴν χάριν εἰς τὰ ἐμὰ ἔκγονα καὶ τὴν σύνευνον. ἐγὼ γάρ, ὦ κύριοί μου, εἰ καὶ ταῖς τῶν πολεμίων κατέχομαι χερσίν, ἀλλά γε τὴν πρεσβείαν μου ἐξεπλήρωσα,

18 προσήγγισε C

liumque implorantes. quos ille contumeliose dimisit, gaudio sibi fore ipsorum exitium respondens. legatis re infecta reversis, obsessi quo se verterent non habentes, oppugnandoque in summas redacti difficultates, legato ad Basilium Romanorum imperatorem misso ut succurrat sibi flagitant. assentit imperator; statimque legatum remittit, qui suos bono animo esse iuberet, nuntiaretque mox adfutura satis valida auxilia, quae ipsos discrimini eriperent. is legatus in reditu ab hostibus est captus. eique Soldanus ad se adducto "optio tibi" inquit "datur: delige quod est melius. si salvus esse vis magnisque affici donis, dic iis qui te miserant, omnibus audientibus, denegasse imperatorem Romanum iis auxilia: sin verum renuntiabis, illico peribis." promittit legatus se facturum quod iusserat ameras; et cum ad sagittae ictus spatium ad moenia accessissent, primos urbis prodire postulat. qui ut praesto fuerunt, sic eos compellat "tametsi mihi, o patres, certa mors impendet gladiusque ad iugulum est, non tamen celabo veritatem, et rogo ut uxori liberisque meis gratiam referatis. ego, domini, quanquam nunc in manibus ho-

καὶ συντόμως προσδέχεσθε τὴν ἐκ τοῦ βασιλέως τῶν Ῥωμαίων βοήθειαν. διὸ στῆτε γενναίως· ἔρχεται γὰρ ὁ ῥυόμενος ὑμᾶς, εἰ καὶ μὴ ἐμέ." οὗτος μὲν οὖν τοσαῦτα καὶ τοιαῦτα εἰπὼν εὐθέως ὑπὸ τῶν ὑπηρετῶν τοῦ Σολδάνου τοῖς ξίφεσιν εἰς μικρὰ μέρη καὶ μόρια κατετμήθη· ὁ Σολδάνος δὲ τὴν ἐκ τοῦ βασιλέως ἐλευσομένην βοήθειαν ὀρρωδήσας ἔλυσε τὴν πολιορκίαν καὶ οἴκαδε ὑπεχώρησεν. αἱ δὲ εἰρημέναι πόλεις τὸ ἀπὸ τοῦδε διετέλεσαν φίλαι καὶ σύμμαχοι καθεστῶσαι Ῥωμαίοις. B

Κατὰ τοῦτον τὸν χρόνον καὶ Ἐσμὰν ὁ τῆς Ταρσοῦ ἀμηρᾶς, τῇ προηγησαμένῃ ἐπαιρόμενος νίκῃ, τριάκοντα πλοῖα μέγιστα ἐξαρτυσάμενος (κουμπάρια ταῦτα καλεῖν εἰώθασιν οἱ Σαρακηνοὶ) τῇ πόλει ἐπιτίθεται τοῦ Εὐρίπου. προγνόντος δὲ τοῦτο τοῦ βασιλέως, ὁ στρατηγὸς τῆς Ἑλλάδος (ὁ Οἰνειάτης οὗτος ἦν) κελεύσει βασιλικῇ τὸν ἱκανὸν εἰς φυλακὴν τῆς πόλεως λαὸν ἀπὸ πάσης Ἑλλάδος εἰσήγαγε καὶ τοῖς τείχεσι τὴν προσήκουσαν παρασκευὴν C προσηνέγκατο, πετροβόλα τε ὄργανα καὶ τοξοβόλα τεκτηνάμενος, καὶ ἁπλῷ λόγῳ μηδὲν τῶν δυναμένων ἀποσοβεῖν πολιορκίαν ἀμυντηρίων ἀπολιπών. ἐπεὶ δὲ κατέλαβε καὶ ὁ τῶν Ταρσίων στόλος, καὶ τοῖς τείχεσιν ἤδη προσήγγιζε, καὶ βελῶν ἀφέσει συχνῶν ἀνα-

4 μακρὰ C 8 post Ῥωμαίοις C: μόνην τὴν περιφανεστέραν τῆς Ἰταλίας πόλιν Ἰοντὸν ἐρείπιον θεὶς καὶ τὸν ἐν αὐτῇ λαὸν σὺν ἑαυτῷ λαβὼν ἐν Καρχηδόνι μετήγαγεν. ὁ δὲ βασιλεὺς ἀντ' αὐτῆς ἑτέραν ἀνήγειρε περικλυζομένην θαλάσσῃ πάντοθεν, μόνην δὲ τὴν εἴσοδον ξηρὰν ἔχουσαν στενωτάτην λίαν καὶ μόνην παρεχομένην τοῖς εἰσιοῦσι τὴν δι' ἑαυτῆς πάροδον. ἐπεὶ δὲ καὶ οἰκητόρων ἔδει αὐτῇ, ἐκ τοῦ Πόντου λαὸν ταύτῃ ἐνῴκισεν, ἐκ πόλεως Ἡρακλείας τοῦτον λαβών, Καλίπολιν ἐπονομάσας αὐτήν. ὅθεν καὶ Ῥωμαϊκοῖς ἔθεσι καὶ στολαῖς καὶ τῇ ἄλλῃ πάσῃ πολιτικῇ καταστάσει ἄγονται ἄχρι τῆς σήμερον.

stium sum, legationem meam confeci, et mox aderit a Romano missum imperatore auxilium. itaque state fortiter: venit enim qui ut non me, vos saltem eripiet." haec fatum illico ministri Soldani gladiis in exigua frusta desciderunt. Soldanus autem metuens sibi ab imperatoris, quoniam eum missurum cognoverat, exercitu soluta obsidione domum rediit. Capuae et Benevento exinde societas ac foedus cum Romano imperatore fuit.

Circa hoc tempus Esman Tarsi ameras, superiore inflatus victoria, maximas naves triginta, quales Sarraceni cumparia vocant, adornavit, iisque urbem Euripum petiit. sed quia hoc praeviderat imperator, Graeciae praefectus Oeneiates huius iussu, quantum urbis praesidio sufficeret, populum ex universa Graecia introduxit, murosque convenienter munivit, balistis et saxa torquentibus machinis adornatis, omninoque nihil eorum quae ad oppugnationem profligandam faciunt neglexit. ut Tarsensium classis appulit, et muris appropinquans crebris telorum con-

στέλλειν ἠγωνίζετο τοὺς ἀπὸ τῶν τειχῶν ἀμυνομένους, θυμοῦ καὶ προθυμίας πλήρεις οἱ τοῦ Εὐρίπου γενόμενοι τοῖς πετροβόλοις D τῶν ὀργάνων καὶ τοῖς καταπελτικοῖς βέλεσι καὶ τοῖς τόξοις καὶ τοῖς ἐκ τῶν χειρῶν λίθοις ἀπὸ τῶν τειχῶν γενναίως ἠμύνοντο, καὶ συχνοὺς τῶν βαρβάρων καθ' ἑκάστην ἀνήλισκον. ἐπιτηρήσαντες δὲ καὶ πνεῦμα ἐπίφορον ἐπαφιᾶσι τὰς ἑαυτῶν τριήρεις ταῖς ἐναντίαις, καὶ πολλὰς τῷ ὑγρῷ πυρὶ κατενέπρησαν. πρὸς ἅπερ ἀμηχανῶν ὁ βάρβαρος, καὶ εἰδὼς ὡς ἔφεσις καὶ ἔρως χρημάτων πολλοὺς παρασκευάζει καταφρονεῖν τοῦ θανάτου, ἀσπίδα μεγάλην πρὸ τοῦ χάρακος θεὶς καὶ χρυσίου ταύτην πεπληρωκὼς τοῦτο γέρας ἔφη δώσειν, μετὰ καὶ παρθένων ἐπιλέκτων αἰχμαλωτίδων ἑκατόν, τῷ πρώτως ἐπιβάντι τοῦ τείχους καὶ τοῖς ὁμοφύλοις τὴν νίκην βραβεύσαντι. ὅπερ οἱ ἐκ τῆς πόλεως θεασάμενοι, εὐθύς τε τὸν νοῦν τῶν πραττομένων κατανοήσαντες, παρακλητικοῖς τε λόγοις καὶ διεγερτικοῖς πρὸς ἀλκὴν ἑαυτοὺς παραθαρρύναντες, καὶ ὑφ' ἓν σύνθημα τὰς πύλας τῆς πόλεως ἀνοίξαντες, ἀνδρείως P 581 κατὰ τῶν βαρβάρων ἐξώρμησαν. καὶ κατὰ τὴν πρώτην συμβολὴν καιρίαν δεξαμένου τοῦ ἀμηρᾶ πληγὴν καὶ πεσόντος, καὶ πολλῶν ἄλλων σὺν αὐτῷ ἀναιρεθέντων, οἱ λοιποὶ ἐτράπησαν πρὸς φυγήν. ἐπικειμένων δὲ τῶν διωκόντων μέχρι τῶν ὑπολοίπων νεῶν κατεσφάττοντο, καὶ φόνος ἐγένετο τῶν βαρβάρων πολύς· οἱ δὲ περιλειφθέντες ὀλίγας πληρώσαντες τῶν νεῶν μετ' αἰσχύνης ἀπέφυγον πρὸς τὰ ἴδια. καὶ ὁ μὲν ἐκ τῆς Ταρσοῦ στόλος τοιοῦτον ἔσχε τὸ πέρας.

11 αἰχμαλωτίδων om C 15 πρὸς ἀλκὴν om C 17 προσβολὴν C

iectibus repellere eos qui muros tuebantur intendit, ibi, qui Euripi in praesidio erant, animi robore impleti, machinis saxa iaculantibus et balistis atque arcubus lapidibusque manu mittendis ita pro urbe propugnaverunt, ut identidem multos barbarorum deiecerint; ventoque secundo observato, suas triremes in hostem immiserunt, multasque hostium naves Graeco igni combusserunt. ob quae animo aestuans Esman, gnarus interim multos pecuniae cupiditate mortem contemnere, ante vallum aspidem magnam auro plenam ponit, atque hanc et centum captivarum virginum lectissimas praemii loco se ei daturum promittit, qui in murum primus evasisset suisque victoriae auctor fuisset. id cum viderent oppidani, ac statim quis scopus huius rei esset sentirent, ad fortitudinem sese mutuo cohortati tessera data omnes portas aperuerunt et in barbaros acrem impetum dederunt. primo concursu ameras letali accepto vulnere cecidit, multique cum eo occisi sunt: reliqui in fugam conversi instantibus Romanis usque ad reliquas naves ingenti cum clade suorum contenderunt. superstites barbarorum paucis navibus impletis cum dedecore domum versus aufugerunt. hoc infortunium Tarsensis habuit classis.

Ἕτερος δὲ πάλιν ἀπὸ τῆς Κρήτης ἀντηγείρετο στόλος. Σαὴλ γὰρ τοῦ Ἀπόχαψ ἀρχηγοῦ τῆς Κρήτης ὑπάρχοντος, Φώτιός τις B
ἀνὴρ πολεμιστὴς καὶ δραστήριος παρ' αὐτοῦ κατὰ Ῥωμαίων ἐστέλλετο μετὰ ἑπτὰ καὶ εἴκοσι κουμπαρίων, ἃς δὴ γαλέας κατονομάζειν εἰώθασιν, ὃς ἐξορμήσας ἐκ Κρήτης τὰς ἐν τῷ Αἰγαίῳ νήσους καὶ τὰς παραλίους κατελῄζετο, καὶ μέχρι τῆς ἐν Ἑλλησπόντῳ Προικοννήσου κατέλαβε, τὰ παρατυχόντα ἀνδραποδιζόμενός τε καὶ διαφθείρων. τούτῳ συναντήσας μετὰ τοῦ Ῥωμαϊκοῦ στόλου ὁ πατρίκιος Νικήτας καὶ δρουγγάριος πλωΐμων ὁ Ὠρύφας, καὶ τοῦ Ῥωμαϊκοῦ στόλου κατάρχειν λαχών, περὶ τὸ στόμιον τοῦ Αἰγαίου παρὰ τὴν Καρδίαν, καὶ μάχην καρτερὰν συστησάμενος, εὐθὺς τὰ μὲν εἴκοσι τῶν Κρητικῶν σκαφῶν τῷ ὑγρῷ πυρὶ συγκατέφλεξε, καὶ τοὺς ἐν αὐτοῖς βαρβάρους μάχαιρα καὶ πῦρ καὶ ὕδωρ C
διεμερίσαντο· ὅσα δὲ τὸν ἐκ τῆς ναυμαχίας καὶ τὸν ἐκ τῆς θαλάσσης διέφυγον κίνδυνον, φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσαντο. ἀλλὰ καίπερ οὕτω δεινῶς θραυσθέντες οἱ Κρῆτες οὐκ ἠγάπησαν ἠρεμεῖν, ἀλλὰ πάλιν τῶν κατὰ θάλασσαν ἀντείχοντο πραγμάτων, καὶ λῃστρίδας ἐξαρτυσάμενοι ναῦς τὴν Πελοπόννησον καὶ τὰς κάτωθεν αὐτῆς νήσους ἐλύπουν, τὸν ἄνωθεν ῥηθέντα Φώτιον ναύαρχον ἔχοντες. ἐξορμᾷ καὶ κατὰ τούτων ὁ τοῦ Ῥωμαϊκοῦ στόλου ἐξηγούμενος Νικήτας πατρίκιος ὁ Ὠρύφας, ἐπιφόρῳ δὲ καὶ αἰσίῳ χρησάμενος πνεύματι δι' ὀλίγων ἡμερῶν καταλαμβάνει D
τὴν Πελοπόννησον καὶ τῷ λιμένι προσίσχει τῶν Κεγχρεῶν. μαθὼν δὲ ὅτι τὰ τῶν ἐχθρῶν σκάφη τὰ δυτικώτερα μέρη Πελοποννήσου

1 σαὴτ C 9 νικήτης C 10 στόμα C 13 αὐτῷ C
22 καὶ αἰσίῳ om C

Alia porro a Creta erupit classis. etenim Saelus Apochapsi filius, Cretae dominus, Photium bellicosum atque strenuum hominem cum viginti septem cumpariis, quas et galeas nominant, adversus Romanos misit. qui insulas in Aegaeo mari sitas et maritima depraedans usque ad Proconnesum in Hellespontum perrexit, obvia quaeque evastans. huic cum Romana classe Nicetas Oryphas patricius et rei navalis drungarius ac classis praefectus occurrens in faucibus maris Aegaei apud Cardiam, acri praelio commisso, statim viginti Cretenses naves Graeco igni combussit; classiarios partim ferrum partim ignis aut aqua abolevit, reliquae naves fuga salutem quaesiverunt. hoc tam gravi accepto vulnere, Cretenses quiescere tamen adhuc non sustinuerunt, sed rursum maritimas res tentarunt, ac Photio eodem duce praedatoriis navigiis Peloponnesum et inferiores ea insulas infestarunt. adversum hos Oryphas cum classe profectus, secundo vento commodum propellente, paucis diebus ad Peloponnesum appulit in Cenchreensem portum. cognito autem hostes suis navibus versus occasum sitas Peloponnesi par-

ληΐζεται, Μοθώνην καὶ Πύλον καὶ Πάτρας καὶ τὰ προσεχῆ Κορίνθῳ χωρία, βουλὴν βουλεύεται συνετὴν καὶ σοφήν. ἰλιγγιάσας γὰρ περιοδεῦσαι τὴν Πελοπόννησον διά τε Ταινάρου καὶ Μαλέου καὶ χιλίων μιλίων μῆκος τηνάλλως ἀναμετρήσασθαι καὶ τοῦ προσήκοντος ὑστερῆσαι καιροῦ, ὡς εἶχεν, εὐθὺς ἐν νυκτὶ διὰ τοῦ κατὰ Κόρινθον ἰσθμοῦ, πολυχειρίᾳ χρησάμενος, πρὸς τὴν ἐκεῖθεν θάλασσαν κατὰ τὸ ξηρὸν διαβιβάζει τὰς ναῦς. ἐμβιβάσας δὲ τὸν λαὸν ἐν αὐταῖς ἔργου εἴχετο. καὶ οὕτω μηδὲν πεπυσμένοις περὶ αὐτοῦ τοῖς πολεμίοις αἰφνίδιον ἐπιτίθεται, καὶ τῷ παρ' ἐλπίδας δέει συγχέας καὶ συνταράξας αὐτῶν τοὺς λογισμοὺς οὐδὲ συστῆναι καὶ ἀλκῆς μνησθῆναι συνεχώρησεν, ἀλλ' εὐθὺς ἰδεῖν πρὸς φυγήν.
P 582 τὰς μὲν οὖν πυρπολήσας τὰς δὲ καταποντώσας τῶν πολεμίων νεῶν, καὶ τῶν βαρβάρων τοὺς μὲν ἀνελὼν τῷ ξίφει τοὺς δὲ ὑποβρυχίους τῷ βυθῷ ποιησάμενος, καὶ τὸν τῶν νεῶν ἀρχηγὸν ἀνελών, τοὺς λοιποὺς διασκεδασθῆναι κατὰ τὴν νῆσον ἠνάγκασεν. αὐτὸς δὲ σαγηνεύων ὕστερον καὶ ζωγρῶν διαφόροις τιμωρίαις ὑπέβαλε, τοὺς μὲν τὴν τῆς σαρκὸς δορὰν ἀφαιρούμενος, καὶ μᾶλλον τοὺς ἀρνησαμένους τὸ βάπτισμα τοῦ Χριστοῦ, τοῦτο παρ' αὐτῶν ἀφαιρεῖσθαι λέγων καὶ οὐδὲν ἴδιον, ἐκ δὲ τῶν ἱμάντας ἀπὸ τοῦ ἰνίου ἄχρι τῶν σφυρῶν μετ' ὀδύνης ἐξέλκων, ἄλλους σχοίνοις αἰωρῶν, εἶτα πρὸς λέβητας πίσσης καχλαζούσης μεστοὺς καθ-
B ιμῶν, καὶ ἄλλους παντοίαις ἄλλαις κακῶν καθυποβάλλων ἰδέαις. καὶ ταῦτα διαπραξάμενος δέος εἰς αὐτοὺς ἐνέβαλε, καὶ ὀκνηροτέ-

3 ταινάρχων C 6 πολυχειρίᾳ — 7 ξηρὸν om C 15 τὴν Πελοπόννησον Goarus 22 κακῶν om C

tes populari, Methonam Pylum Patras et contigua Corintho loca, sapiens consilium cepit. abhorrens enim a circumnaviganda per Taenarum et Maleam Peloponneso, ac incassum mille conficere miliaria, itaque occasionem rei gerendae perdere nolens, ea ipsa qua primum applicuit nocte per Corinthiacum Isthmum, operarum usus multitudine, naves per continentem in alterius lateris mare transportavit, impositisque classiariis statim rei gerendae incubuit; hostesque, ad quos fama ipsius nondum pervenerat, subito adortus, eo ipso iis in metum ac trepidationem coniectis, coire eos et de vi propulsanda cogitare non est passus, sed effecit ut extemplo fugae se darent. ergo aliis hostilium navium incensis aliis demersis, barbarisque aut ferro trucidatis aut in profundum depressis, occiso etiam navium ductore, coegit reliquos hinc inde per insulas diffugere. quos ipse postea opera sua indagatos atque captos variis suppliciis affecit. quibusdam cutim omnem detraxit, maxime baptismum Christi diffitentibus, quod baptismum se illis diceret nihil proprium adimere; aliis lora ab occipitio ad talos usque magno ipsorum cum dolore evellit; alios funibus in sublime tractos in lebetes bulliente pice repletos demisit; alios aliis cruciatuum formis torsit. atque hoc

ρους ἐποίησε μὴ κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐκστρατείας ἐκπέμπειν.

Καὶ ἄλλη δὲ δύναμις ναυτικὴ ὥσπερ τις λαῖλαψ ἀπὸ τῆς ἑσπέρας ἢ καταιγὶς κατὰ τῆς Ῥωμανίας ἐπήλασεν· ὁ γὰρ τῆς Ἀφρικῆς ἡγεμὼν παμμεγέθεις ναῦς ἑξήκοντα τὸν ἀριθμὸν κατασκευασάμενος κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐξώρμησε, καὶ τὰ μεταξὺ ληϊζόμενος καὶ πολλὰ σώματα λαμβάνων αἰχμάλωτα ἄχρι Κεφαληνίας καὶ Ζακύνθου ἀφίκετο τῶν νήσων. εὐθὺς οὖν ὁ μετὰ τὸν Νικήταν τῶν ναυτικῶν κατάρχων δυνάμεων (Νάσαρ δὲ οὗτος C ἦν) μετὰ δυνάμεως ἐκπέμπεται ἁδρᾶς τριήρων καὶ ἄλλων νεῶν ταχυναυτουσῶν. σύντομον δὲ τὸν ἔκπλουν ποιησάμενος οὗτος, καὶ οὐρίῳ χρησάμενος πνεύματι, δι' ὀλίγου χρόνου τὴν Μεθώνην κατέλαβε. θᾶττον δὲ ἐπιθέσθαι τοῖς πολεμίοις διεκωλύθη ἀπὸ τῆς τοιαύτης αἰτίας· τῶν γὰρ ἐρετῶν οὐκ ὀλίγοι πρὸς τὸν κίνδυνον ἀποδειλιάσαντες κατ' ὀλίγους λαθραίως ἀπέφευγον. ὧν τῇ λειποταξίᾳ τὸ προσῆκον τάχος ἀφῃρέθη ὁ στρατηγός· οὐ γὰρ ἔκρινε δέον ἐμφρόνως κεκενωμένων αὐτοῦ τῶν σκαφῶν ἐπελθεῖν τοῖς D ἐχθροῖς. μηνύει δὲ τὸ συμβὰν ταχυδρομίᾳ τῷ βασιλεῖ. ὁ δὲ καὶ λόγου θᾶττον τοὺς λειποτάκτας ἐζώγρησε καὶ ποινὴν εἰς ἐκφόβησιν τῶν λοιπῶν τῷ δοκεῖν ἐπιτίθησι, κελεύσας νυκτὸς ἄνδρας τριάκοντα τὸν ἀριθμὸν ἀπὸ τῶν ἐν τῷ πραιτωρίῳ κατεχομένων Σαρακηνῶν ἀφελέσθαι, τούτων τε ἀσβόλῃ τὰ πρόσωπα ἀλλοιῶσαι, κἂν τῷ ἱπποδρόμῳ τε ἀγαγεῖν, διὰ μαστίγων τε ἐπεξελθεῖν καὶ ἀτίμως ἐκπεμφθῆναι εἰς Πελοπόννησον ὡς τάχα πρωτουργοὺς τῆς

10 νηῶν C   13 ἐκωλύθη C

pacto effecit ut ad invadendam Romanorum dicionem timidiores atque segniores essent Agareni.

Ceterum alia barbarorum classis veluti procella quaedam ab occidente in Romanum imperium impegit. nam Africae princeps, inusitata magnitudine navibus sexaginta confectis, grassando multosque captivos abducendo usque ad Cephaleniam et Zacyntum insulas progressus est. iccirco statim Nasar, qui post Nicetam navalibus praeerat copiis, cum valida triremium aliarumque navium velocium classe emittitur; isque ad festinationem navigationis secundo adiutus vento, parvo temporis spatio Methonam pervenit. ne autem quam primum hostes adoriretur, hanc habuit causam. haud pauci sociorum navalium periculum formidantes paulatim sese subduxerant; quam ob rem Nasar navibus suis remige vacuis non putans expedire pugnam, missis qui celeriter ad imperatorem venirent, casum hunc exponit. imperator dicto citius desertores istos conquisivit, ac reliquorum terrendorum causa simulavit se eos suppliciis afficere. triginta quippe de captivis qui in praetorio asservabantur Sarracenis, faciem fuligine oblitos in circum produci ibique flagris ignominiose caesos in Peloponnesum emitti, tanquam ii fugae auctores reli-

φυγῆς, κἀκεῖσε ἀναιρεθῆναι ὅθεν δὴ καὶ πεφεύγασιν. ὃ δὴ καὶ γέγονε, καὶ ἀνεσκολοπίσθησαν οἱ λʹ Σαρακηνοὶ ὡς δῆθεν οἱ λειποτάκται. καὶ φόβος ἐγένετο μέγας εἰς πάντα τὸν Ῥωμαϊκὸν στόλον, καὶ πᾶσαν μαλακίαν ἀπέθεντο καὶ τρυφήν, καὶ ἄγειν P 583 ταχέως πρὸς τοὺς πολεμίους παρεκάλουν τὸν ἡγεμόνα. ἐν τούτοις δὲ καὶ αὐτὸς τὸ λεῖπον τῆς στρατείας ἀπὸ τῶν ἐκ Πελοποννήσου στρατιωτῶν ἀναπληρώσας, καὶ τὸν στρατηγὸν τοῦ τόπου συνεργὸν προσλαβόμενος, πρὸς ἐπίθεσιν εὐτρεπίζεται. τῶν δὲ Σαρακηνῶν κατωφρυωμένων ἤδη καὶ πολλὴν δειλίαν καταγνόντων τοῦ Ῥωμαϊκοῦ στόλου διὰ τὴν πρόσθεν ἀργίαν, καὶ ἐπ' ἀδείας πολλῆς ἐξερχομένων ἀπὸ τῶν οἰκείων νεῶν καὶ τὰ προσπίπτοντα ληϊζομένων, ἐξαίφνης πλησίον αὐτῶν ἐφάνη ὁ τῶν Ῥωμαίων ναύαρχος, καὶ σύνθημα δοὺς ἐπιτίθεται τοῖς πολεμίοις ἀπροόπτως ἐν τῇ νυκτί. καὶ μήτε συστῆναι μήτε πρὸς ἀλκὴν τραπῆναι σχόντες καιρὸν B ἀκλεῶς ἀπεσφάττοντο, καὶ αἱ νῆες πυρὶ μετὰ τῶν ἐπιβατῶν παρεδίδοντο. τὰς δὲ ληφθείσας ἀσινεῖς ὥσπερ ἀνάθεμά τι ὁ στρατηγὸς Νάσαρ δίδωσι τῷ θεῷ, τῇ κατὰ Μεθώνην ἐκκλησίᾳ αὐτὰς ἀποχαρισάμενος. ὃν ἐπὶ τοῖς πεπραγμένοις ἐπαινέσας ὁ βασιλεὺς προσωτέρω χωρεῖν ἐκελεύετο. ἐπὶ τοῖς προτέροις οὖν προτερήμασι προθύμου τοῦ στρατοῦ τυγχάνοντος, διαπεραιοῦται πρὸς Σικελίαν, καὶ τὰς ἐνταῦθα πόλεις, ὅσαι τοῖς Καρχηδονίοις ὑπῆρχον ὑπόφοροι, ἐπιὼν ἐπόρθει καὶ κατεστρέφετο, καὶ φορτηγῶν νεῶν παμπολλῶν ἐκράτησεν, ὧν ὁ φόρτος ἄλλα τε ἦν πολλὰ τῶν C τιμιωτέρων καὶ δὴ καὶ ἔλαιον δαψιλές. ἐς τοσοῦτον δέ φασιν

5 τέως C 10 ἀγγελίαν C

quis fuissent, atque istic unde profugissent interfici iussit. ergo desertorum loco in palos suffixis in Peloponneso triginta istis Sarracenis, Romanos classiarios omnes ingens metus incessit; omnique mollitie excussa ultro ducem orabant ut se in hostes duceret. proinde Nasar classiariorum lecto ex militibus Peloponnesiacis supplemento, et qui ibi erat praefecto in auxilium adscito, ad rem gerendam se parat. iam elati animis Sarraceni ob cessationem antegressam Romanis summam timiditatem imputabant, ipsique secure e navibus suis egressi proxima quaeque depraedabantur, cum subito classis Romanae dux eos consecutus nihil tale exspectantes per noctem dato signo invadit. ita neque coeundi neque resistendi tempus concessum barbaris, iique ingloria nece perierunt, navibus ipsorum una cum vectoribus combustis. quae supererant naves, eas Nasar quasi donarium deo offert, Methonaeae dedicans ecclesiae. imperator eum collaudatum pergere iubet. alacri ergo ob partam victoriam exercitu in Siciliam traiicit Nasar, et quae ibi Carthaginensibus erant stipendiariae urbes, populatur atque vastat. multas etiam naves onerarias capit, quae cum alias pretiosas

εὔωνον τότε γενέσθαι τὸ ἔλαιον ὥστε ὀβολοῦ τὴν λίτραν πιπράσκεσθαι.

Περαιωθεὶς δὲ καὶ πρὸς τὰ τῆς Ἰταλίας μέρη ὁ αὐτὸς στόλος, καὶ ταῖς ἐκεῖσε ἱππικαῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἑνωθείς, ὧν Προκόπιος ἡγεῖτο ὁ τοῦ βασιλέως πρωτοβεστιάριος καὶ Λέων πατρίκιος ὁ Θρᾳκῶν καὶ Μακεδόνων ἀρχηγέτης, ὃν ἀπὸ Στυπείου ἐκάλουν, ἀξιέπαινα ἔργα εἰργάσατο· τόν τε γὰρ ἐξ Ἀφρικῆς πάλιν ἐξελθόντα στόλον ἐν τῇ νήσῳ ταῖς Στήλαις συγκυρήσας κατεπολέμησε, καὶ τὰ ὑπὸ τῶν Ἀγαρηνῶν κατεχόμενα φρούρια ἔν τε Καλαβρίᾳ καὶ Λαγγοβαρδίᾳ πλὴν ὀλίγων τῆς βαρβαρικῆς χειρὸς ἠλευθέρωσε καὶ τῇ Ῥωμαϊκῇ ἐξουσίᾳ ἐπανεσώσατο. καὶ ὁ μὲν D *Νάσαρ καὶ ὁ μετ' αὐτοῦ Ῥωμαϊκὸς στόλος τοιούτων τροπαίων ηὐμοίρησεν ἐκ θεοῦ, καὶ μετὰ πολλῶν λαφύρων καὶ νικητικῶν στεφάνων ἐπανῆλθε πρὸς τὰ βασίλεια· αἱ δὲ κατὰ Λαγγοβαρδίαν πεζικαὶ δυνάμεις οὐ πάντη τὴν βάσκανον διέφυγον νέμεσιν, ἀλλ' ἔργα μὲν ἀνδρικὰ καὶ λαμπρὰ διεπράξαντο, ἐξ ἔριδος δὲ καὶ φιλονεικίας κατ' αὐτὸν συμπεσούσης τὸν ἀγῶνα ἀπολωλέναι συνέβη τὸν μείζονα στρατηγόν. τοῦ γὰρ Λέοντος κατά τι διενεχθέντος πρὸς τὸν Προκόπιον, καὶ πρὸ τοῦ διαλλαγῆναι συμβολῆς γενομένης πρὸς τοὺς ἐχθρούς, συνέβη τὸν μὲν ἀπὸ Στυπείου μετὰ τῶν Θρᾳκῶν καὶ Μακεδόνων κατὰ τὸ δεξιὸν μέρος ἀγωνιζόμενον κρατεῖν τῶν ἐχθρῶν καὶ πολὺν φόνον ἐργάζεσθαι τῶν Σαρακηνῶν,*

6 *ἀποστύπην* C   14 *τὸν βασιλέα* C   20 *ἀποστύπην* C

ferebant merces, tum oleum, tanta quidem copia ut libra olei tum obolo venderetur.

Eadem classis etiam ad Italiae fines transvecta cum equestribus Romanorum copiis se coniunxit, quas Procopius ducebat, imperatoris protovestiarius, et Leo patricius, Thraciae ac Macedoniae praefectus, quem a Stypeo vocabant, et laude dignas res gessit. nam et classem ex Africa rursum progressam ad insulam cui Stelae (id est columnae) nomen devicit; et quae in Calabria ac Longibardia ab Agarenis tenebantur castella, paucis demptis, omnia e barbarorum manibus eripuit Romanaeque dicioni restituit. proinde Nasar, et quae cum eo erat Romana classis, tot victoriis divino favore potiti, amplis cum spoliis et victoriae coronis ad imperatorem redierunt. at quae in Longibardia erant terrestres copiae, invidiam fortunae, prospera quaeque carpere solitae, non effugerunt. etenim rebus praeclare gestis, orta sub ipsius praelii tempus inter duces contentione, eorum dignitate prior periit. inciderat Leoni aliquid cum Procopio discordiae. nondum autem redintegrata horum gratia pugnae cum hostibus committendae se obtulit occasio. ea in pugna Leo cum Thracibus et Macedonibus dextram aciei tenens partem Sarracenos fudit, magnamque eorum stragem fecit. ab

P 584 κατὰ θάτερον δὲ τὸν Προκόπιον ἀντιταττόμενον μετὰ τῶν Σθλαβίνων καὶ δυτικῶν ὑπὸ τῶν ἐναντίων πιέζεσθαι. μὴ πεμφθείσης δὲ παρὰ τοῦ στρατηγοῦ βοηθείας τῷ πονοῦντι διὰ τὴν προηγησαμένην φιλονεικίαν, ἐνέκλινε πρὸς τροπὴν τὸ κατὰ τὸν Προκόπιον μέρος, και αὐτὸς ἐκεῖνος ἀπεσφάγη ἡρωϊκῶς ἀγωνισάμενος καὶ κατ' αὐτὸν τὸν ἀγῶνα πεσών. ὁ δὲ Λέων θέλων τι καὶ ἕτερον ἀπεργάσασθαι λαμπρὸν καὶ τὸ ἐκ τῆς ἔριδος συσκιάσαι συμβὰν ἀτύχημα, τὸ οἰκεῖον στράτευμα λαβών, καὶ τοὺς διασωθέντας ἐκ τῆς τροπῆς τῶν ταττομένων ὑπὸ τὸν Προκόπιον συμπαραλαβ-
B ών, τὸ Τάραντον κάστρον ἔτι παρὰ τῶν Ἀγαρηνῶν κατεχόμενον ἐξεπολιόρκησε καὶ πάντα τὸν ἐν αὐτῷ λαὸν ἠνδραποδίσατο, ἐξ ὧν τό τε στρατιωτικὸν ὠφέλησεν ἀποχρώντως καὶ τῷ βασιλεῖ προσήγαγε λάφυρα. ἀλλ' οὐκ ἐξιλέωσεν ἐν τούτοις τὸν βασιλέα, ἀλλὰ μαθὼν τὴν αἰτίαν τῆς τοῦ Προκοπίου σφαγῆς τῆς τε ἀρχῆς τοῦτον παρέλυσε καὶ ἐξόριστον εἰς τὸ Κοτυάειον, ἔνθα τὴν οἴκησιν εἶχε, παρέπεμψε. Βαϊάνου δὲ τοῦ πρώτου τῶν ἱπποκόμων αὐτοῦ καί τινων ἄλλων τῶν ἐξυπηρετησαμένων αὐτῷ γραφὴν καθοσιώσεως ἐνστησαμένων κατ' αὐτοῦ, μαθόντες τοῦτο Βάρδας καὶ
C Δαβὶδ οἱ παῖδες αὐτοῦ τὸν μὲν Βαϊάνον ἀναιροῦσι, φοβηθέντες δὲ τὴν ἐκ βασιλέως ὀργὴν διὰ τὸ τόλμημα, ἀνειληφότες καὶ τὸν σφῶν πατέρα, ὥρμησαν πρὸς Συρίαν φυγεῖν. ὅπερ πυθόμενος ὁ βασιλεὺς ἀπέστειλε τὸν τῆς ἑταιρείας ἄρχοντα μετὰ καί τινων στρατιωτῶν, ἐντειλάμενος καταταχῆσαι καὶ κατασχεῖν αὐτούς. οἱ δὴ καὶ ἐπισπεύσαντες καταλαμβάνουσιν αὐτοὺς ἐν Καππαδοκίᾳ

1 σκλαβηνῶν C 4 Προκόπιον] hinc C folium 60, quod rescriptum 10 τάραντος C 15 κατὰ C 24 ἐπισπεύσοντες C

altera autem parte Procopium Slavinos et Occidentales ducentem, hostes cum premerent neque ei a Leone discordiae tenace subsidium mitteretur, evenit ut is inclinata suorum acie fortiter pugnans caderet. Leo ut praeclaro facinore illatam ob dissidium cladem obliteraret, cum suo exercitu, iis etiam qui ex Procopianis militibus cladem evaserant ad se receptis, Tarentum castrum, quod Agareni adhuc tenebant, expugnavit, captis qui in eo erant omnibus; quo facto et milites praeda haud parum iuvit et spolia ad imperatorem attulit. neque tamen imperatorem ea res placavit, sed is ubi cognovit causam Procopii interitus, Leonem dignitate sua exutum in Cotyacium, ubi habitare solebat, relegavit. exinde Baianus, qui Leonis equisonum princeps erat, aliique nonnulli olim Leonis famuli, actionem de maiestate Leoni intendunt. quod cum rescivissent Bardas et Davidus, huius filii, Baianum interficiunt; metuentesque sibi ab irato huius facinoris causa imperatore, assumpto patre fugam in Syriam moliuntur. imperator de re hac certior factus, praefectum sodalitatis cum quibusdam militibus mittit, celeriter insequi et comprehendere eos iubens. hi nihil morati in Cappadocia eos assé

συντόνως τὴν ἐπὶ Συρίαν ἐλαύνοντας. μέλλοντες δὲ κωλῦσαι τούτους προσωτέρω χωρεῖν εὗρον ἀνθισταμένους. καὶ συμπλοκῆς γενομένης οἱ μὲν δύο παῖδες αὐτοῦ μαχόμενοι πίπτουσιν, αὐτὸς δὲ ζωγρίας ληφθεὶς ἤχθη πρὸς βασιλέα καὶ τοῖς νόμοις ἐξεδόθη. καταψηφισθεὶς οὖν ἐξεκόπη τὸν ἕνα τῶν ὀφθαλμῶν, ἀφῃρέθη δὲ D καὶ τὴν μίαν τῶν χειρῶν, καὶ τὸ λοιπὸν ἐν Μεσημβρίᾳ ἐξόριστος κατεγήρασεν.

Ἐν ᾧ δὲ οὕτω κατὰ τὴν ἑσπέραν διὰ τῶν στρατηγῶν τῷ βασιλεῖ κατεπράττετο, οἱ ἐκ μεσημβρίας Ἄραβες σχολάζειν τὸν βασιλέα νομίσαντες ἀνεθάρσησαν καὶ πάλιν τῶν κατὰ θάλατταν ἅπτεσθαι πραγμάτων διέγνωσαν. ναῦς οὖν τεκτηνάμενοι κατά τε τὴν Αἴγυπτον καὶ τὰς ἐν Φοινίκῃ καὶ Συρίᾳ παραλίους πόλεις, κατὰ Ῥωμαίων ἐκστρατεύειν διενοοῦντο, σκοποὺς πέμψαντες πρότερον ἐφ' ᾧ μαθεῖν πῶς ἔχει τὰ βασιλέως. ἀλλ' οὐδ' ἀλαοσκοπίην εἶχεν ὁ βασιλεύς, ἀλλὰ πάντα διέγνωστο αὐτῷ τὰ ἐν Συρίᾳ πραττόμενα. ναυπηγήσας οὖν καὶ αὐτὸς στόλον ἀξιόμαχον συνεῖχεν ἐν τῇ βασιλίδι καὶ τὸ μέλλον ἐκαραδόκει. ἵνα δὲ μὴ ἀργὸς P 585 ὑπάρχων ὁ στόλος ἄτακτος γίνοιτο (τίκτει γὰρ κατὰ τὸν ποιητὴν οὐδὲν ἐσθλὸν εἰκαία σχολή), ἐν τῇ ἀνοικοδομῇ τοῦ κατὰ τὴν βασίλειον αὐλὴν ἐγειρομένου τότε ναοῦ εἰς ὄνομα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ καὶ τῶν ἀρχιστρατήγων καὶ Ἠλίου τοῦ Θεσβίτου διωρίσατο αὐτοὺς ὑπουργεῖν, ἑτοίμους ὄντας, ἵν' ὅταν

2 συμπληγάδος P   4 ζωγρεία C   8 τὸν στρατηγὸν C
14 ἀλαοσκοπίαν C   20 αὐλὴν om C

quuntur, in Syriam properantes. cumque eos progressu prohiberent atque ii vi resisterent, ad manus ventum, et inter dimicandum filii Leonis ceciderunt. Leo captus et ad imperatorem perductus est. de eo legibus actum, damnatoque alter oculorum effossus et altera manuum amputata: in Mesembriam relegatus ibi consenuit.

Dum imperatoris duces ea quae rettulimus in Occidente gerunt, interim qui ad meridiem incolunt Arabes otio deditum imperatorem putantes animum recipiunt. iterumque rem mari gerere statuunt. itaque confectis apud Aegypti Phoeniciae et Syriae maritimas urbes navibus expeditionem adversus Romanos parant, exploratoribus primo missis, ex quibus cognoscerent quo loco res imperatoris essent. neque hoc institutum eorum fefellit Basilium, sed omnia quae in Syria gererentur comperit. et ipse classem magnam fabricatus ad urbem detinuit, futuris intentus. interim ne classiarii nihil agendo deteriores fierent, quando, ut ait poeta, "inane nil boni producit otium," in exaedificando quod tunc pone imperatoriam aulam substruebatur de nomine Iesu Christi templum, itemque caelestis militiae ducum principis et Eliae Thesbitae fanis absolvendis eorum opera usus est, paratorum, ubi primum monti-

ὑπερκύψῃ τῶν ὁρίων Συρίας ὁ στόλος, ἐμπαρασκεύους αὐτοὺς ἀποσταλῆναι πρὸς τὴν ἐκείνων ἀντιπαράταξιν. καὶ ὁ μὲν βασιλεὺς ᾠκονομήσατο οὕτως· ὁ δὲ τῶν Σαρακηνῶν σκόπος καταλαβὼν τὴν βασιλίδα καὶ πάντα εὐτρεπῆ κατιδών, ἐπανελθὼν πρὸς B τοὺς πέμψαντας ὅσα εἶδεν ἀπήγγειλεν. οἱ δὲ καταπτήξαντες τὴν ἡσυχίαν ἠγάπησαν.

Καρχηδόνιοι δὲ πάλιν διὰ τὰς προηγησαμένας ἥττας δεδιότες, τὴν ἡσυχίαν τοῦ βασιλέως μαθόντες, καὶ πτοηθέντες μή πως αἰφνίδιον Ῥωμαϊκὸς στόλος κατὰ τῆς αὐτῶν ἐκπεμφθῇ χώρας, ναῦς ἱκανὰς ἐτεκτήναντο. ἦρος δ' ἐπιλάμποντος ὡς οὐδεμίαν δύναμιν ἐκ βασιλέως πεμφθεῖσαν ἐμάνθανον, ὑποτοπήσαντες πρὸς ἄλλοις ἄσχολον εἶναι τὸν βασιλέα ἐκστρατεύουσι κατὰ Σικελίας, καὶ δὴ πρὸς τὴν πόλιν τὰς Συρακούσας προσσχόντες ταύτην ἐπολιόρκουν, καὶ τὰ ἐκτὸς ἐδῄουν τῆς χώρας καὶ ἐληΐζοντο. τοῦ δὲ C στρατηγοῦ τῆς Σικελίας δῆλα ταῦτα θέντος τῷ βασιλεῖ, εὐθέως ἡ προευτρεπισθεῖσα ναυτικὴ δύναμις κἂν τῇ κτίσει τοῦ ναοῦ προσεδρεύουσα πρὸς Σικελίαν ἐκπέμπεται, Ἀδριανὸν τὸν πατρίκιον ἔχουσα ναύαρχον· ὃς τῆς βασιλίδος ἀπάρας, μὴ εὐθυπλοοῦν δέ, μόλις κατῆλθεν εἰς Πελοπόννησον, κατὰ δὲ τὴν Μονεμβασίαν ἐν τῷ καλουμένῳ λιμένι τοῦ Ἱέρακος προσορμίσας ἐπίφορον προσεδέχετο πνεῦμα. ἐπὶ πολὺ δὲ χρονοτριβοῦντος αὐτοῦ κατὰ τὸν εἰρημένον λιμένα, καὶ μὴ βουλομένου κατὰ τὰς νηνεμίας εἰρεσίαις χρῆσθαι μηδὲ πρὸς ἐναντίον παραβάλλεσθαι κῦμα, τῶν Ἀγαρηνῶν σφοδρότερον ἐπικειμένων τῇ πολιορκίᾳ συνέβη τὴν πόλιν

1 ὑπερκάμψῃ C 4 εὐκρεπῆ C 8 τὴν — πτοηθέντες om C 9 αἰφνίδιον om C

bus sese emitteret Syriaca classis, navibus conscensis ad eum debellandum avehi. at Sarracenorum explorator cum Cpolin venisset omniaque parata invenisset, reversus ad suos quae viderat rettulit; iique ab instituto deterriti quieverunt.

Ceterum Carthaginenses acceptis cladibus facti timidiores, cum nullis implicatum negotiis imperatorem percepissent, metuentes ne subito classis Romana in ipsorum emitteretur dicionem, multas naves fabricati, sub initium veris, cum ab imperatore nihil tale fieri sentirent, rati enim aliis hostibus impediri, Siciliam classe petiverunt, obsessisque Syracusis, quae circum erant populati sunt. ea de re imperator a praefecto Siciliae certior factus, quanquam classiarii tum essent templo aedificando occupati, tamen eos duce Adriano patricio in Siciliam mittit. is cum rectum cursum non tenuisset, aegre ad portum qui Hierax dicitur, Monembasiae in Peloponneso vicinus, naves applicuit, ibique secundum ventum praestolatus est. dumque tempus ibi terit, nolens vento non spirante navigare aut contrariis se credere fluctibus, interim Agareni oppugnationi instantes Syracusis potiuntur; magnaque caede edita,

ἁλῶναι καὶ τῶν ἐν αὐτῇ φόνον γενέσθαι πολύν, τοὺς δὲ λοι-
ποὺς αἰχμαλωτισθῆναι, κατασκαφῆναι δὲ καὶ τὴν πόλιν, καὶ D
τοὺς ἐν αὐτῇ πυρποληθῆναι θείους ναούς, περιβόητον καὶ λαμ-
πρὰν μέχρι τοῦδε γενομένην καὶ πολλοὺς βαρβαρικοὺς ἀποσεισα-
μένην πολέμους, ἐν ἀκαρεῖ δὲ χρόνῳ πᾶσαν ἀποβεβληκυῖαν τὴν
εὔκλειαν.

Τοῦ δὲ συμβάντος αἴσθησιν ἔλαβεν ὁ Ἀδριανὸς τοῦτον τὸν
τρόπον. τόπος ἐστὶ κατὰ τὴν Πελοπόννησον Ἕλος προσαγορευό-
μενος, διὰ τὸ συνηρεφὲς τῆς ἐκεῖσε ὕλης ταύτην λαχὼν τὴν προσ-
ωνυμίαν. ἐν τούτῳ τὸ τῶν Ῥωμαίων ηὐλίζετο ναυτικόν. μιᾷ
γοῦν τῶν νυκτῶν τῶν ἐκεῖσε κατοικούντων δαιμόνων πρὸς ἀλλή-
λους διαλεγομένων ἤκουσαν οἱ νομεῖς ὡς ἑάλω τὴν χθὲς ἡμέραν
Συράκουσα καὶ κατέσκαπται. ἐξ ἑτέρου δὲ πρὸς ἕτερον δια-
πορθμευομένου τοῦ λόγου, ἔφθασε καὶ πρὸς Ἀδριανὸν τὸ διή-
γημα. ὁ δὲ τοὺς ποιμένας μετακαλεσάμενος καὶ πολυπραγμο- P 586
νήσας εὗρε τὰ ἀκουσθέντα τοῖς ἐκείνων ἐπιβεβαιούμενα λόγοις.
βουληθεὶς δὲ καὶ αὐτήκοος γενέσθαι, μετὰ τῶν ποιμένων ἐν τῷ
τόπῳ γενόμενος καὶ δι' αὐτῶν ἐρώτησιν τοῖς δαίμοσι προσαγηοχὼς
ἤκουσεν ὡς ἤδη ἑάλω Συράκουσα. ἀδημονίᾳ δὲ καὶ λύπῃ ληφθεὶς
πάλιν ἀνέφερε καὶ παρεμυθεῖτο ἑαυτόν, μὴ χρῆναι πιστεύειν κρί-
νων λόγοις δαιμόνων ἀπατηλοῖς. ἐσημειώσατο δὲ τέως τὴν ἡμέ-
ραν. καὶ μετὰ δεκάτην ἧκον αὐτάγγελοι τῶν φυγάδων τὸ γεγονὸς
ἀτύχημα διηγούμενοι. ἀφ' ὧν πληροφορηθεὶς ὁ Ἀδριανὸς εὐθὺς
ἀνεζεύγνυ, καὶ τὴν βασιλίδα ταχέως μετὰ τοῦ στόλου καταλαμ-

1 τὸν C 5 χρόνον C 11 ἐγκατοικούντων C

et qui supererant captivis abductis, urbem diruunt ac fana eius incendio perdunt. ita urbs ea, hactenus fama celebris, et quae multa barbarorum profligaverat bella, exiguo temporis spatio funditus periit.

Excidium Syracusanum Adrianus hoc modo cognovit. locus est in Peloponneso, ab opacitate silvae, qua est consitus, Helos appellatus. eo loco Romanae tum naves in statione erant. quadam nocte pastores audivere daemonum ibi degentium vocem inter se colloquentium et pridie captas excisasque Syracusas narrantium. is sermo ab aliis ad alios pervagatus tandem etiam ad Adrianum pertigit. isque ad se vocatis pastoribus et examinatis deprehendit rumorem ad se perlatum ipsorum verbis confirmari. utque suis etiam auribus fidem rei probaret, perductus ad eum locum a pastoribus, daemonesque eorum opera percontatus, captas iam esse Syracusas audivit. quam ex eo indicio animi contraxerat aegritudinem, eo leniebat ac sese consolabatur, quod fallacium daemonum verbis fidem non adhibendam sentiret. diem tamen ab iis indicatum annotavit. decimo post die, qui e Syracusarum exitio fuga evaserant, nuntii eius calamitatis venerunt. Adrianus nihil iam dubitans ea de re statim cum classe Cpolin rediit, supplexque in ma-

B βάνει, καὶ τῇ μεγάλῃ ἐκκλησίᾳ ἱκέτης προσέφυγεν. ἀλλ' οὐδὲν αὐτὸν εἰς παντελῆ ἀποφυγὴν ὤνησεν ἡ καταφυγή· ἐκεῖθεν γὰρ ἀποσπασθεὶς ἐξωρίσθη.

Ἀποστέλλεται δὲ Στέφανος ὁ τὴν προσηγορίαν Μαξέντιος ὁ Καππαδόκης, μετά τε Θρᾳκῶν καὶ Μακεδόνων καὶ Καππαδοκῶν ἐπιλέκτων, στρατηγὸς Λαγγοβαρδίας. καὶ ταύτην καταλαβὼν καὶ δι' ἀνανδρίαν καὶ τρυφὴν μηδὲν ἄξιον λόγου διαπραξάμενος παραλύεται τῆς ἀρχῆς. ἀποστέλλεται δὲ ἀντ' αὐτοῦ Νικηφόρος ὁ κατὰ τὸν Φωκᾶν προσαγορευόμενος, ἀνὴρ γενναῖός τε καὶ δραστήριος. ἐπήγετο δὲ μεθ' ἑαυτοῦ δύναμίν τε ἱκανὴν καὶ τάγμα
C Μανιχαίων, ἔξαρχον ἔχον τὸν Χρυσόχειρον Διακονίτζην. καταλαβὼν οὖν τὸν τόπον καὶ ταῖς μετὰ τοῦ Στεφάνου δυνάμεσιν ἑνωθεὶς πολλὰ καὶ ἀξιέπαινα κατὰ τῶν Σαρακηνῶν ἐστήσατο τρόπαια· πρῶτον μὲν γὰρ ἀντιταξάμενος ἐτρέψατο τοὺς ἐχθρούς, ἐχειρώσατο δὲ μετὰ ταῦτα καὶ τὴν πόλιν Ἀμαντίαν καὶ τὰς Τρόπας καὶ τὴν ἁγίαν Σεβηρίνην, καὶ μάχαις ἄλλαις πολλαῖς καὶ ἀντιπαρατάξεσι κατηγωνίσατο τοὺς ἀντιπάλους. καὶ τὰ μὲν ἐν τοῖς καιροῖς τοῦ Βασιλείου γεγονότα πολεμικὰ ἔργα τοιαῦτα καὶ τοσαῦτα.

D Ὁ δὲ τὸν μέγιστον ἐν μάρτυσι Διομήδην κειμηλίοις πολυτιμοτάτοις καὶ ἀναθήμασι λαμπροῖς λαμπρῶς κατεκόσμησε καὶ κτημάτων ἐπιδόσει εὐπροσόδων ἐφιλοτιμήσατο καὶ παντοίως ὑπερῆρε καὶ κατεπλούτισε. καὶ τῆς Δανιηλίδος τὸν υἱόν, ὃν ἀδελφότητος συνδέσμῳ πνευματικῆς ᾠκειώσατο, τῷ τῶν πρωτοσπαθαρίων ἐτίμησεν ἀξιώματι καὶ παρρησίας μεγίστης μετέδωκε. καὶ Δανιηλίδα

1 ἱκέτης om C   11 τὸν τοῦ χρυσόχειρος ἐκεῖνον δ. C
14 πρῶτα P   23 πνευματικῷ C

gnum templum confugit. neque tamen omnino eum ea supplicatio liberavit, sed avulsus templo solum exsilii causa vertere coactus est.

Missus deinde ad gubernandam Longibardiam Stephanus cognomento Maxentius Cappadox, cum delecto Thracum Macedonum ac Cappadocum exercitu, cum in provinciam venisset ac ob ignaviam et luxum nullum faceret operae pretium, imperio exutus est. eius loco Nicephorus missus, cognomine Phocas, homo generosus et strenuus, cum idoneis copiis et cohorte Manichaeorum, quam Chrysochiris Diaconitzes ducebat. is provincia occupata, cum sibi exercitus Stephani coniunxisset, multas de Sarracenis reportavit victorias. primo enim praelio congressus eos fudit. deinde urbes Amantiam Tropas et sanctam Severinam cepit, aliisque multis praeliis ac dimicationibus superavit hostem. hae fere sunt res imperante Basilio bello gestae.

Basilius porro celeberrimum in martyrum numero Diomedem pretiosissimis ac splendidis donariis et praediis amplos habentibus reditus locupletavit atque exornavit. filium quoque Danielidis, quem sibi spiritualem fratrem fecerat, protospatharii dignitate summaque potestate

τὴν γραῦν πρὸς ἑαυτὸν μετεστείλατο, ἥτις ἐπεὶ μὴ οἵα τε ἦν ἵππῳ ἔποχος γενέσθαι, ἐπὶ σκίμποδος ἑαυτὴν ἀνακλίνασα καὶ τριακοσίους τῶν οἰκετῶν ἀπολέξασα νέους καὶ ἰσχυρούς, βασταζομένη τῆς πορείας εἴχετο ἀμοιβαδὸν αἰρόντων τὸν σκίμποδα. καταλαβοῦσα δὲ τὴν βασιλίδα τῶν πόλεων, δοχῆς γενομένης ὡς ἔθος ἐν τῇ Μαγναύρᾳ, εἰσήχθη πρὸς βασιλέα ἐντίμως, εἰσαγαγοῦσα καὶ δῶρα πολυτελῆ· ὧν ἕκαστον διεξιέναι ἀπειροκαλίας γραφὴν παρεισάγει. ἀποδεχθεῖσα δὲ ἀναλόγως τῆς προθυμίας, καὶ ἐνδιατρί- P 587
ψασα τῇ βασιλίδι ἐφ' ὅσον αὐτῇ φίλον ἦν, πρὸς τὴν οἰκείαν χώραν ἀνθυπενόστησε. συνέβη δ' αὐτὴν καὶ πάλιν εἰσελθεῖν εἰς τὴν βασιλίδα· τοῦ γὰρ Βασιλείου ἀποθανόντος καὶ τὴν ἀρχὴν τοῦ υἱοῦ αὐτοῦ Λέοντος διαδεξαμένου εἰσῆλθε πάλιν ἡ γραῦς μεθ' ὁμοίων τῶν δώρων, καὶ τοῦτον ἀσπασαμένη καὶ κληρονόμον τῆς ὑπάρξεως γράψασα, κατελθοῦσα εἰς τὰ ἴδια μετὰ μικρὸν ἐτελεύτησεν. ἀλλὰ ταῦτα μὲν ὕστερον.

Βασίλειος δὲ ὁ βασιλεὺς καὶ τῶν θείων ναῶν πολλοὺς ὑπὸ τῶν προηγησαμένων κλόνων διαρραγέντας τε καὶ κατασεισθέντας, τινὰς δὲ καὶ τελέως καταβληθέντας ἐπιμελείας ἠξίωσε, τοὺς μὲν B
ἐκ καινῆς ἀναστήσας, τοῖς δὲ τὴν ἀσθένειαν ἐπιρρώσας, τοῖς δὲ κάλλος καὶ ὡραιότητα χαρισάμενος. πρῶτον μὲν γὰρ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας σοφίας τὴν πρὸς δύσιν ἁψῖδα τὴν μεγάλην τε καὶ μετάρσιον εἰς πολλὰ διαρραγεῖσαν καὶ πεσεῖν κινδυνεύουσαν, ἐμπειρίᾳ τεχνιτῶν περισφίγξας, ἀσφαλῆ καὶ μόνιμον ἀπειργάσατο· ἐν ᾗ καὶ τὴν τῆς θεομήτορος εἰκόνα βρέφος ἠγκα-

1 ἔποχος ἔποχω C 7 ἕκαστος C 9 καθ' C 11 βασιλέως C 21 ἐκκλησίας om C

auxit. Danielidem etiam anum ad se vocavit. haec cum equo vehi nequiret, in lectica recubuit, eamque 300 iuvenibus robustis alternis vicibus gestandam mandavit. hac ratione Cpolin perlata, cum de more in Magnaura convivium esset, ad imperatorem honorifice introducta munera magnifica obtulit; quae singula recensere ineptum fuerit. excepta ab imperatore ut studium eius merebatur, et quamdiu ipsa volebat in urbe morata, domum inde rediit. mortuo etiam Basilio, et eius filio Leone imperium adepto, rursum Cpolin similibus cum donis venit; cumque imperatori gratulata esset eumque heredem instituisset, domum reversa paulo post vitam cum morte commutavit.

Idem Basilius multa templa terrae motibus superiorum temporum rupta ac concussa refecit, quaedam etiam prorsus prostrata instauravit, aliis ornamenta et elegantiam addidit. primum templi sapientiae dei occidentalem fornicem magnum atque sublimem, ruptum multis in locis ac ruinam minantem, peritia fabrorum munivit ac stabiliit. inque eo collocavit imaginem deiparae, infantem in ulnis tenentis, et a latere

λισμένην ἀνιστόρησε, καὶ Πέτρον καὶ Παῦλον τοὺς κορυφαίους τῶν ἀποστόλων παρ' ἑκάτερα ἀνεστήλωσε. καὶ τὰ λοιπὰ δὲ
C ῥήγματα καὶ τὰ σαθρώματα τῶν τοίχων ἐπηνωρθώσατο. παρεμυθήσατο δὲ καὶ τὰς προσόδους ἐλαττωθείσας, ἐνδείᾳ ἐλαίου τῶν ἱερῶν λύχνων ἀποσβεσθῆναι κινδυνευόντων, δωρεᾷ μεγίστου κτήματος ὃ προσαγορεύεται Μαντία, τοῖς τε λύχνοις τὸ φῶς ἄσβεστον ἐχορήγησε καὶ τοῖς ὑμνοπόλοις τοῦ θείου ναοῦ δαψιλέστερον χορηγεῖσθαι ἐποίησε τὰ ὀψώνια ἐκ τῆς προσόδου τοῦ κτήματος. καὶ τὸν θεῖον δὲ τῶν ἀποστόλων ναὸν τῆς προτέρας εὐπρεπείας διαπεσόντα ἐρείσμασι καὶ ταῖς τῶν πεπονηκότων βοηθείαις κατοχυρώσας θῆκε νεὼν ἡβώοντα κατὰ τὴν ποίησιν. καὶ τὸν ἐν τῇ Πηγῇ δὲ τῆς θεοτόκου ναὸν τὸ ἀρχαῖον ἀποβαλόντα κάλλος ἀνενεώσατο.
D καὶ τὸν ἕτερον δὲ τῆς θεοτόκου ναόν, ὃς τὸ Σίγμα κατονομάζεται,

6 μάνταια C 8 post κτήματος C: καὶ τὸν θεῖον δὲ τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου νεών, τῆς προτέρας εὐπρεπείας διαπεσόντα, οἷα τῶν ἐν αὐτῷ ἱερῶν εἰκόνων ἀποξεσθεισῶν ἐξ ὅτου Ἰωάννης πατριάρχης ἐγεγόνει, ὁ τὴν ἡγημονίαν τῶν ἐν αὐτῷ διενεγκὼν μοναχῶν, ἐπὶ Θεοφίλου τοῦ πάλαι βασιλεύσαντος, ὑπομνήσει Ἰγνατίου τοῦ ἡγιασμένου πατριάρχου ἱεραῖς εἰκόσι κατεκόσμησε, περιποιησάμενος καὶ τἆλλα τὰ περὶ τοῦτον σαθρώματα. τοῦτον καλοῦσι μὲν τοῦ Ὁρμίσδου. ἐδομήθη δὲ ἐκ καινῆς κατὰ τὸ σχῆμα τῆς μεγάλης ἐκκλησίας ὑπὸ Ἰουστινιανοῦ τοῦ μεγάλου, καθὼς ἡ ἐπὶ στεφάνου τῆς τοιαύτης ἐκκλησίας ἐπιγραφὴ μαρτυρεῖ, ἔχουσα οὕτως.

ἄλλοι μὲν βασιλῆες ἐτιμήσαντο θανόντας
ἀνέρας ὧν ἀνόνητος ἔην πόνος· ἡμέτερος δὲ
εὐσεβίην σκηπτοῦχος Ἰουστινιανὸς ἀέξων
Σέργιον αἰγλήεντι δόμῳ θεράποντα γεραίρει
Χριστοῦ παμμεδέοντος, τὸν οὐ πυρὸς ἀτμοὶ ἀνάπτον,
οὐ ξίφος, οὐχ ἑτέρη βασάνων ἐτάραξεν ἀνάγκη,
ἀλλὰ θεοῦ τέτληκεν ὑπὲρ Χριστοῖο δαμῆναι,
αἵματι κερδαίνων δόμον οὐρανόν. ἀλλ' ἐνὶ πᾶσι
κοιρανίην βασιλῆος ἀκοιμήτοιο φυλάξοι,
καὶ κράτος αὐξήσειε θεοστεφέος Θεοδώρης,
ἧς νόος εὐσεβίῃ φαιδρύνεται, ἧς πόνος αἰεὶ
ἀκτεάνων θρεπτῆρες ἀφειδέες εἰσὶν ἀγῶνες.

οὐ μὴν ἀλλὰ καὶ 9 νεὼν C 11 νέον? 13 σῆγμα C

altero Petrum, ab altero Paulum, apostolorum coryphaeos. deinde reliqua etiam murorum rupta aut ruinosa integravit. cumque reditus ecclesiastici essent attenuati, et periculum esset ne penuria olei sacrae lucernae exstinguerentur, amplissimi praedii cui Mantia nomen donatione et lucernis prospexit, et eius e reditibus liberaliora cantoribus templi stipendia constituit. apostolorum praeterea fanum, quod pristinam pulchritudinem amiserat, fulcris et collapsarum partium refectione firmans redegit aedem, ut ait poeta, vigentem. renovavit etiam deiparae quae ad Fontem erat aedem, quae antiqua elegantia exciderat. aliud deiparae templum, cui Sigma nomen, terrae motu prostratum, ex

τέλεον ὑπὸ σεισμοῦ καταπεσόντα ἐκ βάθρων ἀνῳκοδόμησε καὶ ἑδραῖον καὶ ὡραιότατον ἢ πρότερον ἀπειργάσατο. καὶ τὸν ἐν Αὐρηλιαναῖς Στεφάνου τοῦ πρωτομάρτυρος ἄχρις ἐδάφους καταπεσόντα ἐκ θεμελίων ἀνήγειρε. καὶ τοὺς δύο δὲ τοῦ βαπτιστοῦ σηκοὺς ἔν τε τῷ Στροβήλῳ καὶ Μακεδονιαναῖς, τὸν μὲν ἐκ βάθρων ἀνήγειρε, τοῦ δὲ τὸ πλεῖστον ἀνῳκοδόμησε. καὶ τὸν τοῦ ἀποστόλου δὲ Φιλίππου, καὶ τὸν πρὸς ἑσπέραν αὐτοῦ κείμενον τοῦ εὐαγγελιστοῦ Λουκᾶ, πτῶμα πεσόντας δεινὸν ἐκ βάθρων ἀνέκτισεν. ἐπεποιήσατο δὲ καὶ τὸ μέγα τέμενος Μωκίου τοῦ μάρτυρος, καὶ τὸ ἄδυτον τούτου καταβληθὲν ἄχρι γῆς, ὡς καὶ τὴν ἱερὰν κατεάξαι τράπεζαν, ἐπιμελείας ἠξίωσε καὶ τοῦ πτώματος ἤγειρε. καὶ τὸν πλησιάζοντα δὲ τούτῳ Ἀνδρέου τοῦ πρωτοκλήτου ναὸν πεσόντα εἰς τὸ ἀρχαῖον κάλλος ἀνήγειρε. καὶ τὸν τοῦ ἁγίου Ῥω- P 588
μανοῦ καὶ τὸν τῆς ἁγίας Ἄννας ἐν τῷ Δευτέρῳ καὶ τὸν τοῦ μεγαλομάρτυρος Δημητρίου καὶ τὸν τοῦ μάρτυρος Αἰμιλιανοῦ τὸν ἐν τῇ Ῥάβδῳ ἐκ παλαιῶν νέους εἰργάσατο. ἐπὶ τούτοις καὶ τὸν τοῦ ἁγίου Ναζαρίου καταπεσόντα ἀνέστησε. κἀν τοῖς ἐμβόλοις τοῦ Δομνίνου τὸν τῆς Χριστοῦ ἀναστάσεως καὶ Ἀναστασίας τῆς μάρτυρος περικαλλῆ ναὸν ἐπισκευάσας ἐλάμπρυνε, λιθίνην ἀντὶ ξυλίνης τὴν ὀροφὴν ἐργασάμενος. καὶ Πλάτωνος τοῦ μεγάλου ἐν μάρτυσι πεσόντα ἀνέστησε, καὶ τὸν ἐγγίζοντα τούτῳ τῶν καλλινίκων μαρτύρων ναὸν Ἑσπέρου τε καὶ Ζωῆς ἐπεποιήσατο. καὶ

2 ἢ πρότερον] καὶ μόνιμον C 5 Στροβηλαίᾳ C 20 καὶ Πλάτωνος — 22 ἐπεποιήσατο] pro his C supra post v. 17 ἀνέστησε: καὶ τὸν ἐγγίζοντα καλλινίκων μαρτύρων νεὼν Ἑσπέρας καὶ Ζωῆς τῷ τοῦ ἁγίου Πλάτωνος ναῷ ἐπεποιήσατο, αὐτόν τε τὸν τοῦ μάρτυρος Πλάτωνος πεσόντα ἀνέστησε. καὶ τὸν Πλ.?

fundamentis refecit, stabileque et priore pulchrius exstruxit. hoc modo etiam instauravit aedem Stephani martyrum principis, quae in Aurelianis condita humi procubuerat. Baptistae fana duo, quorum hoc in Strobelo illud in Macedonianis, alterum maiore sui parte reparavit, alterum e fundamentis substruxit. itidemque Philippi apostoli, et quae ab hac versus occasum solis sita erat, Lucae evangelistae aedem, gravem passas ruinam, nec non templum magnum Mocii martyris, eiusque penetrale solo aequatum, fracta etiam sacra mensa, e parietinis excitavit. restituit et pristinae pulchritudini refectam ex collapsa aedem Andreae apostoli ante alios vocati, istis vicinam; item sancti Romani et sanctae Annae in Deutero, et magni martyris Demetrii, martyris Aemiliani in Rabdo, de antiquis novas redegit. restituit et sancti Nazarii aedem collapsam; et in porticibus domini templum resurrectionis Christi, et Anastasiae martyris refectum ornavit fastigio, quod ligneum ante fuerat, lapideo. Platonis incl‍yti martyris fanum, quod corruerat, erexit; vicinumque huic fanum nobili victoria insignium martyrum Hesperi et Zoae condidit. ruinae, quae imminebat. subtraxit Acacii quo-

B τὸν τοῦ μάρτυρος Ἀκακίου ἐν τῷ Ἑπτασκάλῳ πτῶσιν ἀπειλοῦντα ἐπισκευάσας τοῦ πτώματος ἥρπασε. παραπλησίως καὶ τὸν τοῦ προφήτου Ἠλίου κατὰ τὸ Πετρίον ἀνεκτήσατο λαμπρῶς. ἀνήγειρε δὲ καὶ ἐκ καινῆς ἐν ταῖς βασιλείοις αὐλαῖς εἰς ὄνομα τοῦ δεσπότου σωτῆρος Χριστοῦ καὶ τοῦ πρώτου τῶν ἀγγέλων Μιχαὴλ καὶ Ἠλίου τοῦ προφήτου. ἔτι δὲ καὶ τῆς θεομήτορος καὶ Νικολάου τοῦ περιωνύμου ἐν ἱεράρχαις τὸν περικαλλῆ τουτονὶ ναόν, ὃν νέαν ἐκκλησίαν κατονομάζουσιν, εἰς εὐπρέπειαν καὶ κάλλος καὶ ὡραιότητα μηδενὶ ἑτέρῳ ὑπερβολὴν ἢ σύγκρισιν καταλιμπάνοντα, C προσόδους τε ἔταξεν ἱκανὰς εἴς τε φωταγωγίαν καὶ χρείαν τῶν δοξολογούντων. καὶ τί δεῖ διεξιόντα ἐπὶ πλέον μηκύνειν; αὐτὸ τὸ ἔργον τοῖς θεωμένοις παρίστησι τὴν οἰκείαν καλλονὴν καὶ πολυτέλειαν. καὶ ἄλλους δὲ πολλοὺς θείους ναοὺς ἐντὸς τοῦ παλατίου ἐδομήσατο, εἰς ὄνομα Ἠλίου τοῦ προφήτου καὶ τοῦ μάρτυρος Κλήμεντος καὶ τοῦ σωτῆρος Χριστοῦ καὶ τοῦ ἀποστόλου Πέτρου καὶ τοῦ ἀρχιστρατήγου, ὧν τὴν ὡραιότητα παραστήσασθαι ποιητικὴ ἂν ἠτόνησε μεγαληγορία.

Πολλὰ δὲ κἀν τοῖς βασιλείοις ἀνέστησεν, ὡς ἄν τις εἴποι, βασιλείων βασίλεια· ταῦτα δὲ ἀριθμεῖσθαι οὐκ ἀναγκαῖον. ἔργον D δὲ τούτου τοῦ βασιλέως καὶ ὁ λεγόμενος οἶκος τὰ Μάγγανα καὶ ὁ ἕτερος ὁ νέος καλούμενος· οὓς ἀπὸ τοιαύτης κατεσκεύασε προαιρέσεως. μὴ βουλόμενος γὰρ τὰ δημόσια πράγματα εἰς οἰκείας καταναλίσκειν χρείας τοὺς τοιούτους ἀνῳκοδόμησεν οἴκους, καὶ προσόδους ἐκ γεωργίας ἀπέταξεν αὐτοῖς ἱκανάς, ἀφ' ὧν ἡ βασι-

5 σωτῆρος om C 19 βασιλέων C

que martyris aedem in Heptascalo (Septigradium verteres), et Eliae vatis fanum in Petrio splendide restituit. instauravit et templa palatina servatori Christo, Michaelo angelorum principi et Eliae vati dedicata et deiparae; ac Nicolai inter proceres ecclesiasticos celeberrimi, quod novam nominant ecclesiam, insuperabili pulchritudine exornavit, reditibus ad lucernas et necessitates eorum qui laudes divinas persolverent sufficientibus ditatam. de qua quid attinet prolixe narrare, cum ipsum opus pulchritudinem suam et sumptuum in id impensorum demonstret magnitudinem? multa alia etiam delubra in palatio condidit, de nomine Eliae vatis, Clementis martyris, Iesu servatoris, Pauli apostoli, principis exercituum caelestium, quorum in declaranda venustate vel poetica deficeret magniloquentia.

Multa etiam in Palatio pro imperatoribus vere regia aedificia condidit; quae omnia enumerare nihil attinet. opus Basilii est etiam domus quae Manganorum nomen gerit, et alia quae Nova appellatur. has, ut qui nollet publicos reditus in usus privatos vertere, aedificavit; et reditus eis ex agriculturae emolumentis constituit idoneos, unde im-

λικῇ πανδαισία αὐτοῦ τε καὶ τῶν ἀνὰ πᾶν ἔτος ὑπ' αὐτοῦ κεκλη-
μένων ἄφθονον καὶ δικαίαν τὴν χορηγίαν ἔμελλεν ἔχειν ἀεί. ἐδο-
μήσατο δὲ καὶ τὰ ἐν Πηγαῖς παλάτια, καὶ τὰ ἐν τοῖς Ἡρίοις ἐκαλ-
λιώπισατο, ἀνακαθάρας καὶ τὴν ἀπογεωθεῖσαν κινστέρναν, ἣν
Ἡράκλειος ὁ βασιλεὺς προσχώσας παράδεισον φυτῶν καὶ λαχάνων
εἰργάσατο. ὅπερ ἐποίησε καὶ ἐν ταῖς οὔσαις ἐντὸς τοῦ παλατίου,
τῇ τε πρὸ τῆς Μαγναύρας καὶ τῇ μεταξὺ Ἰουστινιανοῦ τοῦ τρι-
κλινίου καὶ τοῦ Λαυσιακοῦ. ὁ γὰρ εἰρημένος βασιλεὺς Ἡράκλειος
παρὰ Στεφάνου τοῦ φιλοσόφου μαθών, τὴν γένεσιν αὐτοῦ πολυ- P 689
πραγμονήσαντος, ὡς ἐξ ὕδατος αὐτὸν δεῖ τελευτᾶν, τὰς τῶν κιν-
στερνῶν, ὡς εἴρηται, προσχώσεις εἰργάσατο. τὰ ἐν τοῖς Ἡρίοις
οὖν ἀποκαθάρας βασίλεια εἰς τὸ ἀρχαῖον σχῆμα ἀνήγαγε, καὶ
ἀντὶ παραδείσου δοχεῖον ἀπειργάσατο ὕδατος ἀφθόνου καὶ διει-
δοῦς. ἐδείματο δὲ κἀν τῷ φόρῳ ναὸν περικαλλέστατον ἐπ' ὀνό-
ματι τῆς θεοτόκου, ὡς ἂν ἔχοιεν αὐτὸν οἱ πραγματευόμενοι οἶκον
προσευχῆς, ὁπότε ταῖς πραγματείαις ἐμβραδύνωσι. καὶ τὸν τοῦ
ἁγίου Φωκᾶ δὲ ναὸν ἐν τῷ Στενῷ ἐπισκευάσας καὶ καλλωπίσας
οἰκητήριον μοναχῶν ἀπετέλεσε, τάξας προσόδους ἱκανὰς εἰς διάρ-
κειαν τῶν ἐν αὐτῷ ἀσκουμένων. ἀνεκαίνισε δὲ καὶ τὸν μέγαν τοῦ B
ἀρχιστρατήγου ναὸν τὸν ἐν τῷ Σωσθενίῳ ἤδη προκαταπεσόντα,
καὶ εἰς τὸ φαινόμενον κάλλος μετήγαγε.

Πολλοὺς δὲ καὶ τῶν Ἰουδαίων δωρεῶν ἐπαγγελίαις καὶ δόσεσι

7 ἰουστινιανοῖς τρικλίνου C   10 δὴ C   11 τὰ — 13 διειδοῦς om C

peratorio convivio pro se, et iis qui toto anni decursu invitarentur, sufficientes et iuste parti sumptus suppeditarent. condidit etiam palatium ad Fontes, et id quod in Eriis erat decoravit, cisterna repurgata, quam Heraclius imperator terra ingesta complanatam in hortum arboribus ac oleribus plantandis mutaverat, ut et cisternam eam quae est ad Magnauram, et quae inter triclinium Iustinianeum ac Lausiacum. etenim praedictus Heraclius imperator, cum ei Stephanus philosophus examinato siderum qualis fuerat ipso nascente positu praedixisset aquam interitum ipsi allaturam, cisternas terra congesta oppleverat. itaque Basilius cisternam in Eriis repurgavit, locoque horti receptaculum aquae copiosae ac pellucidae confecit. et in foro aedificavit templum pulcherrimum deiparae sacrum, ut ibi negotiatores domum precibus faciundis aptum haberent, cum eo loco ob negotiationes commorarentur. sancti Phocae fanum in Steno adornavit, monasteriumque redegit, constitutis pro iis qui in eo religiosam exercerent vitam sufficientibus reditibus. renovavit etiam magnum sancti Michaeli in Sosthenio templum, quod antea temporis corruerat, et ad eam qua hodie visitur elegantiam perduxit.

Multos etiam Iudaeorum munerum pollicitationibus atque exhibitio-

καὶ δώρων ἀνταλλαγαῖς τοῦ θείου κατηξίωσε βαπτίσματος. καὶ τὸ τῶν Βουλγάρων δὲ γένος ἀρτιπαγὲς ὂν πρὸς θεοσέβειαν μοναχῶν ἀποστολῇ εὐλαβῶν καὶ ἱερέων ἀρετῇ κεκοσμημένων ἐβεβαίωσε πρὸς τὴν πίστιν. καὶ τοῖς Ῥὼς δὲ συμβάσεις θέμενος ἐν μετοχῇ γενέσθαι τοῦ σωτηρίου βαπτίσματος αἴτιος γέγονε, πεμφθέντος αὐτοῖς καὶ ἀρχιερέως. ἀλλ' ἄξιον διηγήσασθαι καὶ τὸ γεγονὸς θαῦμα C παρὰ τοῦ ἀρχιερέως τοῦ πεμφθέντος ἐκεῖσε. ἔτι γὰρ τῇ δεισιδαιμονίᾳ κατεχόμενος αὐτός τε ὁ ἄρχων καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ τὸ ἅπαν ἔθνος, κατασκοπούμενοι περί τε τῆς πρώην αὐτῶν θρησκείας καὶ τῆς τῶν Χριστιανῶν πίστεως, εἰσκαλοῦσι τὸν ἄρτι πρὸς αὐτοὺς φοιτήσαντα ἀρχιερέα· ὃν ὁ ἄρχων ἐπηρώτα τίνα τὰ παρ' αὐτοῦ καταγγελλόμενα καὶ αὐτοῖς διδάσκεσθαι μέλλοντα. τοῦ δὲ τὴν ἱερὰν τοῦ θείου εὐαγγελίου προτείναντος βίβλον, καί τινα θαύματα ἐξηγουμένου τῶν ὑπὸ τοῦ θεοῦ ἐν τῇ ἀνθρωπίνῃ ἐπιδημίᾳ τερατουργηθέντων, "εἰ μή τι τῶν ὁμοίων τὸ πλῆθος" ἔφη "τῶν Ῥὼς καὶ ἡμεῖς θεασόμεθα, καὶ μάλιστα ὁποῖον λέγεις ἐν τῇ καμίνῳ τῶν τριῶν παίδων γενέσθαι, οὐκ ἄν σοι ῥᾳδίως πιστεύ- D σωμεν." ὁ δὲ τῷ ἀψευδεῖ πιστεύσας λόγῳ τοῦ εἰπόντος ὅτι ὃ ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, λήψεσθε, καὶ ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ἔφη πρὸς αὐτοὺς "εἰ καὶ μὴ ἔξεστιν ἐκπειράζειν κύριον τὸν θεόν, ὅμως εἰ ἐκ ψυχῆς διεγνώκατε προσελθεῖν τῷ θεῷ, αἰτήσασθε

7 παρὰ — ἔτι] περὶ τοῦ πεμφθέντος. ἔτι C 9 πρώτης C 18 ὅτι ἐὰν C

nibus et donis ad baptismum allexit. Bulgarorum gentem, quae recens Christianam pietatem amplexa erat, missis piis monachis et sacerdotibus virtute insignibus in fide confirmavit. Rossos pactis compositis ad salutaris baptismi communitatem pertraxit, iisque pontificum principem misit. operae pretium est hoc loco miraculum referre, quod eo missus pontifex edidit. princeps eius gentis ac proceres et universus populus falsa religione adhuc detenti, cum deliberarent eane retinenda an vero Christianae fidei accedendum esset, ad se missum pontificem in concilium advocant; eumque princeps interrogat quidnam rei esset quod profiteretur et ipsos docturus esset. profert episcopus sacrum divini evangelii librum, et quaedam miracula exponit a deo, dum is in humana natura terras obit, edita. ibi Rossus negare se aut suos ipsi fidem ullo modo habituros, nisi aliquid horum, praesertim servatorum in flagranti camino trium puerorum, simile vidissent. ad haec pontifex, fidens veraci eius sermoni qui suis dixerat fore ut quidquid propter ipsum postulassent impetrarent, et qui ipsi fidem haberet, ipsius quoque opera iisque maiora editurum, "tametsi" inquit "deum tentare fas non est, tamen si ex animo statuistis ad deum vos conferre, postulate

ὅπερ βούλεσθε, καὶ ποιήσει τοῦτο πάντως διὰ τὴν πίστιν ὑμῶν
ὁ θεός, κἂν ἡμεῖς ἐσμὲν ἐλάχιστοι καὶ ἀνάξιοι." οἱ δ' εὐθέως
ᾐτήσαντο τὴν τοῦ θείου εὐαγγελίου πυκτίδα ἐν τῇ παρ' αὐτῶν
ἀναφθείσῃ ῥιφῆναι πυρκαϊᾷ, καὶ εἰ ἀβλαβὴς αὕτη τηρηθείη,
προσελθεῖν καὶ αὐτοὺς τῷ παρ' αὐτοῦ κηρυσσομένῳ θεῷ. ἔδοξε
δὴ ταῦτα, καὶ τοῦ ἱερέως πρὸς θεὸν τὰς χεῖρας καὶ τοὺς ὀφθαλ- P 590
μοὺς ἐπάραντος καὶ "δόξασόν σου τὸ ἅγιον ὄνομα, Ἰησοῦ Χριστὲ
ὁ θεὸς ἡμῶν" εἰπόντος, ἐν ὀφθαλμοῖς τοῦ ἔθνους τουτουῒ ἐρρίφη
εἰς τὴν κάμινον ἡ τοῦ ἁγίου εὐαγγελίου βίβλος. ἐφ' ὥρας δὲ ἱκα-
νὰς τῆς καμίνου ἐκκαιομένης, εἶτα καὶ τέλεον μαρανθείσης, εὑ-
ρέθη τὸ ἱερὸν πυκτίον ἀπαθὲς καὶ ἀλώβητον διαμεῖναι, μηδεμίαν
ὑπὸ τοῦ πυρὸς δεξάμενον λύμην. ὅπερ ἰδόντες οἱ βάρβαροι, καὶ
τῷ μεγέθει καταπλαγέντες τοῦ θαύματος, ἀνενδοιάστως πρὸς τὸ
βάπτισμα ηὐτομόλουν.

Κατὰ τοῦτον τὸν χρόνον Κωνσταντῖνος ὁ πρεσβύτερος τῶν
τοῦ βασιλέως υἱῶν τὸν βίον ἐξέλιπε νόσῳ πυρετικῇ, πένθος ἀμύ- B
θητον καταλιπὼν τῷ πατρί. ἀλλὰ τοῦτο μὲν ὁ βασιλεὺς πρᾴως
ἤνεγκε, παρεμυθήσατο δὲ τὴν σύζυγον καὶ τὰ τέκνα. ἐναγόμενος
δὲ παρὰ τῶν προϊσταμένων τοῦ δημοσίου ὁ βασιλεὺς ἐπόπτας εἰς
τὰ θέματα ἐκπέμψαι, ὡς ἂν δυναμένων ἐκ τούτου τῶν δημοσίων
συντελειῶν ἐπιδοῦναι, προσποιησάμενος ἀποδέχεσθαι τὴν ὑπόμνη-
σιν, ἐκλέξασθαι καὶ εὐτρεπίσαι προσέταξε καὶ αὐτῷ προσαγαγεῖν
τοὺς μέλλοντας τὸ τοιοῦτον ἔργον ἐπιτελέσαι καλῶς. ἐπιλεξάμενος
δ' ὁ γενικὸς οὓς ἐδόκει διακονῆσαι πρὸς τὸ τοιοῦτον ἔργον ὀρθῶς, C

6 δὴ om C

quod vultis, et is omnino id praestabit propter fidem vestram, quanquam nos minimi sumus et indigni." ii confestim postularunt ut codex evangelii in rogum quem succenderant mitteretur, promittentes se, eo incolumi manente, deo quem ipse praedicaret nomen daturos. accepta haec condicio; et pontifice manus oculosque ad deum attollente, Iesumque obsecrante ut is sancti sui nominis gloriam ante oculos huius gentis assereret, coniicitur in caminum liber evangelicus; cumque caminus per multas horas arsisset, tandemque materia consumpta exstinctus esset, liber incolumis illaesusque omnino reperitur. cuius miraculi magnitudine perculsi barbari, omni dubitatione abiecta, ad baptismum confugerunt.

Eo maxime tempore Constantinus, filiorum Basilii natu maximus, febri absumptus est, ineffabilem patri luctum relinquens. hunc tamen casum imperator moderate tulit, uxoremque etiam et liberos consolatus est. interim rei publicae proceres imperatori suadent ut in provincias inspectores emittat, quod hoc dicerent ad incrementum redituum publici aerarii facturum. imperator probare se hanc sententiam simulans, deligi ad hoc munus homines aptos iubet et ad se adduci. ibi cum gene-

καὶ τὰς τῶν ἐκλεγέντων προσηγορίας προσαγαγών, πολλῆς ἐνομίσθη μέμψεως ἄξιος, εἰ τοιούτους οἴοιτο λειτουργοὺς ἔσεσθαι ἀξίους πρὸς τὸ τοιοῦτον λειτούργημα. τοῦ δὲ μὴ ἔχειν κρείττονας ἀνθυπενεγκόντος ἐν ὅλῳ τῷ πολιτεύματι, ὑπολαβὼν ὁ βασιλεὺς "τὸ τῆς προκειμένης διακονίας ἔργον τοιοῦτον παρ' ἐμοὶ κρίνεται ὥστε, εἴπερ οἷόν τε ἦν, αὐτὸν ἐμὲ πρὸς τὴν τούτου διοίκησιν ἐξελθεῖν. ἐπεὶ δὲ τοῦτό ἐστι καὶ ἀπρεπὲς καὶ ἀδύνατον, ἐξ ἀνάγκης ἐπὶ τοῖς δυσὶ τῆς πολιτείας μαγίστροις, οἳ καὶ χρόνῳ καὶ
D πείρᾳ καὶ ταῖς πολλαῖς ἐν τῷ μακρῷ βίῳ τῶν πολιτικῶν ἀρχῶν διοικήσεσιν, ἐν αἷς ἐξητάσθησαν, ἀκίβδηλον καὶ καθαρὸν τῆς ἀρετῆς ἐξενηνόχασι τὸ δοκίμιον, τὰς ἐλπίδας σαλεύω, καὶ τὴν διακονίαν ὑπὸ τούτων ἀνυσθῆναι δεόντως θαρρῶ. ἀπελθὼν οὖν αὐτὸς σὺ" φησὶν "ἀπάγγειλον αὐτοῖς τὸ τῆς διακονίας εἶδος καὶ τὸ θέλημα τὸ ἐμόν. καὶ βουλομένων ἐξελθεῖν ἐπευδοκῶ καὶ αὐτός." ὡς δ' ἀκούσαντες οἱ ἄνδρες ἦλθον εἰς ἔκπληξιν, καὶ τὸ γῆρας ἀνθ' ἱκετηρίας προυβάλλοντο καὶ τοὺς προηγησαμένους ὑπὲρ τοῦ πολιτεύματος κόπους, καὶ παρενεχθῆναι ἐξ αὐτῶν τὴν τοιαύτην ὑπηρεσίαν ἱκέτευσαν, ὑπέστρεψεν ἄπρακτος ὁ πεμφθείς, καὶ τῷ βασιλεῖ τὰ παρ' ἐκείνων λαληθέντα ἀπήγγειλεν. ὅπερ ἀκούσας "εἰ τὸ ἐμὲ ἐξελθεῖν δοκεῖ εἶναι ἀδύνατον, παραιτοῦνται δὲ τὴν λειτουργίαν οἱ λαμπρότατοι μάγιστροι, οὐδένα ἔχων τοῦ πράγματος διοικητὴν ἀξιόχρεων καταλειφθῆναι τοῦτο ἀνεπίσκε-
P 591 πτον βούλομαι. κρεῖττον γὰρ" φησὶ "παρακερδαίνειν τινὰς ἀπὸ

11 σαλεύων C 14 ἐπεξελθεῖν C 21 ὑπηρεσίαν C

ralis delegisset quos eam rem recte administraturos putabat, et eorum nomina ad imperatorem attulisset, in magnam apud eum reprehensionem incurrit, quod tales homines tanto negotio idoneos iudicasset. meliores se in tota civitate non invenire causanti, imperator "tantum" inquit "hoc munus existimo esse, ut si ita liceret, me ipsum ad id obeundum proficisci debere putem. quod quia indecorum est neque fieri potest, necesse habeo spem meam despondere duobus rei publicae magistris, qui tempore et usu rerum multisque in longa vita gestis magistratibus fidei suae integritatem et virtutem probarunt. nam ab his negotium recte confectum iri fido. tu ergo abi, et iis rationes huius administrationis meamque voluntatem expone. si volunt ad eam obeundam exire, mihi hoc probatur." magistri hoc nuntio perterriti supplices deprecantur, aetatis suae et laborum pro re publica iam ante exhaustorum innitentes excusationi; petuntque ut hoc ministerium aliis imponatur. generalis re infecta ad imperatorem redit, eorumque excusationes exponit. ad ea Basilius "quando" ait "fieri non potest ut ego exeam, et hoc munus illustrissimi recusant obire magistri, inspectorum huiusmodi constitutionem ego omitti volo: praestat quippe aliquos lucrum iniustum

τῶν τοῦ δημοσίου μὴ καλῶς, ἢ κακῶς ὑποπτεύειν ζημίαν τινὰς συντρίβουσαν αὐτοὺς καὶ συμπνίγουσαν." καὶ διὰ τοῦτο παρὰ πάντα τὸν τῆς αὐτοκρατορίας αὐτοῦ χρόνον ἔμεινεν ἀνεξίσωτος ἢ φάναι μᾶλλον ἐλεύθερος καὶ ἀδιάπρακτος ὁ ὑπὸ τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἅπας τῶν ὅλων θεμάτων λαός.

Τοῦ πρεσβυτέρου δὲ τῶν υἱῶν τοῦ βασιλέως, Κωνσταντίνου, ὡς εἴπομεν, τὸν βίον μετημειφότος, καὶ τοῦ φίλτρου καὶ τῶν ἐλπίδων ἐπὶ τὸν δεύτερον υἱὸν Λέοντα μεταπεσόντων, δεινὸς ὁ φθόνος B ὁπλίζεται κατ' αὐτοῦ· καὶ ὅπως, τὰ ἑπόμενα δηλώσει τρανότερον. μοναχὸς ἦν τις τῶν πάνυ φιλουμένων καὶ πιστευομένων Βασιλείῳ τῷ βασιλεῖ, ἦν δὲ καὶ ἱερεύς, ὃν Σανδαβαρηνὸν κατωνόμαζον· ὃς εἰ καὶ παρὰ τοῦ βασιλέως ἐστέργετο, ἀλλ' οὐκ εἶχε παρὰ τοῖς ἄλλοις δόξαν χρηστήν, καὶ διὰ τοῦτο καὶ πολλάκις παρὰ Λέοντος τοῦ υἱοῦ τοῦ βασιλέως διεκωμῳδεῖτο ὡς ἀπατεὼν καὶ γόης καὶ τὸν βασιλέα τῶν καθηκόντων ἐξάγων λογισμῶν καὶ εἰς ἃ μὴ δεῖ παρασύρων. ὑφ' ὧν δακνόμενος ἐκεῖνος τὴν ψυχήν, καὶ ἀνταμύνασθαι σπεύδων τὸν λυποῦντα, φιλίαν ὑποκρίνεται πρὸς τὸν Λέοντα, καί ποτέ φησι πρὸς αὐτόν "ἵνα τί, ὦ βασιλεῦ, νεανίας ἤδη ὢν C καὶ παρὰ τῷ πατρί σου φιλούμενος, μὴ ἐπιφέρῃ ῥομφαίαν ἢ μάχαιραν, ὅταν κατ' ἀγροὺς συνιππάζῃ σου τῷ πατρί, ἵνα καὶ αὐτῷ, εἰ κατὰ θηρίου σχῇ χρείαν, ἐπιδιδῷς; καὶ εἴ τι λαθραῖον πολλάκις κατ' αὐτοῦ ἐπιβούλευμα γένηται, μὴ ἄνοπλος εὑρεθῇς, ἀλλ'

1 ζ. ὑποστῆναί τινα σ. αὐτὸν C 3 ἀνεξίσατος C

ex publico praecipere, quam male metuere multam quae eos opprimat aliquam." hoc modo factum est ut subditi Romano imperio provinciales, quamdiu ei Basilius praefuit, verbo quidem non sint ad aequalitatem census adacti, re ipsa autem liberi et ab exactionibus immunes manserint.

Enimvero vita functo, uti rettulimus, Constantino, tum amor et spes omnis in Leonem, qui huic natu proximus fuerat Basilii filius devoluta atrocia ipsi odia pepererunt, quae res planius est narrando explicanda. erat quidam monachus, idemque sacerdos, eorum e numero quibus impensius imperator favebat plurimumque fidebat, nomine Sandabarenus. is quanquam imperatori carus esset, tamen apud alios in mala erat existimatione, et iccirco a Leone illo saepe traducebatur ut impostor ac praestigiator, qui imperatorem a sanis consiliis ad nugas et inutiles cogitationes averteret. momordit hoc animum monachi, utque de ultione cogitaret impulit. eapropter simulata erga Leonem benevolentia aliquando in hanc sententiam eum compellat. "cum iam, o Caesar, adoleveris patrique sis dilectus, qui fit quod cum eo venatum exiens neque ensem neque cultrum tecum fers, quem patri eo ad feras indigenti porrigas; aut si, quod saepe usu venit, clandestinis insidiis

ἔχῃς τι μεθ' ὅτου δυνήσῃ τοὺς πατρικοὺς ἐχθροὺς ἀνταμύνασθαι;" οὐχ ὑπειδόμενος δὲ τὸν δόλον ὁ Λέων, οὐδὲ συννοήσας τὴν μηχανήν, δέχεται τὴν συμβουλήν, καὶ μάχαιραν ἐντὸς τοῦ ὑποδήματος ἐπιφέρεσθαι πείθεται. γνοὺς δὲ ὁ Σανδαβαρηνὸς εἰς D *ἔργον χωρήσασαν τὴν ἑαυτοῦ σκευωρίαν, πρόσεισι τῷ βασιλεῖ καὶ φησὶ "γνωστόν σοι ἔστω, ὦ βασιλεῦ, ὡς ἐπιβουλεύει τῇ ζωῇ σου ὁ σὸς υἱός· καὶ εἰ ἀπιστεῖς, ὅταν κατὰ θήραν ἐξίῃς, κέλευσον περιαιρεθῆναι τὰ πέδιλα τῶν ποδῶν αὐτοῦ, καὶ εἰ εὑρεθείη ξίφος ἐπιφερόμενος, ἔσται πάντως ἡ ἐμὴ συμβουλὴ συμφέρουσα." ἐλέχθη ταῦτα, ἔξοδος κατηγγέλθη βασιλική, συνεξῆλθεν ἅπαν τὸ εἰωθός, ἔξεισι καὶ Λέων ὁ τοῦ βασιλέως υἱός. καὶ κατά τινα τόπον γενόμενος ὁ βασιλεὺς προσποιεῖται χρείαν ἔχειν μαχαίρας, καὶ ἐπεζήτει ταύτην μετ' ἐπιτάσεως. μηδὲν οὖν τῶν ὑπονοουμένων τῷ πατρὶ προειδὼς ὁ υἱός, ἀπονήρως ἐφελκυσάμενος ἣν ἐπεφέρετο μάχαιραν ἐπιδίδωσι τῷ πατρί. τούτου γενομένου αἱ μὲν τοῦ Σανδαβαρηνοῦ προσαγγελίαι εὐθὺς ἐπιστεύοντο, αἱ δὲ παρὰ τοῦ Λέοντος ἀπολογίαι μάταιοι καὶ κεναί. ὑποστρέψας οὖν ὁ βασιλεὺς εἰς τὰ βασίλεια πρὸς ὀργὴν κατὰ τοῦ υἱοῦ διανίσταται,* P 592 *καὶ ἔν τινι τῶν βασιλείων οἴκων, ὃς μαργαρίτης κατονομάζεται, ἔμφρουρον τοῦτον πεποίηκεν, ἀφαιρεῖται δὲ καὶ τὰ τῆς βασιλείας παράσημα. διηρεθίζετο δὲ παρὰ τοῦ Σανδαβαρηνοῦ καὶ τοὺς λύχνους ἀποσβέσαι τῶν ὀφθαλμῶν αὐτοῦ. ἀλλὰ τοῦτο μὲν ἐκωλύθη ποιῆσαι ὑπὸ τοῦ πατριάρχου καὶ τῆς συγκλήτου βουλῆς, τῆς εἱρκτῆς δὲ ὅμως εἶχεν ἐντός. χρόνου δὲ παραδραμόντος συχνοῦ,*

1 *ἀνταμύνεσθαι* C   6 *γνωστέον* P

petatur, in promptu habeas quo patris inimicos ulciscare?" Leo dolum non sentiens, neque suspicatus quorsum hoc commentum pertineret, consilium admittit; et persuaderi sibi patitur ut in ocrea cultrum secum efferat. Sandabarenus insidias sibi succedere intelligens, imperatorem convenit, indicatque vitae eius a filio insidias tendi. si id non credat, venatum egressus ocreas Leoni detrahi iubeat: invento tum cultro intellecturum, se recte monere. haec monachus. statim Basilius venationem indicere, cum solito comitatu exire, cumque ad certum locum esset ventum, simulare sibi opus cultro esse, eumque vehementius exposcere. ibi Leo, qui nihil de suspicione a patre concepta praescivisset, simpliciter cultrum quem secum ferebat depromere ac patri praebere. confestim ergo Sandabareni praemonitio pro vera haberi, Leonis excusationes inanes iudicari. reversus domum imperator filium infenso animo ornamentis imperatoriis spoliatum in quoddam palatii conclave, cui Margarites nomen, includit, ibique detinet; ac nisi patriarcha et senatus prohibuissent, etiam oculos ei (nam ad hoc a Sandabareno instigabatur) effossurus fuerat. multum ex eo lapsum est temporis, donec

καὶ πολλάκις τῆς συγκλήτου βουληθείσης διαπρεσβεύσασθαι περὶ τούτου καὶ κατ' ἄλλην καὶ ἄλλην αἰτίαν ἄλλως καὶ ἄλλως κωλυομένης, πρόφασις δίδοται εὔλογος, ἐξ ἧς ὡδηγήθησαν εἰς τὸ καταλῦσαι τὰ σπουδαζόμενα. ζῷον ἦν τι πτηνὸν ἐν κλωβῷ κατὰ τὰ B
βασίλεια αἰωρούμενον πρὸς θέαν καὶ τέρψιν τῶν θεωμένων καὶ ἀκουόντων (ψιττακὸς ὄνομα τῷ ζῴῳ), μιμηλὸν καὶ πολύφωνον· ὅπερ εἴτε πρός τινων διδαχθὲν εἴτ' ἄλλως πως ἐξ αὐτομάτου πολλάκις "αἶ αἶ κύριε Λέον" ἐφθέγγετο. εὐωχίας δέ ποτε τελουμένης τῷ βασιλεῖ καὶ τῶν πρώτων τῆς βουλῆς συνεστιωμένων αὐτῷ, καὶ τοῦ ὄρνιθος πολλάκις φθεγγομένου τὸ προρρηθέν, ἐπιστυγνάσαντες οἱ δαιτυμόνες τῆς εὐωχίας ἐπαύσαντο καὶ ἐπὶ συννοίας ἐκάθηντο· οἷσπερ προσσχὼν ὁ βασιλεὺς τὴν αἰτίαν τῆς ἀποχῆς τῶν βρωμάτων ἐπήρετο. οἱ δὲ δακρύων ὑποπλησθέντες τοὺς ὀφθαλμοὺς "τίνα ὦ δέσποτα" εἶπον "βρῶσιν φαγούμεθα, οὕτως ὑπὸ C
τῆς φωνῆς τοῦ ἀλόγου τούτου ὀνειδιζόμενοι, δοκοῦντες ἡμεῖς λογικοί τε καὶ φιλοδέσποτοι, ὅτι αὐτὸ μὲν τὸ ἄλογον ζῷον τὸν οἰκεῖον ἀνακαλεῖται δεσπότην, ἡμεῖς δὲ τρυφῶντες λήθην τοῦ μηδὲν ἀδικήσαντος ἐλάβομεν δεσπότου. εἰ μὲν γὰρ ἀδικῶν ἐλέγχεται καὶ κατὰ τοῦ πατρὸς εὐτρεπίσας τὴν δεξιάν, αὐτόχειρες ἡμεῖς τούτου γενησόμεθα πάντες, τοῦ αἵματος αὐτοῦ μὴ λαμβάνοντες κόρον· εἰ δ' ἐφ' οἷς ἐνεκλήθη διαφεύγει τὸν ἔλεγχον, μέχρι τίνος ἡ συκοφάντις γλῶσσα κατ' αὐτοῦ δυναμοῦται;" μαλαχθεὶς οὖν τοῖς τοιούτοις λόγοις ὁ βασιλεὺς τότε μὲν καθεσθῆναι τούτοις προσ-

8 κῦρι C

tandem senatu saepenumero pro Leone intercedere conato, aliisque atque aliis de causis impedito, tandem propositi exsequendi talis sese obtulit opportunitas. in palatio avis quaedam humanae vocis aliarumque imitatrix, nomine psittacus, in cavea suspensa degebat, ut spectatores atque auditores oblectaret. ea avis sive fortuito sive ita a quodam docta, vociferari solebat "heu heu domine Leo." quodam tempore cum ad convivium imperator senatores praecipuos vocasset, eamque vocem avis saepiuscule ederet, moestitia oborta convivae cibo potuque omisso cogitabundi assederunt. cumque id animadvertens imperator causam rei perquireret, ii oculos lacrimis oppleti "qui" inquiunt, "imperator, cibum capiamus, voce bestiae huius obiurgati nos qui rationis compotes et dominorum studiosi credimur? bruta haec avis domini sui nomen invocat: nos luxui dediti insontem oblivioni mandamus. etenim si insidiarum patri structarum convincitur Leo, omnes nos nostris eum manibus necare parati sumus, neque sanguis eius nobis saturandis sufficiet. sin crimina ei intentata non demonstrantur, quantisper tandem calumniatrix lingua eum opprimet?" his verbis demitigatus imperator bono animo esse in praesentia eos iubet, seque rem curae habiturum pro-

D ἔταξε, σκοπῆσαι δ' αὐτὸς περὶ τοῦ πράγματος ἐπηγγείλατο· μετ' οὐ πολὺ δὲ πρὸς τὴν φύσιν ἐπανελθὼν ἐξάγει τε φρουρᾶς καὶ εἰς ὄψιν ἄγει τὸν υἱόν, καὶ τὴν πένθιμον ἀμείβει στολήν, καὶ τὸ περιττὸν τῆς ἐν τῇ λύπῃ τραφείσης κόμης περιαιρεῖ, καὶ τὴν προτέραν τῆς βασιλείας τιμὴν ἀποδίδωσιν.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ διαρροίας νόσῳ ἁλίσκεται, καὶ κατὰ μικρὸν τῇ τοιαύτῃ τηκεδόνι κατεμαραίνετο. διαθεὶς δ' ὡς ἐδόκει τὰ τῆς βασιλείας, καὶ τὸν κληρονόμον καὶ διάδοχον γνώριμον ποιησάμενος, τὸν βίον ἀπέλιπε, συμβασιλεύσας μὲν τῷ πρὸ αὐτοῦ Μιχαὴλ χρόνον ἕνα, ἑτέρους δὲ ἐννέα καὶ δέκα χρόνους περὶ τὴν αὐτοκράτορα τῆς βασιλείας διαπρέψας ἀρχήν. διαδέχεται δὲ τὴν ὅλην τῆς ἐξουσίας ἀρχὴν Λέων ὁ καθ' ἡλικίαν πρῶτος τῶν περιόντων υἱῶν.

P 593 Λέων δὲ τῶν ὅλων γενόμενος κύριος, τῶν ἄλλων τῶν συμβαλλομένων τῷ πολιτεύματι ὀλίγα ἢ τὸ παράπαν μὴ φροντίσας, τῷ θυμῷ δὲ σφαδάζων καὶ τὴν παρὰ τοῦ Σανδαβαρηνοῦ κατ' αὐτοῦ συστᾶσαν σκευωρίαν ἔναυλον ἔχων, εὐθὺς διαναστῆναι ἔκρινε πρὸς ἐκδίκησιν, προκαταστησάμενος εὐλογοφανεῖς αἰτίας, ὡς ἂν δόξειε τὰ πραττόμενα μετ' εὐλόγου πράττεσθαι ἀφορμῆς, καὶ τὰ ἐμπόδια ἐκ μέσου περιελών. εἰδὼς γὰρ ὡς οὐκ ἄν τι δυνηθείη φαῦλον ἐνδείξασθαι κατὰ τοῦ Σανδαβαρηνοῦ Φωτίου τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον, — προστήσεσθαι γὰρ αὐτοῦ γενναιότερον καὶ ἀντιλήψεσθαι ὑπετόπασε, καὶ μὴ συγχωρῆσαι τυ-

21 φλαῦρον C

mittit. ac non magno post temporis intervallo ad naturam reversus Leonem carcere eductum in conspectum suum admittit, vestem lugubrem demit, comae superflua, quae per luctum creverant, auferri iubet, dignitatemque Caesaris pristinam reddit.

Haud multo post Basilius in alvi profluvium incidit; eoque morbo paulatim contabescens, cum res imperii pro suo arbitrio constituisset heredemque et successorem suum declarasset, diem obit. imperavit cum Michaelo annum unum, solus unumdeviginti annos imperium praeclare gessit. successit ei Leo, filiorum superstitum maximus natu.

Leo summa rerum ad se devoluta, initio ceterorum quae ad rem publicam pertinebant aut exiguam aut nullam curam gessit, sed prae ira tumultuans insidiasque in se Sandabareni recenti memoria animo obversans statim ad exigendas de eo poenas se accinxit, causas in speciem honestas ac probabiles praetexens, ut quae agebantur omnia ratione recta fieri putarentur, et impedimenta amoliens. primo omnium de submovendo Photio patriarcha cogitatum, quod hoc pontificatum suum obtinente sentiret Sandabareno se male facere non posse, quem a Photio acriter defensum et contra vim propugnatum iri noverat. etenim

ῥανικόν τι παθεῖν· καὶ γὰρ δὴ καὶ ἐφέρετο λόγος ὡς αὐτὸς ὁ B Φώτιος οἰκείῳ συγγενεῖ μνηστευόμενος τὴν βασιλείαν καὶ τῷ Σανδαβαρηνῷ κοινολογησάμενος, καὶ δόξαν ἀμφοῖν μὴ ἄλλως ἐπιτυχεῖν τοῦ ἐφετοῦ εἰ μὴ ὁ Λέων ἐκποδὼν γένοιτο, τὴν προειρημένην ἔρραψαν κατ' αὐτοῦ συκοφαντίαν. τοῦτον οὖν ἔγνω πρῶτον μετακινῆσαι τοῦ θρόνου, καὶ ταχέως ἐκπέμψας τὸν μάγιστρον Ἀνδρέαν τὸν στρατηλάτην, ἅμα τῷ μαγίστρῳ Ἰωάννῃ καὶ γεγονότι λογοθέτῃ τοῦ δρόμου τῷ Ἁγιοπολίτῃ, κατὰ τὴν μεγάλην ἐκκλησίαν ἀνελθεῖν ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας προσέταξε, καὶ τὰς τοῦ πατριάρχου Φωτίου αἰτίας πάντων εἰς ἐπήκοον ἀναγνόντας τοῦ θρόνου τοῦτον καταγαγεῖν κἀν τῇ τῶν Ἁρμονιανῶν περιορίσαι μονῇ. κατὰ πόδας δὲ Στέφανον σύγκελλον, τὸν ἑαυτοῦ ἀδελφόν, C ὁ βασιλεὺς πατριάρχην προβάλλεται, ὅτι μὴ τοῖς ζῶσιν ἐνηριθμεῖτο ὁ Ἡρακλείας, ὑπὸ Θεοφάνους χειροτονηθέντα τοῦ πρωτοθρόνου. πέμψας δὲ διὰ ταχέων εἰς τὴν Εὐχάϊταν, τὸν Σανδαβαρηνὸν Θεόδωρον τὴν εἰρημένην ἐκκλησίαν πηδαλιουχοῦντα εἰσαγαγεῖν ὡς αὐτὸν προσέταξεν.

Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, τὸν στρατηλάτην Ἀνδρέαν καὶ ἄλλους συγκλητικοὺς πολλοὺς εἰς τὸ ἐν Χρυσοπόλει τοῦ Φιλιππικοῦ μοναστήριον ἐκπέμψας μετὰ κλήρου καὶ κηρῶν καὶ λαμπάδων καὶ ἀρωμάτων ἐξαγαγεῖν τοῦ τάφου τὸν ἀναιρεθέντα βασιλέα Μιχαὴλ διωρίσατο, ἐν κυπαρισσίνῃ τε λάρνακι καταθεῖναι, καὶ ἐντίμως καὶ βασιλικῶς περιστείλαντας ἐν τῇ πόλει εἰσαγαγεῖν, D

4 σκοποῦ C 12 δὲ] δὲ τὸν C 15 Εὐχάϊτα C 19 χρυσοπόλει C

id quoque iactabatur, Photium in eo fuisse ut suorum cognatorum quendam ad imperium eveheret; cumque id se perficere nisi sublato Leone nequire iudicaret, Sandabareno idem sentienti in parandis istis insidiis socium se praebuisse. ergo imperator Andream magistrum, exercituum ducem, cum Ioanne Hagiopolita magistro et dromi logotheta mittit in magnam ecclesiam, iubetque eos de suggesto ad aures multitudinis ex scripto recitare crimina Photii, eumque in Harmonianorum monasterium relegare. e vestigio in eius locum Leo fratrem suum Stephanum syncellum ingerit; quem, quia tum episcopus Heracleae in vivis non erat, Theophanes praeses designavit. celeriter etiam Euchaitam misit, qui inde Sandabarenum Theodorum (is enim eius urbis ecclesiae gubernacula tenebat) ad se adducerent.

Dum haec geruntur, interim Andrea exercituum praefecto aliisque senatoriis viris multis Chrysopolin ad Philippici monasterium missis cum coetu sacerdotum, cereis, facibus atque aromatibus, cadaver Michaeli imperatoris trucidati sepulchro educi, in arca cupressina poni, imperatorioque splendore velatum Cpolin afferri iussit. ibi cum cantu

κἀκεῖθεν μετὰ ᾠδῶν καὶ ὕμνων ἄχρι τοῦ ναοῦ τῶν ἁγίων ἀποστόλων προπέμψαι, ἑπομένων ἐκεῖσε καὶ τῶν τοῦ βασιλέως ἀδελφῶν Ἀλεξάνδρου καὶ Στεφάνου τοῦ πατριάρχου, καὶ ἐν λάρνακι θεῖναι μαρμαρίνῃ· ὃ καὶ ἐγένετο.

Προεβάλλετο δὲ καὶ Στυλιανὸν τὸν Ζαουτζᾶν μάγιστρον καὶ λογοθέτην τοῦ δρόμου· ἤδη γὰρ ἤρξατο πλησιάζειν τῇ αὐτοῦ θυγατρί, ζώσης ἔτι τῆς κατὰ νόμον συνεζευγμένης αὐτῷ γυναικὸς τῆς Αὐγούστης Θεοφανοῦς, ἀκουούσης καὶ βλεπούσης τὰ γινόμενα, καὶ μηδαμῶς τῷ τῆς ζηλοτυπίας πάθει ἀναφλεχθείσης ποτέ.

P 594 Κατὰ πόδας δὲ παρελήφθη παρὰ τῶν Ἀγαρηνῶν καὶ ἡ κατὰ τὸ Χαρσιανὸν διακειμένη πόλις ἡ ὑψηλή, καὶ ᾐχμαλωτίσθη ἅπας ὁ ἐν ταύτῃ λαός. ἐγένετο δὲ καὶ ἐμπρησμὸς κατὰ τὸ μεσημβρινὸν μέρος τῆς πόλεως, ἐν τῇ λεγομένῃ Σιδηρᾷ. ἔργον δὲ τούτου γέγονε καὶ ὁ ναὸς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ὃν τεφρωθέντα καὶ αἰθάλην γενόμενον ὁ βασιλεὺς αὖθις πολυτελῶς ἀνεκαίνισεν.

Εἰσήχθη δὲ καὶ ὁ Σανδαβαρηνὸς εἰς τὴν πόλιν, καὶ ὑπέθεντο τῷ βασιλεῖ Ἀνδρέας ὁ στρατηλάτης καὶ Στέφανος μάγι-
B στρος, οἳ πολλὰ παρὰ τοῦ Σανδαβαρηνοῦ πρὸς Βασίλειον τὸν βασιλέα διαβληθέντες, ἐξετάσαι τὰ τῆς γενομένης κατ' αὐτοῦ τοῦ βασιλέως γραφῆς. διεβεβαιοῦντο δὲ καὶ δυνατὸν εἶναι ἐξελεγχθῆναι ὡς βουλόμενοι Φώτιός τε ὁ πατριάρχης καὶ αὐτὸς ὁ Σανδαβαρηνός τινα τῶν τοῦ Φωτίου συγγενῶν εἰς τὴν βασιλείαν ἀναγαγεῖν

5 ζαατζᾶν C 7 νόμους C

et hymnis exceptum, itaque usque ad aedem apostolorum deductum est, comitantibus pompam etiam fratribus imperatoris, Alexandro patriarcha et Stephano. estque repositum in marmorea arca.

Idem Leo Stylianum Zautzam magistrum ac logothetam dromi creavit, cuius cum filia iam tum consuetudinem habebat, vivente etiamnum legitima uxore Augusta Theophanone; quae etsi videbat inaudiebatque quid rei gereretur, nunquam tamen aemulatione ob violatam lecti fidem exarsit.

Eo ipso tempore Agareni urbem quae ad Charsianum erat sublimem ceperunt, incolasque omnes captivos abduxerunt. incendium quoque in urbis parte meridionali, loco cui Ferreae nomen, cum alia absumpsit, tum apostoli Thomae templum in cinerem ac favillam redegit; quod magno deinde impendio imperator instauravit.

Interim Sandabareno Cpolin adducto, Andreas exercituum dux et Stephanus magister, quos Sandabarenus apud Basilium multis calumniis gravarat, Leoni suadent ut de crimine ipsi intentato inquisitionem instituat; affirmantque fieri posse ut certis demonstretur indiciis quo pacto Photius patriarcha et Sandabarenus, ut quendam Photii cognatum ad

τὸ μελετηθὲν ὑπεκρίναντο δρᾶμα. πεμφθέντες οὖν τινὲς πρὸς βασιλέως ἀγαγεῖν τόν τε Φώτιον καὶ τὸν Σανδαβαρηνὸν ἐν τοῖς παλατίοις τῶν πηγῶν ἐκελεύσθησαν. ἰδίᾳ μέντοι ὥριστο φρουρεῖσθαι ἑκάτερον. ἐξετασταὶ δὲ καὶ διαγνώμονες τῶν κατ' αὐτῶν κινουμένων αὐτός τε ὁ στρατηλάτης ἐπέμφθη Ἀνδρέας καὶ ὁ μάγιστρος Στέφανος καὶ ὁ μάγιστρος ὁ Ἁγιοπολίτης καὶ Κρατερὸς C καὶ Γοῦβερ οἱ πατρίκιοι. ἀγαγόντες οὖν τὸν πατριάρχην Φώτιον καὶ ἐντίμως ἐπὶ θρόνου καθίσαντες, καὶ αὐτοὶ καθισθέντες, τὴν ἐξέτασιν ἐποιοῦντο. καὶ φησὶν ὁ στρατηλάτης πρὸς τὸν πατριάρχην "γνωρίζεις, ὦ δέσποτα, τὸν μοναχὸν Θεόδωρον;" ὁ δὲ "μοναχοὺς οἶδα Θεοδώρους πολλούς· ποῖον λέγεις;" τοῦ δὲ Ἀνδρέου προσθεμένου τὴν τοῦ Σανδαβαρηνοῦ προσηγορίαν, ὁ πατριάρχης "γινώσκω" ἔφη "τὸν ἄνδρα, ἐπίσκοπον τῶν Εὐχαΐτων ὑπάρχοντα." ἐνεχθέντος δὲ καὶ τοῦ Σανδαβαρηνοῦ φησὶ πρὸς αὐτὸν ὁ Ἀνδρέας "ὁ βασιλεύς σοι δηλοῖ, ποῦ εἰσὶ τὰ χρήματα D καὶ τὰ πράγματα τῆς βασιλείας μου;" ὁ δὲ ὑπολαβὼν "παρ' ἐκείνοις οἷς δέδωκε ταῦτα ὁ κατὰ τὴν ἡμέραν βασιλεύς. ἐπεὶ δὲ νῦν ζητεῖ ταῦτα ὁ ἄρτι κρατῶν, ἐξουσίαν ἔχει καὶ ζητεῖν ταῦτα καὶ λαμβάνειν." καὶ ὁ Ἀνδρέας "εἰπὲ τέως, σὺ τίνα ἐβουλεύου βασιλέα ποιῆσαι, τῷ πατρὶ τοῦ βασιλέως ὑποτιθεὶς τοῦ οἰκείου παιδὸς ἐξορύξαι τοὺς ὀφθαλμούς; σὸν συγγενῆ ἢ τοῦ πατριάρχου;" ὁ δὲ ἐξώμνυτο μηδὲν ὧν κατηγορεῖτο εἰδέναι. καὶ φησὶν ὁ μάγιστρος Στέφανος "εἶτα, ὦ πολύτροπε καὶ μηχανορράφε,

3 βασιλείοις C 6 ἁγιοπελαγίτης C 11 ποῖον δὲ Θεόδωρον λέγεις C 14 τυγχάνοντα C

imperium eveherent, fabulam istam commenti fuerint. mittuntur ergo ab imperatore qui Photium et Sandabarenum in palatium ad Fontes adducant: uterque seorsim in custodia habetur. inquisitores et cognitores criminum quae obiiciebantur deliguntur ille idem Andreas, Stephanus et Hagiopolita magistri, Craterus et Guber patricii. hi patriarcham Photium producunt et in solio honorifice collocant, et ipsi iuxta assidentes examen instituunt. ibi Andreas ad Photium "nostin, domine, monachum Theodorum?" respondente Photio multos se monachos Theodoros nosse, et de quo interrogaretur nescire, nomen Sandabareni addidit Andreas; et Photius hunc sibi notum esse fatetur, episcopum Euchaitanum. adducitur etiam Sandabarenus. huic Andreas "quaerit" inquit "ex te imperator ubi pecuniae et res imperii sui sint?" respondet "in eorum manibus, quibus imperator hodie imperium gerens mandavit; habetque potestatem, si ita vult, eas quaerendi et recipiendi." Andreas porro "dic" ait, "quis erat iste quem imperatorem facere voluisti, quo tempore Basilio auctor fuisti ut filio suo nunc imperanti oculos erueret? tibine fuit sanguine propinquus an patriarchae?" Sandabareno iurante nihil se sibi eorum quae obiicerentur esse conscium, Stephanus "quo-

πῶς ἐμήνυσας περὶ τούτου τῷ βασιλεῖ ἐξελέγξειν τὸν πατριάρχην;" καὶ ὅς, ὡς ἤκουσε τούτου τοῦ λόγου, εὐθέως ἐπιλαμβάνεται τῶν τοῦ πατριάρχου ποδῶν, "ὁρκίζω σε δέσποτα κατὰ τοῦ θεοῦ" λέγων "πρότερόν με καθαιρῆσαι, καὶ τότε γυμνὸν ἱερωσύνης
P 595 *παραλαβέτωσαν καὶ κολαζέτωσαν ὡς κακοῦργον. οὐδὲν γὰρ τοιοῦτον σύνοιδα ἐμαυτῷ, οὔτε τῷ βασιλεῖ ἐμήνυσα." ὁ δὲ πατριάρχης ἀναλαμβάνων αὐτὸν καὶ τῶν ποδῶν ἀνιστῶν φησὶ "μὰ τὴν ἐμὴν σωτηρίαν, κύριε Θεόδωρε, ἀρχιεπίσκοπος εἶ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι." θυμωθεὶς δὲ Ἀνδρέας ὁ στρατηλάτης "καὶ οὐκ ἐμήνυσας δι' ἐμοῦ τῷ βασιλεῖ, ἀπατεὼν καὶ γόης, τὸν πατριάρχην περὶ τούτου ἐλέγξαι;" ὁ δὲ πάλιν ἀπηρνεῖτο περὶ τούτου μηδὲν εἰδέναι. ὑποστρεψάντων δὲ τῶν ἀρχόντων καὶ τὰ λαληθέντα γνώριμα θεμένων τῷ βασιλεῖ, αὐτὸς τῷ θυμῷ φλεγμαίνων, καὶ πλέον διὰ τὸ μὴ κατὰ τοῦ πατριάρχου εὔλογον*
B *αἰτίαν εὑρεῖν, ἀποστείλας ἐμάστιξε τὸν Σανδαβαρηνὸν ἀπηνῶς καὶ ἐν Ἀθήναις ἐξώρισε, καὶ κατόπιν ἀποστείλας ἐτύφλωσε καὶ κατὰ τὴν ἕω μετέθηκεν. ἀνεκαλέσατο δὲ τοῦτον μετὰ χρόνων πολλῶν παρολκήν, καὶ σιτήσεις τούτῳ ἀφώρισεν ἀπὸ τῆς νέας ἐκκλησίας. ἐτελεύτησε δὲ μετὰ θάνατον Λέοντος, ἐπὶ Ζωῆς τῆς αὐτοῦ γυναικὸς καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ βασιλευόντων.*

Τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Λέοντος Ἀγγαίων ὁ Λαγγο-

1 ἐξελέγχειν C   7 τὴν σωτηρίαν τὴν ἐμήν C   8 κῦρι C
22 ἁγίων C

modo ergo" ait, "versute veterator, de hac re indicium ad imperatorem detulisti, convicturum te patriarcham dicens?" haec verba simulatque audivit Sandabarenus, patriarchae pedes amplexus "obtestor te" inquit, "domine, per deum, ut mihi sacerdotalem prius adimas dignitatem; atque tum exauctoratum me ii arripiant et ut maleficum puniant. nam mihi ego nullius talis rei sum conscius, neque imperatori quicquam indicavi." eum patriarcha a pedibus suis attollens inquit "per salutem meam, domine Theodore, et in hoc et in futuro seculo archiepiscopus es." ad haec Andreas ira concitus "hem" ait, "impostor atque praestigiator, an non per me imperatori significasti te patriarcham velle convincere?" Theodorus rursum infitias ire, et quicquam tale sibi cognitum negare. imperator, cum ad eum reversi inquisitores quid responsum esset rettulissent, ira ardens, maxime quod probabilem causam Photii male tractandi non inveniret, Sandabarenum flagris atrociter caedi iussit, eoque facto Athenas eum relegavit. missisque post eum ministris oculis spoliatum in Orientem deportavit. longo autem post tempore cum revocavit, et alimenta ei ex nova ecclesia decrevit; mortuusque est Theodorus post Leonis obitum, Zoa eius uxore et Constantino filio imperantibus.

Annum secundum imperante Leone, Angaeo Longibardiae dux,

βαρδίας δοὺξ, γαμβρὸς δὲ τοῦ ῥηγὸς Φραγγίας, τὸν θάνατον πυθόμενος Βασιλείου τοῦ βασιλέως ἀπέστη τῆς πρὸς Ῥωμαίους φιλίας καὶ πᾶσαν τὴν χώραν ὑφ' ἑαυτὸν ἐποιήσατο. τοῦτο γνοὺς ὁ βασιλεὺς τὸν πατρίκιον Κωνσταντῖνον, τὸν ἐπὶ τῆς τραπέζης, C μετὰ τῶν δυτικῶν ἐκπέμπει κατ' αὐτοῦ θεμάτων. συμβολῆς δὲ γενομένης οἱ περὶ τὸν Κωνσταντῖνον ἡττήθησαν καὶ κατεκόπησαν, μόγις ἐκείνου περισωθέντος.

Κατὰ τοῦτον τὸν καιρὸν ἐγένετο καὶ ἡλίου ἔκλειψις περὶ ὥραν ἕκτην τῆς ἡμέρας, ὥστε καὶ ἀστέρας φανῆναι, ἀνέμων τε βιαία πνοὴ καὶ ἀστραπαὶ καὶ βρονταὶ φρικώδεις καὶ σκηπτοὶ καυσώδεις, ὑφ' ὧν καὶ ἄνδρες ἑπτὰ ἐν τοῖς ἀναβάθμοις τοῦ ἁγίου Κωνσταντίνου ἐν τῷ φόρῳ ἐκεραυνώθησαν. ἐπολιορκήθη δὲ καὶ ὑπὸ Σαρακηνῶν ἡ Σάμος, συμπαραληφθέντος καὶ τοῦ στρατηγοῦντος ἐν αὐτῇ Κωνσταντίνου πατρικίου τοῦ Πασπαλᾶ. ὁ δὲ D βασιλεὺς τῷ πρὸς Ζωὴν τὴν θυγατέρα τοῦ Ζαουτζᾶ φίλτρῳ νικώμενος τιμᾷ τὸν ταύτης πατέρα βασιλεοπάτορα, αὐτὸς τὸ ἀξίωμα καινουργήσας μὴ πρότερον ὄν. ἡ γὰρ Ζωὴ μέγιστον ἐπὶ κάλλει καὶ εὐπρεπείᾳ τῷ τότε διαλάμπουσα συνέζευκτο μὲν ἀνδρὶ Θεοδώρῳ πατρικίῳ τῷ Γουνιαζίτζῃ, ἐκείνου δὲ δολοφονηθέντος φαρμάκῳ ἐπαλλακεύετο τῷ βασιλεῖ καὶ ζώσης, ὡς εἴρηται, τῆς αὐτοῦ γυναικός.

Τῷ δ' ἐπιόντι ἔτει Στέφανος ὁ τοῦ βασιλέως ἀδελφὸς καὶ πατριάρχης ἀπέλιπε τὴν ζωήν, καὶ προεχειρίσθη Ἀντώνιος ἀντ'

4 τῆς] τῆς αὐτοῦ C   5 ταγμάτων C   20 ὡς εἴρηται om C

regis Franciae gener, cognita Basilii morte a societate Romanorum descivit, sibique totam dicionem vindicavit. contra eum Leo Constantinum patricium, mensae praefectum, cum Occidentalibus mittit copiis. commissa pugna Constantinus succubuit, vixque caedem ipse evasit, exercitu suo occidione deleto.

Sub idem tempus sol hora diei sexta ita defecit ut stellae viderentur. exstitere etiam vehementes ventorum flatus, fulgura, tonitrua terribilia et ardentia fulmina, quibus septem viri in gradibus sancti Constantini in foro icti perierunt. tunc etiam Samus a Sarracenis obsessa est, incluso simul etiam praetore eius Constantino patricio, cognomine Paspala. at imperator Zoes amore impulsus Zautzam eius patrem, nova dignitate excogitata, imperatoris patrem appellat. nam Zoe ista cum facile omnium ea aetate mulierum forma esset praestantissima, nupserat patricio Theodoro Guniazitzae: sed cum maritus eius per dolum veneno necatus esset, imperator eam etiam superstite adhuc eius uxore in concubinatu habuit, ut iam supra dictum fuit.

Anno insequenti Stephanus imperatoris frater moritur. patriarcha in eius locum creatur Antonius cognomento Cauleas. hic erat urbana-

αὐτοῦ πατριάρχης, ὁ τὴν ἐπωνυμίαν Καυλέας. καὶ τὰ μὲν κατὰ τὴν πόλιν ἐφέρετο οὕτως, Συμεὼν δ' ὁ τῶν Βουλγάρων ἄρχων P 596 τὰς πρὸς Ῥωμαίους σπονδὰς διαλύσασθαι σπεύδων πρόφασιν εὗρε τοιαύτην. δοῦλος ἦν εὐνοῦχος τῷ βασιλεοπάτορι Μουσικὸς καλούμενος. οὗτος συμφιλιωθεὶς ἀνδράσιν ἐμπορικοῖς καὶ φιλοκερδέσι, βουλόμενος κερδαίνειν αὐτούς, τῇ πρὸς τὸν Ζαουτζᾶν χρησάμενος παρρησίᾳ τὰς ἐκ Βουλγαρίας εἰσαγομένας πραγματείας εἰς τὴν πόλιν εὐθέως μετέστησεν εἰς Θεσσαλονίκην, καὶ τοὺς εἰρημένους ἐμπόρους τελώνας ἐκεῖσε κατέστησεν, οἵτινες κακῶς διετίθεσαν τοὺς τὰς πραγματείας μετιόντας Βουλγάρους, βαρέα εἰσπραττόμενοι τελωνήματα. τῶν δὲ Βυλγάρων ἀναγγειλάντων B ταῦτα τῷ Συμεών, καὶ τούτου δῆλα τῷ βασιλεῖ καταστήσαντος, ἐπεὶ τῇ πρὸς τὸν Ζαουτζᾶν συμπαθείᾳ νικώμενος πάντα ὡς λῆρον ἡγήσατο καὶ οὐδεμιᾶς ἠξίωσεν ἐπιστροφῆς, μανεὶς ὁ Συμεών, καὶ ἄλλως, ὡς εἴρηται, πρόφασιν εὐπρόσωπον ζητῶν, αἴρει κατὰ Ῥωμαίων τὰ ὅπλα. ὅπερ ἀκούσας ὁ βασιλεὺς καὶ αὐτὸς ἀνθοπλίζεται, καὶ Προκόπιον τὸν Κρηνίτην τὴν τοῦ στρατηλάτου μετιόντα λειτουργίαν λαῷ πολλῷ καὶ ἄρχουσι καθοπλίσας, δούς τε αὐτῷ καὶ Κουρτίκιον τὸν Ἀρμένιον, ἐκπέμπει κατὰ τοῦ Συμεών. συρραγέντων δ' ἐν Μακεδονίᾳ τῶν στρατευμάτων ἡττῶνται Ῥωμαῖοι, καὶ κατασφάττονται αὐτός τε ὁ Κρηνίτης καὶ ὁ Κουρτίκιος Ἀρμένιος καὶ ἄλλοι πολλοί, τῶν κατασχεθέντων ἀπὸ τῆς C ἑταιρείας τοῦ βασιλέως τοῦ Συμεὼν ἀποτεμόντος τὰς ῥῖνας καὶ εἰς τὴν πόλιν ἐκπεπομφότος πρὸς αἰσχύνην Ῥωμαίων. τῷ τοιούτῳ δὲ

8 ἐν Θεσσαλονίκῃ C 9 οἳ C 20 ἡττῶντο C 21 κατασφάττεται C

rum rerum status. at Simeon Bulgarorum princeps, foederis Romani confundendi cupidus, hanc arripuit ansam. erat eunuchus Zautzae nomine Musicus. is societate cum mercatoribus ac lucro intentis hominibus inita, rem cupiens facere, usus ad hoc libertate quae ei apud Zautzam erat, negotiationes quas Cpoli habere solebant Bulgari, subito Thessalonicam transfert, mercatoresque istos ibi publicanos facit. ii cum Bulgarorum negotiatores vexarent ab iisque iniqua exigerent vectigalia, Simeon a suis monitus ea de re apud Leonem queritur; et cum victus in Zautzam favore imperator pro nugis hoc negotium haberet neque ulla dignaretur cura, irritatus, alioquin occasionem pacis rumpendae honestam quaerens, arma adversus Romanos capit. Leo ubi hoc rescivit, ipse quoque ad bellum se parat; et Procopium Crenitam, cui tunc munus ducendorum exercituum impositum erat, magnis cum copiis et ductoribus, addito etiam Curticio Armenio, contra Bulgaros mittit. in Macedonia adversae acies concurrerunt, victique Romani et occisi sunt, interque hos Crenites etiam ac Curticius. quos de exercitu Romano cepit Simeon, eos ludibrii causa naribus mutilatos in urbem re-

πάθει καὶ τῷ προπηλακισμῷ τοῦ Συμεὼν περιαλγὴς γενόμενος ὁ βασιλεὺς Νικήταν πατρίκιον τὸν τὴν ἐπωνυμίαν Σκληρὸν διὰ τοῦ Ἴστρου πρὸς Τούρκους τοὺς Οὔγγρους καλουμένους ἀπέστειλεν, ἐφ' ᾧ περαιώσασθαι τὸν ποταμὸν καὶ τὴν Βουλγαρίαν τὸν ἐνόντα τρόπον λυμήνασθαι. ὁ δὲ τοῖς Τούρκοις συμμίξας καὶ πείσας κατὰ τῶν Βουλγάρων ὅπλα κινεῖν, ὁμήρους τε λαβών, εἰς βασιλέα ὑπέστρεψεν. ἀλλὰ δὴ καὶ αὐτὸς ὁ βασιλεὺς διά τε γῆς καὶ θαλάττης ἐγνώκει Βουλγάροις πολεμεῖν. διὰ μὲν οὖν θαλάσσης D
Εὐστάθιον ἐκπέμπει τὸν πατρίκιον καὶ δρουγγάριον, διὰ δὲ γῆς τὸν πατρίκιον Νικηφόρον τὸν Φωκᾶν, προβαλόμενος αὐτὸν μετὰ τὸν Ἀνδρέου θάνατον δομέστικον τῶν σχολῶν. ὧν μέχρι Βουλγαρίας ἀφικομένων ὁ βασιλεὺς ἔτι τὴν εἰρήνην στέργων τὸν κοιαίστωρα Κωνσταντινάκιον ἐκπέμπει πρὸς Συμεών· ὃν οὗτος κατασχὼν τίθησιν ἐν φρουρᾷ, δολίως πρὸς αὐτὸν ἀφικέσθαι νομίσας. ἀσχολουμένου δὲ περὶ τὸ στράτευμα τὸ περὶ τὸν Φωκᾶν τοῦ Συμεών, οἱ Τοῦρκοι περαιωθέντες τὸν ποταμὸν πᾶσαν τὴν Βουλγαρίαν ἐληΐσαντο. ὅπερ ὡς ἠγγέλθη τῷ Συμεών, τὸν Φωκᾶν ἀφεὶς κατὰ τῶν Τούρκων ἐτράπετο. γλιχόμενοι δὲ καὶ αὐτοὶ συμπλακῆναι Βουλγάροις, περαιωθέντες τὸν Ἴστρον τούτοις προσβάλλουσι καὶ νικῶσι κατὰ κράτος, μόλις τοῦ Συμεὼν ἐν Δοροστόλῳ σωθέντος, ὃ καὶ Δρίστα καλεῖται. νικήσαντες οὖν οἱ P 597
Τοῦρκοι ᾐτήσαντο τὸν βασιλέα τοὺς κατασχεθέντας ὑπ' αὐτῶν αἰχμαλώτους ὠνήσασθαι· πρὸς ὃ καὶ κατανεύσας τοὺς πολίτας

2 τῇ ἐπωνυμίᾳ C 18 ἐστράτευσε C 21 περισωθέντος C δίστρα C

misit. hac clade et contumelia Leo in summum animi coniectus dolorem, Nicetam patricium cognomento Sclerum (id est, durum) per Istrum ad Turcos sive Ungros mittit, ab iisque petit ut flumine traiecto Bulgariam pro virili infestent. Niceta cum Turcis congressus iis ut arma in Bulgaros moverent persuadet, obsidibusque acceptis ad imperatorem redit. nec non imperator quoque bellum terra marique contra Bulgaros suscipit, classi praefecto Eustathio patricio et drungario, terrestribus copiis Nicephoro Phocae patricio commissis, quem Andrea mortuo domesticum scholarum fecerat. hic cum iam Bulgaris appropinquasset, Leo adhuc pacis cupidus Constantinacium quaestorem ad Simeonem mittit. quem barbarus dolose ad se legatum putans in custodiam datum detinuit. dum ad Phocae exercitum profligandum se parat Simeon, interim Turci fluvio transmisso universam Bulgariam populantur. quod ubi annuntiatum est Simeoni, omisso Phoca in Turcos contendit; qui et ipsi cum Bulgaris praelium committere cupidi Istrum transeunt, eosque pugna congressos devincunt. Simeon aegre Dorostolum, quod et Drista nominatur, fuga elapsus est. Turci victoria potiti ab imperatore petunt ut Bulgaros a se captos emat. annuit im-

ἐξαπέστειλεν εἰς τὴν τούτων ἐξώνησιν. θρανσθεὶς οὖν ὁ Συμεὼν διὰ τοῦ δρουγγαρίου Εὐσταθίου τὸν βασιλέα ἱκέτευε περὶ τῆς εἰρήνης· πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεύς, καὶ τὸν Χοιροσφάκτην Λέοντα ἐπὶ τῷ ποιήσασθαι ἐξαπέστειλε τὰς σπονδάς, καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Φωκᾶς καὶ ὁ δρουγγάριος ὑποστρέψαι μετὰ τοῦ λαοῦ ἐκελεύσθησαν. ὁ δὲ Συμεὼν ἀπελθόντα πρὸς αὐτὸν τὸν Χοιροσφάκτην Λέοντα ἐν εἱρκτῇ κατέσχε, μηδὲ λόγου αὐτὸν ἀξιώσας. ἐκστρατεύσας δὲ βαρεῖ στρατῷ κατὰ τῶν Τούρκων, B μὴ δυνηθέντος τοῦ βασιλέως διὰ τὸ αἰφνίδιόν τε καὶ ἀπροσδόκητον βοήθειαν αὐτοῖς παρασχεῖν, αὐτούς τε ἐτρέψατο καὶ τὴν χώραν πᾶσαν κατέδραμε. γαυριῶν δ' ἐπὶ τῇ νίκῃ καὶ φρυαττόμενος ἔγραψε πρὸς τὸν βασιλέα μὴ πρότερον ποιῆσαι εἰρήνην πρὶν ἂν ἀπολήψεσθαι τοὺς αἰχμαλώτους Βουλγάρους. ἐπένευσε δὲ πρὸς τοῦτο ὁ βασιλεύς. ἦλθεν οὖν μετὰ τοῦ Χοιροσφάκτου Θεόδωρός τις οἰκεῖος ὢν τῷ Συμεών, καὶ παρειλήφει πάντας.

Ἐξόχως δὲ τὸν δομέστικον Νικηφόρον τὸν Φωκᾶν ὑπὸ τοῦ βασιλέως ἀγαπώμενον ὁ βασιλεοπάτωρ Ζαουτζᾶς γαμβρὸν ἐσπούC δαζε ποιῆσαι. ἀπαναινομένου δὲ πρὸς τοῦτο καὶ ὀργὴν ὑποπτεύοντος ἐκ βασιλέως, θυμωθεὶς ὁ Ζαουτζᾶς καὶ αἰτίαν κατ' αὐτοῦ ῥάψας παρέλυσε τοῦτον τῆς ἀρχῆς, προβαλόμενος ἀντ' αὐτοῦ Καταχαλὼν μάγιστρον τὸν Ἀβίδηλαν. ἐπ' ὀλίγον δὲ σχολάσας ὁ Νικηφόρος στρατηγὸς τῶν Θρᾳκησίων προβάλλεται. ἀριστείας

5 ὁ Φωκᾶς om C 11 ἐκαιρόμενος margo P 19 αἰτίας margo P

perator, civesque suos emptum mittit. Simeon fractus per drungarium Eustathium pacem ab imperatore petit. is eam concedens Leonem cognomine Choerosphactam (occisorem porci id significat) ad condiciones pacis dandas accipiendasque mittit, Phocam scholarum domesticum et drungarium cum copiis domum redire iubet. Simeon ad se venientem Choerosphacten ne alloquio quidem dignatus in carcerem coniicit. inde magno cum exercitu in Turcos facta expeditione, cum ob subitam insperatamque rem auxilia eis mittere imperator non posset, in fugam eos pellit, eorumque regionem omnem depraedatur. eam ob victoriam ferociens ad imperatorem scribit, se pacem non facturum nisi receptis captivis Bulgaris. id quoque admittente imperatore, venit cum Choerosphacta Theodorus quidam Simeonis familiaris, et captivos omnes dimissos domum abducit.

Circa hoc tempus Nicephorum Phocam domesticum, imperatori percarum, Zautzas generum suum facere studuit; et recusantem, quod metueret ne eo facto imperatoris indignationem incurreret, iratus conficto crimine sua functione detrusit, eique suffecit Catacalon Abidelam magistrum. Nicephorus cum non diu in otio vixisset, mox Thracensibus

δὲ πολλὰς ἐν πάσαις ταῖς αὐτοῦ ἀρχαῖς διαπραξάμενος, καὶ πολλὰ κατὰ τῶν Ἀγαρηνῶν καὶ ἄλλων ἐθνῶν στήσας τρόπαια, τελευτᾷ τὸν βίον ἐν γήρᾳ βαθεῖ, δύο παῖδας καταλιπὼν Βάρδαν καὶ Λέοντα.

Ὁ δὲ βασιλεύς, μὴ θελήσαντος τοῦ Συμεὼν τὰς σπονδὰς D ἐκπληρῶσαι, ἔγνω δεῖν αὐτὸν καταπολεμῆσαι καὶ τελείῳ ἀφανισμῷ παραδοῦναι. διορισάμενος τοίνυν πάντα περαιωθῆναι τὰ τῆς ἀνατολῆς τάγματά τε καὶ θέματα, παρασκευάσας δὲ καὶ τὰ δυτικὰ καὶ ἄλλον οὐκ ὀλίγον λαόν, ἐκπέμπει κατὰ τοῦ Συμεών, ἔξαρχον αὐτοῖς ἐπιστήσας καὶ ἡγεμόνα τὸν δομέστικον τῶν σχολῶν Καταχαλών, συνεπόμενον ἔχοντα καὶ τὸν πατρίκιον Θεοδόσιον καὶ πρωτοβεστιάριον. ἐρχομένῳ τοίνυν τῷ Συμεὼν συναντῶσι κατὰ τὸ Βουλγαρόφυγον, καὶ πολέμου κροτηθέντος τρέπονται Ῥωμαῖοι, καὶ πολὺς ἐγένετο φθόρος, ἀπώλετο δὲ καὶ αὐτὸς ὁ πρωτοβεστιάριος, αἰσχρῶς τοῦ δομεστίκου μετ' ὀλίγων τινῶν ἐν τῷ Βουλγαροφύγῳ περισωθέντος. ἀπελθόντος δὲ τοῦ βασιλέως ἐν τοῖς λεγομένοις ἀγροῖς τοῦ Δαμιανοῦ μετὰ Ζωῆς τῆς τοῦ Ζαουτζᾶ, καὶ δόξαν αὐτῷ μεῖναι ἐκεῖ, ἐπιβουλὴν συνεστήσαντο κατ' αὐτοῦ ὅ τοῦ Ζαουτζᾶ υἱὸς Λέων, Χριστοφόρος ὁ Τζάντζης καί τινες ἄλλοι. τῆς δὲ Ζωῆς τὸν θόρυβον ἐνωτισθείσης ὁ βασιλεὺς διυπνίσθη, καὶ εὐθὺς ἐν πλοίῳ εἰσελθὼν ἀπὸ τῶν Πηγῶν διεπέρασε P 598 κατὰ τὰ βασίλεια. καὶ Ἰωάννην μὲν τὸν τῆς βίγλας δρουγγάριον διεδέξατο ὡς ῥᾴθυμον τάχα περὶ τὴν ἑαυτοῦ φυλακήν, τὸν δὲ Ζαούτζαν ἀπεστρέφετο μέχρι τινός, ἕως οὗ Λέων ὁ μάγιστρος,

8 τε καὶ θέματα om C 11 Θ. καὶ] Θ. τὸν C 12 ἐρχομένου C 21 ἐν πλοίῳ τε εὐθὺς C τῶν om C

praeficitur. omnibus quos gessit magistratibus praeclara edidit facinora, multaque de Agarenis statuit et aliis gentibus tropaea; et provectissima aetate mortuus est, duobus relictis filiis Barda et Leone.

Ceterum imperator Simeonem, quod is pacificationem abnueret, prorsus debellandum delendumque ratus, evocatis orientalibus exercitibus ac cohortibus, adornatis etiam occidentalibus aliaque haud exigua multitudine, eos contra Bulgaros mittit duce Catacalone et comite huic addito Theodosio patricio protovestiario. hi Simeoni obviam profecto occurrunt apud Bulgarophytum (plantam Bulgaricam), et pugna commissa vincuntur magna suorum cum clade, ipso etiam protovestiario turpiter amisso. deinde cum imperator una cum Zoa in praedio ageret quod Damiani vocatur, et domesticus quibusdam aliis conspirantibus ei insidias strueret, Zoe murmura coniuratorum inaudivit. statimque Leo excitatus conscenso navigio a Fontibus in palatium traiecit. ac Ioannem quidem vigiliae drungarium, quod ab eo indiligenter esset custoditus, loco movit; Zautzam vero aliquamdiu aversatus est, donec eos

ᾧ Θεοδοτάκης τὸ ἐπώνυμον, φίλος ὢν ἀμφοῖν τούτους κατήλλαξε.

Τῆς δὲ Αὐγούστης Θεοφανοῦς τελευτησάσης στέφει Λέων ὁ βασιλεὺς Ζωὴν τὴν θυγατέρα τοῦ Ζαουτζᾶ, καὶ εὐλογεῖται παρά τινος κληρικοῦ τοῦ παλατίου. καὶ ὁ μὲν εὐθὺς καθῃρέθη, ἡ δὲ μετὰ τὴν ἀναγόρευσιν ἔτος ἓν καὶ μῆνας ὀκτὼ ζήσασα ἐτελεύ-
B τησε. λάρνακος δὲ ἑτοιμαζομένης ὥστε τὸ ταύτης ἀποτεθῆναι σῶμα, γράμματα εὑρέθησαν ἐν αὐτῇ ἐγκεκολαμμένα οὑτωσὶ διεξιόντα "θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος."

Βασίλειος δὲ ὁ ἐπείκτης τοῦ βασιλέως, ἀνεψιὸς ὢν τοῦ Ζαουτζᾶ, μελετῶν κατὰ τοῦ βασιλέως τὸ ἀπόρρητον ἐκοινώσατο Σαμωνᾷ κουβικουλαρίῳ τῷ ἐξ Ἀγαρηνῶν, πίστεις λαβὼν ὡς ἀνέκφορον διαφυλάξει τὸ μυστήριον. δόντος δὲ πίστεις, ἐξέφηνεν αὐτῷ πάντα τὰ βουλευόμενα. ὁ δὲ εὐθέως ἐξιππασάμενος ἄπεισι πρὸς τὸν βασιλέα, καὶ ἰδίᾳ παραλαβὼν αὐτὸν "θέλω τί σοι εἰπεῖν,
C ὦ βασιλεῦ, ὅπερ ἐμοὶ μὲν ῥηθὲν ἀκίνδυνον, σοὶ δὲ σιωπηθὲν θάνατον προξενεῖ." καὶ διῆλθε πᾶσαν τὴν τοῦ Βασιλείου ἐπιβουλήν. τοῦ δὲ βασιλέως διαπιστοῦντος, ὁ Σαμωνᾶς πληροφορῆσαι τοῦτον βουλόμενος δύο τινὰς τῶν οἰκειοτάτων ἐξαποστεῖλαι πρὸς τὴν αὐτοῦ οἰκίαν ᾐτήσατο, ἀξιώσας ἐν ἀποκρύφῳ στῆναι τούτους ὁπηνίκα ὁ Βασίλειος ἀφίκηται πρὸς αὐτόν, κἀπειδὰν οὗτος παραγένηταί καὶ ὁμιλῶσιν ἀλλήλοις, τὰ λεγόμενα παρ' ἀμφοῖν ἀπο-

1 τὸ om C 14 βεβουλευμένα C 16 ἀκίνδυνον om C
17 διεξῆλθε C

Leo magister cognomine Theodotaces, utrique amicus, in gratiam reposuit.

Mortua Theophanone Augusta Leo imperator augustalem coronam Zoae Zautzae filiae imponit, prospera comprecante quodam clerico palatino. clericus statim suo loco deiectus est. Zoe post designationem nonnisi annum cum besse supervixit. cumque ad eius cadaver reponendum arca pararetur, literae ei incisae sunt, hanc sententiam notantes "filia Babylonis infelix."

Porro Basilius imperatoris epeicta, consobrinus Zautzae, cum caedem machinaretur imperatori, arcanum suum Samonae exposuit cubiculario, origine Agareno, prius tamen ab eo taciturnitatem stipulatus. Samonas statim equo ad imperatorem profectus, seorsim monet habere se aliquid quod ipsi indicare velit, et quod sine suo periculo dicere, sed nonnisi ipsius exitio reticere possit. simulque totam insidiarum rationem exponit: utque imperatori, fidem narrationi deroganti, omnem eximeret dubitationem, duos imperatorem, quos intimos haberet, iubet ad se mitti, qui sub id tempus quo Basilius ipsum esset conventurus, in occulto delitescentes colloquium quod erat secum habiturus stylo ex-

γράφεσθαι. ἐδέξατο τὸν λόγον ἡδέως ὁ βασιλεύς, καὶ πέμπει Χριστοφόρον τὸν πρωτοβεστιάριον καὶ Χαλοκυρὸν ἕνα τῶν ἑαυτοῦ προκοίτων, οἵπερ ἐν τῇ καταγωγῇ γενόμενοι τοῦ Σαμωνᾶ κἀκεῖσε κρυβέντες προσέμενον τὸ μέλλον. ἀπατηθέντος δὲ τοῦ Βασιλείου D καὶ παραγενομένου πρὸς τὸν Σαμωνᾶν, τῆς διαλέξεώς τε χώραν λαμβανούσης, ἐκφανιζομένων δὲ καὶ τῶν ἀπορρήτων αὐτῷ, οἱ παρὰ τοῦ βασιλέως πεμφθέντες τὰ λεγόμενα ἀπεγράφοντο, καὶ τελευταῖον ἐκείνους ἀριστῶντας καταλιπόντες κρυφίως τε ὑπεξελθόντες ἀπῆλθον πρὸς βασιλέα τὰ γραφέντα κομίζοντες. ἀναγνοὺς δὲ ταῦτα τὸν μὲν Βασίλειον παραυτίκα εἰς Μακεδονίαν ἀπέστειλεν, ἐπὶ διανομῇ τάχα ψυχικῶν τῆς θείας αὐτοῦ Ζωῆς, κατέσχε δὲ καὶ τὸν τῆς βίγλας δρουγγάριον διὰ τοῦ Στυπειώτου, ὑπεξήγαγε δὲ καὶ τῆς πόλεως Νικόλαον τὸν ἑταιρειάρχην. εἶτα ἀγαγὼν ἀπὸ Μακεδονίας τὸν Βασίλειον καὶ ἀνακρίνας, ἐν μέσῃ τε θριαμβεύσας τῇ πόλει, ἐν Ἀθήναις ἐξώρισε. συγκαλεσάμενος δὲ P 599 πᾶσαν τὴν σύγκλητον ἐπ᾽ αὐτῶν, ἀνέγνω τὰ ὑπὸ τοῦ Σαμωνᾶ μηνυθέντα. οἱ δὲ τοῦτον ἐπαινέσαντες μεγίστης εἶναι τιμῆς ἄξιον προσειρήκασι. καὶ ὁ βασιλεὺς παραυτίκα τῇ τοῦ πρωτοσπαθαρίου τοῦτον ἀξιοῖ τιμῇ, καὶ οἰκεῖον αὐτοῦ κατεστήσατο.

Τελευτήσαντος δὲ καὶ τοῦ πατριάρχου Ἀντωνίου προχειρίζεται ὁ μυστικὸς Νικόλαος, ἐπὶ συνέσει καὶ σοφίᾳ δοκῶν πρωτεύειν. Λέων δὲ ὁ βασιλεὺς μὴ δυνάμενος τὰ κατὰ τύπον ἐκτελεῖν κλητόρια Αὐγούστης μὴ οὔσης, στέφει Ἄνναν τὴν θυγατέρα Ζωῆς

6 αὐτῷ om C 22 ἐκτελεῖν om C

ciperent atque annotarent. probat hunc sermonem imperator, mittitque Christophorum protovestiarium et unum de excubitoribus Calocyrum. hi in Samonae domicilium cum venissent, abditi exitum operiuntur. Basilius in fraudem actus ad Samonam venit, et colloquii data opportunitate omnia sua arcana effutit. quae ii quos imperator miserat literis mandantes, demum iis in prandio haerentibus occulte sese subducunt, et scripta offerunt. his lectis imperator illico Basilium in Macedoniam amandat, veluti Zoae amitae suae e vivis egressae ibi iusta exhibiturum, et opera Stypeiotae drungarium vigiliae detinet: sodalitatis etiam praefectum Nicolaum urbe, occultato consilio, emittit. atque his peractis Basilium e Macedonia revocatum inquisitioni subdit, convictum per mediam urbem in triumpho ducit, Athenasque relegat. inde universo senatu convocato, quae erant a Samona ipsi delata indicia exponit. eumque senatores laudant, et summo dignum honore pronuntiant. et Samonam Leo statim protospatharii munere decorat, sibique familiarem adsciscit.

Mortuo patriarcha Antonio Nicolaus sufficitur mysticus, qui sapientia alios et prudentia anteire credebatur. porro imperator cum statutis praeceptas invitationes peragere non posset Augusta mortua, Annam

τῆς τοῦ Ζαουτζᾶ. ἠγάγετο δὲ καὶ κόρην ἐκ τοῦ Ὀψικίου, ὡραίαν B τε καὶ περικαλλῆ, τοὔνομα Εὐδοκίαν, ἣν δὴ καὶ ἔστεψεν. ἐγκύμων δὲ γενομένη καὶ μέλλουσα τίκτειν ἀπέθανε καὶ αὐτὴ καὶ τὸ ἔμβρυον. τιμῶν δὲ τὴν προτέραν αὐτοῦ γαμετὴν Θεοφανὼ ὁ βασιλεὺς ἐπ' ὀνόματι ταύτης ᾠκοδόμησε ναὸν ἀγχοῦ τῶν ἁγίων ἀποστόλων περικαλλῆ. ἀνήγειρε δὲ καὶ ναὸν ἄλλον κατὰ τοὺς τόπους εἰς ὄνομα τοῦ ἁγίου Λαζάρου, ἐν ᾧ καὶ τὸ τοῦ ἁγίου μετακομίσας ἀπέθετο σῶμα, καὶ τῆς ἀδελφῆς αὐτοῦ Μαρίας τῆς Μαγδαληνῆς, ἐξ Ἐφέσου μετακομίσας. τοῦ δὲ στόλου ἐν ταῖς τοιαύταις κτίσεσιν ἀπασχολουμένου, ὁ τῶν Ἀγαρηνῶν στόλος τὸ ἐν Σικελίᾳ ἐξεπολιόρκησε Ταυρομένιον, καὶ πολὺς τῶν Ῥωμαίων ἐγένετο φόνος. C κατεσχέθη δὲ καὶ ἡ νῆσος Λῆμνος ὑπὸ τῶν Ἀγαρηνῶν, καὶ ἠνδραποδίσθη λαὸς οὐκ ὀλίγος.

Συνήθους δὲ προελεύσεως γενομένης κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου, ἀπῆλθε μετὰ προόδου καὶ Λέων ὁ βασιλεύς. ἐν δὲ τῷ μέλλειν εἰσοδεύειν καὶ πλησίον γενέσθαι τῶν ἁγίων θυρῶν ἄνθρωπός τις ἐκπεπηδηκὼς ἐκ τοῦ ἄμβωνος ῥάβδῳ παχείᾳ καὶ ἰσχυρᾷ ἔπαισεν αὐτὸν κατὰ κεφαλῆς. καὶ ἐθανάτωσεν ἂν παρευθύ, εἰ μὴ τὸ ἄκρον τῆς ῥάβδου τῷ αἰωρημένῳ λύχνῳ προσκεκρουκὸς τῆς βιαίας μικρὸν ἀνεσχέθη φορᾶς. αἵματος δὲ σφοδροῦ ἐκ τῆς τοῦ βασιλέως καταρρέοντος κεφαλῆς D ταραχή τε καὶ φυγὴ τῶν ἀρχόντων ἐγένετο. Ἀλέξανδρος δὲ ὁ τοῦ

5 τὸν ναὸν C   9 ταῖς τοῦ τοιούτου κτ. C   11 ταυρομέ- μεσο νειον C   φθόρος C   15 πεντηκοστῆς C   19 καὶ κἂν ἐθανάτωσεν κ. C

filiam Zoes neptem Zautzae coronat. puellam quoque ex Opsicio ducit, nomine Eudociam, forma singulari, cui et ipsi augustalem imposuit coronam. sed haec in partu una cum foetu periit. in honorem primae suae uxoris Theophanus pulcherrimum de eius nomine templum Leo, vicinum aedi sanctorum apostolorum, aedificavit. ibidem aliud quoque fanum condidit, divo Lazaro sacrum, inque eo Lazari et Mariae Magdalenae reliquias Epheso allatas reposuit. enimvero classiariis his molitionibus occupatis, interim Agarenorum classis Tauronomium Siciliae expugnant magna cum Romanorum caede, et Lemno potiti magnam multitudinem captivorum abducunt.

Mos erat ut die pentecostae sacro pompa ad aedem S. Mocii deduceretur. in ea etiam Leo imperator cum esset, iam ingressuro ei et sacris foribus succedenti homo quidam de suggesto prosiliens crasso ac valido fuste ictum in caput ingerit; eoque ictu imperatorem necasset, nisi inter feriendum fuste in suspensum impacto candelabrum, violentiam ictus nonnihil remisisset. plurimum quidem sanguinis ex vulnere effluxit; interque proceres tumultuatum et fuga facta est. ab ea pompa

βασιλέως ἀδελφὸς νόσον σκηψάμενος οὐ παρῆν ἐν τῇ εἰσόδῳ, καὶ δέδωκεν ὑπόνοιαν τοῖς πολλοῖς τὴν τοιαύτην ἐπιβουλὴν αὐτὸς συρράψαι. ὁ δὲ τὸν βασιλέα πλήξας κατασχεθεὶς καὶ πολλὰς ὑπομείνας βασάνους, ἐπεὶ μηδένα καθωμολόγει συνίστορα, χεῖρας καὶ πόδας ἐκτμηθεὶς ἐν τῇ τοῦ ἱππικοῦ ἐκαύθη Σφενδόνῃ. ἐσχόλασε δ' ἔκτοτε καὶ ἡ τοιαύτη προέλευσις, κἂν ὁ σοφώτατος μοναχὸς Μάρκος, οἰκονόμος ὢν τῆς τοιαύτης μονῆς, ὁ τὸ τετραῴδιον τοῦ μεγάλου σαββάτου ἀναπληρώσας τοῦ κυροῦ Κοσμᾶ, πολλὰ κατεδεήθη τοῦ βασιλέως. τούτου γὰρ δεομένου καὶ τοῦ βασιλέως ἀπαναινομένου, φησὶν ὁ μοναχὸς "μὴ ὀργίζου μηδὲ χαλέπαινε, ὦ βασιλεῦ· προγεγραμμένον γὰρ ἦν παθεῖν σε παρὰ τοῦ P 600 προφήτου Δαβίδ, εἰρηκότος 'ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.' δεῖ οὖν σε, δέσποτα, ἀπὸ τοῦ νῦν ἐπ' ἄλλα δέκα ἔτη κατασχεῖν τὴν βασιλείαν." ὃ δὴ καὶ γέγονεν· ἀπέθανε γὰρ κατ' αὐτὴν τὴν ἡμέραν μετὰ δέκα χρόνους ἐν ᾗ καὶ ἐπλήγη.

Ἠγάγετο καὶ τετάρτην γυναῖκα Λέων ὁ βασιλεύς, Ζωὴν τὴν Καρβωνοψίναν, ἥτις ἐβίω χρόνον συχνὸν μετ' αὐτοῦ ἀστεφής. τῶν δὲ Βουλγάρων ταῖς ἐφόδοις Ῥωμαίους ἐπιτριβόντων, οἱ ἐξ Ἄγαρ μαθόντες τοῦτο στόλον ἐξαρτύσαντες κατὰ τῶν παραλίων τῆς ἀρχῆς Ῥωμαίων ἐκπέμπουσιν, ἐπιστήσαντες τῷ στόλῳ ναύαρ- B χον Λέοντα τὸν Ἀτταλέα, τὴν Χριστιανῶν ἐξομοσάμενον πίστιν,

2 αὐτὸν P 8 τοῦ κυροῦ om C 11 τῷ βασιλεῖ C
16 ἔτη C

tum abfuit Alexander imperatoris frater, adversam valetudinem causatus. quare apud multos suspicio se insinuavit ipsum esse insidiarum auctorem. sed percussor deprehensus, multosque perpessus cruciatus, cum neminem facinoris conscium fateretur, amputatis manibus et pedibus in Funda Circi crematus est. ex eo tempore pompa ista cessavit. et quidem sapientissimus monachus Marcus, eius monasterii dispensator, qui tetraodium magni sabbati complevit, quod habet Cyri Cosmae, multis imperatorem deprecatus est. et eo renuente "noli" inquit, "hoc iniquius ferre aut irasci, o imperator. nam vates Davidus hoc tibi adversi eventurum praedixit, hoc versu (Psalm. 73): 'quanta malignatus est inimicus in sancto tuo, et gloriati sunt qui oderunt te in medio solennitatis tuae?' itaque oportet exinde te alios decem annos imperare." hoc monachi vaticinium exitus verum ostendit: decem enim post annis, eadem qua ictus fuerat die, suum obiit diem.

Quartam deinde uxorem duxit Leo, Zoem Carbonopsinam, quae per multum temporis cum eo vixit antequam coronaretur. cum vero Bulgari incursionibus rem Romanam attererent, Agareni ea occasione percepta classem adornarunt, et contra maritimam Romanorum dicionem emiserunt, duce Leone Attaleo, qui Christianam eiuraverat religionem,

κἀν τῇ τριπύλει οἰκήσαντα κἀξ αὐτῆς εἰληφότα τὴν προσηγορίαν. ἔφθασε δὲ τὸν βασιλέα ἡ περὶ τοῦ Τριπολίτου ἀγγελία κατὰ τὸ ἐμπόριον τοῦ Βοαιτίου, ἐκεῖσε γενόμενον ἐπὶ τῷ ἀνακαινίσαι τὴν μονὴν Χριστοφόρου πρωτοβεστιαρίου αὐτοῦ. προσετίθεσαν δ' οἱ ἀγγελιαφόροι ὡς κατ' αὐτῆς ἔχει τὴν ὁρμὴν τῆς βασιλίδος. πέμπει οὖν ὁ βασιλεὺς Εὐστάθιον τὸν τηνικαῦτα δρουγγάριον τῶν πλωΐμων μετὰ τοῦ στόλου, ὃς μὴ δυνηθεὶς ἀντιτάξασθαι τῷ C Τριπολίτῃ ὑπεστράφη κενός. ἑπόμενος δὲ τούτῳ ὁ Τριπολίτης εἰσῆλθεν εἰς τὰ στενὰ τοῦ Ἑλλησπόντου, καὶ μέχρι τοῦ Παρίου κατέλαβεν. ὅπερ τῷ βασιλεῖ ἀγγελθὲν εἰς μεγάλην ἐνέβαλεν ἀθυμίαν καὶ ταραχήν. Ἱμερίῳ γοῦν τῷ πρωτοασηκρῆτις τὴν ναυτικὴν ἐγχειρίσας δύναμιν κατὰ τοῦ Τριπολίτου ἀπέστειλεν, ὃς Ἄβυδον διελθὼν καὶ τὸ Αἰγαῖον πέλαγος Στροβίλῳ προσορμίζει, εἶτα καταίρει πρὸς Ἴμβρον. Σαμοθρᾴκην δὲ διαβὰς κατέλαβε τοὺς πολεμίους ναυλοχοῦντας ἐν Θάσῳ. πλὴν πλήθει τε καὶ προθυμίᾳ ὑπερέχοντας αὐτοὺς ἰδὼν οὐδὲ πλησιάσαι τούτοις τετόλμηκεν. ὁ δὲ Τριπολίτης ὀπισθόρμητος γεγονὼς καὶ κατὰ Θεσσαλονίκην γενόμενος ταύτην ἐπολιόρκησε, κατασχεθέντος καὶ Λέοντος τοῦ στρα- D τηγοῦ ἐν αὐτῇ, ᾧ Χατζιλάκιος τὸ ἐπώνυμον. ἐγένετο δὲ χύσις αἱμάτων πολλὴ καὶ αἰχμαλωσία. Ῥοδόφυλλος δέ τις κουβικουλάριος κατά τινα χρείαν ἐν Σικελίᾳ πεμφθεὶς μετὰ χρυσίου λιτρῶν ἑκατόν, νόσῳ περιπεσὼν ἐν Θεσσαλονίκῃ εἰσῆλθεν ἐφ' ᾧ

8 ὑπέστρεφε C 9 παρείου C 11 γὰρ τῷ πρωτοασηκρίτῃ C 13 στρουβίλῳ C 17 γεγονὼς] γενόμενος C

et quia Tripoli habitabat, inde Tripolites appellabatur. eius expeditionis nuntium mature accepit imperator, qui tum apud emporium Boaetii erat, dedicando Christophori protovestiarii monasterio intentus. et addebatur hoc a nuntiis, a Tripolita ipsam peti Cpolin. emittit ergo Eustathium, drungarium rei navalis, cum classe. qui pugnae cum Tripolita committendae impar re infecta rediit. eumque insecutus Tripolita fauces Hellesponti intravit et usque ad Parium venit. huius rei indicium imperatori moerorem perturbationemque animi gravem attulit. itaque Himerio secretariorum primario classem adversus Tripoliten ducendam committit. is Abydum praetervectus, Aegaeo mari emenso, ad Strobelum appellit; inde ad Imbrum applicat. ac Samothraca superata, hostes Thasi cum sentiret naves in statione habere multitudine et alacritate suis superiores, ne appropinquare quidem iis ausus est. Tripolites autem retro aversus Thessalonicam expugnat, deprehenso in ea etiam Leone praefecto, cui Chatzilacius cognomentum; multumque ibi sanguinis facit, multosque captivos abducit. forte quidam de cubiculariis, nomine Rhodophyllus, necessariae rei causa in Siciliam missus cum 100 auri libris, in itinere morbo correptus Thessalonicam se con-

ἐπιμελείας ἀξιωθῆναι. ὅνπερ κατασχὼν ὁ Τριπολίτης καὶ πολλὰ
βασανίσας διὰ τὸ χρυσίον ἀπέκτεινε μηδὲν ἔχειν ἰσχυριζόμενον·
τοῦτο γὰρ ἔτυχε καταλιπὼν ἐν τῇ ὁδῷ, ὅπερ Συμεὼν ἀσηκρῆτις
διερχόμενος ἀνείλετο. καὶ τοῦ Τριπολίτου βουληθέντος κατα-
στρέψαι τὴν πόλιν, ὁ Συμεὼν λαβεῖν αὐτὸν χρυσίον ἐμήνυσε καὶ
τῆς καταστροφῆς ἀποσχέσθαι. ὃ καὶ γέγονε, καὶ λαβὼν τὸ χρυ- P 601
σίον ὁ Τριπολίτης ὑπενόστησεν. ἀποδεξάμενος δὲ τὸν Συμεὼν
τοῦ ἔργου ὁ βασιλεὺς πατρίκιον καὶ πρωτοασηκρῆτιν τοῦτον τετί-
μηκε. πυθόμενος δὲ τὴν τῶν Σαρακηνῶν ἀποστροφὴν ὁ ναύαρ-
χος Ἱμέριος πρὸς τὴν κατ' αὐτῶν διανίσταται δίωξιν. οἱ δὲ τῇ
Κρήτῃ προσίσχουσι, καὶ ἀπόμοιραν δόντες τοῖς Κρησὶ τῆς λείας
ἀβλαβεῖς οἴκαδε ἀπενόστησαν, ἄπρακτον ἐν Λήμνῳ καταλιπόντες
τὸν Ἱμέριον.

Ὁ δὲ βασιλεὺς πρὸς τὴν ἕω δύο γενναιοτάτω ἐκπέμπει στρα-
τηγώ, Εὐστάθιόν τε τοῦ γένους τῶν Ἀργυρῶν καταγόμενον καὶ
Ἀνδρόνικον τὸν ἐκ τοῦ Δουκός, οἵτινες πολλὰ τρόπαια ἐστήσαντο
κατὰ τῶν Ἀγαρηνῶν. Σαμωνᾶς δὲ ὁ τὴν ἐπιβουλὴν καταμηνύσας B
τῷ βασιλεῖ, διαφερόντως τιμώμενος τῷ βασιλεῖ, ἐξελθεῖν ἐν τῇ
αὐτοῦ μονῇ προφασισάμενος φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ
ἵπποις, τοὺς ἐν ἑκάστῳ σταθμῷ δημοσίους ἵππους ἀγκυλοκοπῶν.
ἀποστέλλει οὖν ὁ βασιλεὺς καταδιῶξαι αὐτὸν Βασίλειον ἑταιρειάρ-
χην τὸν Καματηρὸν καὶ τὸν Κρηνίτην Γεώργιον. ἤδη δὲ τὸν

8 πρωτοασηκρήτην C 10 ἀνίσταται C 14 γενναιοτάτους C
16 οἳ C 19 αὐτοῦ] ἴσ. σταυροῦ margo P 20 ἀγκυλοτομῶν C

tulerat curandi corporis causa. eum Tripolita ibi tum captum, eius auri causa diu tortum, cum se quicquam habere pernegaret, necavit. et vero aurum in itinere Rhodophyllus reliquerat, idque Simeon secretarius ea transiens sustulerat. hic Simeon Tripolitam urbis eversionem animo agitantem hortatus est ut excidio abstineret eoque nomine aurum illud acciperet; ac persuasit. quod Simeonis factum ita gratum fuit imperatori, ut eum patricii ac secretarii primarii dignitate ideo remuneratus sit. Himerius cognito a Thessalonica Sarracenos recessisse insequendis iis se parat. verum hi ad Cretam appellunt, praedaeque parte Cretensibus data incolumes domum redeunt, otiosum Lemni relinquentes Himerium.

Secundum haec imperator duos fortissimos duces in Orientem emittit, Eustathium stirpis Argyrorum et Andronicum genere Ducam. hi multas de Agarenis reportarunt victorias. ceterum Samonas, is quem insidias imperatori detexisse docuimus, cum esset apud hunc in summo honore, simulans se ad monasterium suum exire, profugit cum pecunia et equis, ac dispositorum per singulas stationes publicorum equorum nervos incidit. Leo igitur mittit qui eum insequantur, Basilium sodalitii praefectum cognomine Camaterum (id est laboriosum) et Georgium

Ἅλυν διαπερῶντα τὸν Σαμωνᾶν κατέλαβε Νικηφόρος δρουγγάριος
ὁ Καμινᾶς, καὶ κατέσχεν ἱκετεύοντα πολλὰ καὶ ὑπισχνούμενον
δώσειν. ἐπεὶ δὲ οὐκ ἔπειθεν, εἰς τὸν ἐν τῷ Σιραχᾷ καταφεύγει
C σταυρὸν εὐχῆς χάριν ἐληλυθέναι προφασισάμενος. ἐλθὼν οὖν
Κωνσταντῖνος ὁ τοῦ Ἀνδρονίκου τοῦ Δουκὸς υἱὸς καὶ τοῦτον ἀνα-
λαβὼν ἐν τῇ πόλει ὑπέστρεψεν. εἰσελθόντων δὲ ἐν τῇ Κωνσταν-
τινουπόλει, τὸν μὲν ἐν τῇ τοῦ Καίσαρος τοῦ Βάρδα οἰκίᾳ φυλάτ-
τεσθαι προσέταξεν ὁ βασιλεύς, Κωνσταντίνῳ δὲ τῷ Δουκί, ἐπεί-
περ ἐπληροφορήθη ὡς ταῖς ἀληθείαις προσφεύγων ἦν ἐν Μελιτηνῇ
ὁ Σαμωνᾶς, παρήγγειλε μὴ τοῦτο ἐνώπιον τῆς συγκλήτου εἰπεῖν,
ἀλλ' ὅτι τῷ Σιραχᾷ χάριν εὐχῆς ἀπῄει· ἐβούλετο γὰρ συγγνώμης
τοῦτον τυχεῖν. ἕωθεν δὲ προσκαλεσάμενος τὴν σύγκλητον καὶ εἰς
μέσον τὸν Κωνσταντῖνον παραγαγὼν ἠρώτα μεθ' ὅρκων, οὑτωσὶ
λέγων "πρὸς τοῦ θεοῦ καὶ τῆς ἐμῆς κεφαλῆς, ἔφευγεν ἐν Συρίᾳ
D ὁ Σαμωνᾶς ἢ οὔ;" ὁ δὲ τοὺς ὅρκους εὐλαβηθεὶς (παρηγγέλθη
γὰρ ἄνευ ὅρκων πρῶτον τὴν ἀλήθειαν ἀποκρύψασθαι) ὡμολόγησε
πάντων ἐνώπιον ὅτιπερ εἰς τὴν ἑαυτοῦ πατρίδα ἀπῄει Μελιτηνήν.
ὁ δὲ βασιλεὺς τὸν μὲν Κωνσταντῖνον μετ' ὀργῆς ἀπεπέμψατο,
τὸν δὲ Σαμωνᾶν ἐν τοῖς τοῦ Καίσαρος κατέχεσθαι διωρίσατο.
καὶ μετὰ ταῦτα ἐκεῖθέν τε ἐξεβλήθη καὶ τῆς προτέρας ἠξιώθη
τιμῆς.

Ἐτέχθη δὲ τῷ βασιλεῖ ἀπὸ Ζωῆς τῆς τετάρτης αὐτοῦ γαμετῆς παιδίον ἄρρεν, οὗπερ ἐν τῇ γεννήσει κομήτης ἐφάνη, τὰς

8. 11 σιριχᾷ C   23 γενέσει C

Crenitam. Samonam iam Halyn fluvium transeuntem Nicephorus Caminas drungarius deprehendit, ac multis precantem, multa etiam dona ut dimitteretur promittentem detinet. Samonas cum missionem non impetraret, praetendit se voti causa ad Sirachanam crucem proficisci. sed cum Constantinus Andronici Ducae filius superveniens secum Cpolin abducit. Leo Samonam in Bardae Caesaris domo in custodia asservari iubet. Constantino, ex quo didicerat extra controversiam esse quod Samonas in Melitenam transfugere intendisset, mandat uti hoc in senatu dissimulet, et eum Siracham voti causa proficisci voluisse dicat: nam veniam Samonam consequi volebat. postridie senatu advocato Constantinum in medium adducit, iuratumque per deum et imperatoris vitam interrogat, in Syriam Samonas fugerit necne. Constantinus iurisiurandi (nam citra id iussus erat veritatem celare) motus religione coram omnibus profitetur Samonam in Melitenam, quae eius erat patria, fugam instituisse. imperator hunc iratus dimittit, Samonam autem in Caesaris domo asservari mandat. unde postea dimissus pristinae est restitutus dignitati.

Porro autem Zoe, Leonis quarta uxor, maritum suum mascula prole parentem fecit. in eius partu cometa apparuit, radios versus Orientem

ἀκτῖνας ἐπ' ἀνατολὰς ἀφιεὶς καὶ λάμπων ἄχρι τεσσαράκοντα ἡμερῶν. ἐβάπτισε δὲ τὸ παιδίον ἐν τῇ ἁγίᾳ σοφίᾳ Νικόλαος ὁ πατριάρχης, P 602 ἀναδεξαμένων αὐτὸ ἀπὸ τοῦ ἁγίου βαπτίσματος Ἀλεξάνδρου τοῦ αὐταδέλφου τοῦ βασιλέως, τοῦ πατρικίου Σαμωνᾶ καὶ τῶν τῆς συγκλήτου ἐξόχων. εὐλογήθη δὲ μετὰ Ζωῆς ὁ Λέων ὑπὸ Θωμᾶ πρεσβυτέρου, ὅστις καὶ καθῃρέθη, καὶ Αὐγοῦσταν αὐτὴν ἀνηγόρευσε. διὰ ταύτην οὖν τὴν αἰτίαν ὁ πατριάρχης εἰς τὴν ἐκκλησίαν εἰσέρχεσθαι ἐκώλυε τὸν βασιλέα, ὅθεν διὰ τοῦ δεξιοῦ μέρους διήρχετο εἰς τὸ μιτατώριον. προεβλήθη δὲ καὶ ὁ πατρίκιος Σαμωνᾶς παρακοιμώμενος, πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν συνεργὸς αὐτοῦ καθεστὼς δεξιώτατος. παρεσκεύασε γὰρ τὸν βασιλέα ἀναγκάσαι τὸν πατριάρχην καὶ ἄκοντα προσδέξασθαι B αὐτὸν ἐν τῇ ἐκκλησίᾳ. ὁ δὲ κατὰ τὴν ἀρχὴν τοῦ Φεβρουαρίου μηνὸς μεταπεμψάμενος αὐτὸν λιπαρῶς ἐδεῖτο προσδεχθῆναι. ἐπεὶ δὲ μὴ προσίετο τὴν ἔντευξιν, ἀπὸ τοῦ λεγομένου Βουκολέοντος πλοίῳ μακρῷ ἐμβιβάσαντες διαπερῶσιν ἐν τῇ Ἱερείᾳ, ἀφ' ἧς πεζῇ τὴν ὁδοιπορίαν ποιούμενον ἄγουσιν εἰς τὸ παρ' αὐτοῦ κτισθὲν μοναστήριον τῶν Γαλακρηνῶν. οὐ πολὺς παρῆλθε καιρός, καὶ χειροτονεῖται πατριάρχης ὁ σύγκελλος Εὐθύμιος, ἀνὴρ θεοσεβὴς καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον. φασὶ δ' ὅτι καὶ ἀπαναινόμενος τὴν ἱερωσύνην θείᾳ ἀποκαλύψει ἐπείσθη αὐτὴν καταδέξασθαι. διενοεῖτο δὲ ὁ βασιλεύς, πολλῶν ἐλλογίμων ἀνδρῶν εἰς C τοῦτο συνεργούντων αὐτῷ, νόμον θεῖναι τοῦ ἄγεσθαι τὸν ἄνδρα

3 **τῶν ἁγιασμάτων ἀλ.** C 6 **Αὐγοῦσταν** om C 9 **καὶ** om C
16 **μικρῷ?** ἀφ' ἧς om C 18 **τλακαρηνῶν** C

proiiciens, et ad quadraginta dies fulsit. infantem in Sapientiae templo baptizavit Nicolaus patriarcha, suscipientibus eum ex sacro lavacro fratre imperatoris Alexandro, patricio Samona et primoribus senatus. fausta comprecatus est Leoni Thomas presbyter, ideoque ordine suo excidit. Zoen porro Augustam imperator declaravit. atque ob hoc factum patriarcha ei introitu templi cum interdiceret, coactus est per dextram partem in Mitatorium ire. at imperator Samonam cubicularium suum intimum creat, quod eo ad omne flagitium ministro uteretur commodissimo. eius enim instinctu vim intentavit patriarchae, nisi vel invitus se in templum admitteret. res ita acta. principio Februarii mensis imperator patriarcham ad se vocat, et ab eo summis precibus contendit ut se ad sacra admittat. recusantem a Bucoleone longa navi impositum in Hierciam traiicit; inde pedester ad Galacrenorum monasterium a se conditum deductus est. non multo post Euthymius syncellus patriarcha creatur, homo pius et summae virtutis; quem ferunt, cum id munus detrectaret, divina patefactione ad id suscipiendum fuisse impulsum. omni studio hic impedivit ne imperator legem, ad quod

κατὰ ταυτὸν τρεῖς ἢ καὶ τέτταρας γυναῖκας. ἀλλὰ τοῦτο μὲν πάσῃ σπουδῇ διεκώλυσεν ὁ πατριάρχης.

Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς εἰς τὴν καινουργηθεῖσαν παρ' αὐτοῦ μονὴν ἔγγιον τῶν ἁγίων ἀποστόλων, ἐφ' ᾧ τὰ ἐγκαίνια ἐπιτελέσαι καὶ ἀριστῆσαι. ἐξαίφνης οὖν ἔπνευσεν ἄνεμος λὶψ σφοδρός, καὶ συνέσεισεν οἰκοδομὰς πολλάς, καὶ συνετάραξε τοὺς ἀνθρώπους καὶ ἐξεφόβησεν, ὡς πάντας φεύγειν ἐκ τῶν οἰκιῶν εἰς τὰ ὕπαιθρα. ὄμβρος δ' ἐπιγενόμενος ἔστησε τὴν τοιαύτην καταιγίδα. στόλου
D δὲ τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων ἐξελθόντος, ὁ βασιλεὺς Ἱμέριον τὸν λογοθέτην τοῦ δρόμου ἀρχηγέτην τοῦ Ῥωμαϊκοῦ κατέστησε στόλου. προσετάχθη δὲ καὶ Ἀνδρόνικος ὁ Δοὺξ συνεισελθεῖν αὐτῷ καὶ ἀγωνίσασθαι κατὰ τῶν Ἀγαρηνῶν. ὁ δὲ Σαμωνᾶς τῷ τῶν Δουκῶν γένει ἀκατάλλακτος ὢν ἐχθρὸς διὰ τὴν παρὰ τοῦ Κωνσταντίνου κατάσχεσιν, ὑποθείς τινι τῶν Ἀνδρονίκου φίλων ἔπεισε γράψαι λαθραίως μὴ ἐν τοῖς πλοίοις εἰσελθεῖν, τοῦ Ἱμερίου παράγγελμα ἔχοντος ἐκ βασιλέως ὑποβολῇ τοῦ Σαμωνᾶ ἐκτυφλῶσαι αὐτόν. ὡς οὖν ἐδέξατο τὸ γράμμα, οὐκ ἤθελε τῷ Ἱμερίῳ συνεισελθεῖν. διὸ καὶ μόνος ἠναγκάσθη κατὰ τὴν ϛ' τοῦ Ὀκτωβρίου μηνὸς συμβαλεῖν τοῖς ἐχθροῖς. καὶ συμβαλὼν ἐτρέψατο
P 603 κατὰ κράτος καὶ ἠφάνισε. τοῦτο μαθὼν ὁ Ἀνδρόνικος καὶ τοῖς ὅλοις ἀπεγνωκώς, συσκευασάμενος ἅμα συγγενέσι καὶ δούλοις αὐτοῦ ἀπελθὼν κατέσχε τι φρούριον ἄνωθεν τοῦ Ἰκονίου διακείμενον,

1 τέσσαρας C   11 κατεστήσατο C   23 διακείμενον om C

multi illustres viri operam ipsi navabant, ferret, qua liceret viro tres simul aut quattuor uxores ducere.

Iunio mense Constantinus Afer in monasterium suum, quod prope fanum apostolorum condiderat, imperatorem invitavit, ut dedicationi eius et prandio interesset. ibi subito vehemens Africus exortus multa concussit aedificia hominesque exterruit, adeo ut omnes domibus relictis sub dium profugerint. imber autem obortus eam procellam sedavit. rursus classe Agarenorum contra Romanos provecta, suae classi imperator Himerium dromi logothetam praeficit, eique adiungit Andronicum Ducam. hic Samonas, qui quod a Constantino ex fuga, ut monstravimus, retractus fuerat, implacabile in Ducas odium gerebat, quendam Andronici familiarium subornat, eique persuadet ut occulte Andronicum per literas moneat ne navim conscendat: nam imperatorem, a Samona eo pertractum, Himerio ipsius excaecandi mandatum dedisse, et Andronicus literis iis acceptis noluit cum Himerio in bellum ire. Himerius itaque solus coactus est sexta Octobris die cum hostibus confligere, eosque devicit et interfecit. quo cognito, Andronicus desperatis suis rebus ac convasatis, cum necessariis ac servis suis castellum quoddam

ὃ Καβάλαν ὠνόμαζον, καὶ εἰς ἀποστασίαν ἔβλεψεν. οὐκ ἀνίει δ' ὁ Σαμωνᾶς ἀφορμῆς δραξάμενος καὶ παροξύνων καὶ συνταράσσων τὸν βασιλέα, καὶ λέγων ὡς ἐγὼ πάλαι κατανενοήκειν τὸν ἄνθρωπον, καὶ ὡς ἀποστασίαν ὠδίνει καὶ ὡς χρὴ προκαταλαβεῖν τὰς ὁρμὰς αὐτοῦ. ἐπεὶ δὲ τῇ σῇ μελλήσει, ὦ βασιλεῦ, παρεῖται μὲν ὁ ἐπιτήδειος καὶ ῥᾷστος καιρὸς καὶ ᾤχετο ἐκ μέσων ἡμῶν τῶν χειρῶν ὁ πολέμιος, τὸν δεύτερον κἂν πλοῦν ποιητέον, μὴ καὶ λάθῃ δράσας τι μᾶλλον ἢ παθών. τούτοις τοῖς λόγοις ὥσπερ τινὶ πλήκτρῳ νυγεὶς ὁ βασιλεὺς τὸν Ἰβηρίτζην Γρηγορᾶν, δομέστικον τῶν σχολῶν καὶ κηδεστὴν Ἀνδρονίκου τυγχάνοντα, μετὰ δυνάμεως ἁδρᾶς ἀποστέλλει κατ' Ἀνδρονίκου. ὅπερ μαθὼν ἐκεῖνος, καὶ ὡς ὁ πατριάρχης Νικόλαος, ᾧ τὰ πολλὰ ἐθάρρει, ἐξεβλήθη τῆς ἐκκλησίας, καταλιπὼν τὴν Καβάλαν πανοικὶ προσέφυγε τοῖς Ἀγαρηνοῖς· ὃν ὁ ἀμερμουμνῆς ἐντίμως καὶ μεγαλοπρεπῶς ἐδέξατο. ἀναλογισάμενος δ' ὁ βασιλεὺς οἷον ἀπώλεσε στρατηγὸν καὶ οἷον ἕξειν πολέμιον ἔμελλεν, ἤσχαλλε καὶ ἐδυσφόρει καὶ τρόπον ἐζήτει πῶς ἂν αὐτὸν τοῖς Ῥωμαίοις ἐπανασώσηται. ἐγένετο οὖν γράμμα βασιλικὸν πᾶσάν τε ἀμνηστίαν αὐτῷ κακῶν χαριζόμενον, τὴν οἴκαδέ τε ἐπιστροφὴν ἐπιτρέπον, καὶ τὴν προτέραν εὐημερίαν καθυπισχνούμενον καὶ μυρίας ἄλλας δωρεὰς καὶ εὐεργεσίας· ὅπερ ἑλίξαντες κηρῷ λαμπάδι προσεοικότι διδοῦσί τινι τῶν Σαρακηνῶν ἀπὸ τοῦ πραιτωρίου ἐκβληθέντι καὶ μεγαλοπρεπῶς φιλοφρονηθέντι, ἐπισκήψαντες ἀπελθεῖν ἐν Συρίᾳ καὶ ἐγχειρίσαι τοῦτο τῷ B C

8 ὑπό τινος πλήκτρου C 14 ὑπεδέξατο. ἀναλογιζόμενος C
22 ἐκβληθέντος C

occupavit supra Iconium situm, Cabalam nomine, et ad defectionem spectavit. at Samonas arrepta occasione non desiit imperatorem verbis concitare atque irritare: se dudum sensisse Andronicum defectionem parturire, et esse eius conatui antevertendum: imperatorem cunctando optimam eius rei occasionem dimisisse, atque ita hostem e manibus evasisse. sed vel sic aliquid conandum, ne quod ab eo accipiatur damnum. hoc quasi stimulo incitatus Leo Iberitzam Gregoram scholarum domesticum et Andronici affinem cum valido exercitu contra Andronicum emittit. Andronicus ubi hoc rescivit, et Nicolaum patriarcham, quo maxime erat fretus, ecclesia eiectum esse, Cabala relicta ad Agarenos cum omnibus suis profugit; eumque amermumnes honorifice admodum accepit. imperator porro reputans quantum isto amisso ducem amisisset et qualem esset habiturus hostem, animi angebatur, et quomodo eum reduceret ad suos cogitabat. scribuntur tandem literae imperatoriae, quibus Andronico et offensarum omnium oblivio et reditus domum et pristina dignitas atque fortunae et innumera dona ac beneficia offeruntur. eae cereo inclusae Sarraceno cuidam, e praetorianis captivis ad summum favorem producto. in Syriam Andronico perferendae traduntur.

Ἀνδρονίκῳ. ἀπελθόντα γοῦν τὸν Σαρακηνὸν προσλαβόμενος ἰδίᾳ ὁ Σαμωνᾶς "οἶδας ὃ κατέχεις;" ἠρώτα, τὸν κηρὸν αἰνιξάμενος. ἀγνοεῖν δ' ἐκείνου φήσαντος "ὁ δοθείς σοι κηρός, ὦ φίλος," ἔφη, "τῆς Συρίας ἐστὶν ἡ ἀπώλεια· καὶ εἴ τι κήδῃ τοῦ ἔθνους τοῦ σοῦ καὶ τῶν ὁμοπίστων, χερσὶ κατάθου τοῦτο τοῦ οὐζήρ." ὥστε δὲ
D διακονῆσαι τοῖς ὑπ' αὐτοῦ παραγγελθεῖσι, καὶ δώροις αὐτὸν μεγίστοις πολυτελῶς ἐφιλοφρονήσατο. ἀπελθὼν οὖν ὁ Σαρακηνὸς ἐνεχείρισε τῷ οὐζὴρ τὸν κηρόν· ὃν καθελὼν ἐκεῖνος καὶ τὸ γραμμάτιον εὑρών, καὶ τὸν ἐν τούτῳ κείμενον ἀναλεξάμενος νοῦν, ἀπήγγειλε τῷ ἀμερμουμνῇ. καὶ εὐθὺς Ἀνδρόνικον καὶ τοὺς σὺν αὐτῷ τὸ δεσμωτήριον ὑπεδέχετο. ἐπὶ πολὺ οὖν κακουχούμενοι, καὶ μὴ φέροντες τὰ ἐκ τῆς φυλακῆς λυπηρά, ἠναγκάσθησάν τινες τὴν οἰκείαν ἐξομόσασθαι πίστιν. ὁ μὲν οὖν Ἀνδρόνικος οὕτω καὶ τὸν βίον κατέλυσε.

Κωνσταντῖνος δὲ ὁ τούτου υἱὸς πρὸ τοῦ θανεῖν ἐκεῖνον, εἰδήσει καὶ τοῦ πατρός, συσκευασάμενος μετά καί τινων ἄλλων τῶν περὶ αὐτὸν (ἐτύγχανον γὰρ συχνοὶ μετ' αὐτοῦ ἔτι ἐν τῇ
P 604 φρουρᾷ ἐγκαθειργμένοι διὰ τὸ μὴ θελῆσαι τὸ οἰκεῖον ἀπώμοτον θέσθαι σέβας) τὰ δεσμὰ διαρρήξαντες ἐξέρχονται τῆς φυλακῆς, καὶ καλωδίῳ ἑαυτοὺς καθιμήσαντες ἵππων τε εὐπορήσαντες ἀπεδίδρασκον. στρατιωτῶν δὲ πεμφθέντων εἰς τὴν κατάσχεσιν τούτων, νῦν μὲν ὑποστρέφοντες καὶ πολεμοῦντες νῦν δὲ χρυσίον ῥιπτοῦντες ἀπεσκευάζοντο τοὺς διώκοντας, καὶ οὕτως ἴσχυσαν ἐπιβῆναι τῶν ὁρίων Ῥωμαίων. ταχὺ μὲν οὖν ὁ βασιλεὺς τὸν Κωνσταντῖνον

20 σχοινίῳ margo C   23 τῶν ῥωμαίων ὁρίων C

discedentem Sarracenum Samonas seorsim compellans "scis" ait "quid portes?" ceram innuens. neganti "cera" inquit, "quam gestas, Syriae est exitium; et tu, si qua tibi gentis et eandem tecum religionem colentium est cura, eam veziri in manus trade." promittentem ita facturum donis pretiosis magnifice est demeritus. ergo Sarracenus confecto itinere veziri cereum tradit; isque cera remota literas inventas legit, et percepta sententia rem amermumnae significat. extemplo Andronicus cum suis in carcerem coniicitur, ubi diu magnas toleraverunt miserias; quarum quidam impatientes fidem Christianam abiuraverunt. Andronicus in carcere periit.

Filius autem huius Constantinus vivo adhuc et conscio patre, re cum quibusdam aliis captivis (complures enim in carcere una inclusi erant, quod religionem veram prodere nollent) composita, ruptis vinculis per funem ex carcere delapsi et equos nacti profugerunt. militesque qui eos comprehensum missi insequebantur, nunc obvertendo se et dimicando, nunc aurum in quo colligendo ii occuparentur proiiciendo amoliti, ad fines Romanorum evaserunt. imperator Constantinum et qui

μετεπέμψατο, καὶ ὡς αὐτὸν ἀγαγὼν δώροις αὐτὸν παντοίοις καὶ τοὺς περὶ αὐτὸν ἐφιλοφρονήσατο. πληρωθείσης δὲ τῆς ἐντυχίας, ἐν τῷ μέλλειν ἀπὸ τοῦ χρυσοτρικλίνου ἐξιέναι τὸν Κωνσταντῖνον (ἐκεῖσε γὰρ ἐποιήσατο τὴν αὐτοῦ δοχὴν ὁ βασιλεὺς) ὑποστρέψαι B κελεύσας αὐτόν, ἐνατενίσας πρὸς τὰς ἐστηλωμένας ἄνωθεν τῆς πύλης εἰκόνας τοῦ Χριστοῦ καὶ τῆς θεομήτορος ὁ βασιλεύς, τάδε πρὸς τὸν Κωνσταντῖνον εἰρήκει "μή σε πλανάτω, ὦ Κωνσταντῖνε, τὸ ὄνομα, μηδὲ διὰ τοῦτο οἴου κατάρξειν Ῥωμαίων· ἡ βασιλεία γὰρ τῷ ἐμῷ υἱῷ Κωνσταντίνῳ ἐκ θεοῦ τεταμίευται, καὶ τοῦτό μοι δῆλον γέγονεν ἐκ προρρήσεων θείων ἀνδρῶν καὶ προορᾶν τὰ μέλλοντα διὰ καθαρότητος κτησαμένων. ἔμμενε γοῦν τῇ δοθείσῃ σοι τάξει, καὶ μὴ φαντάζου τὰ ὑπὲρ σεαυτόν. ἦ μὴν ἴσθι ὡς τυραννήσαντος ἡ κεφαλή σου σώματος ἄτερ διὰ τῆσδε τῆς πύλης εἰσελεύσεται." ὃ καὶ γέγονεν ὕστερον· μετὰ θάνατον γὰρ τοῦ Λέοντος τυραννήσας ὁ Κωνσταντῖνος ἀνῃρέθη ἐν τῷ τοῦ γενικοῦ C σεκρέτῳ, καὶ διὰ τῆς ῥηθείσης πύλης λύθρῳ καὶ αἵματι σταζομένη ἡ τούτου κεφαλὴ εἰσήχθη εἰς τὰ βασίλεια.

Ὁ δὲ βασιλεὺς διά τινα ὑπόνοιαν Εὐστάθιον μάγιστρον τὸν Ἀργυροῦν μετεκίνησε τῆς ἀρχῆς (ἦν γὰρ δρουγγάριος τῆς βίγλας), ὃς καὶ ἀπιὼν οἴκαδε φαρμάκῳ κατεργασθεὶς ἐτελεύτησε, πολὺν πόθον αὐτοῦ τῷ τε στρατῷ καὶ τῷ στόλῳ καταλιπών, μεμνημένοις τῶν ἀνδραγαθημάτων αὐτοῦ. ἐτάφη δὲ κατὰ τὸ Χαρσιανὸν ἐν τῇ μονῇ τῆς ἁγίας Ἐλιζάβετ, ἣν Λέων ὁ πάππος αὐτοῦ ἐκαι-

8 κατάρξαι C 11 οὖν C 21 μεμνημένων C

cum ipso erant statim ad se vocat donisque variis afficit; et a primo congressu, cum aureo triclinio esset exiturus Constantinus (ibi enim eum exceperat convivio Leo), revocat eum imperator; atque oculis in imagines Christi et deiparae, quae superne erant collocatae, defixis sic affatur "Constantine, vide ne imponat tibi nomen tuum, cave, neve ob id Romanis te imperaturum opineris. etenim filio meo Constantino id imperium divinitus est destinatum, quod ego comperi praedictionibus divinorum hominum, castitate sua futurorum praescientiam nactorum. locum itaque tuum tene, neque te superiora somniaveris. alioqui scito tuum, si tyrannidem affectaveris, caput trunco relicto per hanc portam illatum iri." hoc quidem eventu est confirmatum. mortuo enim Leone Constantinus cum invasisset imperium, in Genici secreto obtruncatus est, caputque tabo et cruore stillans per dictam portam est in regiam allatum.

Praeterea Leo Eustathium magistrum drungarium vigiliae munere suo amovit ob quandam suspicionem; isque domum suam digressus veneno periit, magno sui desiderio exercitui classique relicto, praeclara eius facinora memoria recolentibus. sepultus est apud Charsianum in monasterio S. Elisabetae, quod novum avus eius Leo condiderat. hic

νούργησεν, ὃς καὶ τὸ τῶν Ἀργυρῶν ἐπίθετον ἐκληρώσατο πρῶτος,
D εἴτε διὰ καθαρότητα βίου, εἴτε καὶ δι' εὐπρέπειαν σώματος, εἴτε καὶ διά τινα τρόπον τῆς αὐτοῦ γενναιότητος· τοσοῦτον γὰρ περιῆν ὁ ἀνὴρ τῶν ἐπὶ τοῦ Μιχαὴλ γενομένων ἀνθρώπων ὥστε μόνος μετὰ τῶν οἰκογενῶν συνερρήγνυτο τοῖς ἐκ Τεφρικῆς Μανιχαίοις καὶ τοῖς ἐκ Μελιτηνῆς Ἀγαρηνοῖς, καὶ τούτους ῥᾳδίως ἐτρέπετο. καὶ τὸ ὄνομα αὐτοῦ μόνον φημιζόμενον φόβητρον ἦν πᾶσι τοῖς ἀντιπάλοις.

Χάριν δὲ ἀλλαγίου ἐκπεμφθέντες ἀπό τε Ταρσοῦ καὶ Μελιτηνῆς ὅ τε Ἀβελβάκης ἐκεῖνος καὶ ὁ τοῦ Σαμωνᾶ πατὴρ κατέλαβον τὴν βασιλεύουσαν. καὶ τούτους ὁ βασιλεὺς ἐδέξατο μεγάλην δοχὴν ποιήσας καὶ κόσμῳ πολλῷ τὴν Μαγναύραν κατακοσμήσας.
P 605 ἐκαλλώπισε δὲ καὶ τὴν μεγάλην ἐκκλησίαν πολυτελῶς, καὶ εἰσήγαγε τούτους ἐκεῖσε, καὶ τὰ τίμια ὑπέδειξεν ἅπαντα καὶ τὰ τῇ θείᾳ λατρείᾳ λειτουργοῦντα σκεύη. τοῦτο δὲ ἀνάξιον ἦν Χριστιανικῆς καταστάσεως, ἀλλοφύλοις ἀνθρώποις καὶ ἀλλοπίστοις ἐκθεατὰ ποιεῖν τὰ καὶ τοῖς μὴ καλῶς βιοῦσιν εὐσεβέσιν ἀνθρώποις ἀθέατα. ὁ δὲ τοῦ Σαμωνᾶ πατὴρ τὴν παρρησίαν, ἣν ὁ τούτου υἱὸς ἔσχε πρὸς βασιλέα καὶ τὴν τιμὴν θεασάμενος καὶ τὴν δόξαν, ᾑρετίσατο συνεῖναι τῷ υἱῷ, Μελιτηνὴν τὴν πατρίδα ἀπαρνησάμενος. Σαμωνᾶς δὲ οὐ συνεχώρει, παρῄνει δὲ μᾶλλον εἰς τὰ οἰκεῖα ὑπονοστῆσαι καὶ τῆς ἰδίας ἔχεσθαι πίστεως, προσμένειν δὲ καὶ αὐτόν, εἰ καιροῦ λάβοιτο, ἐκεῖσε γενέσθαι. τῆς δὲ ἑορτῆς
B ἐπιστάσης ἐν ᾗ τὸ πνεῦμα τὸ ἅγιον ἐν πυρίναις γλώσσαις τοῖς ἀπο-

17 θεατὰ C ἀνθρώποις om C

Leo primus Argyrorum, id est argenteorum, cognomen familiae suae intulit, sive ob vitae puritatem, sive decorem corporis, sive ob illustrem fortitudinem, qua is aequales suos (claruit autem Michaelo imperante) adeo superavit ut solus cum vernis suis Manichaeos Tephricenses et Melitenaeos Agarenos adortus in fugam facile coniecerit, nominisque etiam eius mentio terrorem hostibus incusserit.

Ceterum pactorum causa a Tarso et Melitena ad Leonem missi venerunt Cpolin Abelbaces et Samonae pater. quos magnifice excepit imperator convivio in Magnaura, splendide instructa. exornavit et magnum templum magnifice, legatisque introductis omnia etiam vasa ad divinam pertinentia liturgiam demonstravit. id quidem statu Christiano indignum fuit, peregrinis hominibus, iisque a vera religione alienis, ea ostendere quae ne a piis quidem et integrae vitae hominibus temere visuntur. et Samonae pater cum videret quantum potentiae atque honoris apud imperatorem filius obtineret, cum filio manere voluit patria Melitena deserta. verum Samonas id passus non est, hortatus patrem ut domum rediret et in sua religione perseveraret, ac se quoque exspectaret, prima quoque occasione domum rediturum. festo pentecostae

στόλοις ἐφοίτησεν, ἔστεψε τὸν οἰκεῖον υἱὸν Κωνσταντῖνον ὁ βασιλεὺς διὰ Εὐθυμίου τοῦ πατριάρχου. σπεύδων δὲ ὁ Σαμωνᾶς τὴν τῆς βασιλίδος πρὸς ἑαυτὸν ἐπισπάσασθαι εὔνοιαν, Κωνσταντῖνον τὸν ἑαυτοῦ ὑπηρέτην ἐκτομίαν ὄντα καὶ τῆς τῶν Παφλαγόνων ὁρμώμενον χώρας τῇ Αὐγούστῃ παρέσχεν ὑπηρετεῖν. τοσοῦτον δὲ οὗτος ἠγαπήθη παρ' αὐτῆς καὶ Λέοντος τοῦ βασιλέως ὡς καὶ αὐτὸν τὸν Σαμωνᾶν διερεθίσαι πρὸς φθόνον, καὶ διαλοιδορεῖσθαι αὐτῷ πρὸς βασιλέα ὡς τῇ Αὐγούστῃ τάχα πλησιάζοντι· ὅπερ ὡς ἀληθὲς πιστεύσας, ἀποστείλας ἀπέκειρεν αὐτὸν μοναχὸν ἐν τῇ τοῦ ἁγίου Ταρασίου μονῇ δι' αὐτοῦ τοῦ Σαμωνᾶ. μετ' ὀλίγον δὲ C πάλιν μεταγνοὺς καὶ προσλαβεῖν τοῦτον ἐθέλων μετήγαγε δι' αὐτοῦ τοῦ Σαμωνᾶ εἰς τὴν μονὴν τῶν Σπειρῶν. ἐν τῷ Δαματρύϊ οὖν ἐξελθὼν ὁ βασιλεὺς καὶ ἐν τῇ τοῦ Σαμωνᾶ ἀριστήσας μονῇ, καὶ θεασάμενος Κωνσταντῖνον, εὐθέως διεκελεύσατο, καὶ ἀπέδυσαν αὐτὸν τὰ τοῦ μονήρους βίου ἄμφια καὶ ἐνέδυσαν στολὴν κοσμικήν. καὶ εὐωχούμενός τε παρ' αὐτῷ δοθῆναί οἱ ἐκέλευσε τὸ ποτήριον ἐν τῷ ἀρίστῳ, καὶ εἰσερχόμενος ἐν τῷ παλατίῳ ἐφείλκετο καὶ αὐτὸν μετ' αὐτοῦ. ὁρῶν δὲ καὶ ὁ Σαμωνᾶς αὐξανομένην τὴν πρὸς τὸν Κωνσταντῖνον τοῦ βασιλέως ἀγάπην ἐπιβουλὴν κατ' αὐτοῦ ῥάπτει, τόνδε συντεθειμένην τὸν τρόπον. D κοινολογησάμενος Μεγίστῳ τῷ κοιτωνίτῃ καὶ Μιχαὴλ τῷ Τζιρίθωνι γραμμάτιον συντίθησι λοιδορίας ἔχον κατὰ τοῦ βασιλέως ἀπείρους, Κωνσταντίνου τοῦ Ῥοδίου, ὃς ὑπεγραμμάτευε τῷ Σαμωνᾷ, τοῦτο συνθέντος· ὅπερ γράψαντες καὶ σφραγίσαντες ἐν

16 αὐτοῦ? 19 ἐπιβουλὴν — 20 τρόπον om C 22 Μιχαὴλ] βασιλείῳ C 24 ὃ C

die imperator filium suum Constantinum opera Euthymii patriarchae coronavit. at vero Samonas, ut Augustam demereretur, suum ministrum Constantinum natione Paphlagonem eunuchum ei pro famulo tradit. is Constantinus in tantam venit Augustae et Leonis gratiam, ut ipse etiam Samonas invidia correptus apud imperatorem eum detulerit, quasi cum Augusta is rem haberet. cui criminationi credens Leo, Constantinum monachi in morem tonderi iubet, et ab ipso Samona in Tarasii monasterium deduci. paulo post autem mutata sententia recipere eum cupiens, eiusdem Samonae opera eum in monasterium Spirarum transtulit. egressusque ad Damatryum, et in Samonae pransus monasterio, cum videret Constantinum, illico mandavit ut monachi habitu exutus civili vestitu amiciretur; et apud eum convivans poculum ei suum dari iussit, secumque hominem in palatium reduxit. Samonas videns imperatoris in Constantinum amorem crescere, composita re cum Megisto Coetonita et Michaelo Tzirithone, libellum conviciis in Leonem innumeris refertum opera scribae sui Constantini Rhodii conficit, eumque

τῷ μιτατωρίῳ ἔρριψαν. τοῦ δὲ βασιλέως δημοσίαν πρόοδον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ποιησαμένου, κἀν τῷ μιτατωρίῳ εἰσελθόντος, καὶ ἐν ᾧ ηὔχετο τόπῳ τοῦτο ἐρριμμένον ἰδόντος, εἰληφότος τε καὶ ἀναγνόντος, πολλὴ κατέσχεν ἀπορία τοὺς συμπαρόντας, διστάζοντος ἑκάστου καὶ ἀγνοοῦντος τὸν ῥίψαντα. κατέσχε δὲ καὶ τὸν βασιλέα ἀθυμία πολλή, καὶ τὸν πεποιηκότα ἐζήτει. γέγονε δὲ κατὰ τὸν αὐτὸν χρόνον καὶ ἔκλειψις σελήνης μεγίστη, δι' ἣν ὁ βασιλεὺς τὸν μητροπολίτην Συνάδων μετεκαλέσατο Πανταλέοντα, P 606 τῆς ἀστρονομικῆς παιδείας ἐν μνήσει τυγχάνοντα, τὸ τῆς ἐκλείψεως ἀποτέλεσμα μαθεῖν ὀριγνώμενος. ὃν εἰσερχόμενον πρὸς τὸν βασιλέα ὁ Σαμωνᾶς ἰδίᾳ παραλαβὼν ἠρώτησεν εἰς τίνα τὴν κάκωσιν ἔσεσθαι, καὶ τόνδε φάναι ὅτι εἰς σέ· τὴν ιγ' δὲ τοῦ Ἰουνίου διερχόμενος ἡμέραν οὐδὲν ἔκτοτε πείσῃ κακόν. ἐρωτηθεὶς δὲ καὶ παρὰ τοῦ βασιλέως περὶ τούτου εἶπεν ὅτι εἰς τὸ δεύτερον πρόσωπον ἡ κάκωσις ἐπισκήψει. ὑπώπτευεν οὖν ὁ βασιλεὺς δεύτερον πρόσωπον εἶναι τὸν ἑαυτοῦ ἀδελφὸν Ἀλέξανδρον. καὶ τὰ μὲν τῆς προρρήσεως ἣν ἔσχεν ἀπόβασιν, προϊὼν ὁ λόγος δηλώσει· Μιχαὴλ δὲ τοῦ Τζιρίθωνος κατ' ἰδίαν τῷ βασιλεῖ προσελθόντος καὶ καταμηνύσαντος ὡς ὁ Σαμωνᾶς εἴη τὸ πιττάκιον πεποιηκώς, B παρευθὺ καταβιβάζεται εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποκείρεται μοναχός, εἶτα ἐν τῇ μονῇ τοῦ πατριάρχου Εὐθυμίου ἀπάγεται, κἀκεῖθεν διαλοιδορηθεὶς εἰς τὴν τοῦ Μαρτινακίου μετατίθεται. ταῦτα δὲ ἐπράχθη μήπω τῆς ὡρισμένης προθεσμίας παρὰ τοῦ μητροπολίτου διαδραμούσης. ἐποίησε δὲ ἀντ' αὐτοῦ τὸν Κωνσταντῖνον

8 παντολέοντα C   10 εἰς C

consignatum in Mitatorio abiicit. imperator publice in magnum templum progressus, cum in Mitatorium venisset, quo loco precabatur, libellum invenit ac legit. ea res eos qui aderant in magnam coniecit solicitudinem, atque ipsi etiam Leoni curam attulit auctorem quaerendi. sub idem tempus lunae defectus maximus fuit. et Leo Synnadensem metropolitam, Pantaleonem nomine, astronomica imbutum scientia accivit, ut ex eo deliquii eius quis futurus esset effectus cognosceret. eum ad regem intrantem Samonas percontatus est cuinam adversa portenderentur. responditque "tibi. sed tamen si 13 Iunii diem superaveris, nihil deinde mali tibi eveniet." ab imperatore de eadem re interrogatus, proximae ab imperatore personae denuntiari malum dixit. idque de fratre suo Alexandro accepit Leo: sed quis fuerit praedictionis exitus, mox dicemus. etenim Leo, cum eum Michaelus Tziritho seorsim congressus monuisset libelli infamis auctorem esse Samonam, statim domum suam deportari Samonam et monachi in morem radi iussit, deinde in Euthymii patriarchae monasterium deduci, indeque conviciis proscissum in Martinaciorum transferri. ea omnia acta ante diem a Pantaleone designatum. Constantinum loco Samonae intimum cubicularium Leo fe-

παρακοιμώμενον. ἔκτισε δὲ αὐτῷ καὶ μοναστήριον ἐν ταῖς Νοσσιαῖς, ἐπ' ὀνόματι τοῦ σωτῆρος, ὃ καὶ ἐνεκαίνισεν ἅμα Εὐθυμίῳ τῷ πατριάρχῃ. Ἀγαρηνῶν δὲ ἐξελθόντων μετὰ πλοίων τριακοσίων, ὧν ἡγεῖτο Δαμιανός τε ὁ τῆς Τύρου ἀμηρᾶς καὶ Λέων ὁ Τριπολίτης, Ἱμέριος ὁ λογοθέτης ναύαρχος ὢν τῶν Ῥωμαίων C
κατὰ τὸν Ὀκτώβριον μῆνα συνήντησε τούτοις εἰς Σάμον, ἧς ἐστρατήγει Ῥωμανὸς ὁ Λακαπηνός. καὶ συμπλακεὶς τοῖς μετ' αὐτοῦ ἡττήθη, καὶ τῶν ὑπ' αὐτὸν νεῶν διασκεδασθεισῶν μόλις αὐτὸς διεσώθη εἰς Μιτυλήνην.

Κοιλιακῷ δὲ νοσήματι ληφθεὶς ὁ βασιλεύς, καὶ ἐπὶ χρόνον τῷ τοιούτῳ πάθει κατεργασθεὶς καὶ εἰς ἐσχάτην ἀδυναμίαν ἐληλακώς, μόλις ἠδυνήθη ἐν τῷ τῆς ἐγκρατείας καιρῷ τὴν συνήθη ποιήσασθαι δημηγορίαν. συνηθροισμένης γὰρ τῆς συγκλήτου τοιούτων ἤρξατο πρὸς αὐτοὺς λόγων. "τὸ μὲν ἐμὸν σαρκίον, ὦ φίλοι, νόσῳ ἐκτρυχωθὲν ἀπέρρευσε, καὶ ἡ ἰσχὺς ἐπιλέλοιπε, καὶ τάχα οὐκέτι μεθ' ὑμῶν βιοτεύω, οὐδὲ καταλήψομαι τὴν τοῦ D
δεσπότου Χριστοῦ ἀνάστασιν. μίαν τοίνυν καὶ τελευταίαν ὑμᾶς αἰτῶ τήνδε τὴν χάριν, ἀπομνημονεῦσαι ἣν εἶχον πρὸς ὑμᾶς χρηστὴν διάθεσιν, καὶ ἀντὶ ταύτης εὔνοιαν τῇ ἐμῇ συζύγῳ διατηρῆσαι καὶ τῷ υἱῷ." καὶ ἡ μὲν τοῦ βασιλέως δημηγορία τοιαύτη, ἡ δὲ σύγκλητος βουλὴ ὑπέσχετο δακρυρροοῦσα καὶ μετ' ὀλοφυρμῶν λύπῃ μὲν συνέχεσθαι ἀπαραμυθήτῳ τοιούτου στερισκομένη δεσπότου καὶ βασιλέως, εὔνοιαν δὲ διατηρήσειν εἴς τε τὴν δέσποιναν καὶ τὸν ἡμέτερον δεσπότην καὶ βασιλέα καὶ σὸν υἱόν, ὥστε, εἰ

2 ἣν C 6 ὀκτώμβριον C εἰς] κατὰ τὴν C 10 συλληφθεὶς F i. e. cod. Fontisebraldensis Michaelis Glycae p. ed. Paris. 300 A 16 βιοτεύσω F 19 τηρῆσαι C 22 στερισκομένους C

cit, eique monasterium in Nossiis aedificavit, de nomine servatoris dictum, idque cum Euthymio patriarcha dedicavit. secundum haec Agareni 300 naves emittunt, ducibus Damiano Tyri amera et Leone Tripolita. his apud Samum, cui tum Romanus Lacapenus praeerat, occurrit Himerius classis Romanae praefectus; victusque ab iis, dissipata classe sua, aegre ipse Mitylenam fuga evasit.

Imperator autem coeliaco morbo correptus, eoque aliquamdiu confectus et in summam redactus invaletudinem, vix potuit orationem ieiunii tempore pro more habere. itaque advocato tum senatu sic iusit. "caro mea, amici, morbo consumpta diffluxit viresque defecerunt, ac fortassis vobiscum amplius non vivam, neque ad festum resurrectionis Christi diem vitam perducam. hanc itaque unam ac postremam a vobis gratiam postulo mihi dari: recordamini quam me vobis benignum praebuerim, atque ideo uxorem filiumque vobis commendatum habetote." senatus cum fletu atque eiulatu ostendit se iactura huius domini atque imperatoris incredibilem percipere dolorem, Augustae autem et filio im-

δεήσει, μυριάκις ἔμπροσθεν αὐτῶν ἀποθανεῖν. ταῦτα εἰποῦσα ἡ σύγκλητος καὶ τελευταῖον ἀσπασμὸν ἀποδοῦσα τῷ βασιλεῖ ἀπηλλάγη. οὐ μήν γε καὶ εὐθὺς ὁ βασιλεὺς ἐτελεύτησεν, ἀλλὰ διετέλεσε νοσηλευόμενος καὶ σφακελιζόμενος ἄχρι τῆς ια΄ τοῦ Μαΐου
P 607 μηνός, καθ' ἣν ἀπηλλάγη τοῦ βίου Ἀλεξάνδρῳ τῷ αὐτοῦ ἀδελφῷ τὰ τῆς βασιλείας παραδοὺς σκῆπτρα. ὃν ἰδών, ὥς φασι, κατὰ τὴν τελευταίαν ἐρχόμενον ἐντυχίαν εἰπεῖν λέγεται "ἴδε ὁ κακὸς καιρὸς μετὰ ιγ΄ μῆνας." παραδοὺς τοίνυν, ὡς εἴρηται, τὸ τῆς βασιλείας κράτος, καὶ πολλὰ παρακαλέσας τὸν αὐτοῦ υἱὸν Κωνσταντῖνον παιδοτροφῆσαι καὶ ἐπιμελείας ἀξιοῦν προσηκούσης, τελευταῖον δὲ καὶ διάδοχον αὐτοῦ καταλιπεῖν, ἐτελεύτησεν.

Ἀλέξανδρος δὲ ὁ τοῦ Λέοντος ἀδελφός, ἤδη νεανίας ὢν καὶ τὸ εἰκοστὸν τῆς ἡλικίας αὐτοῦ παραμείβων ἔτος, τοῦ Λέοντος ἀποθανόντος παρέλαβε τὰς τῆς βασιλείας ἡνίας, συμβασιλεύοντος αὐτῷ καὶ Κωνσταντίνου τοῦ παιδὸς Λέοντος. ὃς ἅμα τε ἐπέβη
B τῆς βασιλείας καὶ ἅμα ἐκπέμψας ἤγαγε Νικόλαον ἐκ Γαλακρηνῶν τὸν πατριάρχην, καὶ τοῦ θρόνου καταγαγὼν Εὐθύμιον ἀνήγαγε τὸ δεύτερον τὸν Νικόλαον. καὶ ἅμα αὐτῷ καθεσθεὶς ἐν τῇ Μαγναύρᾳ, σιλεντίου γενομένου, τὴν τοῦ Εὐθυμίου καθαίρεσιν ἐποιήσατο· ὃν οἱ προσκείμενοι τῷ Νικολάῳ κληρικοὶ ἅμα τῇ

8 ιγ΄] τοὺς ιγ΄ CF   post μῆνας C: προσέκειτο δὲ τοῖς μαθήμασιν ὁ τοιοῦτος βασιλεύς, καὶ μάλιστα τῇ περὶ τὴν ἀστρονομίαν ἀποτελεσματικῇ. καὶ στιχηρὰ δὲ μελίσας τῇ ἐκκλησίᾳ παρέδωκε ψάλλεσθαι πάσης ἡδύτητος ἀνάπλεα. καὶ ἐπιστολαὶ δὲ αὐτοῦ καὶ ἄλλα πονήματα πάσης παιδεύσεως περίπλεα φέρονται, πρὸς τὸν ἀρχαῖον χαρακτῆρα ἀποτετορευμένα. ἀνέγνωσε δὲ καὶ τὰ Ἀρχιμήδεια ἀκριβῶς καὶ ὡς οὐδεὶς ἕτερος τῶν κατ' αὐτόν. 15 Λέοντος παιδὸς C   17 τὸν εὐθύμιον F   18 τὸν om F   19 σελεντίου C   τοῦ om F   20 ἐπηγήσατο F

peratori ita se fideles fore ut vel milies pro eo sint, ita rebus poscentibus, mortem oppetituri; itaque imperatore extremum consalutato discesserunt. Leo tamen vitam, morbo interim misere conflictatus, usque ad 11 Maii diem produxit. moriens imperium fratri suo Alexandro reliquit. quem postremum ad se venientem videns fertur dixisse "en malus temporis articulus post tredecim menses." eundem multis hortatus est ut Constantinum educare ac digne tractare vellet eumque sibi heredem imperii facere.

Alexander Leonis frater, annum iam aetatis 20 egrediens, imperii habenas suscepit, consorte Constantino Leonis filio. simulatque occepit imperium, Nicolaum patriarcham Galacrenis revocavit, ac deturbato Euthymio eum in solio pontificali reposuit. eique in Magnaura assidens, facto silentio Euthymium deposuit. hunc clerici qui Nicolao favebant,

καθαιρέσει ὥσπερ ἄγριοι ἐμπηδῶντες θῆρες ἔπληττον, κονδύλους ἐνέτριβον, ἐκολάφιζον, τὴν ἱεροπρεπῆ ἀνέτιλλον γενειάδα, ἐπὶ τράχηλον ὤθουν καὶ ἄλλας ἀνυποίστους ποινὰς τούτῳ ἐπέφερον, ἐπιβάτην ἀποκαλοῦντες καὶ μοιχὸν καὶ ἀλλοτρίᾳ ἐπιπηδήσαντα γυναικί. ὁ δὲ ἱερὸς ἐκεῖνος ἀνὴρ πρᾴως ἅπαντα καὶ ἡσύχως ὑπέφερεν. ὑπερόριος οὖν ἐν τοῖς Ἀγαθοῦ σταλεὶς καὶ μετὰ μι- C
κρὸν χρόνον ἀποβιούς, ἐν τῇ πόλει εἰσαχθεὶς θάπτεται εἰς τὴν αὐτοῦ μονήν. ὁ δὲ κληρικὸς ὁ τὰς πολιὰς αὐτοῦ τίλας, ὑποστρέψας εἰς τὴν οἰκίαν αὐτοῦ, κατ' αὐτὴν τὴν ὥραν εὗρε ταύτην ἐμπεπρησμένην καὶ τὴν θυγατέρα αὐτοῦ ἐκλελυμένην, ἥτις καὶ διήρκεσεν ἐπὶ χρόνους ἱκανοὺς μεταιτοῦσα καὶ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς συλλέγουσα.

Ὁ δὲ βασιλεὺς Ἀλέξανδρος καὶ πάλαι βίον ἁβροδίαιτον ἔχων καὶ διακεχυμένον καὶ πρὸς μόνα ἐπτοημένον τὰ κυνηγέσια καὶ τὰς ἄλλας ἀκολάστους καὶ ἐκδεδιῃτημένας τῶν πράξεων, καὶ μηδὲν ἔργον βασιλέως εἰδὼς διαπράττεσθαι, ἀλλὰ τρυφαῖς καὶ ἀσελ- D
γείαις σχολάζειν ἠγαπηκώς, ἐπεὶ τῆς βασιλείας καὶ τῶν ὅλων ἐγένετο ἐγκρατής, οὐδὲν ἄξιον λόγου ἢ διενοήσατο ἢ κατεπράξατο· μοναρχήσας γὰρ Ἰωάννην τινὰ ἀγύρτην καὶ μηδενὸς ἄξιον λόγου (Λαζάρης τούτῳ ἐπώνυμον) ῥαίκτωρα πεποίηκεν, ὃς καὶ μετὰ μικρὸν κακῶς ἀπέρρηξε τὴν ζωήν, ἐν τῷ Ἑβδόμῳ σφαιρίζων ὁ κληρικός. ὡσαύτως καὶ Γαβριηλόπουλον καὶ Βασιλίτζην, συμ-

1 ἐκπηδῶντες F 2 ἀπέτιλλον CF γενειὰν F 3 τραχήλου F 5 πάντα C 10 αὐτοῦ om C παρειμένην C 16 βασιλέως ἔργον F 22 γαβριηλόπωλον P

ut primum ei dignitas abrogata est, facto quasi in feram impetu pugnis ceciderunt, alapas inflixerunt, barbam evellerunt, praecipitem in cervicem impulerunt, aliisque gravissimis modis multarunt, inscensorem vocantes et adulterum et qui alienam invasisset uxorem. quae sanctus ille vir omnia placide perpessus et in Agathi relegatus pauloque post vita defunctus est. corpus eius in urbem relatum, inque ipsius monasterio sepultum est. clericus autem is qui ei canos evellerat, domum revertens eam hac ipsa hora incendio absumptam deprehendit, filiamque membris luxatam, quae multos deinde per annos mendicando victum quaesivit.

Enimvero Alexander, iampridem molli dissolutaeque adsuetus vitae, solisque deditus venationibus aliisque intemperantibus atque intempestivis actionibus, nullius imperatorem decentis rei gerendae gnarus, tantumque luxui et libidinibus intentus, imperium adeptus nihil memorabile neque egit neque instituit. Ioannem quendam clericum circulatorem, et nullius pretii hominem, cognomento Lazarem, rectoris officio dignatus est, qui paulo post in Hebdomo pila ludens male periit. Gabrielopulum et Basilitzam, quibus antequam imperator fieret collusoribus suarumque

παίστορας αὐτῷ ὄντας πρὸ τῆς βασιλείας καὶ τῶν ἀκολάστων πράξεων κοινωνοὺς καὶ θεράποντας, πλείστοις τε χρήμασι περιήντλησε καὶ εἰς πατρικιότητος τιμὴν ἀνεβίβασεν. ἐβούλετο δ', ὥς φασιν, εἰ μὴ θεὸς ἐπέσχε, τὸν Βασιλίτζην εἰς τὸν βασίλειον θρόνον ἀναγαγεῖν καὶ Κωνσταντῖνον εὐνουχίσαι τὸν οἰκεῖον ἀνεψιόν. ὃ καὶ
P 608 ἐγένετο ἄν, εἰ μὴ θεὸς μὲν πρότερον, ὡς εἴρηται, διεκώλυσεν, ἔπειθ' οἱ πρὸς Λέοντα τὸν τοῦ παιδὸς πατέρα διαφυλάττοντες εὔνοιαν, ποτὲ μὲν λέγοντες ὡς νήπιός ἐστι ποτὲ δὲ ὡς ἀσθενής, καὶ οὕτω κατὰ μικρὸν ἀποβουκολήσαντες τὸν Ἀλέξανδρον τὸν παῖδα ἐσώσαντο, τοῦ θανάτου καταλαβόντος ἐκεῖνον. ἐπὶ τούτου βασιλεύσαντος ἐφάνη κομήτης ἐκ δύσεως, ὃν ξιφίαν καλοῦσιν οἱ περὶ ταῦτα δεινοί. τοῦτον δὲ ἔλεγον αἱμάτων χύσιν προσημαίνειν ἐν τῇ βασιλίδι.

Ὁ δὲ βασιλεὺς πλάνοις καὶ γόησιν ἐκδεδωκὼς ἑαυτόν, καὶ πυνθανόμενος περὶ τῆς ἑαυτοῦ βασιλείας εἰ μακροχρόνιος ἔσεται,
B ὑπέσχοντο μακρόβιον αὐτὸν ἔσεσθαι, εἰ ὁ ἐν τῷ ἱππικῷ ἑστηκὼς σύαγρος ὁ χαλκοῦς, αἰδοῖα καὶ ὀδόντας μὴ ἔχων, προσλάβοι παρ' αὐτοῦ. στοιχεῖον γὰρ αὐτοῦ τοῦτον εἶναι προφανῶς· Λέοντι γὰρ ἀντιμάχεται τῷ αὐτοῦ, φασίν, ἀδελφῷ. οἷς πεισθεὶς ὁ ταῖς ἀληθείαις χοιρόβιος τὰ λείποντα μέρη τῷ χοίρῳ προσανενέωσε. τῇ τοιαύτῃ οὖν ἐχόμενος ἀπονοίᾳ, ἱππικὸν πεποιηκώς, τοὺς ἱεροὺς τῶν ἐκκλησιῶν πέπλους καὶ τοὺς θείους λύχνους καὶ τοὺς λαμπτῆρας ἀναλαβὼν τὸ ἱππικὸν κατεκόσμησε,

8 ὡς post δὲ om C   10 διέσωσαν C   20 χοίρειος C

libidinum ministris et sociis usus fuerat, pecuniae effusis largitionibus ditatos ad patriciam dignitatem extulit. fertur animo agitasse ut Basilitzam sibi successorem faceret, ac Constantinum Leonis fratris sui filium castraret. atque id perfecisset, nisi deus praecipue impedivisset, et obstitissent ii qui Leoni fidem servabant, Constantinum modo puerum adhuc modo infirmum dicentes, itaque paulatim lactando Alexandrum trahentes, donec mors consilia eius intercepit. hoc imperante cometa, qui a gladii similitudine Xiphias dicitur ac sanguinis fusionem in urbe portendere fertur, ab Occidente apparuit.

Ceterum Alexander cum se impostoribus ac praestigiatoribus dedisset, ex iisque sciscitaretur an sibi diuturnum esset futurum imperium, id responsi tulit diu victurum, si apro aeneo qui in Circo erat, pudenda et dentes (nam haec deerant) adderet. eum enim esse elementum Alexandri haud dubie, repugnantis fratri eius Leoni. persuasum est hoc homini vere porcinam vitam degenti, et partes istas apri instauravit. hac vaecordia captus, cum equestres ludos ederet, aulaea ecclesiastica et candelabra sacra Circo ornando adhibuit, deo res con-

τὰ θεῷ ἀνατεθειμένα κοινῶν ἢ μᾶλλον εἰπεῖν τοῖς εἰδώλοις ἀνατεθεὶς ὁ δείλαιος. Ἱμέριον δὲ τὸν λογοθέτην ἐκ τῆς τῶν Ἀγαρηνῶν ἥττης ὑποστρέψαντα καὶ τὴν βασιλίδα κατειληφότα ἀποστείλας περιώρισεν ἐν τῇ μονῇ τῶν Καλυπῶν, ἐπαπειλούμενος ὡς C ἐχθρῷ τούτῳ χρήσασθαι διὰ τὸ καὶ αὐτὸν πολλὰ κατ' αὐτοῦ συνθέσθαι ἐν ταῖς ἡμέραις τοῦ ἀδελφοῦ. οὗτος δὲ μικρὸν ἐν τῇ ἐξορίᾳ βιοὺς ἀπέθανεν ὑπὸ τῆς θλίψεως κατεργασθείς. τοῦ Βουλγάρων δὲ ἄρχοντος Συμεὼν πρέσβεις πεπομφότος τοὺς πευσομένους εἰ τὴν εἰρήνην ἀσπάζοιτο καὶ τιμὴν φυλάττοι πρὸς αὐτὸν ὁποίαν ὁ προβεβασιλευκὼς ἀδελφὸς αὐτοῦ, τοὺς μὲν πρέσβεις ἀτίμως ἐξέπεμψεν, ὑπερόγκους καὶ ἀλαζόνας λόγους καὶ φρυαγματώδεις ἐκπέμψας καὶ ἀπειλαῖς χρησάμενος κατὰ Συμεών, ἐν τούτοις καταπλήττειν τοῦτον οἰόμενος. ὑποστρεψάντων δὲ τῶν D πρέσβεων πρὸς τὸν Συμεών, μὴ ἐνεγκὼν οὗτος μετρίως τὰς ἐκ τοῦ Ἀλεξάνδρου ὕβρεις καὶ τὰ φρυάγματα καὶ τὰς ἀπειλάς, ἔλυσε τὴν εἰρήνην καὶ κατὰ Ῥωμαίων ἔκρινεν ὅπλα κινεῖν. Ἀλέξανδρος δὲ τῇ ϛʹ τοῦ Ἰουνίου μηνὸς λουσάμενος καὶ ἀριστήσας καὶ οἰνωθεὶς μετὰ τοὺς ὕπνους κατῆλθε σφαιρίσων. πόνου δὲ γεννηθέντος ἐν τοῖς ἐγκάτοις αὐτοῦ ἀπὸ τῆς τῶν βρωμάτων ἀπληστίας καὶ τῆς μέθης ἀνελθὼν ἐν τῷ παλατίῳ, αἵματος αὐτῷ πολλοῦ ἐκ τῶν ῥινῶν καὶ τῶν αἰδοίων ῥυέντος, μετὰ μίαν ἡμέραν ἐτελεύτησεν, ἐπιτρόπους καταλιπὼν τὸν πατριάρχην Νικόλαον, τὸν μάγιστρον Στέφανον, τὸν μάγιστρον Ἰωάννην τὸν Ἐλαδᾶν, Ἰωάννην τὸν ῥαίκτωρα, τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπουλον, τὴν βασι-

1 εἰπεῖν om C   4 καλυτῶν C   8 τοὺς πευσομένους om C
14 οὕτω C   16 ἐκστρατεῦσαι ἔκρινεν C   18 δὲ] δέ τινος F
19 αὐτοῦ om C

secratas profanans, aut verius eas simulacris impiis dedicans. Himerium logothetam a clade Agarenica in urbem reversum in monasterium Calyporum relegavit, comminatus se eum hostis loco habiturum, quod is quoque contra ipsum imperante Leone multa machinatus fuisset. neque diu in exsilio vixit Himerius, calamitate exanimatus. missos a Simeone Bulgarorum principe legatos, percontante pacemne amplecteretur eoque honore ipsum in quo Leo habuerat dignaretur, contumeliose dimisit, arroganter et ferociter iis collocutus, minisque se Simeonem territurum ratus. reversis legatis Bulgarus contumelias et fremitum Alexandri ac minas haud tulit mediocriter, sed rupta pace arma contra Romanos movit. sexta Iunii die Alexander pransus lotus et inebriatus a somno ad ludum pilae se contulit; et oborto viscerum ob cibi ingesti abundantiam et ebrietatem dolore in palatium reversus, multo per nares et veretrum sanguine egesto postridie decessit. Constantino fratris sui filio regnum legavit, tutoresque ei constituit Nicolaum patriarcham, Stephanum magistrum, Ioannem Eladam magistrum, Ioannem rectorem,

λείαν παραδοὺς Κωνσταντίνῳ τῷ οἰκείῳ ἀνεψιῷ. ἀποθανὼν δὲ
ἐτέθη μετὰ τοῦ πατρὸς αὐτοῦ Βασιλείου.
P 609 Τοῦτον μὲν τὸν τρόπον, ὃν εἴπομεν, ἀποθανόντος Ἀλε-
ξάνδρου εἰς Κωνσταντῖνον τὸν υἱὸν Λέοντος, ἕβδομον τῆς ἡλι-
κίας ἄγοντα ἔτος, τὸ βασίλειον περιελήλυθε κράτος, ὑπὸ ἐπι-
τρόπους τελοῦντα τοὺς ἄνωθεν ἠριθμημένους. λαβόμενος οὖν
τῆς ἐξουσίας Νικόλαος ὁ πατριάρχης ὡς καὶ αὐτὸς ἐπίτροπος ὤν,
συνάμα τοῖς ἄλλοις, ἐπηδαλιούχει τὰ τοῦ κοινοῦ. τῶν δὲ πραγμά-
των οὕτως ἐχόντων, καὶ τῆς βασιλείας, ὡς εἴπομεν, παρὰ τῶν
ἐπιτρόπων ἰθυνομένης, Κωνσταντῖνος ὁ τοῦ Δουκὸς Ἀνδρονίκου
υἱός, δομέστικος τῶν σχολῶν τυγχάνων καὶ δυναστείαν περιβε-
βλημένος μεγίστην, γράμμασι τῶν ἐν τῇ βασιλίδι φίλων καὶ συγ-
B γενῶν αὐτοῦ παρακινηθείς, γεγραφότων ἀκέφαλον εἶναι τὴν βασι-
λείαν καὶ κακῶς διεξάγεσθαι καὶ μικρὸν ὅσον κινδυνεύειν ὀλεθρίῳ
κινδύνῳ ὑποπεσεῖν, αὐτόν τε ἀνακαλουμένων ὡς ἐχέφρονα καὶ
ἀνδρεῖον καὶ μόνον δυνάμενον ἐπαξίως κυβερνῆσαι τὴν περιβόητον
τῶν Ῥωμαίων ἀρχήν, προστιθεμένων δ' ὅτι καὶ ἡ σύγκλητος αὐτὸν
ἀσπάζεται καὶ ὁ πολιτικὸς ὄχλος, καὶ ἐπισπευδόντων ὡς τάχος
καταλαβεῖν, συνειδότος, ὥς φασι, καὶ τοῦ πατριάρχου Νικολάου
καὶ τοῖς γραφεῖσι συνευδοκοῦντος διὰ τὸ μήπω τὰς διαθήκας
Ἀλεξάνδρου ἀναγνωσθῆναι μηδὲ γνωσθῆναι αὐτῷ ὡς ἐπίτροπος
γέγραπται καὶ αὐτὸς τοῦ παιδός, Ἀρταβάσδου πρὸς τοῦτο διακο-
νήσαντος καὶ παρὰ τοῦτο πρώτου τῶν ἱερέων τῆς μεγάλης ἐκκλη-
C σίας μετέπειτα γενομένου. πατὴρ δ' ὁ Ἀρτάβασδος ἦν Ἀνδρέου

3 οὕτω C   5 ἔχοντα ἔτος καὶ ἄγοντα P   7 ὢν om C
16 ἐπισταμένως C   22 καὶ αὐτὸς om C

Basilitzam et Gabrielopulum. mortui cadaver apud patrem Basilium conditum est.

Annum agens aetatis septimum Constantinus Leonis filius imperium iniit, sub iis quos recensui tutoribus: et Nicolaus maxime patriarcha, utpote unus tutorum, clavum rei publicae tenuit. initio huius imperii, Constantinus Ducas Andronici filius domesticus scholarum, et maxima praeditus potentia, amicorum ac cognatorum in urbe degentium literis ad invadendum imperium instigatur. scribebant enim, capite carere imperium, ac male geri, et in summo versari discrimine: ipsumque, ut hominem cordatum atque fortem, et solum nobili Romanorum imperio administrando aptum, accersebant: addebantque, probari eum senatui et civili multitudini: et hortabantur, ut urbem quamprimum occuparet. ferunt, conscium horum quae scribebantur approbatoremque fuisse Nicolaum patriarcham (quippe nondum recitato Alexandri testamento, se inter tutores adscriptum esse etiamnum ignorantem) usumque hac in re ministerio Artabasdi, qui pater fuit Andreae nobilis pictoris, et ideo

τοῦ ἐπὶ ζωγραφικῇ τέχνῃ λάμψαντος. ὁ Κωνσταντῖνος δὲ καὶ πρότερον ὀνειροπολῶν τὴν βασιλείαν καὶ διὰ παντὸς αὐτῆς ἐφιέμενος, καὶ μηδέποτε ἄλλοσέ πῃ ἀλλ' ἢ πρὸς τὴν τοιαύτην ὄρεξιν τετραμμένον ἔχων τὸν νοῦν, δεξάμενος τὰ γράμματα ταχύ τε ἐπείσθη καὶ ταχὺ τὴν βασιλίδα κατέλαβεν, ἑπομένους ἔχων τοὺς τῶν στρατευμάτων ἐκκρίτους. καὶ τῶν νυκτῶν ἀωρὶ διὰ πυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου Μιχαήλ, πλησίον οὔσης τῆς ἀκροπόλεως, ἐν τῷ οἴκῳ τοῦ μαγίστρου Γρηγορᾶ τοῦ Ἰβηρίτζη (πενθερὸς δὲ ὁ Γρηγορᾶς τοῦ Κωνσταντίνου) παρεγένετο, ἐν ᾗ διανυκτερεύων μετὰ τῶν σὺν αὐτῷ διετέλει. Νικήτας δὲ ἀσηκρῆτις D τὴν ἔλευσιν αἰσθόμενος τοῦ Κωνσταντίνου τῷ πατρικίῳ Κωνσταντίνῳ τῷ Ἐλαδικῷ τυγχάνοντι μοναχῷ θᾶττον ἐμήνυσε, καὶ παρειληφὼς αὐτὸν κατὰ τὴν αὐτὴν νύκτα πεφοιτήκασι πρὸς τὸν Δοῦκα. βουλὴν δὲ ποιησάμενοι, μήπω τῆς ἡμέρας καταλαμπούσης, μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὄχλου τὴν τοῦ ἱπποδρομίου πύλην καταλαμβάνοντες Κωνσταντῖνον ἀνευφήμουν αὐτοκράτορα. τῶν δὲ ἔνδον εὐσθενῶς ἀντεχομένων καὶ μὴ ἀνοιγνύντων τὰς πύλας, ὁ τοῦ Κωνσταντίνου πρωτοστράτωρ, ἐπ' ἀνδρίᾳ μέγα φρονῶν καὶ βιαιότερον ἢ μᾶλλον εἰπεῖν ἀτακτότερον τῇ ἀνοίξει ἐπιχειρῶν τῶν πυλῶν, λογχεύεται παρά τινος τῶν εἴσω διὰ τῆς ἁρμογῆς τῶν θυρῶν. καὶ θνήσκει μὲν οὗτος εὐθύς, ὁ Κωνσταντῖνος δὲ ἀποκρουσθεὶς ἐκεῖθεν καὶ τῷ τῆς βασιλείας ἔρωτι οἷά τινι μέθῃ κάτοχος ὢν καὶ μὴ καθεστῶτας ἔχων τοὺς λογισμούς, ἄρας ἐκεῖθεν εἰς τὸ ἱπποδρόμιον παραγίνεται, κακὸν οἰωνὸν τὴν τοῦ πρωτοστράτορος ἔχων σφαγήν, ὅμως δὲ τῶν δεδογμένων οὐκ ἀφιστά-

1 δὲ om C 5 κατέλιπεν C 6 τῆς νυκτὸς C 10 διετέλεσε C 18 πρῶτος ἱπποκόμος C 24 ἱπποκόμου C

primus sacerdotum magni templi factus est. at Constantinus, qui iam ante imperium somniaret summoque id studio affectaret, neque animum ab ea cura unquam alio deflecteret, literis acceptis statim assentit, et Cpolin contendit, stipatus militum delectis; atque intempesta nocte per portam Michaeli protovestiarii ingressus, quae vicina erat arci, in domum magistri Gregorae Iberitzae, soceri sui, se confert, ibique pernoctat. Nicetas porro secretarius Ducae adventu cognito, patricio Constantino Eladico monacho statim indicat, cumque eo hac ipsa nocte ad Ducam venit. hi priusquam dies illucesceret, cum facibus et magna turba portam Circi occupant, et Constantinum imperatorem faustis acclamationibus salutant. cum autem qui intus erant, portam non reserarent fortiterque resisterent, Constantini protostrator, audax homo, dum inconsideratius portam aperire molitur, per commissuram forium lancea a quodam ictus occumbit. Constantinus inde pulsus, tamen imperii cupiditate ebrius neque sanae rationis compos, inde ad Circum pergit, nihil a sententia dimotus malo omine interfecti protostratoris. inde

P 610 μενος. ἐκεῖθεν οὖν εὐφημιούμενος κατέλαβε τὴν λεγομένην Χαλκῆν, καὶ δι' αὐτῆς εἰσελθὼν ἔφθασεν ἄχρι τῶν ἐξκουβίτων. ὁ δὲ μάγιστρος Ἰωάννης ὁ Ἐλαδᾶς, εἷς ὑπάρχων τῶν ἐπιτρόπων, ἐκλογὴν ὡς ὁ καιρὸς ἐδίδου τῶν ἐλατῶν καὶ τῶν ἑταιρειῶν ποιησάμενος, καὶ καθοπλίσας ὅπως ποτὲ ἕκαστος ἅρματος ηὐπόρει, ἀπέστειλε κατὰ τοῦ Δούκα· οἵτινες φθάσαντες τοὺς περὶ αὐτὸν συμπλέκονται, καὶ γίνεται φόνος πολὺς ἑκατέρωθεν. ἔπεσε δὲ καὶ Γρηγορᾶς ὁ τοῦ Δουκὸς υἱὸς καὶ Μιχαὴλ ὁ ἀνεψιὸς αὐτοῦ καὶ Κουρτίκιος ὁ Ἀρμένιος. ταῦτα ταραχῆς οὐ μικρᾶς τὸν Κωνσταντῖνον ἐμπίμπλησι. σπεύδων οὖν ἐπιρρῶσαι τὸ ἑαυτοῦ μέρος,
B τὸν ἵππον ἐλάσας ἠπείγετο συμμῖξαι τοῖς ἔμπροσθεν. ὁ δ' ἵππος ταῖς ἐκεῖσε ὑπεστρωμέναις κατολισθήσας πλαξὶν εἰς γῆν τὸν ἐπιβάτην κατέβαλε, καί τις αὐτὸν κατὰ γῆς ἐρριμμένον καὶ μεμονωμένον καταλαβὼν (οἱ γὰρ ἄλλοι διεσκεδάσθησαν ἅπαντες) ξίφει τὴν τούτου ἀπέτεμε κεφαλὴν καὶ δρομαίως τῷ βασιλεῖ ἀπήνεγκε Κωνσταντίνῳ. τὸ δὲ τοιαύτην αὐτὸν καταλήψεσθαι τύχην προεγνωσμένον ἦν τοῖς ἐπιτρόποις καὶ ἐξ ἑτέρας αἰτίας. Νικόλαός τις δημοσιώνης τῶν ἐν Χαλδίᾳ εἰσπράξεων, τὰς συντελείας κατασπαθήσας καὶ μὴ ἔχων ὅθεν ἀποδῷ τὸ δημόσιον ὄφλημα, φυγὰς εἰς
C Συρίαν ᾤχετο, ἐξομοσάμενος τὴν καθ' ἡμᾶς εὐσεβῆ θρησκείαν, καὶ ἀστρολογίας ἀντεποιεῖτο. οὗτος ἐν ὀθόνῃ μελαίνῃ γράμματα γράψας ἀπεστάλκει τῷ λογοθέτῃ Θωμᾷ, καὶ τῆς ὀθόνης ῥυφθείσης δι' ὕδατος φανερὰ τὰ γράμματα γέγονεν. ἦν δὲ ὁ νοῦς τῶν

1 οὖν om C 4 τῶν ἑτ. καὶ τῶν ἐλ. C 6 δουκός C τοῖς C αὐτὸν] τὸν δοῦκα C 12 ὑπ. πέτραις π. C 19 ἀποδώσει C 22 τὸ P

faustis acclamationibus prosequentibus Chalcen occupat; perque eam ingressus usque ad excubitorum stationem proficiscitur. interim Ioannes Eladas magister, unus curatorum, delectis quantum occasio patiebatur remigibus ac sodalitatibus, iisque ut arma cuique fors offerebat instructis, hos Ducae occurrere iubet. ii cum Ducae militibus manum conseruerunt, et magna utrinque caedes facta est. occubuit etiam Gregoras Ducae filius, et Michaelus cognatus eius, et Curticius Armenius. quo casu non leviter perturbatus Ducas, suos uti confirmaret, concitato equo ad primos contendit: sed equo in tabulis lapideis, quibus ille locus erat constratus, collapso excussum quidam in terra iacentem et a suis, qui fuga omnes dissipati erant, desertum cernens, caput ei gladio amputat, idque celeri cursu ad imperatorem Constantinum adfert. hunc Ducae futurum exitum etiam alias intellexerant tutores. Nicolaus enim quidam publicanus vectigalis Chaldiensis, cum vectigal acceptum decoxisset neque haberet unde publico satisfaceret aerario, in Syriam profugerat, et nostra eiurata religione astrologiae se dederat. is in nigro linteo literas ad Thomam logothetam scriptas miserat, quae linteo aqua

γεγραμμένων τοιοῦτος "μὴ φοβηθῆτε ἀπὸ τοῦ πυρροῦ πετεινοῦ τοῦ Δουκός· νεωτερισθήσεται γὰρ ἀφρόνως, καὶ εὐθέως ὀλοθρευθήσεται."

Τοιοῦτον δὲ τέλος λαβούσης τῆς ἀποστάσεως, παραυτίκα μὲν ὁ μάγιστρος Γρηγορᾶς καὶ πενθερὸς τοῦ Δουκὸς μετὰ Λέοντος πατρικίου τοῦ Χοιροσφάκτου τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ σοφίας προσέδραμον· οὓς ἐκεῖθεν ἀποσπάσαντες οἱ ἐπίτροποι ἀπέκειραν μοναχοὺς ἐν τῇ τοῦ Στουδίου μονῇ. Κωνσταντῖνον δὲ τὸν πατρίκιον τὸν Ἑλαδικὸν βουνεύροις τύψαντες ἀφειδῶς διὰ μέσης D τῆς πόλεως ἐθριάμβευσαν καὶ ἐν τῇ μονῇ τῶν Δαλμάτου ἀπέκλεισαν. Λέοντα δὲ πατρίκιον τὸν Καταχαλίτζην καὶ Ἀβεσσαλὼμ πατρίκιον τὸν τοῦ Ἀροτρᾶ ἐκτυφλώσαντες ἐν ἐξορίᾳ παρέπεμψαν. Κωνσταντῖνον δὲ τὸν τοῦ Εὐλαμπίου καὶ ἑτέρους σὺν αὐτῷ Φιλόθεος ὁ ἔπαρχος ἐν τῇ ἱππικῇ σφενδόνῃ ἀπέτεμε. Νικήτας δὲ ὁ ἀσηκρῆτις καὶ Κωνσταντῖνος ὁ Λίψ, καίπερ ἀναζητηθέντες πολλά, οὐχ εὑρέθησαν. τὸν δὲ πατρίκιον Αἰγίδην τὸν ἐπ' ἀνδρίᾳ περιβόητον, καὶ τινὰς σὺν αὐτῷ στρατηγοὺς οὐκ ἀσήμους, ἀπὸ τῆς ἐν Χρυσοπόλει δαμάλεως καὶ μέχρι τοῦ τόπου τοῦ λεγομένου Λευκακτίου ἀνεσκολόπισαν. πολλοὶ δὲ καὶ ἄλλοι ἀπωλώλεισαν τῶν συγκλητικῶν παρὰ τῶν λεγομένων ἐπιτρόπων ἀνηλεῶς τε καὶ ἀναιτίως, εἰ μή τινες παρρησιασάμενοι τῶν δικαστῶν τῆς ἀδίκου ὁρ- P 611 μῆς ἀνεχαίτισαν, φάμενοι ὡς παιδὸς ὄντος τοῦ βασιλέως καὶ μὴ

1 οὗτος C 2 κωνσταντῖνον C 6 χοιροσφάκτη C 10 τῶν] τοῦ C 11 καταχυλίτζην C

eleto apparuerunt, hanc continentes sententiam "nolite vobis metuere a rufa ave Duca: stulte enim res novas molietur, et statim peribit."

Conatu Ducae hunc exitum nacto, statim Gregoras magister, Ducae socer, et cum eo patricius Leo Choerosphacta ad Sophiae templum profugerunt. qui a tutoribus inde abrepti, rasi et monachi in Studii monasterium conclusi sunt. Constantinum Eladicum patricium iidem nervis bovillis prolixe caesum et in triumpho per mediam urbem ductum monasterio Dalmatico inclusere. Leonem patricium Catacalitzam et Abessalomum patricium Arotrae filium excaecatos relegarunt. Constantinum Eulampii filium, et cum eo alios, Philotheus urbis praefectus in Circi funda capite truncavit. Nicetas secretarius et Constantinus Africus diu ac multum quaesiti inventi non sunt. patricium Aegidam, nobilitatae fortitudinis virum, et alios cum eo duces haud obscuros, a Damali (buculam vox notat) Chrysopolitana usque ad locum cui Leucactio (quod album litus diceres) nomen est, palis suffixerunt. quin et alios multos senatorii ordinis viros tutores isti innocuos crudeliter erant interempturi, nisi quidam ex iudicibus libertate dicendi sumpta eos ab iniusto conatu retraxissent, quaerentes quomodo iniussu imperatoris,

νοοῦντος τὰ πεπραγμένα πῶς ἄνευ τῆς αὐτοῦ κελεύσεως τολμᾶτε τὰ τοιαῦτα διαπράττεσθαι; οἱ δὲ ἐπίτροποι καὶ τὴν τοῦ Δοῦκα ἀποκείραντες γυναῖκα εἰς τὸν ἐν τῇ Παφλαγονίᾳ οἶκον αὐτῆς ἐξαπέστειλαν. ἐξέτεμον δὲ καὶ Στέφανον τὸν ταύτης υἱόν.

Ἀλλὰ τούτων κατὰ τὴν πόλιν πραττομένων, Συμεὼν ὁ Βουλγαρίας ἄρχων μετὰ βαρείας δυνάμεως εἰσβολὴν κατὰ Ῥωμαίων ἐποιήσατο, καὶ τὴν βασιλίδα φθάσας χάρακα περιέβαλεν ἀπό τε Βλαχερνῶν καὶ μέχρι τῆς λεγομένης χρυσῆς πόρτης, καὶ μετέω- B ρος ἦν ταῖς ἐλπίσι ῥᾳδίως ταύτην ἑλεῖν. καταμαθὼν δὲ τὴν ὀχυρότητα τῶν τειχῶν καὶ τὸ πλῆθος τῶν τειχοφυλακούντων καὶ τὴν τῶν πετροβόλων καὶ τοξοβόλων ὀργάνων δαψίλειαν, ἀφέμενος τῶν ἐλπίδων ἐν τῷ Ἑβδόμῳ ὑπέστρεψεν, εἰρηνικὰς σπονδὰς ἐξαιτούμενος. τῶν δ' ἐπιτρόπων ἀσμενέστατα δεξαμένων τὸν λόγον, ἀποστέλλει ὁ Συμεὼν τὸν ἑαυτοῦ μάγιστρον Θεόδωρον ὁμιλῆσαι περὶ εἰρήνης· οὗ παραγενομένου καὶ λόγων κινηθέντων πολλῶν, ὁ πατριάρχης ἅμα τοῖς λοιποῖς ἐπιτρόποις ἀναλαβόντες τὸν βασιλέα ἐν τῷ παλατίῳ ἦλθον τῶν Βλαχερνῶν, καὶ ὁμήρους δόντες ἀξιολόγους εἰσήγαγον τὸν Συμεὼν ἐν τῷ παλατίῳ, καὶ συνειστιάθη τῷ βασιλεῖ, C τοῦ Συμεὼν ὑποκλίναντος τῷ πατριάρχῃ τὴν κεφαλὴν καὶ εὐχὴν δεξαμένου παρ' αὐτοῦ, ἐπιθέντος, ὥς φασι, τῇ τοῦ βαρβάρου κεφαλῇ ἀντὶ στεφάνου τὸ ἴδιον ἐπιρριπτάριον. μετὰ δὲ τὴν ἑστίασιν, ἀσυμβάτων γενομένων περὶ τῆς εἰρήνης, δώροις ὅ τε Συμεὼν καὶ οἱ τούτου παῖδες φιλοφρονηθέντες εἰς τὴν ἰδίαν ἀπηλλάγησαν χώραν. καὶ ταῦτα μὲν ἐπράττετο τῇδε.

2 δουκὸς C 7 περιεβάλλετο C 16 βασίλειον C 18 τοῖς παλατίοις C 19 τοῦ πατριάρχου C

qui puer adhuc quid gereretur non intelligeret, tanta auderent facere. ii tutores uxorem quoque Ducae raserunt et domum suam, quam in Paphlagonia habebat, dimiserunt, filiumque eius Stephanum castraverunt.

Dum haec in urbe geruntur, interim Simeo Bulgarorum princeps gravi cum exercitu in Romanorum dicionem invadit, et ad Cpolin venit, atque a Blachernis usque ad auream portam castra ponit. magnamque spem conceperat urbis potiundae: sed ut certior factus est de murorum firmitate, multitudine propugnatorum saxa iactantium, machinarum et balistarum abundantia, repudiata ea spe ad Hebdomum recedit pacificationemque poscit. id fuit multo gratissimum tutoribus; missusque est a Simeone magister ipsius Theodorus, et de pace habitum colloquium. multis ultro citroque commutatis verbis, patriarcha cum reliquis tutoribus deducunt imperatorem in Blachernense palatium; datisque idoneis obsidibus eodem ad convivium imperatoris Simeonem recipiunt. ubi quidem caput patriarchae Bulgarus princeps submisit, et ab eo comprecationem obtinuit, capiti, ut fertur, Simeonis imponente suum epirrhiptarium. post convivium pacis condicionibus compositis, Simeon eiusque liberi donati domum abierunt.

Τοῦ δὲ βασιλέως Κωνσταντίνου διὰ παντὸς ὀδυρομένου καὶ τὴν ἑαυτοῦ ἀνακαλουμένου μητέρα (ἤδη γὰρ αὐτὴν κατήγαγε τοῦ παλατίου Ἀλέξανδρος) ἀναβιβάζουσι καὶ ἄκοντες πάλιν αὐτήν. ἀνελθοῦσα οὖν καὶ ἐγκρατὴς γενομένη τῆς βασιλείας προσλαμβάνεται τὸν παρακοιμώμενον Κωνσταντῖνον καὶ Ἀναστάσιον καὶ D Κωνσταντῖνον τοὺς ἀδελφοὺς τοὺς τὴν ἐπωνυμίαν Γογγυλίους. συμβουλεύσαντος δὲ καὶ Ἰωάννου τοῦ Ἐλαδᾶ καταβιβάζουσι τοὺς οἰκείους Ἀλεξάνδρου, Ἰωάννην τὸν ῥαίκτωρα, τὸν Γαβριηλόπουλον, τὸν Βασιλίτζην καὶ τοὺς λοιπούς. προβάλλεται δὲ καὶ Ζωὴ Αὐγοῦστα Δομίνικον ἑταιρειάρχην δραστήριον δοκοῦντα καὶ τοῖς αὐτῆς προσκείμενον προστάγμασιν, οὗ τῇ συμβουλῇ καταβιβάζεται ὁ πατριάρχης τοῦ παλατίου. καὶ ὁ μάγιστρος δὲ Ἰωάννης ὁ Ἐλαδᾶς κατῆλθεν ἑκουσίως, νόσῳ ληφθείς, δι' ἧς καὶ ἀπεβίω. Κωνσταντῖνος δὲ ὁ παρακοιμώμενος ὑφ' ἑαυτὸν ἀγαγεῖν τὴν ἅπασαν τῆς βασιλείας ἡνίαν βουλόμενος καὶ μηδένα ἔχειν τὸν ἐμποδίζοντα, διαβάλλει τὸν ἑταιρειάρχην εἰς τὴν Αὐγοῦσταν ὡς σφετερι- P 612 ζόμενον τὴν βασιλείαν εἰς τὸν ἑαυτοῦ ἀδελφόν· οὗ τοῖς λόγοις πεισθεῖσα πατρίκιον αὐτὸν τιμᾷ, καὶ κατελθόντα ὡς ἔθος λαβεῖν εὐχὴν οἴκοι μένειν προσέταξε. προχειρίζεται δὲ ἀντ' αὐτοῦ Ἰωάννην τὸν Γαριδᾶν ἑταιρειάρχην, καὶ Δαμιανὸν εὐνοῦχον ἀρτιφανῆ τῆς βίγλας δρουγγάριον.

Ἄγοντος δὲ καὶ φέροντος τοῦ Συμεὼν τὰ Θρᾳκῷα μέρη, καὶ τῆς Αὐγούστης φροντιζούσης μετὰ τῶν ἐν τέλει ὅπως αὐτοῦ παύσωσι τὰς ἐπιδρομάς, Ἰωάννης ὁ Βογᾶς ὑπέσχετο πατρίκιος τιμη-

6 αὐταδέλφους τοὺς κατ' C 13 βληθεὶς C 24 βογῆς C

Porro Zoen imperatoris matrem, quam dudum aula eduxerat Alexander, filio eam identidem deplorante ac requirente, tutores vel inviti in palatium revocant. reversa haec et rerum gubernationem nacta adsciscit Constantinum cubicularium intimum, Anastasium et Constantinum Gongylios, cognominatos germanos fratres, ac Ioannem Eladam. horum consilio aula eiiciuntur Alexandri asseclae, Ioannes rector, Gabrielopulus, Basilitzes ac reliqui. Dominicum etiam sodalitatis praefectum Zoe Augusta provehit, hominem strenuum habitum suisque parentem mandatis. eius consilio patriarcha palatio pellitur. magister Ioannes Eladas ultro inde discedit ob morbum, quo et periit. at Constantinus cubicularius uti solus omnia imperii gubernare posset neque a quoquam impediretur, sodalitatis praefectum apud Augustam criminatur, quasi is fratri suo imperium vindicare conaretur. quod ea ita esse credens, patricium eum creat: ac de more precatum descendentem domi manere iubet. sodalitati praeficit Ioannem Garidam, ac Damianum eunuchum drungarium vigiliae facit.

Ceterum Simeone Thraciam populante, Augusta cum proceribus consultat quo pacto eius impressiones compesceret. ibi Ioannes Bogas

θεὶς ἀγαγεῖν κατ' αὐτοῦ Πατζινάκους, καὶ τυχὼν τῆς αἰτήσεως, δῶρα λαβὼν ἄπεισιν εἰς Πατζινακίαν. καὶ σπεισάμενος καὶ ὁμή-
B ρους εἰληφὼς ἐπάνεισιν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζινάκων τὸν Ἴστρον περαιώσασθαι καὶ Βουλγάροις πολεμεῖν. ηὐτομόλησε δὲ τότε καὶ Ἀσώτης ἀνὴρ ὀνομαστός, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων. ἐλέγετο δὲ οὗτος ῥάβδον σιδηρᾶν ἀμφοτέραις χερσὶ τῶν ἄκρων λαμβάνων περικλᾶν τῇ τῶν χειρῶν βίᾳ καὶ κάμπτειν, τῆς ἀντιτύπου τοῦ σιδήρου βίας ὑπεικούσης τῇ τῶν χειρῶν ἰσχύϊ· ὃν φιλοφρόνως ἡ δέσποινα δεξαμένη οἴκαδε πάλιν ὑπονοστῆσαι πεποίηκε. πολιορκοῦντος δὲ τοῦ Συμεὼν τὴν Ἀδριανούπολιν ἐφ' ἡμέρας ἱκανὰς καὶ μηδὲν ἀνύοντος, Παγκρατούκας τις γένος ὢν Ἀρμένιος καὶ εἷς τῶν φυλάττειν τεταγμένων τὴν πόλιν, χρυσίῳ δελεασθεὶς
C προύδωκεν αὐτὴν τῷ Συμεών. μετ' ὀλίγον δὲ ἀπεστάλη παρὰ τῆς Αὐγούστης ὁ πατρίκιος Βασίλειος ὁ ἐπὶ τοῦ κανικλείου καὶ Νικήτας Ἑλαδικός, καὶ χρυσίῳ καὶ χρήμασι πλείστοις πάλιν αὐτὴν ἀνεκτήσαντο.

Τούτῳ τῷ ἔτει καὶ Δαμιανὸς ὁ τῆς Τύρου ἀμηρᾶς μετὰ πολεμικῶν πλοίων καὶ δυνάμεως πολλῆς εἰσβολὴν ἐποιήσατο κατὰ Ῥωμαίων, καὶ τὴν Στρόβηλον καταλαβὼν ἐνεργῶς αὐτὴν ἐπολιόρκει. καὶ ἐξεπόρθησεν ἄν, εἰ μὴ νοσήσας ἀπεβίω, διὰ κενῆς τῶν Σαρακηνῶν ὑποστρεψάντων. μὴ φέρουσα δὲ Ζωὴ ἡ βασιλὶς τὰς τοῦ Συμεὼν συνεχεῖς ἐπιδρομάς, καὶ βουλομένη ταύτας ἀνακόψαι, δέον ἐγνώκει μετὰ τῆς συγκλήτου εἶναι σπείσασθαι τοῖς Σαρακη-

1 πατζινάκας C 2 εἰς π. ἀπῄει C 5 ἀσώτιος C 7 καὶ — 8 ἰσχύϊ om C 13 αὐτὸν C 15 ἐλλαδικὸς C 21 ἡ βασίλισσα ζωὴ C

promittit, si patricio honore insigniretur, se Patzinacas contra eum adducturum; impetratoque quod petebat, acceptis donis ad eos se confert, pactum icit, acceptisque obsidibus Cpolin redit, pollicitis Patzinacis se Istro traiecto Bulgaris bellum facturos. transfugit eo tempore et Asotes, vir celebris, principis principum filius. is ferebatur virgam ferream manibus extrema tenens confringere ac flectere posse, duritie ferri manuum robori cedente. eum Zoe comiter acceptum domum remisit. Adrianopolin autem Simeoni per complures dies frustra oppugnanti Pancratucas quidam Armenius, cui inter alios urbis eius custodia fuerat commissa, auro corruptus prodit. paulo post missi ab Augusta Basilius patricius canicleo praefectus et Nicetas Eladicus eam auro ac pecunia recuperarunt.

Hoc ipso anno Tyri ameras Damianus hostili cum classe et magnis copiis in Romanos impetum dedit, adortusque Strobelum acriter oppugnavit; et cepisset utique, nisi e morbo decessisset vita. morte eius factum est ut Saraceni re infecta domum redirent. Zoe porro continentes Simeonis incursiones non ferens, eumque reprimere cupiens, re cum senatu deliberata statuit pacem cum Saracenis componere orien-

τοῖς, καὶ πάντα τὸν ἐν τῇ ἑῴᾳ στρατὸν διαπεράσαι πρὸς τὴν D
ἑσπέραν, καὶ ἑνωθέντων τῶν τε ἑῴων καὶ τῶν δυτικῶν στρατευμάτων πόλεμον συστήσασθαι κατὰ τῶν Βουλγάρων, καὶ τελέως ἀφανίσαι αὐτούς. ἔδοξε τοῦτο, καὶ πεμφθεὶς εἰς Συρίαν Ἰωάννης πατρίκιος ὁ Ῥαδηνὸς καὶ Μιχαὴλ ὁ Τοξαρᾶς ἐσπείσαντο τοῖς Σαρακηνοῖς. καὶ δὴ τῆς ἀπ' αὐτῶν ἀπαλλαγεῖσα φροντίδος ἡ βασιλίς, τὴν συνήθη διανομὴν τῆς ῥόγας κελεύσασα γενέσθαι τῶν στρατευμάτων, Λέοντί τε μαγίστρῳ τῷ Φωκᾷ ταῦτα παραδοῦσα, δομεστίκῳ τῶν σχολῶν τυγχάνοντι, ἀπᾶραι κατὰ Βουλγάρων ἐπέτρεψεν. ἀθροισθέντων δὲ πάντων τῶν θεμάτων καὶ τῶν ταγμάτων κατὰ τὴν Διάβασιν (πεδίον δὲ ἡ Διάβασις μέγα καὶ πρὸς ὑποδοχὴν στρατοῦ ἐπιτήδειον) ἀποσταλεὶς ὁ πρωτοπαπᾶς τοῦ παλατίου μετὰ τῶν τιμίων ξύλων παρεσκεύασε προσκυνήσαντας πάν- P 613
τας ἐπομόσασθαι συναποθνήσκειν ἀλλήλοις. καὶ τοῦ ὅρκου τελεσθέντος πανστρατὶ κατὰ Βουλγάρων ἐξώρμησαν. ἦρχον δὲ τοῦ μὲν τάγματος ἐξκουβίτων Ἰωάννης ὁ Γράψων, ἀνὴρ πολεμικὸς καὶ πολλάκις ἐν μάχαις ἀνδραγαθήσας, τοῦ δὲ ἱκανάτου Ὀλβιανὸς ὁ Μαρούλης, ἀνὴρ δεδοκιμασμένος. καὶ Ῥωμανὸς καὶ Λέων οἱ τοῦ Ἀργυροῦ παῖδες καὶ Βάρδας ὁ Φωκᾶς ἑτέρων ταγμάτων ἐξῆρχον. συνῆν δὲ τούτοις καὶ Μελίας ὁ μάγιστρος μετὰ τῶν Ἀρμενίων καὶ ἄλλοι πλεῖστοι στρατηγοὶ τῶν θεμάτων. παρείπετο δὲ καὶ Κωνσταντῖνος πατρίκιος ὁ Λὶψ ὡς τάχα σύμβουλος Λέοντος τοῦ δομεστίκου τῶν σχολῶν. κατὰ δὲ τὴν ϛ' τοῦ Αὐγούστου

1 ἕω C 3 τελείως C 5 ῥαδηνὸς C 15 ἐξώρμισεν C
23 λέοντι τῷ δομεστίκῳ C

talesque deinde omnes exercitus in Occidentem transportare, hisque cum occidentalibus copiis coniunctis bellum in Bulgaros movere eosque exscindere. proinde in Syriam missi Ioannes Radenus patricius et Michaelus Toxaras pactum cum Saracenis icerunt. Augusta Saracenorum iam secura militibus rogas (sic vocatur pecuniae distributio) dari, Leonemque Phocam magistrum ac scholarum domesticum exercitus in Bulgaros ducere iubet. omnibus in unum conductis exercitibus ac cohortibus ad Diabasin (locus id nomen a transitu habet, estque planities ampla et recipiendo exercitui sufficiens) palatii primarius sacerdos (ipsi protopapam vocant) missus cum venerandis lignis omnes in genua procumbere iussit, et iurare se usque ad mortem una perseveraturos. dicto sacramento in Bulgaros exercitus omnes moverunt. cohortem excubitorum ducebat Ioannes Grapson, vir bellicosus probataeque multis praeliis virtutis, cohortem Hicanatorum dictam Olbianus Marula, vir insignis: Romanus et Leo Argyri filii ac Bardas Phocas aliis praeerant cohortibus. aderat iis et Melias magister cum Armeniis, plurimique alii provincialium duces. comitabatur etiam Constantinus Africanus patricius, veluti consiliarius Leonis domestici scholarum. sexto Augusti die

B μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος πολέμου συρραγέντος Ῥωμαίοις τε καὶ Βουλγάροις πρὸς τῷ Ἀχελώῳ φρουρίῳ τρέπονται κατὰ κράτος οἱ Βούλγαροι, καὶ φόνος αὐτῶν ἐγένετο πολύς. ἱδρῶτι δὲ τοῦ δομεστίκου περιρρανθέντος πολλῷ καὶ λειποθυμήσαντος καὶ τοῦ ἵππου ἀποβάντος ἐπί τινι πηγῇ καὶ τὸν ἱδρῶτα ἀποπλύνοντος καὶ ἑαυτὸν ἀποψύχοντος, τὸν δεσμὸν ἀπορρήξας ὁ ἵππος τυχαίως ἔθει διὰ τοῦ στρατοπέδου κενὸς ἐπιβάτου· ὃν οἱ στρατιῶται θεώμενοι γνώριμον ὄντα, καὶ τὸν δομέστικον πεσεῖν ὑποτοπάσαντες, εἰς φόβον ἐνέπεσον καὶ κατεβλήθησαν τὰς ψυχὰς καὶ τῆς διώξεως ἔστησαν, ἔνιοι δὲ καὶ παλίντροποι γεγόνασιν. ἐξ ὑπερδεξιῶν δὲ ταῦτα θεώμενος ὁ Συμεὼν (οὐ γὰρ ἔτυχεν ἀσύντακτον τὴν φυγὴν

C ποιησάμενος) ἐπαφῆκε τοὺς Βουλγάρους κατὰ Ῥωμαίων. οἱ δὲ καὶ πρότερον, ὡς εἴπομεν, τὰς γνώμας θλασθέντες καὶ τεθηπότες, ὡς καὶ αἰφνίδιον ἐπιόντας ἐθεάσαντο τοὺς Βουλγάρους, τρέπονται πανστρατί, καὶ γέγονε φυγὴ φρικωδεστάτη, τῶν μὲν ὑπ' ἀλλήλων συμπατουμένων τῶν δὲ ὑπὸ τῶν ἐναντίων ἀναιρουμένων. Λέων δὲ ὁ δομέστικος ἐν Μεσημβρίᾳ διεσώθη φυγών. ἔπεσε δὲ λαὸς οὐ τῶν κοινῶν στρατιωτῶν, ἀλλὰ καὶ στρατηγοὶ καὶ ταγματάρχαι ἀριθμοῦ κρείττους. ἐσφάγη δὲ καὶ Κωνσταντῖνος ὁ Λὶψ καὶ ὁ τῶν ἐξκουβίτων ἔξαρχος Ἰωάννης μάγιστρος ὁ Γράψων. ἦν δὲ ἀποσταλεὶς ὁ πατρίκιος Ῥωμανὸς ὁ Λακαπηνός, δρουγγάριος τηνικαῦτα τῶν πλωΐμων ὤν, μετὰ παντὸς τοῦ στόλου παραπλεῖν τοῖς αἰγιαλοῖς προσταχθεὶς καὶ εἰς βοήθειαν τυγχάνειν τῷ Λέοντι,

D διαπερᾶσαι δὲ καὶ τοὺς παρὰ τοῦ Βογᾶ ἀχθέντας Πατζινάκους εἰς

7 ἐπιβάτης C 8 γνώριμον ὄντα om C 9 πτοίαν C, margo εἰς δειλίαν 14 καὶ post ὡς om C 24 πατζινάκας C

pugna inter Romanos et Bulgaros commissa est ad castellum Acheloum, pulsique et magna caede prostrati sunt Bulgari. ibi cum domesticus plurimo sudore madens animoque deficiens ad quendam fontem ex equo descendisset, ut sudorem elueret ac se recrearet, equus forte abrupto vinculo se proripit, ac sessoris vacuus per exercitum discurrit. quem ut agnovere milites, occubuisse domesticum rati, metu animis consternatis, ab insecutione hostium destiterunt: quidam etiam retro sese averterunt. quod ex sublimi cernens Simeon (neque enim effuse et ordinibus dissipatis fugam faciebat) suos Romanis immisit. Romani iam ante animos deiecti et paventes, hostem subito irruere videntes, statim terga dederunt. fuga ea periculosissima fuit, aliis sese invicem conculcantibus, aliis ab hoste caesis. Leo domesticus fuga in Mesembriam evasit. non multitudo tantum militaris tunc periit, sed et duces innumeri atque ordinum ductores. occisus est etiam Constantinus Africus, et excubitorum dux Ioannes Grapson. missus fuerat Romanus Lacapenus patricius, rei navalis drungarius, cum tota classe, iussus litus legere et auxilio esse Leoni et a Boga adductos ad opem Romanis ferendam Patzinacas

συμμαχίαν Ῥωμαίων. διενέξεως δὲ γενομένης μέσον τοῦ Ῥωμανοῦ καὶ τοῦ Βογᾶ, ἰδόντες αὐτοὺς οἱ Πατζινάκαι στασιάζοντας πρὸς ἀλλήλους ὑπέστρεψαν εἰς τὰ ἴδια, καὶ γέγονεν ἡ ἐξ αὐτῶν βοήθεια ἄπρακτος καὶ ἀνόνητος.

Ἄλλοι δὲ οὐχ οὕτω φασὶ γενέσθαι τὴν τροπὴν Ῥωμαίων, τρόπον δὲ ἕτερον. τρεψαμένου γὰρ τοῦ Φωκᾶ τὸν Συμεὼν καὶ διώκοντος, φήμη τις ἐξαίφνης ἔφθασε πρὸς αὐτὸν ἀπαγγέλλουσα ὡς ὁ δρουγγάριος τῶν πλωΐμων ἄπεισι μετὰ τοῦ στόλου παντός, παραληψόμενος τὴν βασιλείαν. ὁ δὲ τῇ ἀκοῇ καταβροντηθεὶς (ἐσφετερίζετο γὰρ εἰς ἑαυτὸν τὸ τῆς βασιλείας κράτος) καταλιπὼν τὸ διώκειν ὑπέστρεψεν εἰς τὴν παρεμβολὴν ὡς τάχα τὸ ὂν μαθησόμενος. διαδοθέντος δὲ λόγου πρὸς τὸν στρατὸν ὡς ὁ δομέστικος πέφευγεν, ἀλκῆς ἐπιλησθέντες οἱ λοιποὶ ἐποίουν ὁμοίως. οὓς P 614 ἰδὼν ὁ Συμεὼν φεύγοντας (ἵστατο γάρ, ὡς εἴρηται, ἐν εὐκαίρῳ τόπῳ τὸ τέλος ἀφορῶν τοῦ ἀγῶνος) ἐξεχύθη πανστρατὶ καὶ παλίντροπον τὴν φυγὴν ἐποιήσατο. οὗτος μὲν δὴ καὶ ὁ δεύτερος λόγος· εἴτε δὲ οὕτως εἴτε ἐκείνως ἡ ἀλήθεια ἔχει, ὅμως ἐτράπησαν οἱ Ῥωμαῖοι καὶ τὰ λεχθέντα ἄνωθεν διεπράχθη.

Μετὰ τὴν τροπὴν δὲ τῶν σωθέντων ἐκ τοῦ πολέμου παραγενομένων, τὰ κατὰ τὸν Ῥωμανὸν καὶ τὸν Βογᾶν ἐκινήθη. καὶ εἰς τοσοῦτον κινδύνου περιέστη τῷ δρουγγαρίῳ τὰ πράγματα ὡς ψῆφον κατ᾽ αὐτοῦ ἐξενεχθῆναι παρὰ τῶν δικαστῶν καταδικάζουσαν αὐτὸν ἐκκοπῆναι τὰς ὄψεις, ὡς ἀμελείᾳ ἢ μᾶλλον κακουργίᾳ μὴ διαπεράσαντα τοὺς Πατζινάκας, πάλιν δὲ μηδὲ B

1 διαλέξεως P   μέσον om C

traiicere. ei cum Boga incidit contentio; quam animadvertentes Patzinacae domum redierunt, ad irritumque eorum reciderunt suppetiae.

Sunt qui aliam Romanis fugae cladisque causam fuisse dicant. etenim cum Simeonem Phocas pulsum persequeretur, subito ad eum fuisse allatum nuntium, drungarium rei navalis cum universa classe abire animo occupandi imperii. quo nuntio attonitum eum ut qui summam rerum sibi deposceret, omissa insectatione hostium in castra veri discendi causa rediisse: diditum ex eo rumorem fugisse domesticum, ideoque milites fortitudinis oblitos fugam fecisse. Simeonem, qui opportuno loco stans exitum certaminis opperiebatur, hoc animadverso effuse in Romanos irruisse, itaque victoriam iis pulsis caesisque reparasse. sive hoc sive illo modo res gesta sit, Romani certe ea quam retulimus affecti sunt clade.

Cumque superstites ei in urbem rediissent, Romani et Bogae agitata est controversia, eoque periculi deductus drungarius, ut iudices ei oculos effodiendos esse pronuntiaverint, quod ob incuriam, aut potius malitia ductus, Patzinacas non traiecisset, quodque ex fuga reversos

τοὺς ἀπὸ τῆς τροπῆς δεχόμενον ὑποστρέψαντας. τοῦτο δ' ἂν ἐπεπόνθει, εἰ μὴ Στέφανος μάγιστρος ὁ τῶν ἐπιτρόπων εἷς καὶ Κωνσταντῖνος πατρίκιος ὁ Γογγύλης, πολλὰ δυνάμενοι παρὰ τῇ δεσποίνῃ, αὐτὸν ἐξερρύσαντο. Συμεὼν δὲ ἐπαρθεὶς τῇ νίκῃ καὶ γαυριῶν, ἄρας ἅπαν αὐτοῦ τὸ στράτευμα, κατὰ τῆς βασιλίδος ἠπείγετο. ἐξῆλθεν οὖν πάλιν ὁ δομέστικος Λέων ὁ Φωκᾶς καὶ ὁ ἑταιρειάρχης Ἰωάννης καὶ Νικόλαος ὁ Κωνσταντίνου τοῦ Δοῦκα υἱός, μετά τινων στρατιωτῶν τῶν παρευρεθέντων, εἰς συνάντησιν αὐτοῦ. καὶ κατὰ τόπον τὸν λεγόμενον Κατασύρτας ἀπομοίρᾳ C τινὶ Βουλγάρων εἰς προνομὴν πεμφθείσῃ συνηντηκότες προσρήγνυνται τούτοις καὶ τρέπονται εὐπετῶς. ἀκραιφνοῦς δὲ πάλιν ἑτέρας ἐπεισπεσούσης, ὑφίστανται καὶ ταύτην ῥᾳδίως τε καὶ ἀνδρικώτερον, καὶ γίνεται μάχη καρτερὰ καὶ ἐπὶ πολὺν διαρκέσασα χρόνον, καὶ τρέπονται μὲν οἱ Βούλγαροι, ἐσφάγη δὲ Νικόλαος ὁ τοῦ Δοῦκα υἱός, ἡρωϊκῶς ἀγωνισάμενος καὶ αἴτιος τῆς νίκης Ῥωμαίοις γενόμενος. καὶ τὰ μὲν κατὰ τὸν πόλεμον συνηνέχθη γενέσθαι οὕτως.

Τὰ δὲ κατὰ πόλιν ἐνόσει δεινῶς, πολλῶν καὶ μεγίστων ἐπιμαινομένων τῇ βασιλείᾳ καὶ τῷ ταύτης ἔρωτι φλεγομένων, ὧν κορυφαῖος ἦν ὁ Φωκᾶς. ὑπάρχων γὰρ οὗτος ἐπ' ἀδελφῇ γαμβρὸς τοῦ παρακοιμωμένου Κωνσταντίνου, μεγάλα τότε τῶν ἐν τοῖς βα- D σιλείοις δυναμένου εὐνούχων, καὶ ἐπ' αὐτῷ πλεῖστα θαρρῶν ῥᾳδίως ᾤετο τὸ τῆς βασιλείας καθέξειν κράτος. διὸ καὶ πολὺς ἐφέ-

6 ὁ Φωκᾶς om C 7 δουκὸς C 8 κορευθέντων C 9 κατὰ τὸν τόκον τὸν C 11 ταύτῃ C 15 δουκὸς C 16 γινόμενος C

non ad se collegisset. erutique fuissent ei oculi, nisi Stephanus magister, unus tutorum imperatoris, et Constantinus Gongyles patricius, qui apud Augustam largiter poterant, eum eripuissent. Simeon autem victoria elatus ac ferociens ad urbem omni cum suo exercitu properavit. rursum igitur Leo Phocas scholarum domesticus et Ioannes sodalitatis dux ac Nicolaus Constantini Ducae filius milites, quos tum in promptu habebant, adversus eum educunt; et apud Catasyrtas (loci hoc est nomen) in cohortem quandam Bulgarorum incidentes praedatum egressam, eam adoriuntur nulloque negotio profligant; mox recentem aliam ingruentem fortiter subsistentes, pugnam acrem ac diu durantem obeunt, Bulgarosque fundunt. cecidit ea in pugna Nicolaus Ducae filius heroice pugnans, qui et causam vincendi Romanis praebuit. hic tum rerum bellicarum status erat.

At res civiles pessimo erant loco, multis iisque summis viris insane imperii amore ardentibus. horum facile princeps erat Leo Phocas, qui quod uxorem habebat Constantini cubicularii intimi sororem, et ea tempestate magna erat eunuchorum in aula potentia, in eo plurimum ponens fiduciae non magno negotio se potiturum imperio putabat, ideoque in

ρετο, καὶ οὐ κρύβδην ἀλλὰ φανερῶς ταύτης ἀντεποιεῖτο ὥσπερεὶ πατρῴου πράγματος καὶ προγονόθεν αὐτῷ ἀνήκοντος, καὶ ὅσον οὔπω ἥξειν εἰς αὐτὸν ὡς εἰς νόμιμον διαδοχὴν ἐφαντάζετο. οὗ τὴν ὁρμὴν ἀκατάσχετον οὖσαν φοβηθεὶς ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς Θεόδωρος, καὶ μή τι πάθῃ δείσας ὁ βασιλεύς, ὑπέθετο τῷ βασιλεῖ Κωνσταντίνῳ λαθραίως προσλαβέσθαι τὸν πατρίκιον Ῥωμανὸν καὶ δρουγγάριον τῶν πλωΐμων, πατρικὸν ὄντα δοῦλον καὶ τὰ αὐτοῦ φρονοῦντα διὰ παντός, ὥστε συνεῖναι καὶ διαφυλάττειν αὐτόν, καὶ εἰ δεήσει, σύμμαχον ἔχειν καὶ βοηθόν. P 615
ἐντυχίας οὖν πρῶτον περὶ τούτου γενομένης ὁ Ῥωμανὸς ἀπείπατο, καὶ πάλιν καὶ πολλάκις πειρασθέντων τῶν ἀμφὶ τὸν Θεόδωρον ἀπείπατο. ἐπεὶ δὲ γραμμάτιον αὐτόχειρον χαράξας ὁ βασιλεὺς καὶ φοινικοῖς ὑποσημάνας γράμμασιν ἀπέστειλεν αὐτό, εἶξέ τε ἐπὶ χεῖρας τοῦτο λαβών, καὶ καθυπέσχετο τὴν τοῦ παρακοιμωμένου Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν κωλῦσαι κατὰ τὸ ἐγχωροῦν. τὰ μὲν οὖν λαληθέντα καὶ στοιχηθέντα οὕτω προέβη, καὶ διὰ τῆς ἀγορᾶς καὶ τῶν λεωφόρων καὶ τῶν στενωπῶν ὑπεψιθυρίζετο· ὁ δὲ παρακοιμώμενος, καίπερ οὐκ ἀνήκοος ὢν τῶν κατ' αὐτοῦ μελετωμένων, κατεφρόνει, μὴ ἄν ποτε οἰηθεὶς τολμῆσαί τινα ἐπιχείρησιν κατ' αὐτοῦ ποιήσασθαι. ἐξελθὼν οὖν καὶ τὴν συνήθη διανομὴν τῆς ῥόγας ποιησάμενος τῶν πλωΐμων, καὶ τὸν Ῥωμανὸν ἐπισπεύδων τάχιον ἐκπλεῦσαι, περιπίπτει τῷ λόχῳ. B

2 ἀνήκοντος αὐτῷ C   8 τὰ αὐτὰ C   17 τῆς λεωφόρου C   18 καίτοι C   21 σ. ῥόγαν π. C   τῶν] ὁ τῶν C   22 ἐμπλεῦσαι C   παραπίπτει τῷ λόγῳ C

ea re multus erat, neque occulte sed palam imperium affectabat, idque veluti rem a maioribus suis ad se pertinentem, quamprimum ad se ut legitimum heredem devolutum iri somniabat. cuius vehementiorem quam impediri ut posset conatum timens Theodorus imperatoris paedagogus, metuensque ne suo domino ea res exitio foret, huic consulit uti Romanum patricium drungarium classis occulte sibi adsciscat custodem, ac si res ita postulet, defensorem: eum quippe paternum esse ipsius ministrum, constanterque ipsi benevolum. primum hac de re compellatus Romanus renuit; et iterum ac saepius Theodoro animum eius tentante recusavit. tandem cum literas manu imperatoris scriptas ab ipsoque puniceis subsignatas literis ad se missas accepisset, concessit; pollicitusque est se, quantum eius fieri posset, Constantini cubicularii eiusque cognatorum molitiones impediturum. hoc modo res composita, ac de ea in foro compitis ac angiportis susurrabatur. Constantinus autem cubicularius, quanquam ei quae contra ipsum struerentur non erant inaudita, illa tamen contemnebat, neminem unquam adversus se aliquid ausurum opinans. sed cum ad classem egrederetur, rogas de more distributurus, Romanoque mandaturus ut quamprimum navigaret, incidit in

δουλικῷ γὰρ ἐν σχήματι προσυπαντήσας ὁ Ῥωμανὸς αὐτῷ, καὶ προθύμως ποιήσειν τὸ κελευσθὲν ἐπαγγελλόμενος, ἠρέμα καὶ κατὰ μικρὸν ἦγεν αὐτὸν εἰς τὴν ἐνέδραν. μηδὲν δὲ ἐπαισθέσθαι τῶν μελετωμένων τοῦ παρακοιμωμένου δυνηθέντος, ἀλλ' ἀκάκως καὶ χωρὶς ὑπονοίας διαλεγομένου, καὶ μᾶλλον ἔγγιστα προσιόντος αὐτοῦ, καὶ πυθομένου εἰ ἔχει ἄνδρας εὐειδεῖς καὶ γενναίους καὶ τὴν βασιλικὴν ἐρέττειν ἐπιτηδείους τριήρη, τοῦ δὲ καὶ ἔχειν καὶ ἐγγὺς παρεῖναι τούτους εἰρηκότος, καὶ τῇ κεφαλῇ νεύσαντος ἥκειν
C τινὰς πλησίον τῶν εὐειδεστέρων, ὁ Κωνσταντῖνος θεασάμενος τούτους καὶ τάχα ἀποδεξάμενος ἀπαίρειν ἠπείγετο. ὁ δὲ Ῥωμανὸς ἔγγιστα τούτου περιπατῶν, ὡς πλησίον ἐγένοντο τῇ στρατηγίδι τριήρει, κατασχὼν τὸν Κωνσταντῖνον, καὶ μηδὲν πλέον εἰπὼν ἀλλ' ἢ μόνον "ἄρατε τοῦτον," αὐτὸς μὲν ἔστη, οἱ δὲ πρὸς τὸ ἔργον ὄντες ηὐτρεπισμένοι εἰσήγαγον εἰς τὴν ναυαρχίδα καὶ ἐν ἀσφαλείᾳ κατεῖχον, μηδενὸς ἐπαμῦναι τοῦτον τολμήσαντος τῶν συνεπομένων αὐτῷ, ἀλλὰ πάντων παραυτίκα διασπαρέντων. τῆς φήμης οὖν ἐξαρθείσης ταραχὴ κατέσχε πᾶσαν τὴν πόλιν, τυραννίδος ὡς εἰκὸς ἐπίθεσιν λογισαμένην. φθάσαντος οὖν τοῦ λόγου
D καὶ μέχρι τῆς βασιλίδος Ζωῆς, εἰς ἀμηχανίαν καὶ οἱ ἐν τέλει ἐνέπιπτον. προσκαλεῖται γοῦν ἡ βασιλὶς τὸν πατριάρχην Νικόλαον καὶ τοὺς τῆς συγκλήτου λογάδας· κοινολογισαμένη δὲ μετ' αὐτῶν ἐκπέμπει πρὸς Ῥωμανόν, τὴν αἰτίαν τοῦ γεγονότος μαθεῖν ἐθέλουσα. τῶν δὲ πεμφθέντων γενομένων ἔνθα προσώρμουν αἱ τριή-

8 δὲ om C 6 πυνθανομένου C 11 τῇ στρατηγίδι om C
14 εὐτρεπισμένοι C 16 διεσπαρμένων C 20 οὖν C
21 δὲ om C

insidias. etenim servili forma ei occurrens Romanus, et mandata se studiose exsecuturum promittens, paulatim in casses pertrahit, nihil prorsus eorum quae parabantur coniicere valentem, sed similiter et absque ulla suspicione colloquentem, propiusque subinde accedentem, ac rogantem virosne haberet pulchros ac fortes, aptos ad imperatoriam triremem agendam. respondet Romanus eos praesto esse, et formosiorum quibusdam innuit ut accedant. quos contemplatus et probans Constantinus, cum solvi naves iuberet, Romanus iuxta obambulans, ut proxime praetoriam navim ventum est, id modo fatus "abripite hunc" subsistit. quibus vero negotium datum erat, ii Constantinum statim in navim praetoriam abducunt, ibique in custodia asservant, nemine comitum eum defendere auso, sed omnibus extemplo dilapsis. huius facinoris fama in urbem allata animos hominum conturbavit, tyrannidem ab aliquo invadi putantium; cumque ad Zoen usque pervenisset, proceribus quoque magnam solicitudinem iniecit. Zoe Nicolaum patriarcham et senatores delectos ad se vocat, reque cum iis deliberata ad Romanum mittit, qui causam facti exquirant. eos, cum ad navium stationem venissent et de

ρεις, καὶ μελλόντων ζήτησιν ποιεῖσθαι τῆς τοῦ παρακοιμωμένου κατασχέσεως, ὁ τῶν πλωΐμων διανυστὰς ἀκόλαστος ὄχλος λίθοις αὐτοὺς ἐξήλασαν. ἕωθεν οὖν ἡ βασιλὶς ἐξελθοῦσα περὶ τὸν Βουκολέοντα, καὶ τὸν υἱὸν μεταστειλαμένη καὶ τοὺς περὶ αὐτόν, ἐπηρώτα πῶς γέγονεν ἡ ἀνταρσία αὕτη. μηδενὸς δὲ ἀποκριναμένου, ὁ παιδαγωγὸς τοῦ βασιλέως Θεόδωρος ἔφη "διὰ τὸ ἀπολέσαι, ὦ P 616 δέσποινα, Λέοντα μὲν τὸν Φωκᾶν τὰ στρατόπεδα, Κωνσταντῖνον δὲ τὸν παρακοιμώμενον τὸ παλάτιον, ἡ τοιαύτη γέγονε κίνησις." ὁ βασιλεὺς δὲ εἰς ἑαυτὸν τὴν ἐξουσίαν ἀπὸ τῆς μητρὸς ἐφελκόμενος τὸν πατριάρχην Νικόλαον σὺν τῷ μαγίστρῳ Στεφάνῳ ἀνήγαγεν ἐν τῷ παλατίῳ, καὶ τῇ ἐπαύριον στέλλουσιν Ἰωάννην τὸν Τουβάκην τὴν Αὐγοῦσταν τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ' ὀλολυγῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ πρὸς συμπάθειαν αὐτὸν μητρικὴν καὶ οἶκτον ἐκίνησε. διὸ καί φησι πρὸς τοὺς ἄγοντας "ἐάσατε εἶναι μετ' ἐμοῦ τὴν μητέρα μου." οἱ δὲ ἅμα τῷ λόγῳ ταύτην κατέλιπον. προεβάλετο δ' ὁ βασιλεὺς δομέστικον τῶν σχολῶν, διαδεξάμενος τὸν Φωκᾶν, τὸν μάγιστρον Ἰωάννην B τὸν Γαριδᾶν, τὴν ἐκ τοῦ Λέοντος δεδοικὼς ἐπανάστασιν. τῇ αἰτήσει τε τούτου προεβλήθησαν Συμεὼν ὁ υἱὸς αὐτοῦ καὶ Θεόδωρος ὁ γυναικάδελφος αὐτοῦ, ὁ Ζουφινέζερ, ἑταιρειάρχαι. ὅρκοις τε οὖν καταληφθεὶς ὑπὸ τοῦ βασιλέως κατῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ παραχρῆμα οἱ συγγενεῖς αὐτοῦ ἀπελύθησαν τῶν βασιλείων· ὅπερ μαθὼν ἐκεῖνος ἀγωνίᾳ καὶ φόβῳ ἐλήφθη. εὐθὺς

4 μετακαλεσαμένη C   8 τὸ] εἰς τὸ C   20 ὁ τῆς γυναικὸς αὐτοῦ ἀδελφὸς C

comprehenso cubiculario inquirere intenderent, sociorum navalium petulans multitudo concitata saxis repulit. postridie Zoe prima luce ad Bucoleonem egressa, evocato etiam filio et eius familia, interrogat quaenam huius seditionis causa esset. ibi cum nemo responderet, Theodorus imperatoris paedagogus ideo ait hunc motum exstitisse, quod Leo Phocas legiones, Constantinus cubicularius palatium perdidissent. ceterum imperator imperium a matre in se transferens, patriarcham Nicolaum et magistrum Stephanum in aulam revocat; ac postridie misso Ioanne Tubace Augustam palatio abduci iubet. ea flens atque eiulans, filium amplexa, miserationem matris movit; adeoque iis qui eam ducebant Constantinus mandavit ut suam secum relinquerent matrem. estque illico ab iis dimissa. idem Leonem Phocam, metuens ne is aliquando imperium invaderet, loco movit, domesticumque scholarum fecit Ioannem Garidam magistrum. precibus tamen impetravit Phocas ut Simeon filius suus et uxoris frater Theodorus Zuphinezer sodalitatum principes crearentur. iuramentisque ab imperatore obstrictus domum suam abiit. confestim porro cognati eius ex aula dimissi sunt. quod ubi cognovit Leo, metu

οὖν ἐξιππασάμενος ἀπῆλθε πρὸς τὸν Ῥωμανὸν τὸν δρουγγάριον, τὴν ὕβριν ἣν ὑπέστη καὶ τὸν προπηλακισμὸν διηγούμενος. κοινοπραγήσαντες οὖν καὶ ὅρκοις ἀλλήλους κατασφαλισάμενοι, καὶ κῆδος εἰς τοὺς ἑαυτῶν ποιησάμενοι παῖδας, ἐν τῷ κρυπτῷ κατεῖχον τὸ C σπουδαζόμενον. ὁ δὲ Ῥωμανὸς πέμψας εἰς τὸ παλάτιον περὶ τοῦ γεγονότος ἀπελογεῖτο, μὴ ἀνταρσίαν εἶναι μηδὲ ἀπόστασιν ὀμνύμενος τὰ πραχθέντα· τὴν τοῦ Φωκᾶ δὲ ἐπίθεσιν ὑφορώμενος, φησί, καὶ δεδιὼς περὶ τοῦ βασιλέως μή τι καὶ πάθῃ φλαῦρον, ἐν τῷ παλατίῳ ἠβουλήθη ἀνελθεῖν καὶ φυλακὴν τούτου ποιήσασθαι καὶ τοῦ βασιλέως. μὴ πιστεύοντος δὲ τοῦ πατριάρχου μηδὲ τὰ λεγόμενα δεχομένου, ἐπισπέρχει Θεόδωρος ὁ παιδαγωγὸς τὸν Ῥωμανόν, ἄραντα πάντα τὸν στόλον, ἀφικέσθαι πρὸς τὸ τοῦ παλατίου νεώριον ἐν τῷ Βουκολέοντι. μέλλοντος δὲ τούτου καὶ ἀναδυομένου, οἱ πρὸς τὴν λεληθυῖαν πρᾶξιν τοῦτον ἐνάγοντες ἀνέ- D πεισαν καὶ ἄκοντα ποιῆσαι τὸ κελευόμενον. ἀμέλει καὶ κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ ἐξαρτύσας τὸν στόλον πολεμικῶς ἀφικνεῖται πρὸς τὸν Βουκολέοντα. καὶ Στέφανος μὲν εὐθὺς ὁ μάγιστρος κάτεισι τῶν βασιλείων, ἄνεισι δὲ ὁ πατρίκιος Νικήτας, κηδεστὴς ὢν Ῥωμανοῦ, καὶ κατάγει τὸν πατριάρχην. οἱ δὲ περὶ τὸν βασιλέα τὰ τίμια καὶ ζῳοποιὰ ξύλα πέμψαντες πρὸς τὸν Ῥωμανόν, καὶ ὅρκοις αὐτὸν κατασφαλισάμενοι φοβερωτάτοις καὶ ἀραῖς παλαμναιοτάταις μηδέποτε δόλιον κατὰ τοῦ βασιλέως ἐννοήσασθαι, συγχωροῦσι μετ' ὀλίγων αὐτὸν ἀνελθεῖν

8 φαῦλον C 11 ὁ τοῦ βῆς π. C 12 πάντα om C
15 καὶ ante κατ' om C 19 ὢν τοῦ ῥ. C 23 ὀλίγον P

perterritus statim eques ad Romanum drungarium se contulit, eique exposuit quibus contumeliis affectus utque circumscriptus esset. ibi communicata re inter eos societas inita ac iuramentis confirmata, nuptiis quoque inter liberos suos contractis, institutumque occulte habitum. secundum haec Romanus sui purgandi causa in aulam mittit, iureiurandoque interposito confirmat non rebellionis aut seditionis quicquam suo facto subesse, sed se metuentem ne Phocae conatus aliquid mali imperatori afferrent, in palatium eius imperatorisque praesidio muniendi causa voluisse reverti. patriarcha fidem derogante neque accipiente purgationem, Theodorus Romanum instigat ut cum universa classe ad navale, quod in Bucoleonte situm palatio imminet, accedat. Romanus cum aliquamdiu id detrectasset ac cunctatus esset, tandem urgentibus iis quorum instinctu occulta ista consilia susceperat, vel invitus assentit. ergo ipso die annuntiationi festo classe instructa hostiliter ad Bucoleontem accedit. statim Stephanus magister aula exit, et Nicetas patricius Romani necessarius in palatium it, indeque patriarcham abducit. imperator autem missis venerandis ac vivificis crucis lignis, a Romano adhibitis dirissimis exsecrationibus et iureiurandis gravissimis stipulatur

ἐν τῷ παλατίῳ. ὅνπερ δεξάμενος ὁ βασιλεὺς ἀνελθόντα καὶ P 617
προσκυνήσοντα εἰσάγει κατὰ τὸν ἐν τῷ Φάρῳ ναόν, καὶ πίστεις
αὐτῷ δοὺς καὶ λαβὼν προχειρίζεται τοῦτον μέγαν ἑταιρειάρχην.
γράμματα οὖν εὐθὺς ἐφοίτα πρὸς Λέοντα τὸν Φωκᾶν μὴ ὀλιγω-
ρῆσαι μηδ' ἀπογνῶναι μηδὲ σκαιόν τι βουλεύσασθαι, ἀλλὰ προσ-
μεῖναι μικρὸν ἡσύχως ἐν τῷ οἰκείῳ οἴκῳ διοριζόμενα ὡς μελλού-
σης γενέσθαι διὰ βραχέος τῆς αὐτοῦ προνοίας. τὰ παραπλήσια
δὲ γράψαι πρὸς αὐτὸν καὶ τὸν παρακοιμώμενον κατηνάγκασαν
Κωνσταντῖνον. ἅπερ δεξάμενος ὁ Φωκᾶς ἡσυχίαν ἦγεν ἐν τῷ
κατὰ τὴν Καππαδοκίαν οἴκῳ αὐτοῦ.

Τῇ δὲ ε' ἑβδομάδι τῶν ἁγίων νηστειῶν δέδοται παρὰ Κων- B
σταντίνου τοῦ βασιλέως ἀρραβὼν γαμικοῦ συναλλάγματος Ἑλένῃ
τῇ θυγατρὶ Ῥωμανοῦ, καὶ τῇ τρίτῃ τῇ λεγομένῃ τῆς Γαλιλαίας
στεφανοῦται μετ' αὐτῆς παρὰ Νικολάου τοῦ πατριάρχου ὁ βασι-
λεύς, τὸν Ῥωμανὸν βασιλεοπάτορα προβαλόμενος, καὶ ἀντ' αὐτοῦ
ἑταιρειάρχην Χριστοφόρον τὸν τούτου υἱόν. καὶ μετὰ μικρὸν
Λέων ὁ Φωκᾶς ἀναπεισθεὶς ὑπὸ τῶν ἑαυτοῦ συγγενῶν καὶ τα-
γμάτων πρὸς ἀποστασίαν ἀπεῖδε, καὶ ἀποστείλας προσελάβετο μετ'
αὐτοῦ τὸν παρακοιμώμενον, Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς
Γογγυλίους καὶ αὐταδέλφους, καὶ Κωνσταντῖνον τὸν τῆς Μαλε-
λίας, πληροφορῶν ἅπαντας ὑπὲρ τοῦ βασιλέως τὰ ὅπλα Κων-
σταντίνου αἴρειν. Ῥωμανὸς δὲ χρυσόβουλλον ἐκθέμενος ἀνατρο-
πὴν ἔχοντα τῆς τοῦ Φωκᾶ προφάσεως, καὶ τῇ χειρὶ τοῦ βασιλέως C

2 προσκυνήσαντα?

nihil unquam eum doli adversus imperatorem cogitaturum; pauloque post facultatem redeundi in palatium permittit. et redeuntem excipiens precandi causa in templum quod est in Pharo deducit, dataque ibi et accepta fide magnum sodalitatum praefectum creat. statim et ad Leonem Phocam literae mittuntur, quibus bono esse animo neque vel abiicere spem neque iniquum quicquam moliri iubetur, sed quiete domi suae exitum praestolari: nam ipsius mox habitum iri rationem. Constantinus quoque cubicularius ad eum in eandem sententiam scribere cogitur. Phocas literis istis acceptis domi suae, quam in Cappadocia habebat, quiete se continuit.

Quinta sacri ieiunii septimana imperator Helenam Romani filiam arra data sibi coniugio copulat, ac tertia Galilaeae cum ea coronatur a Nicolao patriarcha; et Romanum imperatori patrem designat, priorem dignitatem in filium eius Christophorum transferens. paulo post Leo Phocas suorum propinquorum suasu et exercituum hortatu res novas molitur; acciteque Constantino cubiculario, Constantino et Anastasio Gongyliis fratribus et Constantino Maleliano, persuadere nititur omnibus se pro imperatore Constantino arma ferre. Romanus vero diploma, quo Leonis institutum refutabatur, scriptum, manuque et sigillo impera-

καὶ τῇ σφραγῖδι ταῦτ' ἐμπεδώσας μετά τινος γυναικὸς ἑταιρίδος,
ἣν διὰ τὴν τοιαύτην ὑπηρεσίαν καὶ Βασιλικὴν ὕστερον προσηγό-
ρευσαν, ἐν τῷ τοῦ Λέοντος στρατοπέδῳ ἐξέπεμψε, καὶ ἕτερα δὲ
μετά τινος κληρικοῦ Μιχαὴλ ὑποσχέσεσι τιμῶν καὶ δωρεῶν δια-
φθείροντα τοὺς τῶν ταγμάτων ἐξάρχους καὶ τὸν λαόν. ἀλλ' οὗ-
τος μὲν ὁ Μιχαὴλ φωραθεὶς ὑπὸ τοῦ Φωκᾶ καὶ τυφθεὶς ἀνηλεῶς
ἀπετμήθη τὰ ὦτα· ἔλαθε δ' ἡ γυνὴ ἐν τῷ στρατῷ διασπείρασα
ἃ ἐπήγετο. πρῶτον οὖν ὁ τοῦ Βαρέος Μιχαὴλ υἱὸς Κωνσταντῖ-
νος, τοῦ τάγματος ἄρχων τῶν ἱκανάτων, καταλιπὼν τὸν Λέοντα
D τῷ Ῥωμανῷ προσεχώρησεν· ᾧ τινὶ καὶ ὁ Βαλάντιος καὶ ὁ λεγό-
μενος Ἀτζμωρός, τουρμάρχαι καὶ ἄμφω ὄντες, ἐπηκολούθησαν.
Λέων δὲ ὅμως ὁ Φωκᾶς τὴν Χρυσόπολιν καταλαβών, καὶ τὸν
λαὸν παρατάξας κατὰ τὴν ἀντιπέραν ἐν τῷ κίονι ἱσταμένην λιθί-
νην δάμαλιν, ἐξεφόβει τοὺς ἐν τῇ πόλει. Ῥωμανὸς δὲ μετὰ δρό-
μωνος τὸν ἐπὶ τοῦ κανικλείου Συμεὼν ἐκπέμψας πρὸς τὸν τοῦ ἀπο-
στάτου λαὸν καὶ χρυσόβουλλον ἐνσεσημασμένον παρὰ τοῦ βασι-
λέως ἐνεχείρισεν αὐτῷ, καὶ παρηγγύησε πάντα τρόπον σπουδάσαι
τῷ λαῷ τοῦτο ὑπαναγνῶναι. ὁ δὲ τοῦ χρυσοβούλλου νοῦς εἶχεν
οὕτως. "ἡ βασιλεία μου φύλακα αὐτῆς ἐγρηγορώτατον καὶ πιστό-
P 618 τατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑροῦσα, τούτῳ μετὰ
θεὸν τὴν ἑαυτῆς φυλακὴν κατεπίστευσε, καὶ ἀντὶ πατρὸς αὐτὸν
κρίνει, σπλάγχνα πατρικὰ πρὸς αὐτὴν ἐνδεικνύμενον. Λέοντα
δὲ τὸν Φωκᾶν ἀεὶ ταύτῃ προσπολεμοῦντα καὶ ἐπιβουλεύοντα, καὶ
νῦν τὴν κρυπτομένην αὐτοῦ πονηρίαν φανερώσαντα, οὔτε δομέ-

10 βαλάντης C 18 τούτῳ C 22 πνευματικὰ P

toris munitum, meretricis cuiusdam opera, quam ab hoc ministerio imperatoriam postea nominarunt, in castra Leonis mittit, aliasque literas per Michaelum quendam clericum: iis animos ducum ac militum promissionibus munerum et honorum ad defectionem solicitabat. sed Michaelo huic a Phoca deprehenso et atrociter verberato aures sunt amputatae: meretrix per castra dispersit quae iussa erat. primum ergo Constantinus legionis Hicanatorum dux, Michaeli Gravis filius, a Leone ad Romanum transit, deinde Balantius et Atzmorus turmarchae eum subsequuntur. Leo tamen ad Chrysopolin accessit; exercituque ad buculam saxeam, quae in columna stat e regione urbis, constituto oppidanos terruit. at Romanus Simeonem canicleo praefectum celoce mittit ad Leonis exercitus, cum literis manu imperatoris obsignatis, quas quacunque posset ratione omnino iis auscultantibus recitaret. diplomatis haec erat sententia. "cum nullum alium mei imperii vigilantiorem atque fideliorem custodem inter omnes meos ministros invenirem Romano, huic secundum deum eius tutelam commisi, ipsumque patris loco habeo, qui paternam animi erga me affectionem re ostendit. Leonem autem Phocam, qui nunquam non insidiatus est et adversatus nostro imperio, nunc malitiam suam diu occultatam detegit, neque domesticum esse volo ne-

στικον εἶναι βούλεται οὐδ' ἕνα κρίνει τῶν ὑπηκόων, ἀλλ' ἀποστάτην καὶ τύραννον, καὶ χωρὶς ἐμῆς βουλῆς τὴν τοιαύτην ἀνταρσίαν συστήσαντα, ἵν' εἰς ἑαυτὸν τὸ τῆς βασιλείας ἐπισπάσηται κράτος. τοῦτο οὖν εἰδὼς ὁ ἐμὸς λαὸς τὸ δέον συνιέναι θέλησον, καὶ τὸν προγονικὸν ἐπίγνοὺς δεσπότην τῆς πικρᾶς τυραννίδος ἀπόστηθι." τοῦ δὲ Συμεὼν γενομένου κατὰ τὴν παρεμβολὴν καὶ τὸ B χρυσοβούλλιον φανερῶς ἐκπέμψαντος τῷ λαῷ, ὡς τοῦτο ἀνέγνωσαν καὶ τὸν αὐτοῦ νοῦν κατενόησαν, ἤρξαντο πάντες ἀναχωρεῖν καὶ τῷ βασιλεοπάτορι προσρύεσθαι Ῥωμανῷ. ὁ δὲ Φωκᾶς πρῶτον μὲν πειραθεὶς τὴν ἀνάγνωσιν κωλῦσαι τοῦ χρυσοβουλλίου καὶ μὴ δυνηθείς, εἶτα καὶ ὑπορρέουσαν κατὰ μικρὸν τὴν αὐτοῦ βλέπων δύναμιν, τοῖς ὅλοις ἀπειρηκὼς φυγῇ τὴν σωτηρίαν ἐπραγματεύετο, καὶ μετά τινων ὀλίγων τῶν πιστοτάτων τὸ φρούριον κατέλαβεν Ἀτεούς. ἀποκρουσθεὶς δ' ἐκεῖθεν ἔν τινι χωρίῳ κατήντησεν ὃ κατωνομάζετο Γοηλήοντος, ὃ καὶ φανερῶς ἐδήλου ὠὴ Λέοντι· κἀκεῖσε παρὰ Μιχαὴλ τοῦ Βαρέος καί τινων ἄλλων πλείστων ἐπ' C αὐτὸν συστάντων συλλαμβάνεται. στέλλεται τοίνυν Ἰωάννης ὁ Τουβάκις καὶ Λέων ὁ Παστηλᾶς εἰσαγαγεῖν αὐτὸν εἰς τὴν βασιλεύουσαν. οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, ὡς μὲν ἔνιοι λέγουσιν ἐντολὴν λαθραίαν λαβόντες ἐκ Ῥωμανοῦ, ὡς δ' οἱ περὶ τὸν Ῥωμανὸν διετείνοντο, αὐθαιρέτῳ γνώμῃ καὶ προαιρέσει· καὶ γὰρ δὴ καὶ ἐδόκει ἀγανακτεῖν ὁ Ῥωμανὸς ὡς παρὰ τὴν αὐτοῦ θέλησιν γεγονότος τοῦ ἔργου. ἡ μὲν οὖν τοῦ Λέοντος ἀποστασία τοιοῦτον ἔσχε τὸ τέλος.

9 ὁ φωκᾶς δὲ C 14 κατήντισεν· ὠκλέον τὸ χωρίον κατονομάζεται· κακεῖθεν C 18 τουβάκης C

que pro subdito habeo, sed desertorem ac tyrannum pronuntio; qui iniussu meo hanc rebellionem molitus est, ut in se imperium transferret. id cum intelligatis subditi mei, quod aequum est statuite; et tyrannide odiosa repudiata, ad dominum a maioribus suis imperium hereditario consecutum revertimini." cum ad castra pervenisset Simeon, et diploma exercitui missum recitatum eiusque cognita esset sententia, coeperunt omnes a Leone ad Romanum imperatoris patrem desciscere. Leo principio frustra conatus diplomatis lectionem impedire, mox paulatim se a suis deseri videns, desperatis rebus fuga salutem quaesivit. et comitatus paucis quibusdam suorum fidissimis ad castellum pervenit cui nomen Ateus. inde repulsus castellum obtinuit cui nomen Goeleontos, quasi eiulationem Leonis, malo nimirum omine. ibi a Michaelo Gravi et multis aliis agmine facto capitur. mittuntur ergo qui eum Cpolin abducant, Ioannes Tubaces et Leo Pastelas; iique ei oculos eruunt, sive occulto, ut quidam dicunt, Romani iussu, sive, quod Romanus asseverabat, qui et inique hoc ut nolente se factum ferre videbatur, sua sponte. hic finis fuit rebellionis Phocae Leonis.

Συνέστη δὲ καὶ ἑτέρα ἐπιβουλὴ κατὰ Ῥωμανοῦ, παρά τινος
D Κωνσταντίνου Κτηματηνοῦ, Δαβὶδ τοῦ Κουμουλιανοῦ καὶ Μιχαὴλ κουράτωρος τῶν μαγγάνων· οὗτοι γὰρ νεανίας τινὰς καθοπλίσαντες κατὰ τὸ κυνήγιον ἐξελθόντα τὸν Ῥωμανὸν ἐπετρέψαντο διαχειρίσασθαι. ὧν γνωσθέντων, καὶ συλληφθέντες οἱ τῆς ἐπιβουλῆς πρωτουργοὶ τοὺς ὀφθαλμοὺς ἐπηρώθησαν καὶ διὰ μέσης τῆς ἀγορᾶς περιήχθησαν. συνῆν δὲ ταύτῃ τῇ ἀτίμῳ περιαγωγῇ καὶ Λέων ὁ Φωκᾶς, ἡμιόνῳ ἐφεζόμενος.

Κατηγορήθη δὲ καὶ Ζωὴ ἡ βασιλὶς τῇ ζωῇ ἐπιβουλεύουσα τοῦ Ῥωμανοῦ, καὶ τοῦ παλατίου κατάγεται, κἀν τῇ τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείρεται. ἐξεβλήθη δὲ τῆς πόλεως καὶ Θεοφύλακτος πατρίκιος καὶ Θεόδωρος ὁ παιδαγωγὸς τοῦ βασιλέως καὶ
P 619 ὁ τούτου ὁμαίμων Συμεών, καὶ ἐν τῷ ὀψικίῳ διάγειν ἐτάχθησαν, ὡς τάχα κατὰ Ῥωμανοῦ μελετῶντες. ὑπούργησε δὲ πρὸς τὸν ἐξοστρακισμὸν τῶν τοιούτων ὁ δρουγγάριος τῆς βίγλας Ἰωάννης ὁ Κουρκούας, αἰφνίδιον συναρπάσας αὐτοὺς καὶ πλοίοις εἰς τὴν περαίαν διαβιβάσας.

Τῇ δὲ κδʹ τοῦ Σεπτεμβρίου μηνὸς ἀνάγεται Ῥωμανὸς εἰς τὴν τοῦ Καίσαρος ἀξίαν, καὶ Δεκεμβρίῳ μηνὶ τῷ τῆς βασιλείας διαδήματι στέφεται, ἐπιτροπῇ τοῦ βασιλέως Κωνσταντίνου, τοῦ πατριάρχου Νικολάου αὐτὸν ἀναδήσαντος. Ῥωμανὸς δὲ ταινιωθεὶς τῷ βασιλικῷ διαδήματι στέφει κατ' αὐτὴν τὴν ἡμέραν τῶν ἁγίων φώτων καὶ τὴν ἑαυτοῦ σύζυγον Θεοδώραν. Μαΐῳ δὲ μηνὶ

2 κτηματικοῦ C 4 κυνηγέσιον C 5 συλληφθέντων C 6 πόλεως C 10 τοῦ ante Ῥωμανοῦ om C 18 εἰκάδι τετάρτῃ C 22 τὴν ἁγίαν ἡμέραν C

Aliae porro insidiae Romano sunt structae a Constantino quodam Ctemateno, Davido Cumuliano, et Michaelo curatore manganorum. ii adolescentibus quibusdam armatis negotium dederunt Romani, cum is venatum exiret, interficiundi. quibus cognitis et comprehensis, auctoribus insidiarum oculi sunt effossi, et ludibrii causa per medium forum circumducti, interque eos Leo Phocas mulae insidens.

Accusata est etiam Zoe imperatrix quasi necem Romano esset machinata, et palatio submota ac rasa in monasterium S. Euphemiae detrusa. eiectus etiam est urbe Theophylactus patricius, ac Theodorus imperatoris paedagogus, eiusque germanus Simeon, quod in Romanum aliquid moliti essent, iussique in Opsicio degere. ad hos deportandos operam contulit Ioannes Curcuas drungarius vigiliae, qui eos subito arreptos navibus in oppositam continentem traiecit.

Septembris mensis die 24 Romano Caesaris dignitas delata est, et mense Decembri imperatorio est redimitus diademate, a patriarcha Nicolao, permissu imperatoris. coronatus autem die sacrorum luminum uxorem quoque suam Theodoram coronat, et mense Maio, die penteco-

κατὰ τὴν τῆς ἁγίας πεντηκοστῆς ἡμέραν στέφει καὶ τὸν ἑαυτοῦ υἱὸν Χριστοφόρον διὰ Κωνσταντίνου τάχα, κατὰ μὲν τὸ φαινόμενον ἐθέλοντος καὶ καταδεχομένου διὰ τὴν βίαν, ἐν δὲ τῷ ἀφανεῖ ἀλύοντος καὶ τὴν συμφορὰν ἀποκλαιομένου εἰς ἑαυτόν. καὶ μόνοι οἱ δύο κατὰ τὴν τοιαύτην προῆλθον προέλευσιν. Ἰουλίῳ δὲ μηνὶ η' ἰνδικτιῶνος ἡ τῆς ἐκκλησίας γέγονεν ἕνωσις, ἑνωθέντων τῶν διαφερομένων μητροπολιτῶν τε καὶ κληρικῶν τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων. ὁ δὲ βασιλεὺς Ῥωμανὸς ἐξορίζει τὸν μάγιστρον Στέφανον εἰς τὴν Ἀντιγόνου νῆσον ὡς τῆς βασιλείας τάχα ὀριγνώμενον, καὶ μοναχὸν ἀποκείρει, σὺν αὐτῷ δὲ καὶ Θεοφάνην τὸν Τειχιώτην καὶ Παῦλον τὸν ὀρφανοτρόφον, τοὺς οἰκειοτάτους αὐτῷ. προκένσου δὲ γενομένου ἐν τῷ τριβουναλίῳ, αἰφνίδιον οἱ βασιλεῖς εἰς τὸ παλάτιον ὑποστρέφουσιν ἐπιβουλῆς μηνυθείσης αὐτοῖς· κατασχεθέντες δὲ οἱ ἔξαρχοι, ὅ τε πατρίκιος Ἀρσένιος καὶ ὁ μαγκλαβίτης Παῦλος, τυφλωθέντες καὶ δημευθέντες ἐξωρίσθησαν. ἠγάγετο δὲ τούτῳ τῷ ἔτει καὶ γαμβρὸν ἐπὶ τῇ αὐτοῦ θυγατρὶ Ἀγάθῃ Ῥωμανὸς ὁ βασιλεὺς Λέοντα τὸν τοῦ Ἀργυροῦ, ἄνδρα γενναῖον καὶ κάλλει σώματος καὶ ἰδέᾳ ὑπερφέροντα, συνέσει τε καὶ φρονήσει κοσμούμενον. B C

Ἐγένετο δὲ ἐν τῷ αὐτῷ χρόνῳ καὶ τὰ κατὰ τὸν Ῥεντάκιον. οὗτος ἐξ Ἑλλάδος ὡρμημένος τὸν ἑαυτοῦ γεννήτορα ἐπεχείρησεν ἀνελεῖν. δεδιὼς δ' ἐκεῖνος τὴν τοῦ υἱοῦ ἀταξίαν, πλοίου ἐπιβὰς ἔπλει πρὸς τὸ Βυζάντιον ὡς τάχα τοῦ βασιλέως δεησόμενος ἀνακοπὴν γενέσθαι τῆς τοῦ υἱοῦ ἀπαιδευσίας. ἀνιὼν δὲ κατεσχέθη D

5 διῆλθον P 9 ὡς τάχα τῆς β. 16 γαμβρὸς C 21 ὁρμώμενος C 23 τοῦ om C

stae sacro, filium etiam suum Christiferum, Constantino palam quidem concedente et probante, quia nihil contra vim poterat, occulte autem aegre ferente et suam deplorante secum calamitatem. ac soli duo isti ea in pompa processerunt. Iulio mense, indictione octava, ad concordiam redierunt metropolitae et clerici, Nicolai et Euthymii patriarcharum causa hactenus disiuncti. ceterum Romanus imperator Stephanum magistrum in Antigoni insulam relegat, imperii affectati suspectum, et monachum facit, et cum eo Theophanem Teichiotam et Paulum Orphanotrophum, eius intimos. cum procensus fieret in tribunalio, insidiis delatis imperatores subito in palatium abiverunt. earum capti auctores Arsenius patricius et Paulus Manglabita: oculi iis effossi et relegati sunt, bona eorum publicata. eodem anno Romanus filiam suam Agatham in matrimonium collocat Leoni Argyri filio, viro generoso ac corporis pulchritudine et prudentia praestanti.

Sub idem tempus Rentacius natione Graecus, suum patrem interficere cum conaretur, pater filii intemperiem metuens conscenso navigio Byzantium versus navigavit, ab imperatore petiturus ut filii libidinem

παρὰ τῶν Σαρακηνῶν τῶν ἐν τῇ Κρήτῃ. ὁ δὲ τούτου υἱὸς ὑποχείριον ἔχων τὸν πατρῷον πλοῦτον, ἀνελθὼν μετ' αὐτοῦ εἰς τὴν μεγαλόπολιν, τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ σοφίας προσέδραμε, κἀν τούτῳ προσκαθήμενος τὴν πατρικὴν κατεσπάθα οὐσίαν. οὐκ ἔλαθε τοῦτο τὸν Ῥωμανόν, ἀλλὰ γνοὺς ἐβουλεύσατο ἐξαγαγεῖν τοῦτον τῆς ἐκκλησίας καὶ παιδεῦσαι. ὁ δὲ πληροφορίαν σχών, βασιλικὰ πλασάμενος γράμματα ὡς δῆθεν ἐκπεμφθέντα πρὸς τὸν Συμεών, αὐτομολήσειν ἐβουλεύσατο πρὸς τοὺς Βουλγάρους. καὶ ἐλεγχθεὶς τῆς τε οὐσίας καὶ τῶν ὀφθαλμῶν στερεῖται.

P 620 Ἀδραλέστου δὲ τοῦ δομεστίκου τῶν σχολῶν ἀποθανόντος προεβλήθη Πόθος ὁ Ἀργυρός. καὶ τῶν Βουλγάρων ἄχρι τῶν Κατασυρτῶν ἐξελασάντων ἔξεισι καὶ αὐτὸς μετὰ τῶν ταγμάτων, καὶ κατασκηνοῖ κατὰ τὴν λεγομένην Θερμόπολιν. ἐκεῖθεν δὲ Μιχαὴλ ταγματάρχην τὸν τοῦ πατρικίου Μωρολέοντος υἱὸν ἐπὶ κατασκοπὴν τῶν Βουλγάρων ἐκπέμπει. ὁ δὲ ἀπροόπτως ταῖς βαρβαρικαῖς ἐμπεσὼν ἐνέδραις, ἐπείπερ ἄφυκτα ἦν, τρέπεται πρὸς ἀλκήν, καὶ πολλοὺς τῶν Βουλγάρων ἀνελὼν καὶ τρεψάμενος, καιρίαν δὲ τυπεὶς καὶ αὐτός, ἐπανῆκεν εἰς τὴν βασιλίδα καὶ μετὰ μικρὸν ἐτελεύτησε. τότε δὲ καὶ τῷ βασιλεῖ Ῥωμανῷ ἐπιβουλὴ
B μηνύεται κατ' αὐτοῦ, προστάτην ἔχουσα τὸν σακελλάριον Ἀναστάσιον, ὑπὲρ τοῦ βασιλέως δῆθεν ἀγωνιζόμενον· καὶ τῶν αἰτίων συσχεθέντων ἕκαστος κατὰ τὸ δόξαν ἐτιμωρήθη τῷ βασιλεῖ Ῥωμανῷ, τοῦ Ἀναστασίου ἀποκαρέντος μοναχοῦ. ἐξ ἧς αἰτίας καὶ ὁ Κωνσταντῖνος ὑποβιβάζεται, καὶ δεύτερος ἀνηγορεύετο βασιλεύς,

1 ὁ δὲ τ. υἱὸς] καὶ ὁ ῥεντάκιος C 7 βασιλικὴν C 12 ἐξελθόντων C

compesceret; estque a Cretensibus Saracenis captus. filius paternarum opum compos factus cum iis se Cpolin contulit ad Sophiae templum; ibique desidens paterna bona prodegit. Romanus re comperta templo eum educere et castigare intendit. quod Rentacius cum subodoraretur, literis ab imperatore ad Simeonem conflictis ad Bulgaros transfugere instituit, convictusque criminis oculis est et bonis spoliatus.

Mortuo Adralesto scholarum domestico Pothus Argyrus sufficitur. is, Bulgaris grassando usque ad Catasyrta progressis, copias contra eos educit; castrisque ad Thermopolin positis Michaelum cohortis praefectum, patricii Moroleonis filium, speculatum emittit. qui improviso in barbaricas delapsus insidias, cum fugae locus non esset, vim parat; multisque Bulgaris deiectis ac pulsis, accepto letali vulnere Cpolin redit, pauloque post moritur. tunc et Romano detectae sunt insidiae quas ipsi sacellarius Anastasius struxerat, nimirum pro Constantino propugnans. harum auctores ac conscios suo quemque arbitratu Romanus puniit, Anastasio monacho facto. Constantinumque exinde detrusum secundo loco, se priore imperatorem dici iussit, praetendens hanc unam

πρῶτος δὲ ὁ Ῥωμανός, προφασισάμενος οὕτως μόνως δυνατὸν εἶναι κατευνασθῆναι τὰς ἐπιβουλάς, διά τε πράγματα πρόσκαιρα καὶ βασιλείαν φθαρτὴν καὶ ἐπίκηρον ἐπιορκίᾳ περιπεσὼν καὶ τοῦ θεοῦ γενόμενος μήκοθεν. καὶ τὰ μὲν κατὰ τὴν πόλιν ἐφέρετο τῇδε.

Ὁ δὲ Συμεὼν πάλιν δύναμιν βαρεῖαν ἐκπέμπει κατὰ Ῥω- C
μαίων, ἔξαρχον ἔχουσαν Χαγάνον ἕνα τῶν παρ' αὐτῷ μέγα δυναμένων καὶ Μινικὸν τῶν ἱπποκόμων τὸν πρῶτον, οἷς ἐπέσκηψεν κατ' αὐτῆς ὡς τάχιστα τῆς πόλεως ἐκστρατεῦσαι. ὧν τὴν ἔφοδον ἀναμαθὼν ὁ βασιλεὺς Ῥωμανός, καὶ λογισάμενος μή πως ἐπελθόντες τὰ κάλλιστα τῶν πλησιαζόντων τῇ πόλει παλατίων καὶ οἰκημάτων πυρπολήσωσι, τὸν ῥαίκτωρα Ἰωάννην ἅμα Λέοντι καὶ Πόθῳ τοῖς Ἀργυροῖς ἐκπέμπει μετὰ πλήθους ἱκανοῦ ἔκ τε τῆς βασιλικῆς ἑταιρείας καὶ τῶν ταγματικῶν, οἷς συνῆν καὶ ὁ πατρίκιος Ἀλέξιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Μωσηλὲ μετὰ τῶν ἐπ' αὐτόν. κατὰ δὲ τὴν ε' ἑβδομάδα τῶν νηστειῶν διατάξαντες τὸν λαὸν ἐν τοῖς πεδινοῖς τῶν Πηγῶν τόποις προσέμενον. ἐκεῖ- D
θεν δὲ τῶν Βουλγάρων ἀναφανέντων καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ σφοδρῶς ἐπελασάντων κατ' αὐτῶν, φεύγει μὲν ὁ ῥαίκτωρ Ἰωάννης, σφάττεται δὲ ὑπὲρ αὐτοῦ ἀγωνιζόμενος Φωτεινὸς πατρίκιος ὁ τοῦ Πλατύποδος υἱὸς καὶ ἄλλοι οὐκ ὀλίγοι. μόλις οὖν ὁ ῥαίκτωρ διασωθεὶς εἰσῆλθεν εἰς τὸν δρόμωνα. τοῦτο καὶ Ἀλέξιος ὁ δρουγγάριος ποιῆσαι βουληθείς, καὶ μὴ δυνηθεὶς ἀνελθεῖν,

2 διὰ τὰ libri   9 ἐκστρατεύειν P   10 λαβὼν C   13 πόθον C
15 ὁ] καὶ ὁ P   16 αὐτὸν πλωΐμων. κατὰ C   ε' om C
22 ἐξέλαστρον margo C

esse insidiarum avertendarum rationem. ita ob res fluxas et imperium caducum Romanus periurii se obligavit et a deo abalienavit. hic erat rerum urbanarum status.

At Simeon iterum magnum contra Romanos emittit exercitum, duce Chagano, uno suorum procerum, et Minico equisonum principe; mandatque ut recta ad urbem contendant. Romanus de eorum adventu certior factus, metuensque ne ii pulcherrima urbi propinquorum locorum palatia et aedificia incendio vastarent, Ioannem rectorem cum Leone et Potho Argyris obviam ire iubet, exercitum ducentes validum ex imperatoriis sodalitatibus et cohortibus aliis contractum. adfuit iis etiam Alexius patricius et drungarius rei navalis, et Moseles cum suis. quinta ieiuniorum septimana, exercitu in planitie Pegarum instructo substiterunt. ibi Bulgaris se subito prodentibus et obscura cum vociferatione ac magno impetu irruentibus rector Ioannes fugam facit; ac patricius Photinus Latipedis filius pro eo pugnans aliique haud pauci obtruncantur. rector aegre servatus in celocem evasit. idem facere volens Alexius drungarius, cum adscendere nequiret, de scalis celocis in mare de

ἐν τῇ τοῦ δρόμωνος ὑποβάθρᾳ πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ αὐτοῦ πρωτομανδάτωρι ἀπεπνίγη. Λέων δὲ καὶ Πόθος οἱ Ἀργυροὶ ἐν τῷ καστελλίῳ διαφυγόντες ἐσώθησαν. τοῦ δὲ λοιποῦ πλήθους οἱ μὲν τὰς τῶν πολεμίων χεῖρας φεύγοντες ἀπεπνίγησαν, οἱ δὲ σιδήρου γεγόνασι παρανάλωμα, οἱ δὲ χερσὶ βαρβαρικαῖς συνελή-
P 621 φθησαν. οἱ δὲ Βούλγαροι κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν τά τε τῶν Πηγῶν ἐνέπρησαν παλάτια καὶ ἅπαν τὸ Στενὸν ἐπυρπόλησαν.

Εἰκοστῇ δὲ Φεβρουαρίου μηνός, ἰνδικτιῶνος ι', θνήσκει Θεοδώρα ἡ σύμβιος Ῥωμανοῦ, καὶ θάπτεται ἐν τῷ Μυρελαίῳ· ἀνηγορεύθη δὲ Αὐγοῦστα ἡ τοῦ βασιλέως Χριστοφόρου γυνὴ ἡ Σοφία. παρεγένετο δὲ καὶ ἐξ Ἰβηρίας ὁ κουροπαλάτης ὁ Ἴβηρ, καὶ διὰ μέσης τῆς ἀγορᾶς διελθὼν κεκοσμημένης λαμπρῶς μετὰ δόξης πολλῆς καὶ τιμῆς ὑπεδέχθη· ὃν καὶ ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ σοφίᾳ ἀπέστειλεν ὁ βασιλεύς, τὸ κάλλος αὐτῆς θεάσασθαι καὶ τὸ μέγεθος. ἀπελθὼν οὖν καὶ τοῦ ναοῦ τὴν καλλονὴν καταπλαγεὶς
B καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας, καὶ ἀληθῶς θεοῦ καταγώγιον τὸν ἱερὸν τουτονὶ χῶρον εἰπών, ὑπέστρεψεν εἰς τὰ ἴδια. τῶν δὲ Βουλγάρων πάλιν εἰσβολὴν ποιησαμένων κατὰ τῆς Ῥωμαίων χώρας, καὶ τοῖς παλατίοις τῆς βασιλίδος ἐγγισάντων Θεοδώρας, ὡς οὐδὲν ἦν τὸ προσιστάμενον, πυρὶ ταῦτα παρέδοσαν. ὁ δὲ βασιλεὺς Ῥωμανὸς ἄριστον ποιησάμενος πολυτελὲς τοὺς τῶν ταγμάτων ἄρχοντας συνεκάλεσε· συνῆν δὲ τούτοις καὶ ὁ τὴν ἐπωνυμίαν Σακτίκιος, τοῦ τάγματος ἄρχων τῶν ἐξκουβίτων. ἐπιδύ-

9 εἰκάδι C 13 κεκοσμημένος P 19 τῆς et 20 χώρας om C

cidit cum suo protomandatore, et suffocatus est. Leo et Pothus Argyri in castellum fuga se receperunt. reliqua multitudo partim hostium manus dum effugere volunt, in mari pereunt, alii ferro necantur, quidam capiuntur. Bulgari, nemine prohibente, Pegense palatium totumque Stenum incendio vastant.

Vigesima Februarii die, indictione decima, uxor Romani Theodora moritur et in Myrelaeo sepelitur. Augustae nomen deinde gessit uxor Christiferi Sophia. tunc etiam ex Iberia venit Iber curopalates, splendideque ornatus per medium forum transiit, ac magna cum gloria et honore exceptus est. cum imperator in aedem Sophiae misit, ut eius molem ac pulchritudinem videret. quae is contemplatus magna cum admiratione, fatusque hanc aedem vere esse dei receptaculum, domum rediit. rursum deinde Bulgari impressione facta usque ad palatium Theodorae Augustae pervenerunt, idque nemine defendente cremaverunt. Romanus convivio sumptuose instructo ad id duces militarium ordinum vocavit, interque hos Sacticium cohortis excubitorum praefectum. pro-

σιν δὲ λαμβανούσης τῆς εὐωχίας λόγος ἐκινήθη περὶ τῶν Βουλγάρων. καὶ τοῦ βασιλέως ἐπαγωγὰ πολλὰ εἰρηκότος, πρὸς ὁρμὴν ἐπανιστῶντα ἐνθουσιώδη καὶ παρακαλοῦντα εὐψύχως ἐξελθεῖν C κατὰ τῶν ἐναντίων καὶ τῆς σφῶν ὑπεραγωνίσασθαι πατρίδος, πάντες συνέθεντο ἑτοίμως ἐξελθεῖν καὶ τῶν Χριστιανῶν ὑπεραγωνίσασθαι. ἕωθεν οὖν καθοπλισθεὶς ὁ Σακτίκιος, ὄπισθεν τῶν Βουλγάρων γενόμενος καὶ εἰς τὸ στρατόπεδον αὐτῶν εἰσελθών, τῶν πλειόνων ἐπὶ διαρπαγὴν σκύλων σκεδασθέντων κατὰ τὴν χώραν, πάντας τοὺς ἐν τῇ παρεμβολῇ εὑρεθέντας κατέσφαξε. μαθὸν οὖν τὸ πλῆθος τῶν Βουλγάρων ὑπὸ τῶν διαδράντων τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ. καὶ συμπλοκῆς γενομένης. ἀκμῆτες οἱ Βούλγαροι πρὸς κεκμηκότας μαχόμενοι καὶ ἀκραιφνεῖς πρὸς ἤδη τῷ προηγησαμένῳ πολέμῳ κεκακωμένους ἄνδρας τρέ- D πουσι τὸν Σακτίκιον σὺν ὀλίγοις τὴν προσβολὴν τῶν ἐναντίων δεξάμενον. γενναίως οὖν ἀγωνισάμενος καὶ πολλοὺς ἀνελὼν τῶν πολεμίων, ἐπειδὴ κατισχύετο, μεθίησι τοῦ ἵππου τὸν χαλινόν, καὶ νῶτα δοὺς ἔφυγεν. ἔν τινι δὲ ποταμῷ γενόμενος καὶ τοῦτον διαπερῶν, καὶ τῇ ἰλύϊ τοῦ ἵππου ἐμπαγέντος, καταλαμβάνεται παρὰ τῶν Βουλγάρων καὶ δέχεται πληγὴν καιρίαν κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. καὶ τοῦ ἵππου δὲ ἀνασπασθέντος ἐκ τῆς ἰλύος σπουδῇ καὶ συνεργίᾳ τῶν αὐτοῦ θεραπόντων, νῦν μὲν φεύγων, νῦν δ' ὑποστρέφων μετὰ τῶν ὑπ' αὐτὸν καὶ τοὺς ἐπιόντας ἀνακόπτων Βουλγάρους, διασώζεται μέχρι τῶν Βλαχερνῶν, καὶ

3 ἐξελθεῖν] ἀγωνίσασθαι, omissis καὶ τῆς — πατρίδος C 12 ἀγωνιζόμενοι C 13 τῷ προηγησαμένῳ πολέμῳ post ἄνδρας C 17 ἔφευγεν C 18 καὶ om C

cedente convivio illatus est de Bulgaris sermo; et imperatore multa ad calefaciendos animos adque virtutem concitandos idonea locuto, cohortatoque eos ut fortiter in hostem irent ac pro sua propugnarent patria, universi alacrem suam operam in defendendis Christianis promiserunt. postridie prima luce armatus Sacticius Bulgaros a tergo subsecutus est; ingressusque eorum castra, plerisque praedatum per agros vagantibus, omnes qui in castris erant occidit. ex iis qui effugerant Bulgari re cognita in castra redeunt; commissaque pugna ipsi integri viribus defatigatos antegresso praelio Romanos fundunt, Sacticio cum paucis aliis eorum impetum fortiter subsistentibus. atque is cum aliquamdiu praeclare pugnasset multosque hostium deiecisset, cum premeretur, equo habenas laxat ac fugae se dat. in cuiusdam autem amnis transitu equus in coeno cum haesisset, Bulgari eum assequuntur, vulnusque in anum et femur mortiferum accipit. equo tamen e coeno evulso industria famulorum, atque iis modo fugientibus modo ad ingruentium Bulgarorum depulsionem se vertentibus, usque ad Blachernas evadit; positusque in

ἐν τῷ ναῷ τῆς ἁγίας σοροῦ τεθεὶς τῇ ἐπιούσῃ νυκτὶ ἐτελεύτησε, μέγα πένθος οὐ τῷ βασιλεῖ μόνον ἀλλὰ καὶ τῷ στρατῷ καὶ παντὶ τῷ πλήθει Ῥωμαίων ἀπολιπών.

P 622 Ἐγένετο δὲ καὶ ἑτέρα τις ἀποστασία κατὰ τοῦ βασιλέως ἐν Χαλδίᾳ, ὑποθήκῃ τοῦ στρατηγοῦντος αὐτῆς Βάρδα πατρικίου τοῦ Βοΐλα. ἐξῆρχον δὲ τοῦ νεωτερισμοῦ Ἀδριανός τις Χαλδαῖος καὶ Τατζάτης ὁ Ἀρμένιος, πλούσιοι σφόδρα. κατασχόντες οὖν οὗτοι φρούριον τὸ λεγόμενον Παΐπερτε κατὰ τοῦ βασιλέως ὡπλίζοντο. ἀλλ' ὀξὺς ἐπιφανεὶς (ἔτυχε γὰρ ἐνδημῶν ἐν Καισαρείᾳ) ὁ τῶν σχολῶν ἐξηγούμενος Ἰωάννης ὁ Κουρκούας τὴν σύστασιν διεσκέδασε, τοὺς ἐμφανεστέρους τῶν κατασχεθέντων ἀποτυφλώσας καὶ τὰς οὐσίας αὐτῶν δημεύσας, τοὺς δὲ πενιχροὺς καὶ ἀσήμους ἀθῴους κελεύσας ὅπῃ βούλονται ἀπιέναι. μόνος δὲ ὁ Τατζάτης
B φρούριον ἐπί τινος ὑψηλοῦ λόφου κατεσκευασμένον κατεσχηκώς, καὶ λόγον τοῦ μή τι κακὸν παθεῖν δεξάμενος ἀπὸ τοῦ δομεστίκου τῶν σχολῶν καὶ λαβών, εἰσῆλθεν ἐν τῇ βασιλίδι· καὶ τῇ τοῦ μαγκλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν μαγγάνων ἐτηρεῖτο. δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀφθαλμῶν στερεῖται. Βάρδας δὲ ὁ Βοΐλας φιλίως πρὸς αὐτὸν διακειμένου τοῦ βασιλέως ἀπεκάρη μοναχός, μηδὲν ἄλλο πεπονθὼς ἀνιαρόν.

Συμεὼν δὲ ὁ τῶν Βουλγάρων ἄρχων τὴν Ἀδριανούπολιν καταλαβὼν καὶ ταύτην χάραξι καὶ τάφροις περιστοιχίσας ἐπιμελῶς ἐπολιόρκει. ἐστρατήγει δὲ τῆς πόλεως ὁ πατρίκιος Λέων, ὃν διὰ

6 χάλδος C   13 ὅπου βούλονται ἀπιέναι κελεύσας C   τατζάτης C   15 παθεῖν om C   16 τῶν σχολῶν om C   21 καθηγεμὼν C

templo S. Sepulchri proxima nocte vitam cum morte commutat, magno luctu non imperatori modo sed et universo exercitui ac populo Romano relicto.

Alia deinde ab imperatore facta defectio in Chaldia instinctu patricii Bardae, cognomento Boilae, qui ei praesidebat. principes novarum rerum moliendarum fuerunt Adrianus quidam Chaldaeus et Tatzates Armenius, homines praedivites. ii occupato castello Paipertis contra imperatorem arma sumebant. sed Ioannes Curcuas scholarum domesticus, qui tum forte Caesareae erat, celeriter supervenit et coitionem eam dissipavit. deprehensorumque primariis oculos eruit, et bona eorum publicavit, obscuros ac pauperes impune quo liberet discedere iussit. unus Tatzates castello quodam occupato, quod in sublimi erat situm colle, fide impunitatis a domestico scholarum accepta, Cpolin venit, ibique manglabitae honore praeditus in domo manganorum custoditus est; cumque fugam moliretur, deprehenso oculi sunt effossi. Bardas Boilas, quod ei imperator bene volebat, nullam aliam poenam dedit quam quod rasus et monachus est factus.

Interim Simeon Bulgarorum princeps Adrianopolin vallo fossaque cingit et obsidet ac magno studio oppugnat. praeerat ei urbi Leo pa-

τὴν ὀξύρροπον πρὸς τοὺς πολέμους ὁρμὴν Μωρολέοντα ἐκάλουν. οὗτος εὐψύχως τὴν πολιορκίαν ἐδέξατο, καὶ γενναιοτάτως ποτὲ C μὲν ἀπὸ τοῦ τείχους τοὺς προσιόντας τῶν Βουλγάρων ἠμύνετο, ποτὲ δὲ τὰς πυλίδας ἀναπεταννὺς ἐπετίθετο σὺν ῥύμῃ ἀνυποστάτῳ καὶ ῥᾳδίως ἐτρέπετο. ἐπεὶ δὲ ὁ σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει καὶ λιμὸς ἐπίεζε τοὺς ἔνδοθεν κραταιῶς, μηδαμόθεν ἐλπίδα ἔχοντες ἐπισιτισμοῦ, τῇ ἐνδείᾳ πεισθέντες προδεδώκασι τὴν πόλιν καὶ ἑαυτοὺς καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις· ὃν χειρωσάμενος ὁ Συμεών, καὶ ὧν εἰς τοὺς Βουλγάρους ἐνεδείξατο μεμνημένος κακῶν, μυρίαις αἰκίαις τιμωρησάμενος τελευταῖον ἀπέκτεινε θανάτῳ πικρῷ. Βουλγάρους οὖν ἐπιστήσας φύλακας τῇ πόλει ὑπε- D χώρησεν· οἵτινες Ῥωμαϊκὸν στρατόπεδον ἀκηκοότες ἥκειν κατ' αὐτῶν καταλιπόντες τὴν πόλιν ἔφυγον, καὶ πάλιν ἡ Ἀδριανούπολις ὑπὸ Ῥωμαίους ἐγένετο.

Τότε δὲ καὶ Λέων ὁ Τριπολίτης μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν ἐξῆλθε κατὰ Ῥωμαίων· ὃν ἐν τῇ νήσῳ Λήμνῳ ναυλοχοῦντα Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τῶν πλοΐμων ὁ Ῥαδηνὸς αἰφνίδιον ἐπιφανεὶς ῥᾳδίως ἐτρέψατο, τῶν Ἀγαρηνῶν σχεδὸν πάντων ἀνῃρημένων, τοῦ δὲ Τριπολίτου μόνου φυγῇ τὴν σωτηρίαν πορισαμένου. Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος β', ὁ ἄρχων Βουλγαρίας Συμεὼν πανστρατὶ κατὰ τῆς Κωνσταντινουπό- P 623 λεως ἐκστρατεύει, καὶ ληΐζεται μὲν Μακεδονίαν, ἐμπιπρᾷ δὲ τὰ ἐπὶ Θρᾴκης χωρία, καὶ πάντα καταστρέφει τὰ ἐν ποσί. ἔγγιστα

2 γενναιότατα C 4 πύλας C

tricius, quem ob praeproperum in hostes impetum vocabant Moroleonem quasi stultum leonem. is oppugnationem fortiter sustinebat, et modo Bulgaros irruentes de muro profligabat, modo portis apertis in eos acerrimum impetum dabat facileque pellebat. sed oppidani cibo deficiente ac fame graviter premente, cum alimentorum aliunde parandorum spes nulla affulgeret, penuria moti urbem, se ducemque Bulgaris tradiderunt. Simeon Leonem nactus, et recordatus quanta is mala Bulgaris intulisset, innumeris suppliciorum formis excruciatum tandem acerba morte necavit, Bulgaricoque in urbe relicto praesidio discessit. hoc praesidium audito contra se venire Romanum exercitum urbe relicta fugit; atque sic Adrianopolis a Romanis est recepta.

Eo tempore Leo etiam Tripolita cum magna classe Romanos invasit. quem in Lemno naves in statione habentem subito adortus Ioannes Radenus patricius, rei navalis drungarius, facile vicit, Agarenis fere omnibus exstinctis, soloque Tripolita fuga elapso. mense Septembri, indictione secunda, Simeon Bulgarorum princeps cum omnibus copiis expeditionem contra Cpolin suscipit; populatusque Macedoniam et in Thraciam incendiis grassatus, obviis quibusque vastatis, proxime Bla-

δὲ Βλαχερνῶν στρατόπεδον πήξας ἐπεζήτησεν ἀποσταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν ἐν τέλει ὥστε περὶ εἰρήνης διαλεχθῆναι. λαβόντες οὖν ὁμήρους παρ' ἀλλήλων ὡς οὐδεμία τις ἐπακολουθήσει ἐπιβουλή, καὶ τοῦ πατριάρχου τοῖς ὅρκοις ἀναθαρρήσαντος, γέγονε λόγος ὁποίους δεῖ τῶν συγκλητικῶν τούτῳ συνεξελθεῖν. προεκρίθη γοῦν ὁ πατρίκιος Μιχαὴλ ὁ Στυπειώτης καὶ Ἰωάννης ὁ μυστικὸς καὶ παραδυναστεύων· ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, κατελθὼν τοῦ
B παλατίου, ἐν τῇ αὐτοῦ μονῇ τὴν κοσμικὴν ἀπεκείρατο τρίχα. ἀφικομένους οὖν αὐτοὺς πρὸς τὸν Συμεὼν καὶ μέλλοντας κινεῖν λόγους περὶ εἰρήνης, τούτους μὲν ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι· πεπληροφόρητο γὰρ ἄνδρα συνετὸν αὐτὸν εἶναι καὶ ἀληθῆ. ἀσπασίως δὲ ὁ Ῥωμανὸς ἐδέξατο τοῦτο. ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρη διεκπλέουσαν ἐν αὐτῇ προσορμίζεσθαι, περιφράξας αὐτὴν πάντοθεν διατειχίσμασι. μέσον δὲ θριγκίον γενέσθαι προσέταξεν, ἔνθα ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ὁ δὲ Συμεὼν ἀπο-
C στείλας ἐνέπρησε τὸν τῆς ὑπεραγίας θεοτόκου ναὸν τὸν ἐν τῇ πηγῇ, ὃν ὁ βασιλεὺς Ἰουστινιανὸς ἐδομήσατο, ἐπυρπόλησε δὲ καὶ τὰ κύκλῳ σύμπαντα, καὶ δῆλος ἦν ἐκ τούτου μὴ εἰρήνην ζητῶν. ὁ δὲ βασιλεὺς ἐν τῷ ναῷ γενόμενος τῶν Βλαχερνῶν ἅμα τῷ πατριάρχῃ, καὶ ἐν τῇ ἁγίᾳ σορῷ εἰσελθὼν καὶ ἱκετηρίας ᾠδὰς ἀπο-

6 τούτοις C 14 τοῦτον P 17 καραθύριον margo C
21 ἀξιῶν P

chernas castra ponit. inde postulat ut ad se mittantur Nicolaus patriarcha aliique procerum, de componenda pace collocuturi. datis mutuo obsidibus, ut ab insidiis omnia tuta essent, ac patriarcha iuramentis fidente, quaesitum est qui senatores cum eo exire deberent. delecti patricius Michaelus Stypeiota et Ioannes mysticus ac tum gubernandarum rerum socius: nam Ioannes rector apud imperatorem delatus criminis iam tum palatio discesserat, inque suo monasterio monachus factus erat. cum legati ad Simeonem venissent ac de pace essent collocuturi, ita eos Bulgarus dimisit ut ostenderet se ipsius imperatoris congressum expetere, quem pro certo habebat virum esse prudentem atque veracem. pergratum id fuit Romano, misitque illico qui in litore Cosmidii in mari tutissimum egressui e nave locum pararent, ut eo imperatoria triremis appellere posset. eum undique munitionibus circumdedit; ac in medio iussit tabulatum attolli, in quo erant collocuturi. interim Simeon missis suis templum deiparae ad Fontem incendit, ab Iustiniano conditum. sed et vicina circum omnia igne vastabat; satisque apparebat pacem ei cordi non esse. Romanus cum patriarcha fanum Blachernense et sacrum sepulchrum ingressus, deum comprecatus, accepto beatae vir-

δοὺς τῷ θεῷ, τὸ ὠμοφόριον τῆς θεοτόκου λαβὼν ἔξεισι τοῦ ναοῦ,
ὅπλοις ἀσφαλέσι φραξάμενος. τὸν σὺν αὐτῷ οὖν στόλον κοσμή-
σας ἀριπρεπῶς τὸν ὡρισμένον κατείληφε τόπον. ἐννάτη τοῦ Νοεμ-
βρίου μηνὸς ἦν ὅτε ταῦτα ἐγίνετο. παρεγένετο δὲ καὶ ὁ Συμεών,
πλῆθος ἐπαγόμενος εἰς πολλὰς διῃρημένον τὰς παρατάξεις καὶ τὰς
ἰδέας· οἱ μὲν γὰρ ἦσαν χρυσάσπιδες καὶ χρυσᾶ δόρατα ἔχοντες,
οἱ δὲ ἀργυράσπιδες, οἱ δὲ χαλκάσπιδες, οἱ δὲ ἄλλῃ χροιᾷ, ὥς πῃ D
ἑκάστῳ ἐδόκει, ἐκεκόσμηντο. οἵτινες μέσον αὐτὸν εἰληφότες τὸν
Συμεὼν ὡς βασιλέα εὐφήμουν Ῥωμαϊκῇ τῇ φωνῇ. πάντες δὲ οἱ
ἐν τέλει καὶ ὁ ἀστικὸς δῆμος ἐκ τῶν τειχῶν ἐθεῶντο τὰ δρώμενα.
πρῶτος οὖν ὁ βασιλεὺς Ῥωμανὸς τὴν εἰρημένην ἀποβάθραν κατα-
λαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ὅμηρα δὲ δόντες ἀλλήλοις, καὶ
τὴν ἀποβάθραν οἱ Βούλγαροι διερευνήσαντες ἀκριβῶς, μή πού τις
δόλος ἢ ἐνέδρα κρύπτηται, τότε κατελθεῖν τὸν Συμεὼν τοῦ ἵππου
προετρέψαντο καὶ εἰσελθεῖν πρὸς τὸν βασιλέα. ἠσπάσαντο γοῦν
ἀλλήλους, καὶ περὶ εἰρήνης ἤρξαντο διαλέγεσθαι. φασὶ δ' οὖν
εἰπεῖν τὸν Ῥωμανὸν πρὸς τὸν Συμεὼν "ἀκήκοά σε Χριστιανὸν ἄν- P 624
θρωπον καὶ θεοσεβῆ, βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις
συμβαίνοντα. εἰ μὲν γὰρ ἀληθῶς Χριστιανὸς ὑπάρχεις, στῆσόν
ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς χύσεις τῶν ἀνοσίων αἱμάτων,
καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν Χριστιανὸς καὶ αὐτὸς ὢν
καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς
αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄνθρωπος εἶ καὶ αὐτός, θάνα-
τον προσδοκῶν καὶ ἀνάστασιν καὶ κρίσιν καὶ ἀνταπόδοσιν τῶν βε-

13 ἀποβάθρησιν C   19 ἀληθὴς C   23 ὁμοπίστων om C

ginis humerali, templo exiit. cumque et se diligenter armasset et comitatum suum decenter ornasset, ad definitum locum se contulit. acta haec nona die Decembris. eodem venit et Simeon, multitudinem adducens variis ordinibus ac formis distinctam: alii namque erant aureis scutis ornati et aureis hastis, alii argenteis clypeis, alii aereis, alii aliorum colorum, prout cuique visum fuerat. ii in medium sui Simeonem recipiebant, ac Romana voce regem consalutabant. omnes proceres et civium multitudo, quae gererentur, de muris spectabant. prior Romanus locum exscensionis dictum occupavit, et Simeonem exspectavit. datis ultro citroque obsidibus, Bulgari cum locum diligenter pervestigassent, ne quis dolus aut insidiae laterent, Simeonem equo descendere iusserunt et ad imperatorem intrare. ibi cum se mutuo consalutassent, de pace colloqui coeperunt. ac ferunt Romanum haec verba ad Bulgarum fecisse. "hominem te esse Christianum et pium audivi, sed facta tua famae minime respondent. si enim re vera es Christianus, finem tandem fac caedium et fundendi sanguinis insontis, pacemque cum nobis Christianis Christianus et ipse compone, neque fac ut dextrae Christianorum polluantur sanguine eundem Christum colentium. homo et ipse es, mortem operiens et resurrectionem et iudicium ac dignam vita acta

βιωμένων. σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε τούτου ἐμπλήσω εἰς κόρον. μόνον ἄσπασαι τὴν εἰρήνην καὶ ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ B αὐτὸς βίον ζήσεις εἰρηνικὸν καὶ ἀναίμακτον, καὶ οἱ Χριστιανοὶ παύσωνταί ποτε κατ' ἀλλήλων ὅπλα κινοῦντες." καὶ ταῦτα μὲν εἶπεν ὁ βασιλεύς, αἰδεσθεὶς δὲ ὁ Συμεὼν τὴν τούτου ταπείνωσιν ὑπέσχετο τὴν εἰρήνην ποιήσασθαι. καὶ ἀσπασάμενοι ἀλλήλους διεχωρίσθησαν, τοῦ βασιλέως δώροις μεγαλοπρεπέσι δεξιωσαμένου τὸν Συμεών. συμβέβηκε δέ τι τεράστιον τότε, ὡς ἄξιον εἶναι καὶ διηγήσασθαι. δύο φασὶν ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι, κλάγξαι τε καὶ ἀλλήλοις συμμῖξαι καὶ παραυτίκα διαζευχθῆναι, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην ἀποπτῆναι. τοῦτο δὲ οἱ περὶ τὰς ὀρνιθοσκοπίας ἐπτοημένοι οὐκ αἴσιον ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ δια- C λυθήσεσθαι ἐπὶ τῇ εἰρήνῃ ἀμφοτέρους ἔφησαν. ὁ δὲ Συμεὼν ὑποστρέψας τοῖς οἰκείοις ἄρχουσι τὴν τοῦ βασιλέως ἐξηγεῖτο μετριότητα καὶ τὸ πρὸς τὰ χρήματα προετικόν τε καὶ ἐλευθέριον.

Κατὰ δὲ τὴν ἑορτὴν τῶν Χριστουγέννων, ἰνδικτιῶνος β', Ῥωμανὸς ὁ βασιλεὺς στέφει τοὺς δύο υἱοὺς αὐτοῦ, Στέφανον καὶ Κωνσταντῖνον, ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· τὸν δὲ λοιπὸν υἱὸν αὐτοῦ Θεοφύλακτον ὁ πατριάρχης ἀπέκειρε κληρικόν, χειροτονήσας αὐτὸν ὑποδιάκονον, προχειρισάμενος καὶ σύγκελλον, πρότερον διελθόντα εἰς τὰ ἅγια μετὰ τοῦ τάγματος τῶν ὑποδιακόνων. ἐτίμησε δὲ καὶ τὸν μυστικὸν Ἰωάννην καὶ παραδυναστεύοντα πατρίκιον

11 κλάγξαι — 13 ἀποπτῆναι om C   21 Θεοφύλακτος C

mercedem. hodie vivis, et cras in pulverem dissolveris. si divitiarum cupiditas te ad haec agenda impellit, ego ad satietatem usque te iis opplebo: tantum pacem amplectere et concordiam dilige, ut ipse quoque vitam pacatam degas ac incruentam, et tandem Christiani desinant contra se invicem arma ferre." his verbis hacque submissione imperatoris ad verecundiam ductus Simeon promisit se pacem facturum; et peracta salutatione discessum est, cum quidem magnificentissima dona Simeoni imperator dedisset. dignum est relatu prodigium quod tunc accidit. nam ferunt colloquentibus principibus duas aquilas supra eos volitasse, et cum clangore se coniunxisse, moxque divulsas fuisse, ita ut altera ad urbem altera in Thraciam avolaret. id, qui augurio aliquid tribuebant, signum inauspicatum interpretati sunt, et infecta pace discessum iri iudicarunt. Simeon ad suos reversus proceribus moderationem imperatoris et liberalitatem narravit.

Festo Christi natalitio, indictione secunda, Romanus duos suos filios Stephanum et Constantinum coronat in magno templo: reliquum Theophylactum patriarcha radit ac clericum facit, et subdiaconum ac syncellum designat, cum prius in sanctuarium intrasset officium subdiaconi gerens. Ioannem porro mysticum et gubernandarum rerum socium pa-

καὶ ἀνθύπατον. ιε' δὲ Μαΐου μηνός, ἰνδικτιῶνος γ', τελευτᾷ ὁ D
πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ δευτέρᾳ ἀναρρήσει ἔτη ιγ'· καὶ καθίσταται Αὐγούστῳ μηνὶ πατριάρχης ὁ τῆς Ἀμασείας μητροπολίτης Στέφανος. κατηγορήθη δὲ καὶ ὁ μυστικὸς ὡς τὴν βασιλείαν σφετεριζόμενος, καὶ ὑποθήκῃ τοῦ πατρικίου Κοσμᾶ καὶ λογοθέτου τοῦ δρόμου, μνηστευομένου τοῦτον εἰς τὴν ἑαυτοῦ θυγατέρα, καταβιβάζεται τοῦ παλατίου. συγχωρεῖται δ' ὅμως εἰσέρχεσθαι καὶ προσκυνεῖν τὸν βασιλέα· στέργων γὰρ αὐτὸν ὁ βασιλεὺς τελέως ἀπώσασθαι οὐκ ἐβούλετο. ἐγκειμένων δὲ τῶν κατηγόρων καὶ σαφῆ δεικνύντων τὴν κατηγορίαν, ἐρευνήσας ὁ βα- P 625
σιλεὺς καὶ ἀληθῆ τὰ κατ' αὐτοῦ εὑρὼν λαληθέντα ἔμελλε κατασχεῖν καὶ ἐξετάσαι· ὁ δὲ τοῦτο προγνοὺς φυγῇ τὴν Μονοκάστανον μονὴν καταλαμβάνει καὶ ἀποκείρεται μοναχός. τὸν δὲ πατρίκιον Κοσμᾶν καὶ λογοθέτην αἰκισάμενος ὁ βασιλεὺς ἐν τῷ ὡρολογείῳ παρέλυσε τῆς ἀρχῆς. προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου τὸν πρωτοβεστιάριον Θεοφάνην παραδυναστεύοντα. ἐγένετο τηνικαῦτα καὶ σεισμὸς ἐν τῷ θέματι τῶν Θρᾳκησίων καὶ χάσματα γῆς καταπληκτικά, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας αὐτάνδρους καταποθῆναι.

Μαΐῳ δὲ μηνί, ἰνδικτιῶνος ιε', εἰσβολὴν Συμεὼν ὁ τῆς Βουλγαρίας ἄρχων ἐποιήσατο κατὰ Χρωβάτων, καὶ συμβαλὼν B
μετ' αὐτῶν καὶ ἡττηθεὶς ἐν ταῖς τῶν ὀρῶν δυσχωρίαις ἅπαν τὸ

2 τρισκαίδεκα C 4 κατηγορηθεὶς C 5 καὶ ante ὑποθ. om C 11 λαληθέντα εὑρὼν C 12 ἐτάσαι C 16 πρωτοβεστιάρην C θεοφάνιος C 20 ς' C Συμεὼν om C

tricia ac proconsulari dignitate ornavit imperator. die Maii decima quinta, indictione tertia, moritur Nicolaus patriarcha, cum a secunda designatione munus suum gessisset annos tredecim. Augusto mense successor ei creatur Stephanus, Amasiae metropolita. porro mysticus affectati imperii defertur, ad hoc usus consilio Cosmae patricii logothetae dromi, qui eum sibi generum ambiebat, et palatio eiicitur, permisso tamen ut adorandi imperatoris causa id ingrederetur. nam imperator eum diligebat, ideoque prorsus excludere nolebat. instantibus tamen accusatoribus, et crimina ei obiecta vera esse demonstrantibus, imperator rem perscrutatus, cum deprehenderet non aliter quam ii rettulerant habere, capere mysticum et quaestiones de eo exercere statuit. quod is praesentiens in monasterium Monocastanum confugit, ibique monachus est factus. patricium Cosmam logothetam in Horologio imperator male multatum officio deposuit. loco mystici substituit protovestiarium Theophanem, et eadem potestate auxit. sub idem tempus in Thracia terrae motus hiatusque terribiles fuerunt, multaeque domus et templa una cum ipsis hominibus absorpta sunt.

Maio mense, indictione 15, Simeon Bulgarorum princeps in Chrobatos duxit; ab iisque in angustiis montium praelio victus omnem suum

ἑαυτοῦ ἀπώλεσε στράτευμα. Ἰωάννης δέ τις ἀστρονόμος προσελθὼν τῷ βασιλεῖ ἔφησεν ὡς εἰ πέμψας ἀποκόψει τὴν κεφαλὴν τῆς ἱσταμένης ἄνωθεν τῆς ἐν τῷ Ξηρολόφῳ ἀψῖδος καὶ πρὸς δύσιν βλεπούσης στήλης, ἀποθανεῖται ὁ Συμεὼν παραυτίκα· αὐτῷ γὰρ ἐστοιχειῶσθαι τὴν τοιαύτην στήλην. ὁ δὲ τοῖς ἐκείνου πιθήσας λόγοις ἀπέτεμε τὴν κεφαλὴν τῆς στήλης· καὶ αὐτῇ τῇ ὥρᾳ, καθὼς ἀκριβωσάμενος ἔγνω ὁ βασιλεύς, ὁ Συμεὼν ἐν Βουλγαρίᾳ τέθνηκε νόσῳ καταχαρδίῳ ἁλούς.

C Οὗ τελευτήσαντος τὴν τῶν Βουλγάρων ἀρχὴν Πέτρος κατέσχεν ὁ ἐκ τῆς δευτέρας αὐτοῦ γυναικὸς τῆς ἀδελφῆς Γεωργίου τοῦ Σουσουρβούλου, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν κατέστησε· Μιχαὴλ γὰρ τὸν ἐκ τῆς προτέρας ἀποτεχθέντα παῖδα αὐτῷ ἔτι ζῶν ὁ Συμεὼν ἀπέκειρε μοναχόν. τὰ γοῦν πέριξ ἔθνη, Τοῦρκοι Σέρβοι Χρωβάτοι καὶ οἱ λοιποί, τὴν τοῦ Συμεὼν ἀναμαθόντες τελευτὴν ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο. κατέσχε δὲ καὶ λιμὸς μέγας σὺν ἀκρίδι τὸ Βουλγάρων ἔθνος, ἰσχυρῶς ἐκπιέζων καὶ καταδαπανῶν τὰ πλήθη καὶ τοὺς καρπούς. ἐδεδοίκεισαν μὲν οὖν οἱ Βούλγαροι καὶ τὴν τῶν ἄλλων ἔφοδον ἐθνῶν,
D ἐδεδίεσαν δὲ πλέον τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. βουλευσάμενος οὖν ὁ Πέτρος μετὰ τῶν περὶ αὐτὸν ἔγνω δεῖν ἐπιστρατεῦσαι Ῥωμαίοις ἐπὶ καταπλήξει. καταλαμβάνουσι τοίνυν τὴν Μακεδονίαν. εἶτα μαθόντες ὡς ἔξεισι κατ' αὐτῶν ὁ βασιλεύς, πέμπουσι λάθρᾳ τινὰ μοναχὸν Πέτρος τε ὁ ἄρχων Βουλγαρίας καὶ ὁ τῶν παίδων

4 στήλης om C 11 σουρσουβούλη C 12 ἐγκατέστησε C
21 καταλ. — Μακεδονίαν om C

amisit exercitum. Ioannes autem quidam astronomus Romanum accessit, eumque monuit uti mittat aliquem qui amputet caput columnae, quae supra Xerolophi fornicem posita Occidentem respiciebat: ita enim Simeonem, cui illa fatalis erat, statim periturum. exsecutus hoc est imperator; et qua hora statuae fuit abscissum caput, ea ipsa, quod diligenti inquisitione Romanus postea deprehendit, Simeon in Bulgaris cordis morbo interiit.

Morte eius Bulgariae dominium ad Petrum rediit, filium eius ex secunda uxore, sorore Georgii Susurbuli, quem et tutorem suis liberis Simeon constituit. nam Michaelum idem ex priore sibi natum coniuge, viventem adhuc monachum fecerat. vicinae igitur gentes, Turci Servi Chrobatae atque alii, audita Simeonis morte Bulgaros bello petere statuebant. sed et fame graviter premebantur Bulgari, et locustae fruges eorum depopulabantur atque absumebant. itaque Bulgaris cum aliarum gentium tum Romanorum praecipue in se expeditionem metuentibus, Petrus re cum suis deliberata in Romanos bellum suscipit, ut iis terrorem incuteret. cumque in Macedoniam pervenisset, audito imperatorem Romanum contra se cum exercitu proficisci, ipse et Georgius liberorum

τοῦ Συμεὼν ἐπιτροπεύων Γεώργιος, γράμματα ἐπαγόμενον. ὡς βούλονται δὲ Ῥωμαίοις σπείσασθαι, τὰ γράμματα ἔφραζεν, εἰ αἱροῦνται δέ, καὶ γαμικὸν συστήσασθαι συνάλλαγμα μετ' αὐτῶν. ὃν ἀφικόμενον ὁ βασιλεὺς ἀσμενέστατα προσδεξάμενος, εὐθέως ἀπέστειλε μετὰ δρόμωνος μοναχόν τινα Θεοδόσιον καὶ Κωνσταντῖνον βασιλικὸν κληρικὸν τὸν Ῥόδιον, συλλαλῆσαι τοῖς Βουλγάροις P 626 τὰ εἰς εἰρήνην ἐν Μεσημβρίᾳ. οἵτινες παραγενόμενοι καὶ τὰ εἰκότα διαλεχθέντες ὑπέστρεψαν διὰ ξηρᾶς ἅμα Στεφάνῳ τινὶ περιωνύμῳ ἐν Βουλγαρίᾳ· κατόπιν δὲ τούτων παρεγένετο καὶ ὁ ἐπίτροπος Γεώργιος ὁ τοῦ Σουρσουβούλου καὶ ἄλλοι τινὲς τῶν ἐπιφανῶν. καὶ εἰς ὄψιν ἐλθόντες τῷ βασιλεῖ, θεασάμενοι δὲ καὶ τὴν θυγατέρα Χριστοφόρου τοῦ βασιλέως Μαρίαν καὶ ἐπ' αὐτῇ μεγάλως ἀρεσθέντες (ἦν γὰρ ὑπερφέρουσα τῷ κάλλει), ἔγραψαν τῷ Πέτρῳ διὰ τάχους παραγενέσθαι, σύμφωνα ποιησάμενοι πρότερον περὶ τῆς εἰρήνης. ἀπεστάλη δὲ καὶ Νικήτας μάγιστρος, ὁ τοῦ βασιλέως συμπένθερος Ῥωμανοῦ, ὑπαντῆσαι καὶ ἀγαγεῖν τὸν Πέτρον B μέχρι τῆς βασιλίδος. οὗ καταλαβόντος ἐν Βλαχέρναις, ὁ βασιλεὺς μετὰ τριήρους ἐλθὼν τοῦτον ἐδέξατο καὶ ἠσπάσατο καὶ φιλοτίμως ἐδεξιώσατο. ἀλλήλοις οὖν τὰ εἰκότα προσομιλήσαντες τά τε τῆς εἰρήνης σύμβολα καὶ τὰ τοῦ γάμου ἐπεραιώσαντο, τοῦ πρωτοβεστιαρίου Θεοφάνους ἐν πᾶσι μεσολαβοῦντος. καὶ τῇ η' τοῦ Ὀκτωβρίου μηνὸς ἐξελθὼν ὁ πατριάρχης Στέφανος, ἅμα τῷ

1 ἔφραζε δὲ τὰ γράμματα ὡς βούλονται ῥ. C 10 σουρσουβούλη C 18 ἐδέξατο καὶ om C 19 ἐδέξατο C 20 τε om C τὰ om C 21 ἐπὶ C 22 ὀκτωμβρίου C

Simeonis tutor occulte monachum cum literis mittunt, quibus continebatur cupere Bulgaros cum Romanis pacem ac foedus coniungere, ac si Romanis ita videretur, nuptiis inter gentes contractis id firmari. iis literis acceptis Romanus, cum rem quam maxime probaret, statim celoce emisit Theodosium quendam monachum et Constantinum Rhodium clericum aulicum, qui in Mesembria cum Bulgaris de pace colloquerentur. quo in colloquio cum res commode esset tractata, legati per continentem in urbem redierunt, comitante Stephano, cuius magnum erat inter Bulgaros nomen; eosque subsecutus est Georgius Sursubulus aliique illustres aliquot viri. hi ut cum imperatore congressi filiam Christiferi Caesaris Mariam viderunt, eamque (erat enim formae praestantissimae) magnopere probaverunt, pacta pace, Petrum missis literis absque mora venire iusserunt. missus est etiam Nicetas magister, filii Romani socer, qui Petro obviam iret eumque Cpolin deduceret. ubi ad Blachernas venit Petrus, imperator triremi eodem vectus eum excepit ac salutavit et honorifice tractavit; iisque inter se uti ex re erat collocutis, pacta pacis et matrimonii composita sunt, in omnibus iis protovestiario Theophane medium se ferente. Octobris die octava, patriarcha Stephanus

πρωτοβεστιαρίῳ Θεοφάνει καὶ πάσῃ τῇ συγκλήτῳ, εὐλόγησε Πέτρον τε καὶ Μαρίαν ἐν τῷ ναῷ τῆς ὑπεραγίας θεοτόκου τῆς Πηγῆς, παρανυμφευόντων τοῦ πρωτοβεστιαρίου καὶ τοῦ Σουρσουβούλου. C φαιδρῶν δὲ καὶ πολυτελῶν γενομένων τῶν γάμων, εἰσῆλθεν ὁ πρωτοβεστιάριος ἅμα τῇ θυγατρὶ τοῦ βασιλέως ἐν τῇ πόλει. τρίτην δὲ μετὰ τὸν γάμον ἑστίασιν ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ ποιήσας ὁ βασιλεύς, παρ' αὐτῇ τῇ ἀποβάθρᾳ τοῦ βασιλικοῦ δρόμωνος ἱσταμένου, συνειστιάθη τῷ Πέτρῳ. παρῆσαν δὲ τῇ εὐωχίᾳ καὶ Κωνσταντῖνος ὁ βασιλεὺς καὶ Χριστοφόρος. ἐγένετο δὲ στάσις οὐ μικρὰ παρὰ τῶν Βουλγάρων, ἐνισταμένων πρότερον εὐφημηθῆναι τὸν Χριστοφόρον, εἶτα τὸν Κωνσταντῖνον· ὧν τῇ ἐνστάσει παραχωρῶν ὁ βασιλεὺς Ῥωμανὸς ἐκέλευσεν οὕτω γενέσθαι. D πάντων δὲ τῶν ἐν τοῖς τοιούτοις εἰωθότων γίνεσθαι συντελεσθέντων, ἀπῇρεν ἡ Μαρία σὺν τῷ οἰκείῳ συζύγῳ καὶ τῆς πρὸς Βουλγαρίαν ἥψατο, προπεμφθεῖσα παρὰ τῶν γονέων αὐτῆς καὶ τοῦ πρωτοβεστιαρίου μέχρι τοῦ Ἑβδόμου. καὶ τὰ μὲν ἐν τῇ πόλει τοῦτον ἐτελεῖτο τὸν τρόπον.

Ὁ δὲ δομέστικος τῶν σχολῶν Ἰωάννης μάγιστρος ὁ Κουρκούας, ἄγων καὶ φέρων τὰ τῆς Συρίας καὶ ἅπαν ἀντίξουν καταστρεφόμενος, καὶ πλεῖστα φρούρια καὶ ὀχυρώματα καὶ πόλεις βαρβαρικὰς καθελών, ἔφθασε καὶ μέχρι τῆς περιβοήτου Μελιτηνῆς, πολιορκίᾳ δὲ τοὺς ἔνδον στενοχωρήσας ἠνάγκασε πρὸς συμβάσεις ἰδεῖν. παρεγένετο οὖν πρὸς αὐτὸν Ἀπόχαψ ὁ τοῦ Ἄμερ

3 σουρσουβούλη C 13 κράττεσθαι C 23 ἐλθεῖν, apposito ad marginem γρ. ἰδεῖν, C

cum protovestiario Theophane et universo senatu egressus, coniugium Petri et Mariae in fano deiparae ad Fontem sacrum faustumque esse iussit, sponsam comitantibus Theophane et Sarsubulo. nuptiis magnifice et sumptuoso cum splendore confectis, protovestiarius cum filia Caesaris urbem intravit. tertium a nuptiis convivium instituit imperator ad Fontem, in loco ubi e navibus exire solebant, stante imperatoria celoce in eo loco; adhibuitque convivio Petrum, Constantinum imperatorem ac Christiferum. ibi haud leviter tumultuati sunt Bulgari, Christiferum Constantino in faustis acclamationibus praeponi debere contendentes. eorumque petitioni imperator morem gessit. omnibus peractis quae in tali re fieri assolent, Maria cum suo marito solvit et in Bulgariam iter iniit, deducta a parentibus et protovestiario usque ad Hebdomum. hoc pacto res in urbe actae.

At Ioannes Curcuas, magister ac scholarum domesticus Syriae, res agendo ac ferendo et obvia omnia proruendo, plurimaque castella et munitiones atque urbes barbaricas evertendo, usque ad nobilem illam Melitenam pervenit, eamque obsessam eo necessitatis redegit ut ad pacificationem obsessi cogerentur spectare. venit ergo ad eum Apochapsus

ἔγγονος, ἀμηρᾶς ὑπάρχων Μελιτηνῆς, καὶ Ἀποσαλὰθ ὁ τῶν ἐν αὐτῇ κατάρχων ταγμάτων· οὓς προσδεξάμενος ὁ δομέστικος ἱλαρῶς P 627 καὶ μετὰ προσηνείας πρὸς τὸν αὐτοκράτορα ἐξαπέστειλεν. ἐντυχόντες οὖν αὐτῷ καὶ εἰρηνικὰ ποιήσαντες σύμφωνα ὑπέστρεψαν εἰς τὰ ἴδια, τοῖς φίλοις καὶ συμμάχοις Ῥωμαίων καταγραφέντες καὶ μετ᾽ αὐτῶν κατὰ τῶν ὁμοφύλων καθοπλιζόμενοι. τελευτήσαντος δὲ τοῦ Ἀπόχαψ καὶ τοῦ Ἀποσαλὰθ διελύθη τὰ τῆς εἰρήνης. ἐκστρατεύει οὖν κατ᾽ αὐτῶν ὁ εἰρημένος δομέστικος, ᾧ συνῆν μετὰ τῶν Ἀρμενίων καὶ ὁ μάγιστρος ὁ Μελίας. καὶ πρότερον μὲν πολέμῳ τοὺς Μελιτηνοὺς συνήλασαν εἴσω τείχους κατατολμήσαντας ἀντιποιήσασθαι τῶν ὑπαίθρων· ἔπειτα περικαθίσαντες B τὴν πόλιν καὶ μετὰ συντονίας ταύτην πολιορκήσαντες πολέμου νόμῳ κατέσχον. κατέδραμον δὲ καὶ πάντα τὰ πέριξ καὶ ἐχειρώσαντο καὶ δοῦλα Ῥωμαίοις εἰργάσαντο. τὴν μὲν οὖν Μελιτηνὴν εἰς κουρατωρείαν καταστήσας ὁ βασιλεύς, καὶ πᾶσαν τὴν περιοικίδα, πολλὴν συντέλειαν τῷ δημοσίῳ προσήγαγε· Νικήτας δὲ ὁ μάγιστρος καὶ πενθερὸς Χριστοφόρου τοῦ βασιλέως κατηγορηθεὶς ὡς ὑποτιθέμενος τῷ Χριστοφόρῳ κατὰ τοῦ ἰδίου γενέσθαι πατρὸς καὶ τοῦτον ἐξῶσαι τῆς βασιλείας, ἐξεβλήθη τῆς πόλεως καὶ ἀπεκάρη μοναχός. μηνὶ δὲ Ἰουλίῳ κε' ἡμέρᾳ, ἰνδικτιῶνος ς', ἐτελεύτησεν ὁ Ἀμασείας Στέφανος, πατριαρχήσας ἔτη β' μῆνας ια'· Δεκεμβρίῳ δὲ μηνὶ ἄγουσι Τρύφωνα μοναχόν, καὶ χειροτονοῦσι C πατριάρχην ἐπὶ χρόνῳ ῥητῷ, μέχρις ἂν Θεοφύλακτος ὁ τοῦ βασιλέως υἱὸς εἰς μέτρον φθάσῃ τῆς νομίμου ἡλικίας. τῷ αὐτῷ

9 ὁ post μάγιστρος om C   20 ἡμέρᾳ om C

Ameri prognatus, Melitenae ameras, et Aposalathus, qui militibus Melitenae degentibus praeerat; quos comiter exceptos domesticus ad imperatorem misit, iique pacificatione confecta domum redierunt, sociis ac amicis Romanorum adscripti, et cum iis contra Saracenos populares suos armati. mortuis autem Apochapso et Aposalatho pax ea rupta est. itaque domesticus Melitenis bellum infert, cum quo etiam Melias erat magister, Armenios ducens. ac initio quidem hostes castra sub dio locare ausos intra muros urbis compellunt, deinde vero urbem obsessam magna vi oppugnantes expugnant: sed et circum sita omnia populantur atque subigunt ac Romanis servire cogunt. imperator Melitenam et quod circum est regionis in praefecturae (Curatoreiam ipsi vocabant) formam redegit, ac magnos inde reditus aerario confecit. ceterum Niceta magister et Christiferi socer accusatus, quod generum incitasset ad deturbandum imperio patrem, urbe pulsus rasusque et monachus factus est. die mensis Iulii 25, indictione sexta, Stephanus patriarcha mortuus est, cum ei muneri praefuisset biennium et menses undecim. mense Decembri monachus Trypho producitur, eique patriarchatus ad certum tempus committitur, dum Theophylactus imperatoris filius ad iustam

ἐν τῷ ναῷ τῆς ἁγίας σοροῦ τεθεὶς τῇ ἐπιούσῃ νυκτὶ ἐτελεύτησε, μέγα πένθος οὐ τῷ βασιλεῖ μόνον ἀλλὰ καὶ τῷ στρατῷ καὶ παντὶ τῷ πλήθει Ῥωμαίων ἀπολιπών.

P 622 Ἐγένετο δὲ καὶ ἑτέρα τις ἀποστασία κατὰ τοῦ βασιλέως ἐν Χαλδίᾳ, ὑποθήκῃ τοῦ στρατηγοῦντος αὐτῆς Βάρδα πατρικίου τοῦ Βοΐλα. ἐξῆρχον δὲ τοῦ νεωτερισμοῦ Ἀδριανός τις Χαλδαῖος καὶ Τατζάτης ὁ Ἀρμένιος, πλούσιοι σφόδρα. κατασχόντες οὖν οὗτοι φρούριον τὸ λεγόμενον Παΐπερτε κατὰ τοῦ βασιλέως ὡπλίζοντο. ἀλλ' ὀξὺς ἐπιφανεὶς (ἔτυχε γὰρ ἐνδημῶν ἐν Καισαρείᾳ) ὁ τῶν σχολῶν ἐξηγούμενος Ἰωάννης ὁ Κουρκούας τὴν σύστασιν διεσκέδασε, τοὺς ἐμφανεστέρους τῶν κατασχεθέντων ἀποτυφλώσας καὶ τὰς οὐσίας αὐτῶν δημεύσας, τοὺς δὲ πενιχροὺς καὶ ἀσήμους ἀθῴους κελεύσας ὅπῃ βούλονται ἀπιέναι. μόνος δὲ ὁ Τατζάτης
B φρούριον ἐπί τινος ὑψηλοῦ λόφου κατεσκευασμένον κατεσχηκώς, καὶ λόγον τοῦ μή τι κακὸν παθεῖν δεξάμενος ἀπὸ τοῦ δομεστίκου τῶν σχολῶν καὶ λαβών, εἰσῆλθεν ἐν τῇ βασιλίδι, καὶ τῇ τοῦ μαγκλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν μαγγάνων ἐτηρεῖτο. δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀφθαλμῶν στερεῖται. Βάρδας δὲ ὁ Βοΐλας φιλίως πρὸς αὐτὸν διακειμένου τοῦ βασιλέως ἀπεκάρη μοναχός, μηδὲν ἄλλο πεπονθὼς ἀνιαρόν.

Συμεὼν δὲ ὁ τῶν Βουλγάρων ἄρχων τὴν Ἀδριανούπολιν καταλαβὼν καὶ ταύτην χάραξι καὶ τάφροις περιστοιχίσας ἐπιμελῶς ἐπολιόρκει. ἐστρατήγει δὲ τῆς πόλεως ὁ πατρίκιος Λέων, ὃν διὰ

6 χάλδος C 13 ὅπου βούλονται ἀπιέναι κελεύσας C τατζάτης C 15 παθεῖν om C 16 τῶν σχολῶν om C 21 καθηγεμὼν C

templo S. Sepulchri proxima nocte vitam cum morte commutat, magno luctu non imperatori modo sed et universo exercitui ac populo Romano relicto.

Alia deinde ab imperatore facta defectio in Chaldia instinctu patricii Bardae, cognomento Boilae, qui ei praesidebat. principes novarum rerum moliendarum fuerunt Adrianus quidam Chaldaeus et Tatzates Armenius, homines praedivites. ii occupato castello Paipertis contra imperatorem arma sumebant. sed Ioannes Curcuas scholarum domesticus, qui tum forte Caesareae erat, celeriter supervenit et coitionem eam dissipavit. deprehensorumque primariis oculos eruit, et bona eorum publicavit, obscuros ac pauperes impune quo liberet discedere iussit. unus Tatzates castello quodam occupato, quod in sublimi erat situm colle, fide impunitatis a domestico scholarum accepta, Cpolin venit, ibique manglabitae honore praeditus in domo manganorum custoditus est; cumque fugam moliretur, deprehenso oculi sunt effossi. Bardas Boilas, quod ei imperator bene volebat, nullam aliam poenam dedit quam quod rasus et monachus est factus.

Interim Simeon Bulgarorum princeps Adrianopolin vallo fossaque cingit et obsidet ac magno studio oppugnat. praeerat ei urbi Leo pa-

τὴν ὀξύρροπον πρὸς τοὺς πολέμους ὁρμὴν Μωρολέοντα ἐκάλουν. οὗτος εὐψύχως τὴν πολιορκίαν ἐδέξατο, καὶ γενναιοτάτως ποτὲ C μὲν ἀπὸ τοῦ τείχους τοὺς προσιόντας τῶν Βουλγάρων ἠμύνετο, ποτὲ δὲ τὰς πύλας ἀναπεταννὺς ἐπετίθετο σὺν ῥύμῃ ἀνυποστάτῳ καὶ ῥᾳδίως ἐτρέπετο. ἐπεὶ δὲ ὁ σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει καὶ λιμὸς ἐπίεζε τοὺς ἔνδοθεν κραταιός, μηδαμόθεν ἐλπίδα ἔχοντες ἐπισιτισμοῦ, τῇ ἐνδείᾳ πεισθέντες προδεδώκασι τὴν πόλιν καὶ ἑαυτοὺς καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις· ὃν χειρωσάμενος ὁ Συμεών, καὶ ὧν εἰς τοὺς Βουλγάρους ἐνεδείξατο μεμνημένος κακῶν, μυρίαις αἰκίαις τιμωρησάμενος τελευταῖον ἀπέκτεινε θανάτῳ πικρῷ. Βουλγάρους οὖν ἐπιστήσας φύλακας τῇ πόλει ὑπε- D χώρησεν· οἵτινες Ῥωμαϊκὸν στρατόπεδον ἀκηκοότες ἥκειν κατ' αὐτῶν καταλιπόντες τὴν πόλιν ἔφυγον, καὶ πάλιν ἡ Ἀδριανούπολις ὑπὸ Ῥωμαίους ἐγένετο.

Τότε δὲ καὶ Λέων ὁ Τριπολίτης μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν ἐξῆλθε κατὰ Ῥωμαίων· ὃν ἐν τῇ νήσῳ Λήμνῳ ναυλοχοῦντα Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Ῥαδηνὸς αἰφνίδιον ἐπιφανεὶς ῥᾳδίως ἐτρέψατο, τῶν Ἀγαρηνῶν σχεδὸν πάντων ἀνῃρημένων, τοῦ δὲ Τριπολίτου μόνου φυγῇ τὴν σωτηρίαν πορισαμένου. Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος β', ὁ ἄρχων Βουλγαρίας Συμεὼν πανστρατὶ κατὰ τῆς Κωνσταντινουπό- P 623 λεως ἐκστρατεύει, καὶ ληΐζεται μὲν Μακεδονίαν, ἐμπιπρᾷ δὲ τὰ ἐπὶ Θρᾴκης χωρία, καὶ πάντα καταστρέφει τὰ ἐν ποσί. ἔγγιστα

2 γενναιότατα C 4 πύλας C

tricius, quem ob praeproperum in hostes impetum vocabant Moroleonem quasi stultum leonem. is oppugnationem fortiter sustinebat, et modo Bulgaros irruentes de muro profligabat, modo portis apertis in eos acerrimum impetum dabat facileque pellebat. sed oppidani cibo deficiente ac fame graviter premente, cum alimentorum aliunde parandorum spes nulla affulgeret, penuria moti urbem, se ducemque Bulgaris tradiderunt. Simeon Leonem nactus, et recordatus quanta is mala Bulgaris intulisset, innumeris suppliciorum formis excruciatum tandem acerba morte necavit, Bulgaricoque in urbe relicto praesidio discessit. hoc praesidium audito contra se venire Romanum exercitum urbe relicta fugit; atque sic Adrianopolis a Romanis est recepta.

Eo tempore Leo etiam Tripolita cum magna classe Romanos invasit. quem in Lemno naves in statione habentem subito adortus Ioannes Radenus patricius, rei navalis drungarius, facile vicit, Agarenis fere omnibus exstinctis, soloque Tripolita fuga elapso. mense Septembri, indictione secunda, Simeon Bulgarorum princeps cum omnibus copiis expeditionem contra Cpolin suscipit; populatusque Macedoniam et in Thraciam incendiis grassatus, obviis quibusque vastatis, proxime Bla-

δὲ Βλαχερνῶν στρατόπεδον πήξας ἐπεζήτησεν ἀποσταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν ἐν τέλει ὥστε περὶ εἰρήνης διαλεχθῆναι. λαβόντες οὖν ὁμήρους παρ' ἀλλήλων ὡς οὐδεμία τις ἐπακολουθήσει ἐπιβουλή, καὶ τοῦ πατριάρχου τοῖς ὅρκοις ἀναθαρρήσαντος, γέγονε λόγος ὁποίους δεῖ τῶν συγκλητικῶν τούτῳ συνεξελθεῖν. προεκρίθη γοῦν ὁ πατρίκιος Μιχαὴλ ὁ Στυπειώτης καὶ Ἰωάννης ὁ μυστικὸς καὶ παραδυναστεύων· ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, κατελθὼν τοῦ B παλατίου, ἐν τῇ αὐτοῦ μονῇ τὴν κοσμικὴν ἀπεκείρατο τρίχα. ἀφικομένους οὖν αὐτοὺς πρὸς τὸν Συμεὼν καὶ μέλλοντας κινεῖν λόγους περὶ εἰρήνης, τούτους μὲν ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι· πεπληροφόρητο γὰρ ἄνδρα συνετὸν αὐτὸν εἶναι καὶ ἀληθῆ. ἀσπασίως δὲ ὁ Ῥωμανὸς ἐδέξατο τοῦτο. ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρη διεκπλέουσαν ἐν αὐτῇ προσορμίζεσθαι, περιφράξας αὐτὴν πάντοθεν διατειχίσμασι. μέσον δὲ θριγκίον γενέσθαι προσέταξεν, ἔνθα ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ὁ δὲ Συμεὼν ἀπο- C στείλας ἐνέπρησε τὸν τῆς ὑπεραγίας θεοτόκου ναὸν τὸν ἐν τῇ πηγῇ, ὃν ὁ βασιλεὺς Ἰουστινιανὸς ἐδομήσατο, ἐπυρπόλησε δὲ καὶ τὰ κύκλῳ σύμπαντα, καὶ δῆλος ἦν ἐκ τούτου μὴ εἰρήνην ζητῶν. ὁ δὲ βασιλεὺς ἐν τῷ ναῷ γενόμενος τῶν Βλαχερνῶν ἅμα τῷ πατριάρχῃ, καὶ ἐν τῇ ἁγίᾳ σορῷ εἰσελθὼν καὶ ἱκετηρίους ᾠδὰς ἀπο-

6 τούτοις C 14 τοῦτον P 17 παραθύριον margo C 21 ἀξιῶν P

chernas castra ponit. inde postulat ut ad se mittantur Nicolaus patriarcha aliique procerum, de componenda pace collocuturi. datis mutuo obsidibus, ut ab insidiis omnia tuta essent, ac patriarcha iuramentis fidente, quaesitum est qui senatores cum eo exire deberent. delecti patricius Michaelus Stypeiota et Ioannes mysticus ac tum gubernandarum rerum socius: nam Ioannes rector apud imperatorem delatus criminis iam tum palatio discesserat, inque suo monasterio monachus factus erat. cum legati ad Simeonem venissent ac de pace essent collocuturi, ita eos Bulgarus dimisit ut ostenderet se ipsius imperatoris congressum expetere, quem pro certo habebat virum esse prudentem atque veracem. pergratum id fuit Romano, misitque illico qui in litore Cosmidii in mari tutissimum egressui e nave locum pararent, ut eo imperatoria triremis appellere posset. eum undique munitionibus circumdedit; ac in medio iussit tabulatum attolli, in quo erant collocuturi. interim Simeon missis suis templum deiparae ad Fontem incendit, ab Iustiniano conditum. sed et vicina circum omnia igne vastabat; satisque apparebat pacem ei cordi non esse. Romanus cum patriarcha fanum Blachernense et sacrum sepulchrum ingressus, deum comprecatus, accepto beatae vir-

θοὺς τῷ θεῷ, τὸ ὠμοφόριον τῆς θεοτόκου λαβὼν ἔξεισι τοῦ ναοῦ, ὅπλοις ἀσφαλέσι φραξάμενος. τὸν σὺν αὐτῷ οὖν στόλον κοσμήσας ἀριπρεπῶς τὸν ὡρισμένον κατείληφε τόπον. ἐννάτῃ τοῦ Νοεμβρίου μηνὸς ἦν ὅτε ταῦτα ἐγίνετο. παρεγίνετο δὲ καὶ ὁ Συμεών, πλῆθος ἐπαγόμενος εἰς πολλὰς διῃρημένον τὰς παρατάξεις καὶ τὰς ἰδέας· οἱ μὲν γὰρ ἦσαν χρυσάσπιδες καὶ χρυσᾶ δόρατα ἔχοντες, οἱ δὲ ἀργυράσπιδες, οἱ δὲ χαλκάσπιδες, οἱ δὲ ἄλλῃ χροίᾳ, ὥς πῃ D ἑκάστῳ ἐδόκει, ἐκεκόσμηντο. οἵτινες μέσον αὐτὸν εἰληφότες τὸν Συμεὼν ὡς βασιλέα εὐφήμουν Ῥωμαϊκῇ τῇ φωνῇ. πάντες δὲ οἱ ἐν τέλει καὶ ὁ ἀστικὸς δῆμος ἐκ τῶν τειχῶν ἐθεῶντο τὰ δρώμενα. πρῶτος οὖν ὁ βασιλεὺς Ῥωμανὸς τὴν εἰρημένην ἀποβάθραν καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ὅμηρα δὲ δόντες ἀλλήλοις, καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διερευνήσαντες ἀκριβῶς, μή πού τις δόλος ἢ ἐνέδρα κρύπτηται, τότε κατελθεῖν τὸν Συμεὼν τοῦ ἵππου προετρέψαντο καὶ εἰσελθεῖν πρὸς τὸν βασιλέα. ἠσπάσαντο γοῦν ἀλλήλους, καὶ περὶ εἰρήνης ἤρξαντο διαλέγεσθαι. φασὶ δ' οὖν εἰπεῖν τὸν Ῥωμανὸν πρὸς τὸν Συμεὼν "ἀκήκοά σε Χριστιανὸν ἄν- P 624 θρωπον καὶ θεοσεβῆ, βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα. εἰ μὲν γὰρ ἀληθῶς Χριστιανὸς ὑπάρχεις, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς χύσεις τῶν ἀνοσίων αἱμάτων, καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν Χριστιανὸς καὶ αὐτὸς ὢν καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄνθρωπος εἶ καὶ αὐτός, θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ κρίσιν καὶ ἀνταπόδοσιν τῶν βε-

13 ἀποβάθρησιν C 19 ἀληθὴς C 23 ὁμοπίστων om C

ginis humerali, templo exiit. cumque et se diligenter armasset et comitatum suum decenter ornasset, ad definitum locum se contulit. acta haec nona die Decembris. eodem venit et Simeon, multitudinem adducens variis ordinibus ac formis distinctam: alii namque erant aureis scutis ornati et aureis hastis, alii argenteis clypeis, alii aereis, alii aliorum colorum, prout cuique visum fuerat. ii in medium sui Simeonem recipiebant, ac Romana voce regem consalutabant. omnes proceres et civium multitudo, quae gererentur, de muris spectabant. prior Romanus locum exscensionis dictum occupavit, et Simeonem exspectavit. datis ultro citroque obsidibus, Bulgari cum locum diligenter pervestigassent, ne quis dolus aut insidiae laterent, Simeonem equo descendere iusserunt et ad imperatorem intrare. ibi cum se mutuo consalutassent, de pace colloqui coeperunt. ac ferunt Romanum haec verba ad Bulgarum fecisse. "hominem te esse Christianum et pium audivi, sed facta tua famae minime respondent. si enim re vera es Christianus, finem tandem fac caedium et fundendi sanguinis insontis, pacemque cum nobis Christianis Christianus et ipse compone, neque fac ut dextrae Christianorum polluantur sanguine eundem Christum colentium. homo et ipse es, mortem operiens et resurrectionem et iudicium ac dignam vita acta

βιωμένων. σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε τούτου ἐμπλήσω εἰς κόρον. μόνον ἄσπασαι τὴν εἰρήνην καὶ ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ
B αὐτὸς βίον ζήσεις εἰρηνικὸν καὶ ἀναίμακτον, καὶ οἱ Χριστιανοὶ παύσωνταί ποτε κατ' ἀλλήλων ὅπλα κινοῦντες." καὶ ταῦτα μὲν εἶπεν ὁ βασιλεύς, αἰδεσθεὶς δὲ ὁ Συμεὼν τὴν τούτου ταπείνωσιν ὑπέσχετο τὴν εἰρήνην ποιήσασθαι. καὶ ἀσπασάμενοι ἀλλήλους διεχωρίσθησαν, τοῦ βασιλέως δώροις μεγαλοπρεπέσι δεξιωσαμένου τὸν Συμεών. συμβέβηκε δέ τι τεράστιον τότε, ὡς ἄξιον εἶναι καὶ διηγήσασθαι. δύο φασὶν ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι, κλάγξαι τε καὶ ἀλλήλοις συμμῖξαι καὶ παραυτίκα διαζευχθῆναι, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην ἀποπτῆναι. τοῦτο δὲ οἱ περὶ τὰς ὀρνιθοσκοπίας ἐπτοημένοι οὐκ αἴσιον ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ δια-
C λυθήσεσθαι ἐπὶ τῇ εἰρήνῃ ἀμφοτέρους ἔφησαν. ὁ δὲ Συμεὼν ὑποστρέψας τοῖς οἰκείοις ἄρχουσι τὴν τοῦ βασιλέως ἐξηγεῖτο μετριότητα καὶ τὸ πρὸς τὰ χρήματα προετικόν τε καὶ ἐλευθέριον.

Κατὰ δὲ τὴν ἑορτὴν τῶν Χριστουγέννων, ἰνδικτιῶνος β', Ῥωμανὸς ὁ βασιλεὺς στέφει τοὺς δύο υἱοὺς αὐτοῦ, Στέφανον καὶ Κωνσταντῖνον, ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· τὸν δὲ λοιπὸν υἱὸν αὐτοῦ Θεοφύλακτον ὁ πατριάρχης ἀπέκειρε κληρικόν, χειροτονήσας αὐτὸν ὑποδιάκονον, προχειρισάμενος καὶ σύγκελλον, πρότερον διελθόντα εἰς τὰ ἅγια μετὰ τοῦ τάγματος τῶν ὑποδιακόνων. ἐτίμησε δὲ καὶ τὸν μυστικὸν Ἰωάννην καὶ παραδυναστεύοντα πατρίκιον

11 κλάγξαι — 13 ἀποπτῆναι om C 21 Θεοφύλακτος C

mercedem. hodie vivis, et cras in pulverem dissolveris. si divitiarum cupiditas te ad haec agenda impellit, ego ad satietatem usque te iis opplebo: tantum pacem amplectere et concordiam dilige, ut ipse quoque vitam pacatam degas ac incruentam, et tandem Christiani desinant contra se invicem arma ferre." his verbis hacque submissione imperatoris ad verecundiam ductus Simeon promisit se pacem facturum; et peracta salutatione discessum est, cum quidem magnificentissima dona Simeoni imperator dedisset. dignum est relatu prodigium quod tunc accidit. nam ferunt colloquentibus principibus duas aquilas supra eos volitasse, et cum clangore se coniunxisse, moxque divulsas fuisse, ita ut altera ad urbem altera in Thraciam avolaret. id, qui augurio aliquid tribuebant, signum inauspicatum interpretati sunt, et infecta pace discessum iri iudicarunt. Simeon ad suos reversus proceribus moderationem imperatoris et liberalitatem narravit.

Festo Christi natalitio, indictione secunda, Romanus duos suos filios Stephanum et Constantinum coronat in magno templo: reliquum Theophylactum patriarcha radit ac clericum facit, et subdiaconum ac syncellum designat, cum prius in sanctuarium intrasset officium subdiaconi gerens. Ioannem porro mysticum et gubernandarum rerum socium pa-

καὶ ἀνθύπατον. ιε΄ δὲ Μαΐου μηνός, ἰνδικτιῶνος γ΄, τελευτᾷ ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ δευτέρᾳ ἀναρρήσει ἔτη ιγ΄· καὶ καθίσταται Αὐγούστῳ μηνὶ πατριάρχης ὁ τῆς Ἀμασείας μητροπολίτης Στέφανος. κατηγορήθη δὲ καὶ ὁ μυστικὸς ὡς τὴν βασιλείαν σφετεριζόμενος, καὶ ὑποθήκῃ τοῦ πατρικίου Κοσμᾶ καὶ λογοθέτου τοῦ δρόμου, μνηστευομένου τοῦτον εἰς τὴν ἑαυτοῦ θυγατέρα, καταβιβάζεται τοῦ παλατίου. συγχωρεῖται δ' ὅμως εἰσέρχεσθαι καὶ προσκυνεῖν τὸν βασιλέα· στέργων γὰρ αὐτὸν ὁ βασιλεὺς τελέως ἀπώσασθαι οὐκ ἐβούλετο. ἐγκειμένων δὲ τῶν κατηγόρων καὶ σαφῆ δεικνύντων τὴν κατηγορίαν, ἐρευνήσας ὁ βασιλεὺς καὶ ἀληθῆ τὰ κατ' αὐτοῦ εὑρὼν λαληθέντα ἔμελλε κατασχεῖν καὶ ἐξετάσαι· ὁ δὲ τοῦτο προγνοὺς φυγῇ τὴν Μονοκάστανον μονὴν καταλαμβάνει καὶ ἀποκείρεται μοναχός. τὸν δὲ πατρίκιον Κοσμᾶν καὶ λογοθέτην αἰκισάμενος ὁ βασιλεὺς ἐν τῷ ὡρολογείῳ παρέλυσε τῆς ἀρχῆς. προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου τὸν πρωτοβεστιάριον Θεοφάνην παραδυναστεύοντα. ἐγένετο τηνικαῦτα καὶ σεισμὸς ἐν τῷ θέματι τῶν Θρᾳκησίων καὶ χάσματα γῆς καταπληκτικά, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας αὐτάνδρους καταποθῆναι.

Μαΐῳ δὲ μηνί, ἰνδικτιῶνος ιε΄, εἰσβολὴν Συμεὼν ὁ τῆς Βουλγαρίας ἄρχων ἐποιήσατο κατὰ Χρωβάτων, καὶ συμβαλὼν μετ' αὐτῶν καὶ ἡττηθεὶς ἐν ταῖς τῶν ὀρῶν δυσχωρίαις ἅπαν τὸ

2 τρισκαίδεκα C 4 κατηγορηθεὶς C 5 καὶ ante ὑποθ. om C 11 λαληθέντα εὑρὼν C 12 ἐτάσαι C 16 πρωτοβεστιάρην C θεοφάνιος C 20 ς΄ C Συμεὼν om C

tricia ac proconsulari dignitate ornavit imperator. die Maii decima quinta, indictione tertia, moritur Nicolaus patriarcha, cum a secunda designatione munus suum gessisset annos tredecim. Augusto mense successor ei creatur Stephanus, Amasiae metropolita. porro mysticus affectati imperii defertur, ad hoc usus consilio Cosmae patricii logothetae dromi, qui eum sibi generum ambiebat, et palatio eiicitur, permisso tamen ut adorandi imperatoris causa id ingrederetur. nam imperator eum diligebat, ideoque prorsus excludere nolebat. instantibus tamen accusatoribus, et crimina ei obiecta vera esse demonstrantibus, imperator rem perscrutatus, cum deprehenderet non aliter quam ii rettulerant habere, capere mysticum et quaestiones de eo exercere statuit. quod is praesentiens in monasterium Monocastanum confugit, ibique monachus est factus. patricium Cosmam logothetam in Horologio imperator male multatum officio deposuit. loco mystici substituit protovestiarium Theophanem, et eadem potestate auxit. sub idem tempus in Thracia terrae motus hiatusque terribiles fuerunt, multaeque domus et templa una cum ipsis hominibus absorpta sunt.

Maio mense, indictione 15, Simeon Bulgarorum princeps in Chrobatos duxit; ab iisque in angustiis montium praelio victus omnem suum

ἑαυτοῦ ἀπώλεσε στράτευμα. Ἰωάννης δέ τις ἀστρονόμος προσελθὼν τῷ βασιλεῖ ἔφησεν ὡς εἰ πέμψας ἀποκόψει τὴν κεφαλὴν τῆς ἱσταμένης ἄνωθεν τῆς ἐν τῷ Ξηρολόφῳ ἁψῖδος καὶ πρὸς δύσιν βλεπούσης στήλης, ἀποθανεῖται ὁ Συμεὼν παραυτίκα· αὐτῷ γὰρ ἐστοιχειῶσθαι τὴν τοιαύτην στήλην. ὁ δὲ τοῖς ἐκείνου πιθήσας λόγοις ἀπέτεμε τὴν κεφαλὴν τῆς στήλης· καὶ αὐτῇ τῇ ὥρᾳ, καθὼς ἀκριβωσάμενος ἔγνω ὁ βασιλεύς, ὁ Συμεὼν ἐν Βουλγαρίᾳ τέθνηκε νόσῳ καταχαρδίῳ ἁλούς.

C Οὗ τελευτήσαντος τὴν τῶν Βουλγάρων ἀρχὴν Πέτρος κατέσχεν ὁ ἐκ τῆς δευτέρας αὐτοῦ γυναικὸς τῆς ἀδελφῆς Γεωργίου τοῦ Σουσουρβούλου, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν κατέστησε· Μιχαὴλ γὰρ τὸν ἐκ τῆς προτέρας ἀποτεχθέντα παῖδα αὐτῷ ἔτι ζῶν ὁ Συμεὼν ἀπέκειρε μοναχόν. τὰ γοῦν πέριξ ἔθνη, Τοῦρκοι Σέρβοι Χρωβάτοι καὶ οἱ λοιποί, τὴν τοῦ Συμεὼν ἀναμαθόντες τελευτὴν ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο. κατέσχε δὲ καὶ λιμὸς μέγας σὺν ἀκρίδι τὸ Βουλγάρων ἔθνος, ἰσχυρῶς ἐκπιέζων καὶ καταδαπανῶν τὰ πλήθη καὶ τοὺς καρπούς. ἐδεδοίκεσαν μὲν οὖν οἱ Βούλγαροι καὶ τὴν τῶν ἄλλων ἔφοδον ἐθνῶν,
D ἐδεδίεσαν δὲ πλέον τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. βουλευσάμενος οὖν ὁ Πέτρος μετὰ τῶν περὶ αὐτὸν ἔγνω δεῖν ἐπιστρατεῦσαι Ῥωμαίοις ἐπὶ καταπλήξει. καταλαμβάνουσι τοίνυν τὴν Μακεδονίαν. εἶτα μαθόντες ὡς ἔξεισι κατ' αὐτῶν ὁ βασιλεύς, πέμπουσι λάθρα τινὰ μοναχὸν Πέτρος τε ὁ ἄρχων Βουλγαρίας καὶ ὁ τῶν παίδων

4 στήλης om C 11 σουρσουβούλη C 12 ἐγκατέστησε C
21 καταλ. — Μακεδονίαν om C

amisit exercitum. Ioannes autem quidam astronomus Romanum accessit, eumque monuit uti mittat aliquem qui amputet caput columnae, quae supra Xerolophi fornicem posita Occidentem respiciebat: ita enim Simeonem, cui illa fatalis erat, statim periturum. exsecutus hoc est imperator; et qua hora statuae fuit abscissum caput, ea ipsa, quod diligenti inquisitione Romanus postea deprehendit, Simeon in Bulgaria cordis morbo interiit.

Morte eius Bulgariae dominium ad Petrum rediit, filium eius ex secunda uxore, sorore Georgii Susurbuli, quem et tutorem suis liberis Simeon constituit. nam Michaelum idem ex priore sibi natum coniuge, viventem adhuc monachum fecerat. vicinae igitur gentes, Turci Servi Chrobatae atque alii, audita Simeonis morte Bulgaros bello petere statuebant. sed et fame graviter premebantur Bulgari, et locustae fruges eorum depopulabantur atque absumebant. itaque Bulgaris cum aliarum gentium tum Romanorum praecipue in se expeditionem metuentibus, Petrus re cum suis deliberata in Romanos bellum suscipit, ut iis terrorem incuteret. cumque in Macedoniam pervenisset, audito imperatorem Romanum contra se cum exercitu proficisci, ipse et Georgius liberorum

τοῦ Συμεὼν ἐπιτροπεύων Γεώργιος, γράμματα ἐπαγόμενον. ὡς
βούλονται δὲ Ῥωμαίοις σπείσασθαι, τὰ γράμματα ἔφραζεν, εἰ
αἱροῦνται δέ, καὶ γαμικὸν συστήσασθαι συνάλλαγμα μετ' αὐτῶν.
ὃν ἀφικόμενον ὁ βασιλεὺς ἀσμενέστατα προσδεξάμενος, εὐθέως
ἀπέστειλε μετὰ δρόμωνος μοναχόν τινα Θεοδόσιον καὶ Κωνσταντῖ-
νον βασιλικὸν κληρικὸν τὸν Ῥόδιον, συλλαλῆσαι τοῖς Βουλγάροις P 626
τὰ εἰς εἰρήνην ἐν Μεσημβρίᾳ. οἵτινες παραγενόμενοι καὶ τὰ εἰκότα
διαλεχθέντες ὑπέστρεψαν διὰ ξηρᾶς ἅμα Στεφάνῳ τινὶ περιωνύμῳ
ἐν Βουλγαρίᾳ· κατόπιν δὲ τούτων παρεγένετο καὶ ὁ ἐπίτροπος
Γεώργιος ὁ τοῦ Σουρσουβούλου καὶ ἄλλοι τινὲς τῶν ἐπιφανῶν.
καὶ εἰς ὄψιν ἐλθόντες τῷ βασιλεῖ, θεασάμενοι δὲ καὶ τὴν θυγα-
τέρα Χριστοφόρου τοῦ βασιλέως Μαρίαν καὶ ἐπ' αὐτῇ μεγάλως
ἀρεσθέντες (ἦν γὰρ ὑπερφέρουσα τῷ κάλλει), ἔγραψαν τῷ Πέτρῳ
διὰ τάχους παραγενέσθαι, σύμφωνα ποιησάμενοι πρότερον περὶ
τῆς εἰρήνης. ἀπεστάλη δὲ καὶ Νικήτας μάγιστρος, ὁ τοῦ βασι-
λέως συμπένθερος Ῥωμανοῦ, ὑπαντῆσαι καὶ ἀγαγεῖν τὸν Πέτρον B
μέχρι τῆς βασιλίδος. οὗ καταλαβόντος ἐν Βλαχέρναις, ὁ βασι-
λεὺς μετὰ τριήρους ἐλθὼν τοῦτον ἐδέξατο καὶ ἠσπάσατο καὶ φιλο-
τίμως ἐδεξιώσατο. ἀλλήλοις οὖν τὰ εἰκότα προσομιλήσαντες τά
τε τῆς εἰρήνης σύμβολα καὶ τὰ τοῦ γάμου ἐπεραιώσαντο, τοῦ
πρωτοβεστιαρίου Θεοφάνους ἐν πᾶσι μεσολαβοῦντος. καὶ τῇ η'
τοῦ Ὀκτωβρίου μηνὸς ἐξελθὼν ὁ πατριάρχης Στέφανος, ἅμα τῷ

1 ἔφραζε δὲ τὰ γράμματα ὡς βούλονται ῥ. C   10 σουρσου-βούλη C   18 ἐδέξατο καὶ om C   19 ἐδέξατο C   20 τε om C   τὰ om C   21 ἐπὶ C   22 ὀκτωμβρίου C

Simeonis tutor occulte monachum cum literis mittunt, quibus continebatur cupere Bulgaros cum Romanis pacem ac foedus coniungere, ac si Romanis ita videretur, nuptiis inter gentes contractis id firmari. iis literis acceptis Romanus, cum rem quam maxime probaret, statim celoce emisit Theodosium quendam monachum et Constantinum Rhodium clericum aulicum, qui in Mesembria cum Bulgaris de pace colloquerentur. quo in colloquio cum res commode esset tractata, legati per continentem in urbem redierunt, comitante Stephano, cuius magnum erat inter Bulgaros nomen; eosque subsecutus est Georgius Sursubulus aliique illustres aliquot viri. hi ut cum imperatore congressi filiam Christiferi Caesaris Mariam viderunt, eamque (erat enim formae praestantissimae) magnopere probaverunt, pacta pace, Petrum missis literis absque mora venire iusserunt. missus est etiam Nicetas magister, filii Romani socer, qui Petro obviam iret eumque Cpolin deduceret. ubi ad Blachernas venit Petrus, imperator triremi eodem vectus eum excepit ac salutavit et honorifice tractavit; iisque inter se uti ex re erat collocutis, pacta pacis et matrimonii composita sunt, in omnibus iis protovestiario Theophane medium se ferente. Octobris die octava, patriarcha Stephanus

πρωτοβεστιαρίῳ Θεοφάνει καὶ πάσῃ τῇ συγκλήτῳ, εὐλόγησε Πέτρον τε καὶ Μαρίαν ἐν τῷ ναῷ τῆς ὑπεραγίας θεοτόκου τῆς Πηγῆς, παρανυμφευόντων τοῦ πρωτοβεστιαρίου καὶ τοῦ Σουρσουβούλου. C φαιδρῶν δὲ καὶ πολυτελῶν γενομένων τῶν γάμων, εἰσῆλθεν ὁ πρωτοβεστιάριος ἅμα τῇ θυγατρὶ τοῦ βασιλέως ἐν τῇ πόλει. τρίτην δὲ μετὰ τὸν γάμον ἑστίασιν ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ ποιήσας ὁ βασιλεύς, παρ' αὐτῇ τῇ ἀποβάθρᾳ τοῦ βασιλικοῦ δρόμωνος ἱσταμένου, συνειστιάθη τῷ Πέτρῳ. παρῆσαν δὲ τῇ εὐωχίᾳ καὶ Κωνσταντῖνος ὁ βασιλεὺς καὶ Χριστοφόρος. ἐγένετο δὲ στάσις οὐ μικρὰ παρὰ τῶν Βουλγάρων, ἐνισταμένων πρότερον εὐφημηθῆναι τὸν Χριστοφόρον, εἶτα τὸν Κωνσταντῖνον· ὧν τῇ ἐνστάσει παραχωρῶν ὁ βασιλεὺς Ῥωμανὸς ἐκέλευσεν οὕτω γενέσθαι. D πάντων δὲ τῶν ἐν τοῖς τοιούτοις εἰωθότων γίνεσθαι συντελεσθέντων, ἀπῆρεν ἡ Μαρία σὺν τῷ οἰκείῳ συζύγῳ καὶ τῆς πρὸς Βουλγαρίαν ἥψατο, προπεμφθεῖσα παρὰ τῶν γονέων αὐτῆς καὶ τοῦ πρωτοβεστιαρίου μέχρι τοῦ Ἑβδόμου. καὶ τὰ μὲν ἐν τῇ πόλει τοῦτον ἐτελεῖτο τὸν τρόπον.

Ὁ δὲ δομέστικος τῶν σχολῶν Ἰωάννης μάγιστρος ὁ Κουρκούας, ἄγων καὶ φέρων τὰ τῆς Συρίας καὶ ἅπαν ἀντίξουν καταστρεφόμενος, καὶ πλεῖστα φρούρια καὶ ὀχυρώματα καὶ πόλεις βαρβαρικὰς καθελών, ἔφθασε καὶ μέχρι τῆς περιβοήτου Μελιτηνῆς, πολιορκίᾳ δὲ τοὺς ἔνδον στενοχωρήσας ἠνάγκασε πρὸς συμβάσεις ἰδεῖν. παρεγένετο οὖν πρὸς αὐτὸν Ἀπόχαψ ὁ τοῦ Ἄμερ

3 σουρσουβούλη C 13 κράτεσθαι C 23 ἐλθεῖν, apposito ad marginem γρ. ἰδεῖν, C

cum protovestiario Theophane et universo senatu egressus, coniugium Petri et Mariae in fano deiparae ad Fontem sacrum faustumque esse iussit, sponsam comitantibus Theophane et Sursubulo. nuptiis magnifice et sumptuoso cum splendore confectis, protovestiarius cum filia Caesaris urbem intravit. tertium a nuptiis convivium instituit imperator ad Fontem, in loco ubi e navibus exire solebant, stante imperatoria celoce in eo loco; adhibuitque convivio Petrum, Constantinum imperatorem ac Christiferum. ibi haud leviter tumultuati sunt Bulgari, Christiferum Constantino in faustis acclamationibus praeponi debere contendentes. eorumque petitioni imperator morem gessit. omnibus peractis quae in tali re fieri assolent, Maria cum suo marito solvit et in Bulgariam iter iniit, deducta a parentibus et protovestiario usque ad Hebdomum. hoc pacto res in urbe actae.

At Ioannes Curcuas, magister ac scholarum domesticus Syriae, res agendo ac ferendo et obvia omnia proruendo, plurimaque castella et munitiones atque urbes barbaricas evertendo, usque ad nobilem illam Melitenam pervenit, eamque obsessam eo necessitatis redegit ut ad pacificationem obsessi cogerentur spectare. venit ergo ad eum Apochapsus

ἔκγονος, ἀμηρᾶς ὑπάρχων Μελιτηνῆς, καὶ Ἀποσαλὰθ ὁ τῶν ἐν
αὐτῇ κατάρχων ταγμάτων· οὓς προσδεξάμενος ὁ δομέστικος ἱλα- P 627
ρῶς καὶ μετὰ προσηνείας πρὸς τὸν αὐτοκράτορα ἐξαπέστειλεν.
ἐντυχόντες οὖν αὐτῷ καὶ εἰρηνικὰ ποιήσαντες σύμφωνα ὑπέστρε-
ψαν εἰς τὰ ἴδια, τοῖς φίλοις καὶ συμμάχοις Ῥωμαίων καταγρα-
φέντες καὶ μετ' αὐτῶν κατὰ τῶν ὁμοφύλων καθοπλιζόμενοι. τε-
λευτήσαντος δὲ τοῦ Ἀπόχαψ καὶ τοῦ Ἀποσαλὰθ διελύθη τὰ τῆς
εἰρήνης. ἐκστρατεύει οὖν κατ' αὐτῶν ὁ εἰρημένος δομέστικος, ᾧ
συνῆν μετὰ τῶν Ἀρμενίων καὶ ὁ μάγιστρος ὁ Μελίας. καὶ πρό-
τερον μὲν πολέμῳ τοὺς Μελιτηνοὺς συνήλασαν εἴσω τείχους κατα-
τολμήσαντας ἀντιποιήσασθαι τῶν ὑπαίθρων· ἔπειτα περικαθί- B
σαντες τὴν πόλιν καὶ μετὰ συντονίας ταύτην πολιορκήσαντες πολέ-
μου νόμῳ κατέσχον. κατέδραμον δὲ καὶ πάντα τὰ πέριξ καὶ
ἐχειρώσαντο καὶ δοῦλα Ῥωμαίοις εἰργάσαντο. τὴν μὲν οὖν Με-
λιτηνὴν εἰς κουρατωρείαν καταστήσας ὁ βασιλεύς, καὶ πᾶσαν τὴν
περιοικίδα, πολλὴν συντέλειαν τῷ δημοσίῳ προσήγαγε· Νικήτας
δὲ ὁ μάγιστρος καὶ πενθερὸς Χριστοφόρου τοῦ βασιλέως κατηγο-
ρηθεὶς ὡς ὑποτιθέμενος τῷ Χριστοφόρῳ κατὰ τοῦ ἰδίου γενέσθαι
πατρὸς καὶ τοῦτον ἐξῶσαι τῆς βασιλείας, ἐξεβλήθη τῆς πόλεως
καὶ ἀπεκάρη μοναχός. μηνὶ δὲ Ἰουλίῳ ιε' ἡμέρᾳ, ἰνδικτιῶνος ς',
ἐτελεύτησεν ὁ Ἀμασείας Στέφανος, πατριαρχήσας ἔτη β' μῆνας
ια'· Δεκεμβρίῳ δὲ μηνὶ ἄγουσι Τρύφωνα μοναχόν, καὶ χειροτο- C
νοῦσι πατριάρχην ἐπὶ χρόνῳ ῥητῷ, μέχρις ἂν Θεοφύλακτος ὁ τοῦ
βασιλέως υἱὸς εἰς μέτρον φθάσῃ τῆς νομίμου ἡλικίας. τῷ αὐτῷ

9 ὁ post μάγιστρος om C   20 ἡμέρᾳ om C

Ameri prognatus, Melitenae ameras, et Aposalathus, qui militibus Melitenae degentibus praeerat; quos comiter exceptos domesticus ad imperatorem misit, iique pacificatione confecta domum redierunt, sociis ac amicis Romanorum adscripti, et cum iis contra Saracenos populares suos armati. mortuis autem Apochapso et Aposalatho pax ea rupta est. itaque domesticus Melitenis bellum infert, cum quo etiam Melias erat magister, Armenios ducens. ac initio quidem hostes castra sub dio locare ausos intra muros urbis compellunt, deinde vero urbem obsessam magna vi oppugnantes expugnant: sed et circum sita omnia populantur atque subigunt ac Romanis servire cogunt. imperator Melitenam et quod circum est regionis in praefecturae (Curatoreiam ipsi vocabant) formam redegit, ac magnos inde reditus aerario confecit. ceterum Niceta magister et Christiferi socer accusatus, quod generum incitasset ad deturbandum imperio patrem, urbe pulsus rasusque et monachus factus est. die mensis Iulii 25, indictione sexta, Stephanus patriarcha mortuus est, cum ei muneri praefuisset biennium et menses undecim. mense Decembri monachus Trypho producitur, eique patriarchatus ad certum tempus committitur, dum Theophylactus imperatoris filius ad iustam

δὲ μηνὶ γέγονε χειμὼν ἀφόρητος, ὡς κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ἑκατὸν εἴκοσι. ἐπηκολούθησε δὲ τῷ χειμῶνι καὶ ὁ μέγας λιμός, τοὺς πώποτε γενομένους ὑπερβαλλόμενος, καὶ θάνατος ἀπὸ τούτου, ὡς μὴ δύνασθαι τοὺς ζῶντας τοὺς τεθνεῶτας ἐκκομίζειν, τοῦ βασιλέως πολλὴν πρόνοιαν ποιησαμένου κατὰ τὸ δυνατὸν καὶ τοῦ χειμῶνος καὶ τοῦ λιμοῦ δι' εὐποιιῶν καὶ ἄλλων βοηθημάτων παντοδαπῶν.

Πέτρῳ δὲ τῷ Βουλγάρων ἄρχοντι ἐπέθετο Ἰωάννης ὁ ἀδελ-
D φὸς αὐτοῦ μεθ' ἑτέρων τῶν μέγα δυναμένων ἐν Βουλγαρίᾳ. καὶ φωραθεὶς αὐτὸς μὲν τύπτεται καὶ καθείργνυται, οἱ δὲ λοιποὶ πάντες ταῖς ἐσχάταις ὑπεβλήθησαν τιμωρίαις. δῆλα δὲ ἔθετο καὶ τῷ βασιλεῖ Ῥωμανῷ Πέτρος τὰ γεγενημένα. ἅπερ μαθὼν οὗτος τὸν μοναχὸν Ἰωάννην τόν ποτε ῥαίκτωρα πέπομφε, προφάσει μὲν ἀλλαγίου, τῇ δ' ἀληθείᾳ Ἰωάννην ποικιλοτρόπως εὑρεῖν καὶ εἰς Κωνσταντινούπολιν ἀγαγεῖν. ὃ δὴ καὶ γέγονε· καὶ δυνηθεὶς ὁ ῥαίκτωρ ἀποκλέψαι τὸν Ἰωάννην, ἐν πλοίῳ ἀπὸ Μεσημβρίας εἰσελθών, ἅμα αὐτῷ τὴν βασιλίδα κατέλαβε. καὶ μετ' οὐ πολὺ τὸ μοναχικὸν ἀπορρίψας σχῆμα καὶ γυναῖκα αἰτήσας ἔλαβε, προσέλαβε δὲ καὶ οἶκον καὶ κτήματα πάμπολλα. καὶ Μιχαὴλ δὲ ὁ τοῦ Πέτρου ἕτερος ἀδελφός, τὴν Βουλγαρικὴν ἱμειρόμενος κατασχεῖν
P 628 ἐξουσίαν, φρούριον καταλαβὼν ἐρυμνὸν ἀνέσειε τὰ Βουλγάρων, καὶ πολλοὶ προσερρύησαν αὐτῷ. μετὰ μικρὸν δὲ τούτου ἀποθανόντος δεδιότες οἱ προσρυέντες τὴν τοῦ Πέτρου ἀγανάκτησιν,

8 βουλγαρίας C

aetatem perveniret. eodem mense gravissimum fuit frigus, adeo ut terra per dies 120 glacie durata fuerit. id gelu subsecuta est quanta nunquam fuit ante pestis, quae tantum saeviit ut vivi mortuis efferendis non sufficerent. imperator, quantum id res passa est, summam curam et pestis et frigoris habuit, omnis generis auxiliis et beneficiis succurrens subditis.

Sub idem tempus Petro Bulgarorum principi Ioannes frater ipsius et nonnulli alii potentia inter Bulgaros primi insidias struunt; quibus patefactis Ioannes verberibus multatus in carcerem deditur, de reliquis omnibus capitis supplicium sumitur. ea de re a Petro certior factus Romanus Ioannem monachum, eum qui aliquando rector fuerat, mittit sub praetextu pactorum sanciendorum, qui omni modo Ioannem quaereret ac Cpolin duceret. et sane rector Ioannem suffuratus navigio a Mesembria cum secum in urbem perduxit. pauloque post monastico abiecto habitu uxorem ambivit atque duxit; domum quoque et opes permagnas accepit. Michaelus porro alter Petri frater, cupiditate Bulgarici imperii ductus, castellum munitum occupavit, Bulgarosque concitavit, multosque ad se attraxit. qui eo paulo post mortuo iram Petri metuen-

ἐπῆλθον ταῖς Ῥωμαϊκαῖς χώραις διὰ Μακεδονίας καὶ Στρυμόνος καὶ Ἑλλάδος, καταλαβόντες τὴν Νικόπολιν, πάντα τὰ ἐν ποσὶ ληϊσάμενοι καὶ τέλος ἐν αὐτῇ σαββατίσαντες· οἵτινες ὕστερον διαφόρως καταπολεμηθέντες ὑποχείριοι Ῥωμαίων ἐγένοντο. κατὰ τούτους τοὺς χρόνους ἔπεσε λίθος ἀπὸ τῆς ἐν τῷ φόρῳ ἀψῖδος, ὃν κοσμίτην καλεῖν εἰώθασι, καὶ ἀπέκτεινεν ἄνδρας ἑξήκοντα. ἐγένετο δὲ καὶ ἐμπρησμὸς φοβερὸς ἔγγιστα τῆς ὑπεραγίας θεοτόκου τοῦ φόρου, καὶ ἐπυρπολήθη ὁ ἔμβολος ἄχρι τῶν λεγομένων Ψιχῶν. ἐτελεύτησε δὲ καὶ Χριστοφόρος ὁ βασιλεύς, μηνὶ Αὐ- B γούστῳ, ἰνδικτιῶνος ιδ', καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ πατρὸς αὐτοῦ.

Τοῦ ῥητοῦ δὲ χρόνου τελεσθέντος ὃν ἔθετο Τρύφων ὁ πατριάρχης, οὐκ ἤθελε κατελθεῖν τοῦ θρόνου ὡς ὑπέσχετο, ἀλλὰ κρίσεις ἐζήτει καὶ αἰτιάματα κατ' αὐτοῦ προβληθῆναι δι' ἃ τῆς ἐκκλησίας ἐκβάλλεται. ἀμηχανοῦντος δ' ἐπὶ τούτῳ τοῦ βασιλέως καὶ μὴ ἔχοντος ὅ τι καὶ χρήσαιτο, ὁ Καισαρείας Θεοφάνης, ὃν δὴ καὶ Χοιρινὸν ἐκάλουν, κωτίλος ἀνήρ, ἀλύοντα βλέπων τὸν βασιλέα καὶ τὸν ἐμπαιγμὸν καὶ τὴν ἀπάτην μὴ φέροντα, ὑπέσχετο αὐτῷ εἰς τέλος ἄξαι τὸ σπουδαζόμενον. ἀποδεξαμένου δὲ τοῦ βασιλέως τὴν ὑπόσχεσιν, ἀπάτῃ περιέρχεται τὸν πατριάρχην, καὶ C προσελθὼν ἔφη πρὸς αὐτὸν "πολλὴ μὲν ὦ δέσποτα ἡ κατὰ σοῦ τῆς βασιλείας ἐπίθεσις, καὶ αἰτιάσεις ζητεῖ δυναμένας σε κατασπάσαι τοῦ θρόνου, πολλὰ δὲ μοχθῶν οὐχ εὑρίσκει· πῶς γὰρ ἂν τοῖ

10 ιδ'] δ' C 17 χοιρηνὸν C κατῖλος C

tes Romanam invaserunt dicionem; ac per Macedoniam Strymonem et Graeciam profecti, et obvia quaeque populati, Nicopolin tandem occuparunt, inque ea subsederunt. verum hi posteris temporibus variis bellis a Romanis subacti sunt. ea tempestate lapis quidam de fornice fori decidit, quem solebant cosmiten, id est mundanum, vocare, et interfecit 60 viros. terribile etiam incendium fuit proxime forum deiparae, quod rostra absumpsit usque ad locum cui Psiches nomen, id est micae. obiit etiam Christifer Caesar, 14 die Augusti, et sepultus est in monasterio patris sui.

At Tryphon cum tempus patriarchatus ei definitum exiisset, promissis stare et solio decedere cum nollet, quaesivit quo pacto criminibus intentatis in iudicium vocari et ecclesia exturbari posset. animi dubium et quo se verteret non habentem imperatorem, interimque fraudis et ludibrii impatientia moestum Theophanes Caesareae episcopus cernens, is quem et Choerinum vocabant, homo nugax, in se recepit conficiendae rei negotium. cumque imperator eius operam oblatam amplecteretur, Tryphonem astu circumveniendum ratus, sic compellat. "multa, domine, adversum te molitur imperator, et crimina conquirit ob quae te solio deiicere possit. quantumvis autem magno labore nihil consequi

ἀναιτίου αἰτίασις ἅψαιτο; ἓν δὲ προφέρουσιν αἴτιον οἱ σπουδασταὶ τῆς σῆς καθαιρέσεως, φάσκοντες μὴ ὅλως εἰδέναι σε γράμματα. εἰ οὖν τοῦτο ἀποτρέψασθαι δυνηθείημεν, λύκος πάντως χηνὼν φανήσονται οἱ κατὰ σοῦ μελετῶντες. εἴ τι οὖν μοι πείθῃ, ἐπὶ παρουσίᾳ πάσης τῆς συνόδου γράψας ἐν ἀγράφῳ χαρτίῳ τὸ σὸν ὄνομα καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα πέμψον τῷ βασιλεῖ, ὡς ἂν πληροφορηθῇ καὶ τῆς τοιαύτης ἐλπίδος ἐκπεσὼν ἀπόσχηται τοῦ κατὰ
D σοῦ μελετᾶν." ἔδοξε λυσιτελὴς ἡ παραίνεσις. εὐθὺς οὖν συνηθροίζετο σύνοδος, καὶ συναθροισθείσης φησὶ πρὸς αὐτὴν ὁ πατριάρχης "οἱ τοῦ θρόνου με καταγαγεῖν βουλόμενοι ἀδίκως, ὦ θεῖοι συλλειτουργοί, πολλὰς μηχανὰς κεκινηκότες ὥστε εὔλογον αἰτίαν εὑρεῖν καὶ δι' αὐτῆς με ἐξοστρακίσαι, οὐχ εὗρον. τελευταίαν οὖν μοι προσάπτουσιν αἰτίαν ταύτην· φασί με ἀγράμματον εἶναι. νῦν οὖν ἐπ' ὄψει πάντων ὑμῶν τάδε χαράσσω τὰ γράμματα, ἵν' ἰδόντες καὶ πληροφορηθέντες οἱ συκοφάνται ἀπόσχωνται τοῦ ἀδίκως μοι ἐνοχλεῖν." εἶπε, καὶ χάρτην ἄγραφον εἰληφὼς ἐπ' ὄψει
P 629 πάντων ὑπέγραψεν οὕτως "Τρύφων ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης." καὶ γράψας ἐκπέμπει διὰ τοῦ πρωτοθρόνου τῷ βασιλεῖ. ὅπερ λαβὼν ἐπὶ χεῖρας οὗτος, καὶ ἄγραφον ἕτερον χάρτην ἄνωθεν προσανυφάνας, παραίτησιν ἔγραψεν, ὡς ἀνάξιος ὢν ἐξίσταται τῷ βουλομένῳ τοῦ θρόνου. τῆς δὲ τοιαύτης παραιτήσεως προκομισθείσης ἐπὶ συνόδου κατάγεται τῆς ἐκκλησίας ὁ Τρύφων,

5 παρουσίας C 16 γραμματεῖον C 17 ἐλαίῳ C 21 ἐξίσταμαι C

tur: qui enim insontem criminetur? unum proferunt qui te depositum cupiunt, prorsus te esse literarum inscium. id crimen si amoliri queamus, utique lupi hiantes fuerint omnes qui tibi insidiantur. ergo si me audis, coram toto concilio in munda charta nomen tuum et pontificatus dignitatem scribe, eamque imperatori mitte, ut certo cognoscens spem istius criminis irritam esse, desinat ista contra te moliri." id consilium utile visum. statim ergo cogitur concilium, et patriarcha tum sic loquitur. "qui me iniuste pontificatu deiicere student, o divini collegae, multa frustra moliti ut probabilem aliquam mei pellendi causam invenirent, extremam hanc excogitarunt calumniam quod me rudem literarum dicunt. proinde iam in conspectu omnium vestrum has exaro literas, ut videntes sycophantae certoque convicti cessent mihi nullo iure negotium facessere." haec locutus chartam puram accepit, et omnibus cernentibus haec scripsit "Trypho dei miseratione archiepiscopus Cpolis, novae Romae, et patriarcha oecumenicus." et scriptum hoc praesidi, quem ipsi protothronum vocant, ad imperatorem ferendum dedit. quod is ubi accepit, superne chartam aliam puram attexit, in eaque resignationem perscribit, qua Trypho se tanto munere indignum cedere solium ei qui vellet profitebatur. ea resignatione in concilio prolata Trypho ecclesia

πολλὰ τὴν ἀπάτην ὀλοφυρόμενος καὶ τῷ πρωτοθρόνῳ ἐπιμεμφόμενος. καὶ μετὰ χρόνον ἕνα καὶ μῆνας πέντε (τοσοῦτον γὰρ ὁ τῆς ἡλικίας τοῦ Θεοφυλάκτου ἐνέδει χρόνος πρὸς τελειότητα καὶ χειροθεσίαν ἀρχιερωσύνης) Φεβρουαρίῳ, ἰνδικτιῶνος β', χειροτονεῖται πατριάρχης Θεοφύλακτος ὁ τοῦ βασιλέως υἱός. B

Βασίλειος δέ τις Μακεδών, Κωνσταντῖνον τὸν τοῦ Δούκα ἑαυτὸν ἐπιφημίσας, πολλοὺς ἐξαπατήσας πρὸς ἑαυτὸν ἐπεσπάσατο, καὶ περιπατῶν ἐκύκα καὶ συνετάραττε τὰς πόλεις καὶ πρὸς ἀποστασίαν ἐκίνει· συσχεθεὶς δὲ παρά τινος τουρμάρχου Ἐλεφαντίνου τὴν προσηγορίαν, καὶ ὡς βασιλέα ἀχθεὶς τῆς μιᾶς ἀλλοτριοῦται χειρός. εἶτα πάλιν, ὡς ἀφείθη, χεῖρα χαλκῆν ἑαυτῷ περιθεὶς καὶ σπάθην ὑπερμεγέθη κατασκευάσας περιενόστει τὸ Ὀψίκιον, τοὺς ἀφελεστέρους πλανῶν ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ τοῦ Δούκα. μεγάλην οὖν χεῖρα συναθροίσας ἀποστασίαν κινεῖ. C καὶ τὸ φρούριον κατασχὼν ὃ Πλατεῖα πέτρα κατονομάζεται, πᾶν εἶδος ἐν τούτῳ ἀπέθετο, ἀφ' οὗπερ ἐξορμώμενος ἐληλάτει τὰ παρατυχόντα καὶ ἐληΐζετο. πέμψας οὖν ὁ βασιλεὺς στρατὸν κατ' αὐτοῦ αὐτόν τε συλλαμβάνει καὶ τοὺς σὺν αὐτῷ. καὶ πολλὰ ἀνακρίνας μαθεῖν μή τινες εἶεν τῶν ἐν τέλει συνίστορες, τελευταῖον μηδὲν καίριον καταλαβών, ἐν τῷ λεγομένῳ Ἀμαστριανῷ πυρὶ τὸν τοιοῦτον παραδίδωσιν. ἄγεται δὲ καὶ γυναῖκα Στεφάνῳ τῷ υἱῷ ὁ βασιλεὺς Ῥωμανὸς Ἄνναν τὴν θυγατέρα τοῦ Γαβαλᾶ· ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ τὸ τῆς βασιλείας διάδημα αὐτῇ ἐπετίθετο.

6 δουκός, et sic semper, C   7 ἐπιφημίζων C   17 στρατὸν om C   20 καίριον] τέλειον C   τὸν τοιοῦτον] τοῦτον C

abductus est, multis fallaciam deplorans et praesidem culpans. post annum et menses quinque Theophylactus (hoc enim temporis ei adhuc ad legitimam manuum impositionem defuerat) mense Februario, indictione 2, patriarcha creatur.

Sub idem tempus Basilius quidam Macedo se Constantinum Ducae filium esse iactans multos deceptos sibi adsciscit, et hinc inde vagans per urbes tumultus concitat et ad defectionem movet. comprehensum hunc quidam Elephantinus turmae praefectus ad imperatorem perducit: is eum altera truncatum manu dimittit. dimissus aeream manum substituit abscissae, ingentemque accinctus ensem Opsicium peragrat, simplicioribus persuadens se esse Constantinum Ducam. ita magna manu contracta defectionem facit; et occupato castello cui latum saxum est nomen, eo omnis generis res reponit, eaque usus arce proxima quaeque depraedatur. imperator misso exercitu hunc cum suis capit; cumque diligentissime inquirendo an procerum aliquos facinoris habuisset conscios nihil deprehendisset, in Amastriano eum cremat. Romanus porro filio suo Stephano uxorem collocat Annam Gabalae filiam, simulque cum serto nuptiali Augustae coronam ei imponit.

D Ἐγένετο δὲ καὶ εἰσβολὴ Τούρκων κατὰ Ῥωμαίων, Ἀπριλλίῳ μηνί, ἰνδικτιῶνος ζ΄, καὶ κατέδραμον πᾶσαν τὴν δύσιν μέχρι τῆς πόλεως. ἀπεστάλη γοῦν ὁ πατρίκιος Θεοφάνης καὶ πρωτοβεστιάριος, καὶ ἀλλάγιον μετ' αὐτῶν ἐποιήσατο, μηδενὸς χρήματος φεισαμένου τοῦ βασιλέως εἰς τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν. ἐνυμφεύθη δὲ καὶ Κωνσταντίνῳ τῷ λοιπῷ υἱῷ τοῦ βασιλέως κόρη τις Ἑλένη τοὔνομα, ἐκ γένους τῶν Ἀρμενιακῶν ἕλκουσα τὴν σειράν, θυγάτηρ Ἀδριανοῦ πατρικίου· ἧς μετὰ μικρὸν ἀποθανούσης προσήρμοσεν αὐτῷ ἑτέραν, Θεοφανὼ τοὔνομα, ἐκ γένους καταγομένην τοῦ Μάμαντος. δεκάτῃ δὲ καὶ τετάρτῃ ἰνδικτιῶνι, Ἰουνίῳ μηνί, ἐπέλευσις κατὰ τῆς πόλεως ἐγένετο Ῥωσικοῦ στόλου πλοίων χιλιάδων δέκα. ἐξῆλθεν οὖν κατ' αὐτῶν ὁ πατρίκιος καὶ
P 630 πρωτοβεστιάριος Θεοφάνης μετὰ τοῦ στόλου, κἀν τῷ Ἱερῷ προσωρμίσατο, ἐκείνων ἐν τῷ Φάρῳ καὶ ἐν τῷ ἐπέκεινα αἰγιαλῷ ναυλοχούντων. καιροσκοπήσας οὖν ἀθρόον τούτοις ἐπέθετο, καὶ τήν τε σύνταξιν αὐτῶν διέλυσε καὶ πολλὰ τῶν πλοίων τῷ σκευαστῷ πυρὶ ἀπετέφρωσε, τὰ δὲ τελέως ἐτρέψατο. οἱ περιλειφθέντες δὲ τῶν Ῥὼς περαιοῦνται εἰς τὴν ἀνατολὴν καὶ κατὰ τὰ λεγόμενα Σγόρα προσίσχουσι. Βάρδας δὲ πατρίκιος, ὁ τοῦ Φωκᾶ υἱός, τοὺς αἰγιαλοὺς παρατρέχων μεθ' ἱππέων καὶ ἐκκρίτων ἀνδρῶν, συντάγματι τούτων ἱκανῷ πρὸς συλλογὴν ἐκπεμφθέντι τροφῆς συναντήσας ἐτρέψατο καὶ κατέσφαξεν. ἀλλὰ μὴν καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας, ὀξὺς ἐπιφανεὶς μετὰ τῶν ταγμάτων,
B καὶ ἀποσπάσας τούτους εὑρίσκων τῇδε κἀκεῖσε πλανωμένους, κα-

5 πρὸς C 8 θυγατέρα C 12 δέκα] ι΄ καὶ ς΄ margo P 17 δὲ] οὖν C

Mense Aprili, indictione 7, Turci facta impressione occidua omnia usque ad urbem populantur. missus patricius Theophanes protovestiarius cum iis pacem composuit, Romano ut captivos reciperet nulli rei parcente. nuptum quoque Constantino tertio Romani filio datur puella Helena, Adriani patricii filia, stirpis Armeniacae. et hac paulo post mortua, Theophano a Mamante genus ducens ei matrimonio iungitur. 14 indictione, Iunio mense, Rossica classis hostilis ad urbem appulit, navibus constans 10000. contra eam profectus cum classe Theophanes patricius protovestiarius ad Hierum appellit, hostium navibus ad Pharum eique vicinum litus subductis. opportunum autem tempus speculatus confertim in eos irruit; ordinibusque dissipatis multas naves artificioso igne combussit, reliquas profligat. Rossi superstites in Orientem traiiciunt. ibi Bardas patricius Phocae filius cum equitatu et delectis militibus litus pervagans in cohortem eorum satis numerosam ad alimenta colligenda emissam incidit, eamque fundit et trucidat. domesticus etiam scholarum Curcuas celeriter cum suis cohortibus supervenit Rossis, avulsosque a se invicem et hinc inde vagantes male multat. omni

κῶς διετίθει. ἃ δὲ οὗτοι ἔδρασαν κακὰ πρὸ τοῦ καταπολεμηθῆναι, πᾶσαν ὑπερεκπίπτει τραγῳδίαν· τοὺς μὲν γὰρ τῶν ἁλισκομένων ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπαττάλευον, τοὺς δὲ ὥσπερ σκοποὺς ἱστῶντες βέλεσι κατετόξευον. ὅσοι δὲ τῶν ἁλόντων ἱερωσύνης ἠξίωντο, τούτων ἥλοις ὀξέσι διεπείρονουν τὰς κεφαλάς. οὐκ ὀλίγους δὲ καὶ θείους ναοὺς ἐπυρπόλησαν. ἀλλὰ ταῦτα μὲν πρότερον· ἐπεὶ δέ, ὡς ἄνωθεν ἐρρέθη, καταναυμαχηθέντες καὶ διὰ γῆς οὐχ ἥκιστα κακωθέντες, συσταλέντες ἠρέμουν ἐν τοῖς σφετέροις πλοίοις, καὶ ἤδη αὐτοῖς ἐπιλελοίπει τὰ ἐπιτήδεια, ἐβουλεύοντο μὲν εἰς τὰ ἴδια ὑπονοστῆσαι, ἐδεδίεσαν δὲ τὸν C στόλον παραγειτονοῦντα καὶ τὸν ἀπόπλουν φυλάττοντα. καιρὸν δ' ὅμως τηρήσαντες καὶ σύνθημα δόντες καὶ τὰ πρυμνήσια λύσαντες ἀπέπλεον. οὐκ ἔλαθον δὲ τὸν πατρίκιον καὶ πρωτοβεστιάριον Θεοφάνην, ἀλλὰ γνοὺς οὗτος τὴν αὐτῶν ἀναχώρησιν ὑπαντιάζει τούτοις εὐθές, καὶ γίνεται ναυμαχία δευτέρα, καὶ τρέπονται πάλιν οἱ Ῥῶς. καὶ τὰ μὲν τῶν σκαφῶν βυθῷ παρεδόθη, τὰ δὲ σίδηρος καὶ πῦρ ἐμερίσαντο, τὰ δὲ αὔτανδρα ὑπὸ ταῖς τῶν Ῥωμαίων χερσὶν ἐγένοντο· ὀλίγα δὲ τὴν τοῦ πολέμου διαφυγόντα ἀνάγκην πρὸς τὰ οἰκεῖα ἐχώρησαν. ἀνθ' ὧν ὁ βασιλεὺς τὸν πρωτοβεστιάριον ἀποδεξάμενος καὶ παρακοιμώμενον αὐτὸν προεβάλετο.

Φθόνου δὲ κινηθέντος κατὰ τοῦ δομεστίκου τῶν σχολῶν D Ἰωάννου τοῦ Κουρκούα παρὰ τῶν ἄλλων βασιλέων (ἐβούλετο γὰρ Ῥωμανὸς ὁ βασιλεὺς Εὐφροσύνην τὴν τοῦ δομεστίκου θυγατέρα νύμφην ἀγαγέσθαι τῷ οἰκείῳ ἐκγόνῳ Ῥωμανῷ τῷ υἱῷ τοῦ ἐσχά-

16 παρεδύθησαν C 17 πολεμίων C 24 τῷ υἱῷ om C

tragoedia atrociora sunt quae Rossi, antequam fuere debellati, perpetraverunt flagitia. etenim captivorum alios in cruces egerunt, alios terrae affixerunt, alios pro scopo constituere inque eos sagittas direxerunt. quicunque captivorum sacerdotio praediti erant, eorum capita acutis clavis perforarunt. multa etiam templa incenderunt. verum ubi praelio navali, uti docuimus, victi et haud parvis cladibus in terra affecti fuerunt, intra suas se naves abdidere atque ibi continuere. deinde alimentis absumptis, cum domum vellent redire et sibi a Romana classe metuerent, quae ipsos in vicinia observabat, capta opportunitate signoque dato solverunt. neque tamen Theophanem fefellerunt, sed is cognito eorum discessu statim adversum se eis tulit. hoc secundo navali praelio rursum Rossi victi sunt. eorum naves aliae demersae, aliae ferro et igni pessumdatae, quaedam cum ipsis vectoribus in Romanorum potestatem venerunt: perpaucae e bello salvae domum redierunt. ob has victorias imperator protovestiarium probans primarium cubicularium facit.

Ioannem porro Curcuam domesticum scholarum imperator, quod eius filiam Euphrosynam nepoti suo Romano, Constantini natu filiorum mi-

του παιδὸς αὐτοῦ Κωνσταντίνου) ἠναγκάσθη τῆς ἀρχῆς αὐτὸν παραλῦσαι, ἐπὶ δυσὶ καὶ εἴκοσι χρόνοις καὶ μησὶν ἑπτὰ ἀδιαδόχως τὴν τοῦ δομεστίκου ἀρχὴν ἰθύνοντα, καὶ πᾶσαν ὡς εἰπεῖν τὴν Συρίαν καταδραμόντα καὶ ταπεινώσαντα. ὅτῳ δὲ βουλητὸν τὰς ἐκείνου μαθεῖν ἀριστείας, ζητησάτω τὴν πονηθεῖσαν βίβλον παρά τινος Μανουὴλ πρωτοσπαθαρίου καὶ κριτοῦ (ἐν ὀκτὼ γὰρ βίβλοις ἐκεῖνος τὰ τούτου ἀνδραγαθήματα συνεγράψατο), καὶ ἐξ αὐτῆς εἴσεται οἷος ἦν ὁ ἀνὴρ τὰ πολεμικά.

P 631 Παραπλησίως τούτῳ καὶ Θεόφιλος ὁ τούτου ὁμαίμων, ὁ πάππος Ἰωάννου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, τὰς ἐν Μεσοποταμίᾳ τῶν Σαρακηνῶν πόλεις διέθετο, στρατηγὸς ἐν αὐτῇ γεγονὼς καὶ ταπεινώσας καὶ τελέως ἀφανίσας τοὺς ἐκ τῆς Ἄγαρ. καὶ Ῥωμανὸς δὲ ὁ πατρίκιος, ὁ τοῦ δομεστίκου Ἰωάννου υἱός, στρατηγὸς καταστὰς πολλά τε φρούρια παρεστήσατο καὶ πλείστων λαφύρων αἴτιος ὑπῆρξε τοῖς Ῥωμαίοις. τοῦ Ἰωάννου δὲ παραλυθέντος τῆς ἀρχῆς, προβάλλεται δομέστικος τῶν σχολῶν ὁ Πανθήριος, ὁ τοῦ βασιλέως Ῥωμανοῦ συγγενής.

Ἱλασκόμενος δὲ τὸν θεὸν ὁ βασιλεὺς Ῥωμανὸς διὰ τὴν τῶν ὅρκων παράβασιν, καὶ μετανοῶν ἐφ' οἷς κακῶς παρεσπόνδησεν, B ἐποίει μὲν καὶ ἄλλας εὐποιίας, ἃς καταλέγειν ἔργον, ἀπέτισε δὲ καὶ τὰ χρέα τῆς πόλεως ἀπό τε πλουσίων καὶ πενήτων, δεδωκώς, ὥς φασι, κεντηνάρια δέκα ἐννέα, τὰ δὲ γραμματεῖα κατακαύσας ἐν τῷ κατὰ τὴν Χαλκῆν πορφυρῷ ὀμφαλίῳ. δέδωκε δὲ καὶ τὰ

12 ἐξαφανίσας C   13 ὁ post δὲ om C

nimi filio, uxorem facere volebat, eaque res odia Caesarum in Curcuam inflammasset, coactus est officio eo dimovere. gesserat id munus Curcuas continentibus 22 annis et 7 mensibus, universamque prope Syriam pervagatus subegerat. si quis praeclara eius facta scire desiderat, volumen a Manuelo quodam protospathario atque iudice compositum legat: is enim octo libris res a Curcua praeclare gestas descripsit. inde cognoscet quantus hic vir belli rebus fuerit.

Theophilus quoque frater eius, avus Ioannis eius qui postmodo imperio potitus est, Mesopotamiae praefectus, eodem modo Saracenorum in ea provincia urbes tractavit, oppressis atque adeo deletis Agarenis. et Romanus patricius, Ioannis domestici filius, exercitui praepositus, multa castella recepit et Romanis plurima spolia paravit. in locum Curcuae factus est scholarum domesticus Pantherius, Romani imperatoris cognatus.

Enimvero imperator Romanus poenitentia violatorum iuramentorum ac perfidiae correptus, ut deum placaret, cum alia multa bene fecit, quae recensere sit laboriosum, tum aes etiam alienum civium nomine dissolvit, divitum ac pauperum; in quam rem dicitur impendisse centenaria undeviginti, ac tabulas nominum combussit in purpureo qui est ad Chalcen umbilico. pretia quoque domorum pro conductoribus pe-

ἐνοίκια τῆς πόλεως ἀπὸ τοῦ ὑψηλοτάτου καὶ μέχρι τοῦ ἐσχάτου. ἃ δὲ διετυπώσατο γίνεσθαι ψυχικὰ ἐπετείως ἐν τῇ νεουργηθείσῃ παρ' αὐτοῦ μονῇ τοῦ Μυρελαίου, ἴσασι πάντες μέχρι τοῦ νῦν τελούμενα.

Κατὰ δὲ τὴν πρώτην ἰνδικτιῶνα τῶν Τούρκων πάλιν ἐπιδρομὴν ποιησαμένων κατὰ Ῥωμαίων, ὁ παρακοιμώμενος Θεοφάνης ἐξελθὼν ἐσπείσατο μετ' αὐτῶν καὶ λαβὼν ὁμήρους ὑπέστρεψε. δευτέρᾳ δὲ ἰνδικτιῶνι Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν C *Λαγγοβαρδίας ἐξέπεμψεν ὁ βασιλεὺς πρὸς τὸν ῥῆγα Φραγγίας Οὔγωνα, τὴν αὐτοῦ θυγατέρα ἐπιζητῶν νυμφευθῆναι τῷ τοῦ πορφυρογεννήτου υἱῷ Ῥωμανῷ· ἥτις καὶ ἀχθεῖσα μετὰ πλούτου πολλοῦ συνήφθη Ῥωμανῷ. συνεβίωσε δὲ μετ' αὐτοῦ ἔτη ε' καὶ ἀπέθανε. ἐγένετο δὲ καὶ βίαιος ἄνεμος μηνὶ Δεκεμβρίῳ· καὶ καταπεσόντες οἱ λεγόμενοι Δῆμοι συνέτριψαν τὰ κάτωθεν αὐτῶν βάθρα καὶ τὰ λεγόμενα στήθεα.*

Τῆς πόλεως δὲ Ἐδέσσης πολιορκουμένης παρὰ τῶν Ῥωμαϊκῶν δυνάμεων, στενοχωρηθέντες οἱ Ἐδεσσηνοὶ τοῖς ἐκ τῆς πολιορκίας δεινοῖς διεπρεσβεύσαντο πρὸς βασιλέα, αἰτούμενοι ἀπαναστῆναι τῆς προσεδρίας τὸν λαόν, καὶ ὑπισχνοῦντο ἀντίλυτρον D *δοῦναι τὸ τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον. λυθείσης οὖν τῆς πολιορκίας ἐδόθη τὸ θεῖον ἐκτύπωμα καὶ εἰς τὴν βασιλίδα ἤχθη, ὑποδεξαμένου τοῦτο τοῦ βασιλέως μετὰ λαμπρᾶς καὶ πρεπούσης δορυφορίας, καθὼς ἔμπροσθεν εἴπομεν.*

1 ὑψηλοτέρου C 22 καθὼς ἔμπροσθεν εἴπομεν] διὰ τοῦ παρακοιμωμένου Θεοφανίου, ὅτε καὶ φωνή τις ἐν τῷ ἀέρι ἠκούετο λέγουσα "ἀπόλαβε, Κωνσταντινούπολις, δόξαν καὶ χαράν, καὶ σύ, Κωνσταντῖνε πορφυρογέννητε, τὴν βασιλείαν σου." C

pendit, a maximo ad minimum. quae vero instituit ut pro animae salute fierent in Myrelaei monasterio, quod ipso auctore est conditum, ea in hunc usque diem peragi omnes norunt.

Prima indictione cum rursus Turci impressionem in Romanorum fines fecissent, Theophanes cubicularius egressus pacem cum iis composuit, acceptisque obsidibus rediit. indictione secunda, Paschalium protospatharium et Longibardiae praefectum ad Hugonem regem Franciae mittit Romanus, filiam eius petens in matrimonium Constantini Porphyrogeniti filio Romano, nepoti suo. quae et adducta est magnis cum opibus, et cum Romano exactis in coniugio annis quinque e vita migravit. mense Decembri violentus ventus exstitit; et corruentes qui vocantur Demi contriverunt eorum qui infra erant pectora atque pedes.

Cum eo tempore Edessa a Romanis oppugnaretur, oppidani pressi oppugnationis calamitatibus legatos ad imperatorem mittunt, orantes uti obsidionem solvat, ac polliciti pro eius rei praemio Christi sacram in linteo expressam effigiem. eamque impetrato quod volebant dederunt; et est in urbem allata, excipiente eam imperatore cum splendida pompa, sicut ante rettulimus.

Κατὰ ταύτας τὰς ἡμέρας ἐξ Ἀρμενίας ἐφοίτησε τέρας ἐν τῇ βασιλευούσῃ, παῖδες ἄρρενες συμφυεῖς ἐκ μιᾶς προελθόντες γαστρός. ἐξηλάθησαν δὲ τῆς πόλεως ὡς πονηρὸς οἰωνός. ἐπὶ δὲ Κωνσταντίνου πάλιν εἰσῆλθον. ἐπεὶ δὲ συνέβη τὸν ἕνα τελευτῆ- P 632 *σαι, ἐπειράθησαν οἱ ἐμπειρότεροι τῶν ἰατρῶν ἀποτεμεῖν τὸ νεκρωθὲν μέρος· οὗ τμηθέντος τὸ ζῶν ἐπιβεβιωκὸς μικρὸν ἐτελεύτησεν.*

Ὁ δὲ βασιλεὺς Ῥωμανὸς καὶ πάντας μὲν ἐτίμα τοὺς μοναχούς, διαφερόντως δὲ τὸν μοναχὸν Σέργιον τὸν ἀνεψιὸν Φωτίου τοῦ πατριάρχου, ἀρεταῖς ὄντα κατάκοσμον καὶ πᾶσι κοσμούμενον τοῖς καλοῖς, ὃς διὰ παντὸς παρῄνει τῷ βασιλεῖ τῶν παίδων ἐπιμελεῖσθαι καὶ μὴ ἀπαιδεύτους τούτους ἐᾶν, μή πως καὶ αὐτὸς πάθῃ τὸ τοῦ Ἠλεί. τῇ δὲ αὐτῇ ἰνδικτιῶνι κατήγαγον τὸν βασιλέα Ῥωμανὸν τοῦ παλατίου καὶ εἰς τὴν Πρώτην ἀγαγόντες νῆσον ἀπέκειραν μοναχόν. τίνες δὲ οἱ τοῦτον κατασπάσαντες τῆς ἀρχῆς, B *καὶ τίνα τρόπον, ἐν τοῖς ἐπαγομένοις λελέξεται.*

Κωνσταντίνου τοῦ βασιλέως ἐν κομιδῇ νέᾳ τῇ ἡλικίᾳ ἀπορφανισθέντος, καὶ τῶν πραγμάτων ὑπό τε τῆς μητρὸς αὐτοῦ Ζωῆς καὶ τῶν ἐπιτρόπων οὓς ἔμπροσθεν ἠριθμησάμεθα διοικουμένων, ὁ παρακοιμώμενος Κωνσταντῖνος μεγάλα παρὰ τῇ βασιλίδι δυνάμενος, ἐπ' ἀδελφῇ τε γαμβρὸν ἔχων τὸν μάγιστρον Λέοντα τὸν Φωκᾶν δομέστικον ὄντα τῶν σχολῶν τῆς ἀνατολῆς, καὶ παρὰ τοῦτο τὰς ἡνίας ἁπάσας τῆς βασιλείας ὅπῃ καὶ βούλοιτο περιφέρων, νύκτωρ καὶ μεθ' ἡμέραν ἐμελέτα εἰς τὸν ἑαυτοῦ γαμβρὸν

1 ἀρμενίων C 11 καλοῖς] ἀρεταῖς margo P 16 ἐπομένοις C

His ipsis diebus ex Armenia allatum est monstrum Cpolin, pueri masculi concreti, uterini. iique, ut infelix omen, urbe sunt eiecti. redierunt sub Constantino; et cum alter mortuus esset, peritiores medici cadaver a vivo resecuerunt: parum tamen diu alter supervixit.

Romanus imperator cum alios monachos in honore habuit, tum Sergium praecipue monachum, consobrinum Photii patriarchae, florentem virtutibus et omnibus ornatum bonis rebus. is Sergius identidem hortabatur imperatorem ut filios sub disciplina contineret, ne idem ipsi quod Eli eveniret. eadem indictione Romanus imperator palatio eductus est, et in Protam insulam relegato capillus rasus, monachique imposita condicio. a quibus et quo modo deturbatus imperio fuerit, iam nunc exponemus.

Constantinus imperator Leonis filius admodum puer amiserat patrem; et mater Zoe ac tutores, quos superius commemoravimus, omnium rerum administrationi praefuerant. eo rerum statu Constantinus cubicularius magnae apud Zoam potentiae, cuius sororem in matrimonio habebat Leo Phocas magister et scholarum domesticus orientalium, imperii habenas suo arbitratu torquens, dies noctesque cogitabat quo modo in Phocam sororis maritum Constantino sublato imperium trans-

τὴν βασιλείαν μετενεγκεῖν, τὸν Κωνσταντῖνον ἐκποδὼν ποιησάμενος. ὅπερ συννενοηκὼς ὁ τοῦ πορφυρογεννήτου παιδαγωγὸς Θεόδωρος, C ὡς ἄνωθεν εἴρηται, σπουδὴν ἔθετο τὸν πρεσβύτερον Ῥωμανὸν δρουγγάριον τηνικαῦτα τῶν πλωΐμων ὑπάρχοντα οἰκειώσασθαι καὶ τοῖς ἀνακτόροις εἰσαγαγεῖν ὡς τάχα φύλακα καὶ πρόμαχον τοῦ βασιλέως ἐσόμενον. οὑτοσὶ δ' ἀναχθεὶς καὶ ταῖς κατὰ μικρὸν ἀνόδοις τῆς πάσης δυναστείας γενόμενος ἐγκρατὴς οὐκ ἐνέμεινε τοῖς δοθεῖσιν, ἀλλὰ τοὺς δεδομένους ἀθετήσας ὅρκους (ἦν γὰρ φρικωδεστάταις ὁρκωμοσίαις ἑαυτὸν καταδεσμήσας μὴ ἄν ποτε βασιλείας ἔφεσιν ἐσχηκέναι) ἑαυτόν τε ἀνηγόρευσε βασιλέα, ἑκουσίως τοῦ πορφυρογεννήτου ἀέκοντί γε θυμῷ (τοῦτο δὴ τὸ Ὁμηρικὸν) περιθέντος αὐτῷ τὸ διάδημα, καὶ οὐ μόνον ἑαυτὸν D ἀλλ' ἤδη μετὰ μικρὸν καὶ Χριστοφόρον τὸν υἱόν. διαλιπὼν δ' ὀλίγον καὶ Στέφανον καὶ Κωνσταντῖνον ἀνηγόρευσε τοὺς υἱεῖς. βασιλεὺς δὲ ἀναρρηθεὶς οὐκ ἠγάπησε τῇ ἀναρρήσει, οὐδὲ τὴν δευτέραν χώραν ἔχειν ἠσμένισεν, ἀλλ' ἐκ μέσου τὸν παιδαγωγὸν θέμενος καὶ τοὺς λοιποὺς τοὺς ὅσοι ἐδόκουν προσίστασθαι, πρῶτός τε αὐτοκράτωρ ἀνευφημεῖτο καὶ τὴν πᾶσαν τῶν πραγμάτων διεκόσμει διοίκησιν. μετ' αὐτὸν δὲ ἀνηγορεύοντο οἱ υἱεῖς, καὶ τελευταῖος πάντων ὁ Κωνσταντῖνος. οὗτος τοίνυν ὁ Κωνσταντῖνος σχῆμα μόνον καὶ ὄνομα τῆς βασιλείας ἔχων, τῶν δὲ ἡδέων ταύτης ἐστερημένος, διὰ παντὸς ἐγλίχετο καὶ ἐπηύχετο τὴν πατρῴαν P 633 ἐπανασώσασθαι ἀρχήν, τοὺς ἐπεισάκτους ἐκποδὼν θέμενος. τοῦτο δὲ οὐκ ἄλλως ᾤετο ἀγαγεῖν εἰς ἔργον, εἰ μὴ τοὺς υἱοὺς ἐκπολεμώ-

3 πρεσβύτην C   14 υἱούς C

ferret. id cum sentiret Constantini paedagogus Theodorus, quod et supra narravimus, operam dederat ut seniorem Lacapenum, rei tum navalis drungarium, in aulam introduceret, eumque imperatori patronum defensoremque conciliaret. at vero in aulam receptus Romanus, et paulatim eo progressus ut summam rerum in sua haberet potestate, non contentus permissis, violato etiam iureiurando (nam se ipsum diris devoverat, si unquam imperium esset affectaturus) se ipsum imperatorem creaverat, Constantino ultro quidem sed animo invito, quod est apud Homerum, ei diadema imponente. neque hoc modo, sed et paulo post filium suum Christiferum et paulo post Stephanum ac Constantinum filios ad eandem evexerat designationem. ipse imperator declaratus, nequaquam contentus secundo loco, paedagogum et alios quos sibi fore putabat impedimento submoverat: primo loco se salutari imperatorem fecerat, et ad se omnium rerum administrationem transtulerat. proximi ab ipso filii, ultimo loco Constantinus Leonis filius imperator nuncupabatur, cui nihil praeter habitum et nomen imperatoris erat relictum, omnes fructus rei adempti. itaque Constantinus nunquam non paterni imperii recuperandi avidus et surrepticios elidere cupiens, tandem id se aliter conficere non posse animadvertit quam si filios contra patrem ex-

σει τῷ πατρί. ὁ μὲν οὖν Χριστοφόρος ἔφθασε τὸν βίον ἀπολιπεῖν, περιῆσαν δ' ἔτι Στέφανος καὶ Κωνσταντῖνος. τούτων ἐγνώκει ἀποπειραθῆναι, μή πως δυνηθῇ ἐκπληρῶσαι τὸ σπουδαζόμενον. καὶ τοῦ μὲν Κωνσταντίνου (ἦν γὰρ οὗτος στερεωτέρας φρενὸς) ἀποπειραθῆναι οὐκ ἐτόλμησε, τρέψαι δὲ τὴν πᾶσαν μηχανὴν καὶ ἀπόπειραν ἔκρινε πρὸς τὸν Στέφανον, κουφότερόν τε ὄντα τὸν λογισμὸν καὶ ῥᾳδίως μεταφερόμενον πρὸς ὅ τις καὶ βούλοιτο. λαμ- B βάνει πρὸς τοῦτο συλλήπτορα καὶ συνεργὸν εὐφυῆ τινὰ ἄνδρα καὶ δόλους πλέξαι καὶ μηχανορραφῆσαι δεινόν· Βασίλειος οὗτος ἐτύγχανεν, ὁ Πετεινὸς τὴν προσηγορίαν, ἐν τῷ τάγματι τῆς ἑταιρείας κατειλεγμένος, καὶ συνήθης καὶ φίλος ἐξέτι νέων ὑπάρχων τῷ Κωνσταντίνῳ. τοῦτον κοινωνὸν προσειλήφει τοῦ σκέμματος, καὶ δι' αὐτοῦ φίλον θέσθαι κατηπείχθη τὸν Στέφανον, λόγοις αἱμυλίοις ὑποκλαπέντα καὶ ἀπάταις καὶ μηχαναῖς παρενηνεγμένον τοῦ λογισμοῦ. πάντα γὰρ τρόπον σπουδάσας ὁ Πετεινὸς τῷ Στεφάνῳ φιλιωθῆναι, ἐπειδὴ πεφιλίωτο, προσῄει τε συνεχῶς, καὶ λόγους ἐκίνει καὶ προσῆγε συμβουλὰς ὑποκνιζούσας αὐτὸν καὶ κατὰ C μικρὸν ἀπαγούσας τοῦ λογισμοῦ, "ἵνα τί" λέγων, "ὦ βασιλεῦ, νέος ὢν ἰσχύϊ τε ῥωμαλέος, καὶ ψυχῆς γενναιότητι ὑπερφέρων καὶ φρονήσει πεπυκνωμένος, τὰ πράγματα παρορᾷς ἀπὸ λεπτοῦ καὶ *παλαιοῦ καὶ διερρωγότος μίτου" τὸν αὐτοῦ πατέρα ὑπαινιττόμενος "ἐξαρτώμενα, καὶ οὐ διανίστασαι, καὶ τοῦτον μὲν ὡς ἐμπόδιον ταῖς σαῖς γενναιοτάταις ὁρμαῖς ἐκποδὼν ποιεῖς, αὐτὸς δὲ τῶν πραγμάτων ἀντιλαμβάνῃ, δυνάμενος οὐχ ὅπως τὴν Ῥωμαίων

18 νοῦ C   22 ἐξαρτώμενα om C

citaret. iam in fata concesserat Christifer, et supererant Stephanus atque Constantinus. quorum hunc ut animi firmiorem solicitare non ausus, ut institutum conficeret, omnia sua consilia ac studia ad Stephanum corrumpendum confert, vaniorem scilicet et in quas quis vellet partes mutabiliorem. eam ad rem socium capit atque administrum Basilium cognomento Volucrem, hominem prompti ingenii et machinandarum fallaciarum apprime callidum, tunc in cohortem sodalitatis allectum, et qui a puero Constantino fuerat notus atque familiaris. per hunc sibi Stephanum quam primum amicum facere studet, blandis deceptum sermonibus et fraudibus a recta abductum ratione. proinde Basilius, cum omni hoc confecisset conatu ut inter familiares haberetur Stephani, crebro ad eum ventitare, sermonibusque ac consiliis hominem titillantibus coepit a sana mente paulatim dimovere, et in hanc fere compellare sententiam, cur tandem imperator iuvenis ac robore et animi viribus praestans, munitusque prudentia, pateretur summam rerum a vetere et iam rupto filo (sic patrem Stephani notabat) pendere? cur non sese proferret, et patre suis generosissimis obsistente conatibus summoto ipse rem publicam capesseret? cum quidem non Romano tantum sed et com-

βασιλείαν μόνην ἀλλὰ καὶ πολλὰς ὁμοῦ κυβερνᾶν; ἄγε δή, πείσθητί μοι τὰ λυσιτελῆ συμβουλεύοντι, καὶ διαναστὰς ἀντισχέσθαι θέλησον τῶν πραγμάτων, καὶ τὰ μὲν Ῥωμαίων ἀναθηλῆσαι παρασκεύασον, τὰ δὲ τῶν ἐχθρῶν ταπείνωσον, καὶ δεῖξον ἔργοις αὐτοῖς ὡς οὐ διὰ κενῆς οὐδὲ μάτην ἡ ἐπανθοῦσά σοι ὥρα καὶ τὰ λοιπὰ τῆς D ψυχῆς ἐκ θεοῦ σοι δεδώρηνται προτερήματα. ἕξεις δὲ εἰς τοῦτο συναγωνιστὴν καὶ συλλήπτορα καὶ τὸν σὸν γαμβρὸν τὸν πορφυρογέννητον, λίαν θεοκλυτοῦντα καὶ ἱμειρόμενον τῆς τοῦ σοῦ πατρὸς ἐλευθερωθῆναι βαρύτητος καὶ παρὰ σοῦ κατόψεσθαι τὴν βασιλείαν κυβερνωμένην." τούτοις ὑποσυρεὶς τοῖς λόγοις ὁ Στέφανος κατεσχέθη τε τῇ τῆς αὐτοκρατορίας ἐπιθυμίᾳ καὶ ἄσχετον ὄρεξιν ἀνεδέξατο τοῦ καταγαγεῖν τὸν ἑαυτοῦ πατέρα τῆς βασιλείας. μέλλων δὲ ἐγχειρεῖν τοῖς δοχθεῖσι καὶ λόγους αἰνιττομένους τὸ σπουδαζόμενον ὑποσπείρει τῷ ἀδελφῷ. ἐπεὶ δ' οὗτος καὶ πρὸς τὴν πρώτην ἀκοὴν ἄτεγκτος ἦν, καὶ παρῄνει μᾶλλον μὴ θαρρεῖν τῷ γαμβρῷ, ἀλλὰ τῆς πατρῴας ἐνουθέτει ἐξέχεσθαι πίστεως καὶ φιλίας, τοῦτον μὲν παρῆκεν ὡς ἐμπόδιον μᾶλλον, ἀλλ' οὐ συνεργὸν P 634 ἐσόμενον, αὐτὸς δ' ᾠήθη ὡς ἀνυστὸν ἐγχειρῆσαι τοῖς δεδογμένοις. προσεταιρισάμενος οὖν σὺν τῷ ῥηθέντι Βασιλείῳ καὶ τὸν μοναχὸν Μαριανὸν τὸν υἱὸν Λέοντος τοῦ Ἀργυροῦ, ὑπὸ τοῦ βασιλέως Ῥωμανοῦ λίαν καὶ τιμώμενον καὶ πιστευόμενον, καί τινας ἄλλους σὺν αὐτοῖς, εὐκαιρήσας κατασπᾷ τὸν αὐτοῦ πατέρα τῆς ἀρχῆς, μηνὶ Δεκεμβρίῳ ιϛ', ἰνδικτιῶνος γ', ἔτους ,ϛυνγ', κϛ' ἀνύοντα ἐν τῇ βασιλείᾳ ἐνιαυτόν, καὶ τῇ νήσῳ Πρώτῃ περιορίζει,

14 ὑποσκείρων C

pluribus gubernandis imperiis sufficeret. obtemperaret amico bene monenti, et ad res gerendas prodiret. pristinum florem rebus Romanis recuperaret, et hostes opprimeret; ostenderetque re ipsa divinitus non ad irritum in se tam praestantia animi corporisque dona esse collocata. usurum ad haec adiutore et socio Constantino sororis marito, nihil aliud in votis habente quam ut soceri exoneratus morositate ab ipso videat gubernari imperium. his verbis illectus Stephanus cupiditate imperii totus occupatur, suique patris deponendi infraenem animo concipit libidinem. rem itaque aggressurus fratri rem per ambages significat. quem cum primo auditu prorsus ab hoc instituto alienum esse videret, hortarique ut in fide potius patris quam in sororis mariti amicitia acquiesceret, omisso eo, ut quem sibi impedimento potius quam auxilio fore iudicaret, ipse quantum res omnino ferret, exsequi suam sententiam intendit. ergo in societatem adscito, praeter Basilium, monacho etiam Mariano, filio Leonis Argyri, a Romano imperatore quam maxime dilecto, et nonnullis aliis, nactus opportunitatem imperio patrem deiicit, die mensis Decembris 16, indictione 3, anno 6453, annum iam 26 imperantem; ac in

ἀποκείρας καὶ ἄκοντα τοῦτον μοναχόν. κατενεχθέντος οὖν τοῦ Ῥωμανοῦ εὐθέως ὁ Στέφανος γενναιοτέρως ἥπτετο τῶν πραγμά-
B των, κοινοπραγμονοῦντα ἔχων τόν τε γαμβρὸν καὶ τὸν ἀδελφόν.

Ἐπεὶ δὲ μὴ ἐν πᾶσιν ὁμοίως ἠρέσκοντο, ἀλλ' ἔσθ' ὅπῃ καὶ διεφώνουν, ἀρχὴ προσκρουμάτων ἐκ ταύτης τῆς αἰτίας ἐφύετο, καὶ ὑπώπτευον ἀλλήλους καὶ ὑφωρῶντο, τὸν μὲν πορφυρογέννητον ὁ Στέφανος, ἐκεῖνον δὲ αὖθις ὁ πορφυρογέννητος, καὶ κατ' ἀλλήλων ἕκαστος ἐμελέτα. καὶ σπουδὴν μὲν ὁ Στέφανος καὶ ἀγῶνα οὐ τὸν τυχόντα κατεβάλλετο εἰς τὸ καταγαγεῖν τὸν ἀδελφὸν καὶ τὸν γαμβρὸν καὶ μόναρχος ὑπολειφθῆναι τοῖς πράγμασιν· ἀλλ' ἐπεὶ κατὰ τὸν ποιητὴν εἰσὶ καὶ ἄλλα πυρὸς θερμότερα, ἔλαθε παθὼν μᾶλλον ἢ δράσας, τοῦ Κωνσταντίνου, ἐπείπερ ᾔσθετο
C ἐπιβουλευόμενος, ἀναβολὴν μὴ δεδωκότος τῇ ἐγχειρήσει, πολλὰ καὶ τῆς γυναικὸς αὐτοῦ Ἑλένης ἐρεθισάσης αὐτὸν πρὸς τὸ καταγαγεῖν τῆς βασιλείας τοὺς ἀδελφούς. ἐκφήνας οὖν τὸ μυστήριον τῷ εἰρημένῳ Βασιλείῳ τῷ Πετεινῷ, καὶ δι' αὐτοῦ προσκτησάμενος τὸν Μαριανόν, ἔτι δὲ Νικηφόρον καὶ Λέοντα τοὺς υἱοὺς Βάρδα τοῦ Φωκᾶ, Νικόλαόν τε καὶ Λέοντα τοὺς Τορνικίους καὶ ἄλλους οὐκ ὀλίγους, μηδὲν ὑφορωμένους τὸν Στέφανον καὶ τὸν Κωνσταντῖνον, κατ' αὐτὸν τὸν καιρὸν τοῦ ἀρίστου συναριστῶντας αὐτῷ,
D ἀναρπάστους τίθησι καὶ καταβιβάζει τῶν βασιλείων, τῇ κζ' τοῦ Ἰανουαρίου μηνὸς τῆς αὐτῆς γ' ἰνδικτιῶνος, καὶ πλοιαρίοις ἐνθέμενος ὑπερορίζει τὸν μὲν ἐν τῇ Πανόρμῳ νήσῳ, τὸν Κωνσταντῖ-

2 γενναιότερον C 3 κοινοπραγοῦντα C 7 καὶ — 8 ἐμελέτα om C 14 εἰς C 17 υἱεῖς C 20 συναριστοῦντας C 22 πλοίοις C

Protam insulam relegato vel invito caput radit et monachi vitam imponit. exinde Stephanus maiori studio rebus administrandis se dedit, collegis marito sororis et fratre.

Quia vero non eadem omnibus probabantur, ex dissensionibus simultates inter eos atque offensae exstiterunt; suspectusque porphyrogenitus Stephano esse atque hic illi coeperunt, alterque de altero submovendo cogitare. sane haud mediocri cura atque conatu in id incubuit Stephanus, ut collegis imperio erepto solus summam rerum teneret. sed quemadmodum poeta ait esse quaedam alia igni calidiora, ita is quoque non tam intulit quam passus est damnum, Constantino, ubi insidias sibi strui sensit, spatium rei gerendae non concedente, multis etiam Helena uxore hunc ad fratres deiiciendos instigante. itaque arcano consilio communicato cum Basilio Peteino seu Volucri isto, et eius opera adscito in societatem Mariano, itemque Nicephoro et Leone filiis Bardae Phocae, ac Nicolao et Leone Torniciis aliisque haud paucis, Stephanum eiusque fratrem Constantinum secum prandentes sub ipso prandio corripi iubet palatioque extrahi, 27 die Ianuarii, indictione eadem, navibusque impositos relegat Stephanum in Panormum insulam, Con-

νον δὲ ἐν τῇ Τερεβίνθῳ. καὶ διὰ Βασιλείου τοῦ Καισαρείας καὶ Ἀναστασίου τοῦ Ἡρακλείας καὶ ἄμφω κληρικοὺς ἀποκείρει, μεταστήσας οὐκ εἰς μακρὰν τὸν μὲν Στέφανον ἐν Προικοννήσῳ, εἶτα ἐν Ῥόδῳ καὶ τελευταῖον ἐν Μιτυλήνῃ, τὸν δὲ Κωνσταντῖνον ἐν Σαμοθρᾴκῃ. ἀλλ' ὁ μὲν Στέφανος μεγαλοφυῶς καὶ μεγαλοψύχως τὰς ἐπενεχθείσας αὐτῷ φέρων τύχας διετέλεσεν ἐπὶ ἔτη ιθ' βιοτεύων ἐν τῇ Λέσβῳ· ὁ Κωνσταντῖνος δὲ ὀλιγώρως διατεθεὶς καὶ θερμότερον τοῦ δέοντος κατεξανιστάμενος καὶ πολλάκις ἐπιχειρήσας φυγεῖν, μετὰ δεύτερον χρόνον τοῦ τῆς βασιλείας ἐκπεσεῖν τὸν φυλάττοντα τοῦτον δολοφονήσας ὑπὸ τῶν περιλοίπων καὶ αὐτὸς ἀποσφάττεται.

Μηνὶ δὲ Ἰουλίῳ τῆς ς' ἰνδικτιῶνος καὶ Ῥωμανὸς ὁ τούτων P 635 πατὴρ ἀπέτισε τὸ χρεών, καὶ ἐν τῷ Μυρελαίῳ θάπτεται. ὁ δὲ πορφυρογέννητος τὰ ὕποπτα περιελὼν ἐκ μέσου, καὶ μόνος τὴν αὐτοκράτορα περιζωσάμενος ἀρχήν, κατὰ τὸ θεῖον πάσχα τῆς αὐτῆς ἰνδικτιῶνος καὶ τῷ υἱῷ Ῥωμανῷ περιτίθησι τὸ διάδημα, τελέσαντος δὴ τὰς εὐχὰς Θεοφυλάκτου τοῦ πατριάρχου. δοκῶν δέ τις γενναῖος ἀναφανῆναι καὶ τῶν τῇ βασιλείᾳ διαφερόντων ἐπιμελέστερον ἀντιλήψεσθαι, εἰ μόνος κατάρξοι, μαλακώτερος ὤφθη τῆς ὑπολήψεως, μηδὲν ἄξιον τῆς εἰς αὐτὸν προσδοκίας ἐπιδειξάμενος. οἴνου τε γὰρ ἥττητο, καὶ τῶν ἐπιπόνων τὰ ῥᾷστα προέκρινε, δυσπαραίτητός τε ἦν ἐν τοῖς πταίσμασι καὶ ἀσυμπαθὴς B κολαστής, ἀδιάφορός τε πρὸς τὰς προβολὰς τῶν ἀρχηγῶν, οὐκ

6 ἐνεχθείσας C   10 ἐπιλοίπων C   15 περιεζωσμένος C
19 κατάρξει P   23 περὶ C   ἀρχόντων C

stantinum in Terebinthum; ac opera Basilii Caesareae et Anastasii Heracleae episcopi rasos clericos facit. paulo post transfert Stephanum Proconnesum, inde Rhodum ac tandem Mitylenam, Constantinum in Samothraciam. ac Stephanus quidem fortunam suam generose ac magno animo ferens annos 19 in Lesbo vitam egit. Constantinus autem animo parum constans et audacius quam par erat insurgens, saepiusque fugam molitus, anno post amissum imperium secundo, custodem suum cum dolo necasset, a reliquis custodibus ipse quoque est interfectus.

Mense Iulio sextae indictionis Romanus eorum pater debitum naturae persolvit, et est in Myrelaeo sepultus. proinde Constantinus Porphyrogenitus omnibus quae suspecta erant submotis, et solus iam imperans, festo paschatis die Romano filio suo diadema imponit, vota faciente Theophylacto patriarcha. equidem initio egregiam ostenderat indolem Constantinus; existimatumque fuerat eum, si solus rerum potiretur, praeclare imperii res curaturum: sed fefellit exspectationem, neque ea dignum se gessit. quippe vino deditus laboriosis rebus relictis ignaviae studebat, delicta autem aliorum durus sine ulla miseratione puniebat. in magistratibus quoque creandis non optimum quemque de-

ἀριστίνδην ταύτας ἰθύνεσθαι καὶ κατ' ἐπιλογὴν ἐθέλων, ὅπερ ἔργον ἐστὶ μεγαλοπρεποῦς ἐξουσίας, ἀλλὰ τῷ παρατυχόντι ἀρχὴν ἐμπιστεύων, στρατηγίαν τυχὸν ἢ πολιταρχίαν, ἀδοκιμάστως, ὡς ἐκ τούτου συμβῆναι πάντα τινὰ χυδαῖον καὶ διαβεβλημένον εἰς τὰς μεγίστας τῶν πολιτικῶν ἀρχῶν προχειρίζεσθαι, πολλὰ πρὸς τοῦτο συνεργούσης καὶ Ἑλένης τῆς αὐτοῦ γαμετῆς καὶ Βασιλείου τοῦ παρακοιμωμένου, ὠνίους τὰς ἀρχὰς ποιεῖν παρασκευαζόντων.

C Οὐ παντάπασι δὲ ἄμοιρος ἦν καὶ πράξεων ἀγαθῶν ὁ Κωνσταντῖνος. ἡ γὰρ ῥηθῆναι μέλλουσα ἀξιάγαστος οὖσα καὶ θαυμαστὴ ἐπισκιάσαι ἴσχυσε καὶ ἀμαυρῶσαι πολλὰ τῶν αὐτοῦ ἐλαττωμάτων. τὰς γὰρ ἐπιστήμας, ἀριθμητικὴν μουσικὴν ἀστρονομίαν γεωμετρίαν στερεομετρίαν καὶ τὴν ἐν πάσαις ἔποχον φιλοσοφίαν, ἐκ μακροῦ χρόνου ἀμελείᾳ καὶ ἀμαθίᾳ τῶν κρατούντων ἀπολωλυίας οἰκείᾳ σπουδῇ ἀνεκτήσατο, τοὺς ἐφ' ἑκάστῃ τούτων ἀρίστους τε καὶ δοκίμους ἀναζητήσας καὶ εὑρὼν καὶ διδασκάλους ἐπιστήσας, καὶ τοὺς σπουδαίους ἀποδεχόμενός τε καὶ συγκροτῶν. διὸ καὶ τὴν ἀλογίαν ἀπελάσας οὐκ ἐν μακρῷ τῷ χρόνῳ ἐπὶ τὸ λο-
D γικώτερον μετερρύθμισε τὸ πολίτευμα. ἐπεμελήθη δὲ καὶ τῶν βαναύσων καὶ χειρωνάκτων τεχνῶν, καὶ εἰς ἐπίδοσιν μεγάλην καὶ ταύτας ἀνήνεγκεν. ἦν δὲ καὶ τὰ πρὸς θεὸν εὐσεβὴς καὶ φιλότιμος, μηδέποτε ἐν ταῖς πρὸς θεὸν τυπικαῖς τῶν θείων ναῶν προσελεύσεσι κενὸς καὶ ἄκαρπος ὀφθεὶς τῷ θεῷ, ἀλλ' ἀναθήμασι δωρούμενος μεγαλοπρεπέσι καὶ φιλοχρίστῳ βασιλεῖ πρέπουσιν. ἠμεί-

12 πᾶσιν P   13 ἀμαθίᾳ καὶ ἀμελείᾳ C   14 ἀνεσώσατο C

ligebat, quod dignum fuisset magnifica potestate: sed promiscue et sine ullo examine exercitus ducendi aut urbis gubernandae munus proximo cuique committebat; quo factum est ut multi plebeii aut culpatae vitae homines summos in re publica gererent honores. ad quam rem multum conferebant Helena Augusta et Basilius cubiculariorum intimus, qui id agebant ut venales essent magistratus.

Neque tamen prorsus omnis praeclari facinoris expers fuit Constantinus: unum enim referam dignum profecto admiratione, et quod multa eius peccata obscurare possit. scientias enim, arithmeticam musicam astronomiam geometriam et omnium principem philosophiam, quae iam longo tempore ob incuriam et inscitiam imperatorum perierunt, sua industria instauravit, conquisitis qui in quovis genere excellerent, ac constitutis doctoribus, studiosisque receptis et conductis. quo factum est ut exigui temporis decursu barbarie profligata urbs literis floruerit. sedentarias etiam atque opificum artes curae habuit, magnumque iis incrementum attulit. pius erga deum fuit ac liberalis, ut qui nunquam in processibus ad fana legibus ecclesiasticis factis sine fructu et munere in conspectum dei venerit, sed donaria quovis tempore obtulerit magnifica et Christi amantem imperatorem decentia. gratiam quoque rettulit

ψατο δὲ καὶ τοὺς συνεργήσαντας αὐτῷ πρὸς τὴν τῶν γυναικαδέλφων καθαίρεσιν ταῖσδε ταῖς εὐεργεσίαις, Βάρδαν μὲν τὸν Φωκᾶν μάγιστρον τιμήσας καὶ δομέστικον τῶν σχολῶν τῆς ἀνατολῆς, Νικηφόρον δὲ καὶ Λέοντα τοὺς τούτου υἱούς, τὸν μὲν τῶν ἀνατολικῶν στρατηγόν, τὸν Νικηφόρον, τὸν δὲ τῆς Καππαδοκίας, τὸν Λέοντα, προχειρισάμενος, καὶ Κωνσταντῖνον θάτερον τῶν υἱῶν τῆς Σελευκείας, Βασίλειον δὲ τὸν Πετεινὸν ἔξαρχον τῆς μεγάλης ἑταιρείας, Μαριανὸν δὲ τὸν Ἀργυρὸν κόμητα τοῦ στάβλου καὶ P 636
τὸν Κουρτίκην Μανουὴλ τῆς βίγλας δρουγγάριον. ἐξευνούχισε δὲ καὶ Ῥωμανὸν τὸν τοῦ Στεφάνου υἱόν, τὸν μετέπειτα σεβαστοφόρον γενόμενον, ἔτι δὲ καὶ Βασίλειον τὸν ἐκ δούλης ἀποτεχθέντα Ῥωμανῷ τῷ γέροντι· Μιχαὴλ δὲ τὸν υἱὸν Χριστοφόρου τοῦ βασιλέως ἀπέκειρε κληρικόν.

Ἀδαμαντίνοις δ', ὡς ᾤετο, δεσμοῖς τὴν βασιλείαν ἀσφαλισάμενος καὶ πᾶσαν ὑποψίαν ἀποσεισάμενος, καὶ δόξας ἐν τῷ ἀσφαλεῖ καθεστάναι, μικροῦ δεῖν ἐκινδύνευσε δυσὶ μεγίσταις ἐπιβουλαῖς περιπεσών. Θεοφάνης τε γὰρ ὁ παρακοιμώμενος ἐβουλήθη τὸν πρεσβύτην Ῥωμανὸν ἐκ τῆς νήσου Πρώτης εἰς τὸ παλά- B
τιον ἀγαγεῖν, καὶ ἄλλους οὐκ ὀλίγους ἔχων συνίστορας· καί τινες δὲ ἕτεροι, ἤτοι Λέων ὁ Κλάδων, Γρηγόριος ὁ Μακεδὼν καὶ Θεοδόσιος ὁ πρῶτος τῶν τοῦ Στεφάνου ἱπποκόμων καὶ Ἰωάννης ὁ ῥαίκτωρ, τὸν Στέφανον ἐβουλεύσαντο ἐκ Μιτυλήνης ἀγαγεῖν καὶ τῇ βασιλείᾳ ἐγκαθιδρῦσαι. ἀλλ' ὑπό τινων συνωμοτῶν μηνυθέντων τῶν βουλευμάτων ὁ μὲν Θεοφάνης ἐξωρίσθη σὺν τοῖς αὐ-

2 ταῖσδε ταῖς εὐεργεσίαις om C   4 υἱεῖς C   18 πρεσβύτερον C

iis a quibus in deturbandis imperio uxoris fratribus adiutus fuerat. nam Bardam Phocam magistri honore dignatus domesticum scholarum Orientis constituit, Nicephorum et Leonem eius filios, hunc Cappadociae illum Orientalium ducem creavit, et Constantinum tertium eius filium Seleuciae praefecit, Basilium Volucrem magnae sodalitati praeposuit; Marianum Argyrum comitem stabuli, Manuelum Curticem vigiliae designavit drungarium; Romanum Stephani filium castravit, eum qui postea Augustifer factus est, itemque Basilium, Romano seni e serva natum; et Michaelum Christiferi Caesaris filium clericum fecit.

Cum autem videretur imperium adamantinis vinculis muniisse et omnia suspecta amolitus in tuto consistere, pene in summum venit discrimen, duplicibus petitus insidiis. nam et Theophanes cubicularius de Romano ex insula Prota in palatium reducendo consilia tractavit, multis etiam aliis consciis. et alii quidam, nempe Leo Clado, Gregorius Macedo, Theodosius Stephani protostrator, et Ioannes rector, Stephanum Mitylena revocare et imperium ei restituere moliti sunt. quae consilia cum essent a quibusdam coniurationum popularibus detecta, Theophanes

τοῦ συνεργοῖς, οἱ δὲ τοῦ Στεφάνου ἀντιποιούμενοι τυφθέντες καὶ δημευθέντες καὶ τὰς ῥῖνας τμηθέντες ἐξωρίσθησαν.

C Οὐ διέλιπον δὲ καὶ οἱ Τοῦρκοι εἰσβολὰς εἰς τὴν Ῥωμαίων ποιούμενοι καὶ ταύτην δῃοῦντες, μέχρις οὗ Βουλοσουδὴς ὁ τούτων ἀρχηγὸς τὴν τῶν Χριστιανῶν πίστιν ἀσπάζεσθαι ὑποκριθεὶς κατειλήφει τὴν Κωνσταντίνου· καὶ βαπτισθεὶς ὑπὸ τοῦ βασιλέως ἀναδέχεται Κωνσταντίνου, τῇ τῶν πατρικίων ἀξίᾳ τιμηθεὶς καὶ πλείστων χρημάτων ὑπάρξας κύριος, εἶτ' αὖθις οἴκαδε ὑποστρέψας. μετ' οὐ πολὺ δὲ καὶ Γυλᾶς, ἄρχων ὢν καὶ αὐτὸς τῶν Τούρκων, εἴσεισιν εἰς τὴν βασιλίδα καὶ βαπτίζεται, τῶν ἴσων ἀξιωθεὶς καὶ αὐτὸς εὐεργεσιῶν καὶ τιμῶν. ἀνελάβετο δὲ μεθ' ἑαυτοῦ καί τινα μοναχὸν Ἱερόθεον τοὔνομα, δόξαν εὐλαβείας ἔχοντα, ἐπίσκοπον Τουρκίας παρὰ τοῦ Θεοφυλάκτου χειροτονηθέντα, D ὃς ἐκεῖσε γενόμενος πολλοὺς ἀπὸ τῆς βαρβαρικῆς πλάνης εἰς τὸν χριστιανισμὸν ἐπανήγαγεν. ἀλλ' ὁ μὲν Γυλᾶς ἐνέμεινε τῇ πίστει, μήτ' αὐτὸς ἔφοδόν ποτε κατὰ Ῥωμαίων πεποιηκώς, μήτε τοὺς ἁλισκομένους Χριστιανοὺς ἀτημελήτους ἐῶν, ἀλλ' ἐξωνούμενος καὶ ἐπιμελείας ἀξιῶν καὶ ἐλευθερῶν. Βουλοσουδὴς δὲ τὰς πρὸς θεὸν συνθήκας ἠθετηκὼς πολλάκις σὺν παντὶ τῷ ἔθνει κατὰ Ῥωμαίων ἐξήλασε. τὸ δ' αὐτὸ τοῦτο καὶ κατὰ Φράγγων ποιῆσαι διανοηθεὶς καὶ ἁλοὺς ἀνεσκολοπίσθη ὑπὸ Ἰωάννου τοῦ βασιλέως αὐτῶν.

4 ταῦτα C Βουλογούδης margo P 9 καὶ αὐτὸς om C 13 ἐπίσκ. — χειροτονηθέντα om C 16 ποτε om C 20 τὸ αὐτὸ δὲ C 21 Ἰωάννου] ἄτου C

cum suis sociis est relegatus: qui vero Stephani negotium susceperant, verberati sunt, bona eorum publicata, et naribus praecisis in exilium acti.

Ceterum Turci non ante finem fecerunt in Romanas diciones grassandi, quam Bulosudes eorum princeps fidem se amplecti Christianam simulans Cpolin venit, baptizatusque ibi a Constantino est exceptus, ab eoque patricii dignitate et magnis donis ornatus ditatusque domum rediit. non multo post Gylas, ipse quoque Turcicus princeps, eodem se eiusdem rei causa confert; baptizatusque et eodem quo prior modo tractatus monachum secum abduxit Hierotheum, pietatis fama celebrem, quem Turciae episcopum Theophylactus patriarcha designavit. isque ut in Turciam venit, multos a barbarica fraude ad Christianam religionem traduxit. ac Gylas quidem in fide permansit; et neque ipse in Romanos impressiones fecit, et captivos Christianos emens curavit, libertatemque iis reddidit. Bulosudes autem pactis quae cum deo inierat rescissis, saepe cum omnibus suis in Romanos expeditionem suscepit. quod idem contra Francos tentans captus et ab eorum rege Ioanne in palum suffixus est.

Καὶ ἡ τοῦ ποτὲ κατὰ Ῥωμαίων ἐκπλεύσαντος ἄρχοντος τῶν Ῥὼς γαμετή, Ἔλγα τοὔνομα, τοῦ ἀνδρὸς αὐτῆς ἀποθανόντος παρεγένετο ἐν Κωνσταντινουπόλει. καὶ βαπτισθεῖσα καὶ προαίρεσιν εἰλικρινοῦς ἐνδειξαμένη πίστεως, ἀξίως τιμηθεῖσα τῆς προαιρέσεως ἐπ' οἴκου ἀνέδραμε.

Τῆς δὲ τῷ Ῥωμανῷ νυμφευθείσης κόρης τῆς Οὔγωνος παι- P 637
δὸς ἀποθανούσης, ὡς εἴπομεν, παρθένου, νυμφεύεται αὐτῷ ὁ βασιλεὺς καὶ πατὴρ ἑτέραν γυναῖκα, οὔ τινα τῶν ἐπιφανῶν, ἀλλ' ἐκ χυδαίων φῦσαν καὶ τὴν τέχνην καπήλων, Ἀναστασίαν καλουμένην, Θεοφανὼ δ' ὑπ' ἐκείνου μετονομασθεῖσαν.

Τοῦ ἀμηρᾶ δὲ τῆς Ταρσοῦ ἐκστρατείαν κατὰ Ῥωμαίων ποιησαμένου, ἐν τῇ κώμῃ δὲ τῇ Ἡρακλέος λαὸν πεπομφότος εἰς προνομήν, πρεσβύτερός τις Θέμελ ὀνομαζόμενος τὴν ἀναίμακτον ἐπιτελῶν λειτουργίαν, ὡς ἔγνω τὴν τῶν Σαρακηνῶν ἔφοδον, λιπὼν τὴν ἱερουργίαν καὶ ὡς εἶχε στολῆς ἐξελθών, λαβόμενός τε ταῖς χερσὶ τοῦ σημαντῆρος τῆς ἐκκλησίας, ἐν τούτῳ τοὺς ἐπιόντας B
ἠμύνετο, καὶ πολλοὺς μὲν ἐτραυμάτισεν, ἀπέκτεινε δὲ καὶ ἱκανούς, τοὺς δὲ λοιποὺς ἐτρέψατο εἰς φυγήν. ἀποκλεισθεὶς δὲ παρὰ τοῦ ἐπισκόπου τῆς ἱερουργίας, ἐπεὶ μὴ ἔπειθε συγχωρηθῆναι, τοῖς Ἀγαρηνοῖς προσερρύη καὶ τὸν χριστιανισμὸν ἐξωμόσατο, καὶ σὺν αὐτοῖς ἐξιὼν οὐ μόνον Καππαδοκίαν καὶ τὰ ἐγγίζοντα ταύτῃ ἐδῄου θέματα, ἀλλὰ δὴ καὶ μέχρι τῆς μικρᾶς λεγομένης Ἀσίας

4 ἐνδεικνυμένη C 9 ἀναστασὼ C 18 ἀποκνισθεὶς δὲ παρὰ τῶν ἐπισκόπων C

Porro Elga Rossorum principis uxor, qui classem in Romanos duxerat, marito defuncto Cpolin venit; et baptizata, cum magnum verae pietatis studium demonstrasset, dignis suo instituto honoribus affecta domum rediit.

Filia Hugonis, quae Romano fuerat desponsata, mortua virgine, uti diximus, imperator filio aliam uxorem collocat, nequaquam illustri genere sed plebeio, ortam parentibus cauponibus, nomine Anastasiam. sed ipse ei Theophanus nomen indidit.

Cum autem ameras Tarsi bello Romanos petens partem exercitus in pagum Herculis praedatum emisisset, presbyter quidam nomine Themelus tunc incruentum peragens sacrificium, cognito Saracenorum adventu, omisso sacrificio, ita ut erat vestes sacras indutus, templi corripuit eoque hostes irruentes defendit, eorumque multos vulneravit, complures interfecit, reliquos in fugam vertit. exclusus deinde ab episcopo sacris, cum admissionem non impetraret, ad Agarenos se contulit eiuravitque Christianam religionem, cumque iis exiens non Cappadociam modo et vicinas regiones est populatus, sed et usque ad minorem Asiam per-

ἔφθασεν. ὅσα δὲ δεινὰ διεπράξατο, οὐδὲ γράφειν ἡμῖν θεμιτόν.

Ἤδη δέ, ὡς εἴπομεν, προχειρισθεὶς δομέστικος τῶν σχολῶν Βάρδας ὁ Φωκᾶς οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἀπειργάσατο· C ὁπότε μὲν γὰρ ὑφ' ἑτέρους ἐτάττετο, στρατηγὸς θαυμαστὸς ἀνεφαίνετο, ὁπηνίκα δὲ ἡ ἐξουσία τῶν στρατευμάτων ἁπάντων τῆς ἑαυτοῦ γνώμης ἐξήρτητο, ὀλίγα ἢ οὐδὲν ὤνησε τὴν Ῥωμαίων ἀρχήν. νοσήσας γὰρ τὴν πλεονεξίαν ἐξέστη τῶν ἑαυτοῦ λογισμῶν. ὅθεν καί ποτε τοῖς τοῦ Χαβδᾶν ἀπροσδοκήτως περιπεσών, πάντων, ὥς φασι, καταλελοιπότων αὐτόν, μικροῦ δεῖν αἰχμάλωτος ἐγεγόνει, εἰ μὴ συνασπίσαντες οἱ θεράποντες τῆς αἰχμαλωσίας αὐτὸν ἐλυτρώσαντο. ἐτρώθη δὲ κατὰ τὸ μέτωπον γενναίῳ καὶ βαθεῖ τῷ τραύματι, ὡς καὶ μέχρι τελευτῆς ἁδρὰν τὴν οὐλὴν περιφέρειν.

Νικηφόρος δὲ καὶ Λέων οἱ τούτου υἱεῖς, ἐφύπερθεν ὄντες παντὸς αἰσχροῦ λήμματος καὶ τοὺς ὑπηκόους ὡς γνησίους υἱοὺς D περιέποντες, μεγάλα τὴν τῶν Ῥωμαίων ἀρχὴν ὠφέλησαν. καὶ τὰ μὲν τοῦ Νικηφόρου προτερήματα, ἵνα μὴ τὸ τῆς ἱστορίας συνεχὲς διακόπτηται, ἐν τοῖς περὶ ἐκείνου λελέξεται· ὁ δὲ Λέων Ἀπολασαὴρ ἐπίσημον ἄνδρα καὶ τοῦ Χαβδᾶν συγγενῆ, σὺν ἀπείρῳ πλήθει κατὰ Ῥωμαίων ἐξελθόντα τρεψάμενος καὶ κατασχὼν ἐν Κωνσταντινουπόλει ἀπέστειλε, τοῦ ἄλλου πλήθους τὸ μὲν ἐν τῇ τοῦ πολέμου προσβολῇ κτείνας τὸ δὲ ζωγρήσας. ὃν ἀχθέντα πρὸς τὴν βασιλίδα ὁ βασιλεὺς Κωνσταντῖνος θρίαμβον ποιήσας καὶ

5 ὅτε C ἐτάσσετο C ἀνετάσσετο C 16 μεγάλως C
19 χαμβᾶν C 22 κατακτείνας C

rexit. et ne scribere quidem fas est quae eius fuerint ac quam dira facinora.

At Bardas Phocas domesticus scholarum creatus, uti indicatum supra est, nihil memoratu dignum egit. etenim aliorum auspiciis rem gerens is dux videbatur qui laudem et admirationem mereretur: omni sibi imperio commisso nihil aut parum Romanae proderat rei, quod avaritiae laborans vitio sanis consiliis excutiebatur. unde et quodam tempore in Chabdani exercitum de improviso incidens, ab omnibus suis, ut fertur, desertus in hostium potestatem vivus venisset, nisi eum cuneo acto ministri eripuissent. vulnus quidem in fronte accepit magnum atque profundum, cuius crassam cicatricem usque ad mortem circumtulit.

Nicephorus autem et Leo, filii eius, omni inhonesta captura superiores ac subditos instar liberorum ex se natorum tractantes, plurimum rei publicae Romanae contulerunt utilitatis. ac Nicephori quidem egregia facta, ne in praesentia narrationis continuam seriem interrumpamus, quo loco de ipso dicere iubebit ordo, exponemus. Leo autem Apolasaerum, illustrem virum et Chabdani cognatum, ingenti cum multitudine Romanis bellum facientem fudit, captumque Cpolin misit, militibus eius partim in praelio interfectis partim captis. eum imperator in triumpho

κατὰ τοῦ τραχήλου πατήσας τιμαῖς τε καὶ δωρεαῖς ἐφιλοφρονήσατο.

Κωνσταντῖνον δὲ τὸν λοιπὸν υἱὸν τοῦ Φωκᾶ ζωγρίαν λαβὼν P 638 *ὁ Χαβδᾶν καὶ εἰς τὸ Χάλεπ ἀγαγών, καὶ πολλὰ σπουδάσας εἰς τὴν μυσαρὰν αὐτοῦ θρησκείαν τοῦτον μεταγαγεῖν, ὡς οὐκ ἔπεισε, φαρμάκοις αὐτὸν διέφθειρε. τῇ ἀκοῇ δὲ ταύτῃ περιαλγὴς γενόμενος ὁ Βάρδας πάντας οὓς κατεῖχεν αἰχμαλώτους συγγενεῖς τοῦ Χαβδᾶν ξίφει κατέκοψε. καὶ παρὰ τοῦτο ὁ τὸ ἀλλάγιον πεμφθεὶς ποιήσασθαι Παῦλος μάγιστρος ὁ Μονομάχος ἄπρακτος ὑπέστρεψεν. ἀσχέτῳ δὲ περιωδυνίᾳ ληφθεὶς ὁ Χαβδᾶν διὰ τοὺς αὐτοῦ συγγενεῖς ἐκστρατεύει κατὰ Ῥωμαίων, ἄγων μετ' αὐτοῦ καὶ τὸν παρὰ βασιλέως πεμφθέντα ὡς αὐτὸν πρεσβευτὴν περὶ εἰρήνης, Νικήταν πατρίκιον τὸν Χαλκούτζην, καὶ πολλοὺς ἀγαθοὺς ἄνδρας τῶν ἀνδρειοτάτων καὶ γενναίων Ῥωμαίων ἐζώγρησε. τοῦ δὲ Νι-* B *κήτα λάθρα τῷ Φωκᾷ μηνύοντος πάντα τὰ βουλευόμενα τῷ Χαβδᾶν καὶ τὰς ὁδοὺς ὅθεν μέλλει ποιήσασθαι τὴν ὑποστροφήν, λόχους ὁ Φωκᾶς ἐγκαθίζει παρά τινα τόπον εἴσοδον ἔχοντα στενὴν καὶ κρημνώδη, ἐν ᾧ γενόμενος ὁ Χαβδᾶν, ἐπεὶ κατὰ μέσην ἐγένετο τὴν στενοχωρίαν, κυκλοῦται παρὰ τῶν λόχων. ἐξαναστάντες γὰρ τῆς ἐνέδρας οἱ ἐπὶ τούτῳ τεταγμένοι πέτρας τε ὑπερμεγέθεις κατ' αὐτῶν ἐκύλιον καὶ βέλη εἰς αὐτοὺς ἔπεμπον παντοδαπά. καὶ ὁ μὲν Χαλκούτζης προευτρεπισάμενος καὶ δώροις ὑποποιησάμενός τινας τῶν Σαρακηνῶν τῆς φυγῆς ὑπηρέτας, ἔλαθεν ἀποδρὰς μετὰ* C

4 *χαμβδᾶν* C *χάλεπε* C 19 *γὰρ*] *δὲ?*

duxit, collumque eius calcavit, ac honoribus et muneribus Leonem demeritus est.

Constantinum, tertium Phocae filium, Chabdanus cepit et Chalepum abduxit, cumque multis tentatis rationibus non posset eum a vera religione abducere, veneno sustulit. hoc auditum Bardae tantum attulit dolorem, ut quotquot captivos Chabdani cognatos habebat, eos omnes gladio concideret. qua re factum est ut Paulus magister, cognomento monomachus, missus ab imperatore ad pacem componendam re infecta redierit. porro Chabdanus indomito ob necem cognatorum dolore correptus in Romanos duxit, secum ducens et Nicetam patricium Chalcutzam multosque alios praestantissimos ac fortissimos Romanos, quos ceperat. ibi Niceta occulte Phocae omnia barbari consilia indicat, et quibus itineribus domum is repetiturus esset. Phocas ergo loco quodam accessum habente artum atque praeruptum insidias ponit. quo cum pervenisset Chabdanus, circumventus est ab iis qui in insidiis latuerant: hi namque se proripientes in hostem ingentia saxa devolverunt et omnis generis tela coniecerunt. Chalcutzes cum ad id iam ante parasset quosdam Saracenos, et ad expediendam sibi fugam muneribus

πάντων αὐτοῦ τῶν οἰκείων, τῶν Ἀγαρηνῶν δὲ πέπτωκε πλῆθος ἀμύθητον. ὁ δὲ Χαβδᾶν οὓς εἶχε δεσμίους ἀποσφάξας, σὺν ὀλίγοις ἀκλεῶς καὶ ἀτάκτως τὸν κίνδυνον ἴσχυσε διαφυγεῖν.

Ἔτει δὲ δωδεκάτῳ τῆς Κωνσταντίνου βασιλείας, τοῦ δὲ κόσμου ,ϛυξδʹ, μηνὶ Φεβρουαρίῳ κζʹ, ἰνδικτιῶνος ιδʹ, κατέλυσε τὸν βίον Θεοφύλακτος ὁ πατριάρχης, ἀρχιερατεύσας ἐπ' ἔτη κγʹ ἡμέρας κεʹ, ἑξκαίδεκα μὲν ἐτῶν ὢν ὅτε ἀκανονίστως τοὺς τῆς ἐκκλησίας παρείληφεν οἴακας, ὑπὸ παιδαγωγοὺς (φεῦ μοι) ὁ ἀρχιερεὺς μέχρι τινὸς διατελέσας. καὶ εἴθε γε διὰ παντὸς τοῦτο ἦν· ἐδόκει γὰρ εἶναι σεμνὸς καὶ μέτριος. τῆς ἐντελεστέρας δὲ ἡλικίας ἀρξάμενος ἤδη καὶ καθ' ἑαυτὸν βιοῦν ἐαθεὶς οὐδὲν τῶν αἰσχίστων
D καὶ παντελῶς ἀπηγορευμένων πράττειν ἐνέλιπεν, ὠνίους προτιθεὶς τοὺς τῆς ἐκκλησίας βαθμοὺς καὶ τὰς προβολὰς τῶν ἀρχιερέων, καὶ ἄλλα πράττων ὅσα τοῖς ἀληθινοῖς ἀρχιερεῦσιν ἀπεοικότα ἐτύγχανεν, ἱππομανῶν καὶ κυνηγεσίοις ἐνασχολούμενος καὶ λοιπὰς ἀπρεπεῖς διαπραττόμενος πράξεις, ἃς κατὰ μέρος διεξιέναι σὺν τῷ ἀπρεπεῖ καὶ ἀθέμιτον. μιᾶς δὲ δίκαιον ἐπιμνησθῆναι εἰς ἔνδειξιν τῆς ἀπαιδεύτου γνώμης αὐτοῦ. ἔρως αὐτὸν κατεῖχεν ἄσχετος τῆς τῶν ἵππων κτήσεως, καὶ λέγεται ὑπὲρ δισχιλίους πορίσασθαι, ὧν τῆς κομιδῆς διὰ παντὸς ἐφρόντιζεν, οὐ χόρτον αὐτοῖς παρατιθεὶς καὶ κριθάς, κώνων δὲ καρποὺς καὶ θάσια καὶ πιστά-
P 639 κια, ἔτι δὲ φοινίκων καὶ σταφίδων καὶ ἰσχάδων τὰ λιπαρώτερα,

4 δωδεκάτῳ] βʹ C 5 εἰκάδι ζʹ C 6 εἴκοσι καὶ τρία C 9 διετέλεσε C 12 ἐπέλιπεν C 16 σὺν] πρὸς C 22 δὲ] τε C

corrupisset, cum omnibus suis fuga elapsus est. Agarenorum ineffabilis multitudo ibi periit; et Chabdanus interfectis quos in vinculis habebat, cum paucis turpiter et promiscua fuga periculo se eripuit.

Annum imperante Constantino 12, anno mundi 6464, die Februarii 27, indictione 14, Theophylactus patriarcha diem suum obiit, cum ei pontificatui praefuisset annos 23 dies 25. cum eum iniret, id quod contra leges ecclesiasticas fiebat, annos erat natus 16, et patriarcha sub paedagogis (pro indignam rem) aliquamdiu egit. quanquam utinam id perpetuum fuisset. nam eatenus visus est modeste ac cum gravitate aliqua vitam agere. adultior, cum iam suo arbitrio vivere permitteretur, nihil eorum quae turpissima et omnino legibus prohibita sunt facere omisit, gradus ecclesiasticos et episcoporum electiones venundans, aliaque agens aliena veri patriarchae officio, insano equorum studio et venationum perditus, multaque alia indecenter committens; quae singulatim enarrare et inconveniens et nefas est. unum par est commemorari, argumentum ipsius male instituti animi. equorum parandorum amore infraeni tenebatur, ferturque habuisse ultra duo equorum milia. iis alendis perpetuo erat intentus. neque vero iis foenum et hordeum proponebat edendum, sed metarum fructus, thasia et pistacia ac palmulas, uvas passas, caricas, eaque omnia lectissima, vino fragrantissimo tem-

εὐωδεστάτῳ οἴνῳ μιγνύς, καὶ κρόκον καὶ κιννάμωμον καὶ βάλσαμον καὶ ἕτερα ἀρώματα τοῖς ῥηθεῖσι συμφύρων, ἑκάστῳ τῶν ἵππων παρετίθει βρῶσιν. φασὶ δ' ὅτι λειτουργοῦντί ποτε αὐτῷ κατὰ τὴν μεγάλην τοῦ θείου δείπνου πέμπτην ἡμέραν, καὶ τὰς εὐχὰς ἤδη τῶν μυστηρίων ἀναγινώσκοντι, ὁ τὴν ἐπιμέλειαν τῶν ἵππων ἐπιτετραμμένος διάκονος ἐπιστὰς εὐαγγέλιον τούτῳ κεκόμικεν, ὡς ἄρα τετοκυῖα εἴη ἡ ἐπισημοτάτη φορβάς, προσθεὶς καὶ τὸ ὄνομα. ὁ δ' ὑπὸ περιχαρείας τὸ τῆς θείας λειτουργίας ὑπόλοιπον ὡς ἔτυχεν ἐκπληρώσας δρομαῖος ἀφικνεῖται πρὸς τὸ Κοσμίδιον, καὶ τὸν τεχθέντα πῶλον ἑωρακὼς καὶ τοῦ ἀλόγου θεάματος B ἐμφορηθεὶς ὑπέστρεψεν εἰς τὴν μεγάλην ἐκκλησίαν, τὴν τῶν ἁγίων παθῶν τοῦ σωτῆρος ἡμῶν καὶ θεοῦ ἐκτελέσων ὑμνῳδίαν. ἔργον ἐκείνου καὶ τὸ νῦν κρατοῦν ἔθος, ἐν ταῖς λαμπραῖς καὶ δημοτελέσιν ἑορταῖς ὑβρίζεσθαι τὸν θεὸν καὶ τὰς τῶν ἁγίων μνήμας διὰ λυγισμάτων ἀπρεπῶν καὶ γελώτων καὶ παραφόρων κραυγῶν τελουμένων τῶν θείων ὕμνων, οὓς ἔδει μετὰ κατανύξεως καὶ συντριμμοῦ καρδίας ὑπὲρ τῆς ἑαυτῶν ἡμᾶς σωτηρίας προσφέρειν τῷ θεῷ. πλῆθος γὰρ συστησάμενος ἐπιρρήτων ἀνδρῶν καὶ ἔξαρχον αὐτοῖς ἐπιστήσας Εὐθύμιόν τινα Κασνῆν λεγόμενον, ὃν αὐτὸς δομέστικον τῆς ἐκκλησίας προυβάλετο, καὶ τὰς Σατανικὰς ὀρχήσεις C καὶ τὰς ἀσήμους κραυγὰς καὶ τὰ ἐκ τριόδων καὶ χαμαιτυπείων ἠρανισμένα ᾄσματα τελεῖσθαι ἐδίδαξεν. οὕτως δὲ βιοτεύων καταστρέφει τὸν βίον ἐν τῷ ἀτάκτως ἱππάζεσθαι, ἔν τινι τείχει τῶν

4 δείπνου om C   14 δι' ἀλιγυσμάτων C, margo ὀρχησμάτων
20 καὶ om C   22 ἠρανισμένα om C

perata, admixtis etiam croco cinnamomo balsamo aliisque aromatibus. memoriae traditum est ei aliquando sacrificanti magnae coenae dominicae quinta feria, et iam preces mysteriorum recitanti, supervenisse eum cui equorum cura ab ipso demandata fuerat, laetumque attulisse nuntium, quod nobilissima equarum peperisset, addito etiam equae nomine. patriarcham prae nimio gaudio, re sacra utcunque absoluta, ad Cosmidium accurrisse, visoque pullo recens edito et satiatum spectaculo bruti in magnum templum rediisse, ut de servatoris nostri pro nobis tolerato supplicio hymnorum recitationem ad finem perduceret. quin et hunc morem introduxit, qui hodieque obtinet, quod in splendidis atque solennibus festivitatibus deo et sanctorum recordationi fit contumelia per foedas cantilenas ac risus et insanos clamores, quibus adhibitis sancti hymni cantantur, quos a nobis oportebat corda compunctis atque contritis pro nostra salute deo offerri. at ille coetu flagitiosorum hominum coacto, iisque praefecto Euthymio quodam, quem cognomine Casnen appellabant, et ab ipso est domesticus templi constitutus, diabolicas istas saltationes, obscuras vociferationes, cantilenasque e triviis et lupanaribus petitas tunc adhiberi instituit. hac vitae usus ratione interiit ex inepta equitatione ad murum quendam maritimum afflictus, ex quo

παραθαλασσίων θρανσθεὶς καὶ αἷμα ἀναγαγὼν διὰ τοῦ στόματος. ἐπὶ δύο δ' ἔτη νοσηλευόμενος καὶ ὑδέρῳ περιπεσὼν ἐτελεύτησε.

Καὶ χειροτονεῖται κατὰ τὴν τρίτην τοῦ Ἀπριλλίου μηνός, τῆς αὐτῆς ἰνδικτιῶνος, ἀντ' αὐτοῦ πατριάρχης Πολύευκτος μοναχός, τῆς Κωνσταντινουπόλεως καὶ θρέμμα τυγχάνων καὶ παίδευμα, ὑπὸ τῶν γονέων μὲν εὐνουχισθείς, ἐπὶ πολὺν δὲ χρόνον
D τῇ μοναδικῇ πολιτείᾳ ἐνδιαπρέψας· ὃν ὁ βασιλεὺς διὰ τὸ τοῦ ἤθους σεμνὸν καὶ τὸ τῆς σοφίας ὑπερβάλλον καὶ τὴν ἀκτημοσύνην χειροτονεῖ πατριάρχην, οὐ τοῦ Ἡρακλείας, ὡς ἔθος, ἀλλὰ τοῦ Καισαρείας Βασιλείου τὴν χειροθεσίαν πεπληρωκότος. Νικηφόρος γὰρ ὁ τῆς Ἡρακλείας πρόεδρος τῷ βασιλεῖ κατά τι προσκεκρουκὼς οὐ συνεχωρήθη τὴν χειροθεσίαν ποιήσασθαι. ὅθεν καὶ ψόγος οὐχ ὁ τυχὼν προσετρίβη οὐ τῷ προτρέψαντι μόνον καὶ τῷ χειροθετήσαντι, ἀλλὰ καὶ αὐτῷ τῷ χειροτονηθέντι ὡς καταδεξαμένῳ τὴν ἀκανόνιστον ταύτην χειροθεσίαν. χειροτονηθεὶς δ' ὅμως καὶ παρρησιασάμενος τὴν ἀλήθειαν πολλὴν καταδρομὴν ἐποιεῖτο
P 640 τῆς πλεονεξίας τῶν συγγενῶν τοῦ πρεσβύτου Ῥωμανοῦ, κἂν τῷ μεγάλῳ σαββάτῳ τὸν βασιλέα εἰς τὴν μεγάλην ἐκκλησίαν ἐλθόντα ἐνῆγε πρὸς τὴν τῶν πραχθέντων ἐκδίκησιν. ὅπερ οὐχ ἡδέως οὗτος ἐδέξατο. ἀλλὰ καὶ Βασίλειος ὁ μετὰ ταῦτα παρακοιμώμενος, ὁ ἀπὸ δούλης τεχθεὶς τῷ πρεσβύτῃ Ῥωμανῷ, Ἑλένην τὴν αὐτοῦ ἀδελφὴν καὶ δέσποιναν ὑποποιησάμενος, οὕτω παρεσκεύασε καὶ διέθηκε τὸν Κωνσταντῖνον, μὴ μεταγινώσκειν μόνον ἐπὶ τῇ τοῦ

4 ἰνδικτιῶνος om C 5 πόλεως om C 8 τὴν τοῦ ἤθους: ἁπλότητα καὶ ἀκτ. C 11 γὰρ om C 14 χειροτονήσαντι C 15 ταύτην om C 22 καὶ διέθηκε om C

casu cum sanguinem vomuisset ac biennium morbo conflictatus esset, aqua intercute exstinctus est.

Eadem indictione, tertia Aprilis die, in eius locum sufficitur Polyeuctus monachus, Cpoli natus atque educatus, castratus a parentibus, longoque tempore monastica vita cum laude functus, imperatore eum ob gravitatem morum et insignem sapientiam atque paupertatis causa eo provehente. huic non Heracleae, ut mos ferebat, sed Basilius Caesareae episcopus manus imposuit, quod Nicephorus (hoc enim nomen Heracleae praesuli erat) quia in quadam re animum imperatoris offendisset, non sinebatur manus imponere. quae res vituperationem haud vulgarem paravit, non imperatori modo et Basilio, sed et ipsi Polyeucto, quod contra sacros canones se ordinari passus esset. hic tamen ita designatus, veritatem libere professus, multis invectus est in avaritiam cognatorum Romani senis. et in magno sabbato imperatorem in magnum templum venientem ad iudicium eorum quae fuerant acta exercendum hortatus est. non gratum hoc imperatori fuit. sed et Basilius, qui deinde intimus cubicularius factus est, senis Romani ex serva filius, per sororem suam Helenam Augustam ita Constantini animum affecit, ut non

πατριάρχου προβολῇ ἀλλὰ καὶ ζητεῖν ἀφορμὴν πῶς ἂν αὐτὸν καταγάγοι τοῦ θρόνου, πολλὰ καὶ Θεοδώρου τοῦ Κυζίκου κατ' αὐτοῦ διερεθίζοντος τοῦτον.

Ὥσπερ δὲ τοῦ χρόνου φιλοτιμησαμένου κατὰ ταυτὸν ὁμογνώμονας ἐπιδεῖξασθαι πατριάρχας, καὶ τὴν τῶν ἑσπερίων Ῥωμαίων B ἐκκλησίαν ἰθύνειν ἔλαχεν Ἰωάννης ὁ τοῦ Ἀλβερίχου υἱός, πρὸς πᾶσαν ἀσέλγειαν καὶ κακίαν ὑπάρχων ἐπιρρεπής· ὃν Ὤτως ὁ τῶν Φράγγων βασιλεὺς ἀπελάσας ἕτερον ἀντεισήγαγε τῇ ἐκκλησίᾳ ποιμένα.

Ὁ δὲ Πολύευκτος τῷ πρώτῳ τῆς ἱερατείας αὐτοῦ χρόνῳ τοῖς ἱεροῖς ἐνέταξε διπτύχοις Εὐθυμίου τοῦ πατριάρχου τὸ ὄνομα, τοῦ τὸν βασιλέα Λέοντα δεξαμένου εἰς κοινωνίαν, ὁπηνίκα τὴν τετάρτην ἠγάγετο γυναῖκα. πρὸς τοῦτό τινες τῶν ἀρχιερέων πρὸς ὀλίγον ἀντέστησαν τῷ Πολυεύκτῳ μὴ κοινωνεῖν. ἀλλὰ κατ' ὀλίγον τῷ τοῦ κρατοῦντος ἀκολουθήσαντες θελήματι γέλωτα παρέσχον C τοῖς διακρινομένοις.

Ἤχθη δὲ κατὰ τὸν αὐτὸν καιρὸν καὶ ἡ τιμία χεὶρ τοῦ προδρόμου εἰς τὴν βασιλίδα ἐξ Ἀντιοχείας, ἀποκλαπεῖσα παρά τινος διακόνου Ἰὼβ τοὔνομα· ἣν καταλαβοῦσαν τὴν Χαλκηδόνα ὁ βασιλεὺς τὴν βασιλικὴν ἐκπέμψας τριήρη, καὶ τῆς συγκλήτου ὅσον ἐπίσημον ἐξελθόντος καὶ τοῦ πατριάρχου Πολυεύκτου σὺν παντὶ τῷ κλήρῳ μετὰ κηρῶν καὶ λαμπάδων καὶ θυμιαμάτων, εἰς τὰ βασίλεια ἤγαγεν.

5 πατριάρχην C 7 ὦτος C 14 μετ'? 18 βασιλίδα] μεγαλόπολιν cod. Fontisebrald. Mich. Glycae p. ed. Par. 303.

modo cum ad patriarchatum Polyeuctum promovisse poeniteret, sed et de eo per occasionem deiiciendo cogitaret. et ad eam rem suffundebat, quod aiunt, frigidam Theodorus Cyzici episcopus.

Ceterum quasi si tempus in eo laboraret ut summi pontifices eiusdem sententiae crearentur, Romanae ecclesiae eodem tempore praefectus fuit Ioannes Alberici filius, homo ad omnem lasciviam ac malitiam propensus; quem Otto Francorum imperator expulit, aliumque ecclesiae pastorem constituit.

Polyeuctus primo sui patriarchatus anno Eutychii patriarchae nomen in sacras tabulas rettulit, eius qui imperatorem Leonem ad sacrorum communicationem admiserat, cum is quartam uxorem duxisset. eam ob rem quidam summorum pontificum aliquamdiu noluerunt res sacras cum Polyeucto communes habere: mox imperatoris voluntati obsequentes ridendos se disceptantibus controversiam exhibuerunt.

Sub idem tempus veneranda praecursoris manus Antiochea Cpolin allata est, surrepta ab Iobo quodam diacono. ea cum appulisset Chalcedonem, imperator suam emisit triremem: et illustriores senatores procedentes obviam cum patriarcha et universo clero cum cereis facibus et suffitibus eam in palatium deduxerunt.

Ὁ δὲ τῶν σχολῶν δομέστικος Βάρδας κατὰ τῶν ἑῴων Ἀγαρηνῶν ἐκστρατεύσας τὰ ἐν ποσὶν ἅπαντα κατεστρέψατο, ἑλὼν καὶ φρούρια ἱκανά, ἐκπολιορκήσας καὶ τὴν περιβόητον Ἄδαπαν. ὁ δὲ βασιλεὺς βουλόμενος καὶ τοὺς ἐν τῇ Κρήτῃ Σαρακηνοὺς συνε-
D χῶς ἐκστρατεύοντας καὶ τὰ παράλια τῆς Ῥωμαϊκῆς γῆς δῃοῦντας καὶ κατατρέχοντας ἐκφοβῆσαι καὶ τῆς ἀσχέτου ἀνακόψαι ὁρμῆς, στρατὸν ὅτι πλεῖστον συλλέξας καὶ στόλον εὐτρεπίσας οὐκ ἀγεννῆ ἐκπέμπει κατὰ τῆς νήσου, στρατηγὸν ἐπιστήσας τοῖς πᾶσι Κωνσταντῖνον πατρίκιον τὸν Γογγύλην, θηλυδρίαν ἄνθρωπον καὶ σκιατραφῆ καὶ ἀπειροπόλεμον καὶ ἕνα τῶν ἐν τῷ παλατίῳ θαλαμηπόλων· ὃς εἰς τὴν νῆσον περαιωθεὶς καὶ μηδὲν ἄξιον διαπραξάμενος στρατηγοῦ, μήτε στρατοπεδείαν πηξάμενος ἀσφαλῆ, μήτε σκο-
P 641 ποὺς ἐπιστήσας καὶ κατοπτῆρας καὶ δι' αὐτῶν τὰς βαρβαρικὰς φυλαξάμενος ἐφόδους, κινδύνῳ μεγίστῳ περιπίπτει. οἱ γὰρ νησιῶται τὴν ἀπειρίαν καὶ τὴν ἀμέλειαν κατανενοηκότες τοῦ στρατηγοῦ, καιρὸν ἐπιζητήσαντες ἐπιτήδειον ἐξαίφνης ἐπιτίθενται τῷ στρατεύματι, καὶ τρέπονται μὲν τοῦτο ῥᾳδίως, ὡς πολλοὺς τῶν Ῥωμαίων αἰχμαλωσίᾳ καὶ σιδήρῳ διαμερισθῆναι, κατέσχον δὲ καὶ τὸ στρατόπεδον αὐτό, τῶν Ῥωμαίων αἰσχίστως ἀποφυγόντων. μικροῦ δ' ἂν ἑάλω καὶ ὁ Γογγύλιος, εἰ μὴ συνασπίσαντες οἱ θεράποντες ἐξερρύσαντο αὐτὸν τῆς αἰχμαλωσίας καὶ εἰς τὴν ναυαρχίδα ἐμβιβάσαντες διεσώσαντο.

B Ῥωμανὸς δὲ ὁ τοῦ βασιλέως Κωνσταντίνου υἱὸς τελεωτέρας

3 ἄδαναν C 9 γογγύλιον C 10 ἕνα om C 14 ἀσφαλισάμενος C 19 αὐτοὶ C

Interim Bardas scholarum domesticus expeditione in orientales Agarenos facta obvia quaeque vastavit, permulta castella cepit, ipsamque adeo nobilem urbem Adapam expugnavit. imperator autem Cretenses Saracenos, qui crebro maritimas Romanorum diciones incursionibus vexabant, cupiens deterrere eorumque immodicos impetus reprimere, maximum contrahit exercitum classemque nequaquam contemnendam, eamque in Cretam emittit, praefecto toti rei Constantino patricio Gongyla, effeminato homine et in umbra educato belliqne ignaro, uno de palatinis cubiculariis. is in Cretam traiecta classe nihil duce dignum egit: nam neque castra muniit, neque speculatores aut exploratores collocavit, a quibus de barbarorum adventu moneretur, quae eum incuria in summum adduxit periculum. nam insulares socordia et imperitia Romani ducis deprehensa, opportuno capto tempore Romanos subito adorti, nullo negotio fuderunt; multique horum alii capti alii ferro interempti, et reliquis fugientibus castra quoque summo cum nostrorum dedecore capta sunt. ipse etiam Gongylius in hostium potestatem venisset, nisi a cuneo famulorum ereptus et in navim praetoriam fuisset impositus.

Iam Romanus imperatoris filius adultior ferre non poterat a patre

ἤδη ἁψάμενος ἡλικίας, καὶ μὴ φέρων ὁρᾶν τὰ πράγματα ὑπὸ τοῦ πατρὸς αὐτοῦ διοικούμενα, φαρμάκῳ τοῦτον ἐκποδὼν ποιήσασθαι ἐβουλεύσατο, εἰδήσει καὶ τῆς αὐτοῦ γαμετῆς τῆς καπηλίδος. μέλλοντος γὰρ τοῦ Κωνσταντίνου καθαρτήριον πόμα λαβεῖν, λαθόντες οὗτοι δηλητήριον τούτῳ ἐκέρασαν, καὶ Νικήταν τὸν ἐπὶ τῆς τραπέζης παρέπεισαν ἐγχέαι τοῦτο τῷ βασιλεῖ. μέλλων δὲ ἐκεῖνος αὐτὸ λαβεῖν κείμενον ἔμπροσθεν τῶν σεπτῶν εἰκόνων, εἴτε τύχῃ τινὶ εἴτε καὶ ἑκουσίως ὀλισθήσας τὸ πλέον ἐξέχεε. τὸ δὲ λοιπὸν ποθὲν ὑπὸ τοῦ Κωνσταντίνου ἀργὸν ἐφάνη καὶ ἄπρακτον, διὰ τὴν ὀλιγότητα τὴν οἰκείαν ἀποβαλὸν ἐνέργειαν. πλὴν καὶ οὕτως ὁ Κωνσταντῖνος μόλις περιγενέσθαι ἴσχυσεν, ἐπισκήψαντος δὴ τοῦ δη- C λητηρίου ἐν τῇ πλευρᾷ αὐτοῦ καὶ κακῶς διαθεμένου αὐτόν.

ιε΄ δὲ χρόνῳ τῆς αὐτοῦ βασιλείας, κατὰ τὸν Σεπτέμβριον μῆνα τῆς γ΄ ἰνδικτιῶνος, ἐν ἔτει κοσμικῷ ‚ςυξη΄, ἔξεισι Κωνσταντῖνος ὁ βασιλεὺς ἐν τῷ τοῦ Ὀλύμπου ὄρει, τῷ μὲν δοκεῖν ταῖς τῶν ἐκεῖσε πατέρων εὐχαῖς θωρακισθῆναι καὶ μετ' αὐτῶν κατὰ Σαρακηνῶν ἐν Συρίᾳ ἐκστρατεῦσαι, ἀληθεῖ δὲ λόγῳ ἑνωθῆναι Θεοδώρῳ τῷ τῆς Κυζίκου προεδρεύοντι, ἐκεῖσε τότε τὰς διατριβὰς ποιουμένῳ, καὶ μετ' αὐτοῦ περὶ τῆς καθαιρέσεως τοῦ Πολυεύκτου βουλεύσασθαι. ἐκεῖσε γοῦν γενόμενος, εἴτε σωματικῇ πλημμελείᾳ εἴτε πάλιν ὑπὸ τοῦ παιδὸς φαρμαχθείς, ὀδυνώμενος ἀνεχώρησε, κλινοπετής τε κατὰ τὸ τέλος τοῦ Ὀκτωβρίου τὴν βα- D σιλίδα κατέλαβε, καὶ τῇ θ΄ τοῦ Νοεμβρίου μηνὸς τελευτᾷ, ἄπρακτα τὰ βεβουλευμένα λιπών, ζήσας ἅπαντα τὸν τῆς ζωῆς αὐτοῦ

19 πατριάρχου C   24 καταλιπὼν C

res gubernari, ideoque eum veneno tollere statuit, conscia etiam uxore sua, cauponis filia. caproptcr cum vellet Constantinus medicamentum purgans bibere, letale venenum ei parant; persuadentque Nicetae mensae administro ut id infundat. imperator cum iam id esset hausturus, positum ante sacras imagines, sive fortuito sive dedita opera lapsus, poculi eius maiorem partem effudit. reliquum epotum ob paucitatem visum est carere efficacitate, et nihilominus tamen Constantinus gravi morbo lateribus tentatis a veneno aegre evasit.

Anno imperii Constantini 15, mense Septembri, indictione 3, anno mundi 6468, profectus est imperator ad Olympum montem, in speciem, ut patrum qui ibi vivebant comprecationibus armatus in Syriam contra Saracenos proficisceretur, re autem ipsa, ut cum Theodoro Cyzici episcopo, qui tum ibi degebat, de Polyeucto deiiciendo consilia iniret. inde sive corporis vitio sive rursum a filio petitus veneno, doloribus correptus discessit, et sub finem Octobris in lectica Cpolin reportatus est, ac consiliis suis exitum nullum consecutis mortuus, nona die Novembris. vixit annos quinquaginta quattuor et menses duo. imperavit,

χρόνον ἔτη νδʹ καὶ μῆνας βʹ, συμβασιλεύσας μὲν τῷ πατρὶ καὶ Ἀλεξάνδρῳ τῷ θείῳ καὶ τῇ αὐτοῦ μητρὶ ἔτη ιγʹ, αὖθις δὲ τῷ Ῥωμανῷ τυραννήσαντι ἔτη κϛʹ, καὶ μετὰ τὴν ἐκείνου τῆς βασιλείας ἔκπτωσιν μονοκρατήσας ἔτη ιεʹ. θάπτεται δὲ θανὼν σὺν τῷ οἰκείῳ πατρί, μέχρι τελευταίας ἀναπνοῆς ἐγκοτῶν τῷ Πολυεύκτῳ καὶ τὴν αὐτοῦ καθαίρεσιν φανταζόμενος. πρὸ δέ τινων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς, ἐπί τινα χρόνον συχνόν, ἑσπέρας καταλαμβανούσης λίθοι ἄνωθεν ἐκπεμπόμενοι καὶ ἐντὸς τῶν αὐτοῦ διαιτημάτων
P 642 *σὺν πολλῷ ῥοίζῳ πίπτοντες ἐξαισίους ἀπετέλουν κτύπους. δόξας δ' ἀπὸ τῶν τῆς Μαγναύρας ὑπερῴων τούτους φέρεσθαι φύλακας ἐπὶ πολλαῖς νυξὶν ἀφώρισεν, εἴ πού τινα λάβῃ τῶν τοῦτο τολμώντων. ἀλλ' ἔλαθε μάτην πονῶν· ἦν γὰρ τὸ γινόμενον οὐκ ἐξ ἀνθρώπων ἀλλ' ἐξ ὑπερτέρας τελούμενον δυνάμεως.*

Μεταστάντος δὲ τοῦ Κωνσταντίνου καὶ πρὸς τὴν ἐκεῖθεν διαβάντος κατάστασιν, Ῥωμανὸς ὁ τούτου υἱὸς ἐγκρατὴς γίνεται τῆς ἀρχῆς. καὶ ἄρχοντας προβαλλόμενος εὐνοϊκοὺς αὐτῷ καὶ θυμήρεις, καὶ τὴν βασιλείαν ὡς ἐνῆν κρατυνόμενος, κατὰ τὴν ἑορτὴν τοῦ πάσχα τῆς αὐτῆς γʹ ἰνδικτιῶνος στέφει καὶ τὸν υἱὸν αὐτοῦ βασιλέα, διὰ τῶν χειρῶν Πολυεύκτου τοῦ πατριάρχου, ἐν
B *τῇ μεγάλῃ ἐκκλησίᾳ. τῷ δ' ἐπιόντι ἔτει τίκτεται πάλιν αὐτῷ*

4 post ιεʹ C: *οὐ δεκαπέντε ἔτη ἀλλὰ ιδʹ μῆνας ιʹ ἡμέρας κδʹ. ἐκράτησε γὰρ κατὰ τὴν ιϛʹ τοῦ δεκεμβρίου μηνὸς τῆς γʹ ἰνδικτιῶνος τοῦ ͵ϛυνγʹ ἔτους, ἐτελεύτησε δὲ κατὰ τὴν θʹ τοῦ νοεμβρίου μηνὸς τῆς γʹ ἰνδικτιῶνος τοῦ ͵ϛυξηʹ ἔτους* 6 *ἐκείνου* C 14 *ἐκεῖσε* C 15 *ἐγεγόνει* C 17 *βασιλίδα* C 18 *στέφει βασίλειον τὸν υἱὸν αὐτοῦ διὰ χειρὸς* C

collegis patre, Alexandro patruo et matre sua, annos tredecim, rursus cum Romano iniuste imperium adepto annos viginti sex, et illo submoto annos quindecim. sepultus est iuxta patrem suum. ad extremum usque spiritum succensuit Polyeucto, et eius depositionem animo agitavit. aliquot antequam moreretur diebus, post vesperam lapides de sublimi confertim in ipsius domum vehementi cum impetu coniecti ingentem ediderunt fragorem. quos Constantinus putans a coenaculis Magnaurae deferri, per aliquot noctes custodes collocavit, si quem eorum opera deprehendere posset ista ausum. sed ignorabat frustra se laborare, cum id non ab hominibus sed sublimiore aliqua profectum fuerit potestate.

Postquam ex hac vita migravit Constantinus, filius eius Romanus imperium capessit. is magistratibus sibi benevolis atque acceptis constitutis, confirmato ut res ferebat imperio, eadem tertia indictione, festo paschatis die, filio suo coronam imperatoriam opera Polyeucti patriarchae imponit in magno templo. insequenti anno rursum ei filius in fontano

ἕτερος υἱὸς ἐν τοῖς τῶν Πηγῶν παλατίοις, ὃν ἐπὶ τῷ πατρὶ Κωνσταντῖνον ὠνόμασε. νέος δ' ὢν καὶ εὐπαθείαις ἑαυτὸν ἐπιδεδωκὼς τὰς τῶν ὅλων φροντίδας Ἰωσὴφ ἐνεχείρισε τῷ πραιποσίτῳ καὶ παρακοιμωμένῳ, ᾧ Βρίγγας ἡ ἐπωνυμία. αὐτὸς δὲ οὐδὲν ἄλλο διὰ φροντίδος εἶχεν ἢ τὸ μεθ' ἡταιρηκότων καὶ βεβήλων ἀνδραρίων καὶ μαχλάδων καὶ μίμων καὶ γελοτοποιῶν τὰς ἐκδεδιῃτημένας μεταδιώκειν τῶν πράξεων. τοίνυν καὶ κληρικόν τινα Ἰωάννην ἐκτομίαν ὄντα, διά τινας ἀσέμνους πράξεις ὑπὸ Κωνσταντίνου τοῦ βασιλέως ἀπειληθέντα καὶ μοναχικὸν ἀμφιασάμενον σχῆμα καὶ μέχρι τῆς ἐκείνου κρυπτόμενον τελευτῆς, ὡς ἤδη ἐπε- C
λάβετο τῆς ἀρχῆς, τοῦ τῶν μοναχῶν ἀποδύσας σχήματος καὶ τὰ τῶν κληρικῶν μεταμφιάσας τοῖς ἑαυτοῦ θαλαμηπόλοις κατέταξε. ζήλου δὲ πλησθεὶς ὁ Πολύευκτος πολὺς ἦν ἐγκείμενος καὶ τῷ βασιλεῖ παρενοχλῶν τῆς ἑαυτοῦ θεραπείας τοῦτον ἀπώσασθαι ὡς ἐξομοσάμενον τὸ τῶν μοναζόντων ἐπάγγελμα. ἐκείνου δὲ παραιτουμένου, καὶ μὴ ταῖς ἀληθείαις φάσκοντος ἐνδεδύσθαι τοῦτον τὸ σχῆμα ἢ εὐχὴν παρά τινος τῶν ἱερέων λαβεῖν, ἀλλὰ μόνον ὑποκρίνασθαι τὸν μονάδα βίον διὰ τὸν τοῦ βασιλέως φόβον, ἐξαπατηθεὶς ὁ Πολύευκτος ἀφῆκε τοῦτον, πολλὰ καὶ τοῦ Ἰωσὴφ σπουδάσαντος. καὶ διῆγε μέχρι τῆς τελευτῆς Ῥωμανοῦ κοσμικῶς ζῶν καὶ νεωτερικῶς· ἐκείνου δὲ τελευτήσαντος τὸ μὲν σχῆμα τῶν D
μοναστῶν ἀμφιέννυται αὖθις, τὴν δέ γε γνώμην αὐτοῦ οὐκ ἠλλοίωσε.

6 ἀνθρώπων C 11 τὰ] τὸ C 12 κατέλεξε C 13 τῷ βασιλεῖ om C 14 τοῦτον om C 22 μοναχῶν C

palatio nascitur, quem a patre Constantinum nominavit. ceterum imperator iuvenis voluptatibus deditus, curam rei publicae Iosepho primario suo cubiculario cognomento Bringae commisit: ipse in aliam nullam rem incubuit quam ut cum exoletis ac impuris homuncionibus, scortis, mimis atque scurris vitam transigeret infamem. eapropter Ioannem quendam clericum spadonem, quem ob turpia quaedam facinora Constantinus imperator proturbarat et monachum fecerat, et qui usque ad eius mortem abditus latuerat, imperio potitus monachi habitu exuit, clericique reddito amictu inter suos recepit cubicularios. at Polyeuctus iusta indignatione concitus vehementer imperatorem urgebat, ut sua familia eiiceret hominem qui votum monasticum eiurasset. tamen imperatore excusante, quod negaret eum re vera monachi condiciones amplexum aut illi generi vitae ab ullo sacerdote votis consecratum fuisse, sed tantum ista metu imperatoris simulasse, deceptus eum missum fecit, Iosepho etiam diligentem in hac re navante operam. ita Ioannes ille usque ad mortem Romani profanam novo instituto vitam exegit: mortuo eo rursus monastico velatus habitu, animum tamen non mutavit.

Τούτῳ τῷ ἔτει Νικηφόρον μάγιστρον τὸν Φωκᾶν, δομέστικον ἤδη προβεβλημένον τῶν σχολῶν τῆς ἀνατολῆς παρὰ Κωνσταντίνου τοῦ βασιλέως, καὶ πολλὰ τρόπαια στήσαντα κατὰ τῶν ἑῴων Σαρακηνῶν, καὶ τόν τε τῆς Ταρσοῦ ἀμηρᾶν Καραμούντην καὶ Χαβδᾶν τὸν τοῦ Χάλεπ καὶ τὸν Τριπόλεως Ἰζὴθ ὁλοσχερῶς ταπεινώσαντα, πέμπει κατὰ τῶν ἐν τῇ Κρήτῃ Σαρακηνῶν, πλῆθος ἐπιλέκτων στρατιωτῶν ἐπιδοὺς αὐτῷ καὶ στόλον κατηρτισμένον
P 643 καλῶς. ἐν τῇ νήσῳ δ' οὗτος περαιωθείς, καὶ κατὰ τὴν πρώτην ἀπόβασιν παροῦσι καὶ κωλύουσι συμπλακεὶς τοῖς Ἀγαρηνοῖς καὶ τούτους τρεψάμενος, αὐτός τε ἀσφαλῶς ἀπέβη καὶ τὸν στρατὸν ἀπεβίβασεν ἀκινδύνως. χάρακά τε οὖν ἐπήξατο καρτερόν, τάφρῳ βαθείᾳ καὶ σταυρώμασι καὶ πασσάλοις τοῦτον κατοχυρώσας, καὶ τὸν στόλον ἐν ὅρμοις γαληνοτάτοις ὁρμίσας καὶ πάντα καταστησάμενος κατὰ τὸ ἀσφαλὲς ἐνεργῶς ἥπτετο τῆς πολιορκίας τῶν ἐν τῇ νήσῳ πόλεων, καὶ δι' ὅλων ζ' μηνῶν πάσαις μηχαναῖς πολιορκητικῶν ὀργάνων χρησάμενος καὶ τὰ τείχη καταστρέφων τάς τε πόλεις καὶ τὰ φρούρια ἐχειρώσατο. τῇ ζ' δὲ τοῦ Μαρτίου μηνός,
B τῆς ιδ' ἰνδικτιῶνος, καὶ τὴν πασῶν ὀχυρωτέραν πόλιν, ἣν ἐγχωρίως Χάνδακα ἐκάλουν, πεπορθηκώς, καὶ τὸν ἀμηρεύοντα τῆς νήσου Κουρούπην ὄνομα λαβὼν αἰχμάλωτον καὶ Ἀνεμᾶν τὸν μετ' αὐτὸν ἐν τῇ νήσῳ πρωτεύοντα, καὶ τὴν νῆσον ὅλην δουλωσάμενος, ἔμελλε μὲν ἐπὶ πλείονα ἐμμεῖναι χρόνον καὶ τὰ κατ' αὐτὴν κατα-

4 καραμούνην C 5 χαμβδᾶν C χάλεπε C τριπολίτην C 6 τῇ om C 7 αὐτοῖς C 18 ιδ'] δ' C 22 προσμεῖναι C

Hoc anno Nicephorum Phocam magistrum et scholarum Orientalium domesticum a Constantino imperatore creatum, qui de Orientalibus Saracenis multa statuerat tropaea, et Tarsi Caramonem, Chabdanem Chalepi, Izethum Tripolis ameras prorsus compescuerat, imperator cum delecto militum exercitu et probe adornata classe contra Cretenses Saracenos emittit. Phocas classe in Cretam traiecta, cum primum navibus suos educeret, Agarenos prohibere aggressos praelio fundit; et cum ipse tuto insulam egreditur, tum suos absque periculo in eam exportat. inde castris positis, iisque alta fossa vallo ac palis defixis communitis, naves tutissimis in stationibus continens, omnibus probe constitutis, insulae urbes omni vi oppugnat, ac septem integros per menses omnibus machinis ad eam rem facientibus usus muros prosternit, urbesque et castella vi capit. septima die Martii mensis, indictione decima quarta, Chandacem ab insularibus vocatam, omnium Cretae urbium munitissimam, expugnat; Curupem insulae ameram, et Anemam, cuius secundum Curupam summa erat potestas, vivos in suam potestatem redigit; totaque iam subacta insula, eius constituendae causa adhuc aliquid temporis

στήσεσθαι, φήμης δὲ κρατούσης ὡς ὁ μέλλων κατασχεῖν αὐτὴν Ῥωμαῖος ἀνὴρ ἐξ ἀνάγκης βασιλεύσει Ῥωμαίων, ἅμα τῷ γνωσθῆναι τὴν τῆς νήσου κατάσχεσιν ταῖς τοῦ Ἰωσὴφ ὑποθήκαις πεισθεὶς ὁ Ῥωμανὸς προσεκαλέσατο τὸν Νικηφόρον ἐκεῖθεν. ἔτι δὲ τοῦ Νικηφόρου τῇ Κρήτῃ ἐνδιατρίβοντος, ἵνα μὴ τὴν ἑῴαν κατατρέχοιεν οἱ τῆς ἀνατολῆς Ἄραβες καὶ μᾶλλον ὁ Χαβδᾶν ὁ τοῦ C Χάλεπ ἀμηρᾶς, πολεμικὸς ὢν καὶ τῶν ἄλλων δραστηριώτερος, Λέοντα τὸν Φωκᾶν τὸν τοῦ Νικηφόρου ἀδελφὸν μάγιστρον τιμήσας ὁ Ῥωμανὸς τὴν τοῦ δομεστίκου διακονίαν διέπειν ἀπέστειλεν. οὗτος δὲ διαπεράσας καὶ τῷ Χαβδᾶν συναντήσας ἔν τινι χωρίῳ Ἀνδρασσῷ λεγομένῳ τρέπεται τοῦτον κατὰ κράτος καὶ ἀφανισμῷ παραδίδωσι, τῶν μὲν ἐν τῇ προσβολῇ πεσόντων οὐδ' ἀριθμῷ καθυποβληθῆναι δυναμένων, τῶν δὲ ἁλόντων καὶ ἐν τῇ πόλει πεμφθέντων τοσοῦτον ἦν τὸ πλῆθος ὡς πληρῶσαι δούλων καὶ τὰς ἀστικὰς οἰκίας καὶ τοὺς ἀγρούς. μόνος δὲ ὁ τούτων ἀρχηγὸς Χαβδᾶν σὺν ὀλίγοις λίαν τὸν κίνδυνον διαδρὰς εἰς τὰ οἰκεῖα ἤδη ἀνεκομίσθη. εἰσελθόντα δὲ τὸν Λέοντα μάλα φιλοφρόνως ὁ βα- D σιλεὺς ὑπεδέξατο ἐπινικίοις τε θριάμβοις τετίμηκε καὶ γερῶν τῶν κατ' ἀξίαν ἠξίωσε, τιμήσας καὶ προβιβάσας καὶ πάντας τοὺς σὺν αὐτῷ ἀριστεύσαντας.

Τῷ δὲ δευτέρῳ ἔτει τῆς βασιλείας Ῥωμανοῦ πολλοὶ τῶν πολιτευομένων ἑάλωσαν ἐπιβεβουλευκότες αὐτῷ. εἶχον δὲ καὶ

5 τῇ Κρήτῃ] ἐκεῖσε C 6 χαμβδᾶν C, ut solet 11 ἀδαρασσῷ C

ibi exigere statuit. enimvero obtinuerat fama eum Romanum virum qui Cretam esset capturus, necessario etiam imperio Romano potiturum. itaque simul atque renuntiatum est Cretam esse captam, Romanus Iosephi hortatu mittit qui inde Nicephorum avocent. adhuc in Creta eo agente, ne Arabes orientales Romanam dicionem infestarent, Chabdanus praecipue Chalepi ameras, vir bellicosus et reliquis strenuior, Romanus Leonem Phocam Nicephori fratrem magisterii honore ornatum eo mittit ac domestici munus obire iubet. is ut in provinciam venit, Chabdano occurrit ad locum cui Andrasso nomen, praelioque congressus vincit ac fundit. eo in praelio Agarenorum innumerabilis cecidit multitudo, reliqui capti Cpolin sunt missi, tanta copia ut servis domus urbanae et agri fuerint repleti. Chabdanus cum paucis admodum suorum fuga elapsus domum pervenit. Leonem in urbem reversum imperator comiter admodum honorificeque excepit, triumphoque et praemiis dignis remuneratus est. honorem etiam habuit reliquis omnibus, quorum eo bello spectata fuit virtus, eosque evexit.

Imperante annum secundum Romano, multi eorum qui in re publica erant primo loco, insidiarum in imperatorem comperti sunt. princeps

πρωτουργὸν καὶ πρωταίτιον Βασίλειον μάγιστρον τὸν λεγόμενον Πετεινὸν καί τινας ἄλλους τῶν ἐπισήμων, τὸν πατρίκιον Πασχάλιον, τὸν πατρίκιον Βάρδαν τὸν τοῦ Λιβός, καὶ Νικόλαον τὸν
P 644 Χαλκούτζην· οἵτινες ἐβουλεύσαντο κατὰ τὴν ἡμέραν τῶν ἱππικῶν ἀγώνων κατιόντα διαχειρίσασθαι τὸν βασιλέα, καὶ τὸν Βασίλειον ἐπὶ τοῦ βασιλικοῦ καθίσαντες θρόνου ἀναγορεῦσαι βασιλέα. ἀλλὰ τῆς ἐπιβουλῆς μηνυθείσης τῷ βασιλεῖ παρά τινος τῶν συνωμοτῶν, Ἰωαννικίου τοὔνομα, τῷ γένει Σαρακηνοῦ, πρὶν ἢ τὴν κυρίαν ἐνστῆναι κρατηθέντες παρὰ τοῦ Ἰωσὴφ καὶ ἐλεγχθέντες καὶ ἀπηνῶς αἰκισθέντες ἄνευ μόνου τοῦ Βασιλείου, καὶ κατ' αὐτὴν τὴν ἡμέραν τοῦ ἀγῶνος θριαμβευθέντες, ἐξορίᾳ παρεπέμφθησαν καὶ ἀπεκάρησαν μοναχοί. χρόνον δέ τινα βραχὺν ἐν αὐτῇ ταλαι-
B πωρηθέντες ἀνεκλήθησαν φιλανθρώπως αὐτοῖς χρησαμένου τοῦ βασιλέως. μόνος δὲ Βασίλειος ὁ Πετεινὸς ἔκφρων γενόμενος ἐτελεύτησεν ἐν Προικοννήσῳ, τῆς δίκης αὐτὸν μετελθούσης ἀνθ' ὧν δολίως εἰς Στέφανον ἐνεδείξατο τὸν βασιλέα, προδεδωκὼς τοῦτον τῷ Κωνσταντίνῳ.

Τὰ δὲ περὶ τὸν Πετεινὸν καὶ τοὺς ἄλλους ἰδὼν ὁ μάγιστρος Ῥωμανὸς ὁ Σαρωνίτης, ἐπὶ θυγατρὶ γαμβρὸς ὢν Ῥωμανοῦ γέροντος, καὶ μὴ τὰ ὅμοια καὶ αὐτὸς πάθοι φοβηθείς, φθονούμενος διὰ τὴν ἑαυτοῦ περιφάνειαν καὶ ὑποπτευόμενος, τὴν ἑαυτοῦ οὐσίαν τοῖς τέκνοις ὡς ἐβούλετο διαμερίσας καὶ τὴν ὑπόλοιπον πένησι διανείμας τὸ τῶν μοναχῶν περιβάλλεται ἔνδυμα. καὶ ἐν τῇ τῶν

14 βασ.] ῥωμανοῦ C 23 διαδοὺς C

auctorque coniurationis fuit Basilius Volucris magister, socios habens ex illustribus patricium Paschalium, patricium Bardam Libis filium, et Nicolaum Chalcutzam. ii statuerant, quo die ludi equestres fierent, imperatorem a palatio descendentem necare, in solio eius Basilium collocare et imperatorem proclamare. sed patefecit Romano eorum institutum socius conspirationis Ioannicius, natione Saracenus. itaque antequam dies definita appeteret, a Iosepho comprehensi convicti crudeliterque excruciati, solo Basilio excepto, ea ipsa ludorum equestrium die in triumpho ducti sunt et relegati rasoque capite monachi facti. quanquam ea fuit in ipsos imperatoris humanitas, ut exiguum temporis miserias exsilii expertos revocaverit. solus Basilius Volucris insania correptus in Proconneso periit, poenasque dedit proditi Constantino per fraudem Stephani imperatoris.

At enim magister Romanus Saronita, gener senis Romani, quae Volucri et aliis evenissent cernens, veritusque ne idem sibi contingeret, quia ob splendorem suum invisus suspectusque esset, opes suas suo arbitratu inter liberos suos distribuit, et reliqua pauperibus elargitus in monasterium Elegmon se contulit, ibique monachus multos per

Ἐλεγμῶν μονῇ γενόμενος, καὶ χρόνον συχνὸν ἐν αὐτῇ παραμείνας, C ὑπὸ τῶν μετὰ ταῦτα βασιλέων ἐτιμήθη διαφερόντως.

Κατὰ τούτους τοὺς χρόνους ἀνήρ τις ἀνεφάνη Φιλώραιος καλούμενος, ὑπασπιστὴς ὢν Ῥωμανοῦ μαγίστρου τοῦ Μωσηλέ, τοῦ ἐκγόνου Ῥωμανοῦ τοῦ γέροντος. οὗτος ἄνωθεν ἵππου ὠκυτάτου ἐπὶ τῆς ἐφεστρίδος ἱστάμενος ὄρθιος, καὶ ξίφος ταῖς χερσὶ βαστάζων, τοῦ ἵππου τρέχοντος ὅσον ἐδύνατο κυκλῶν ἐπῄει τὸν εὔριπον τῆς ἱπποδρομίας, στρέφων ἄνω καὶ κάτω τὸ ξίφος καὶ μηδ' ὅλως ὑπολισθαίνων τῆς στάσεως.

Ἐπέδωκε δ' ἐν ταῖς ἡμέραις ταύταις καὶ πάλαι τὴν Ῥωμαίων ἐπιόν τε καὶ λυμαινόμενον καὶ διαφθεῖρον τοὺς βόας τὸ λοιμικὸν πάθος, ὃ κράβρα κατονομάζεται. φασὶ δὲ τὴν ἀρχὴν τοῦτο D λαβεῖν ἐπὶ τῶν ἡμερῶν τοῦ γέροντος Ῥωμανοῦ. ἔγγιστα γὰρ τῆς τοῦ Βώνου κινστέρνης ἀναψυχὴν ἑαυτῷ τῆς θερινῆς θέρμης παλάτια τοῦ Ῥωμανοῦ ἀνεγείροντος, καὶ τῶν θεμελίων καταβαλλομένων, βοός φασιν εὑρεθῆναι μαρμαρίνου κεφαλήν, ἣν οἱ εὑρόντες συντρίψαντες εἰς τὴν τοῦ τιτάνου κάμινον ἐμβάλλουσιν. ἐξ ἐκείνου δ' ἄχρι τῶν τῆδε χρόνων οὐκ ἐπαύσαντο πανταχοῦ τῆς γῆς ὑπόσην ἡ τῶν Ῥωμαίων περιέχει δυναστεία, τὰ τῶν βοῶν διαφθείρεσθαι γένη.

Ὁ δὲ Ῥωμανὸς παρορμώμενος ὑπὸ τῆς αὐτοῦ γυναικὸς κατενεγκεῖν ἐπειράθη τῶν βασιλείων Ἑλένην τε τὴν μητέρα καὶ τὰς ἀδελφάς, καὶ ἐν τοῖς παλατίοις τῶν Ἀντιόχου περιορίσαι. γνοῦσα

6 τῆς σέλλας margo C 8 τὸν εὔρ.] τὸν κύκλον margo C
17 βάλλουσιν C 18 ἐκαύσατο C

annos vixit, estque ab imperatoribus subsequentibus in magno honore habitus.

Per idem tempus vir quidam exstitit Philoraeus nomine, stipator magistri Romani Moselis, prognati a Romano sene. is vir iniecta veste equo celerrimo ei insistebat rectus, gladium manibus gestans, quem equo concitatissime currente rotans euripum Circi percurrebat, gladium sursum deorsumque versans, et ne minimum quidem vestigio suo elabens.

Tunc etiam intendit sese morbus pestilens, nomine crabra, iamdudum boves Romanorum tentans atque perdens. ferunt id coepisse imperante Romano sene. cum enim proxime Boni cisternam palatium ille conderet, in quo se ab ardore solis aestivo refrigeraret, dum fundamenta parantur, effossum ferunt bovis marmorei caput, quod ab iis qui repererant confractum et in fornacem calcariam iniectum est. ex eo tempore in hunc usque diem pestis armenta boum per universam Romanorum dicionem infestare nunquam desiit.

Porro imperator uxoris instinctu Helenam matrem et sorores suas aula amovere et in palatium Antiochi relegare statuit. quod ubi resci-

P 645 δὲ τοῦτο ἡ Ἑλένη καὶ πρὸς θρήνους τραπεῖσα καὶ ἀρὰς ἐδυσώπησε τὸν υἱόν, διευλαβηθέντα τὰς ἐξ αὐτῆς κατάρας. ἀλλ' αὕτη μὲν εἰάθη μένειν κατὰ χώραν, τὰς δ' ἀδελφὰς καταγαγὼν διὰ Ἰωάννου καθηγεμόνος τῶν Στουδίου ἀπέκειρε μοναχάς. αἱ δὲ ἅμα τῇ ὑποχωρήσει τούτου τὴν μοναχικὴν ἀποδυσάμεναι ἐσθῆτα ἐκρεωφάγουν. ἡ δὲ Ἑλένη τῇ τῶν θυγατέρων καταγωγῇ περιαλγήσασα, καὶ μικρὸν ἐπιζήσασα χρόνον, τῇ κ' τοῦ Σεπτεμβρίου μηνὸς τῆς ε' ἰνδικτιῶνος ἀπεβίω, καὶ βασιλικῶς ἐκκομισθεῖσα ἐτάφη ἐν τῇ λάρνακι τοῦ πατρός.

Νικηφόρος δὲ ὁ Φωκᾶς, ὡς ἔμπροσθεν εἴρηται, προστα-
B χθεὶς ἐκ Κρήτης ἐπανελθεῖν οὐ συνεχωρήθη εἰσελθεῖν εἰς τὴν βασιλεύουσαν, ἀλλ' ἐν τῇ ἀνατολῇ ἐκελεύσθη παραγενέσθαι μετὰ παντὸς τοῦ στρατοῦ. ἀναλαμβάνων γὰρ ἑαυτὸν ἐκ τῆς προτέρας ἥττης ὁ Χαβδᾶν ἀναφέρειν ἤρξατο πάλιν, καὶ στρατὸν ἀξιόμαχον ἠθροικὼς προσδόκιμος ἦν ἐπιθήσεσθαι τοῖς Ῥωμαίων ἄρχουσί τε καὶ πράγμασιν. ἀλλ' ἐν Συρίᾳ γενόμενος ὁ Φωκᾶς, καὶ σταδαίᾳ μάχῃ τοῦτον τρεψάμενος καὶ κατὰ κράτος ἡττήσας καὶ εἰς τὰ ἐνδότερα τῆς Συρίας ἀπελάσας, τὴν πόλιν Βέρροιαν ἐξεπόρθησε δίχα τῆς ἀκροπόλεως, καὶ πολὺν πλοῦτον λείαν καὶ αἰχμαλώτους ἔλαβεν, ἐλευθερώσας καὶ τοὺς ἐκεῖσε δεσμίους κατεχομένους Χριστιανοὺς καὶ ἐπ' οἴκου ἐκπέμψας.

C ιε' δὲ Μαρτίου μηνός, τῆς ϛ' ἰνδικτιῶνος, ἐν ἔτει ,ϛυοα',

11 ἀπὸ C 15 εἰληφὼς C ἄρχουσί τε καὶ om C 19 λείαν om C 20 κατεχομένους δεσμίους C

vit Helena, ad quiritationes et exsecrationes conversa filium earum metu a proposito deterruit, estque permissum ei ut in palatio maneret. sorores tamen opera Ioannis, qui Studiani monasterii erat praefectus, abduxit imperator et monachas fecit; quae statim eo digresso vestem monasticam exuerunt et carnes manducarunt. Helena filias aula motas aegerrime tulit, neque diu supervixit, sed diem suum obiit die 20 Septembris, indictione 5. et regali funere elata in arcam patris est recondita.

Nicephorus autem Phocas Creta, uti diximus, iussus decedere ita est ut non liceret ei Cpolin inde redire: sed mandatum est ut cum omni exercitu in Orientem transiret. nam ab accepta clade se recolligens Chabdanus iam sese erigebat, coactoque ad pugnam idoneo exercitu, videbatur iamiam in Romanos moturus. eum Phocas, in Syriam ut venit, praelio superavit ac fudit, et in Syriam interiorem compulit; urbem Berrhoeam excepta arce evastavit, magnasque ibi opes, praedam locupletem et multos captivos abduxit, liberatis etiam et domum dimissis Christianis qui ibi captivi detenti fuerant.

Anno mundi 6471 mortuus est Romanus imperator, 15 die Martii

ἐτελεύτησε Ῥωμανὸς ὁ βασιλεύς, ἐτῶν ὑπάρχων κδ', βασιλεύσας ἔτη γ' μῆνας δ' καὶ ἡμέρας ε', ὡς μέν τινες, τὸ ἑαυτοῦ σαρκίον προκαταναλώσας ταῖς αἰσχίσταις καὶ φιληδόνοις πράξεσιν, ὡς δ' ἕτερος ἔχει λόγος, φαρμάκοις ἀναιρεθείς. διαδέχονται δὲ τὴν αὐτοῦ βασιλείαν Βασίλειος καὶ Κωνσταντῖνος οἱ παῖδες αὐτοῦ σὺν Θεοφανοῖ τῇ μητρί, τεχθείσης αὐτῷ καὶ θυγατρὸς πρὸ δύο ἡμερῶν τῆς αὐτοῦ τελευτῆς, ἣν Ἄνναν ὠνόμασαν. ἦν δὲ ὁ Ῥωμανὸς μέγας τὴν ἡλικίαν, εἰ καὶ ἐλάττων ἦν τοῦ πατρός, τὸ ἦθος ἥμερον ἔχων καὶ πρᾶον καὶ τὸ φρόνημα μέτριον. καίπερ δὲ νέος ὤν, ἀγχίνους ἦν καὶ ὀξὺς καὶ τὰ πολιτικὰ κυβερνᾶν ἱκανώτατος, εἴπερ D ἄρα συνεχωρεῖτο παρὰ τῶν θεραπόντων. ἀλλὰ τοῦτον οἱ οἰκειότατοι ταῖς τῆς νεότητος ἐκδεδωκότες ὁρμαῖς, ἵν' ἐκεῖνοι τὰ κοινὰ μετιόντες πλοῦτον ἄφατον ἀποθησαυρίσωσιν, ἀνενέργητον καὶ ἀνεπιτήδειον ἀπεφήναντο.

Ἀπριλλίῳ δὲ μηνί, τῆς αὐτῆς ϛ' ἰνδικτιῶνος, εἴσεισιν ὁ Φωκᾶς Νικηφόρος τῇ τῆς δεσποίνης κελεύσει, τοῦ Ἰωσὴφ καθάπερ καὶ πάλαι κωλύοντος, ἐν Κωνσταντινουπόλει· καὶ ἀπὸ τῶν ἐκ τῆς Κρήτης λαφύρων καὶ τῆς Βερροίας ἐθριάμβευσεν ἐν τῷ ἱπποδρόμῳ, κομίσας καὶ μέρος τι τοῦ ἱματίου τοῦ βαπτιστοῦ Ἰωάννου, ὅπερ εὗρεν ἐν τῇ Βερροίᾳ ἐναποκείμενον. τοῦτον δὲ P 646 ἐδεδίει καὶ δι' ὑποψίας εἶχεν ὁ Βρίγγας· ἀλλ' ὑπούλως οὗτος ὑποκρινάμενος ἐξαπατῆσαι τοῦτον ἴσχυσε τρόπῳ τοιῷδε. ἕνα

3 αἰσχίστοις C 6 Θεοφανὼ C 12 ἐκδεδώκασιν C 15 ϛ' om C 16 καθάπαξ καὶ πάλιν C 18 ἐν τῇ κρήτῃ C 20 ἀποκείμενον C 21 ὑπούλως ἔχειν ὑποκρινάμενος οὗτος C

mensis, indictione 6, annos natus 24. imperavit annos 3, menses 4, dies 5. mortis causam alii fuisse tradunt, quod luxuriosa et voluptatibus dedita vita corpusculum attrivisset: alii veneno exstinctum putant. imperium eius morte ad Basilium et Constantinum ipsius filios et eorum matrem Theophanonem rediit; quae biduo ante mortem mariti filiam quoque peperit, cui Annae nomen fecerunt. statura fuit Romanus magna, quanquam patre minor, ingenio placido ac mansueto, et mediocriter animatus; et quamvis erat iuvenis, satis illi tamen fuisset ingenii ac perspicaciae ad rem publicam gubernandam, si ei id per famulos licuisset, qui eum iuvenilibus cupiditatibus ac studiis deditum esse voluerunt, ut ipsi rem publicam tractantes ingentes corraderent opes; atque hac ratione eum ignavum et inertem redegerunt.

Eadem 6 indictione, mense Aprili, iussu Augustae Nicephorus Phocas Cpolin venit, Iosepho, ut et ante, ne hoc fieret obstante. duxit triumphum in Circo, inferens in eo Cretensia et Berrhoeensia spolia. attulit et partem quandam vestis Ioannis baptistae, quam Berrhoeae repositam invenerat. metuebat hunc Bringas et suspectum habebat: sed Nicephorus cum callido elusit hoc commento. Phocas

τινὰ τῶν ὑπασπιστῶν εἰληφὼς ὁ Φωκᾶς περὶ ὥραν ἀρίστου εἰς τὸν οἶκον ἄπεισι τοῦ Ἰωσήφ, καὶ κόψας τὴν θύραν ὅστις εἴη μηνύειν ἐκέλευσε τῷ θυρωρῷ. μηνύσαντος δὲ κελευσθεὶς εἰσέρεισι, καὶ κατ' ἰδίαν παραλαβὼν τὸν Ἰωσὴφ δείκνυσιν αὐτῷ τρίχινον ἔνδυμα, ὅπερ ἔνδοθεν τῶν ἱματίων ἠμφίεστο, καὶ μεθ' ὅρκων ἐπληροφόρησεν ὡς τὴν τῶν μοναχῶν ἀσπαζόμενος πολιτείαν B πάλαι ἂν περιεβάλετο τὸ σχῆμα καὶ τῶν βιωτικῶν ὑπεξήγαγεν ἑαυτὸν φροντίδων, εἰ μὴ ἐπέσχεν αὐτὸν ἡ τῶν βασιλέων προσπάθεια Κωνσταντίνου καὶ Ῥωμανοῦ, καὶ μέλλειν ὅσον οὔπω τὸν οἰκεῖον ἐκπληρῶσαι σκοπόν· καὶ μὴ μάτην ὑποπτεύεσθαι καθικέτευσε. τοῦτο θεασάμενος ὁ Ἰωσὴφ πίπτει εὐθέως πρὸς τοὺς πόδας αὐτοῦ, μετάνοιαν ἐκζητῶν, καὶ ὡς οὐ πιστεύσει τινὶ πληροφορῶν λέγοντί ποτε κατ' αὐτοῦ.* ὑφεωρᾶτο δὲ ὁ Βρίγγας καὶ Στέφανον τὸν βασιλέα, τοῖς ζῶσι μέχρι τότε συναριθμούμενον καὶ ἐξόριστον ἐν Μηθύμνῃ τυγχάνοντα, καὶ διὰ παντὸς ἐφρόντιζεν ὑπὸ ἀκριβεστέραν αὐτὸν εἶναι φυλακήν. ἀλλ' ἐκεῖνος κατὰ τὴν C ἑορτὴν τοῦ μεγάλου σαββάτου τῶν θείων μετεσχηκὼς μυστηρίων αἰφνιδίως εὐθὺς τέθνηκε, μηδεμιᾶς προηγησαμένης αἰτίας, ἀλλὰ τῆς Θεοφανοῦς, εἰ καὶ πόρρωθεν κατῴκιστο, κατεργασαμένης αὐτόν.

Πέτρος δὲ ὁ τῶν Βουλγάρων βασιλεὺς τὴν εἰρήνην τάχα ἀνανεούμενος ἀποθανούσης τῆς αὐτοῦ γυναικός, σπονδὰς πρὸς τοὺς βασιλεῖς ἔθετο, ὁμήρους δοὺς καὶ τοὺς οἰκείους δύο υἱοὺς

1 ὁ φωκᾶς om C 7 πάλιν C 9 μέλλει C 14 μέχρι τότε τοῖς ζῶσι C 21 ἀρχηγὸς τῆς γυναικὸς αὐτοῦ θανούσης τὴν C 23 θέμενος C

assumpto uno suorum stipatorum sub horam prandii ad domum Iosephi sese confert: pulsatis foribus ianitori mandat ut se adesse domino indicet. admissus Iosepho seorsim abducto indusium ex pilis contextum ostendit, iuramentoque confirmat se vitae monasticae cupidum iampridem fuisse: eam huius seculi curis repudiatis initurum, nisi fuisset studio et fide in Constantinum et Romanum sua impeditus. sed se paulo post desiderium suum impleturum. submisse contendere ab ipso ne frustra de se alienum aliquid suspicetur. hoc viso Bringas statim Phocae ad pedes accidit et veniam flagitavit, pollicitus nemini se quicquam de eo deferenti crediturum. metuebat etiam Stephanum Romani filium Iosephus, viventem etiamnum et Methymnae exsulantem; semperque cogitabat quomodo artiori cum custodia constringeret. verum Stephanus in festivitate magni sabbati divinis impertitus mysteriis subito vitam cum morte commutavit, nulla antegressa causa. sed nimirum Theophano eum, quanquam procul remotum, sustulit.

Per idem tempus Petrus Bulgarorum princeps, mortua sua uxore, renovandae pacis causa foedus cum imperatoribus icit, obsidesque dat

Βορίσην καὶ Ῥωμανόν· καὶ μετὰ μικρὸν ἀπεβίω. οἱ δὲ υἱοὶ αὐτοῦ ἐν Βουλγαρίᾳ ἐπέμφθησαν μετὰ ταῦτα ἐφ' ᾧ τῆς πατρῴας ἀντισχέσθαι βασιλείας, καὶ τοὺς κομητοπούλους ἀπείρξουσι τῆς πρόσω φορᾶς. Δαβὶδ γὰρ καὶ Μωϋσῆς καὶ Ἀαρὼν καὶ Σαμουήλ, D
ἑνὸς ὄντες παῖδες τῶν μέγα δυνηθέντων ἐν Βουλγαρίᾳ κομήτων, πρὸς ἀποστασίαν ἀπεῖδον καὶ τὰ Βουλγάρων ἀνέσειον. καὶ ταῦτα μὲν συνηνέχθη ὧδε.

Ὁ δὲ Βρίγγας ὃν εἴπομεν τρόπον ἀπατηθεὶς ὑπὸ τοῦ Νικηφόρου, καὶ τοῦτον ἐάσας οἴκαδε ἀπελθεῖν, μετεμέλετο, καὶ ἐν δεινῷ ἐποιεῖτο ὅτιπερ ἐντὸς ἀρκύων ἔχων τὸ θήραμα ἔλαθε τοῦτο φρενοβλαβῶς προηκάμενος. ἐμερίμνα γοῦν πῶς καὶ ποίᾳ μηχανῇ τῆς ἀπὸ τούτων ἀπολυθείη φροντίδος. καὶ ἔδοξεν αὐτῷ λυσιτελέστατον εἶναι πρὸς Ἰωάννην μάγιστρον γράψαι τὸν Τζιμισκῆν, ἄνδρα θυμοειδῆ καὶ δραστήριον ὄντα καὶ μετὰ τὸν Φωκᾶν ἐν τοῖς Ῥωμαίων ἐπισημότατον στρατηγοῖς, στρατηγὸν τηνικαῦτα τῶν ἀνατολικῶν ὑπάρχοντα, ἔτι δὲ πρὸς τὸν μάγιστρον Ῥωμανὸν τὸν Κουρκούαν, φανερώτατον καὶ ἐπίσημον καὶ αὐτὸν στρατηλάτην P 647
ὄντα τῆς ἀνατολῆς, γράμματα πέμψαι, καὶ φιλοτιμιῶν ὑποσχέσεσι καὶ δωρεῶν καὶ τιμῶν διεγεῖραι τούτους πρὸς καθαίρεσιν τοῦ Φωκᾶ. ἐγένοντο τὰ γράμματα, καὶ ὁ νοῦς τῶν γεγραμμένων ὑπῆρχεν οὗτος. εἰ διαναστάντες καθαιρήσουσι τὸν Φωκᾶν καὶ μοναχὸν ἀποκείρουσιν ἢ τρόπον ἄλλον ἐκ μέσου ποιήσουσι, τὴν μὲν τοῦ δομεστίκου τῶν σχολῶν τῆς ἀνατολῆς μεγίστην ἀρχὴν

1 βυρίσην C 3 κομητοπώλους C ἀπείρξω C 4 μωσῆς C 5 δυναμένων C 6 ἀνέστον C 8 τοῦ om C 12 ἔδοξεν οὖν C 14 τὸν om C 20 ἐγένετο C

filios suos Borisen et Romanum; ac paulo post moritur. filii eius in Bulgariam remittuntur, ut paternum imperium occupent et Cometopulorum impetum reprimant. nam Davidus Moses Aaron et Samuelus, filii cuiusdam in Bulgaria largiter potentis comitis, res novas moliebantur et Bulgaros concitabant. atque ita tunc res acta.

Interim Bringas a Nicephoro, ut exposuimus, deceptus, eumque domum suam abire passus, poenitentia duci, et inique ferre quod petitam praedam stulte ex ipsis cassibus dimisisset, soliciteque meditari qua arte quave machina metu, quem de eo conceperat, se liberaret. tandem maxime e re fore visum magistrum Ioannem Tzimiscem, virum animosum ac strenuum et secundum Phocam inter Romanos duces praecipuum, eo tempore Orientalium praefectum, itemque magistrum Romanum Curcuam, illustrem et ipsum Orientis ducem, per literas adversus Nicephorum Phocam excitare magnificis donorum et honorum pollicitationibus. sententia literarum haec erat. si Phocam opprimerent, et vel monachum facerent vel quocunque modo e medio tollerent, Ioannem

λήψεται ὁ Ἰωάννης, τὴν δὲ τοῦ δομεστίκου τῆς δύσεως ὁ Ῥωμανός. κομισθέντων οὖν τῶν γραμμάτων τοῖς δηλωθεῖσιν ἀνδράσιν, ἐπείπερ σχετικῶς ἐκεῖνοι εἶχον πρὸς τὸν Φωκᾶν, ἐπανα-
B γινώσκουσί τε αὐτῷ εὐθέως τὰ γράμματα, καὶ διαναστῆναι πρὸς ἀλκὴν τὸν Φωκᾶν καὶ γενναῖόν τι καὶ νεανικὸν ἐννοήσασθαι παρεκάλουν. ὀκνοῦντα δὲ καὶ ἀναδυόμενον καὶ αὐτοχείρως ἠπείλουν διαχειρίσασθαι. διὸ καὶ πρὸς τὸν τοῦ θανάτου ἀποδειλιάσας κίνδυνον τὴν πρόκλησιν ὑπεδέξατο. καὶ δευτέρᾳ τοῦ Ἰουλίου μηνός, τῆς αὐτῆς ϛʹ ἰνδικτιῶνος, ὑπὸ τῶν ἐν τῇ ἑῴᾳ στρατευμάτων ἁπάντων παρακεκινημένων ὑπὸ τοῦ Τζιμισκῆ Ῥωμαίων ἀναγορεύεται βασιλεύς.

Καὶ εἷς μὲν λόγος φέρεται οὕτως, ἕτερος δέ, ὁ καὶ δοκῶν ἀληθέστερος, ὡς πολὺν ὤδινε χρόνον τὴν τῆς βασιλείας ἐπιθυμίαν,
C καὶ οὐ τοσοῦτον αὐτὸν ὁ ταύτης ἔρως ἐξέφλεγεν ὅσον ὁ τῆς βασιλίδος Θεοφανοῦς, ἐντυχόντα τε αὐτῇ ὅτε τῇ βασιλευούσῃ διῆγε, καὶ πολλάκις πρὸς αὐτὴν ἐκπέμψαντα τὸν οἰκειότατον ὑπηρέτην αὐτοῦ Μιχαήλ. τοῦτο γὰρ καταφωράσας ὁ Βρίγγας ὑπόπτως διέκειτο πρὸς αὐτόν.

Τῆς τοίνυν ἀναρρήσεως αὐτοῦ φημισθείσης ἐν Κωνσταντινουπόλει, καὶ τῶν πραγμάτων ἐν ταραχῇ καθεστώτων, ὁ τὴν φροντίδα τῶν ὅλων ἀνεζωσμένος Ἰωσὴφ ἠγωνία καὶ διηπορεῖτο σφοδρῶς ὅ τι καὶ δράσειεν, ὅτι μηδὲ τοῖς πολίταις εὔνους ἦν διὰ
D τὸ δυσέντευκτον. κατελθόντος δὲ ἐν Χρυσουπόλει μετὰ παντὸς

5 τὸν φωκᾶν om C   9 ἕω C   14 ἐξέφλεξεν P, ἔφλεγεν cod. Coislin. 135   17 αὐτῷ, omisso ὑπηρέτην, C   23 χρυσοπόλει C

foro domesticum scholarum Orientis, Romanum Occidentis. Ii cum literas accepissent, Phocae eas, cui honeste cupiebant, recitant; hortanturque ut animum erigat ac fortiter rem magnam aggrediatur: tergiversantem suis se manibus, ni pareret, interfecturos minantur. ita demum Phocas periculo mortis territus assentit; et secunda die Iulii mensis, eadem indictione sexta, ab Orientalibus exercitibus omnibus a Tzimisca concitatis imperator Romanorum salutatur.

Fertur et alius hac de re, isque probabilior, sermo. iampridem eum cupiditate imperii, neque tamen tam huius quam Theophanus Augustae amore flagrasse, cum qua et collocutus fuerit cum in urbe ageret, et saepe ad eam Michaelum suorum famulorum fidissimum miserit; idque Bringam deprehendisse, et ob id suspiciones adversus eum concepisse.

Designatione Phocae Cpoli annuntiata, rebusque conturbatis, Iosephus, qui curam omnium rerum sustinebat, animi angebatur, neque satis inveniebat quid consilii sequeretur, cum ne cives quidem ei bene vellent, quibus se aditu difficilem praebere consuevisset. cum autem

τοῦ στρατοῦ Νικηφόρου τοῦ Φωκᾶ μετ' εὐφημιῶν, ἐβουλεύσατο ὁ Βρίγγας βασιλέα τινὰ προβαλέσθαι, διὰ τούτου οἰόμενος τὸν τόνον ἐκλῦσαι τῆς ὁρμῆς τοῦ στρατοῦ. τέως δὲ τῆς ἀναρρήσεως, ὡς εἴπομεν, τοῦ Φωκᾶ γενομένης Βάρδας μὲν ὁ τούτου πατὴρ (ἔτυχε γὰρ ἐνδημῶν τῇ βασιλίδι) ἱκέτης εἰσέρχεται πρὸς τὴν μεγάλην ἐκκλησίαν, Λέων δὲ ὁ ἐκείνου ἀδελφός, καίπερ φυλαττόμενος ἀκριβῶς, λαθὼν ἀπέδρα καὶ τῷ οἰκείῳ ἡνώθη ὁμαίμονι. οὗ γενομένου παρείθη τὴν ψυχὴν καὶ ἐν πάσῃ ἀμηχανίᾳ καὶ φόβῳ κατέστη ὁ Βρίγγας. ἦν γὰρ καὶ ἀνεπιτήδειος ἐν καιροῖς δυσκόλοις ὄχλον κολακεῦσαι καὶ καταδημαγωγῆσαι πλῆθος· δέον γὰρ προσηνέσι λόγοις καὶ θωπευτικοῖς τὴν τοῦ πλήθους καταμαλάξαι ὁρμήν, ὁ δὲ μᾶλλον ἐξετράχυνε καὶ ἠγρίωσε. πάντων γὰρ ἐν τῇ P. 648 μεγάλῃ συντρεχόντων ἐκκλησίᾳ, αὐτὸς τὸ πλῆθος ἐκδειματοῦν λόγους ἐπαφῆκεν ὑπερηφάνους τε καὶ τραχεῖς, "ἐγὼ" φήσας "καταπαύσω ὑμῶν τὴν ἰταμότητα καὶ ἀναισχυντίαν· ποιήσω γὰρ τὸν τοῦ νομίσματος ὠνουμένους σῖτον ἀποφέρεσθαι ἐν τῷ κόλπῳ."

Οὔπω παρῆλθεν ὁλόκληρος ἡμέρα ἀφ' οὗ τοῦτο εἴρηκε (κυριακὴ γὰρ ἦν, ἐννάτην ἄγοντος τοῦ Αὐγούστου μηνός), καὶ τῇ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας Βασίλειος ὁ Κωνσταντίνου τοῦ βασιλέως παρακοιμώμενος, δυσμενὴς καὶ ἔχθιστος ὢν τῷ Ἰωσήφ, τοῖς ἑαυτοῦ φίλοις καὶ συγγενέσι τοὺς οἰκείους συμμίξας θεράπον- B

1 μετ' — 4 γενομένης om C 7 ἀδελφῷ ἡνώθη C 11 προσφωναῖς καὶ λόγοις θ. C 12 ὁρμὴν καὶ φορὰν C 14 ἀφῆκεν C 15 ἀποφέρειν γὰρ ὑμᾶς ἐν τῷ κόλπῳ ποιήσω τὸν τοῦ νομίσματος σῖτον C 18 ὁλόκληρος om C 21 καὶ ἔχθιστος om C 22 μίξας C

Nicephorus universo exercitu faustis acclamationibus prosequente Chrysopolin venisset, de imperatore aliquo designando Iosephus cogitavit, ratus ea ratione se impetum militum retusurum. ad nuntium porro delati Phocae imperii huius pater Bardas, tum in urbe degens, supplex in magnum templum confugit: Leo autem frater Nicephori, tametsi accurate custodiebatur, tamen clam se subduxit et ad fratrem pervenit. his ita actis concidit animo Bringas, et in summis haesit difficultatibus. non enim aptus erat ad demulcendam periculosis temporibus multitudinem, sed ubi oportebat blandis sermonibus adulandoque eam demitigare, magis exasperabat atque irritabat. ita tum quoque omnibus in magnum templum concurrentibus, superbis atque asperis verbis populum ut perterreret, "ego" inquit "compescam vestram ferociam atque impudentiam: nam efficiam ut quod pro nomismate emitur frumenti, in sinu liceat portare." actum hoc die dominica, nona Augusti.

Vesperi huius ipsius diei Basilius Constantini imperatoris cubicularius intimus, Iosepho infensissimus, amicis ac propinquis suis suos ad-

τας κατὰ πολλὰ μέρη τῆς πόλεως πέπομφεν εἰς τοὺς οἴκους τῶν ἀντιπραττόντων αὐτῷ. καὶ ἀπὸ πρώτης ὥρας τῆς δευτέρας ἡμέρας μέχρις ἕκτης κατέστρεψαν καὶ ἐξηδάφισαν οἰκίας πλείστας τῶν πολιτῶν, ὧν ἐπισημοτέρα ἦν ἡ τοῦ Ἰωσήφ· οὐ γὰρ μόνον τῶν ἀντιβαίνειν δοκούντων ἐμφανῶν καὶ πολιτικῶν ἀνδρῶν, ἀλλὰ καὶ πολλῶν ἄλλων εὐτελεστέρων, ὧν οὐκ ἀριθμητὸν ἦν τὸ πλῆθος, κατεστράφησαν οἰκίαι· ᾧ γάρ ποτε διαφορὰ μετά τινος ἦν, πλῆθος ἀτάκτων μεθ' ἑαυτοῦ ἐπαγόμενος μηδενὸς κωλύοντος τοῦ-
C τον ἠφάνιζε. πολλοὶ δ' ἐν τῇ τοιαύτῃ ἀταξίᾳ καὶ ἄνθρωποι ἐφονεύθησαν. ταῦτα δὲ ποιοῦντες ἐν ταῖς πλατείαις τῆς πόλεως λεωφόροις ἔν τε ταῖς ἀγοραῖς ἔν τε τοῖς στενωποῖς Νικηφόρον ἀνευφήμουν Καλλίνικον. τοῦτο τὸ ἔργον ἐξάγει μὲν τῆς μεγάλης ἐκκλησίας Βάρδαν τὸν πατέρα τοῦ Φωκᾶ, φυγάδα οἰκτρὸν καὶ ὅσον οὐδέπω τὸν κίνδυνον ἐκδεχόμενον, τὸν δὲ Ἰωσὴφ τὸν παρακοιμώμενον, τὸν πρὸ τούτου μεγάλα φυσῶντα καὶ ἐπαιρόμενον, εἰς αὐτὴν ἀντεισάγει ἱκέτην ἐλεεινὸν καὶ ἀμφίβολον ἔχοντα τὴν ἑαυτοῦ σωτηρίαν. οἱ δὲ περὶ τὸν παρακοιμώμενον Βασίλειον τριήρεις κατασκευάσαντες καὶ τὸν βασιλικὸν εἰληφότες δρόμωνα
D μετὰ παντὸς τοῦ στόλου περαιοῦνται ἐν Χρυσουπόλει, καὶ τὸν Νικηφόρον ἐκεῖθεν ἀναλαβόμενοι ἄγουσιν εἰς τὸ Ἕβδομον, αὐτόθεν τε αὐτοί τε καὶ πᾶς ὁ δῆμος τῆς πόλεως μετ' εὐφημιῶν καὶ κρότων καὶ σαλπίγγων καὶ κυμβάλων δημοσίας γενομένης προόδου

5 πολιτικῶν ἀνδρῶν καὶ ἐμφανῶν C 6 ἦν om C 9 στάσει C 12 καλλίνικον ἀνευφήμουν C μεγάλης om C 14 τὸν παρακοιμώμενον om C 15 πρὸ τοῦ φυσῶντα μεγάλα C 18 εἰληφότες τὸν βασιλικὸν δρόμωνα καὶ τριήρεις καταρτίσαντες C 19 στρατοῦ C χρυσοπόλει C

iungens famulos, per multas urbis partes dimittit in adversariorum domos. ii a prima diei Lunae hora usque ad sextam plurimas civium domos, interque has Iosephi vel praecipuam, solo aequaverunt. neque tantum illustrium et in re publica versantium aedes, eorum qui adversari videbantur, sed et tenuiorum innumerae diruebantur. et si cui olim aliquid cum altero discordiae intercessisset, is tum turbam incompositam secum trahens nemine obstante eum perdebat. multique in hoc tumultu etiam homines necati sunt. interim per urbis plateas fora ac angiportus Nicephorum Callinicum (praeclaris potitum victoriis) inclamabant. quae dum geruntur, Bardas e templo, in quod paulo ante supplex miserabiliter confugerat et extrema sibi imminere putarat, prodit; et Iosephus salutis suae tum incertus, qui modo ita inflate superbierat, in id miser atque deprecans subit. porro Basilius cubicularius cum suis triremes adornat, et imperatoria etiam celoce assumpta cum tota classe Chrysopolin traiiciunt, et Nicephorum inde ad Hebdomum, atque hinc omni multitudine urbana deducente cum faustis acclamationibus, plausibus, tubis ac cymbalis publica pompa per aureum portam

διὰ τῆς χρυσῆς πόρτης εἰσάγουσιν εἰς τὴν βασιλίδα. γενόμενοι δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Πολύευκτον παρεσκεύασαν τὸν πατριάρχην καὶ τῷ βασιλικῷ αὐτὸν ταινιῶσαι διαδήματι. στέφει οὖν τοῦτον ὁ Πολύευκτος ἐν τῷ ἄμβωνι τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἡμέρα δὲ ἦν κυριακὴ ις΄ τοῦ Αὐγούστου μηνὸς ἄγοντος, τῆς ς΄ ἰνδικτιῶνος.

Ἀποστείλας δὲ τὸν μοναχὸν καὶ σύγκελλον Ἀντώνιον τὸν Στουδίτην τὴν Θεοφανὼ τῶν βασιλείων καταβιβάζει καὶ εἰς τὸ παλάτιον τοῦ Πετρίου ἐκπέμπει. μετ᾽ ὀλίγον δὲ ἐξόριστον τίθησιν καὶ τὸν παρακοιμώμενον Ἰωσὴφ ἐν Παφλαγονίᾳ, καὶ αὖθις μετ᾽ οὐ πολὺν χρόνον μεταβιβάζει ἔν τινι μοναστηρίῳ λεγομένῳ τοῦ P 649 Ἀσηκρῆτις, ἐν τοῖς Πυθίοις· ὃς ἐπὶ δύο ὅλους ἐκεῖσε ἐνδιατρίψας ἐνιαυτοὺς ἀπεβίω. χειροτονεῖ δὲ καὶ Βάρδαν τὸν ἑαυτοῦ πατέρα Καίσαρα. τῇ δὲ κ΄ τοῦ Σεπτεμβρίου μηνός, τὸ προσωπεῖον καὶ τὴν σκηνὴν ἀποθέμενος, ἄγεται νόμιμον γαμετὴν τὴν Θεοφανώ. τότε δὲ καὶ κρεῶν ἀπεγεύσατο, πρότερον ἀπεχόμενος κρεωδαισίας ἐξ ὅτου Βάρδας ὁ ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς ἀποτεχθεὶς αὐτῷ υἱός, ἱππαζόμενος ἐν τῷ πεδίῳ καὶ τῷ οἰκείῳ προσπαίζων ἀνεψιῷ τῷ Πλεύσῃ, μετὰ δόρατος βληθεὶς ἀκουσίως τέθνηκε. τοῦτο δὲ εἴτε ἐγκρατευόμενος ἐποίει εἴτε καὶ λαθεῖν τοὺς κρατοῦντας ὑποκρινόμενος, μόνος ἂν εἰδείη μετὰ θεὸν ἐκεῖνος. τοῦ γά- B

2 ἐκκλησίᾳ om C τὸν πατριάρχην καὶ om C 3 βασιλικῷ στέφει αὐτὸν ταινιῶσαι. ὁ γοῦν πολύευκτος τοῦτον ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας στέφει C 8 καὶ — 9 ἐκπέμπει om C 12 ἀσηκρῆτες C ὃς ἐκεῖσε ἐνδιατρίψας ἐφ᾽ ὅλους δύο C 16 κρεωδαισίας om C 17 ἀφ᾽ C 18 παιδίῳ C καὶ τῷ οἰκείῳ om C 19 τῷ om C πλεύστῃ C ἀκουσίως om C 21 θεὸς ἂν εἰδείη C

in urbem ducunt. ut in magnum templum ventum est, Polyeuctus patriarcha ad hoc comparatus eum in suggesto imperatoria insignit corona, die dominico, Augusti decimo sexto, indictione sexta.

Post haec Nicephorus imperator Antonium Studitam monachum et syncellum mittit, qui aula Theophanonem educat et in palatium Petrii includat. paulo post Iosephum in Paphlagoniam relegat, et inde rursum, non longo interposito tempore, in monasterium in Pythiis quod a secretis dicitur, ubi is per duos annos tolerata vita obiit. Bardam quoque patrem suum Caesarem creat. vigesima Septembris die larva deposita uxorem duxit Theophanonem. tunc et carnes gustavit, a quibus hactenus abstinuerat ab eo tempore, quo Bardas ex priore coniuge filius ipsius, in campo equitans et cum patruele suo Pleusa ludens, hasta a nolente ictus periit. feceritne hoc abstinentiae causa, an ut sic imperatores sua concilia celaret, praeter ipsum solus novit deus. peractis

μου δὲ τελεσθέντος ἐν τῇ κατὰ τὸ παλάτιον νέᾳ ἐκκλησίᾳ, ἐπείπερ ἤμελλεν εἴσοδος ἐν τῷ θυσιαστηρίῳ γενέσθαι, τῆς χειρὸς κατέχων αὐτὸν ὁ Πολύευκτος καὶ ταῖς ἱεραῖς ἐγγίσας κιγκλίσιν, εἴσεισι μὲν αὐτὸς εἰς τὰ ἄδυτα, ἐκεῖνον δ' ἐξώθησεν ὄπισθεν, ἐπειπὼν μὴ πρότερον συγχωρηθήσεσθαι αὐτὸν εἰς τὸ θυσιαστήριον εἰσελθεῖν, πρὶν ἂν δέξηται ἐπιτίμια δευτερογαμούντων. ἐλύπησε δὲ ἐν τούτῳ τὸν Νικηφόρον, καὶ οὐ διέλιπεν ἐγκοτῶν αὐτῷ μέχρι τῆς τελευτῆς. διεδέδοτο δὲ καὶ λόγος ἁπανταχοῦ, ὃς οὐ μικρῶς διετάραξε τὴν ἐκκλησίαν, ὅτιπερ ὁ Νικηφόρος ἀπὸ τοῦ ἁγίου βαπτίσματος
C ἀνάδοχος ἐγένετο τῶν τῆς Θεοφανοῦς ἑνὸς παίδων. ταύτης δὲ τῆς φήμης ὡς εὐλόγου ἀφορμῆς δραξάμενος ὁ Πολύευκτος ἢ χωρισθῆναι αὐτὸν ἀπεμάχετο τῆς γυναικὸς κατὰ τὸν κανόνα ἢ τῆς ἐκκλησίας ἀναχωρεῖν. ὃ δὴ καὶ πεποίηκε, τῆς Θεοφανοῦς ἐξεχόμενος. συγκαλεσάμενος δὲ τοὺς ἐνδημοῦντας ἐπισκόπους ἐν τῇ πόλει καὶ τοὺς τῆς συγκλήτου λογάδας, σκέψιν περὶ τούτου προὔθετο. πάντες δὲ οὗτοι τοῦ Κοπρωνύμου εἶναι τὸν νόμον ἔλεγον, καὶ δέον αὐτὸν μὴ φυλάττεσθαι ἔκριναν. τοῦτ' ἄρα καὶ λίβελλον
D ἀφέσεως ὑπογράψαντες τούτῳ ἐπιδεδώκασιν. ἔτι δ' ἀναβαλλόμενον τὸν Πολύευκτον κοινωνῆσαι τῷ βασιλεῖ ὁ Καῖσαρ ἐπληροφόρησεν ὡς οὐκ ἀνάδοχος γέγονεν. ἀλλὰ καὶ Στυλιανὸς ὁ πρωτοπαπᾶς τοῦ μεγάλου παλατίου, ἐξ οὗ πρῶτον ἐλέγετο ἡ τοιαύτη φήμη διαδραμεῖν, ἐνώπιον ἐλθὼν τῆς συνόδου καὶ τῆς συγκλήτου

1 ἐν τῇ νέᾳ ἐκκλησίᾳ τῇ ἀμφὶ τὸ παλάτιον C 4 αὐτὸς] ἐκεῖνος P τὸ ἄδυτον C 8 καὶ λόγος δὲ ἐφοίτα C 17 ταῦτ' C 21 πρώτη C

nuptiis in novo ad palatium templo, cum in sanctuarium esset intrandum, manu eum tenens Polyeuctus, ut ad sacros cancellos ventum est, ipse in adytum introit et imperatorem repellit, aitque non intromissum iri, priusquam poenas pro secundis nuptiis luisset. molestum hoc fuit Nicephoro, et ad finem usque vitae Polyeucto succensuit. didebatur etiam passim rumor, qui non exiguas in ecclesia turbas dedit, unum liberorum Theophanonis fuisse a Nicephoro e sacro baptismo susceptum. eum ut speciosam ansam arripiens Polyeuctus, imperatorem aut repudiare uxorem iuxta sacrae constitutionis praescriptum debere contendebat, aut ecclesia abstinere. atque hoc posterius fecit Nicephorus uxori deditus. et convocatis qui in urbe tum peregrini erant episcopis ac delectis senatoribus, rem eis deliberandam proposuit. ii omnes constitutionem eam Copronymi esse, eaque imperatorem non teneri, pronuntiaverunt; libellumque absolutionibus subscriptum a se ipsi dederunt. nihilominus tamen tergiversante patriarcha, et res sacras cum imperatore communes habere recusante, Caesar fidem fecit Nicephorum non fuisse susceptorem. sed et Stylianus pontificum palatinorum princeps (ipsi protopapam vocant), a quo emanasse iste rumor ferebatur, coram

ἐξωμόσατο μήτ' ἰδεῖν μήτε πρός τινας ἀνειπεῖν ὡς ἄρα Βάρδας ἢ Νικηφόρος ἀνάδοχος γένοιτο. ὁ δὲ Πολύευκτος καίπερ φανερῶς ἐπιορκοῦντα εἰδὼς τὸν Στυλιανόν, τὸ τῆς συντεκνίας συγκεχώρηκεν ἔγκλημα, καὶ ὁ πάλαι ἐνιστάμενος δευτερογαμίας ἐπιτίμιον ἐπιθεῖναι καὶ τὸ μέγα τοῦτο παρῆκεν ἁμάρτημα.

Νικηφόρος δὲ τῷ πρώτῳ τῆς αὐτοῦ βασιλείας ἔτει ἐκπέμπει κατὰ τῶν ἐν Σικελίᾳ Σαρακηνῶν τὸν πατρίκιον Μανουὴλ καὶ νόθον υἱὸν πατραδέλφου αὐτοῦ Λέοντος, τοῦ χρηματίσαντος δομε- P 650 στίκου τῶν σχολῶν καὶ ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος τυφλωθέντος, στρατὸν αὐτῷ δοὺς καὶ στόλον ἀξιόμαχον· ἀδοξίαν γὰρ ἐδόκει προστρίβεσθαι ἑαυτῷ, εἰ τούτου κρατοῦντος ἡ Ῥωμαίων βασιλεία δασμοφορεῖ τοῖς Σαρακηνοῖς. ἀλλ' ἀναγκαῖον εἰπεῖν ἐπιδραμόντας τίς ἡ πρὸς τοὺς Σαρακηνοὺς δασμοφορία, καὶ ὅθεν εἴληφε τὴν ἀρχήν. τῆς πόλεως γὰρ τῶν Συρακουσῶν ὑπὸ τῶν ἐν Ἀφρικῇ Σαρακηνῶν ἁλούσης ἐπὶ τῶν χρόνων Βασιλείου τοῦ Μακεδόνος, καὶ τὴν ὅλην συνέβη νῆσον ὑπ' αὐτῶν κατασχεθῆναι καὶ τὰς αὐτῆς πόλεις κατασκαφῆναι, τῆς Πανόρμου μόνης περιποιηθείσης, B ἐξ ἧς ὡς ἔκ τινος ὁρμητηρίου ὁρμώμενοι οἱ Ἀγαρηνοὶ τὴν ἀντιπέραθεν γῆν ἐπεκτήσαντο. ἐκεῖθεν δὲ διαπορθμευόμενοι τὰς νήσους ἐδῄουν ἄχρι Πελοποννήσου, καὶ ὅσον οὔπω προσδόκιμοι παραστήσεσθαι ἦσαν. ἀμηχανῶν δὲ ὁ βασιλεὺς Βασίλειος, καὶ ἄξιον ὑπηρέτην ἀναζητῶν τῆς τοιαύτης ὑπηρεσίας, τὸν πατρίκιον ἔκρινε

4 ἐπιστάμενος C   ἐπιτίμια C   19 ἐκτήσαντο C   21 δὲ] οὖν C

concilio et senatu iuravit se neque vidisse neque cuiquam dixisse quod vel Bardas vel Nicephorus esset factus susceptor. Polyeuctus ergo, tametsi peierare Stylianum certo sciebat, crimen compaternitatis omisit; et qui ante urgebat ut ob secundas nuptias poena infligeretur, ei quoque magno delicto ignovit.

Nicephorus anno imperii sui primo contra Saracenos Siciliam tenentes emittit cum classe et valido exercitu Manuelum patricium, spurium filium Leonis patrui sui, qui domesticus scholarum dictus a Romano seniore oculis fuerat orbatus: dedecori namque sibi fore iudicabat, si ipso imperante Romanum imperium tributa Saracenis solveret. res ipsa postulat ut exponamus, quid tributi Saracenis solverit Romanum imperium, atque unde ea res initium habuerit. cum Africani Saraceni Syracusas cepissent imperante Basilio Macedone, reliquas etiam urbes everterunt, tota insula potiti, solamque Panormum pro arce et receptaculo reliquerunt. inde profecti oppositam continentem occupaverunt, ulteriusque progressi insulas usque ad Peloponnesum omnes vastabant, iisque potituri etiam propediem credebantur. quae res cum graviter solicitum teneret Basilium, et is quaereret hominem huic ministerio ido-

Νικηφόρον καὶ δομέστικον τῶν σχολῶν, ἐπωνυμίαν φέροντα τοῦ Φωκᾶ, ἀπό τινος τῶν προγόνων αὐτοῦ ἀριστεύσαντος. πάππος ὁ Νικηφόρος ἦν τοῦ βασιλέως Νικηφόρου, ἀνὴρ γενναῖός τε καὶ συνετός, τὰ πρὸς θεόν τε εὐσεβὴς καὶ τὰ πρὸς ἀνθρώπους δίκαιος. C οὗτος μετά τινος στρατοῦ εἰς Ἰταλίαν περαιωθεὶς ἐντὸς ὀλίγου τοὺς Σαρακηνοὺς τῆς Ἰταλίας ἀπήλασε καὶ ἐν Σικελίᾳ ἡσυχάζειν ἠνάγκασε. τούτου τοῦ ἀνδρὸς καὶ ναὸν λέγεται δομήσασθαι τοὺς Ἰταλοὺς εἰς μνήμην ἄληστον τῆς αὐτοῦ ἀρετῆς, οὐ διὰ τὴν ἐλευθερίαν μόνην ἀλλὰ καὶ δι' ἕτερον ἔργον ἀξιαφήγητον. οἱ γὰρ Ῥωμαῖοι ἐν τῷ μέλλειν οἴκαδε ὑποστρέφειν μετὰ τοῦ σφῶν στρατηγοῦ πολλοὺς τῶν Ἰταλῶν κατασχόντες ἔσπευδον δούλους εἰς τὴν περαίαν διαβιβάσαι· οὗ γνωσθέντος μηδὲν ὅλως εἰπὼν ὁ Νικηφόρος μηδ' ὑπόνοιάν τινα δεδωκὼς πρὸ τοῦ ἐν Βρεντεσίῳ γενέσθαι (ἐκεῖθεν γὰρ ἔμελλον πρὸς τὴν Ἰλλυρίδα διαπερᾶν), ὡς ἐκεῖσε D ἐγένοντο, αὐτὸς δι' ἑαυτοῦ ἕκαστον τῶν στρατιωτῶν ἐμβιβάζων τοῖς πλοίοις περᾶν παρεσκεύαζε, καὶ οὕτω τοὺς ἐγχωρίους εἴασε τὴν ἑαυτῶν χώραν ἀδεῶς κατοικεῖν. διετέλεσεν οὖν εἰρηνεύουσα ἡ Ἰταλία μέχρι τῶν χρόνων τοῦ πορφυρογεννήτου Κωνσταντίνου καὶ τῆς αὐτοῦ μητρός· ἐπ' ἐκείνων δὲ πάλιν κινηθέντες οἱ Σαρακηνοὶ μηδενὸς κωλύοντος τὴν Ἰταλίαν κατέτρεχον. συνιδόντες οὖν οἱ κρατοῦντες ὡς οὐχ οἷοί τέ εἰσι πρός τε τοὺς ἑῴους Σαρακηνοὺς καὶ πρὸς τοὺς ἑσπερίους ἀντέχειν, ἤδη καὶ τῶν Βουλγάρων τὰς

8 τῆς ἀρετῆς ἐκείνου C 12 διαβιβάζειν. ὁ γοῦν νικηφόρος τοῦτο γνούς, μηδὲν ὅλως εἰπών C 14 ἐκεῖθεν] ἐκεῖσε C 15 τῶν. στρατῶν ἕκαστον C

neum, Nicephorus placuit, patricius et domesticus scholarum, qui cognomen Phocae gerebat, quod quidam ipsins maiorum rebus praeclare gestis fuerat meritus. hic Nicephorus, Nicephori imperatoris avus, homo generosus prudens ac pius in deum et erga homines iustus, cum exercitu in Siciliam profectus brevi temporis spatio Italia Saracenos expulit, coegitque eos ut se in Sicilia continerent. ferunt Italos huic viro aedem posuisse ad perpetuam virtutis eius memoriam, non ideo tantum quod eos liberavisset, sed et ob aliud memorabile factum. etenim Romani domum cum ductore suo reversuri multos Italorum comprehenderant, quos volebant in servitutem secum abducere. re comperta Nicephorus, nihil dicens neque ullam suspicandi occasionem praebens, ut Brundusium est perventum (inde enim erant in Illyricum traiecturi), ipse unumquemque classiariorum singulatim in navim ingredi iussit et traiicere, atque sic Italos in Italia reliquit. pacata exinde fuit Italia usque ad imperium Constantini Porphyrogeniti et matris eius. tum rursum Saraceni insurgentes Italiam nemine prohibente infestarunt. et imperatores animadvertentes se non pares esse bello simul contra Orientales et contra Occidentales Saracenos gerendo, praesertim rupto

σπονδὰς λελυκότων, σπείσασθαι ἐγνώκεισαν μετὰ τῶν ἐν Σικελίᾳ Σαρακηνῶν. ἐγένοντο οὖν σύμφωνα δι' Εὐσταθίου τοῦ στρατηγοῦ Καλαβρίας, ἑνὸς ὄντος τῶν βασιλικῶν θαλαμηπόλων, ἐφ' ᾧ δασμὸν ἐτήσιον δίδοσθαι τοῖς Σαρακηνοῖς χρυσίου χιλιάδας κβ'. γενομένων δὲ τῶν σπονδῶν Ἰωάννην πατρίκιον τὸν ἐπίκλην Μουζάλωνα P 651 στρατηγὸν τῆς Καλαβρίας προὐβάλοντο, ὃς φορτικῶς κατάρχων τῶν ἐγχωρίων ὑπ' αὐτῶν ἀπεσφάγη, προσχωρησάντων τῷ ῥηγὶ Λογγιβαρδίας Δανδούλφῳ, Ῥωμανοῦ τοῦ γέροντος ἄρτι τὰ σκῆπτρα κατέχοντος Ῥωμαίων. ὑφ' οὗ συμφέρον ἐνομίσθη στρατιώτας πεμφθῆναι μετὰ νεῶν, τὸ ἀπορραγὲν τῆς ὁλότητος μέρος ἐπανασώσασθαι. προσεπέμφθη δὲ Κοσμᾶς πατρίκιος Θεσσαλονικεύς; γνώριμος ὢν τῷ Δανδούλφῳ. καὶ περαιωθεὶς οὗτος εἰς Ἰταλίαν καὶ τῷ Δανδούλφῳ συμμίξας παρῄνει ἀποσχέσθαι τῆς χώρας Ῥωμαίων καὶ τῷ βασιλεῖ συμφιλιωθῆναι καὶ ἀντὶ πολεμίου B φίλον αὐτὸν ποιῆσαι καὶ σύμμαχον. ἀπαναινομένου δὲ τούτου τὸ πρῶτον, ὁ Κοσμᾶς ἀνὴρ φρόνιμος ὢν καὶ συνετὸς "ἐμοὶ μὲν" εἶπε πρὸς τὸν Δανδοῦλφον "χρέος ἦν τὰ σωτήρια συμβουλεῦσαι τῷ φίλῳ. εἰ δ' αὐτὸς πεισθῆναί μοι οὐ θέλεις τὰ λυσιτελῆ συμβουλεύοντι, τότε γνώσῃ τῆς ἀληθείας διαμαρτήσας κατὰ πολύ, ὅταν σεαυτόν τε καὶ τὸ ἔθνος ἅπαν τοῖς μεγίστοις ὑποβαλὼν κινδύνοις ἀπαγορεύσεις, μὴ δυνάμενος πρὸς οὕτω μεγάλην καὶ ἰσχυρὰν ἀντιτάττεσθαι δυναστείαν." συνεὶς οὖν ὁ Δανδοῦλφος τὰ

2 εὐσταθίαν C 6 προὐβάλλοντο libri 8 δουκὶ C λανδούλφω C 10 ἐκπεμφθῆναι C 13 ἐν Ἰταλίᾳ C 20 τοῖς om C 22 ἀντιτάσσεσθαι C

iam etiam a Bulgaris foedere, pacem cum Siciliensibus Saracenis componere statuerunt. pactumque est, agente rem Eustathio Calabriae praefecto, uno de imperatoris cubiculariis, ut Saracenis darentur tributi nomine quotannis aureorum 22 milia. firmata pace Ioannem patricium cognomento Muzalonem Calabriae praefecerunt. is cum se imperiosius in subditos gereret, est ab iis interfectus, atque ii se dederunt Dandulpho regi Longibardiae, cum iam Romanus senior imperium occepisset. hic Romanus utile censuit ut missa classe pars imperii amissa recuperaretur. praemittit tamen Cosmam patricium Thessalonicensem, notum Dandulpho. is cum traiecisset in Italiam, cum Dandulpho collocutus hortatur ut a Romanorum dicione abstineat et cum imperatore foedus ineat, eumque pro hoste amicum potius sociumque sibi conciliet. Dandulpho primum renuente Cosmas, ut erat homo prudens, "mihi quidem" inquit "necesse erat homini amico suggerere consilium salutare. cui si tu parere non vis, experiere falsum animi te admodum fuisse, ubi te et nationem totam in summum adduxeris discrimen, et impar tam potentis imperii viribus subsistendis de rebus tuis desperaveris." Dan-

δέοντα συμβουλεύειν τὸν πατρίκιον, ἐδέξατο τὴν παραίνεσιν καὶ
C ἐσπείσατο, νουθετήσας καὶ τοὺς ἄρχοντας τῶν ἀποστάντων θεμάτων τῇ προτέρᾳ προσδραμεῖν ἀρχῇ καὶ τὸν σφῶν ἐπιγνῶναι βασιλέα, ὧν πεισθέντων εἰρήνη βαθεῖα πάλιν κατεῖχε τὰ ἐν Ἰταλίᾳ καὶ Λογγιβαρδίᾳ πράγματα.

Ὁ δὲ τῶν Βουλγάρων ἀρχηγὸς Συμεὼν πολλὰ κατὰ Ῥωμαίων στήσας τρόπαια καὶ φρονηματισθεὶς ἐπὶ τούτοις καὶ τὴν Ῥωμαίων ὠνειροπόλει βασιλείαν. τοίνυν πρὸς Φατλοῦν τὸν δυνάστην τῶν Ἄφρων ἐκπέμψας προετρέπετο στόλον κατὰ τῆς βασιλίδος ἀναγαγεῖν, ὑπισχνεῖτο δὲ καὶ αὐτὸς διὰ Θρᾴκης ἐλθεῖν πολὺν καὶ βαρὺν στρατὸν ἐπαγόμενος, καὶ γενομένων ὑφ' ἓν τῶν
D στρατευμάτων διά τε γῆς καὶ θαλάσσης ἐκπολιορκῆσαι τὴν βασιλεύουσαν, καὶ τὸν ταύτης πλοῦτον διανείμασθαι ἐπ' ἴσης, καὶ αὐτὸν μὲν ἐπ' οἴκου ὑπονοστῆσαι, τοῦτον δὲ τῇ Κωνσταντινουπόλει καταλιπεῖν. ἔλαθον οὖν οἱ Βούλγαροι πρὸς τὴν Ἀφρικὴν ἀποπλεύσαντες, καὶ δόξαντος τοῦ Συμεὼν ὠφέλιμα παραινεῖν εἰλήφασί τινας Σαρακηνοὺς ἐλλογίμους ὥστε ἐμπεδῶσαι τὰ δεδογμένα. ἐν τῷ ὑποστρέφειν δὲ περιπίπτουσι τοῖς Καλαβροῖς καὶ πρὸς τὸ Βυζάντιον ἀναπέμπονται μετὰ τῶν Σαρακηνῶν. οὓς ἰδὼν ὁ βασιλεὺς (Ῥωμανὸς δὲ ἦν ὁ γέρων) καὶ τὴν κοινοπραγίαν μαθὼν ἀκριβῶς, καὶ ὡς εἰ τοῦτο γένηται κατανοήσας οὐ μικραῖς φροντίσιν ὑποπεσεῖται, δεῖν ᾠήθη μεγαλοφροσύνῃ καὶ εὐεργεσίᾳ
P 652 τοὺς Σαρακηνοὺς ἀναχαιτίσαι τῆς παρούσης ὁρμῆς. τοὺς μὲν οὖν

11 πολὺν καὶ om C 19 ἀποπέμπονται C

dulphus intelligens Cosmam recte monere, accipit consilium et foedus icit: hortatur etiam principes reliquarum quae defecerant provinciarum, ut ad priorem redeant statum suumque imperatorem agnoscant. his actis rursus in Italia ac Longibardia alta pax erat.

Interim Simeon Bulgarorum princeps animo elatus ob multas de Romanis reportatas victorias imperium quoque Romanum animo iam occupabat. mittit igitur legatos ad Phatlunum Afrorum principem, hortaturque ut classem ad Cpolin adducat. se eodem per Thraciam cum valido ac copioso exercitu accessurum: coniunctis viribus se urbem terra marique expugnaturos, et divitias eius aequis portionibus inter se divisuros, et Saracenis domum reversis se Cpolin retenturum. Bulgari missi clam in Africam navigant; et Saraceni, cum indicarent Simeonem utiliter consulere, quosdam suorum primarios viros mittunt cum Bulgaris, qui pactum confirment. ea legatio in reditu a Calabris intercepta, et Bulgari Saracenique ii ab his Cpolin ad imperatorem Romanum senem missi. qui cum consilium illud hostium de societate coeunda percepisset, ac intelligeret, si id succederet, magnum rebus suis imminere periculum, existimavit sibi Saracenos magnificentia et beneficiis ab eo insti-

Βουλγάρους ἔθετο ἐν φυλακῇ, δώροις δὲ τοὺς Σαρακηνοὺς ἁδροῖς φιλοτιμησάμενος, ἔτι δὲ καὶ ξένια τῷ αὐτῶν ἐκπέμψας δεσπότῃ πολύτιμα, ἀπαθεῖς κακῶν ἐξαπέστειλε, φράζειν εἰπὼν τῷ κυρίῳ αὐτῶν ὡς οὕτως ἀμείβειν οἴδασιν οἱ βασιλεῖς Ῥωμαίων τοὺς ἑαυτῶν πολεμίους. ἀπελογίσατο δὲ καὶ περὶ τῆς ἐτησίου δασμοφορίας, ὡς οὐκ ἀναβολῇ τοῦτο καὶ ὑπερθέσει ὑστέρησιν, ἀλλὰ διὰ τὴν ἐπικρατοῦσαν τηνικαῦτα κατὰ τὸν τόπον ταραχήν. ἐπαναδραμόντων οὖν πρὸς τὸν οἰκεῖον δυνάστην τῶν Σαρακηνῶν, καὶ ἅ τε πάθοιεν πρὸς τοῦ βασιλέως διηγησαμένων καὶ τὰς εἰς αὐτοὺς φιλο- B
φροσύνας ἐξυμνησάντων, ἀποδεδωκότων δὲ καὶ ἅπερ ἐπήγοντο πρὸς ἐκεῖνον δῶρα, ἡσθεὶς ὁ Φατλοὺμ ἐπὶ πᾶσιν οἷς ἤκουσε, τῶν τε ὀφειλομένων αὐτῷ φόρων τὰ ἡμίση Ῥωμαίοις ἐχαρίσατο καὶ ἀπὸ τῶν εἴκοσι καὶ δύο χιλιάδων τὰς ἕνδεκα ἐκκέκοφεν. ἐδίδοντο οὖν ἐξ ἐκείνου μέχρι τῆς τοῦ Νικηφόρου ἀναρρήσεως τοῖς Σαρακηνοῖς ταῦτα. ἀλλὰ σωφρονούντων μὲν ἀρχόντων καὶ δικαίων ταῖς χώραις τυγχανόντων, αὐτοί τε οἱ ἀρχόμενοι ἄλυπον ἦγον βίον καὶ ζωήν, καὶ ὁ δασμὸς ἀπεδίδοτο τοῖς Σαρακηνοῖς ἀπραγμόνως. ὁπηνίκα δ' ἡ ἀρχὴ ἀδίκοις καὶ πλεονέκταις ἐνεπιστεύετο, καὶ τὸ C
ὑπήκοον ἐκακοῦτο καὶ αἱ πρὸς τοὺς Σαρακηνοὺς σπονδαὶ διεσείοντο. καὶ γὰρ δὴ παρὰ τοῦ πορφυρογεννήτου ὁ Κρηνίτης Χαλδίας τῆς Καλαβρίας γενόμενος στρατηγὸς τοὺς ἐν Ἀφρικῇ καὶ Σικελίᾳ Σαρακηνοὺς μέλλοντας ἄρδην ὑπὸ τοῦ λιμοῦ καὶ τοῦ πολέμου τῶν ἐν Κυρήνῃ Σαρακηνῶν ἀπολωλέναι, δι' οἰκείαν

6 τούτου C 10 ἃ ἐκείγοντο C 12 δώρων C 13 τὰ P
15 τῆς χώρας τυγχανούσης C 16 βίον καὶ om C 21 χάλδος C

tuto esse detrahendos. ergo datis in custodiam Bulgaris, Saracenos splendidis donis afficit, missisque per eos etiam ipsorum principi xeniis illaesos dimittit, iubetque eos domino suo dicere, hoc modo imperatores Romanos suis hostibus paria referre. et de annua pensione se excusat, dilationem eius affirmans non studio sed ob tumultus tunc iis locis ortos factam. reversi ad suum principem Saraceni exponunt ut a Romano fuerint tractati, eiusque praedicata liberalitate dona ab eo missa offerunt. quae omnia ita fuerunt Phatlumo grata, ut tributi semissem Romanis dimitteret, hoc est, de 22 milibus undecim abscinderet. id tributi Saracenis ex eo tempore usque ad Nicephori designationem persolutum fuit. quoties in provinciis praefecti fuere moderati atque iusti, subditi quoque tranquillam egerunt vitam, et Saracenis placide est satisfactum. cum vero iniusti et avari praefecti essent interdum, ii et subditos vexabant et pacem cum Saracenis initam labefactabant. namque etiam sub Porphyrogenito Crenita Chaldiae in Calabria praefectus Saracenos Africanos ac Sicilienses, quibus ob penuriam et bellum a Cyrenensibus Saracenis illatum extrema imminebant, avaritia

λήψεται ὁ Ἰωάννης, τὴν δὲ τοῦ δομεστίκου τῆς δύσεως ὁ Ῥω-
μανός. κομισθέντων οὖν τῶν γραμμάτων τοῖς δηλωθεῖσιν ἀν-
δράσιν, ἐπείπερ σχετικῶς ἐκεῖνοι εἶχον πρὸς τὸν Φωκᾶν, ὑπανα-
B γινώσκουσί τε αὐτῷ εὐθέως τὰ γράμματα, καὶ διαναστῆναι πρὸς
ἀλκὴν τὸν Φωκᾶν καὶ γενναῖόν τι καὶ νεανικὸν ἐννοήσασθαι παρε-
κάλουν. ὀκνοῦντα δὲ καὶ ἀναδυόμενον καὶ αὐτοχειρίως ἠπείλουν
διαχειρίσασθαι. διὸ καὶ πρὸς τὸν τοῦ θανάτου ἀποδειλιάσας
κίνδυνον τὴν πρόκλησιν ὑπεδέξατο. καὶ δευτέρᾳ τοῦ Ἰουλίου μη-
νός, τῆς αὐτῆς ς' ἰνδικτιῶνος, ὑπὸ τῶν ἐν τῇ ἑῴᾳ στρατευμάτων
ἁπάντων παρακεκινημένων ὑπὸ τοῦ Τζιμισκῆ Ῥωμαίων ἀναγο-
ρεύεται βασιλεύς.

Καὶ εἷς μὲν λόγος φέρεται οὕτως, ἕτερος δέ, ὁ καὶ δοκῶν
ἀληθέστερος, ὡς πολὺν ὤδινε χρόνον τὴν τῆς βασιλείας ἐπιθυμίαν,
C καὶ οὐ τοσοῦτον αὐτὸν ὁ ταύτης ἔρως ἐξέφλεγεν ὅσον ὁ τῆς βασι-
λίδος Θεοφανοῦς, ἐντυχόντα τε αὐτῇ ὅτε τῇ βασιλευούσῃ διῆγε,
καὶ πολλάκις πρὸς αὐτὴν ἐκπέμψαντα τὸν οἰκειότατον ὑπηρέτην
αὐτοῦ Μιχαήλ. τοῦτο γὰρ καταφωράσας ὁ Βρίγγας ὑπόπτως
διέκειτο πρὸς αὐτόν.

Τῆς τοίνυν ἀναρρήσεως αὐτοῦ φημισθείσης ἐν Κωνσταν-
τινουπόλει, καὶ τῶν πραγμάτων ἐν ταραχῇ καθεστώτων, ὁ τὴν
φροντίδα τῶν ὅλων ἀνεζωσμένος Ἰωσὴφ ἠγωνία καὶ διηπορεῖτο
σφοδρῶς ὅ τι καὶ δράσειεν, ὅτι μηδὲ τοῖς πολίταις εὔνους ἦν διὰ
D τὸ δυσέντευκτον. κατελθόντος δὲ ἐν Χρυσουπόλει μετὰ παντὸς

5 τὸν φωκᾶν om C 9 ἕω C 14 ἐξέφλεξεν P, ἔφλεγεν cod. Coislin. 135 17 αὐτῷ, omisso ὑπηρέτην, C 23 χρυσοπόλει C

foro domesticum scholarum Orientis, Romanum Occidentis. Ii cum literas accepissent, Phocae eas, cui honeste cupiebant, recitant; hortanturque ut animum erigat ac fortiter rem magnam aggrediatur: tergiversantem suis se manibus, ni pareret, interfecturos minantur. ita demum Phocas periculo mortis territus assentit; et secunda die Iulii mensis, eadem indictione sexta, ab Orientalibus exercitibus omnibus a Tzimisca concitatis imperator Romanorum salutatur.

Fertur et alius hac de re, isque probabilior, sermo. iampridem eum cupiditate imperii, neque tamen tam huius quam Theophanus Augustae amore flagrasse, cum qua et collocutus fuerit cum in urbe ageret, et saepe ad eam Michaelum suorum famulorum fidissimum miserit; idque Bringam deprehendisse, et ob id suspiciones adversus eum concepisse.

Designatione Phocae Cpoli annuntiata, rebusque conturbatis, Iosephus, qui curam omnium rerum sustinebat, animi angebatur, neque satis inveniebat quid consilii sequeretur, cum ne cives quidem ei bene vellent, quibus se aditu difficilem praebere consuevisset. cum autem

τοῦ στρατοῦ Νικηφόρου τοῦ Φωκᾶ μετ' εὐφημιῶν, ἐβουλεύσατο ὁ Βρίγγας βασιλέα τινὰ προβαλέσθαι, διὰ τούτου οἰόμενος τὸν τόνον ἐκλῦσαι τῆς ὁρμῆς τοῦ στρατοῦ. τέως δὲ τῆς ἀναρρήσεως, ὡς εἴπομεν, τοῦ Φωκᾶ γενομένης Βάρδας μὲν ὁ τούτου πατὴρ (ἔτυχε γὰρ ἐνδημῶν τῇ βασιλίδι) ἱκέτης εἰσέρχεται πρὸς τὴν μεγάλην ἐκκλησίαν, Λέων δὲ ὁ ἐκείνου ἀδελφός, καίπερ φυλαττόμενος ἀκριβῶς, λαθὼν ἀπέδρα καὶ τῷ οἰκείῳ ἡνώθη ὁμαίμονι. οὗ γενομένου παρείθη τὴν ψυχὴν καὶ ἐν πάσῃ ἀμηχανίᾳ καὶ φόβῳ κατέστη ὁ Βρίγγας. ἦν γὰρ καὶ ἀνεπιτήδειος ἐν καιροῖς δυσκόλοις ὄχλον κολακεῦσαι καὶ καταδημαγωγῆσαι πλῆθος· δέον γὰρ προσηνέσι λόγοις καὶ θωπευτικοῖς τὴν τοῦ πλήθους καταμαλάξαι ὁρμήν, ὁ δὲ μᾶλλον ἐξετράχυνε καὶ ἠγρίωσε. πάντων γὰρ ἐν τῇ P. 648
μεγάλῃ συντρεχόντων ἐκκλησίᾳ, αὐτὸς τὸ πλῆθος ἐκδειματῶν λόγους ἐπαφῆκεν ὑπερηφάνους τε καὶ τραχεῖς, "ἐγὼ" φήσας "καταπαύσω ὑμῶν τὴν ἰταμότητα καὶ ἀναισχυντίαν· ποιήσω γὰρ τὸν τοῦ νομίσματος ὠνουμένους σῖτον ἀποφέρεσθαι ἐν τῷ κόλπῳ."

Οὔπω παρῆλθεν ὁλόκληρος ἡμέρα ἀφ' οὗ τοῦτο εἴρηκε (κυριακὴ γὰρ ἦν, ἐννάτην ἄγοντος τοῦ Αὐγούστου μηνός), καὶ τῇ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας Βασίλειος ὁ Κωνσταντίνου τοῦ βασιλέως παρακοιμώμενος, δυσμενὴς καὶ ἔχθιστος ὢν τῷ Ἰωσήφ, τοῖς ἑαυτοῦ φίλοις καὶ συγγενέσι τοὺς οἰκείους συμμίξας θεράπον- B

1 μετ' — 4 γενομένης om C 7 ἀδελφῷ ἡνώθη C 11 προφωναῖς καὶ λόγοις θ. C 12 ὁρμὴν καὶ φορὰν C 14 ἀφῆκεν C 15 ἀποφέρειν γὰρ ὑμᾶς ἐν τῷ κόλπῳ ποιήσω τὸν τοῦ νομίσματος σῖτον C 18 ὁλόκληρος om C 21 καὶ ἔχθιστος om C 22 μίξας C

Nicephorus universo exercitu faustis acclamationibus prosequente Chrysopolin venisset, de imperatore aliquo designando Iosephus cogitavit, ratus ea ratione se impetum militum retusurum. ad nuntium porro delati Phocae imperii huius pater Bardas, tum in urbe degens, supplex in magnum templum confugit: Leo autem frater Nicephori, tametsi accurate custodiebatur, tamen clam se subduxit et ad fratrem pervenit. his ita actis concidit animo Bringas, et in summis haesit difficultatibus. non enim aptus erat ad demulcendam periculosis temporibus multitudinem, sed ubi oportebat blandis sermonibus adulandoque eam demitigare, magis exasperabat atque irritabat. ita tum quoque omnibus in magnum templum concurrentibus, superbis atque asperis verbis populum ut perterreret, "ego" inquit "compescam vestram ferociam atque impudentiam: nam efficiam ut quod pro nomismate emitur frumenti, in sinu liceat portare." actum hoc die dominica, nona Augusti.

Vesperi huius ipsius diei Basilius Constantini imperatoris cubicularius intimus, Iosepho infensissimus, amicis ac propinquis suis suos ad-

τας κατὰ πολλὰ μέρη τῆς πόλεως πέπομφεν εἰς τοὺς οἴκους τῶν
ἀντιπραττόντων αὐτῷ. καὶ ἀπὸ πρώτης ὥρας τῆς δευτέρας ἡμέ-
ρας μέχρις ἕκτης κατέστρεψαν καὶ ἐξηδάφισαν οἰκίας πλείστας
τῶν πολιτῶν, ὧν ἐπισημοτέρα ἦν ἡ τοῦ Ἰωσήφ· οὐ γὰρ μόνον
τῶν ἀντιβαίνειν δοκούντων ἐμφανῶν καὶ πολιτικῶν ἀνδρῶν, ἀλλὰ
καὶ πολλῶν ἄλλων εὐτελεστέρων, ὧν οὐκ ἀριθμητὸν ἦν τὸ πλῆ-
θος, κατεστράφησαν οἰκίαι· ᾧ γάρ ποτε διαφορὰ μετά τινος ἦν,
πλῆθος ἀτάκτων μεθ' ἑαυτοῦ ἐπαγόμενος μηδενὸς κωλύοντος τοῦ-
C τον ἠφάνιζε. πολλοὶ δ' ἐν τῇ τοιαύτῃ ἀταξίᾳ καὶ ἄνθρωποι
ἐφονεύθησαν. ταῦτα δὲ ποιοῦντες ἐν ταῖς πλατείαις τῆς πόλεως
λεωφόροις ἔν τε ταῖς ἀγοραῖς ἔν τε τοῖς στενωποῖς Νικηφόρον
ἀνευφήμουν Καλλίνικον. τοῦτο τὸ ἔργον ἐξάγει μὲν τῆς μεγάλης
ἐκκλησίας Βάρδαν τὸν πατέρα τοῦ Φωκᾶ, φυγάδα οἰκτρὸν καὶ
ὅσον οὐδέπω τὸν κίνδυνον ἐκδεχόμενον, τὸν δὲ Ἰωσὴφ τὸν παρα-
κοιμώμενον, τὸν πρὸ τούτου μεγάλα φυσῶντα καὶ ἐπαιρόμενον,
εἰς αὐτὴν ἀντεισάγει ἱκέτην ἐλεεινὸν καὶ ἀμφίβολον ἔχοντα τὴν
ἑαυτοῦ σωτηρίαν. οἱ δὲ περὶ τὸν παρακοιμώμενον Βασίλειον
τριήρεις κατασκευάσαντες καὶ τὸν βασιλικὸν εἰληφότες δρόμωνα
D μετὰ παντὸς τοῦ στόλου περαιοῦνται ἐν Χρυσουπόλει, καὶ τὸν Νι-
κηφόρον ἐκεῖθεν ἀναλαβόμενοι ἄγουσιν εἰς τὸ Ἕβδομον, αὐτόθεν
τε αὐτοί τε καὶ πᾶς ὁ δῆμος τῆς πόλεως μετ' εὐφημιῶν καὶ κρό-
των καὶ σαλπίγγων καὶ κυμβάλων δημοσίας γενομένης προόδου

5 πολιτικῶν ἀνδρῶν καὶ ἐμφανῶν C 6 ἦν om C 9 στάσει C 12 καλλίνικον ἀνευφήμουν C μεγάλης om C 14 τὸν παρακοιμώμενον om C 15 πρὸ τοῦ φυσῶντα μεγάλα C 18 εἰληφότες τὸν βασιλικὸν δρόμωνα καὶ τριήρεις καταρτίσαντες C 19 στρατοῦ C χρυσοπόλει C

iungens famulos, per multas urbis partes dimittit in adversariorum domos. ii a prima diei Lunae hora usque ad sextam plurimas civium domos, interque has Iosephi vel praecipuam, solo aequaverunt. neque tantum illustrium et in re publica versantium aedes, eorum qui adversari videbantur, sed et tenuiorum innumerae diruebantur. et si cui olim aliquid cum altero discordiae intercessisset, is tum turbam incompositam secum trahens nemine obstante eum perdebat. multique in hoc tumultu etiam homines necati sunt. interim per urbis plateas fora ac angiportus Nicephorum Callinicum (praeclaris potitum victoriis) inclamabant. quae dum geruntur, Bardas e templo, in quod paulo ante supplex miserabiliter confugerat et extrema sibi imminere putarat, prodit; et Iosephus salutis suae tum incertus, qui modo ita inflate superbierat, in id miser atque deprecans subit. porro Basilius cubicularius cum suis triremes adornat, et imperatoria etiam celoce assumpta cum tota classe Chrysopolin traiiciunt, et Nicephorum inde ad Hebdomum, atque hinc omni multitudine urbana deducente cum faustis acclamationibus, plausibus, tubis ac cymbalis publica pompa per auream portam

διὰ τῆς χρυσῆς πόρτης εἰσάγουσιν εἰς τὴν βασιλίδα. γενόμενοι δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Πολύευκτον παρεσκεύασαν τὸν πατριάρχην καὶ τῷ βασιλικῷ αὐτὸν ταινιῶσαι διαδήματι. στέφει οὖν τοῦτον ὁ Πολύευκτος ἐν τῷ ἄμβωνι τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἡμέρα δὲ ἦν κυριακὴ ις´ τοῦ Αὐγούστου μηνὸς ἄγοντος, τῆς ς´ ἰνδικτιῶνος.

Ἀποστείλας δὲ τὸν μοναχὸν καὶ σύγκελλον Ἀντώνιον τὸν Στουδίτην τὴν Θεοφανὼ τῶν βασιλείων καταβιβάζει καὶ εἰς τὸ παλάτιον τοῦ Πετρίου ἐκπέμπει. μετ᾽ ὀλίγον δὲ ἐξόριστον τίθησιν καὶ τὸν παρακοιμώμενον Ἰωσὴφ ἐν Παφλαγονίᾳ, καὶ αὖθις μετ᾽ οὐ πολὺν χρόνον μεταβιβάζει ἔν τινι μοναστηρίῳ λεγομένῳ τοῦ P 649 Ἀσηκρῆτις, ἐν τοῖς Πυθίοις· ὃς ἐπὶ δύο ὅλους ἐκεῖσε ἐνδιατρίψας ἐνιαυτοὺς ἀπεβίω. χειροτονεῖ δὲ καὶ Βάρδαν τὸν ἑαυτοῦ πατέρα Καίσαρα. τῇ δὲ κ´ τοῦ Σεπτεμβρίου μηνός, τὸ προσωπεῖον καὶ τὴν σκηνὴν ἀποθέμενος, ἄγεται νόμιμον γαμετὴν τὴν Θεοφανώ. τότε δὲ καὶ κρεῶν ἀπεγεύσατο, πρότερον ἀπεχόμενος κρεωδαισίας ἐξ ὅτου Βάρδας ὁ ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς ἀποτεχθεὶς αὐτῷ υἱός, ἱππαζόμενος ἐν τῷ πεδίῳ καὶ τῷ οἰκείῳ προσπαίζων ἀνεψιῷ τῷ Πλεύσῃ, μετὰ δόρατος βληθεὶς ἀκουσίως τέθνηκε. τοῦτο δὲ εἴτε ἐγκρατευόμενος ἐποίει εἴτε καὶ λαθεῖν τοὺς κρατοῦντας ὑποκρινόμενος, μόνος ἂν εἰδείη μετὰ θεὸν ἐκεῖνος. τοῦ γά- B

2 ἐκκλησίᾳ om C τὸν πατριάρχην καὶ om C 3 βασιλικῷ στέφει αὐτὸν ταινιῶσαι. ὁ γοῦν πολύευκτος τοῦτον ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας στέφει C 8 καὶ — 9 ἐκπέμπει om C 12 ἀσηκρῆτες C ὃς ἐκεῖσε ἐνδιατρίψας ἐφ᾽ ὅλους δύο C 16 κρεωδαισίας om C 17 ἀφ᾽ C 18 παιδίῳ C καὶ τῷ οἰκείῳ om C 19 τῷ om C πλεύσῃ C ἀκουσίως om C 21 θεὸς ἂν εἰδείη C

in urbem ducunt. ut in magnum templum ventum est, Polyeuctus patriarcha ad hoc comparatus eum in suggesto imperatoria insignit corona, die dominico, Augusti decimo sexto, indictione sexta.

Post haec Nicephorus imperator Antonium Studitam monachum et syncellum mittit, qui aula Theophanonem educat et in palatium Petrii includat. paulo post Iosephum in Paphlagoniam relegat, et inde rursum, non longo interposito tempore, in monasterium in Pythiis quod a secretis dicitur, ubi is per duos annos tolerata vita obiit. Bardam quoque patrem suum Caesarem creat. vigesima Septembris die larva deposita uxorem duxit Theophanonem. tunc et carnes gustavit, a quibus hactenus abstinuerat ab eo tempore, quo Bardas ex priore coniuge filius ipsius, in campo equitans et cum patruele suo Pleusa ludens, hasta a nolente ictus periit. feceritne hoc abstinentiae causa, an ut sic imperatores sua concilia celaret, praeter ipsum solus novit deus. peractis

μου δὲ τελεσθέντος ἐν τῇ κατὰ τὸ παλάτιον νέᾳ ἐκκλησίᾳ, ἐπείπερ ἤμελλεν εἴσοδος ἐν τῷ θυσιαστηρίῳ γενέσθαι, τῆς χειρὸς κατέχων αὐτὸν ὁ Πολύευκτος καὶ ταῖς ἱεραῖς ἐγγίσας κιγκλίσιν, εἴσεισι μὲν αὐτὸς εἰς τὰ ἄδυτα, ἐκεῖνον δ' ἐξώθησεν ὄπισθεν, ἐπειπὼν μὴ πρότερον συγχωρηθήσεσθαι αὐτὸν εἰς τὸ θυσιαστήριον εἰσελθεῖν, πρὶν ἂν δέξηται ἐπιτίμια δευτερογαμούντων. ἐλύπησε δὲ ἐν τούτῳ τὸν Νικηφόρον, καὶ οὐ διέλιπεν ἐγκοτῶν αὐτῷ μέχρι τῆς τελευτῆς. διεδέδοτο δὲ καὶ λόγος ἁπανταχοῦ, ὃς οὐ μικρῶς διετάραξε τὴν ἐκκλησίαν, ὅτιπερ ὁ Νικηφόρος ἀπὸ τοῦ ἁγίου βαπτίσματος
C *ἀνάδοχος ἐγένετο τῶν τῆς Θεοφανοῦς ἑνὸς παίδων. ταύτης δὲ τῆς φήμης ὡς εὐλόγου ἀφορμῆς δραξάμενος ὁ Πολύευκτος ἢ χωρισθῆναι αὐτὸν ἀπεμάχετο τῆς γυναικὸς κατὰ τὸν κανόνα ἢ τῆς ἐκκλησίας ἀναχωρεῖν. ὃ δὴ καὶ πεποίηκε, τῆς Θεοφανοῦς ἐξεχόμενος. συγκαλεσάμενος δὲ τοὺς ἐνδημοῦντας ἐπισκόπους ἐν τῇ πόλει καὶ τοὺς τῆς συγκλήτου λογάδας, σκέψιν περὶ τούτου προὔθετο. πάντες δὲ οὗτοι τοῦ Κοπρωνύμου εἶναι τὸν νόμον ἔλεγον, καὶ δέον αὐτὸν μὴ φυλάττεσθαι ἔκριναν. τοῦτ' ἄρα καὶ λίβελλον*
D *ἀφέσεως ὑπογράψαντες τούτῳ ἐπιδεδώκασιν. ἔτι δ' ἀναβαλλόμενον τὸν Πολύευκτον κοινωνῆσαι τῷ βασιλεῖ ὁ Καῖσαρ ἐπληροφόρησεν ὡς οὐκ ἀνάδοχος γέγονεν. ἀλλὰ καὶ Στυλιανὸς ὁ πρωτοπαπᾶς τοῦ μεγάλου παλατίου, ἐξ οὗ πρώτου ἐλέγετο ἡ τοιαύτη φήμη διαδραμεῖν, ἐνώπιον ἐλθὼν τῆς συνόδου καὶ τῆς συγκλήτου*

1 ἐν τῇ νέᾳ ἐκκλησίᾳ τῇ ἀμφὶ τὸ παλάτιον C 4 αὐτὸς] ἐκεῖνος P τὸ ἄδυτον C 8 καὶ λόγος δὲ ἐφοίτα C 17 ταῦτ' C 21 πρώτη C

nuptiis in novo ad palatium templo, cum in sanctuarium esset intrandum, manu eum tenens Polyeuctus, ut ad sacros cancellos ventum est, ipse in adytum introit et imperatorem repellit, aitque non intromissum iri, priusquam poenas pro secundis nuptiis luisset. molestum hoc fuit Nicephoro, et ad finem usque vitae Polyeucto succensuit. didebatur etiam passim rumor, qui non exiguas in ecclesia turbas dedit, unum liberorum Theophanonis fuisse a Nicephoro e sacro baptismo susceptum. eum ut speciosam ansam arripiens Polyeuctus, imperatorem aut repudiare uxorem iuxta sacrae constitutionis praescriptum debere contendebat, aut ecclesia abstinere. atque hoc posterius fecit Nicephorus uxori deditus. et convocatis qui in urbe tum peregrini erant episcopis ac delectis senatoribus, rem eis deliberandam proposuit. ii omnes constitutionem eam Copronymi esse, eaque imperatorem non teneri, pronuntiaverunt; libellumque absolutionibus subscriptum a se ipsi dederunt. nihilominus tamen tergiversante patriarcha, et res sacras cum imperatore communes habere recusante, Caesar fidem fecit Nicephorum non fuisse susceptorem. sed et Stylianus pontificum palatinorum princeps (ipsi protopapam vocant), a quo emanasse iste rumor ferebatur, coram

ἐξωμόσατο μήτ' ἰδεῖν μήτε πρός τινας ἀνειπεῖν ὡς ἄρα Βάρδας ἢ Νικηφόρος ἀνάδοχος γένοιτο. ὁ δὲ Πολύευκτος καίπερ φανερῶς ἐπιορκοῦντα εἰδὼς τὸν Στυλιανόν, τὸ τῆς συντεκνίας συγκεχώρηκεν ἔγκλημα, καὶ ὁ πάλαι ἐνιστάμενος δευτερογαμίας ἐπιτίμιον ἐπιθεῖναι καὶ τὸ μέγα τοῦτο παρῆκεν ἁμάρτημα.

Νικηφόρος δὲ τῷ πρώτῳ τῆς αὐτοῦ βασιλείας ἔτει ἐκπέμπει κατὰ τῶν ἐν Σικελίᾳ Σαρακηνῶν τὸν πατρίκιον Μανουὴλ καὶ νόθον υἱὸν πατραδέλφου αὐτοῦ Λέοντος, τοῦ χρηματίσαντος δομε- P 650 στίκου τῶν σχολῶν καὶ ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος τυφλωθέντος, στρατὸν αὐτῷ δοὺς καὶ στόλον ἀξιόμαχον· ἀδοξίαν γὰρ ἐδόκει προστρίβεσθαι ἑαυτῷ, εἰ τούτου κρατοῦντος ἡ Ῥωμαίων βασιλεία δασμοφορεῖ τοῖς Σαρακηνοῖς. ἀλλ' ἀναγκαῖον εἰπεῖν ἐπιδραμόντας τίς ἡ πρὸς τοὺς Σαρακηνοὺς δασμοφορία, καὶ ὅθεν εἴληφε τὴν ἀρχήν. τῆς πόλεως γὰρ τῶν Συρακουσῶν ὑπὸ τῶν ἐν Ἀφρικῇ Σαρακηνῶν ἁλούσης ἐπὶ τῶν χρόνων Βασιλείου τοῦ Μακεδόνος, καὶ τὴν ὅλην συνέβη νῆσον ὑπ' αὐτῶν κατασχεθῆναι καὶ τὰς αὐτῆς πόλεις κατασκαφῆναι, τῆς Πανόρμου μόνης περιποιηθείσης, B ἐξ ἧς ὡς ἔκ τινος ὁρμητηρίου ὁρμώμενοι οἱ Ἀγαρηνοὶ τὴν ἀντιπέραθεν γῆν ἐπεκτήσαντο. ἐκεῖθεν δὲ διαπορθμευόμενοι τὰς νήσους ἐδῄουν ἄχρι Πελοποννήσου, καὶ ὅσον οὔπω προσδόκιμοι παραστήσεσθαι ἦσαν. ἀμηχανῶν δὲ ὁ βασιλεὺς Βασίλειος, καὶ ἄξιον ὑπηρέτην ἀναζητῶν τῆς τοιαύτης ὑπηρεσίας, τὸν πατρίκιον ἔκρινε

4 ἐπιστάμενος C ἐπιτίμια C 19 ἐκτήσαντο C 21 δὲ] οὖν C

concilio et senatu iuravit se neque vidisse neque cuiquam dixisse quod vel Bardas vel Nicephorus esset factus susceptor. Polyeuctus ergo, tametsi peierare Stylianum certo sciebat, crimen compaternitatis omisit; et qui ante urgebat ut ob secundas nuptias poena infligeretur, ei quoque magno delicto ignovit.

Nicephorus anno imperii sui primo contra Saracenos Siciliam tenentes emittit cum classe et valido exercitu Manuelum patricium, spurium filium Leonis patrui sui, qui domesticus scholarum dictus a Romano seniore oculis fuerat orbatus: dedecori namque sibi fore iudicabat, si ipso imperante Romanum imperium tributa Saracenis solveret. res ipsa postulat ut exponamus, quid tributi Saracenis solverit Romanum imperium, atque unde ea res initium habuerit. cum Africani Saraceni Syracusas cepissent imperante Basilio Macedone, reliquas etiam urbes everterunt, tota insula potiti, solamque Panormum pro arce et receptaculo reliquerunt. inde profecti oppositam continentem occupaverunt, ulteriusque progressi insulas usque ad Peloponnesum omnes vastabant, iisque potituri etiam propediem credebantur. quae res cum graviter solicitum teneret Basilium, et is quaereret hominem huic ministerio ido-

Νικηφόρον καὶ δομέστικον τῶν σχολῶν, ἐπωνυμίαν φέροντα τοῦ Φωκᾶ, ἀπό τινος τῶν προγόνων αὐτοῦ ἀριστεύσαντος. πάππος ὁ Νικηφόρος ἦν τοῦ βασιλέως Νικηφόρου, ἀνὴρ γενναῖός τε καὶ συνετός, τὰ πρὸς θεόν τε εὐσεβὴς καὶ τὰ πρὸς ἀνθρώπους δίκαιος. C οὗτος μετά τινος στρατοῦ εἰς Ἰταλίαν περαιωθεὶς ἐντὸς ὀλίγου τοὺς Σαρακηνοὺς τῆς Ἰταλίας ἀπήλασε καὶ ἐν Σικελίᾳ ἡσυχάζειν ἠνάγκασε. τούτου τοῦ ἀνδρὸς καὶ ναὸν λέγεται δομήσασθαι τοὺς Ἰταλοὺς εἰς μνήμην ἄληστον τῆς αὐτοῦ ἀρετῆς, οὐ διὰ τὴν ἐλευθερίαν μόνην ἀλλὰ καὶ δι' ἕτερον ἔργον ἀξιαφήγητον. οἱ γὰρ Ῥωμαῖοι ἐν τῷ μέλλειν οἴκαδε ὑποστρέφειν μετὰ τοῦ σφῶν στρατηγοῦ πολλοὺς τῶν Ἰταλῶν κατασχόντες ἔσπευδον δούλους εἰς τὴν περαίαν διαβιβάσαι· οὗ γνωσθέντος μηδὲν ὅλως εἰπὼν ὁ Νικηφόρος μηδ' ὑπόνοιάν τινα δεδωκὼς πρὸ τοῦ ἐν Βρεντεσίῳ γενέσθαι (ἐκεῖθεν γὰρ ἔμελλον πρὸς τὴν Ἰλλυρίδα διαπερᾶν), ὡς ἐκεῖσε D ἐγένοντο, αὐτὸς δι' ἑαυτοῦ ἕκαστον τῶν στρατιωτῶν ἐμβιβάζων τοῖς πλοίοις περᾶν παρεσκεύαζε, καὶ οὕτω τοὺς ἐγχωρίους εἴασε τὴν ἑαυτῶν χώραν ἀδεῶς κατοικεῖν. διετέλεσεν οὖν εἰρηνεύουσα ἡ Ἰταλία μέχρι τῶν χρόνων τοῦ πορφυρογεννήτου Κωνσταντίνου καὶ τῆς αὐτοῦ μητρός· ἐπ' ἐκείνων δὲ πάλιν κινηθέντες οἱ Σαρακηνοὶ μηδενὸς κωλύοντος τὴν Ἰταλίαν κατέτρεχον. συνιδόντες οὖν οἱ κρατοῦντες ὡς οὐχ οἷοί τέ εἰσι πρός τε τοὺς ἑῴους Σαρακηνοὺς καὶ πρὸς τοὺς ἑσπερίους ἀντέχειν, ἤδη καὶ τῶν Βουλγάρων τὰς

8 τῆς ἀρετῆς ἐκείνου C 12 διαβιβάζειν. ὁ γοῦν νικηφόρος τοῦτο γνούς, μηδὲν ὅλως εἰπὼν C 14 ἐκεῖθεν] ἐκεῖσε C 15 τῶν στρατῶν ἕκαστον C

neum, Nicephorus placuit, patricius et domesticus scholarum, qui cognomen Phocae gerebat, quod quidam ipsius maiorum rebus praeclare gestis fuerat meritus. hic Nicephorus, Nicephori imperatoris avus, homo generosus prudens ac pius in deum et erga homines iustus, cum exercitu in Siciliam profectus brevi temporis spatio Italia Saracenos expulit, coegitque eos ut se in Sicilia continerent. ferunt Italos huic viro aedem posuisse ad perpetuam virtutis eius memoriam, non ideo tantum quod eos liberavisset, sed et ob aliud memorabile factum. etenim Romani domum cum ductore suo reversuri multos Italorum comprehenderant, quos volebant in servitutem secum abducere. re comperta Nicephorus, nihil dicens neque ullam suspicandi occasionem praebens, ut Brundusium est perventum (inde enim erant in Illyricum traiecturi), ipse unumquemque classiariorum singulatim in navim ingredi iussit et traiicere, atque sic Italos in Italia reliquit. pacata exinde fuit Italia usque ad imperium Constantini Porphyrogeniti et matris eius. tum rursum Saraceni insurgentes Italiam nemine prohibente infestarunt. et imperatores animadvertentes se non pares esse bello simul contra Orientales et contra Occidentales Saracenos gerendo, praesertim rupto

σπονδὰς λελυκότων, σπείσασθαι ἐγνώκεισαν μετὰ τῶν ἐν Σικελίᾳ Σαρακηνῶν. ἐγένοντο οὖν σύμφωνα δι' Εὐσταθίου τοῦ στρατηγοῦ Καλαβρίας, ἑνὸς ὄντος τῶν βασιλικῶν θαλαμηπόλων, ἐφ' ᾧ δασμὸν ἐτήσιον δίδοσθαι τοῖς Σαρακηνοῖς χρυσίου χιλιάδας κβ'. γενομένων δὲ τῶν σπονδῶν Ἰωάννην πατρίκιον τὸν ἐπίκλην Μουζάλωνα P 651 στρατηγὸν τῆς Καλαβρίας προὐβάλοντο, ὃς φορτικῶς κατάρχων τῶν ἐγχωρίων ὑπ' αὐτῶν ἀπεσφάγη, προσχωρησάντων τῷ ῥηγὶ Λογγιβαρδίας Δανδούλφῳ, Ῥωμανοῦ τοῦ γέροντος ἄρτι τὰ σκῆπτρα κατέχοντος Ῥωμαίων. ὑφ' οὗ συμφέρον ἐνομίσθη στρατιώτας πεμφθῆναι μετὰ νεῶν, τὸ ἀπορραγὲν τῆς ὁλότητος μέρος ἐπανασώσασθαι. προσεπέμφθη δὲ Κοσμᾶς πατρίκιος Θεσσαλονικεύς, γνώριμος ὢν τῷ Δανδούλφῳ. καὶ περαιωθεὶς οὗτος εἰς Ἰταλίαν καὶ τῷ Δανδούλφῳ συμμίξας παρῄνει ἀποσχέσθαι τῆς χώρας Ῥωμαίων καὶ τῷ βασιλεῖ συμφιλιωθῆναι καὶ ἀντὶ πολεμίου B φίλον αὐτὸν ποιῆσαι καὶ σύμμαχον. ἀπαναινομένου δὲ τούτου τὸ πρῶτον, ὁ Κοσμᾶς ἀνὴρ φρόνιμος ὢν καὶ συνετὸς "ἐμοὶ μὲν" εἶπε πρὸς τὸν Δανδοῦλφον "χρέος ἦν τὰ σωτήρια συμβουλεῦσαι τῷ φίλῳ. εἰ δ' αὐτὸς πεισθῆναί μοι οὐ θέλεις τὰ λυσιτελῆ συμβουλεύοντι, τότε γνώσῃ τῆς ἀληθείας διαμαρτήσας κατὰ πολύ, ὅταν σεαυτόν τε καὶ τὸ ἔθνος ἅπαν τοῖς μεγίστοις ὑποβαλὼν κινδύνοις ἀπαγορεύσεις, μὴ δυνάμενος πρὸς οὕτω μεγάλην καὶ ἰσχυρὰν ἀντιτάττεσθαι δυναστείαν." συνεὶς οὖν ὁ Δανδοῦλφος τὰ

2 εὐσταθίαν C   6 προὐβάλλοντο libri   8 δουκὶ C λανδούλφω C   10 ἐκπεμφθῆναι C   13 ἐν Ἰταλίᾳ C   20 τοῖς om C   22 ἀντιτάσσεσθαι C

iam etiam a Bulgaris foedere, pacem cum Siciliensibus Saracenis componere statuerunt. pactumque est, agente rem Eustathio Calabriae praefecto, uno de imperatoris cubiculariis, ut Saracenis darentur tributi nomine quotannis aureorum 22 milia. firmata pace Ioannem patricium cognomento Muzalonem Calabriae praefecerunt. is cum se imperiosius in subditos gereret, est ab iis interfectus, atque ii se dederunt Dandulpho regi Longibardiae, cum iam Romanus senior imperium occepisset. hic Romanus utile censuit ut missa classe pars imperii amissa recuperaretur. praemittit tamen Cosmam patricium Thessalonicensem, notum Dandulpho. is cum traiecisset in Italiam, cum Dandulpho collocutus hortatur ut a Romanorum dicione abstineat et cum imperatore foedus ineat, eumque pro hoste amicum potius sociumque sibi conciliet. Dandulpho primum renuente Cosmas, ut erat homo prudens, "mihi quidem" inquit "necesse erat homini amico suggerere consilium salutare. cui si tu parere non vis, experiere falsum animi te admodum fuisse, ubi te et nationem totam in summum adduxeris discrimen, et impar tam potentis imperii viribus subsistendis de rebus tuis desperaveris." Dan-

δέοντα συμβουλεύειν τὸν πατρίκιον, ἐδέξατο τὴν παραίνεσιν καὶ
C ἐσπείσατο, νουθετήσας καὶ τοὺς ἄρχοντας τῶν ἀποστάντων θεμάτων τῇ προτέρᾳ προσδραμεῖν ἀρχῇ καὶ τὸν σφῶν ἐπιγνῶναι βασιλέα, ὧν πεισθέντων εἰρήνῃ βαθείᾳ πάλιν κατεῖχε τὰ ἐν Ἰταλίᾳ καὶ Λογγιβαρδίᾳ πράγματα.

Ὁ δὲ τῶν Βουλγάρων ἀρχηγὸς Συμεὼν πολλὰ κατὰ Ῥωμαίων στήσας τρόπαια καὶ φρονηματισθεὶς ἐπὶ τούτοις καὶ τὴν Ῥωμαίων ὠνειροπόλει βασιλείαν. τοίνυν πρὸς Φατλοῦν τὸν δυνάστην τῶν Ἄφρων ἐκπέμψας προετρέπετο στόλον κατὰ τῆς βασιλίδος ἀναγαγεῖν, ὑπισχνεῖτο δὲ καὶ αὐτὸς διὰ Θρᾴκης ἐλθεῖν πολὺν καὶ βαρὺν στρατὸν ἐπαγόμενος, καὶ γενομένων ὑφ' ἓν τῶν
D στρατευμάτων διά τε γῆς καὶ θαλάσσης ἐκπολιορκῆσαι τὴν βασιλεύουσαν, καὶ τὸν ταύτης πλοῦτον διανείμασθαι ἐπ' ἴσης, καὶ αὐτὸν μὲν ἐπ' οἴκου ὑπονοστῆσαι, τοῦτον δὲ τῇ Κωνσταντινουπόλει καταλιπεῖν. ἔλαθον οὖν οἱ Βούλγαροι πρὸς τὴν Ἀφρικὴν ἀποπλεύσαντες, καὶ δόξαντος τοῦ Συμεὼν ὠφέλιμα παραινεῖν εἰλήφασί τινας Σαρακηνοὺς ἐλλογίμους ὥστε ἐμπεδῶσαι τὰ δεδογμένα. ἐν τῷ ὑποστρέφειν δὲ περιπίπτουσι τοῖς Καλαβροῖς καὶ πρὸς τὸ Βυζάντιον ἀναπέμπονται μετὰ τῶν Σαρακηνῶν. οὓς ἰδὼν ὁ βασιλεὺς (Ῥωμανὸς δὲ ἦν ὁ γέρων) καὶ τὴν κοινοπραγίαν μαθὼν ἀκριβῶς, καὶ ὡς εἰ τοῦτο γένηται καταινοήσας οὐ μικραῖς φροντίσιν ὑποπεσεῖται, δεῖν ᾠήθη μεγαλοφροσύνῃ καὶ εὐεργεσίᾳ
P 652 τοὺς Σαρακηνοὺς ἀναχαιτίσαι τῆς παρούσης ὁρμῆς. τοὺς μὲν οὖν

11 πολὺν καὶ om C   19 ἀποπέμπονται C

dulphus intelligens Cosmam recte monere, accipit consilium et foedus icit: hortatur etiam principes reliquarum quae defecerant provinciarum, ut ad priorem redeant statum suumque imperatorem agnoscant. his actis rursus in Italia ac Longibardia alta pax erat.

Interim Simeon Bulgarorum princeps animo elatus ob multas de Romanis reportatas victorias imperium quoque Romanum animo iam occupabat. mittit igitur legatos ad Phatlunum Afrorum principem, hortaturque ut classem ad Cpolin adducat. se eodem per Thraciam cum valido ac copioso exercitu accessurum: coniunctis viribus se urbem terra marique expugnaturos, et divitias eius aequis portionibus inter se divisuros, et Saracenis domum reversis se Cpolin retenturum. Bulgari missi clam in Africam navigant; et Saraceni, cum indicarent Simeonem utiliter consulere, quosdam suorum primarios viros mittunt cum Bulgaris, qui pactum confirment. ea legatio in reditu a Calabris intercepta, et Bulgari Saracenique ii ab his Cpolin ad imperatorem Romanum senem missi. qui cum consilium illud hostium de societate coeunda percepisset, ac intelligeret, si id succederet, magnum rebus suis imminere periculum, existimavit sibi Saracenos magnificentia et beneficiis ab eo insti-

Βουλγάρους ἔθετο ἐν φυλακῇ, δώροις δὲ τοὺς Σαρακηνοὺς ἁδροῖς φιλοτιμησάμενος, ἔτι δὲ καὶ ξένια τῷ αὐτῶν ἐκπέμψας δεσπότῃ πολύτιμα, ἀπαθεῖς κακῶν ἐξαπέστειλε, φράζειν εἰπὼν τῷ κυρίῳ αὐτῶν ὡς οὕτως ἀμείβειν οἴδασιν οἱ βασιλεῖς Ῥωμαίων τοὺς ἑαυτῶν πολεμίους. ἀπελογίσατο δὲ καὶ περὶ τῆς ἐτησίου δασμοφορίας, ὡς οὐκ ἀναβολῇ τοῦτο καὶ ὑπερθέσει ὑστέρησεν, ἀλλὰ διὰ τὴν ἐπικρατοῦσαν τηνικαῦτα κατὰ τὸν τόπον ταραχήν. ἐπαναδραμόντων οὖν πρὸς τὸν οἰκεῖον δυνάστην τῶν Σαρακηνῶν, καὶ ἅ τε πάθοιεν πρὸς τοῦ βασιλέως διηγησαμένων καὶ τὰς εἰς αὐτοὺς φιλο- B
φροσύνας ἐξυμνησάντων, ἀποδεδωκότων δὲ καὶ ἅπερ ἐπήγοντο πρὸς ἐκεῖνον δῶρα, ἡσθεὶς ὁ Φατλοὺμ ἐπὶ πᾶσιν οἷς ἤκουσε, τῶν τε ὀφειλομένων αὐτῷ φόρων τὰ ἡμίση Ῥωμαίοις ἐχαρίσατο καὶ ἀπὸ τῶν εἴκοσι καὶ δύο χιλιάδων τὰς ἕνδεκα ἐκκέκοφεν. ἐδίδοντο οὖν ἐξ ἐκείνου μέχρι τῆς τοῦ Νικηφόρου ἀναρρήσεως τοῖς Σαρακηνοῖς ταῦτα. ἀλλὰ σωφρονούντων μὲν ἀρχόντων καὶ δικαίων ταῖς χώραις τυγχανόντων, αὐτοί τε οἱ ἀρχόμενοι ἄλυπον ἦγον βίον καὶ ζωήν, καὶ ὁ δασμὸς ἀπεδίδοτο τοῖς Σαρακηνοῖς ἀπραγμόνως. ὁπηνίκα δ' ἡ ἀρχὴ ἀδίκοις καὶ πλεονέκταις ἐνεπιστεύετο, καὶ τὸ C
ὑπήκοον ἐκακοῦτο καὶ αἱ πρὸς τοὺς Σαρακηνοὺς σπονδαὶ διεσείοντο. καὶ γὰρ δὴ παρὰ τοῦ πορφυρογεννήτου ὁ Κρηνίτης Χαλδίας τῆς Καλαβρίας γενόμενος στρατηγὸς τοὺς ἐν Ἀφρικῇ καὶ Σικελίᾳ Σαρακηνοὺς μέλλοντας ἄρδην ὑπὸ τοῦ λιμοῦ καὶ τοῦ πολέμου τῶν ἐν Κυρήνῃ Σαρακηνῶν ἀπολωλέναι, δι' οἰκείαν

6 τούτου C 10 ἃ ἐπείγοντο C 12 δώρων C 13 τὰ P
15 τῆς χώρας τυγχανούσης C 16 βίον καὶ om C 21 χάλδος C

tuto esse detrahendos. ergo datis in custodiam Bulgaris, Saracenos splendidis donis afficit, missisque per eos etiam ipsorum principi xeniis illaesos dimittit, iubetque eos domino suo dicere, hoc modo imperatores Romanos suis hostibus paria referre. et de annua pensione se excusat, dilationem eius affirmans non studio sed ob tumultus tunc iis locis ortos factam. reversi ad suum principem Saraceni exponunt ut a Romano fuerint tractati, eiusque praedicata liberalitate dona ab eo missa offerunt. quae omnia ita fuerunt Phatlumo grata, ut tributi semissem Romanis dimitteret, hoc est, de 22 milibus undecim abscinderet. id tributi Saracenis ex eo tempore usque ad Nicephori designationem persolutum fuit. quoties in provinciis praefecti fuere moderati atque iusti, subditi quoque tranquillam egerunt vitam, et Saracenis placide est satisfactum. cum vero iniusti et avari praefecti essent interdum, ii et subditos vexabant et pacem cum Saracenis initam labefactabant. namque etiam sub Porphyrogenito Crenita Chaldiae in Calabria praefectus Saracenos Africanos ac Sicilienses, quibus ob penuriam et bellum a Cyrenensibus Saracenis illatum extrema imminebant, avaritia

πλεονεξίαν ἀνεκτήσατο καὶ τοὺς ὑπὸ χεῖρα οὐ μετρίως ἐκάκωσε· πάσας γὰρ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς εὐώνως ἀπὸ τῶν ἐγχωρίων ὠνούμενος πολλοῦ τοῖς Σαρακηνοῖς ἐπίπρασκεν, ἀπραγμόνως παρέχουσι τὰς τιμὰς τῷ εὐπόρως ἔχειν χρυσίου διὰ τὴν ἐκ τοῦ λιμοῦ D καὶ τῶν πολέμων στενοχωρίαν. πλὴν ὁ μὲν Κρηνίτης ὑπὸ τοῦ Κωνσταντίνου παραλυθεὶς τῆς ἀρχῆς τά τε χρήματα ἀφῃρέθη μετ᾽ αἰσχύνης καὶ καταγηράσας ἀπέθανε· κατὰ δὲ τὸν τοῦ πολέμου καιρὸν φυγάδας Καρχηδονίους αὐτομολήσαντας οἱ Ῥωμαῖοι ἐδέξαντο, οὓς οὐδαμῶς ἀπῄτουν οἱ Καρχηδόνιοι. μᾶλλον μὲν οὖν καὶ τὸν ἐτήσιον δασμὸν συνεχώρουν, δεδοικότες μή πως κωλύσωσιν οἱ Ῥωμαῖοι σκανδαλισθέντες τὴν τῶν ἐπιτηδείων ὠνὴν καὶ κινδυνεύσωσιν οὗτοι διαφθαρῆναι λιμῷ. ὕστερον δὲ τοῦ πολέμου διαλυθέντος τούς τε αὐτομόλους ἐζήτουν καὶ τὴν δασμοφορίαν. μηδενὸς δὲ παρέχοντος αὐτοῖς διέλυσαν τὴν εἰρήνην, καὶ περαιούμενοι καθ᾽ ἑκάστην τὴν Καλαβρίαν ἐδῄουν. Κωνσταντῖνος τοίνυν ὁ βασιλεὺς μὴ θελήσας, ὥσπερ ὁ πενθερὸς αὐτοῦ, μειλιχίως ὑπελθεῖν τοὺς Σαρακηνοὺς καὶ τὴν εἰρήνην ἀνανεώσασθαι, ἀλλὰ πολέμῳ μᾶλλον κρῖναι τὰ πράγματα διανοηθείς, δύ- P 653 ναμιν ἀξιόμαχον συναγείρας καὶ ἄρχοντα ἐπιστήσας αὐτοῖς τὸν πατρίκιον Μαλακηνὸν εἰς Καλαβρίαν ἀπέστειλεν, ἑνωθῆναι κελεύσας τῷ στρατηγῷ τῆς χώρας (Πασχάλιος δ᾽ οὗτος ἦν, ὁ πρὸ μικροῦ μνημονευθείς) καὶ κοινῇ μετ᾽ αὐτοῦ ἀναδέξασθαι τὸν παρὰ τῶν Καρχηδονίων καὶ Σικελῶν ἐπισειόμενον πόλεμον. ἐπέ-

7 καὶ κατὰ τὸν P 12 καὶ om C 14 διετέλεσαν C 20 μαλακεινὸν C

ductus sublevavit, et subditos non leviter vexavit. nam vili pretio coemens quae ad vitam sustinendam erant necessaria, magno ea Saracenis vendidit, qui quod auro abundabant et fame belloque premerentur, libenter pretium quodvis persolvebant. verum huic Crenitae a Constantino imperium abrogatum est, eidemque pecunia adempta est, et cum dedecore consenuit atque diem suum obiit. eodem bello Romani Carthaginenses perfugas susceperunt, quos neque reposcerunt Carthaginenses; et tributum praeterea non exegerunt solitum, veriti ne offensis Romanis et alimentorum parandorum facultatem adimentibus fame periclitandum esset. post bello confecto et perfugas et tributum requisiverunt; et repulsam passi pace confusa identidem Calabriam classe infestaverunt. igitur Constantinus non, ut socer ipsius fecerat, Saracenos delinire et pacem cum eis renovare volens, sed bello potius decernere, exercitum validum coegit. eumque duce patricio Malaceno in Calabriam misit, et coniungere se cum praefecto eius regionis iussit Paschalio, cuius paulo ante facta mentio, ac communi opera bellum a Carthaginensibus et Siculis illatum defendere. praefecit etiam Macro-

στῆσαι δὲ καὶ τῷ πεμφθέντι στόλῳ τὸν Μαυρουϊωάννην. οἵτινες κατὰ χώραν γενόμενοι μυρία ἔδρων εἰς τοὺς αὐτόχθονας κακά, πλεονεκτοῦντες καὶ ἄλλα ποιοῦντες ἃ καὶ αὐτοὶ ἂν ὤκνησαν οἱ πολέμιοι. ταῦτα πυθόμενος ὁ τῶν Σαρακηνῶν ἀμηρᾶς Ἀβουλχαρὲ (ἤδη γὰρ ὁ Φατλοὺμ ἐτεθνήκει) καὶ τοὺς ἑαυτοῦ παραθαρρύνας, καὶ μὴ φοβηθῆναι παραινέσας στρατὸν τοιαῦτα εἰς τοὺς οἰκείους B ἐνδεικνύμενον τὰ κακά, πόλεμον ὑπαντιάσας συνίστησι κρατερόν, καὶ νίκην ἤρατο ἀρίστην τε καὶ καλλίστην· μικροῦ γὰρ ἂν ἑάλωσαν καὶ οἱ στρατηγοὶ ζωγρίαι.

Μετὰ δὲ τοῦτο Κωνσταντῖνος ὁ βασιλεὺς Ἰωάννην ἀσηκρῆτις, τὸν τὴν ἐπωνυμίαν Πιλάτον, περὶ εἰρήνης ἐκπέμπει διαλεξόμενον τοῖς Σαρακηνοῖς. εἰωθότες δ' οὗτοι μὴ ταῖς νίκαις ἐπαίρεσθαι ἀλλὰ τὴν εἰρήνην καὶ κρατοῦντες ἀσπάζεσθαι, προθύμως ὑπήκουσαν καὶ ἐπί τινα χρόνον εἰρήνην ἔθεντο. τούτου δὲ διερ- C ρυηκότος πάλιν διαπερῶντες ἐληλάτουν τοὺς Καλαβρούς. καὶ πάλιν ὁ Κωνσταντῖνος δύναμιν κατ' αὐτῶν καὶ ναυτικὴν ἐκπέμπει καὶ πεζικήν· ἦρχον δὲ τῆς μὲν ναυτικῆς δυνάμεως ὁ τὴν ἐπωνυμίαν Κραμβέας καὶ ὁ Μωρολέων, ἐστρατήγει δὲ τῶν πεζῶν ὁ πατρίκιος Ῥωμανὸς ὁ Ἀργυρός. γενόμενοι δ' ἐν Ὑδροῦντι καὶ τὰς ναῦς νεωλκήσαντες ηὐτρεπίζοντο πρὸς τὸν εἰς Σικελίαν ἀπόπλουν. οἱ δὲ Σαρακηνοὶ τῇ φήμῃ διαταραχθέντες (ἐπίσταται γὰρ αὕτη τὰ μικρὰ μεγεθύνειν καὶ τὰ πράγματα πρὸς τὸ φοβερώτερον ἐξαγγέλλειν) καὶ μή τι πάθωσι δείσαντες διὰ τὸ αἰφνιδίως D

1 δὲ om C 7 ἐπιδεικνύμενον C 10 ἀσηκρήτην C 19 Ῥωμανὸς] Μαριανὸς C

Ioannem classi quam mittebat. hi cum in Calabriam venissent, provincialibus innumera intulerunt maleficia, expilantes eos, et ea facientes quae vix ipsi hostes erant facturi. quae ut rescivit ameras Saracenorum Abulchares (iam enim Phatlumus e vivis excesserat), cohortatus suos ne sibi a tali metuerent hoste cuius tantae in suos essent iniuriae, Romanis occurrit, gravique commissa pugna pulcherrimam obtinuit victoriam, ipsis prope captis ducibus.

Secundum haec imperator Ioannem a secretis, cognomine Pilatum, ad tractandam cum Saracenis pacificationem misit. qui cum consuevissent victoriis non efferri sed pacem etiam rebus secundis expetere, faciles sese ei praebuerunt, et ad certum tempus indutias pacti sunt. elapso eo tempore rursum mari transmisso Calabriam vexarunt. itaque etiam Constantinus contra eos navales terrestresque emisit copias. classem ducebant Crambeas et Moroleon, alteras patricius Romanus Argyrus. iamque hi Hidrunte navibus subductis ad navigandum in Siciliam sese parabant, cum Saraceni fama, quae parva amplificare et terribilius narrare solet, perturbati, et quod hostes sibi imparatis subito

αὐτοῖς ἀπαρασκεύοις γειτονῆσαι τοὺς πολεμίους, Πανικῷ δείματι συσχεθέντες καὶ τὸ ἑαυτῶν καταλιπόντες στρατόπεδον ἔφυγον ἐκ τοῦ Ῥηγίου καὶ πρὸς τὴν Σικελίαν διεπεραιώθησαν. ἐν δὲ τῷ πρὸς Πάνορμον ἀποπλεῖν βαρυτάτῳ χειμῶνι περιπεσόντες, καὶ τῶν σκαφῶν ὑπὸ τοῦ κλύδωνος συντριβέντων, μᾶλλον δὲ ὑπὸ Χριστοῦ τοῦ θεοῦ τοῦ παρ' αὐτῶν βλασφημουμένου, διολώλασιν ἅπαντες. σπένδονται τοίνυν τοῖς Ῥωμαίοις, καὶ διετηρήθη τὰ τῆς εἰρήνης μέχρι τῆς ἀναρρήσεως τοῦ Φωκᾶ. ἄρτι δ' οὗτος ἀναγορευθεὶς βασιλεύς, πέρα δεινῶν ἡγησάμενος δασμοφορῆσαι Σαρακηνοῖς, τὸν Μανουήλ, ὡς εἴπομεν, ἀποστέλλει μετὰ δυνάμεως κατ' αὐτῶν. οὗτος δὲ νέαν ἄγων τὴν ἡλικίαν καὶ στρατιώταις κατατετάχθαι, οὐ μήν γε καὶ στρατηγεῖν ἄξιος ὤν, ὑπάρχων δὲ καὶ πολλοῖς ἄλλοις πάθεσι κατάσχετος καὶ μηδὲν τῶν τὰ
P 654 κρείττω συμβουλευόντων ἐπιστρεφόμενος, ἔν τισι τόποις τραχέσι τε καὶ δυσβάτοις τῆς Σικελίας μετὰ παντὸς ἀποκλεισθεὶς τοῦ στρατοῦ παραδίδοται πανωλεθρίᾳ. ἑάλω δὲ ζωγρίας καὶ Νικήτας πατρίκιος καὶ τοῦ στόλου δρουγγάριος ὁ εὐνοῦχος, καὶ εἰς Ἀφρικὴν δέσμιος πέμπεται. καὶ ὁ μὲν Μανουὴλ τοιαύτης ἔτυχε τῆς καταστροφῆς, παραίτιος ἀπωλείας γενόμενος καὶ παντὶ τῷ στρατῷ.

Ὁ δὲ βασιλεὺς ἐν τούτῳ τῷ χρόνῳ ἐκπέμπει κατὰ Κιλικίας Ἰωάννην μάγιστρον καὶ δομέστικον τῶν σχολῶν τῆς ἀνατολῆς ἤδη προβεβλημένον, τὸν Τζιμισκῆν. γενόμενος δ' οὗτος πρὸς πόλιν
B Ἄδαναν, καὶ πλῆθος καταλαβὼν ἐπιλέκτων Ἀγαρηνῶν συνειλεγμέ-

1 πολέμους C 3 τὴν om C ἐπεραιώθησαν C 7 σπένδοντες C 12 στρατηγοῖς C

ingruerent de salute sua soliciti, Panico terrore concitati castra sua deseruerunt, relictoque Regio fuga in Siciliam contenderunt. cumque iam Panormo accederent, atrocissima oborta tempestate, eiusque vi (aut Christi verius, cui illi impie maledicebant) navibus contritis universi perierunt. inde rursum pax facta cum Romanis, quae duravit usque ad Nicephori imperium. is simulatque imperium occepit, rem indignissimam existimans Saracenis tributum pendere, contra eos Manuelum, ut iam supra diximus, cum copiis misit. Manuelus iuvenis et militis quam ducis officio multo aptior, multis etiam aliis obnoxius vitiis, neque sanioribus obtemperans consiliis, et se ipsum et exercitum totum perdidit, asperis quibusdam Siciliae et inviis locis inclusus atque exitio demersus. captus fuit Nicetas eunuchus patricius ac classis drungarius, et in Africam in vinculis abductus.

Sub idem tempus imperator in Ciliciam emittit Ioannem Tzimiscam, magistrum domesticum scholarum Orientis iam creatum. is cum ad Adana pervenisset, in multitudinem incidit ex omni delectorum Cilicia

των ἐκ πάσης τῆς Κιλικίας, συμπλέκεται τούτῳ καὶ τρέπεται κατὰ
κράτος. οἱ μὲν οὖν ἄλλοι τῶν Ἀγαρηνῶν νόμῳ πολέμου κατεκό-
πησαν· μέρος δὲ τοῦ στρατοῦ ὡσεὶ πεντακισχίλιοι τὸν ἀριθμὸν
ὄντες φεύγουσιν εἴς τινα λόφον δύσβατον καὶ ἀπόκρημνον, πεζοὶ
τοὺς ἵππους ἀποβάντες, καὶ τῇ τοῦ τόπου θαρρήσαντες εὐκαιρίᾳ
εὐρώστως τοὺς ἐπιόντας ἠμύνοντο. οὓς καὶ περιστοιχίσας ὁ Ἰωάν-
νης, ὅτι μὴ μεθ᾽ ἵππων οἷός τε ἦν αὐτοῖς συμβαλεῖν, πεζεῦσαι
προστάξας τοὺς στρατιώτας ἄνεισι μετ᾽ αὐτῶν πεζὸς καὶ αὐτός.
καὶ καταγωνισάμενος πάντας ἀπέσφαξε, νῶτα μηδενὸς δεδωκότος,
ὡς ῥεῦσαι διὰ τοῦ πρανοῦς εἰς τὸ πεδίον τὸ αἷμα ποταμηδόν, καὶ C
ἀπὸ τούτου τοῦ συμπτώματος κληθῆναι τὸν βουνὸν βουνὸν αἵμα-
τος. τοῦτο τὸ ἔργον ἐπὶ πλέον ἐξῇρε τὸ ὄνομα τοῦ Ἰωάννου, καὶ
τοῖς Σαρακηνοῖς τελείας καταστροφῆς γέγονεν αἴτιον.

Ὁ δὲ Νικηφόρος κατὰ τὸ δεύτερον ἔτος τῆς αὐτοῦ βασιλείας,
ἐν μηνὶ Ἰουλίῳ ἰνδικτιῶνος ζ´, ἔξεισι κατὰ Κιλικίας σὺν βαρεῖ
στρατῷ Ῥωμαίων καὶ συμμάχων Ἰβήρων καὶ Ἀρμενίων, ἔχων
Θεοφανὼ τὴν γαμετὴν σὺν τοῖς τέκνοις αὐτῆς. ἐκείνην μὲν οὖν
ἔξωθεν τῆς Κιλικίας ἔν τινι φρουρίῳ καταλιμπάνει, Δριζίῳ κα- D
λουμένῳ, αὐτὸς δὲ εἰσελθὼν εἰς Κιλικίαν Ἀνάζαρβαν καὶ Ῥωσσὸν
καὶ Ἄδαναν τὰς πόλεις καὶ ἕτερα οὐκ ὀλίγα φρούρια κατεστρέ-
ψατο. ἐπὶ δὲ τὴν Ταρσὸν καὶ τὴν Μόψου ἑστίαν ἀπελθεῖν οὐκ
ἐθάρρησε, χειμῶνος ἤδη καταλαβόντος. καὶ στρατὸν τὸν ἀπο-
χρῶντα καταλιπὼν ἐκεῖσε ἔξεισιν ἐν Καππαδοκίᾳ παραχειμάσων.
ἦρος δὲ ἀρχομένου πάλιν εἰσῆλθεν ἐν Κιλικίᾳ, καὶ διχῇ διελὼν τὰ

1 ἡλικίας C 9 κατέσφαξε C 18 Δριζιβίῳ Zonaras προσαγορευομένῳ C 19 Ῥωσὸν C

Agarenorum, eamque congressus fundit. hostibus deletis, quinque tamen circiter Agarenorum milia equis relictis pedites in collem quendam praeruptum evaserunt, eiusque natura freti fortiter impetum hostium defenderunt. sed Tzimisces circumdato colle, quia eques cum eis non poterat congredi, pedites ire eo suos iussit, pedesque eos ipse duxit. nemo Saracenorum tergum dedit: occisi sunt omnes, et cruoris rivi per declivia in campum fluxerunt, nomenque colli ab eventu factum, ut collis sanguinis appellaretur. id facinus nomen Tzimiscae celebrius reddidit, Saracenis autem causa exitii fuit.

Anno imperii sui secundo, mense Iulio, indictione septima, Nicephorus magnum exercitum Romanorum ac sociorum Iberorum et Armeniorum in Ciliciam ducit, comitatus uxore sua Theophanone et liberis. ea extra in castello Drizio relicta, ingressus ipse Ciliciam, Anazarbam Rossum et Adanam urbes aliaque haud pauca subigit castella. cumque ad Tarsum et Mopsuestiam ducere non auderet, quod iam hiems appeteret, relicto ea in provincia valido praesidio in Cappadociam hibernorum causa abit. ineunte vere rursum Ciliciam intrat; et diviso in duas

στρατεύματα τὴν μὲν Ταρσὸν πολιορκεῖν ἀφῆκε Λέοντα τὸν ἀδελφόν, αὐτὸς δὲ τὸ λοιπὸν ἀράμενος τῆς στρατιᾶς τῇ Μόψου ἑστίᾳ προσέσχεν. ἐνεργῷ δὲ χρησάμενος τῇ πολιορκίᾳ, ἔχων δὲ καὶ τὸν λιμὸν ἐπαρήγοντα, παραλαμβάνει τὸ ἓν μέρος τῆς πόλεως· τέμνεται γὰρ ἡ πόλις αὕτη μέσον τῷ Σάρῳ ποταμῷ, ὡς δοκεῖν δύο πόλεις εἶναι. τοῦ ἑνὸς οὖν, ὡς εἴρηται, μέρους ἁλόντος ἐπὶ τὸ ἕτερον οἱ Σαρακηνοὶ καταφεύγουσι, τὸ ἑαλωκὸς πανταχόθεν ὑφάψαντες. σφοδροτέρᾳ δὲ χρησαμένου τοῦ βασιλέως τῇ πολιορ- P 655 κίᾳ ἑάλω καὶ τὸ ἕτερον μέρος, μηδενὸς ἐκεῖθεν διαφυγόντος. ὁ δὲ τὴν Ταρσὸν παρακαθήμενος Λέων ὁ τοῦ βασιλέως ἀδελφός, ἐπὶ χορτολογίαν καὶ συλλογὴν τῶν ἐπιτηδείων μέρος ἀποστείλας τῆς στρατιᾶς ἔξαρχον ἐχούσης τὸν Μοναστηριώτην, ἠτύχησεν· ἀφυλάκτως γὰρ διασκεδασθέντας τοὺς προνομεύοντας νυκτὸς οἱ Ταρσεῖς ἐξελθόντες, ὡς μηδενὶ συναίσθησιν τῆς ἐξόδου παρεσχηκέναι, ἐπιτίθενται διεσπαρμένοις αὐτοῖς, καὶ οὐκ ὀλίγους διέφθειραν, ἐν οἷς ἦν καὶ ὁ Μοναστηριώτης αὐτός. τὴν δὲ τῆς Μόψου ἑστίας ἅλωσιν οἱ Ταρσεῖς ἐγνωκότες, πιεζόμενοι δὲ τῇ πολιορκίᾳ καὶ τῷ λιμῷ, διεπρεσβεύσαντο πρὸς τὸν Λέοντα, ἐπι- B καλούμενοι τὸν βασιλέα καὶ λιπαροῦντες ἀπαθεῖς κακῶν φυλαχθῆναι καὶ τὴν ἑαυτῶν παραδεδωκέναι πόλιν. ὁ δὲ ῥητόν τι φορτίον ἕκαστον ἀφεὶς ἀποφέρεσθαι, τὸν ἄλλον ἅπαντα πλοῦτον κατέσχε τῆς πόλεως. μετὰ δὲ τρεῖς ἡμέρας τοῦ τὴν πόλιν ἁλῶναι

8 τῇ δὲ πολιορκίᾳ σφοδρότερον χρησαμένου τοῦ βασιλέως C 9 ἐκεῖθεν μηδενὸς C 11 ἐκπέμψας C 12 ἔχει C. an ἔχον? ἡ τύχη C 16 καὶ ὁ μ. ἦν C 19 ἀφεθῆναι C

partes exercitu Leonem ad oppugnandam Tarsum cum altera parte mittit, alteram ipse ad Mopsuestiam ducit. eam cum acriter oppugnaret, fame etiam oppidanorum adiutus unam urbis partem capit. ea enim urbs media a Saro flumine secatur, ita ut duae urbes videantur. altera igitur, ut diximus, parte capta ad alteram Saraceni confugiunt, undique quod captum erat incendentes. sed acrius ad oppugnationem incumbente imperatore altera quoque pars capta est, nemine inde effugiente. Leo autem imperatoris frater Tarsum obsidens, cum exercitus partem pabulatum frumentatumque misisset duce Monasteriote, voti minime compos fuit: nam sine custode dissipatos praedatores noctu Tarsenses egressi, ita ut nemo eorum eruptionem sentire potuerit, invadunt, et haud paucos interficiunt, et in his Monasteriotem. Tarsenses autem cognita Mopsuestiae expugnatione, oppressique obsidione et fame, legatos ad Leonem mittunt imperatorem invocantes et deprecantes, ut incolumes dimitteret urbe dedita. ipse autem cum permisisset ut certum quoddam pondus auferrent, alia omnia urbis bona diripuit. triduoque

στόλος μέγιστος ἐξ Αἰγύπτου βοηθήσων τῇ Ταρσῷ παρεγένετο, πλήρης ὑπάρχων σίτου καὶ τῶν ἄλλων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. οὐ συνεχωρήθη δὲ προσσχεῖν τῇ γῇ οὐδ' ἀποβῆναι παρὰ τῶν ὑπὸ τοῦ βασιλέως ταχθέντων τὴν παραλίαν τηρεῖν στρατιωτῶν. καὶ μὴ ἔχοντες ὅ τι χρήσονται τοῖς παροῦσιν ὑπέστρεψαν, ναυαγίοις μεγάλοις περιπεσόντες ἀπό τε ἀνέμων ἀταξίας καὶ τῆς ἐπιθέσεως C τῶν τοῦ βασιλέως πολεμικῶν πλοίων. δῃώσας δὲ καὶ τεφρώσας καὶ τὰς λοιπὰς πόλεις τῆς Κιλικίας, τῷ Ὀκτωβρίῳ μηνὶ τῆς ἐννάτης ἰνδικτιῶνος ὑπέστρεψεν εἰς Κωνσταντινούπολιν, ἔχων μεθ' ἑαυτοῦ καὶ τὰς τῆς Ταρσοῦ πύλας καὶ τὰς τῆς Μόψου ἑστίας, ἃς καὶ χρυσῷ καταστίξας ἔξωθεν ἀνάθημα τῇ βασιλίδι διεκόμισε, τὰς μὲν κατὰ τὴν ἀκρόπολιν στήσας, τὰς δὲ κατὰ τὸ τῆς χρυσῆς πόρτης τεῖχος. διεκόμισε δὲ καὶ τῷ θεῷ δῶρον καὶ δεκάτην τῆς ἑαυτοῦ στρατείας τοὺς αἰχμαλωτισθέντας τιμίους σταυρούς, ὁπηνίκα δομέστικος τῶν σχολῶν ὢν ὁ Στυπειώτης καὶ τὴν Ταρσὸν παρακαθήμενος παντελεῖ πανωλεθρίᾳ τῇ οἰκείᾳ ἀβουλίᾳ καθυπέβαλε τὰ στρατεύματα· οὓς δὴ καὶ τῷ πανσέπτῳ τεμένει τῆς τοῦ D θεοῦ λόγου σοφίας ἀνέθετο.

Τῷ δὲ αὐτῷ δευτέρῳ τῆς αὐτοῦ βασιλείας χρόνῳ ὁ Νικηφόρος καὶ πᾶσαν τὴν νῆσον Κύπρον τῇ τῶν Ῥωμαίων προσήγαγεν ἐπικρατείᾳ, τοὺς Ἀγαρηνοὺς ἀπελάσας ἐκεῖθεν διὰ Νικήτα πατρικίου τοῦ Χαλκούτζη.

1 βοηθήσων om C 8 ὀκτωμβρίῳ C 11 κεκόμικε C 16 ὑπέβαλε C 18 λ. σ.] μεγάλης ἐκκλησίας C 19 ἔτει C 22 πατρικίου καὶ στρατηγοῦ τοῦ C

post expugnationem classis maxima ex Aegypto advenit opem Tarso latura, frumento onusta et aliis rebus quae ad victum sunt necessariae. verum permissa non est ad terram appellere neque exscensionem facere ab iis militibus quibus erat ab imperatore maritima custodia commissa; cumque nihil agere potuissent, redierunt, inque maxima naufragia ob ventorum vim inciderunt et impetum bellicosarum imperatoris navium. incensis igitur et combustis reliquis Ciliciae urbibus, Octobri mense, indictione nona, Cpolin rediit, secum adducens Tarsi portas et Mopsuestiae, quas cum extrinsecus auro distinxisset, munus attulit regiae urbi dedicandum, alias ad arcem collocandas, alias ad aureae portae murum. attulit etiam deo donum et sui exercitus decimam, venerandas cruces, captas quando scholarum domesticus Stypeiotes Tarsum obsidens imprudentia sua cum omni exercitu funditus deletus est; quas etiam sacrosancto templo dei verbi Sophiae dedicavit.

Eodem secundo imperii anno omnem etiam insulam Cyprum in Romanorum potestatem Nicephorus redegit, inde expulsis Agarenis per Nicetam patricium et praetorem Chalcutzem.

Τῷ δὲ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἔαρος ἐπιστάντος, πάλιν εἰσβολὴν ἐποιήσατο κατὰ Συρίας ὁ βασιλεύς. καὶ γενόμενος κατὰ τὴν Ἀντιόχειαν ταύτῃ μὲν οὐ προσέβαλεν, ἐλπίσας μηδὲ τὴν ἀκοὴν αὐτοῦ ὑποστήσεσθαι τοὺς Ἀντιοχεῖς ἐκπεπληγμένους τὰ εἰς τὰς πόλεις τῆς Κιλικίας συμβεβηκότα. ἀλλὰ παρελθὼν αὐτὴν εἰς τὰ ἐνδότερα μέρη τῆς Συρίας ἐχώρησε, καὶ πόλεις πολλὰς καὶ χώρας καταστρεψάμενος πρὸς τῷ Λιβάνῳ κειμένας καὶ τῇ
P 656 παραλίᾳ τῷ Δεκεμβρίῳ μηνὶ ὑπέστρεψεν. εὐσθενῶς δὲ τῶν Ἀντιοχέων προσδεχομένων τὸν πόλεμον διὰ τὸ πλεῖστον λαὸν ἐκ τῆς περιοικίδος εἰσελθεῖν εἰς τὴν πόλιν ἐπὶ βοηθείᾳ, ἐπιλελοιπότων δὲ καὶ τῶν ἀναγκαίων τῷ Ῥωμαϊκῷ στρατῷ, γενέσθαι δὲ καὶ τέλμα ἀδιεξίτητον ἐκ τοῦ πολὺν ὄμβρον οὐρανόθεν καταρραγῆναι, ὑπεχώρησεν ἄπρακτος καὶ τὴν βασιλίδα κατέλαβε, φέρων μεθ' ἑαυτοῦ καὶ τὸν ἔχοντα ἀχειρότευκτον ἐκτύπωμα τῆς μορφῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν κέραμον, ὃν εὗρεν ἐν Ἱερᾷ πόλει ταύτην πεπορθηκώς, καὶ τῶν τριχῶν τοῦ βαπτιστοῦ Ἰωάννου βόστρυχον ἕνα πεπιλημένον αἵματι.

B Τοιοῦτος δ' ὢν ὁ Νικηφόρος καὶ τοιαύταις χρησάμενος στρατηγίαις καὶ ἐπὶ τοσοῦτον τὰ Ῥωμαίων αὐξήσας πράγματα (κατέσχε γὰρ πλέον τῶν ἑκατὸν πόλεων καὶ φρούρια Κιλικίας τε καὶ Συρίας καὶ Φοινίκης Λιβανησίας, ὧν μέγιστα καὶ ἐπισημότατα ἡ Ἀνάζαρβος καὶ ἡ Ἄδανα, ἡ Μόψου ἑστία, ἡ Ταρσός, τὸ Παγράς, τὸ Συννέφιον, ἡ Λαοδίκεια, τὸ Χάλεπ, ἔθετο δὲ καὶ

16 ἰωάννου τοῦ βαπτιστοῦ C

Tertio vero anno sui item imperii, appetente vere, rursus Syriam invasit imperator, cumque Antiocheam pervenisset, ipsam non est aggressus, sperans fore ut ne famam quidem ipsius sustinerent Antiochenses, deterriti iis quae Ciliciae urbibus acciderant, sed ipsam praeteriens in interiores Syriae partes profectus est, multisque urbibus et agris ad Libanum et maritima loca sitis in suam potestatem redactis mense Decembri rediit. sed fortiter bellum sustinentibus Antiochenis, quod ex finitimis locis multae gentes in urbem se receperunt ut ipsis opem ferrent, et commeatu Romano exercitui deficiente factoque ingenti coeno, adeo ut transiri non posset propter multam quae de caelo deciderat pluviam, re infecta ad regiam urbem se recepit, secum adducens ollam quae habebat effigiem non manu factam formae Christi et dei nostri imaginem, quam Hierapoli a se expugnata repperit, et capillorum Ioannis baptistae partem sanguine concretam.

Cumque talis esset Nicephorus ac talibus usus honoribus et functus magistratibus, adeoque res auxisset Romanorum (etenim urbes amplius centum cepit et oppida Ciliciae et Syriae et Phoeniciae et Banisiae, quorum maxima et nobilissima haec erant, Anazarbus, Adana, Mopsuestia, Tarsus, Pagras, Synnephium, Laodicea, Chalepum; tributariam

ὑποφόρους τήν τε ἐν Φοινίκῃ Τρίπολιν καὶ τὴν Δαμασκόν) ὅμως μισητὸς ἐγένετο παρὰ παντὸς ἀνθρώπου, καὶ πάντες ἐδίψων τὴν τούτου θεάσασθαι καταστροφήν. τὰς δὲ αἰτίας ἀπαριθμήσει ὁ λόγος ἐν καιρῷ τῷ προσήκοντι.

Ὑποστρέφων δ' ὁ Νικηφόρος ἐξ Ἀντιοχείας πρὸς τὴν βασι- C λίδα, ἐν τῷ διέρχεσθαι τὸν Ταῦρον, ὃ Μαῦρον ὄρος ἐγχωρίως λέγεται, φρούριον κατὰ τὸ μέσον τοῦ ὄρους δομησάμενος ἔν τινι λόφῳ ἐρυμνοτάτῳ, Μιχαὴλ τὸν Βούρτζην πατρίκιον τιμήσας ἐν τῷ φρουρίῳ κατέλιπε, στρατηγὸν ὀνομάσας τοῦτον τοῦ Μαύρου ὄρους, ἐπισκήψας προσμένειν ἀγρύπνως καὶ τοὺς Ἀντιοχεῖς πάσῃ μηχανῇ κωλύειν ἐξιέναι καὶ τὰ πρὸς ζωὴν εἰσκομίζεσθαι ἐπιτήδεια. κατέλιπε δὲ καὶ Πέτρον ἕνα τῶν ἑαυτοῦ εὐνούχων, δοῦλον ὑπάρχοντα, δραστήριον ἄνθρωπον, ὃν δὴ καὶ στρατοπεδάρχην πεποίηκεν ἐν Κιλικίᾳ, εἰς παραχειμασίαν τὸν στρατὸν διασκορπίσαι κε- D λεύσας, καὶ τὴν αὐτοῦ μένειν εἰς τοὐπιὸν ἔτος ἔλευσιν. ἐλέγετο δ' ὅτι δυνάμενος ἐξ ἐφόδου ἑλεῖν τὴν Ἀντιόχειαν ὁ βασιλεὺς οὐκ ἠθέλησεν, ἀλλ' ἐξεπίτηδες παρεῖλκε καὶ παρεβίβαζε τὴν ταύτης κατάσχεσιν, δεδιὼς τὸν φημιζόμενον λόγον· καὶ γὰρ δὴ καὶ ἐν τοῖς ἁπάντων ἐφέρετο στόμασιν ὡς ἅμα τῇ ἁλώσει τῆς πόλεως Ἀντιοχείας καὶ ὁ βασιλεὺς τεθνήξεται. ἀμέλει καὶ τῷ τοιούτῳ λόγῳ δειλαινόμενος οὔτ' αὐτὸς προσεπέλασε τῇ Ἀντιοχείᾳ, καὶ τῷ Πέτρῳ δὲ καὶ τῷ Βούρτζῃ παρήγγειλε μηδεμίαν προσβολὴν ποιήσασθαι κατ' αὐτῆς. ἀλλ' ἐκεῖνος μὲν ταῦτα καταστησάμενος, ὡς εἴπομεν, εἴσεισιν εἰς τὴν βασιλεύουσαν· ὁ Βούρτζης δὲ τῇ P 657

12 δοῦλον om C

quoque sibi fecit Tripolin Phoeniciae urbem et Damascum), nihilominus tamen omnibus fuit invisus hominibus, ac nemo non cupiebat ipsius videre interitum. odiorum causas suo loco exponemus.

Antiochea revertens Nicephorus, dum Taurum montem (incolae Maurum vocant) transit, in medio eius castellum condit in colle munitissimo; in eoque Michaelum Burtzam patricia ornatum dignitate reliquit, praesidem eum Mauri montis appellans, mandato ut diligenter invigilaret Antiochenosque omni opera exitu et rebus necessariis parandis prohiberet. Petrum quoque spadonem, unum de suis famulis, hominem strenuum, praefectum castrorum in Cilicia creat, iubetque exercitum in hiberna distribuere, suumque adventum insequente anno praestolari. ferunt potuisse eum primo accessu Antiochea potiri, sed noluisse, ac dedita opera distulisse eius recuperationem, quod in ore omnium hominum esset hic rumor, recepta Antiochea statim imperatorem obiturum. eo nimirum sermone territus neque ipse Antiocheam tentavit, et Petro ac Burtzae mandavit ne eam oppugnarent. enimvero rebus ita ut memoratum est constitutis, Nicephorus in urbem rediit. at Burtzas An-

Ἀντιοχείᾳ γειτονῶν καὶ κλέος ἑαυτῷ ἄσβεστον περιποιήσασθαι ἱμειρόμενος, μικρὰ φροντίσας τῶν τοῦ βασιλέως ὑποθηκῶν, νύκτωρ καὶ μεθ' ἡμέραν ἐσκέπτετο εἴ πως δυνηθείη κατασχεῖν τὴν πόλιν. ἀπῄει οὖν συνεχῶς καὶ λόγους μετὰ τῶν Ἀντιοχέων ἐκίνει συμβατικούς. ἀλαζονευομένων δ' ἐκείνων καὶ τὰς συμβάσεις διωθουμένων, ἔλαθεν ἐκεῖνος φιλιωθείς τινι τῶν Σαρακηνῶν (Αὔλαξ οὗτος ἦν), ὃν ὑποκλέψας δώροις καὶ ὑποσχέσεσιν ἴσχυσε λαβεῖν τὸ μέτρον ἑνὸς τῶν πρὸς δύσιν τῆς Ἀντιοχείας πύργων Κάλα τοὔνομα. καὶ μετὰ τούτου τεκτηνάμενος κλίμακας πρὸς τὸ B ἄκρον ἐξικνουμένας τοῦ πύργου, νύκτα τε ἀφεγγῆ ἐπιτηρήσας καὶ ἔπομβρον, ἔλαθε τὰς κλίμακας προσερείσας τῷ πύργῳ. καὶ ἀναβὰς μετὰ τριακοσίων τῶν ὑπ' αὐτὸν τοὺς μὲν φύλακας ἀποσφάττει τοῦ πύργου, ἔτι δὲ καὶ τοῦ γειτονοῦντος αὐτῷ· καὶ μετὰ τῶν τριακοσίων τοὺς δύο τούτους πύργους κατεσχηκὼς ἄγγελον εὐθέως ἐκπέμπει πρὸς τὸν στρατοπεδάρχην, μηνύων ἐπιταχῦναι καὶ ἐλθεῖν μετὰ παντὸς τοῦ στρατοῦ ὡς τῆς πόλεως ἤδη κατασχεθείσης. ὁ δὲ Πέτρος τὰς ἀγγελίας δεξάμενος ὤκνει καὶ ἀνεδύετο, τὴν ἐκ τοῦ βασιλέως δεδοικὼς ἀγανάκτησιν, μή τι καὶ κακὸν ἀπολαύσῃ ὡς παραβάτης τῶν αὐτοῦ προσταγμάτων. ἐγκει- C μένου δὲ τοῦ Βούρτζη καὶ ἄλλον ἐπ' ἄλλῳ πέμποντος ἄγγελον καὶ τὴν ἔλευσιν ἐπιταχύνοντος, καὶ πληροφοροῦντος ὡς ἐπὶ πλέον ἀντέχειν οὐ δύναται πρὸς τὴν πολιορκίαν (καὶ γὰρ δὴ μαθόντες οἱ Ἀντιοχεῖς τὴν τῶν πύργων κατάσχεσιν συνέρρεον πανταχόθεν καὶ ἐκπολιορκεῖν τοὺς πύργους ἠπείγοντο, βέλη δ' ἀφέντες παν-

9 κάλλα C 11 τείχει C

tiocheae vicinus, posthabito imperatoris praecepto, noctes diesque de urbe ea occupanda cogitabat, quod hoc pacto aeternam se gloriam consecuturum sperabat. itaque frequenter eo itabat, et Antiochenos ad pacificationem invitabat, arroganter eam aspernantes. interim cum Saraceno quodam (Aulax is vocabatur) amicitiam contrahit, ab eoque muneribus et pollicitationibus corrupto mensuram turris occidentalis unius (Cala ei nomen fuit) obtinet. eius auxilio scalas fabricatus quae ad summa turris pertingerent, noctem obscuram atque pluviam praestolatus, per eam occulte scalas turri applicat, et cum trecentis suorum in eam adscendit. huius ac proximae etiam turris custodes trucidat: itaque duabus turribus occupatis, misso nuntio Petrum, quem castrorum praefectum diximus, hortatur ut celeriter cum omni exercitu superveniat urbi iam captae. Petrus etsi initio tergiversabatur, indignationem imperatoris veritus, ac metuens ne ipsius mandato violato sibi infortunium pararet, tamen instante Burtza et properare iubente, et se diutius oppugnationi hostium tolerandae non esse parem docente (etenim oppidani audito turres occupatas esse undique confluxerant, et eas expugnare omni studio conabantur missilibus coniectis ac omnis generis adhibitis

τοδαπὰ καὶ μηχανὰς ποικίλας τὸ πῦρ ὑφῆπτον, καὶ ἄλλα ἐποίουν ὁπόσα ποιεῖν ἔδει τοὺς κινδυνεύοντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολωλέναι, ἀποβαλεῖν δὲ καὶ πόλιν πασῶν ὑπερκειμένην τῶν ἀνὰ τὴν ἕω πόλεων) πτοηθεὶς δ' ὁ στρατοπεδάρχης μὴ τοσούτων ἀπολωλότων καὶ τηλικούτων ἀνδρῶν διὰ τὴν ἐκείνου ἀπείθειαν καὶ πόλεως τηλικαύτης ὑποστῇ ζημίαν ἡ πολιτεία Ῥωμαίων, ἄκων καὶ D μὴ βουλόμενος καταταχήσας παρεγένετο σὺν παντὶ τῷ στρατῷ, εὑρὼν τοὺς περὶ τὸν Βούρτζην λίαν ἀπειρηκότας· ἐπὶ τρισὶ γὰρ νυχθημέροις ἦσαν πολιορκούμενοι. οὗ τὴν ἔφοδον ἐγνωκότες οἱ Ἀντιοχεῖς παρελύθησαν τὰς ψυχὰς καὶ τῆς συντονίας ἐνέδωκαν. ἀδείας δὲ λαβόμενος ὁ Βούρτζης κάτεισι πρὸς τὴν πύλην, καὶ σπάθῃ τὸν μοχλὸν τῆς κλειδὸς διατεμὼν ἀνοίγνυσι τὰς πύλας, καὶ τὸν Πέτρον εἰσάγει σὺν παντὶ τῷ στρατεύματι. καὶ οὕτω παρελήφθη ἡ μεγάλη καὶ περιφανὴς Ἀντιόχεια. ὅπερ πυθόμενος ὁ Νικηφόρος, εὐφρανθῆναι δέον ἐπὶ ἁλώσει τηλικαύτης πόλεως καὶ τὰ κατ' αὐτὸν ἐπιτρέψαι θεῷ, ὁ δὲ τοὐναντίον ἤλγησε τὴν ψυχὴν τὸν στρατοπεδάρχην τε ἐν αἰτίαις εἶχε, καὶ τὸν Βούρτζην οὐ μόνον P 658 οὐκ ἀπεδέξατο τῆς προθυμίας καὶ τῆς ἀνδρίας καὶ γέρα παρέσχεν ἐπάξια τῆς αὐτοῦ ἀνδραγαθίας, ἀλλὰ καὶ ὕβρεσι πλύνας παρέλυσε τῆς ἀρχῆς καὶ οἴκοι μένειν ἐπέταξεν.

Αὕτη ἡ αἰτία καὶ τὰ λοιπὰ τὰ ῥηθήσεσθαι μέλλοντα μισητὸν τοῖς πᾶσι καὶ βδελυκτὸν τὸν Νικηφόρον εἰργάσαντο. πρῶτον μὲν γάρ, ὅτε τὴν ἀρχὴν τὰ κατ' αὐτὸν ἐκινήθη, μυρίαις πλημμελείαις χρωμένων τῶν σὺν αὐτῷ στρατιωτῶν ἐπιστροφὴν οὐκ

1 τὸ] καὶ C   7 κατασχήσας P

machinis, igni quoque supposito; neque omnino quicquam eorum omittebant quae agere conveniebat quibus cum uxoribus et liberis pereundi ac amittendae urbis orientalium omnium praestantissimae periculum incumberet) Petrus timens ne suam ob pertinaciam tot tantique viri perirent, et tantae urbis iacturam res publica Romana faceret, vel invitus summa festinatione universum exercitum adducit. iam omnem prope spem salutis Burtza cum suis dimiserant, tres continenter noctes diesque oppugnati: sed adventu Petri oppidanorum conciderunt animi ac remisit vehementia, et Burtzas facultatem nactus ad portam descendit, ac repagulo ense dissecto, apertis foribus Petrum admittit. Nicephorus allato rei huius nuntio, cum gaudere ob tantam urbem et res suas deo committere deberet, diversa secutus indoluit, culpavitque Petrum, et Burtzae non modo non probavit alacritatem atque fortitudinem, aut digna rebus gestis praemia contulit, sed et contumeliis affecto ademit munus suum, et domi se eum continere iussit.

Id et alia quae referemus, invisum omnibus ac detestabilem fecerunt Nicephorum. primo quod quo primum tempore imperium invasit, cum milites ipsius innumeris delictis querelas excitassent, nihil de cor-

ἐτίθει, λέγων "οὐδὲν θαυμαστὸν εἰ ἐν τοσούτῳ πλήθει λαοῦ ἀτακτοῦσί τινες·" καὶ αὖθις εἰσελθὼν εἰς τὴν πόλιν πολλῶν καὶ διαφανῶν καὶ ἰδιωτῶν ἁρπαγέντων οὐδεμίαν ἐκδίκησιν ἐποιήσατο, B ἀλλὰ παρεβλέπετο τὰς ἀτόπους πράξεις, ἐνευωχούμενος ταῖς ἀσελγείαις, αἷς οἱ ἀτακτοῦντες προσκείμενοι κακῶς τοὺς πολίτας διετίθουν, καὶ ταῦτα συνεργήσαντας αὐτῷ πρὸς τὴν τῆς βασιλείας ἀνάληψιν οὐ μικρῶς. εἶτα καὶ πρὸς ταξείδιον συνεχῶς ἐξιὼν δεινῶς ἐκάκου τὸ ὑπὸ χεῖρα οὐ μόνον προσθήκαις συντελειῶν καὶ ἄλλαις συνεισφοραῖς παντοίων εἰδῶν ἀλλὰ καὶ λεηλασίαις ἀνυποστάτοις, πρὸς τοῖς εἰρημένοις ἐκκόψας καὶ μέρος τι τῶν παρεχομένων τῇ συγκλήτῳ βουλῇ φιλοτιμημάτων διὰ τό, ὡς ἔλεγε, σπανίζειν χρημάτων ἐν τοῖς πολέμοις, πρὸς δὲ καὶ τὰς παρέχεσθαι C τυπωθείσας δόσεις πρὸς εὐαγεῖς οἴκους καὶ ἐκκλησίας παρά τινων εὐσεβῶν βασιλέων τέλεον ἐκκόψας, καὶ νόμον ἐκθέμενος μὴ τὰς ἐκκλησίας ἀκινήτοις πλατύνεσθαι, κακῶς φάσκων ὑπὸ τῶν ἐπισκόπων δαπανᾶσθαι τὰ πτωχικὰ χρήματα καὶ τοὺς στρατευομένους ὀλιγοῦσθαι, καὶ τὸ δὴ πάντων χαλεπώτερον, καὶ νόμον ἐκθέμενος, ἐν ᾧ καί τινες ἐπίσκοποι τῶν εὐριπίστων καὶ κολάκων ὑπέγραψαν, διοριζόμενον μὴ ἄνευ τῆς αὐτοῦ γνώμης καὶ προτροπῆς ἐπίσκοπον ἢ ψηφίζεσθαι ἢ προχειρίζεσθαι. ἐπισκόπου τε τεθνηκότος βασιλικὸν ἐκπέμπων ἄνθρωπον ἐσταθμημένην ποιεῖν τὴν ἔξοδον προσέταττε, καὶ τὰ περιττὰ ἀνελαμβάνετο. καὶ ἄλλα

1 λαοῦ om C 4 ἀτ. πρ.] ἀτοπίας C 6 ἐτίθουν C 15 ἀκινήτως C

rectione cogitavit, fatus mirum non esse, si in tanta hominum multitudine quidam incomposite se gererent. deinde quod in urbem ingressus, cum bona et illustrium et plebeiorum multorum diriperentur, vindicem se nequaquam praebuit, sed quasi delectari visus est libidinibus eorum qui cives vexabant, eos etiam qui ipsi ad imperium obtinendum haud exiguam navarant operam. praeterea ad Taxeidium assidue veniens graviter subditos afflixit, non modo pensionum et tributorum omnigenis rationibus, sed et rapinis intolerabilibus. ad haec partem quandam eorum quae senatoribus solebant imperatores largiri donorum in fisco retinuit, causatus sibi ad bella gerenda deesse pecuniam. neque hoc tantum, sed et donationes monasteriis atque templis legatas a quibusdam piis imperatoribus prorsus abolevit, lege etiam lata ne ecclesiae immobilibus locupletarentur bonis, causatus episcopos male prodigere ea quae pauperibus darentur, interim militibus deficientibus. id vero omnium gravissimum, quod legem tulit, cui et episcopi quidam leves atque adulatores subscripserunt, ne imperatoris iniussu ullus crearetur episcopus. et mortuo aliquo episcopo aliquem suorum submisit, qui definitos faceret sumptus: ipse, quod erat de reditibus reliquum, accepit.

τινὰ διατάγματα διετίθει πᾶσαν ἰδέαν ἀνάγκης ὑπερεκπίπτοντα,
ἃ κατὰ μέρος διεξιέναι μεγαληγόρου δεῖται καὶ φρενὸς καὶ γλώτ-
της. ἐσπούδασε δὲ καὶ νόμον θεῖναι τοὺς ἐν πολέμοις ἀποθνή- D
σκοντας στρατιώτας μαρτυρικῶν ἀξιοῦσθαι γερῶν, ἐν μόνῳ τῷ
πολέμῳ τιθέμενος καὶ οὐκ ἐν ἄλλῳ τινὶ τὴν τῆς ψυχῆς σωτηρίαν.
κατήπειγε δὲ καὶ τὸν πατριάρχην καὶ τοὺς ἐπισκόπους συνθέσθαι
τῷ δόγματι· ἀλλά τινες τούτων γενναίως ἀντιστάντες ἀπεῖρξαν
αὐτὸν τοῦ σκοποῦ, προθέντες εἰς μέσον τὸν τοῦ μεγάλου Βασι-
λείου κανόνα, ἐπὶ τριετίαν ἀκοινωνήτους εἶναι λέγοντα τοὺς πολέ-
μιον ἔν τινι πολέμῳ ἀνῃρηκότας. ἠλάττωσε δὲ καὶ τὸ νόμισμα,
τὸ λεγόμενον τεταρτηρὸν ἐπινοήσας. διπλοῦ δὲ τοῦ νομίσματος P 659
ἔκτοτε γεγονότος, ἡ μὲν εἴσπραξις τῶν δημοσίων φόρων τὸ βαρύ-
τερον ἀπῄτει, ἐν δὲ ταῖς ἐξόδοις τὸ μικρὸν ἐσκορπίζετο. νόμου
δὲ καὶ ἔθους ὄντων παντὸς χαρακτῆρα βασιλέως, εἰ μὴ τῷ
σταθμῷ ἐλαττοῖτο, δύναμιν ἔχειν ἰσότιμον, ὁ δὲ τὸν ἑαυτοῦ
προκεκρίσθαι ἐνομοθέτησεν, ὑποβιβάσας τοὺς τῶν ἄλλων. ἐξ
ἧς αἰτίας οὐ μικρῶς ἔθλιψε τὸ ὑπήκοον ἐν τοῖς λεγομένοις ἀλλα-
γίοις. καὶ τὸ δὴ χείριστον, ἐκ τῆς τοιαύτης αἰτίας τοῦ πολι-
τεύματος πιεζομένου οὐδεμίαν εὐθηνίαν ἐδέξαντο τὰ ὠνούμενα.
πλέον δὲ τῶν ἄλλων ἠνίασε τοὺς ἀνθρώπους, καίπερ λίαν ὄντων
χαλεπωτάτων, ἡ τοῦ τείχους κτίσις τῶν παλατίων. πολλὰ γὰρ
ἔργα κύκλῳ ὄντα τοῦ παλατίου, εἰς κάλλος καὶ μέγεθος ἐξειρ- B

1 ἐτίθει C 13 ἐσκόρπιζε C 14 πάντα P 15 δύναμιν εἰσφέρειν καὶ ἔχειν P 19 ἐδέξατο C

sunt et aliae eius constitutiones, omnem necessitatis formam excedentes, quas singulatim referre magni sit ingenii ac facundiae. voluit etiam legem ferre, qua militibus in bello occumbentibus martyrum decernerentur honores, ut qui alia nulla in re quam in bello animae collocaret salutem; patriarchamque et episcopos conatus est ad eam probandam adigere. sed horum quidam fortiter resistentes eum a proposito dimoverunt, prolato in medium Basilii magni canone, qui per triennium sacris arceri iubet eos qui hostem in bello interfecissent. nomisma etiam attenuavit, tetartero excogitato. cumque eo modo duplex esset nummus, pensiones publicae graviorem exigebant, minor in sumptibus faciendis dissipabatur. cumque esset lege et consuetudine receptum ut omnes nummi imagine imperatoris alicuius notati, modo ponderi iusto nihil decederet, idem valerent, ipse sua insignes imagine praeferri, aliorum depressis pretiis, voluit. eaque re haud leviter subditis in permutationibus incommodavit. deterrimum hoc fuit, quod re publica his rebus attrita interim rerum venalium nulla fuit allevatio. atque haec omnia cum essent molestissima, aegerrime cives tulerunt palatii munitionem. nam multis quae in orbem circa palatium erant pulchris

γασμένα, καταστρεψάμενος ἀκρόπολιν καὶ τυραννεῖον κατὰ τῶν ἀθλίων πολιτῶν ἀπειργάσατο, ἀποθήκας καὶ σιτοβολῶνας ἔνδοθεν καὶ ἰπνοὺς καὶ κλιβάνους ἐργασάμενος καὶ πληρώσας εἰδῶν. προτεθέσπιστο γὰρ αὐτῷ ἔνδοθεν τοῦ παλατίου ἀποθανεῖν, ἠγνόει δ', ὡς ἔοικεν, ὡς εἰ μὴ κύριος φυλάξει πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. ὅτε γὰρ τὸ τεῖχος τοῦ παλατίου κατεσκευάζετο, μιᾷ τῶν νυκτῶν ἀνὰ τὴν θάλασσαν ὑποπλέων τις ἐξεβόησεν "ὦ βασιλεῦ, ὑψοῖς τὰ τείχη, κἂν μέχρι πόλου φθάσῃς, ἔνδον τὸ C κακόν, εὐάλωτος ἡ πόλις." πολλὰ δὲ ἀναζητηθεὶς ὁ τοῦτο εἰπὼν οὐχ εὑρέθη. τοῦ τείχους γὰρ τελειωθέντος, τότε συνέβη καὶ αὐτὸν κατ' αὐτὴν τὴν ἡμέραν ἀποθανεῖν, ὁπηνίκα τὰς κλεῖς ὁ τὴν ἐπιμέλειαν ἐπιτετραμμένος φέρων αὐτῷ ἐνεχείρισε.

Προσεγένετο δὲ τοῖς εἰρημένοις καὶ ἕτερον, ὅπερ ἐπὶ πλέον ἐξῆρε τὸ κατ' αὐτοῦ μῖσος. συμβολῆς γενομένης κατ' αὐτὴν τὴν ἑορτὴν τοῦ ἁγίου πάσχα μέσον πλωΐμων καὶ Ἀρμενίων πολὺς ἀνθρώπων ἐγένετο φθόρος, μικροῦ δ' ἂν ἀπεβίω καὶ ὁ μάγιστρος Σισίνιος καὶ ἔπαρχος. διεδέδοτο δὲ φήμη ἐκ τούτου ὡς χαλεπαίνων τοῖς πολίταις ὁ Νικηφόρος, ὡς αἰτίοις τάχα τῆς ἀταξίας, ἐν ἡμέρᾳ ἱπποδρομίας μέλλει σαγηνεύσας τὸν δῆμον τιμωρήσασθαι. D καὶ δὴ μετὰ μικρὸν ἱπποδρομίας τελουμένης βουλόμενος ὁ Νικηφόρος ἐνδείξασθαι τοῖς πολίταις καὶ τὴν τοῦ πολέμου συμβολὴν ὁποία ἐστί, τάχα δ' ἴσως καὶ ἐκφοβῆσαι, ξίφη γυμνὰ λαβόντας

6 ὅτε — 10 εὑρέθη om C 13 δὲ om C 19 σαγηνεῦσαι C 22 γυμνὰ om C

atque magnis operibus deiectis arcem ac sedem tyrannicam contra miseros cives palatio adstruxit, in ea cellas granaria clibanos et furnos condens, et omnibus rerum generibus implens. praedictum enim fuerat ei in palatio ipsum moriturum. nimirum autem ignorabat incassum excubitores vigilare, deo urbem non custodiente. etenim quo tempore murus palatii condebatur, noctu quadam per mare subvectus aliquis ita vociferatus est "o imperator, erigis muros: et tametsi vel ad caelum eos educas, intus cum sit malum, urbs captu facilis est." qui haec dixit, diu multumque est quaesitus, non tamen inventus. muro enim absoluto tunc periit, ea ipsa die, cum ei claves is cui id negotii commissum erat in manus traderet.

Accessit ad haec aliud, quod odia in imperatorem exasperavit. ipso paschatis festo die orto inter socios navales et Armenios conflictu utrinque multi perierunt, et mortem aegre evasit Sisinius patricius, urbis praefectus. exinde fama obtinuit imperatorem civibus infensum, quod eos huius tumultus auctores censeret, statuisse ludis equestribus eos in casses attractos ulcisci. paulo post ludi equestres facti. ibi Nicephorus, ut civibus ostenderet quid rei conflictus pugnae esset, aut etiam ut eos terreret, quosdam nudis gladiis dimicando praelii simula-

τινὰς προσέταξεν ὡς ἐν προσχήματι πολεμίων παῖξαι, εἰς ἑστίασιν τάχα τῶν θεατῶν. τούτου δὲ γενομένου, τὸν νοῦν τῶν βλεπομένων ἀγνοήσαντες οἱ θεωροί, καὶ τὴν κρατοῦσαν φήμην τέλος ἤδη λαμβάνειν ὑποτοπάσαντες, δρομαῖοι ἐπὶ τὰς ἐξόδους ἐχώρουν κρημνώδεις οὔσας καὶ σφαλεράς, καὶ ὑπ' ἀλλήλων συμπατούμενοι ἀπέθνησκον. καὶ ἀπώλοντο ἂν ἅπαντες ὑπ' ἀλλήλων καταπατούμενοι, εἰ μὴ ὁ βασιλεὺς ὡράθη ἐπὶ τοῦ θώκου καθήμενος P 660 ἀδεής τε καὶ ἄτρεπτος· ὃν ἰδὼν ὁ δῆμος μὴ παρακινηθέντα, καὶ κατανοήσαντες ὡς ἄκοντος αὐτοῦ γέγονε τὸ γενόμενον, ἔστησαν τῆς φυγῆς.

Πρόοδον δὲ δημοσίαν ποιήσαντα τὸν Νικηφόρον ἐν τῇ Πηγῇ κατὰ τὴν ἑορτὴν τῆς ἀναλήψεως τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ ὑποστρέφοντα οἱ συγγενεῖς τῶν ἐν τῷ ἱπποδρόμῳ ἀπολωλότων δεξάμενοι ἐν τῇ τῶν ἀρτοπρατῶν ἀγορᾷ ὕβρεις ἠφίεσαν κατ' αὐτοῦ ἀπρεπεῖς, ἀλάστορα καὶ παλαμναῖον ἀποκαλοῦντες καὶ ὁμοφύλοις αἵμασι μιαρόν, καὶ κόνιν καὶ λίθους ἔπεμπον εἰς αὐτὸν ἄχρι τῆς ἀγορᾶς τοῦ μεγάλου Κωνσταντίνου. καὶ ἀπεπάγη μὲν B ἂν τῷ δέει, εἰ μή τινες ἐντιμότεροι τῶν πολιτῶν προλαβόντες τοὺς μὲν ἀτακτοῦντας ἀνέστειλαν, αὐτὸν δὲ εὐφημοῦντες ἄχρι τοῦ παλατίου προέπεμψαν. διὰ ταῦτα πάντα ἀπηχθῆσθαι παρὰ τῶν πολιτῶν ἐπιστάμενος καὶ ἐπίθεσιν ὑφορώμενος τὴν ἀκρόπολιν ἐδομήσατο. ἀλλ' οὐκ ἠδυνήθη διαφυγεῖν τὸ χρεών, ἀλλ' ὅτε καλῶς

2 γενομένων C 6 καὶ κἂν ἀπώλοντο πάντες C 8 ἰδόντες C 13 ἱπποδρομίῳ C 14 ἀρτοπρατίων C 17 καὶ κἂν ἀπεπάγη τῷ C

crum exhibere iussit, oblectandorum scilicet spectatorum causa. verum spectatores quid hoc sibi vellet ignorantes, iamque id agi putantes quod rumor fore confirmarat, ad exitus theatri praeruptos ac lubricos cursu se contulerunt, ibique alii ab aliis conculcati perierunt permulti, omnesque adeo invicem obtriti periissent, nisi conspecto imperatore, qui in solio immotus ac quiete assidebat, sensissent nolente eo hunc accidisse tumultum, ac fugiendi finem fecissent.

Cum ad Fontem deinde imperator publice processisset feriis assumptionis Christi, redeuntem cognati eorum qui in Circo perierant in foro Artopraton nacti conviciis prosciderunt, flagitiosum homicidam et popularium sanguine contaminatum vocantes, pulveremque adversus eum et saxa iactantes, donec ad forum Constantini magni pervenit. et fuisset sane exanimatus metu, nisi civium honoratiores quidam eum repressis tumultuantibus stipassent et faustis acclamationibus prosecuti in palatium deduxissent. ob haec omnia invisum se civibus cernens et insidias timens arcem exstruxit. neque tamen fatum evitavit, sed quo tempore

στρατεύματα τὴν μὲν Ταρσὸν πολιορκεῖν ἀφῆκε Λέοντα τὸν ἀδελφόν, αὐτὸς δὲ τὸ λοιπὸν ἀράμενος τῆς στρατιᾶς τῇ Μόψου ἑστίᾳ προσέσχεν. ἐνεργῷ δὲ χρησάμενος τῇ πολιορκίᾳ, ἔχων δὲ καὶ τὸν λιμὸν ἐπαρήγοντα, παραλαμβάνει τὸ ἓν μέρος τῆς πόλεως· τέμνεται γὰρ ἡ πόλις αὕτη μέσον τῷ Σάρῳ ποταμῷ, ὡς δοκεῖν δύο πόλεις εἶναι. τοῦ ἑνὸς οὖν, ὡς εἴρηται, μέρους ἁλόντος ἐπὶ τὸ ἕτερον οἱ Σαρακηνοὶ καταφεύγουσι, τὸ ἑαλωκὸς πανταχόθεν ὑφάψαντες. σφοδροτέρᾳ δὲ χρησαμένου τοῦ βασιλέως τῇ πολιορ-
P 655 κίᾳ ἑάλω καὶ τὸ ἕτερον μέρος, μηδενὸς ἐκεῖθεν διαφυγόντος. ὁ δὲ τὴν Ταρσὸν παρακαθήμενος Λέων ὁ τοῦ βασιλέως ἀδελφός, ἐπὶ χορτολογίαν καὶ συλλογὴν τῶν ἐπιτηδείων μέρος ἀποστείλας τῆς στρατιᾶς ἔξαρχον ἐχούσης τὸν Μοναστηριώτην, ἠτύχησεν· ἀφυλάκτως γὰρ διασκεδασθέντας τοὺς προνομεύοντας νυκτὸς οἱ Ταρσεῖς ἐξελθόντες, ὡς μηδενὶ συναίσθησιν τῆς ἐξόδου παρεσχηκέναι, ἐπιτίθενται διεσπαρμένοις αὐτοῖς, καὶ οὐκ ὀλίγους διέφθειραν, ἐν οἷς ἦν καὶ ὁ Μοναστηριώτης αὐτός. τὴν δὲ τῆς Μόψου ἑστίας ἅλωσιν οἱ Ταρσεῖς ἐγνωκότες, πιεζόμενοι δὲ τῇ πολιορκίᾳ καὶ τῷ λιμῷ, διεπρεσβεύσαντο πρὸς τὸν Λέοντα, ἐπι-
B καλούμενοι τὸν βασιλέα καὶ λιπαροῦντες ἀπαθεῖς κακῶν φυλαχθῆναι καὶ τὴν ἑαυτῶν παραδεδωκέναι πόλιν. ὁ δὲ ῥητόν τι φορτίον ἕκαστον ἀφεὶς ἀποφέρεσθαι, τὸν ἄλλον ἅπαντα πλοῦτον κατέσχε τῆς πόλεως. μετὰ δὲ τρεῖς ἡμέρας τοῦ τὴν πόλιν ἁλῶναι

8 τῇ δὲ πολιορκίᾳ σφοδρότερον χρησαμένου τοῦ βασιλέως C 9 ἐκεῖθεν μηδενὸς C 11 ἐκπέμψας C 12 ἔχει C. an ἔχον? ἡ τύχη C 16 καὶ ὁ μ. ἦν C 19 ἀφεθῆναι C

partes exercitu Leonem ad oppugnandam Tarsum cum altera parte mittit, alteram ipse ad Mopsuestiam ducit. eam cum acriter oppugnaret, fame etiam oppidanorum adiutus unam urbis partem capit. ea enim urbs media a Saro flumine secatur, ita ut duae urbes videantur. altera igitur, ut diximus, parte capta ad alteram Saraceni confugiunt, undique quod captum erat incendentes. sed acrius ad oppugnationem incumbente imperatore altera quoque pars capta est, nemine inde effugiente. Leo autem imperatoris frater Tarsum obsidens, cum exercitus partem pabulatum frumentatumque misisset duce Monasteriote, voti minime compos fuit: nam sine custode dissipatos praedatores noctu Tarsenses egressi, ita ut nemo eorum eruptionem sentire potuerit, invadunt, et haud paucos interficiunt, et in his Monasteriotem. Tarsenses autem cognita Mopsuestiae expugnatione, oppressique obsidione et fame, legatos ad Leonem mittunt imperatorem invocantes et deprecantes, ut incolumes dimitteret urbe dedita. ipse autem cum permisisset ut certum quoddam pondus auferrent, alia omnia urbis bona diripuit. triduoque

στόλος μέγιστος ἐξ Αἰγύπτου βοηθήσων τῇ Ταρσῷ παρεγένετο, πλήρης ἐπάρχων σίτου καὶ τῶν ἄλλων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. οὐ συνεχωρήθη δὲ προσσχεῖν τῇ γῇ οὐδ' ἀποβῆναι παρὰ τῶν ὑπὸ τοῦ βασιλέως ταχθέντων τὴν παραλίαν τηρεῖν στρατιωτῶν. καὶ μὴ ἔχοντες ὅ τι χρήσονται τοῖς παροῦσιν ὑπέστρεψαν, ναυαγίοις μεγάλοις περιπεσόντες ἀπό τε ἀνέμων ἀταξίας καὶ τῆς ἐπιθέσεως C τῶν τοῦ βασιλέως πολεμικῶν πλοίων. δῃώσας δὲ καὶ τεφρώσας καὶ τὰς λοιπὰς πόλεις τῆς Κιλικίας, τῷ Ὀκτωβρίῳ μηνὶ τῆς ἐννάτης ἰνδικτιῶνος ὑπέστρεψεν εἰς Κωνσταντινούπολιν, ἔχων μεθ' ἑαυτοῦ καὶ τὰς τῆς Ταρσοῦ πύλας καὶ τὰς τῆς Μόψου ἑστίας, ἃς καὶ χρυσῷ καταστίξας ἔξωθεν ἀνάθημα τῇ βασιλίδι διεκόμισε, τὰς μὲν κατὰ τὴν ἀκρόπολιν στήσας, τὰς δὲ κατὰ τὸ τῆς χρυσῆς πόρτης τεῖχος. διεκόμισε δὲ καὶ τῷ θεῷ δῶρον καὶ δεκάτην τῆς ἑαυτοῦ στρατείας τοὺς αἰχμαλωτισθέντας τιμίους σταυρούς, ὁπηνίκα δομέστικος τῶν σχολῶν ὢν ὁ Στυπειώτης καὶ τὴν Ταρσὸν παρακαθήμενος παντελεῖ πανωλεθρίᾳ τῇ οἰκείᾳ ἀβουλίᾳ καθυπέβαλε τὰ στρατεύματα· οὓς δὴ καὶ τῷ πανσέπτῳ τεμένει τῆς τοῦ D θεοῦ λόγου σοφίας ἀνέθετο.

Τῷ δὲ αὐτῷ δευτέρῳ τῆς αὐτοῦ βασιλείας χρόνῳ ὁ Νικηφόρος καὶ πᾶσαν τὴν νῆσον Κύπρον τῇ τῶν Ῥωμαίων προσήγαγεν ἐπικρατείᾳ, τοὺς Ἀγαρηνοὺς ἀπελάσας ἐκεῖθεν διὰ Νικήτα πατρικίου τοῦ Χαλκούτζη.

1 βοηθήσων om C 8 ὀκτωμβρίῳ C 11 κεκόμικε C
16 ὑπέβαλε C 18 λ. σ.] μεγάλης ἐκκλησίας C 19 ἔτει C
22 πατρικίου καὶ στρατηγοῦ τοῦ C

post expugnationem classis maxima ex Aegypto advenit opem Tarso latura, frumento onusta et aliis rebus quae ad victum sunt necessariae. verum permissa non est ad terram appellere neque exscensionem facere ab iis militibus quibus erat ab imperatore maritima custodia commissa; cumque nihil agere potuissent, redierunt, inque maxima naufragia ob ventorum vim inciderunt et impetum bellicosarum imperatoris navium. incensis igitur et combustis reliquis Ciliciae urbibus, Octobri mense, indictione nona, Cpolin rediit, secum adducens Tarsi portas et Mopsuestiae, quas cum extrinsecus auro distinxisset, munus attulit regiae urbi dedicandum, alias ad arcem collocandas, alias ad aureae portae murum. attulit etiam deo donum et sui exercitus decimam, venerandas cruces, captas quando scholarum domesticus Stypeiotes Tarsum obsidens imprudentia sua cum omni exercitu funditus deletus est; quas etiam sacrosancto templo dei verbi Sophiae dedicavit.

Eodem secundo imperii anno omnem etiam insulam Cyprum in Romanorum potestatem Nicephorus redegit, inde expulsis Agarenis per Nicetam patricium et praetorem Chalcutzem.

Τῷ δὲ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἔαρος ἐπιστάντος, πάλιν εἰσβολὴν ἐποιήσατο κατὰ Συρίας ὁ βασιλεύς. καὶ γενόμενος κατὰ τὴν Ἀντιόχειαν ταύτῃ μὲν οὐ προσέβαλεν, ἐλπίσας μηδὲ τὴν ἀκοὴν αὐτοῦ ὑποστήσεσθαι τοὺς Ἀντιοχεῖς ἐκπεπληγμένους τὰ εἰς τὰς πόλεις τῆς Κιλικίας συμβεβηκότα. ἀλλὰ παρελθὼν αὐτὴν εἰς τὰ ἐνδότερα μέρη τῆς Συρίας ἐχώρησε, καὶ πόλεις πολλὰς καὶ χώρας καταστρεψάμενος πρὸς τῷ Λιβάνῳ κειμένας καὶ τῇ P 656 παραλίᾳ τῷ Δεκεμβρίῳ μηνὶ ὑπέστρεψεν. εὐσθενῶς δὲ τῶν Ἀντιοχέων προσδεχομένων τὸν πόλεμον διὰ τὸ πλεῖστον λαὸν ἐκ τῆς περιοικίδος εἰσελθεῖν εἰς τὴν πόλιν ἐπὶ βοηθείᾳ, ἐπιλελοιπότων δὲ καὶ τῶν ἀναγκαίων τῷ Ῥωμαϊκῷ στρατῷ, γενέσθαι δὲ καὶ τέλμα ἀδιεξίτητον ἐκ τοῦ πολὺν ὄμβρον οὐρανόθεν καταρραγῆναι, ὑπεχώρησεν ἄπρακτος καὶ τὴν βασιλίδα κατέλαβε, φέρων μεθ' ἑαυτοῦ καὶ τὸν ἔχοντα ἀχειρότευκτον ἐκτύπωμα τῆς μορφῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν κέραμον, ὃν εὗρεν ἐν Ἱερᾷ πόλει ταύτην πεπορθηκώς, καὶ τῶν τριχῶν τοῦ βαπτιστοῦ Ἰωάννου βόστρυχον ἕνα πεπιλημένον αἵματι.

B Τοιοῦτος δ' ὢν ὁ Νικηφόρος καὶ τοιαύταις χρησάμενος στρατηγίαις καὶ ἐπὶ τοσοῦτον τὰ Ῥωμαίων αὐξήσας πράγματα (κατέσχε γὰρ πλέον τῶν ἑκατὸν πόλεων καὶ φρούρια Κιλικίας τε καὶ Συρίας καὶ Φοινίκης Λιβανησίας, ὧν μέγιστα καὶ ἐπισημότατα ἡ Ἀνάζαρβος καὶ ἡ Ἄδανα, ἡ Μόψου ἑστία, ἡ Ταρσός, τὸ Παγράς, τὸ Συννέφιον, ἡ Λαοδίκεια, τὸ Χάλεπ, ἔθετο δὲ καὶ

16 ἰωάννου τοῦ βαπτιστοῦ C

Tertio vero anno sui item imperii, appetente vere, rursus Syriam invasit imperator, cumque Antiocheam pervenisset, ipsam non est aggressus, sperans fore ut ne famam quidem ipsius sustinerent Antiochenses, deterriti iis quae Ciliciae urbibus acciderant, sed ipsam praeteriens in interiores Syriae partes profectus est, multisque urbibus et agris ad Libanum et maritima loca sitis in suam potestatem redactis mense Decembri rediit. sed fortiter bellum sustinentibus Antiochenis, quod ex finitimis locis multae gentes in urbem se receperunt ut ipsis opem ferrent, et commeatu Romano exercitui deficiente factoque ingenti coeno, adeo ut transiri non posset propter multam quae de caelo deciderat pluviam, re infecta ad regiam urbem se recepit, secum adducens ollam quae habebat effigiem non manu factam formae Christi et dei nostri imaginem, quam Hierapoli a se expugnata repperit, et capillorum Ioannis baptistae partem sanguine concretam.

Cumque talis esset Nicephorus ac talibus usus honoribus et functus magistratibus, adeoque res auxisset Romanorum (etenim urbes amplius centum cepit et oppida Ciliciae et Syriae et Phoeniciae et Banisiae, quorum maxima et nobilissima haec erant, Anazarbus, Adana, Mopsuestia, Tarsus, Pagras, Synnephium, Laodicea, Chalepum; tributariam

ὑποφόρους τήν τε ἐν Φοινίκῃ Τρίπολιν καὶ τὴν Δαμασκόν) ὅμως μισητὸς ἐγένετο παρὰ παντὸς ἀνθρώπου, καὶ πάντες ἐδίψων τὴν τούτου θεάσασθαι καταστροφήν. τὰς δὲ αἰτίας ἀπαριθμήσει ὁ λόγος ἐν καιρῷ τῷ προσήκοντι.

Ὑποστρέφων δ' ὁ Νικηφόρος ἐξ Ἀντιοχείας πρὸς τὴν βασιλίδα, C ἐν τῷ διέρχεσθαι τὸν Ταῦρον, ὃ Μαῦρον ὄρος ἐγχωρίως λέγεται, φρούριον κατὰ τὸ μέσον τοῦ ὄρους δομησάμενος ἔν τινι λόφῳ ἐρυμνοτάτῳ, Μιχαὴλ τὸν Βούρτζην πατρίκιον τιμήσας ἐν τῷ φρουρίῳ κατέλιπε, στρατηγὸν ὀνομάσας τοῦτον τοῦ Μαύρου ὄρους, ἐπισκήψας προσμένειν ἀγρύπνως καὶ τοὺς Ἀντιοχεῖς πάσῃ μηχανῇ κωλύειν ἐξιέναι καὶ τὰ πρὸς ζωὴν εἰσκομίζεσθαι ἐπιτήδεια. κατέλιπε δὲ καὶ Πέτρον ἕνα τῶν ἑαυτοῦ εὐνούχων, δοῦλον ὑπάρχοντα, δραστήριον ἄνθρωπον, ὃν δὴ καὶ στρατοπεδάρχην πεποίηκεν ἐν Κιλικίᾳ, εἰς παραχειμασίαν τὸν στρατὸν διασκορπίσαι κελεύσας, D καὶ τὴν αὐτοῦ μένειν εἰς τοὐπιὸν ἔτος ἔλευσιν. ἐλέγετο δ' ὅτι δυνάμενος ἐξ ἐφόδου ἑλεῖν τὴν Ἀντιόχειαν ὁ βασιλεὺς οὐκ ἠθέλησεν, ἀλλ' ἐξεπίτηδες παρεῖλκε καὶ παρεβίβαζε τὴν ταύτης κατάσχεσιν, δεδιὼς τὸν φημιζόμενον λόγον· καὶ γὰρ δὴ καὶ ἐν τοῖς ἁπάντων ἐφέρετο στόμασιν ὡς ἅμα τῇ ἁλώσει τῆς πόλεως Ἀντιοχείας καὶ ὁ βασιλεὺς τεθνήξεται. ἀμέλει καὶ τῷ τοιούτῳ λόγῳ δειλαινόμενος οὔτ' αὐτὸς προσεπέλασε τῇ Ἀντιοχείᾳ, καὶ τῷ Πέτρῳ δὲ καὶ τῷ Βούρτζῃ παρήγγειλε μηδεμίαν προσβολὴν ποιήσασθαι κατ' αὐτῆς. ἀλλ' ἐκεῖνος μὲν ταῦτα καταστησάμενος, ὡς εἴπομεν, εἴσεισιν εἰς τὴν βασιλεύουσαν· ὁ Βούρτζης δὲ τῇ P 657

12 δοῦλον om C

quoque sibi fecit Tripolin Phoeniciae urbem et Damascum), nihilominus tamen omnibus fuit invisus hominibus, ac nemo non cupiebat ipsius videre interitum. odiorum causas suo loco exponemus.

Antiochea revertens Nicephorus, dum Taurum montem (incolae Maurum vocant) transit, in medio eius castellum condit in colle munitissimo; in eoque Michaelum Burtzam patricia ornatum dignitate reliquit, praesidem eum Mauri montis appellans, mandato ut diligenter invigilaret Antiochenosque omni opera exitu et rebus necessariis parandis prohiberet. Petrum quoque spadonem, unum de suis famulis, hominem strenuum, praefectum castrorum in Cilicia creat, iubetque exercitum in hiberna distribuere, suumque adventum insequente anno praestolari. ferunt potuisse eum primo accessu Antiochea potiri, sed noluisse, ac dedita opera distulisse eius recuperationem, quod in ore omnium hominum esset hic rumor, recepta Antiochea statim imperatorem obiturum. eo nimirum sermone territus neque ipse Antiocheam tentavit, et Petro ac Burtzae mandavit ne eam oppugnarent. enimvero rebus ita ut memoratum est constitutis, Nicephorus in urbem rediit. at Burtzas An-

Ἀντιοχείᾳ γειτονῶν καὶ κλέος ἑαυτῷ ἄσβεστον περιποιήσασθαι ἱμειρόμενος, μικρὰ φροντίσας τῶν τοῦ βασιλέως ὑποθηκῶν, νύκτωρ καὶ μεθ' ἡμέραν ἐσκέπτετο εἴ πως δυνηθείη κατασχεῖν τὴν πόλιν. ἀπῄει οὖν συνεχῶς καὶ λόγους μετὰ τῶν Ἀντιοχέων ἐκίνει συμβατικούς. ἀλαζονευομένων δ' ἐκείνων καὶ τὰς συμβάσεις διωθουμένων, ἔλαθεν ἐκεῖνος φιλιωθείς τινι τῶν Σαρακηνῶν (Αὔλαξ οὗτος ἦν), ὃν ὑποκλέψας δώροις καὶ ὑποσχέσεσιν ἴσχυσε λαβεῖν τὸ μέτρον ἑνὸς τῶν πρὸς δύσιν τῆς Ἀντιοχείας πύργων Κάλα τοὔνομα. καὶ μετὰ τοῦτον τεκτηνάμενος κλίμακας πρὸς τὸ
B ἄκρον ἐξικνουμένας τοῦ πύργου, νύκτα τε ἀφεγγῆ ἐπιτηρήσας καὶ ἔπομβρον, ἔλαθε τὰς κλίμακας προσερείσας τῷ πύργῳ. καὶ ἀναβὰς μετὰ τριακοσίων τῶν ὑπ' αὐτὸν τοὺς μὲν φύλακας ἀποσφάττει τοῦ πύργου, ἔτι δὲ καὶ τοῦ γειτονοῦντος αὐτῷ· καὶ μετὰ τῶν τριακοσίων τοὺς δύο τούτους πύργους κατεσχηκὼς ἄγγελον εὐθέως ἐκπέμπει πρὸς τὸν στρατοπεδάρχην, μηνύων ἐπιταχῦναι καὶ ἐλθεῖν μετὰ παντὸς τοῦ στρατοῦ ὡς τῆς πόλεως ἤδη κατασχεθείσης. ὁ δὲ Πέτρος τὰς ἀγγελίας δεξάμενος ὤκνει καὶ ἀνεδύετο, τὴν ἐκ τοῦ βασιλέως δεδοικὼς ἀγανάκτησιν, μή τι καὶ κακὸν ἀπολαύσῃ ὡς παραβάτης τῶν αὐτοῦ προσταγμάτων. ἐγκει-
C μένου δὲ τοῦ Βούρτζη καὶ ἄλλον ἐπ' ἄλλῳ πέμποντος ἄγγελον καὶ τὴν ἔλευσιν ἐπιταχύνοντος, καὶ πληροφοροῦντος ὡς ἐπὶ πλέον ἀντέχειν οὐ δύναται πρὸς τὴν πολιορκίαν (καὶ γὰρ δὴ μαθόντες οἱ Ἀντιοχεῖς τὴν τῶν πύργων κατάσχεσιν συνέρρεον πανταχόθεν καὶ ἐκπολιορκεῖν τοὺς πύργους ἠπείγοντο, βέλη δ' ἀφέντες παν-

9 κάλλα C 11 τείχει C

tiocheae vicinus, posthabito imperatoris praecepto, noctes diesque de urbe ea occupanda cogitabat, quod hoc pacto aeternam se gloriam consecuturum sperabat. itaque frequenter eo itabat, et Antiochenos ad pacificationem invitabat, arroganter eam aspernantes. interim cum Saraceno quodam (Aulax is vocabatur) amicitiam contrahit, ab eoque muneribus et pollicitationibus corrupto mensuram turris occidentalis unius (Cala ei nomen fuit) obtinet. eius auxilio scalas fabricatus quae ad summa turris pertingerent, noctem obscuram atque pluviam praestolatus, per eam occulte scalas turri applicat, et cum trecentis suorum in eam adscendit. huius ac proximae etiam turris custodes trucidat: itaque duabus turribus occupatis, misso nuntio Petrum, quem castrorum praefectum diximus, hortatur ut celeriter cum omni exercitu superveniat urbi iam captae. Petrus etsi initio tergiversabatur, indignationem imperatoris veritus, ac metuens ne ipsius mandato violato sibi infortunium pararet, tamen instante Burtza et properare iubente, et se diutius oppugnationi hostium tolerandae non esse parem docente (etenim oppidani audito turres occupatas esse undique confluxerant, et eas expugnare omni studio conabantur missilibus coniectis ac omnis generis adhibitis

τοδαπὰ καὶ μηχανὰς ποικίλας τὸ πῦρ ὑφῆπτον, καὶ ἄλλα ἐποίουν ὁπόσα ποιεῖν ἔδει τοὺς κινδυνεύοντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολωλέναι, ἀποβαλεῖν δὲ καὶ πόλιν πασῶν ὑπερκειμένην τῶν ἀνὰ τὴν ἕω πόλεων) πτοηθεὶς δ' ὁ στρατοπεδάρχης μὴ τοσούτων ἀπολωλότων καὶ τηλικούτων ἀνδρῶν διὰ τὴν ἐκείνου ἀπείθειαν καὶ πόλεως τηλικαύτης ὑποστῇ ζημίαν ἡ πολιτεία Ῥωμαίων, ἄκων καὶ D
μὴ βουλόμενος καταταχήσας παρεγένετο σὺν παντὶ τῷ στρατῷ, εὑρὼν τοὺς περὶ τὸν Βούρτζην λίαν ἀπειρηκότας· ἐπὶ τρισὶ γὰρ νυχθημέροις ἦσαν πολιορκούμενοι. οὗ τὴν ἔφοδον ἐγνωκότες οἱ Ἀντιοχεῖς παρελύθησαν τὰς ψυχὰς καὶ τῆς συντονίας ἐνέδωκαν. ἀδείας δὲ λαβόμενος ὁ Βούρτζης κάτεισι πρὸς τὴν πύλην, καὶ σπάθῃ τὸν μοχλὸν τῆς κλειδὸς διατεμὼν ἀνοίγνυσι τὰς πύλας, καὶ τὸν Πέτρον εἰσάγει σὺν παντὶ τῷ στρατεύματι. καὶ οὕτω παρελήφθη ἡ μεγάλη καὶ περιφανὴς Ἀντιόχεια. ὅπερ πυθόμενος ὁ Νικηφόρος, εὐφρανθῆναι δέον ἐπὶ ἁλώσει τηλικαύτης πόλεως καὶ τὰ κατ' αὐτὸν ἐπιτρέψαι θεῷ, ὁ δὲ τοὐναντίον ἤλγησε τὴν ψυχὴν τὸν στρατοπεδάρχην τε ἐν.αἰτίαις εἶχε, καὶ τὸν Βούρτζην οὐ μόνον P 658
οὐκ ἀπεδέξατο τῆς προθυμίας καὶ τῆς ἀνδρίας καὶ γέρα παρέσχεν ἐπάξια τῆς αὐτοῦ ἀνδραγαθίας, ἀλλὰ καὶ ὕβρεσι πλύνας παρέλυσε τῆς ἀρχῆς καὶ οἴκοι μένειν ἐπέταξεν.

Αὕτη ἡ αἰτία καὶ τὰ λοιπὰ τὰ ῥηθήσεσθαι μέλλοντα μισητὸν τοῖς πᾶσι καὶ βδελυκτὸν τὸν Νικηφόρον εἰργάσαντο. πρῶτον μὲν γάρ, ὅτε τὴν ἀρχὴν τὰ κατ' αὐτὸν ἐκινήθη, μυρίαις πλημμελείαις χρωμένων τῶν σὺν αὐτῷ στρατιωτῶν ἐπιστροφὴν οὐκ

1 τὸ] καὶ C 7 καταςχήσας P

machinis, igni quoque supposito; neque omnino quicquam eorum omittebant quae agere conveniebat quibus cum uxoribus et liberis pereundi ac amittendae urbis orientalium omnium praestantissimae periculum incumberet) Petrus timens ne suam ob pertinaciam tot tantique viri perirent, et tantae urbis iacturam res publica Romana faceret, vel invitus summa festinatione universum exercitum adducit. iam omnem prope spem salutis Burtza cum suis dimiserant, tres continenter noctes diesque oppugnati: sed adventu Petri oppidanorum conciderunt animi ac remisit vehementia, et Burtzas facultatem nactus ad portam descendit, ac repagulo ense dissecto, apertis foribus Petrum admittit. Nicephorus allato rei huius nuntio, cum gaudere ob tantam urbem et res suas deo committere deberet, diversa secutus indoluit, culpavitque Petrum, et Burtzae non modo non probavit alacritatem atque fortitudinem, aut digna rebus gestis praemia contulit, sed et contumeliis affecto ademit munus suum, et domi se eum continere iussit.

Id et alia quae referemus, invisum omnibus ac detestabilem fecerunt Nicephorum. primo quod quo primum tempore imperium invasit, cum milites ipsius innumeris delictis querelas excitassent, nihil de cor-

ἐτίθει, λέγων "οὐδὲν θαυμαστὸν εἰ ἐν τοσούτῳ πλήθει λαοῦ ἀτα-
κτοῦσί τινες·" καὶ αὖθις εἰσελθὼν εἰς τὴν πόλιν πολλῶν καὶ δια-
φανῶν καὶ ἰδιωτῶν ἁρπαγέντων οὐδεμίαν ἐκδίκησιν ἐποιήσατο,
B ἀλλὰ παρεβλέπετο τὰς ἀτόπους πράξεις, ἐνευωχούμενος ταῖς
ἀσελγείαις, αἷς οἱ ἀτακτοῦντες προσκείμενοι κακῶς τοὺς πολίτας
διετίθουν, καὶ ταῦτα συνεργήσαντας αὐτῷ πρὸς τὴν τῆς βασιλείας
ἀνάληψιν οὐ μικρῶς. εἶτα καὶ πρὸς ταξείδιον συνεχῶς ἐξιὼν δει-
νῶς ἐκάκου τὸ ὑπὸ χεῖρα οὐ μόνον προσθήκαις συντελειῶν καὶ ἄλ-
λαις συνεισφοραῖς παντοίων εἰδῶν ἀλλὰ καὶ λεηλασίαις ἀνυποστά-
τοις, πρὸς τοῖς εἰρημένοις ἐκκόψας καὶ μέρος τι τῶν παρεχομένων
τῇ συγκλήτῳ βουλῇ φιλοτιμημάτων διὰ τό, ὡς ἔλεγε, σπανίζειν
χρημάτων ἐν τοῖς πολέμοις, πρὸς δὲ καὶ τὰς παρέχεσθαι τυπω-
C θείσας δόσεις πρὸς εὐαγεῖς οἴκους καὶ ἐκκλησίας παρά τινων εὐσε-
βῶν βασιλέων τέλεον ἐκκόψας, καὶ νόμον ἐκθέμενος μὴ τὰς ἐκ-
κλησίας ἀκινήτοις πλατύνεσθαι, κακῶς φάσκων ὑπὸ τῶν ἐπισκό-
πων δαπανᾶσθαι τὰ πτωχικὰ χρήματα καὶ τοὺς στρατευομένους
ὀλιγοῦσθαι, καὶ τὸ δὴ πάντων χαλεπώτερον, καὶ νόμον ἐκθέμε-
νος, ἐν ᾧ καί τινες ἐπίσκοποι τῶν εὐριπίστων καὶ κολάκων ὑπέ-
γραψαν, διοριζόμενον μὴ ἄνευ τῆς αὐτοῦ γνώμης καὶ προτροπῆς
ἐπίσκοπον ἢ ψηφίζεσθαι ἢ προχειρίζεσθαι. ἐπισκόπου τε τεθνη-
κότος βασιλικὸν ἐκπέμπων ἄνθρωπον ἐσταθμημένην ποιεῖν τὴν
ἔξοδον προσέταττε, καὶ τὰ περιττὰ ἀνελαμβάνετο. καὶ ἄλλα

1 λαοῦ om C   4 ἀτ. πρ.] ἀτοπίας C   6 ἐτίθουν C   15 ἀκινήτως C

rectione cogitavit, fatus mirum non esse, si in tanta hominum multitudine quidam incomposite se gererent. deinde quod in urbem ingressus, cum bona et illustrium et plebeiorum multorum diriperentur, vindicem se nequaquam praebuit, sed quasi delectari visus est libidinibus eorum qui cives vexabant, eos etiam qui ipsi ad imperium obtinendum haud exiguam navarant operam. praeterea ad Taxcidium assidue veniens graviter subditos afflixit, non modo pensionum et tributorum omnigenis rationibus, sed et rapinis intolerabilibus. ad haec partem quandam eorum quae senatoribus solebant imperatores largiri donorum in fisco retinuit, causatus sibi ad bella gerenda deesse pecuniam. neque hoc tantum, sed et donationes monasteriis atque templis legatas a quibusdam piis imperatoribus prorsus abolevit, lege etiam lata ne ecclesiae immobilibus locupletarentur bonis, causatus episcopos male prodigere ea quae pauperibus darentur, interim militibus deficientibus. id vero omnium gravissimum, quod legem tulit, cui et episcopi quidam leves atque adulatores subscripserunt, ne imperatoris iniussu ullus crearetur episcopus. et mortuo aliquo episcopo aliquem suorum submisit, qui definitos faceret sumptus: ipse, quod erat de reditibus reliquum, accepit.

τινὰ διατάγματα διετίθει πᾶσαν ἰδέαν ἀνάγκης ὑπερεκπίπτοντα, ἃ κατὰ μέρος διεξιέναι μεγαληγόρου δεῖται καὶ φρενὸς καὶ γλώττης. ἐσπούδασε δὲ καὶ νόμον θεῖναι τοὺς ἐν πολέμοις ἀποθνή- D σκοντας στρατιώτας μαρτυρικῶν ἀξιοῦσθαι γερῶν, ἐν μόνῳ τῷ πολέμῳ τιθέμενος καὶ οὐκ ἐν ἄλλῳ τινὶ τὴν τῆς ψυχῆς σωτηρίαν. κατήπειγε δὲ καὶ τὸν πατριάρχην καὶ τοὺς ἐπισκόπους συνθέσθαι τῷ δόγματι· ἀλλά τινες τούτων γενναίως ἀντιστάντες ἀπεῖρξαν αὐτὸν τοῦ σκοποῦ, προθέντες εἰς μέσον τὸν τοῦ μεγάλου Βασιλείου κανόνα, ἐπὶ τριετίαν ἀκοινωνήτους εἶναι λέγοντα τοὺς πολέμιον ἔν τινι πολέμῳ ἀνῃρηκότας. ἠλάττωσε δὲ καὶ τὸ νόμισμα, τὸ λεγόμενον τεταρτηρὸν ἐπινοήσας. διπλοῦ δὲ τοῦ νομίσματος P 659 ἔκτοτε γεγονότος, ἡ μὲν εἴσπραξις τῶν δημοσίων φόρων τὸ βαρύτερον ἀπῄτει, ἐν δὲ ταῖς ἐξόδοις τὸ μικρὸν ἐσκορπίζετο. νόμου δὲ καὶ ἔθους ὄντων παντὸς χαρακτῆρα βασιλέως, εἰ μὴ τῷ σταθμῷ ἐλαττοῖτο, δύναμιν ἔχειν ἰσότιμον, ὁ δὲ τὸν ἑαυτοῦ προκεκρίσθαι ἐνομοθέτησεν, ὑποβιβάσας τοὺς τῶν ἄλλων. ἐξ ἧς αἰτίας οὐ μικρῶς ἔθλιψε τὸ ὑπήκοον ἐν τοῖς λεγομένοις ἀλλαγίοις. καὶ τὸ δὴ χείριστον, ἐκ τῆς τοιαύτης αἰτίας τοῦ πολιτεύματος πιεζομένου οὐδεμίαν εὐθηνίαν ἐδέξαντο τὰ ὠνούμενα. πλέον δὲ τῶν ἄλλων ἠνίασε τοὺς ἀνθρώπους, καίπερ λίαν ὄντων χαλεπωτάτων, ἡ τοῦ τείχους κτίσις τῶν παλατίων. πολλὰ γὰρ ἔργα κύκλῳ ὄντα τοῦ παλατίου, εἰς κάλλος καὶ μέγεθος ἐξειρ- B

1 ἐτίθει C 13 ἐσκόρπιζε C 14 πάντα P 15 δύναμιν εἰσφέρειν καὶ ἔχειν P 19 ἐδέξατο C

sunt et aliae eius constitutiones, omnem necessitatis formam excedentes, quas singulatim referre magni sit ingenii ac facundiae. voluit etiam legem ferre, qua militibus in bello occumbentibus martyrum decernerentur honores, ut qui alia nulla in re quam in bello animae collocaret salutem; patriarchamque et episcopos conatus est ad eam probandam adigere. sed horum quidam fortiter resistentes eum a proposito dimoverunt, prolato in medium Basilii magni canone, qui per triennium sacris arceri iubet eos qui hostem in bello interfecissent. nomisma etiam attenuavit, tetartero excogitato. cumque eo modo duplex esset nummus, pensiones publicae graviorem exigebant, minor in sumptibus faciendis dissipabatur. cumque esset lege et consuetudine receptum ut omnes nummi imagine imperatoris alicuius notati, modo ponderi iusto nihil decederet, idem valerent, ipse sua insignes imagine praeferri, aliorum depressis pretiis, voluit. eaque re haud leviter subditis in permutationibus incommodavit. deterrimum hoc fuit, quod re publica his rebus attrita interim rerum venalium nulla fuit allevatio. atque haec omnia cum essent molestissima, aegerrime cives tulerunt palatii munitionem. nam multis quae in orbem circa palatium erant pulchris

γασμένα, καταστρεψάμενος ἀκρόπολιν καὶ τυραννεῖον κατὰ τῶν ἀθλίων πολιτῶν ἀπειργάσατο, ἀποθήκας καὶ σιτοβολῶνας ἔνδοθεν καὶ ἰπνοὺς καὶ κλιβάνους ἐργασάμενος καὶ πληρώσας εἰδῶν. προτεθέσπιστο γὰρ αὐτῷ ἔνδοθεν τοῦ παλατίου ἀποθανεῖν, ἠγνόει δ', ὡς ἔοικεν, ὡς εἰ μὴ κύριος φυλάξει πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. ὅτε γὰρ τὸ τεῖχος τοῦ παλατίου κατεσκευάζετο, μιᾷ τῶν νυκτῶν ἀνὰ τὴν θάλασσαν ὑποπλέων τις ἐξεβόησεν "ὦ βασιλεῦ, ὑψοῖς τὰ τείχη, κἂν μέχρι πόλου φθάσῃς, ἔνδον τὸ
C κακόν, εὐάλωτος ἡ πόλις." πολλὰ δὲ ἀναζητηθεὶς ὁ τοῦτο εἰπὼν οὐχ εὑρέθη. τοῦ τείχους γὰρ τελειωθέντος, τότε συνέβη καὶ αὐτὸν κατ' αὐτὴν τὴν ἡμέραν ἀποθανεῖν, ὁπηνίκα τὰς κλεῖς ὁ τὴν ἐπιμέλειαν ἐπιτετραμμένος φέρων αὐτῷ ἐνεχείρισε.

Προσεγένετο δὲ τοῖς εἰρημένοις καὶ ἕτερον, ὅπερ ἐπὶ πλέον ἐξῆρε τὸ κατ' αὐτοῦ μῖσος. συμβολῆς γενομένης κατ' αὐτὴν τὴν ἑορτὴν τοῦ ἁγίου πάσχα μέσον πλωΐμων καὶ Ἀρμενίων πολὺς ἀνθρώπων ἐγένετο φθόρος, μικροῦ δ' ἂν ἀπεβίω καὶ ὁ μάγιστρος Σισίνιος καὶ ἔπαρχος. διεδέδοτο δὲ φήμη ἐκ τούτου ὡς χαλεπαίνων τοῖς πολίταις ὁ Νικηφόρος, ὡς αἰτίοις τάχα τῆς ἀταξίας, ἐν ἡμέρᾳ ἱπποδρομίας μέλλει σαγηνεύσας τὸν δῆμον τιμωρήσασθαι.
D καὶ δὴ μετὰ μικρὸν ἱπποδρομίας τελουμένης βουλόμενος ὁ Νικηφόρος ἐνδείξασθαι τοῖς πολίταις καὶ τὴν τοῦ πολέμου συμβολὴν ὁποία ἐστί, τάχα δ' ἴσως καὶ ἐκφοβῆσαι, ξίφη γυμνὰ λαβόντας

6 ὅτε — 10 εὑρέθη om C 13 δὲ om C 19 σαγηνεῦσαι C 22 γυμνὰ om C

atque magnis operibus deiectis arcem ac sedem tyrannicam contra miseros cives palatio adstruxit, in ea cellas granaria clibanos et furnos condens, et omnibus rerum generibus implens. praedictum enim fuerat ei in palatio ipsum moriturum. nimirum autem ignorabat incassum excubitores vigilare, deo urbem non custodiente. etenim quo tempore murus palatii condebatur, noctu quadam per mare subvectus aliquis ita vociferatus est "o imperator, erigis muros: et tametsi vel ad caelum eos educas, intus cum sit malum, urbs captu facilis est." qui haec dixit, diu multumque est quaesitus, non tamen inventus. muro enim absoluto tunc periit, ea ipsa die, cum ei claves is cui id negotii commissum erat in manus traderet.

Accessit ad haec aliud, quod odia in imperatorem exasperavit. ipso paschatis festo die orto inter socios navales et Armenios conflictu utrinque multi perierunt, et mortem aegre evasit Sisinius patricius, urbis praefectus. exinde fama obtinuit imperatorem civibus infensum, quod eos huius tumultus auctores censeret, statuisse ludis equestribus eos in casses attractos ulcisci. paulo post ludi equestres facti. ibi Nicephorus, ut civibus ostenderet quid rei conflictus pugnae esset, aut etiam ut eos terreret, quosdam nudis gladiis dimicando praelii simula-

τινὰς προσέταξεν ὡς ἐν προσχήματι πολεμίων παῖξαι, εἰς ἑστίασιν τάχα τῶν θεατῶν. τούτου δὲ γενομένου, τὸν νοῦν τῶν βλεπομένων ἀγνοήσαντες οἱ θεωροί, καὶ τὴν κρατοῦσαν φήμην τέλος ἤδη λαμβάνειν ὑποτοπάσαντες, δρομαῖοι ἐπὶ τὰς ἐξόδους ἐχώρουν κρημνώδεις οὔσας καὶ σφαλεράς, καὶ ὑπ' ἀλλήλων συμπατούμενοι ἀπέθνησκον. καὶ ἀπώλοντο ἂν ἅπαντες ὑπ' ἀλλήλων καταπατούμενοι, εἰ μὴ ὁ βασιλεὺς ὡράθη ἐπὶ τοῦ θώκου καθήμενος P 660 ἀδεής τε καὶ ἄτρεπτος· ὃν ἰδὼν ὁ δῆμος μὴ παρακινηθέντα, καὶ κατανοήσαντες ὡς ἄκοντος αὐτοῦ γέγονε τὸ γινόμενον, ἔστησαν τῆς φυγῆς.

Πρόοδον δὲ δημοσίαν ποιήσαντα τὸν Νικηφόρον ἐν τῇ Πηγῇ κατὰ τὴν ἑορτὴν τῆς ἀναλήψεως τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ ὑποστρέφοντα οἱ συγγενεῖς τῶν ἐν τῷ ἱπποδρόμῳ ἀπολωλότων δεξάμενοι ἐν τῇ τῶν ἀρτοπρατῶν ἀγορᾷ ὕβρεις ἠφίεσαν κατ' αὐτοῦ ἀπρεπεῖς, ἀλάστορα καὶ παλαμναῖον ἀποκαλοῦντες καὶ ὁμοφύλοις αἵμασι μιαρόν, καὶ κόνιν καὶ λίθους ἔπεμπον εἰς αὐτὸν ἄχρι τῆς ἀγορᾶς τοῦ μεγάλου Κωνσταντίνου. καὶ ἀπεπάγη μὲν B ἂν τῷ δέει, εἰ μή τινες ἐντιμότεροι τῶν πολιτῶν προλαβόντες τοὺς μὲν ἀτακτοῦντας ἀνέστειλαν, αὐτὸν δὲ εὐφημοῦντες ἄχρι τοῦ παλατίου προέπεμψαν. διὰ ταῦτα πάντα ἀπηχθῆσθαι παρὰ τῶν πολιτῶν ἐπιστάμενος καὶ ἐπίθεσιν ὑφορώμενος τὴν ἀκρόπολιν ἐδομήσατο. ἀλλ' οὐκ ἠδυνήθη διαφυγεῖν τὸ χρεών, ἀλλ' ὅτε καλῶς

2 γινομένων C 6 καὶ κἂν ἀπώλοντο πάντες C 8 ἰδόντες C 13 ἱπποδρομίῳ C 14 ἀρτοπρατίων C 17 καὶ κἂν ἀπεπάγη τῷ C

crum exhibere iussit, oblectandorum scilicet spectatorum causa. verum spectatores quid hoc sibi vellet ignorantes, iamque id agi putantes quod rumor fore confirmarat, ad exitus theatri praeruptos ac lubricos cursu se contulerunt, ibique alii ab aliis conculcati perierunt permulti, omnesque adeo invicem obtriti periissent, nisi conspecto imperatore, qui in solio immotus ac quiete assidebat, sensissent nolente eo hunc accidisse tumultum, ac fugiendi finem fecissent.

Cum ad Fontem deinde imperator publice processisset feriis assumptionis Christi, redeuntem cognati eorum qui in Circo perierant in foro Artopraton nacti conviciis prosciderunt, flagitiosum homicidam et popularium sanguine contaminatum vocantes, pulveremque adversus eum et saxa iactantes, donec ad forum Constantini magni pervenit. et fuisset sane exanimatus metu, nisi civium honoratiores quidam eum repressis tumultuantibus stipassent et faustis acclamationibus prosecuti in palatium deduxissent. ob haec omnia invisum se civibus cernens et insidias timens arcem exstruxit. neque tamen fatum evitavit, sed quo tempore

ἔχειν αὐτῷ τὰ πάντα ᾠήθη, ἀπέρρηξε τὴν ζωήν. καὶ ὅπως, ἐν τῷ πρέποντι καιρῷ ῥηθήσεται.

Τετάρτῳ δὲ τῆς αὐτοῦ βασιλείας ἔτει, μηνὶ Ἰουνίῳ, τῆς ι' ἰνδικτιῶνος, τὰς ἐν τῇ Θρᾴκῃ πόλεις ἐξῄει ἐπισκεψόμενος, καὶ C γενόμενος ἄχρι τῆς λεγομένης μεγάλης σούδας ἔγραψε Πέτρῳ τῷ Βουλγαρίας ἄρχοντι μὴ ἐᾶν τοὺς Τούρκους διαπερᾶν τὸν Ἴστρον καὶ τὰ Ῥωμαίων λυμαίνεσθαι. τούτου δὲ μὴ προσέχοντος ἀλλὰ παντοίαις ἀφορμαῖς παρακρούοντος, τὸν τοῦ ἐκ Χερσῶνος πρωτεύοντος υἱὸν ὁ Νικηφόρος τὸν Καλοκυρὸν πατρικιότητι τιμήσας πρὸς τὸν ἄρχοντα Ῥωσίας ἐκπέμπει Σφενδοσθλάβον, δωρεῶν ὑποσχέσεσι καὶ φιλοτιμιῶν οὐκ ὀλίγων ἀναπείθων ἐκστρατεῦσαι κατὰ Βουλγάρων. πεισθέντες οὖν οἱ Ῥῶς καὶ ἐπελθόντες τῇ Βουλγαρίᾳ κατὰ τὸν Αὔγουστον μῆνα, τῆς ια' ἰνδικτιῶνος, πέμπτῳ τῆς βασιλείας ἔτει τοῦ Νικηφόρου, πολλὰς πόλεις καὶ D χώρας ἠδάφισαν τῶν Βουλγάρων, καὶ λείαν ὅτι πλείστην περιβαλόμενοι ὑπέστρεψαν εἰς τὰ ἴδια. καὶ τῷ ἕκτῳ δὲ πάλιν τῆς βασιλείας αὐτοῦ χρόνῳ ἐπεστράτευσαν κατὰ Βουλγαρίας, καὶ τὰ ὅμοια τῶν προτέρων ἢ καὶ χείρονα διεπράξαντο. δευτέρᾳ δὲ Σεπτεμβρίου μηνός, ὥρᾳ τῆς νυκτὸς β', ἰνδικτιῶνος ια', γέγονε βρασμὸς καὶ κλόνος γῆς ἐξαίσιος, καὶ ἔπαθε κακῶς Ὀνωριὰς καὶ Παφλαγονία. ἐγένοντο δὲ καὶ ἄνεμοι κατὰ τὸν Μάϊον μῆνα τῆς αὐτῆς ἰνδικτιῶνος σκληροὶ καὶ καυματώδεις, οἵτινες τοὺς καρποὺς

4 ἐπῄει C 5 σούδας] τάφρον C 6 τοὺς om C 11 ἀναπείσας C 13 ε' C 14 ἔτος αὐτοῦ νικηφόρος C 15 ἠφάνισε C 16 πάλιν ἔτει τῆς libri 18 χείρω C 19 ιβ' C 22 ἰνδ.] ἡμέρας P

omnia sibi in tuto esse putavit, vitam amisit. quomodo res sit acta, suo dicetur loco.

Anno imperii sui 4, indictione 10, mense Iunio exiit Thraciae urbes contemplatum. cumque usque ad magnam fossam pervenisset, Petrum Bulgariae principem hortatus est per literas ne sineret Turcos Istrum traiicere et Romanorum dicionem infestare. Bulgaro non obtemperante, sed omnis generis adhibitis praetextibus recusante, Nicephorus Calocyrum Chersonii principis filium, patricia dignitate exornatum, ad Sphendosthlabum Rossorum principem mittit, eumque munerum ac officiorum pollicitationibus ad inferendum Bulgaris bellum solicitat. Rossi obsecuti, indictione undecima, Augusto mense, anno imperii Nicephori quinto, in Bulgariam impressione facta multas urbes ac castella Bulgarorum solo aequaverunt, praedaque potiti ingenti domum redierunt. eodem modo, atque etiam aliquanto durius, anno proxime insecuto Bulgaros tractaverunt. indictione undecima, postridie Kalendarum Septembris, hora noctis duodecima, fragor et terrae motus horrendus fuit, afflixitque Honoriadem et Paphlagoniam. Maio etiam mense eiusdem anni venti spirarunt asperi et urentes, qui fructus una cum vitibus ac

διέφθειραν αὐταῖς ἀμπέλοις καὶ δένδρεσιν, ὡς ἐντεῦθεν κατὰ τὴν
ιβʹ ἰνδικτιῶνα σφοδρότατον ἐπενεχθῆναι λιμόν. καὶ δέον τὸν
βασιλέα τῆς τῶν ὑπηκόων φροντίσαι σωτηρίας, ὁ δὲ τὸν βασιλι-
κὸν σῖτον γλίσχρως πωλῶν, καὶ καταπραγματευόμενος τὴν συμ-
φορὰν τῶν ὑπὸ χεῖρα, ηὔχει ὥς τι μέγα κατωρθωκὼς ὅτι μοδίου P 661
τῷ νομίσματι πιπρασκομένου αὐτὸς δύο πωλεῖσθαι τοῦτον ἐπέ-
ταξε, μὴ τὸν Μακεδόνα μιμησάμενος βασιλέα Βασίλειον· οὗτος
γὰρ κατὰ τὴν καινὴν κυριακὴν ἀπερχόμενος ἐν τῷ τῶν μεγάλων
ἀποστόλων ναῷ, καὶ θεασάμενος πολίτας τινὰς ἱεροπρεπεῖς μὲν
καὶ σεμνούς, ἄλλως δὲ σκυθρωποὺς καὶ κατηφιῶντας, ἐγγὺς
ἑαυτοῦ παραστησάμενος διά τι μὴ καὶ αὐτοὶ λαμπροφοροῦντες ἐν
τῇ ἑορτῇ πάρεισιν ἀνηρώτα, ἀλλ' ὡς ἂν ἐν μεγάλῃ συμφορᾷ τῆς
πόλεως οὔσης στυγνάζουσι. πρὸς ὃν ἀπεκρίνατό τις τῶν πολιτῶν
"σοί, ὦ δέσποτα, καὶ τοῖς ἑστῶσιν ἔγγιστα σοῦ πρέπει τὸ λαμ-
προφορεῖν καὶ χαίρειν· οἷς δὲ τοῦ θανάτου πρόσεστι προσδοκία,
τὰ τοιαῦτα ἀπεοίκασιν. ἢ ἀγνοεῖς ὅτι δύο μέδιμνοι σίτου τῷ νο- B
μίσματι πιπράσκονται διὰ τὴν τῶν ἀνέμων τραχύτητα;" πρὸς
ταῦτα βύθιον ἀνοιμώξας ὁ βασιλεὺς συμπαθείας ἀπέσταξε δά-
κρυον, καὶ τούτους μὲν παρεμυθήσατο δαψιλῶς, ἐπανελθὼν δ'
εἰς τὰ βασίλεια τοὺς τὰς πολιτικὰς καὶ βασιλικὰς συναγαγὼν
μετερχομένους φροντίδας μυρίαις ὕβρεσι καὶ ἀραῖς καθυπέβαλεν
ὅτι μὴ αὐτῷ περὶ τῆς σιτοδείας ἐμήνυσαν, καὶ εὐθὺς τὸν βασι-

1 δένδροις C 2 ἔνδικτον C, ἡμέραν P 8 μεγάλην P
9 μὲν om C 10 καὶ σ.] ἄλλους C

arboribus perdiderunt. itaque anno proxime insecuto penuria exstitit gravissima. ibi imperator, quem conveniebat salutis subditorum curam gerere, et frumentum suum magno vendens ac ex calamitate suorum lucrum faciens, quasi re praeclare gesta iactavit se modium aureo nummo vendi solitum duobus vendidisse. longe aliter Basilius Macedo imperator; qui cum magna dominica die in aedem apostolorum venisset, civesque quosdam venerando adspectu videret tristi vultu et moerorem prae se ferentes, ad se vocatos interrogavit cur non ipsi quoque splendido amictu ad eam solennitatem accessissent, sed veluti in magna aliqua civitatis calamitate moererent. cumque unus eorum respondisset "tibi quidem, domine, et iis qui tibi adstant, splendide vestiri et laetari convenit: non item eos haec decent, qui in discrimine mortis sunt constituti. videre enim ignorare ob ventorum asperitatem duos frumenti modios aureo nummo vendi." hac voce audita gemitum ex imo duxit pectore, et miseratio lacrimas ei expressit, consolatusque eos, ut in palatium rediit, convocatos quibus civilia et imperatoria negotia commendaverat, multis est insectatus conviciis detestatusque, quod de caritate annonae se non fecissent certiorem. statimque venum proposito

λικὸν καὶ δημόσιον σῖτον προθέμενος δώδεκα τοῦ νομίσματος δίδοσθαι παρεκελεύσατο· οὗ τὴν προαίρεσιν ἀποδεξάμενος ὁ θεὸς εὐθηνίαν πολλὴν τοῖς ἀνθρώποις παρέσχετο. ἀλλὰ ταῦτα μὲν εἰς C ἔπαινον ἐκείνου ἐρρέθη· ὁ δὲ Νικηφόρος ἔχαιρε μᾶλλον ἢ ἐβοήθει θλιβομένους ὁρῶν τοὺς ὑπηκόους. καὶ οὐχ οὗτος μόνον, ἀλλὰ καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ, ταῖς καπηλείαις προσκείμενος τῶν εἰδῶν, πολλῶν καὶ ποικίλων δεινῶν τὴν οἰκουμένην ἐνέπλησεν. ὧν τὴν αἰσχροκέρδειαν εὐτραπέλως οἱ πολῖται διεκωμῴδουν. ἐξελθόντος γάρ ποτε τοῦ βασιλέως ἐν τῷ πεδίῳ ὥστε γυμνάσαι τὸν στρατόν, ἐπεί τις ἦλθε πολιὸς τὴν τρίχα καὶ ἐπειρᾶτο συναριθμηθῆναι τοῖς στρατιώταις, φησὶ πρὸς αὐτόν "σὺ δέ, ὦ ἄνθρωπε, γέρων ὢν πῶς τοῖς ἐμοῖς στρατιώταις ἐπείγῃ συναριθμηθῆναι;" ὁ δ' εὐστόχως ὑπολαβὼν "πολὺ δυνατώτερός εἰμι νῦν" D ἔφη "ἢ ὅτε ἤκμαζον." αὐτοῦ δὲ "καὶ πῶς;" ἐρομένου "ὅτι περ" ἔφη "τὸν τοῦ νομίσματος σῖτον πρότερον δυσὶν ἡμιόνοις ἐπιφορτίζων, ἐπὶ τῆς σῆς βασιλείας δύο νομισμάτων σῖτον ἀβαρῶς ἐπὶ τῶν ὤμων φέρω." συνεὶς οὖν τὴν εἰρωνείαν ἀνεχώρησε, μηδὲν ταραχθείς.

Οἱ δὲ Σαρακηνοὶ μετὰ τὸ ἁλῶναι τὰς ἐν Συρίᾳ καὶ Κιλικίᾳ πόλεις τὸν ἀρχιερέα τῶν Ἱεροσολύμων Ἰωάννην ζῶντα κατέκαυσαν ὡς ταῖς ὑποθήκαις αὐτοῦ τάχα μέλλοντος τοῦ Νικηφόρου ἀφίξεσθαι πρὸς αὐτούς, ἐνέπρησαν δὲ καὶ τὸν περικαλλῆ ναὸν τοῦ κυριακοῦ τάφου. τὸ δ' αὐτὸ τοῦτο πεποιήκασι καὶ οἱ Ἀντιοχεῖς,

7 εἰδῶν] δεινῶν C   23 πεποιήκασι om C

suo et publico frumento, duodecim modios aureo vendi iussit. quod eius factum probans deus fertilitatem est largitus. atque haec laudandi Basilii gratia dixi. at vero Nicephorus gaudebat potius affligi cernens subditos quam ut iis succurreret. idemque faciebat Leo frater ipsius cauponantibus annonam et merces mulieribus se dans, multisque et variis malis orbem terrarum implens. turpe illorum quaestus studium facete cives subsannaverunt. nam cum aliquando ad milites exercendos in campum progressus imperator cano cuidam, qui inter milites se adscribi petebat, diceret ecquid homo canus in militiam allegi peteret, apte is respondit se multo nunc validiorem esse quam adolescens fuisset. et qui hoc verum esset, interrogante imperatore, "eo" inquit, "quod olim uno aureo empto frumento duos onerabam asinos: te autem imperante, quantum duobus aureis emitur frumenti, haud gravate humeris porto." imperator dicterium sentiens abiit, nihil perturbatus.

Ceterum Saraceni amissis in Syria et Cilicia urbibus, Ioannem archiepiscopum Hierosolymae vivum combusserunt, quod suspicarentur eius instinctu Nicephorum ipsis bellum illaturum. incenderunt etiam pulcherrimum templum dominici sepulchri. eodem modo Antiocheni quo-

Χριστοφόρον τὸν αὐτῶν ἀνελόντες ἀρχιερέα. προσερρύησαν δὲ P 662
τῷ βασιλεῖ Γρηγόριος καὶ Παγκράτιος οἱ αὐτάδελφοι, τῆς ἑαυτῶν παραχωρήσαντες αὐτῷ χώρας τοῦ Ταρών· οὓς πατρικίους τιμήσας καὶ κτήμασιν ἐφιλοφρονήσατο πολυπροσόδοις. ἐγένετο δὲ καὶ ἡλίου ἔκλειψις τῇ κβ΄ τοῦ Δεκεμβρίου μηνός, περὶ τρίτην ὥραν, ὡς καὶ ἄστρα φανῆναι.

Ἡ δὲ βασιλὶς Θεοφανὼ ἀποστρεφομένη τὴν συνουσίαν τοῦ Νικηφόρου, τινὰ τῶν τοῦ Τζιμισκῆ μεταπεμψαμένη εἰσκαλεῖται τοῦτον ἐν τῷ ἰδίῳ οἴκῳ σχολάζοντα· ἔφθη γὰρ ὁ βασιλεὺς διά τινα ὑποψίαν παραλύσας τοῦτον τῆς τοῦ δομεστίκου ἀρχῆς καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀπρόϊτον εἶναι κελεύσας. διεπράξατο δὲ ἡ μοιχαλὶς B
καὶ γράμματα τοῦτον δέξασθαι τὴν κάθοδον ἐπιτρέποντα. καὶ ὁ πεμφθεὶς ἐκεῖθεν αὐτὸν ἀναλαβόμενος εἰς Χαλκηδόνα ἀφίκετο. καὶ τοῦ βασιλέως ὑπομνησθέντος εἰ δεῖ τοῦτον εἰσελθεῖν ἐν τῇ βασιλίδι, κἀκείνου προσμένειν μικρὸν ἐπιτρέψαντος, ἐκείνη νυκτὸς ια΄ τοῦ Δεκεμβρίου μηνός, ἰνδικτιῶνος ιγ΄, ἔτους ‚ϛυοη΄, ἀποστείλασα ἄγει τοῦτον πρὸς τὸν κάτωθεν τοῦ παλατίου χειροποίητον λιμένα νυκτός, καὶ κοφίνῳ ἀνιμήσατο μετὰ πάντων τῶν περὶ αὐτόν· ἦσαν δὲ ὁ πατρίκιος Μιχαὴλ ὁ Βούρτζης καὶ Λέων ταξιάρχης ὁ Βαλάντιος καὶ τῶν τοῦ Τζιμισκῆ πιστικωτάτων ὁ C
Ἀτζηποθεόδωρος καὶ ἕτεροι δύο. οἵτινες ἀνελθόντες καὶ ξιφή-

1 *Ῥοῦφον* margo P 4 *κτήσεσιν* C 11 *οἶκον* C *ὃν ἐκεῖθεν ὁ πεμφθεὶς ἀναλαβόμενος (διεπράξατο γὰρ — ἐπιτρέποντα) ἀφίκετο εἰς Χαλκηδόνα.* C 17 *τῶν παλατίων* C 21 *ἀτζυποθεόδωρος* C

que Christophorum suum pontificem summum interfecerunt. ad imperatorem porro se contulerunt Gregorius et Pancratius fratres germani, eique suam dicionem, nomine Taron, concesserunt. quos ille patricia dignitate ornatos praediis reditus amplos habentibus donavit. die mensis Decembris 22, hora tertia, tantus fuit solis defectus ut astra quoque apparuerint.

Iam Theophano Augusta consuetudinem Nicephori aversans, Tzimiscam, eius familiarium ad se vocati cuiusdam ministerio, domo sua (in qua tum privatus degebat, ob suspicionem quandam domestici officio deiectus ab imperatore, et domi suae se continere neque usquam prodire iussus) evocat, adeoque literas etiam adultera ab imperatore obtinet, quibus in urbem is redire iuberetur. qui missus fuit, is Tzimiscam domo sua Chalcedonem adducit. cumque imperator submonitus utrum eum vellet Cpolin ingredi, eum aliquantulum exspectare iussisset, Theophano nocte, 11 Decembris, indictione 13, anno mundi 6478, missis suis Tzimiscam noctu ad portum manu confectum, qui est infra palatium, deducit, et impositum corbi cum sociis in palatium attrahit. erant cum eo Michaelus Burtza patricius, Leo Abalantius cohortis ductor, Atzypotheodorus Tzimiscae amicorum fidelissimus, ac duo alii.

ρεις εἰς τὸν τοῦ βασιλέως εἰσελθόντες κοιτῶνα, ἐπεὶ μὴ εὗρον αὐτὸν ἐν τῇ συνήθει κλίνῃ, φωραθῆναι ὑπονοήσαντες μικροῦ δεῖν ἑαυτοὺς κατεκρήμνισαν, εἰ μή που ἀνδράριόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος εὑρηκότες ὑπ' αὐτοῦ ὁδηγοῦνται. καὶ καταλαμβάνουσιν αὐτὸν ἐπ' ἐδάφους κείμενον καὶ στρωμνὴν ἔχοντα πῖλον κοκκοβαφῆ καὶ ἄρκτου δέρμα, ὅπερ λαβὼν ἦν παρὰ Μιχαὴλ μοναχοῦ τοῦ Μαλεΐνου, τοῦ θείου αὐτοῦ. τοῦτον ἄρτι πρὸς ὕπνον τραπέντα, καὶ μηδαμῶς ἐπαισθόμενον τῆς ἀφίξεως τῶν μελλόντων αὐτὸν ἀναιρεῖν, ὁ Τζιμισκῆς τῷ ποδὶ νύξας ἐξύπνισεν. ἐξυπνισθέντα
D δὲ καὶ τῆς δεξιᾶς χειρὸς τὸν ἀγκῶνα τῇ γῇ προσερείσαντα καὶ τὴν κεφαλὴν ἀνακουφίσαντα, ἐπιφέρει γυμνῷ τῷ ξίφει κατὰ τῆς κορυφῆς ἀσκεποῦς οὔσης (ἐπεπτώκει γὰρ ἐγειρομένου τὸ τῆς κεφαλῆς αὐτοῦ κάλυμμα) Λέων ὁ Ἀβαλάντιος γενναίαν πληγήν, καὶ διελαύνει μέσον τὸ κρανίον. εἶτα τῆς στρωμνῆς αὐτὸν ἀναστήσαντες ἄγουσι πρὸς τὸν Τζιμισκῆν ἐπὶ τῆς βασιλικῆς καθίσαντα κλίνης, καὶ πολλὰ παροινήσαντες καὶ κατονειδίσαντες καὶ δυσφημήσαντες εἰς αὐτὸν μηδὲν ἄλλο λέγοντα ἀλλ' ἢ "κύριε ἐλέησον" καὶ "θεοτόκε βοήθει," τελευταῖον ἐπεί περ κατεφωράθησαν παρὰ τῶν
P 663 προκοίτων τοῦ παλατίου καὶ συνίστατο ἐπ' αὐτοὺς πλῆθος ἀμυνομένων, ἀποσφάττουσι τοῦτον, καὶ τὴν κεφαλὴν ἀποτεμόντες διά τινος θυρίδος τοῖς εἰς βοήθειαν συντρέχουσι δεικνύουσι. καὶ οἱ μὲν οὕτω κατεστορέθησαν, τοῖς δὲ περὶ τὸν Τζιμισκῆν καιρὸς ἐδόθη ἀδεῶς καὶ μετ' ἀδείας πάντα ποιεῖν.

6 ἄρκου C 13 βαλάντης C καιρίαν margo P 19 συνίσταται C 21 δεικνύουσι om C

ii cum in palatium essent sublevati, gladiis cincti imperatoris cubiculum intrant; cumque eum non invenirent in consueto lecto, detectas insidias esse suspicantes iam se ipsos erant praecipitaturi, nisi homuncio quidam obtigisset ex gynaeceo, quo duce in solo iacentem Nicephorum Phocam inveniunt, pro veste stragula habentem pileum cocco infectum et exuvium ursi, quod ab avunculo suo Michaelo monacho Maleino acceperat. recens imperator obdormiverat, neque percussorum adventum senserat. Tzimisces eum calce ictum e somno excitat: evigilanti dextraeque manus cubito terrae innitenti et caput attollenti Leo Abalantius stricto ense vulnus ingens in nudum caput (deciderat enim operculum capiti, dum se sublevaret) incutit, medio cranio dissecto. deinde eum a lecto auferentes ad Tzimiscam ducunt in sella imperatoria sedentem, multisque contumeliis et conviciis exagitant, nihil aliud dicentem quam "domine miserere, opitulare deipara." tandem cum res excubitoribus palatii innotuisset, et multitudo ad defendendum imperatorem accurreret, Nicephorum iugulant, caputque eius resectum defensoribus per fenestram ostendunt. hoc pacto iis sedatis, Tzimiscae libere quae vellet agendi occasio data.

Λέγεται δὲ ὅτι πρὸ δέκα ἡμερῶν τοῦ θανάτου αὐτοῦ ἔγγραφον εὗρεν ὁ βασιλεύς, ἐρριμμένον ἐν τῷ κοιτῶνι αὐτοῦ καὶ μηνῦον ἀσφαλίσασθαι ἑαυτὸν ὡς ἐπιβουλευόμενον ὑπὸ τοῦ Τζιμισκῆ. καί τινα δὲ κληρικόν φασι κατὰ τὴν ἑσπέραν τῆς ἀναιρέσεως δεδωκέναι αὐτῷ γράμμα περιέχον πρὸς ἔπος ταῦτα "ὦ βασιλεῦ, ἀσφάλισαι σεαυτόν· κίνδυνος γάρ σοι κατὰ ταύτην τὴν νύκτα οὐ μικρὸς ἀρτύεται." τὸ δὲ γραμμάτιον ἄλλοι μὲν λέγουσιν ὡς ὑπολαβὼν ὁ B βασιλεὺς δεητήριον εἶναι οὐκ ἀνέγνω τοῦτο, ἄλλοι δ' ὅτι ἀνέγνω μέν, ἀλλ' ἠμέλησε τῆς ἑαυτοῦ φυλακῆς, τοῦ χρεὼν ἐμποδίσαντος, ἀποθανόντος δὲ τούτου εὑρέθη ἔχον τὰ γεγραμμένα. ἄλλοι δ' ὅτι ἀναγνοὺς ἐπέτρεψε τὴν ζήτησιν καὶ φυλακὴν τῷ πρωτοβεστιαρίῳ, ἔγραψε δὲ καὶ τῷ ἀδελφῷ Λέοντι ἐπ' οἴκου διάγοντι λαὸν ἔνοπλον εἰληφέναι καὶ φοιτῆσαι τὴν ταχίστην πρὸς τὸ παλάτιον. τοῦτο δὲ διακομισθὲν ἐκεῖνος δεξάμενος, καὶ μηδ' ἀνελίξας (ἔτυχε γὰρ κυβεύων μετά τινων καὶ δαιμονίως τῇ παιδιᾷ χρώμενος) ἔθετο ἐν τῇ ἑαυτοῦ κλίνῃ ὑπὸ τὴν τύλην. ἄρτι δὲ τοῦ παιγνίου διαλυθέν- C τος τὸ γραμμάτιον ἐπελθὼν καὶ τὸν ἐγκείμενον νοῦν συνεὶς τῶν γραφέντων, δύναμιν ὡς ὁ καιρὸς ἀπῄτει συναθροίσας ἀπῄει πρὸς τὰ βασίλεια. γενόμενος δὲ κατὰ τὴν ἐν τῷ ἱπποδρομίῳ σφενδόνην ἤκουσέ τινων διαλεγομένων πρὸς ἀλλήλους ὡς ἄρα εἴη Νικηφόρος ἀνῃρημένος ὁ βασιλεύς, ἤκουσε δὲ καὶ τῶν ἐν τῷ παλατίῳ καὶ τοῖς στενωποῖς ἀνευφημούντων τὸν Ἰωάννην. τῷ ἀνελπίστῳ δὲ κατα-

4 φασι om C   5 πρὸς] ὡς C   6 μικρῶς ἀνύεται C
19 ἱπποδρόμῳ C   21 ἐν ταῖς πλατείαις καὶ ταῖς ὁδοῖς C

Ferunt decem diebus antequam interficeretur, Nicephorum in suo cubiculo invenisse libellum, cuius scriptura monebatur ut sibi caveret: nam a Tzimisca ipsi insidias fieri. quendam etiam clericum perhibent vesperi, qua nocte deinde periit, literas ei exhibuisse in quibus haec continerentur "muni te ipsum, imperator: nam hac nocte tibi periculum haud leve impendet." eas literas alii tradunt imperatorem non legisse, opinatum eo petitionem aliquam contineri. alii legisse aiunt, sed sui custodiendi rationem non duxisse ullam, fato impeditum; easque literas ipso occiso inventas fuisse. non desunt qui iis lectis imperatorem asserant inquisitionem et custodiae munus protovestiario mandasse; simulque fratri suo Leoni domi suae degenti scripsisse ut cum armata manu ad palatium celerrime veniat. Leonem literas acceptas non aperuisse, quod tum forte talis cum aliquo certaret et impensissime isto ludicro delectaretur, sed eas in sui lectuli sponda deposuisse. ludo finito statim legisse, et percepta sententia coegisse quantam res ferret manum, ac ad palatium contendisse. sed cum ad Fundam Circi venisset, audisse quosdam inter se de interfecto imperatore Nicephoro colloquentes, nec non et in palatio et angiportis Tzimiscam imperatorem proclamantium voces percepisse; itaque re insperata consternatum nihil magnani-

πλαγείς, καὶ μηδὲν ἐννοήσας γενναῖον, ᾗ τάχους εἶχε σὺν τῷ υἱῷ Νικηφόρῳ τῇ μεγάλῃ προσέρχεται ἐκκλησίᾳ. καὶ τὰ μὲν λεγόμενα ταῦτα· εἰ δὲ ἀληθῶς ἢ ψευδῶς, οὐκ ἔχω λέγειν. D *θνήσκει δ' ὅμως ὁ Νικηφόρος ἔνδον τοῦ παλατίου κατεργασθείς.*

4 post κατεργασθεὶς C: πεντήκοντα καὶ ἑπτὰ ἐτῶν ὢν τηνικαῦτα. τῇ δὲ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας προστάξει τοῦ Ἰωάννου πρὸς ἑσπέραν βαθεῖαν τῇ ὁσίᾳ παρεκέμφθη· θήκῃ γὰρ ξυλίνῃ, ὡς ἔτυχεν, αὐτὸν περιστείλαντες εἰς τὸν θεῖον τῶν ἀποστόλων σηκὸν μέσον νυκτῶν αὐτὸν ἐξεκόμισαν καὶ κατὰ τὸ ἡρῷον ἔνθα τὸ τοῦ θείου καὶ ἀοιδίμου Κωνσταντίνου σῶμα κατάκειται ἐν μιᾷ τῶν βασιλικῶν σορῶν ἐκήδευσαν. τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν. ὄψις αὐτῷ πρὸς τὸ μέλαν πλέον ἢ τὸ λευκὸν ἀποκλίνουσα, κόμη βαθεῖα καὶ κυανή, ὀφθαλμοὶ μέλανες ἐπὶ συννοίας πεφροντικότες, δασείαις ταῖς ὀφρύσιν ὑποκαθήμενοι. ῥὶς μέσον ἔχουσα λεπτότητός τε καὶ παχύτητος, ἠρέμα συμπεραινομένη γρυπότητι. ὑπήνη σύμμετρος, ἀραιὰν παρὰ τὰς γνάθους προβαλλομένη τὴν πολιάν. ἀγκυλαῖος τὴν ἡλικίαν καὶ στιβαρός, εὐρύτατος τὸ στέρνον καὶ ὤμους ὡς μάλιστα, τὴν μέντοι ἀνδρίαν καὶ ῥώμην κατὰ τὸν θρυλλούμενον Ἡρακλῆν. φρονήσει δὲ καὶ σωφροσύνῃ πάντων κατευμεγέθει τῶν κατ' ἐκείνην τὴν γενεὰν γεγενημένων ἀνδρῶν. ἐν δὲ τῇ σορῷ αὐτοῦ ὁ Μελιτηνῆς μητροπολίτης Ἰωάννης ταῦτα ἐπέγραφε·

τὸν ἀνδράσι πρὶν καὶ τομώτερον ξίφους
πάρεργον οὗτος καὶ γυναικὸς καὶ ξίφους.
ὃς τῷ κράτει πρὶν γῆς ὅλης εἶχε κράτος,
ὥσπερ μικρὸς γῆς μικρὸν ᾤκησε μέρος.
τὸν πρὶν σεβαστόν, ὡς δοκῶ, καὶ θηρίοις,
ἀνεῖλεν ἡ σύγκοιτος ἓν δοκοῦν μέλος.
ὁ μηδὲ νυξὶ μικρὸν ὑπνώττειν θέλων
ἐν τῷ τάφῳ νῦν μακρὸν ὑπνώττει χρόνον.
θέαμα πικρόν. ἀλλ' ἀνάστα νῦν, ἄναξ,
καὶ τύπτε πεζούς, ἱππότας, τοξοκράτας
τὸ σὸν στράτευμα, τὰς φάλαγγας, τοὺς λόχους.
ὁρμᾷ καθ' ἡμῶν Ῥωσικὴ πανοπλία,
Σκυθῶν ἔθνη σφύζουσιν εἰς φονουργίας,
λεηλατοῦσι πᾶν ἔθνος τὴν σὴν πόλιν,
οὓς ἐπτόει πρὶν καὶ γεγραμμένος τύπος
πρὸ τῶν πυλῶν σὸς ἐν πόλει Βυζαντίου.
ναί, μὴ παρόψει ταῦτα· ῥῖψον τὸν λίθον
τόν σε κρατοῦντα, καὶ λίθοις τὰ θηρία
τὰ τῶν ἐθνῶν δίωκε· δὸς δὲ καὶ πέτρας
στηριγμὸν ἡμῖν ἀρραγεστάτην βάσιν.
εἰ δ' οὐ προκύψαι τοῦ τάφου μικρὸν θέλεις,
κἂν ῥῆξον ἐκ γῆς ἔθνεσιν φωνὴν μόνην·
ἴσως σκορπίσῃ ταῦτ[η] καὶ τρέψει μόνη.
εἰ δ' οὐδὲ τοῦτο, τῷ τάφῳ τῷ σῷ δέχου
σύμπαντας ἡμᾶς· ὁ νεκρὸς γὰρ ἀρκέσῃ
σώζειν τὰ πλήθη τῶν ὅλων χριστωνύμων.
ὢ πλὴν γυναικὸς τὰ δ' ἄλλα Νικηφόρος.

ἀλλὰ ταῦτα μὲν οὕτω συντέθειται.

mum cogitasse, sed illico cum filio Nicephoro in magnum templum confugisse. atque haec memoria prodita sunt: verene an falso, non pronuntio. id quidem liquet, Nicephorum in palatio fuisse interfectum.

Ἰωάννης δὲ ὁ Τζιμισκῆς τῆς Ῥωμαίων ἀρχῆς ἀποθανόντος τοῦ Νικηφόρου ἀνεδέξατο τὰς φροντίδας, συμβασιλεύοντας ἔχων Βασίλειον καὶ Κωνσταντῖνον τοὺς υἱοὺς Ῥωμανοῦ, ὧν ὁ μὲν Βασίλειος ἕβδομον εἷλκε τῆς ἡλικίας ἔτος, ἅτερος δὲ ὁ Κωνσταντῖνος πέμπτον. εὐθὺς οὖν Βασίλειον τὸν παρακοιμώμενον, ὃν Νικηφόρος ὁ βασιλεὺς οὐ μικρὰ συμβαλόμενον αὐτῷ πρὸς τὴν τῆς βασιλείας κατάσχεσιν πρόεδρον τετίμηκε, μή πω πρότερον ὄντος τοῦ ἀξιώματος, πρώτου δ' αὐτὸ τοῦτο ἐφευρηκότος, νυκτὸς μεταπεμψάμενος κοινωνὸν τῆς ἀρχῆς προσελάβετο, ἅτε ἐν πολλοῖς χρόνοις τά τε πολιτικὰ μετελθόντα ἐπὶ τοῦ οἰκείου πατρὸς Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τοῦ πορφυρογεννήτου τοῦ P 664
γαμβροῦ αὐτοῦ, καὶ πλειστάκις κατὰ τῶν Ἀγαρηνῶν ἐκστρατεύσαντα, καὶ δυσχερείαις πραγμάτων εἰδότα εὐφυῶς προσαρμόζεσθαι. ὃς εὐθὺς τὴν ἐπιτροπὴν εἰληφὼς τῶν πραγμάτων πάντας τοὺς εὔνοιαν τῷ Νικηφόρῳ φυλάττοντας ἐκ μέσου πεποίηκε, Λέοντα μὲν τὸν κουροπαλάτην ἐν Λέσβῳ περιορίσας καὶ Νικηφόρον Βέστην τὸν τούτου υἱὸν ἐν τῇ Ἴμβρῳ, Βάρδαν δὲ τὸν νεώτερον δοῦκα τότε Χαλδίας καὶ Κολωνείας τυγχάνοντα τὴν ἀρχὴν ἀφελόμενος ἐν Ἀμασείᾳ παρέπεμψε. καὶ τοὺς ἄλλους δὲ ὅσοι πολιτικὰς ἢ στρατιωτικὰς μετῄεσαν ἀρχὰς τῶν ἀρχῶν παραλύσας, B
τοὺς οἰκείους ἐπέστησε καὶ τῷ νέῳ βασιλεῖ φυλάττοντας εὔνοιαν. τοῖς τότε δὲ παρὰ τοῦ Νικηφόρου φυγαδευθεῖσι κάθοδον ἐπιτρέπει, καὶ πρό γε τῶν ἄλλων τοῖς ἀρχιερεῦσι, τῷ μὴ θέλειν ὑπο-

3 υἱεῖς C 6 αὐτοῦ C 8 αὐτοῦ an τούτου? 13 δυσχερείας C προσαρμοζόμενον C 17 βάρδα C 19 post παρέπεμψε C γράμμασι 21 τοὺς om C 22 τότε δὲ] τε C

Ioannes Tzimiscas hoc sublato imperium iniit, adhibitis collegis Basilio et Constantino Romani filiis, quorum hic quintum, ille septimum aetatis annum agebat. initio statim imperii Basilium, cubicularium intimum, quem Nicephorus ab eo in occupando imperio non leviter adiutus novo nomine novi magistratus instituto praesidem creaverat, noctu ad se vocatum rerum gerendarum socium adsciscit, quippe et longo tempore in re publica versatum, sub patre Romano seniore, et Constantino Porphyrogenito sororis suae marito, et qui saepissime rem contra Agarenos gesserat, et rebus arduis scite se accommodare callebat. is Basilius, ut primum tractandarum rerum munus occepit, omnes Nicephoro studentes e medio submovet. Leonem curopalatam in Lesbum, Nicephorum Bestam eius filium Imbrum, Bardam Ducae filium iuniorem, qui tum Chaldiae et Coloniae praeerat, abrogato magistratu Amasiam relegat, aliosque vel civiles vel bellicos magistratus gerentes in ordinem redigit, in eorumque loca substituit familiares suos, et quos novo imperatori fidos nosset. reditus etiam decretus iis quos Nicephorus solum vertere iusserat, pontificibus praecipue primariis; quibus ostendimus id

γράψαι τῷ τόμῳ ὃν εἰς κατατομὴν καὶ ὕβριν ἐφεῦρε τῆς ἐκκλησίας ἐκεῖνος ἐξορισθεῖσιν, ὡς ἤδη φθάσας ὁ λόγος ἱστόρησεν.

Οὕτω δὲ τῶν πραγμάτων οἰκονομηθέντων, κατὰ τὴν αὐτὴν νύκτα πάσης ὑποψίας ἀπολυθεὶς ἄπεισι μετ' ὀλίγον ὁ βασιλεὺς εἰς τὴν μεγάλην ἐκκλησίαν, χερσὶ τοῦ πατριάρχου λαβεῖν βουλόμενος τὸ διάδημα. ὃν ἐλθόντα εἰσελθεῖν οὐκ εἴασεν ὁ Πολύευκτος, μὴ
C ἄξιον εἶναι φήσας ἐπιβῆναι θείου ναοῦ νεαρῷ καὶ ἀτμίζοντι ἔτι τῷ συγγενικῷ αἵματι σταζομένας τὰς χεῖρας ἔχοντα, ἀλλὰ σπεῦσαι ἔργα μετανοίας ἐνδείξασθαι, καὶ οὕτως ἐφίεσθαι πατεῖν ἔδαφος οἴκου κυρίου. τοῦ δὲ Ἰωάννου ἠπίως δεξαμένου τὴν ἐπιτίμησιν καὶ πάντα πρᾶξαι μετ' εὐπειθείας ἐπαγγειλαμένου, ἀπολογισαμένου δ' ὅτι καὶ αὐτόχειρ οὐκ αὐτὸς ἐγένετο τοῦ Νικηφόρου ἀλλ' ὁ Βαλάντιος καὶ ὁ Ἀτζυποθεόδωρος ἐπιτροπῇ τῆς δεσποίνης, ταύτην μὲν ὁ πατριάρχης προσέταττε τῶν ἀνακτόρων κατενεχθῆναι καὶ ἔν τινι νήσῳ περιορισθῆναι, ἐξοστρακισθῆναι δὲ καὶ τοὺς τοῦ Νικηφόρου αὐτόχειρας, διαρραγῆναι δὲ καὶ τὸν τόμον ὃν ἐπὶ συγχύσει τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ Νικηφόρος ἐξέθετο. εὐ-
D θέως οὖν ὁ Ἰωάννης ἐκείνους τε ἐξῶσε τῆς πόλεως καὶ τὴν Θεοφανὼ ἐν Προικοννήσῳ ἐξώρισεν. ἥτις ἐκεῖθεν ὕστερον λάθρᾳ φυγοῦσα καὶ τῇ μεγάλῃ προσφυγοῦσα ἐκκλησίᾳ, διὰ τοῦ παρακοιμωμένου Βασιλείου ἐκβληθεῖσα ἐν τῷ θέματι τῶν Ἀρμενιακῶν ἐξωρίσθη εἰς τὴν παρὰ τοῦ βασιλέως νεουργηθεῖσαν μονὴν τὴν

1 τῆς ἐκκλησίας ἐξεῦρε C 2 ἤδη om C 11 ἀπολογησαμένου C 13 βαλάντζης C, ἀβαλάντιος P 19 ὕστερον om C

evenisse, quod constitutioni ab eo spoliandae ac contumelia afficiendae ecclesiae causa factae noluissent subscribere.

Rebus hoc modo constitutis, ea ipsa nocte omni liberatus suspicione Tzimisca, paulo post in magnum templum se confert, ut manu patriarchae diadema sibi imponatur. verum eum Polyeuctus non admittit, non licere inquiens templo subire eum cuius manus adhuc recenti cognati cruore stillarent atque fumarent. operam daret uti poenitentiae officia praestaret: ita demum permissum iri ut solum domus dei calcet. eam obiurgationem placide fert Tzimisca, promittens se omnia obedienter facturum, se quoque purgans ut qui manus Nicephoro non intulisset, ab Abalantio et Atzypotheodoro iussu Augustae trucidato. patriarcha igitur hanc palatio exigi iubet et in aliquam insulam deportari; relegari etiam Nicephori percussores, et conscindi libellum edicti quod ad confundendas res ecclesiasticas Nicephorus ediderat. statim igitur Tzimisca percussores istos exterres agit, et Theophanonem in Proconnesum relegat. unde postea occulte cum profugisset in magnum templum, exturbata eo a Basilio cubiculario in provinciam Armenicam est

Δαμιδος, ἐνυβρίσασα πρότερον εἰς τὸν βασιλέα πολλὰ καὶ εἰς τὸν Βασίλειον, Σκύθην καὶ βάρβαρον ἀποκαλέσασα καὶ κατὰ κόρρης αὐτῷ κονδύλους ἐπιτρίψασα. ἐξωρίσθη δὲ σὺν αὐτῇ καὶ ἡ ταύτης μήτηρ ἐν Μαντινείῳ. ἐνεχθεὶς δὲ ὁ τόμος ἐρράγη, καὶ τῇ ἐκκλησίᾳ ἐχαρίσθη ἡ προτέρα ἐλευθερία.

Τούτων οὖν πραχθέντων, ὑποσχομένου δὲ τοῦ Ἰωάννου καὶ P 665
εἰς ἐξίλασμα τῆς ἁμαρτάδος πένησι διανεῖμαι ἣν ἰδιωτεύων εἶχε περιουσίαν, ὁ Πολύευκτος ἐπιτρέπει τὴν εἴσοδον, καὶ κατὰ τὴν ἑορτὴν τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως εἰσελθόντα τοῦτον τῷ τῆς βασιλείας ἀναδεῖ διαδήματι. πολὺν δὲ σάλον καὶ ταραχὴν ἐχούσης τῆς βασιλείας ἔν τε τῇ ἕῳ καὶ τῇ ἑσπέρᾳ (αἵ τε γὰρ ληφθεῖσαι κατὰ τὴν Κιλικίαν καὶ Φοινίκην καὶ Κοίλην Συρίαν πόλεις τῶν Ἀγαρηνῶν, μὴ σχόντος τοῦ Νικηφόρου καιρὸν τὰ κατ' αὐτὰς διαθέσθαι καλῶς καὶ ἀσφαλίσασθαι, πρὸς ἀποστασίαν ἀπέβλεπον, καὶ ἡ τῶν Ῥὼς κίνησις οὐ καλῶς πρότερον ἐπὶ Βουλγάρους μελετηθεῖσα μέγιστον ἐπέσειε τοῖς πράγμασι κίνδυ- B
νον, καὶ λιμὸς ἐπὶ πέντε ὅλους ἐνιαυτοὺς τὴν Ῥωμαίων ἐπινεμόμενος σφόδρα τὰς πόλεις ἐπίεζε) διεσκοπεῖτο καὶ ἐμερίμνα πῶς ἂν τὰ τοιαῦτα θεραπευθείη κακὰ καὶ τὸ ἐξ αὐτῶν ἀποσκευασθείη ἐλπιζόμενον δέος. τέως δὲ τῆς πρὸς τῷ Ὀρόντῃ Ἀντιοχείας χηρευούσης ἀρχιερέως, Θεόδωρόν τινα προχειρίζεται μοναχόν, πᾶσι

1 δαμίδειαν C 2 ἀποκαλοῦσα C 4 μαρτινείῳ C 8 οὐσίαν C 9 τοῦ] τοῦ υἱοῦ τοῦ P 11 ἑσπερίῳ P 19 ἀποσκεδασθείη C 20 τῷ om C

deportata, in Damidis monasterium recens ab imperatore conditum, cum prius in imperatorem multa iecisset convicia et in Basilium, cui Scythae et barbari nomine compellato etiam pugnos ingesserat. mater quoque Theophanonis in Mantineum exsilii causa missa; edictique libellus prolatus et discerptus est, pristinaque ecclesiae libertas reddita.

His actis, Polyeuctus peccati expiandi gratia pollicitum se quidquid privatus possederat, in pauperes elargiturum, imperatorem in templum admittit, et feriis Christi nataliciis ingressum eo, diademate imperatorio redimit. eo tempore et in Occidente et in Oriente res imperii admodum conturbatae fluctuabant. nam et urbes Agarenis in Cilicia Phoenicia et Coelesyria ereptae, quod Nicephoro earum constituendarum atque muniendarum occasio praerepta fuit, ad defectionem spectabant; et Rossica adversum Bulgaros non recte excogitata prius concitatio magnum in periculum rem Romanam coniiciebat; et penuria quinque integros annos pressae urbes in summis erant difficultatibus. ea solicitum tenebant imperatorem, circumspicientem quodnam tantis malis remedium adhiberet, et rem publicam quam ea incutiebant liberaret. cum autem Antiochea ad Orontem fluvium sita aliquamdiu summo pontifice caruisset, ad id munus provehit imperator Theodorum quendam

κομῶντα τοῖς ἀγαθοῖς καὶ αὐτῷ προθεσπίσαντα τὴν ἀνάρρησιν, καὶ παρεγγυησάμενον μὴ ἐπισπεῦσαι ὡς τοῦ θεοῦ μέλλοντος αὐτὸν εἰς τὸ τῆς βασιλείας ὕψος ἀναβιβάσαι, ἢ μὴν γινώσκειν ὡς εἰ ὀλι- C γώρως διατεθεὶς ἐπιταχύνῃ τὴν τῆς βασιλείας κατάσχεσιν, τῆς ἑαυτοῦ ψυχῆς ἐπίβουλος ἔσται· ἀξιώσαντα δὲ καὶ τοὺς Μανιχαίους, τὴν ἑῴαν πᾶσαν ἐπινεμομένους καὶ λυμαινομένους τῇ μεταδόσει τῆς μυσαρᾶς αὐτῶν θρησκείας, πρὸς τὴν ἑσπέραν ἀποικίσαι καὶ εἴς τινα ἐσχατιὰν ἐγκατοικίσαι πανέρημον, ὃ καὶ πεποίηκεν ὕστερον, ἀπαναστήσας τούτους καὶ τῇ Φιλιππουπόλει ἐγκατοικίσας. ἐπὶ λ' δὲ καὶ ε' μόνας ἡμέρας μετὰ τὴν ἀναγόρευσιν καὶ ὁ Πολύευκτος ἐπιβιοὺς κατέλυσε τὴν ζωήν. καὶ προχειρίζεται ἀντ' αὐτοῦ πατριάρχης Βασίλειος μοναχὸς ὁ Σκαμανδρηνός, ἐπ' D ἀρετῆς τελειότητι μαρτυρούμενος. καὶ τὰ μὲν πολιτικὰ ἐφέρετο τῇδε.

Τῇ ἁλώσει δὲ τῆς Ἀντιοχείας καὶ τῶν λοιπῶν πόλεων, ἃς ἄνωθεν ἀπηριθμησάμεθα, περιαλγεῖς γεγονότες οἱ ἁπανταχοῦ γῆς ὄντες Ἀγαρηνοὶ καὶ τὰ λοιπὰ ἔθνη τὰ τὴν ὁμοίαν αὐτοῖς σέβοντα θρησκείαν, Αἰγύπτιοι Πέρσαι Ἄραβες Ἐλαμῖται καὶ οἱ τὴν Εὐδαίμονα λεγομένην οἰκοῦντες καὶ τὸ Σαβᾶ, συμφωνήσαντες καὶ ὁμαιχμίαν θέμενοι, δύναμιν πανταχόθεν ἠθροικότες μεγάλην καὶ ἡγεμονεύειν αὐτῆς τάξαντες Καρχηδονίους, Ζώχαρ ἔχοντας ἄρχοντα, πρακτικὸν ἄνδρα καὶ τὰ εἰς πολέμους δεινόν, ὡς ἂν ἀκριβεῖς καὶ ἐπιστήμονας τῶν τε κατὰ γῆν καὶ θάλατταν ἔργων, ἐξ-

3 μὴ C 5 ἔσεται C 6 ἕω C 9 μεταναστήσας C
17 σαρακηνοὶ C 22 ἐς C 23 θάλασσαν C

monachum, omnibus florentem bonis; qui ei etiam praedixerat imperio potiturum, deo ipsum ad hoc culmen elaturo, hortatusque fuerat ne praecipitanter ageret: alioqui si monitus suos sperneret, suae ipsius vitae se insidiatum fuisse intellecturum. contenderat etiam ab eo ut Manichaeos per totum Orientem serpentes et contagione suae impurae religionis omnia corrumpentes in Occidentem in desertam aliquam solitudinem deportaret; id quod postea temporis fecit imperator, eosque Philippopolin ex Oriente transtulit. Polyeuctus post Tzimiscae designationem tantum triginta quinque dies vixit. in eius locum suffectus Basilius monachus Scamandrenus, perfectae virtutis testimoniis clarus. is ergo tum rerum civilium fuit status.

At Agareni ubicunque terrarum degentes, aliaeque nationes eandem cum his religionem colentes, ut Aegyptii Persae Arabes Elamitae, et qui felicem Arabiam incolunt, Sabaeique, gravissimo ob amissam Antiocheam reliquasque urbes, quas supra recensui, dolore permoti foedus iciunt; magnisque undique contractis copiis, et Carthaginensibus, quod hi belli terra marique gerendi essent peritissimi, summa rei commissa, Zochare imperatore, viro apprime strenuo atque bellicoso, cum exercitu

ἦλθον κατὰ Ῥωμαίων, ὑφ' ἓν τὰς πάσας συναγαγόντες δυνάμεις, εἰς ἑκατὸν μαχίμων ἀνδρῶν χιλιάδας ἀριθμουμένας, καὶ τὴν κατὰ P 666 Δάφνην Ἀντιόχειαν καταλαβόντες ἐπολιόρκουν ἐπιμελῶς. γενναίως δὲ τῶν ἔνδον καὶ εὐψύχως τὴν πολιορκίαν ὑφισταμένων ἐπὶ μακρὸν ἐπετείνετο ἡ πολιορκία. ἀγγελθείσης δὲ τῆς τῶν ἐθνῶν συνόδου τῷ βασιλεῖ γράμματα ταχέως ἐπέμποντο πρὸς τὸν στρατηγὸν Μεσοποταμίας, τὰς ἐκεῖσε κελεύοντα δυνάμεις ἀθροῖσαι καὶ βοηθῆσαι ταχὺ τοῖς πολιορκουμένοις· ἔπεμψε δὲ καὶ ἄρχοντα τοῦ ὅλου στρατοῦ μετὰ καὶ δυνάμεων ἄλλων τὸν πατρίκιον Νικόλαον, ἕνα ὄντα τῶν ᾠκειωμένων αὐτῷ εὐνούχων, ὃς ταῖς λοιπαῖς προσμίξας δυνάμεσι, καὶ συμπλακεὶς τοῖς βαρβάροις μυριοπλασίοις οὖσιν, ἐτρέψατο λαμπρῶς καὶ ἐσκέδασεν ἐνὶ πολέμῳ, καὶ B τὰς ὑπὸ Ῥωμαίους οὔσας πόλεις ἐν τῷ ἀσφαλεῖ κατεστήσατο.

Τῷ ἔθνει δὲ τῶν Ῥὼς ὃν εἴπομεν τρόπον τὴν Βουλγαρίαν χειρωσαμένῳ, δοριαλώτους δὲ κατασχόντι καὶ τοὺς δύο υἱοὺς τοῦ Πέτρου Βορίσην καὶ Ῥωμανόν, οὐκέτι ἦν βουλητὸν ἡ ἐπ' οἴκου ὑποστροφή, ἀλλὰ τὴν τοῦ τόπου θαυμάσαντες εὐφυΐαν, μακρὰ χαίρειν εἰπόντες ταῖς πρὸς Νικηφόρον τὸν βασιλέα γενομέναις συνθήκαις, συμφέρον ἐνόμισαν αὐτοῖς μεῖναι κατὰ χώραν καὶ τῆς γῆς κυριεύειν. ἐνῆγε δὲ πρὸς τοῦτο πλέον αὐτοὺς καὶ ὁ Καλοκυρός, λέγων, εἰ παρ' αὐτῶν ἀναγορευθῇ βασιλεὺς Ῥωμαίων, αὐτὸς τῆς τε Βουλγαρίας ἐκστήσεται καὶ σπονδὰς ποιήσει διηνε- C κεῖς, καὶ τὰς συμφωνηθείσας δοθῆναι δόσεις αὐτοῖς παρέξει πολ-

5 προσεδρεία C 8 καὶ post δὲ om C 15 δορυαλώτους C
17 ἀλλὰ καὶ τὴν C 19 αὐτοῖς] εἶναι C

100000 bello idoneorum virorum in Romanos ducunt, et Antiocheam quae est ad Daphnem obsidione cingunt; quam diuturnam fecit obsessorum fortitudo atque magnanimitas. imperator ubi de barbarorum coitione est factus certior, illico praefectum Mesopotamiae colligere exercitum et obsessis subvenire scripto iubet. simul ducem toti exercitui praefuturum cum reliquis copiis mittit patricium Nicolaum, unum ex intimis suis eunuchis. is ubi se cum suis coniunxit, barbaros, tametsi eorum exercitus vix minimam partem suis copiis aequabat, illustri praelio fudit unaque pugna dissipavit, urbesque Romanis subditas tutas praestitit.

Ceterum Rossis, cum ii Bulgariam quo rettulimus modo subegissent, captis etiam duobus Petri filiis Borisa et Romano, domum reverti nequaquam placuit: sed locorum commoditatem admirati, longum vale dicentes pactis cum Nicephoro imperatore initis, ibi commorari dicionemque istam possidere statuerunt. hanc eorum sententiam magis etiam confirmavit Calocyrus, qui se, si ab ipsis Romanorum designaretur imperator, Bulgaria eis cessurum, foedus perpetuum icturum, tributum

λικὸν καὶ δημόσιον σῖτον προθέμενος δώδεκα τοῦ νομίσματος δίδοσθαι παρεκελεύσατο· οὗ τὴν προαίρεσιν ἀποδεξάμενος ὁ θεὸς εὐθηνίαν πολλὴν τοῖς ἀνθρώποις παρέσχετο. ἀλλὰ ταῦτα μὲν εἰς C ἔπαινον ἐκείνου ἐρρέθη· ὁ δὲ Νικηφόρος ἔχαιρε μᾶλλον ἢ ἐβοήθει θλιβομένους ὁρῶν τοὺς ὑπηκόους. καὶ οὐχ οὗτος μόνον, ἀλλὰ καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ, ταῖς καπηλείαις προσκείμενος τῶν εἰδῶν, πολλῶν καὶ ποικίλων δεινῶν τὴν οἰκουμένην ἐνέπλησεν. ὧν τὴν αἰσχροκέρδειαν εὐτραπέλως οἱ πολῖται διεκωμῴδουν. ἐξελθόντος γάρ ποτε τοῦ βασιλέως ἐν τῷ πεδίῳ ὥστε γυμνάσαι τὸν στρατόν, ἐπεί τις ἦλθε πολιὸς τὴν τρίχα καὶ ἐπειρᾶτο συναριθμηθῆναι τοῖς στρατιώταις, φησὶ πρὸς αὐτόν "σὺ δέ, ὦ ἄνθρωπε, γέρων ὢν πῶς τοῖς ἐμοῖς στρατιώταις ἐπείγῃ συναριθμηθῆναι;" ὁ δ' εὐστόχως ὑπολαβὼν "πολὺ δυνατώτερός εἰμι νῦν" D ἔφη "ἢ ὅτε ἤκμαζον." αὐτοῦ δὲ "καὶ πῶς;" ἐρομένου "ὅτι περ" ἔφη "τὸν τοῦ νομίσματος σῖτον πρότερον δυσὶν ἡμιόνοις ἐπιφορτίζων, ἐπὶ τῆς σῆς βασιλείας δύο νομισμάτων σῖτον ἀβαρῶς ἐπὶ τῶν ὤμων φέρω." συνεὶς οὖν τὴν εἰρωνείαν ἀνεχώρησε, μηδὲν ταραχθείς.

Οἱ δὲ Σαρακηνοὶ μετὰ τὸ ἁλῶναι τὰς ἐν Συρίᾳ καὶ Κιλικίᾳ πόλεις τὸν ἀρχιερέα τῶν Ἱεροσολύμων Ἰωάννην ζῶντα κατέκαυσαν ὡς ταῖς ὑποθήκαις αὐτοῦ τάχα μέλλοντος τοῦ Νικηφόρου ἀφίξεσθαι πρὸς αὐτούς, ἐνέπρησαν δὲ καὶ τὸν περικαλλῆ ναὸν τοῦ κυριακοῦ τάφου. τὸ δ' αὐτὸ τοῦτο πεποιήκασι καὶ οἱ Ἀντιοχεῖς,

7 εἰδῶν] δεινῶν C   23 πεποιήκασι om C

suo et publico frumento, duodecim modios aureo vendi iussit. quod eius factum probans deus fertilitatem est largitus. atque haec laudandi Basilii gratia dixi. at vero Nicephorus gaudebat potius affligi cernens subditos quam ut iis succurreret. idemque faciebat Leo frater ipsius cauponantibus annonam et merces mulieribus se dans, multisque et variis malis orbem terrarum implens. turpe illorum quaestus studium facete cives subsannaverunt. nam cum aliquando ad milites exercendos in campum progressus imperator cano cuidam, qui inter milites se adscribi petebat, diceret ecquid homo canus in militiam allegi peteret, apte is respondit se multo nunc validiorem esse quam adolescens fuisset. et qui hoc verum esset, interrogante imperatore, "eo" inquit, "quod olim uno aureo empto frumento duos onerabam asinos: te autem imperante, quantum duobus aureis emitur frumenti, haud gravate humeris porto." imperator dicterium sentiens abiit, nihil perturbatus.

Ceterum Saraceni amissis in Syria et Cilicia urbibus, Ioannem archiepiscopum Hierosolymae vivum combusserunt, quod suspicarentur eius instinctu Nicephorum ipsis bellum illaturum. incenderunt etiam pulcherrimum templum dominici sepulchri. eodem modo Antiocheni quo-

Χριστοφόρον τὸν αὐτῶν ἀνελόντες ἀρχιερέα. προσερρύησαν δὲ P 662
τῷ βασιλεῖ Γρηγόριος καὶ Παγκράτιος οἱ αὐτάδελφοι, τῆς ἑαυτῶν παραχωρήσαντες αὐτῷ χώρας τοῦ Ταρών· οὓς πατρικίους τιμήσας καὶ κτήμασιν ἐφιλοφρονήσατο πολυπροσόδοις. ἐγένετο δὲ καὶ ἡλίου ἔκλειψις τῇ κβ' τοῦ Δεκεμβρίου μηνός, περὶ τρίτην ὥραν, ὡς καὶ ἄστρα φανῆναι.

Ἡ δὲ βασιλὶς Θεοφανὼ ἀποστρεφομένη τὴν συνουσίαν τοῦ Νικηφόρου, τινὰ τῶν τοῦ Τζιμισκῆ μεταπεμψαμένη εἰσκαλεῖται τοῦτον ἐν τῷ ἰδίῳ οἴκῳ σχολάζοντα· ἔφθη γὰρ ὁ βασιλεὺς διά τινα ὑποψίαν παραλύσας τοῦτον τῆς τοῦ δομεστίκου ἀρχῆς καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀπρόϊτον εἶναι κελεύσας. διεπράξατο δὲ ἡ μοιχαλὶς B
καὶ γράμματα τοῦτον δέξασθαι τὴν κάθοδον ἐπιτρέποντα. καὶ ὁ πεμφθεὶς ἐκεῖθεν αὐτὸν ἀναλαβόμενος εἰς Χαλκηδόνα ἀφίκετο. καὶ τοῦ βασιλέως ὑπομνησθέντος εἰ δεῖ τοῦτον εἰσελθεῖν ἐν τῇ βασιλίδι, κἀκείνου προσμένειν μικρὸν ἐπιτρέψαντος, ἐκείνη νυκτὸς ια' τοῦ Δεκεμβρίου μηνός, ἰνδικτιῶνος ιγ', ἔτους ͵ςυοη', ἀποστείλασα ἄγει τοῦτον πρὸς τὸν κάτωθεν τοῦ παλατίου χειροποίητον λιμένα νυκτός, καὶ κοφίνῳ ἀνιμήσατο μετὰ πάντων τῶν περὶ αὐτόν· ἦσαν δὲ ὁ πατρίκιος Μιχαὴλ ὁ Βούρτζης καὶ Λέων ταξιάρχης ὁ Βαλάντιος καὶ τῶν τοῦ Τζιμισκῆ πιστικωτάτων ὁ C
Ἀτζηποθεόδωρος καὶ ἕτεροι δύο. οἵτινες ἀνελθόντες καὶ ξιφή-

1 Ῥοῦφον margo P 4 κτήσεσιν C 11 οἶκον C ὃν ἐκεῖθεν ὁ πεμφθεὶς ἀναλαβόμενος (διεπράξατο γὰρ — ἐπιτρέποντα) ἀφίκετο εἰς Χαλκηδόνα. C 17 τῶν παλατίων C 21 ἀτζυποθεόδωρος C

que Christophorum suum pontificem summum interfecerunt. ad imperatorem porro se contulerunt Gregorius et Pancratius fratres germani, eique suam dicionem, nomine Taron, concesserunt. quos ille patricia dignitate ornatos praediis reditus amplos habentibus donavit. die mensis Decembris 22, hora tertia, tantus fuit solis defectus ut astra quoque apparuerint.

Iam Theophano Augusta consuetudinem Nicephori aversans, Tzimiscam, eius familiarium ad se vocati cuiusdam ministerio, domo sua (in qua tum privatus degebat, ob suspicionem quandam domestici officio deiectus ab imperatore, et domi suae se continere neque usquam prodire iussus) evocat, adeoque literas etiam adultera ab imperatore obtinet, quibus in urbem is redire iuberetur. qui missus fuit, is Tzimiscam domo sua Chalcedonem adducit. cumque imperator submonitus utrum eum vellet Cpolin ingredi, eum aliquantulum exspectare iussisset, Theophano nocte, 11 Decembris, indictione 13, anno mundi 6478, missis suis Tzimiscam noctu ad portum manu confectum, qui est infra palatium, deducit, et impositum corbi cum sociis in palatium attrahit. erant cum eo Michaelus Burtza patricius, Leo Abalantius cohortis ductor, Atzypotheodorus Tzimiscae amicorum fidelissimus, ac duo alii.

ρεις εἰς τὸν τοῦ βασιλέως εἰσελθόντες κοιτῶνα, ἐπεὶ μὴ εὗρον αὐτὸν ἐν τῇ συνήθει κλίνῃ, φωραθῆναι ὑπονοήσαντες μικροῦ δεῖν ἑαυτοὺς κατεκρήμνισαν, εἰ μή που ἀνδράριόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος εὑρηκότες ὑπ' αὐτοῦ ὁδηγοῦνται. καὶ καταλαμβάνουσιν αὐτὸν ἐπ' ἐδάφους κείμενον καὶ στρωμνὴν ἔχοντα πῖλον κοκκοβαφῆ καὶ ἄρκτου δέρμα, ὅπερ λαβὼν ἦν παρὰ Μιχαὴλ μοναχοῦ τοῦ Μαλεΐνου, τοῦ θείου αὐτοῦ. τοῦτον ἄρτι πρὸς ὕπνον τραπέντα, καὶ μηδαμῶς ἐπαισθόμενον τῆς ἀφίξεως τῶν μελλόντων αὐτὸν ἀναιρεῖν, ὁ Τζιμισκῆς τῷ ποδὶ νύξας ἐξύπνισεν. ἐξυπνισθέντα
D δὲ καὶ τῆς δεξιᾶς χειρὸς τὸν ἀγκῶνα τῇ γῇ προσερείσαντα καὶ τὴν κεφαλὴν ἀνακουφίσαντα, ἐπιφέρει γυμνῷ τῷ ξίφει κατὰ τῆς κορυφῆς ἀσκεποῦς οὔσης (ἐπεπτώκει γὰρ ἐγειρομένου τὸ τῆς κεφαλῆς αὐτοῦ κάλυμμα) Λέων ὁ Ἀβαλάντιος γενναίαν πληγήν, καὶ διελαύνει μέσον τὸ κρανίον. εἶτα τῆς στρωμνῆς αὐτὸν ἀναστήσαντες ἄγουσι πρὸς τὸν Τζιμισκῆν ἐπὶ τῆς βασιλικῆς καθίσαντα κλίνης, καὶ πολλὰ παροινήσαντες καὶ κατονειδίσαντες καὶ δυσφημήσαντες εἰς αὐτὸν μηδὲν ἄλλο λέγοντα ἀλλ' ἢ "κύριε ἐλέησον" καὶ "θεοτόκε βοήθει," τελευταῖον ἐπεί περ κατεφωράθησαν παρὰ τῶν
P 663 προκοίτων τοῦ παλατίου καὶ συνίστατο ἐπ' αὐτοὺς πλῆθος ἀμυνομένων, ἀποσφάττουσι τοῦτον, καὶ τὴν κεφαλὴν ἀποτεμόντες διά τινος θυρίδος τοῖς εἰς βοήθειαν συντρέχουσι δεικνύουσι. καὶ οἱ μὲν οὕτω κατεστορέσθησαν, τοῖς δὲ περὶ τὸν Τζιμισκῆν καιρὸς ἐδόθη ἀδεῶς καὶ μετ' ἀδείας πάντα ποιεῖν.

6 ἄρκου C 13 βαλάντης C καιρίαν margo P 19 συνίσταται C 21 δεικνύουσι om C

ii cum in palatium essent sublevati, gladiis cincti imperatoris cubiculum intrant; cumque eum non invenirent in consueto lecto, detectas insidias esse suspicantes iam se ipsos erant praecipitaturi, nisi homuncio quidam obtigisset ex gynaeceo, quo duce in solo iacentem Nicephorum Phocam inveniunt, pro veste stragula habentem pileum cocco infectum et exuvium ursi, quod ab avunculo suo Michaelo monacho Maleino acceperat. recens imperator obdormiverat, neque percussorum adventum senserat. Tzimisces eum calce ictum e somno excitat: evigilanti dextraeque manus cubito terrae innitenti et caput attollenti Leo Abalantius stricto ense vulnus ingens in nudum caput (deciderat enim operculum capiti, dum se sublevaret) incutit, medio cranio dissecto. deinde eum a lecto auferentes ad Tzimiscam ducunt in sella imperatoria sedentem, multisque contumeliis et conviciis exagitant, nihil aliud dicentem quam "domine miserere, opitulare deipara." tandem cum res excubitoribus palatii innotuisset, et multitudo ad defendendum imperatorem accurreret, Nicephorum iugulant, caputque eius resectum defensoribus per fenestram ostendunt. hoc pacto iis sedatis, Tzimiscae libere quae vellet agendi occasio data.

Λέγεται δὲ ὅτι πρὸ δέκα ἡμερῶν τοῦ θανάτου αὐτοῦ ἔγγραφον εὗρεν ὁ βασιλεύς, ἐρριμμένον ἐν τῷ κοιτῶνι αὐτοῦ καὶ μηνῦον ἀσφαλίσασθαι ἑαυτὸν ὡς ἐπιβουλευόμενον ὑπὸ τοῦ Τζιμισκῆ. καί τινα δὲ κληρικόν φασι κατὰ τὴν ἑσπέραν τῆς ἀναιρέσεως δεδωκέναι αὐτῷ γράμμα περιέχον πρὸς ἔπος ταῦτα "ὦ βασιλεῦ, ἀσφάλισαι σεαυτόν· κίνδυνος γάρ σοι κατὰ ταύτην τὴν νύκτα οὐ μικρὸς ἀρτύεται." τὸ δὲ γραμμάτιον ἄλλοι μὲν λέγουσιν ὡς ὑπολαβὼν ὁ B βασιλεὺς δεητήριον εἶναι οὐκ ἀνέγνω τοῦτο, ἄλλοι δ' ὅτι ἀνέγνω μέν, ἀλλ' ἠμέλησε τῆς ἑαυτοῦ φυλακῆς, τοῦ χρεὼν ἐμποδίσαντος, ἀποθανόντος δὲ τούτου εὑρέθη ἔχον τὰ γεγραμμένα. ἄλλοι δ' ὅτι ἀναγνοὺς ἐπέτρεψε τὴν ζήτησιν καὶ φυλακὴν τῷ πρωτοβεστιαρίῳ, ἔγραψε δὲ καὶ τῷ ἀδελφῷ Λέοντι ἐπ' οἴκου διάγοντι λαὸν ἔνοπλον εἰληφέναι καὶ φοιτῆσαι τὴν ταχίστην πρὸς τὸ παλάτιον. τοῦτο δὲ διακομισθὲν ἐκεῖνος δεξάμενος, καὶ μηδ' ἀνελίξας (ἔτυχε γὰρ κυβεύων μετά τινων καὶ δαιμονίως τῇ παιδιᾷ χρώμενος) ἔθετο ἐν τῇ ἑαυτοῦ κλίνῃ ὑπὸ τὴν τύλην. ἄρτι δὲ τοῦ παιγνίου διαλυθέν- C τος τὸ γραμμάτιον ἐπελθὼν καὶ τὸν ἐγκείμενον νοῦν συνεὶς τῶν γραφέντων, δύναμιν ὡς ὁ καιρὸς ἀπῄτει συνηθροικὼς ἀπῄει πρὸς τὰ βασίλεια. γενόμενος δὲ κατὰ τὴν ἐν τῷ ἱπποδρομίῳ σφενδόνην ἤκουσέ τινων διαλεγομένων πρὸς ἀλλήλους ὡς ἄρα εἴη Νικηφόρος ἀνῃρημένος ὁ βασιλεύς, ἤκουσε δὲ καὶ τῶν ἐν τῷ παλατίῳ καὶ τοῖς στενωποῖς ἀνευφημούντων τὸν Ἰωάννην. τῷ ἀνελπίστῳ δὲ κατα-

4 φασι om C   5 πρὸς] ὡς C   6 μικρῶς ἀνύεται C
19 ἱπποδρόμῳ C   21 ἐν ταῖς πλατείαις καὶ ταῖς ὁδοῖς C

Ferunt decem diebus antequam interficeretur, Nicephorum in suo cubiculo invenisse libellum, cuius scriptura monebatur ut sibi caveret: nam a Tzimisca ipsi insidias fieri. quendam etiam clericum perhibent vesperi, qua nocte deinde periit, literas ei exhibuisse in quibus haec continerentur "muni te ipsum, imperator: nam hac nocte tibi periculum haud leve impendet." eas literas alii tradunt imperatorem non legisse, opinatum eo petitionem aliquam contineri. alii legisse aiunt, sed sui custodiendi rationem non duxisse ullam, fato impeditum; easque literas ipso occiso inventas fuisse. non desunt qui iis lectis imperatorem asserant inquisitionem et custodiae munus protovestiario mandasse; simulque fratri suo Leoni domi suae degenti scripsisse ut cum armata manu ad palatium celerrime veniat. Leonem literas acceptas non aperuisse, quod tum forte talis cum aliquo certaret et impensissime isto ludicro delectaretur, sed eas in sui lectuli sponda deposuisse. ludo finito statim legisse, et percepta sententia coegisse quantam res ferret manum, ac ad palatium contendisse. sed cum ad Fundam Circi venisset, audisse quosdam inter se de interfecto imperatore Nicephoro colloquentes, nec non et in palatio et angiportis Tzimiscam imperatorem proclamantium voces percepisse; itaque re insperata consternatum nihil magnani-

πλαγείς, καὶ μηδὲν ἐννοήσας γενναῖον, ἢ τάχους εἶχε σὺν τῷ υἱῷ Νικηφόρῳ τῇ μεγάλῃ προσέρχεται ἐκκλησίᾳ. καὶ τὰ μὲν λεγό-
D μενα ταῦτα· εἰ δὲ ἀληθῶς ἢ ψευδῶς, οὐκ ἔχω λέγειν. θνήσκει δ' ὅμως ὁ Νικηφόρος ἔνδον τοῦ παλατίου κατεργασθείς.

4 post κατεργασθεὶς C: πεντήκοντα καὶ ἑπτὰ ἐτῶν ὢν τηνικαῦτα. τῇ δὲ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας προστάξει τοῦ Ἰωάννου πρὸς ἑσπέραν βαθεῖαν τῇ ὁσίᾳ παρεπέμφθη· θήκῃ γὰρ ξυλίνῃ, ὡς ἔτυχεν, αὐτὸν περιστείλαντες εἰς τὸν θεῖον τῶν ἀποστόλων σηκὸν μέσον νυκτῶν αὐτὸν ἐξεκόμισαν καὶ κατὰ τὸ ἡρῷον ἔνθα τὸ τοῦ θείου καὶ ἀοιδίμου Κωνσταντίνου σῶμα κατάκειται ἐν μιᾷ τῶν βασιλικῶν σορῶν ἐκήδευσαν. τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν. ὄψις αὐτῷ πρὸς τὸ μέλαν πλέον ἢ τὸ λευκὸν ἀποκλίνουσα, κόμη βαθεῖα καὶ κυανή, ὀφθαλμοὶ μέλανες ἐπὶ συννοίας πεφροντικότες, δασείαις ταῖς ὀφρύσιν ὑποκαθήμενοι. ῥὶς μέσον ἔχουσα λεπτότητός τε καὶ παχύτητος, ἠρέμα συμπεραινομένη γρυπότητι. ὑπήνη σύμμετρος, ἀραιὰν παρὰ τὰς γνάθους προβαλλομένη τὴν πολιάν. ἀγκυλαῖος τὴν ἡλικίαν καὶ στιβαρός, εὐρύτατος τὸ στέρνον καὶ ὤμους ὡς μάλιστα, τὴν μέντοι ἀνδρίαν καὶ ῥώμην κατὰ τὸν θρυλλούμενον Ἡρακλῆν. φρονήσει δὲ καὶ σωφροσύνῃ πάντων κατευμεγέθει τῶν κατ' ἐκείνην τὴν γενεὰν γεγενημένων ἀνδρῶν. ἐν δὲ τῇ σορῷ αὐτοῦ ὁ Μελιτηνῆς μητροπολίτης Ἰωάννης ταῦτα ἐπέγραφε·

τὸν ἀνδράσι πρὶν καὶ τομώτερον ξίφους
πάρεργον οὗτος καὶ γυναικὸς καὶ ξίφους.
ὃς τῷ κράτει πρὶν γῆς ὅλης εἶχε κράτος,
ὥσπερ μικρὸς γῆς μικρὸν ᾤκησε μέρος.
τὸν πρὶν σεβαστόν, ὡς δοκῶ, καὶ θηρίοις,
ἀνεῖλεν ἡ σύγκοιτος ἓν δοκοῦν μέλος.
ὁ μηδὲ νυξὶ μικρὸν ὑπνώττειν θέλων
ἐν τῷ τάφῳ νῦν μακρὸν ὑπνώττει χρόνον.
θέαμα πικρόν. ἀλλ' ἀνάστα νῦν, ἄναξ,
καὶ τύπτε πεζούς, ἱππότας, τοξοκράτας
τὸ σὸν στράτευμα, τὰς φάλαγγας, τοὺς λόχους.
ὁρμᾷ καθ' ἡμῶν Ῥωσικὴ πανοπλία,
Σκυθῶν ἔθνη σφύζουσιν εἰς φονουργίας,
λεηλατοῦσι πᾶν ἔθνος τὴν σὴν πόλιν,
οὓς ἐπτόει πρὶν καὶ γεγραμμένος τύπος
πρὸ τῶν πυλῶν σὸς ἐν πόλει Βυζαντίου.
ναί, μὴ παρόψει ταῦτα· ῥῖψον τὸν λίθον
τόν σε κρατοῦντα, καὶ λίθοις τὰ θηρία
τὰ τῶν ἐθνῶν δίωκε· δὸς δὲ καὶ πέτρας
στηριγμὸν ἡμῖν ἀρραγεστάτην βάσιν.
εἰ δ' οὐ προκύψαι τοῦ τάφου μικρὸν θέλεις,
κἂν ῥῆξον ἐκ γῆς ἔθνεσιν φωνὴν μόνην·
ἴσως σκορπίσῃ ταῦτα καὶ τρέψει μόνη.
εἰ δ' οὐδὲ τοῦτο, τῷ τάφῳ τῷ σῷ δέχου
σύμπαντας ἡμᾶς· ὁ νεκρὸς γὰρ ἀρκέσῃ
σώζειν τὰ πλήθη τῶν ὅλων χριστωνύμων.
ὦ πλὴν γυναικὸς τὰ δ' ἄλλα Νικηφόρος.
ἀλλὰ ταῦτα μὲν οὕτω συντίθεται.

mum cogitasse, sed illico cum filio Nicephoro in magnum templum confugisse. atque haec memoria prodita sunt: verene an falso, non pronuntio. id quidem liquet, Nicephorum in palatio fuisse interfectum.

Ἰωάννης δὲ ὁ Τζιμισκῆς τῆς Ῥωμαίων ἀρχῆς ἀποθανόντος τοῦ Νικηφόρου ἀνεδέξατο τὰς φροντίδας, συμβασιλεύοντας ἔχων Βασίλειον καὶ Κωνσταντῖνον τοὺς υἱοὺς Ῥωμανοῦ, ὧν ὁ μὲν Βασίλειος ἕβδομον εἷλκε τῆς ἡλικίας ἔτος, ἅτερος δὲ ὁ Κωνσταντῖνος πέμπτον. εὐθὺς οὖν Βασίλειον τὸν παρακοιμώμενον, ὃν Νικηφόρος ὁ βασιλεὺς οὐ μικρὰ συμβαλόμενον αὐτῷ πρὸς τὴν τῆς βασιλείας κατάσχεσιν πρόεδρον τετίμηκε, μή πω πρότερον ὄντος τοῦ ἀξιώματος, πρώτου δ' αὐτὸ τοῦτο ἐφευρηκότος, νυκτὸς μεταπεμψάμενος κοινωνὸν τῆς ἀρχῆς προσελάβετο, ἅτε ἐν πολλοῖς χρόνοις τά τε πολιτικὰ μετελθόντα ἐπὶ τοῦ οἰκείου πατρὸς Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τοῦ πορφυρογεννήτου τοῦ P 664 γαμβροῦ αὐτοῦ, καὶ πλειστάκις κατὰ τῶν Ἀγαρηνῶν ἐκστρατεύσαντα, καὶ δυσχερείαις πραγμάτων εἰδότα εὐφυῶς προσαρμόζεσθαι. ὃς εὐθὺς τὴν ἐπιτροπὴν εἰληφὼς τῶν πραγμάτων πάντας τοὺς εὔνοιαν τῷ Νικηφόρῳ φυλάττοντας ἐκ μέσου πεποίηκε, Λέοντα μὲν τὸν κουροπαλάτην ἐν Λέσβῳ περιορίσας καὶ Νικηφόρον Βέστην τὸν τούτου υἱὸν ἐν τῇ Ἴμβρῳ, Βάρδαν δὲ τὸν νεώτερον δοῦκα τότε Χαλδίας καὶ Κολωνείας τυγχάνοντα τὴν ἀρχὴν ἀφελόμενος ἐν Ἀμασείᾳ παρέπεμψε. καὶ τοὺς ἄλλους δὲ ὅσοι πολιτικὰς ἢ στρατιωτικὰς μετήεσαν ἀρχὰς τῶν ἀρχῶν παραλύσας, B τοὺς οἰκείους ἐπέστησε καὶ τῷ νέῳ βασιλεῖ φυλάττοντας εὔνοιαν. τοῖς τότε δὲ παρὰ τοῦ Νικηφόρου φυγαδευθεῖσι κάθοδον ἐπιτρέπει, καὶ πρό γε τῶν ἄλλων τοῖς ἀρχιερεῦσι, τῷ μὴ θέλειν ὑπο-

3 υἱεῖς C 6 αὐτοῦ C 8 αὐτοῦ an τούτου? 13 δυσχερείας C προσαρμοζόμενον C 17 βάρδα C 19 post παρέπεμψε C γράμμασι 21 τοὺς om C 22 τότε δὲ] τε C

Ioannes Tzimiscas hoc sublato imperium iniit, adhibitis collegis Basilio et Constantino Romani filiis, quorum hic quintum, ille septimum aetatis annum agebat. initio statim imperii Basilium, cubicularium intimum, quem Nicephorus ab eo in occupando imperio non leviter adiutus novo nomine novi magistratus instituto praesidem creaverat, noctu ad se vocatum rerum gerendarum socium adsciscit, quippe et longo tempore in re publica versatum, sub patre Romano seniore, et Constantino Porphyrogenito sororis suae marito, et qui saepissime rem contra Agarenos gesserat, et rebus arduis scite se accommodare callebat. is Basilius, ut primum tractandarum rerum munus occepit, omnes Nicephoro studentes e medio submovet. Leonem curopalatam in Lesbum, Nicephorum Bestam eius filium Imbrum, Bardam Ducae filium iuniorem, qui tum Chaldiae et Coloniae praeerat, abrogato magistratu Amasiam relegat, aliosque vel civiles vel bellicos magistratus gerentes in ordinem redigit, in eorumque loca substituit familiares suos, et quos novo imperatori fidos nosset. reditus etiam decretus iis quos Nicephorus solum vertere iusserat, pontificibus praecipue primariis; quibus ostendimus id

γράψαι τῷ τόμῳ ὃν εἰς κατατομὴν καὶ ὕβριν ἐφεῦρε τῆς ἐκκλησίας, ἐκεῖνος ἐξορισθεῖσιν, ὡς ἤδη φθάσας ὁ λόγος ἱστόρησεν.

Οὕτω δὲ τῶν πραγμάτων οἰκονομηθέντων, κατὰ τὴν αὐτὴν νύκτα πάσης ὑποψίας ἀπολυθεὶς ἄπεισι μετ' ὀλίγων ὁ βασιλεὺς εἰς τὴν μεγάλην ἐκκλησίαν, χερσὶ τοῦ πατριάρχου λαβεῖν βουλόμενος τὸ διάδημα. ὃν ἐλθόντα εἰσελθεῖν οὐκ εἴασεν ὁ Πολύευκτος, μὴ
C ἄξιον εἶναι φήσας ἐπιβῆναι θείου ναοῦ νεαρῷ καὶ ἀτμίζοντι ἔτι τῷ συγγενικῷ αἵματι σταζομένας τὰς χεῖρας ἔχοντα, ἀλλὰ σπεῦσαι ἔργα μετανοίας ἐνδείξασθαι, καὶ οὕτως ἐφίεσθαι πατεῖν ἔδαφος οἴκου κυρίου. τοῦ δὲ Ἰωάννου ἠπίως δεξαμένου τὴν ἐπιτίμησιν καὶ πάντα πρᾶξαι μετ' εὐπειθείας ἐπαγγειλαμένου, ἀπολογισαμένου δ' ὅτι καὶ αὐτόχειρ οὐκ αὐτὸς ἐγένετο τοῦ Νικηφόρου ἀλλ' ὁ Βαλάντιος καὶ ὁ Ἀτζυποθεόδωρος ἐπιτροπῇ τῆς δεσποίνης, ταύτην μὲν ὁ πατριάρχης προσέταττε τῶν ἀνακτόρων κατενεχθῆναι καὶ ἔν τινι νήσῳ περιορισθῆναι, ἐξοστρακισθῆναι δὲ καὶ τοὺς τοῦ Νικηφόρου αὐτόχειρας, διαρραγῆναι δὲ καὶ τὸν τόμον ὃν ἐπὶ συγχύσει τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ Νικηφόρος ἐξέθετο. εὐ-
D θέως οὖν ὁ Ἰωάννης ἐκείνους τε ἐξῶσε τῆς πόλεως καὶ τὴν Θεοφανὼ ἐν Προικοννήσῳ ἐξώρισεν. ἥτις ἐκεῖθεν ὕστερον λάθρᾳ φυγοῦσα καὶ τῇ μεγάλῃ προσφυγοῦσα ἐκκλησίᾳ, διὰ τοῦ παρακοιμωμένου Βασιλείου ἐκβληθεῖσα ἐν τῷ θέματι τῶν Ἀρμενιακῶν ἐξωρίσθη εἰς τὴν παρὰ τοῦ βασιλέως νεουργηθεῖσαν μονὴν τὴν

1 τῆς ἐκκλησίας ἐξεῦρε C 2 ἤδη om C 11 ἀπολογησαμένου C 13 βαλάντζης C, ἀβαλάντιος P 19 ὕστερον om C

evenisse, quod constitutioni ab eo spoliandae ac contumelia afficiendae ecclesiae causa factae noluissent subscribere.

Rebus hoc modo constitutis, ea ipsa nocte omni liberatus suspicione Tzimisca, paulo post in magnum templum se confert, ut manu patriarchae diadema sibi imponatur. verum eum Polyeuctus non admittit, non licere inquiens templo subire eum cuius manus adhuc recenti cognati cruore stillarent atque fumarent. operam daret uti poenitentiae officia praestaret: ita demum permissum iri ut solum domus dei calcet. eam obiurgationem placide fert Tzimisca, promittens se omnia obedienter facturum, se quoque purgans ut qui manus Nicephoro non intulisset, ab Abalantio et Atzypotheodoro iussu Augustae trucidato. patriarcha igitur hanc palatio exigi iubet et in aliquam insulam deportari; relegari etiam Nicephori percussores, et conscindi libellum edicti quod ad confundendas res ecclesiasticas Nicephorus ediderat. statim igitur Tzimisca percussores istos exterres agit, et Theophanonem in Proconnesum relegat. unde postea occulte cum profugisset in magnum templum, exturbata eo a Basilio cubiculario in provinciam Armeniacam est

Δαμιδος, ἐνυβρίσασα πρότερον εἰς τὸν βασιλέᾱ πολλὰ καὶ εἰς τὸν Βασίλειον, Σκύθην καὶ βάρβαρον ἀποκαλέσασα καὶ κατὰ κόρρης αὐτῷ κονδύλους ἐπιτρίψασα. ἐξωρίσθη δὲ σὺν αὐτῇ καὶ ἡ ταύτης μήτηρ ἐν Μαντινείῳ. ἐνεχθεὶς δὲ ὁ τόμος ἐρράγη, καὶ τῇ ἐκκλησίᾳ ἐχαρίσθη ἡ προτέρα ἐλευθερία.

Τούτων οὖν πραχθέντων, ὑποσχομένου δὲ τοῦ Ἰωάννου καὶ P 665 εἰς ἐξίλασμα τῆς ἁμαρτάδος πένησι διανεῖμαι ἣν ἰδιωτεύων εἶχε περιουσίαν, ὁ Πολύευκτος ἐπιτρέπει τὴν εἴσοδον, καὶ κατὰ τὴν ἑορτὴν τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως εἰσελθόντα τοῦτον τῷ τῆς βασιλείας ἀναδεῖ διαδήματι. πολὺν δὲ σάλον καὶ ταραχὴν ἐχούσης τῆς βασιλείας ἔν τε τῇ ἕῳ καὶ τῇ ἑσπέρᾳ (αἵ τε γὰρ ληφθεῖσαι κατὰ τὴν Κιλικίαν καὶ Φοινίκην καὶ Κοίλην Συρίαν πόλεις τῶν Ἀγαρηνῶν, μὴ σχόντος τοῦ Νικηφόρου καιρὸν τὰ κατ᾽ αὐτὰς διαθέσθαι καλῶς καὶ ἀσφαλίσασθαι, πρὸς ἀποστασίαν ἀπέβλεπον, καὶ ἡ τῶν Ῥῶς κίνησις οὐ καλῶς πρότερον ἐπὶ Βουλγάρους μελετηθεῖσα μέγιστον ἐπέσειε τοῖς πράγμασι κίνδυνον, B καὶ λιμὸς ἐπὶ πέντε ὅλους ἐνιαυτοὺς τὴν Ῥωμαίων ἐπινεμόμενος σφόδρα τὰς πόλεις ἐπίεζε) διεσκοπεῖτο καὶ ἐμερίμνα πῶς ἂν τὰ τοιαῦτα θεραπευθείη κακὰ καὶ τὸ ἐξ αὐτῶν ἀποσκευασθείη ἐλπιζόμενον δέος. τέως δὲ τῆς πρὸς τῷ Ὀρόντῃ Ἀντιοχείας χηρευούσης ἀρχιερέως, Θεόδωρόν τινα προχειρίζεται μοναχόν, πᾶσι

1 δαμίδειαν C 2 ἀποκαλοῦσα C 4 μαρτινείω C 8 οὐσίαν C 9 τοῦ] τοῦ υἱοῦ τοῦ P 11 ἑσπερίῳ P 19 ἀποσκεδασθείη C 20 τῷ om C

deportata, in Damidis monasterium recens ab imperatore conditum, cum prius in imperatorem multa iecisset convicia et in Basilium, cui Scythae et barbari nomine compellato etiam pugnos ingesserat. mater quoque Theophanonis in Mantineum exsilii causa missa; edictique libellus prolatus et discerptus est, pristinaque ecclesiae libertas reddita.

His actis, Polyeuctus peccati expiandi gratia pollicitum se quidquid privatus possederat, in pauperes elargiturum, imperatorem in templum admittit, et feriis Christi nataliciis ingressum eo, diademate imperatorio redimit. eo tempore et in Occidente et in Oriente res imperii admodum conturbatae fluctuabant. nam et urbes Agarenis in Cilicia Phoenicia et Coelesyria ereptae, quod Nicephoro earum constituendarum atque muniendarum occasio praerepta fuit, ad defectionem spectabant; et Rossica adversum Bulgaros non recte excogitata prius concitatio magnum in periculum rem Romanam coniiciebat; et penuria quinque integros annos pressae urbes in summis erant difficultatibus. ea solicitum tenebant imperatorem, circumspicientem quonam tantis malis remedium adhiberet, et rem publicam quam ea incutiebant liberaret. cum autem Antiochea ad Orontem fluvium sita aliquamdiu summo pontifice caruisset, ad id munus provehit imperator Theodorum quendam

κομῶντα τοῖς ἀγαθοῖς καὶ αὐτῷ προθεσπίσαντα τὴν ἀνάρρησιν,
καὶ παρεγγυησάμενον μὴ ἐπισπεῦσαι ὡς τοῦ θεοῦ μέλλοντος αὐτὸν
εἰς τὸ τῆς βασιλείας ὕψος ἀναβιβάσαι, ἢ μὴν γινώσκειν ὡς εἰ ὀλι-
C γώρως διατεθεὶς ἐπιταχύνῃ τὴν τῆς βασιλείας κατάσχεσιν, τῆς
ἑαυτοῦ ψυχῆς ἐπίβουλος ἔσται· ἀξιώσαντα δὲ καὶ τοὺς Μανι-
χαίους, τὴν ἑῴαν πᾶσαν ἐπινεμομένους καὶ λυμαινομένους τῇ με-
ταδόσει τῆς μυσαρᾶς αὐτῶν θρησκείας, πρὸς τὴν ἑσπέραν ἀποι-
κίσαι καὶ εἴς τινα ἐσχατιὰν ἐγκατοικίσαι πανέρημον, ὃ καὶ πεποίη-
κεν ὕστερον, ἀπαναστήσας τούτους καὶ τῇ Φιλιππουπόλει ἐγκατ-
οικίσας. ἐπὶ λʹ δὲ καὶ εʹ μόνας ἡμέρας μετὰ τὴν ἀναγόρευσιν
καὶ ὁ Πολύευκτος ἐπιβιοὺς κατέλυσε τὴν ζωήν. καὶ προχειρίζεται
ἀντ' αὐτοῦ πατριάρχης Βασίλειος μοναχὸς ὁ Σκαμανδρηνός, ἐπ'
D ἀρετῆς τελειότητι μαρτυρούμενος. καὶ τὰ μὲν πολιτικὰ ἐφέρετο
τῇδε.

Τῇ ἁλώσει δὲ τῆς Ἀντιοχείας καὶ τῶν λοιπῶν πόλεων, ἃς ἄνωθεν ἀπηριθμησάμεθα, περιαλγεῖς γεγονότες οἱ ἁπανταχοῦ γῆς ὄντες Ἀγαρηνοὶ καὶ τὰ λοιπὰ ἔθνη τὰ τὴν ὁμοίαν αὐτοῖς σέβοντα θρησκείαν, Αἰγύπτιοι Πέρσαι Ἄραβες Ἐλαμῖται καὶ οἱ τὴν Εὐδαίμονα λεγομένην οἰκοῦντες καὶ τὸ Σαβᾶ, συμφωνήσαντες καὶ ὁμαιχμίαν θέμενοι, δύναμιν πανταχόθεν ἠθροικότες μεγάλην καὶ ἡγεμονεύειν αὐτῆς τάξαντες Καρχηδονίους, Ζώχαρ ἔχοντας ἄρχοντα, πρακτικὸν ἄνδρα καὶ τὰ εἰς πολέμους δεινόν, ὡς ἂν ἀκριβεῖς καὶ ἐπιστήμονας τῶν τε κατὰ γῆν καὶ θάλατταν ἔργων, ἐξ-

3 μὴ C   5 ἔσεται C   6 ἕω C   9 μεταναστήσας C
17 σαρακηνοὶ C   22 ἐς C   23 θάλασσαν C

monachum, omnibus florentem bonis; qui ei etiam praedixerat imperio potiturum, deo ipsum ad hoc culmen elaturo, hortatusque fuerat ne praecipitanter ageret: alioqui si monitus suos sperneret, suae ipsius vitae se insidiatum fuisse intellecturum. contenderat etiam ab eo ut Manichaeos per totum Orientem serpentes et contagione suae impurae religionis omnia corrumpentes in Occidentem in desertam aliquam solitudinem deportaret; id quod postea temporis fecit imperator, eosque Philippopolin ex Oriente transtulit. Polyeuctus post Tzimiscae designationem tantum triginta quinque dies vixit. in eius locum suffectus Basilius monachus Scamandrenus, perfectae virtutis testimoniis clarus. is ergo tum rerum civilium fuit status.

At Agareni ubicunque terrarum degentes, aliaeque nationes eandem cum his religionem colentes, ut Aegyptii Persae Arabes Elamitae, et qui felicem Arabiam incolunt, Sabaeique, gravissimo ob amissam Antiocheam reliquasque urbes, quas supra recensui, dolore permoti foedus iciunt; magnisque undique contractis copiis, et Carthaginensibus, quod hi belli terra marique gerendi essent peritissimi, summa rei commissa, Zochare imperatore, viro apprime strenuo atque bellicoso, cum exercitu

ἦλθον κατὰ Ῥωμαίων, ὑφ' ἓν τὰς πάσας συναγαγόντες δυνάμεις, εἰς ἑκατὸν μαχίμων ἀνδρῶν χιλιάδας ἀριθμουμένας, καὶ τὴν κατὰ P 666 Δάφνην Ἀντιόχειαν καταλαβόντες ἐπολιόρκουν ἐπιμελῶς. γενναίως δὲ τῶν ἔνδον καὶ εὐψύχως τὴν πολιορκίαν ὑφισταμένων ἐπὶ μακρὸν ἐπετείνετο ἡ πολιορκία. ἀγγελθείσης δὲ τῆς τῶν ἐθνῶν συνόδου τῷ βασιλεῖ γράμματα ταχέως ἐπέμποντο πρὸς τὸν στρατηγὸν Μεσοποταμίας, τὰς ἐκεῖσε κελεύοντα δυνάμεις ἀθροῖσαι καὶ βοηθῆσαι ταχὺ τοῖς πολιορκουμένοις· ἔπεμψε δὲ καὶ ἄρχοντα τοῦ ὅλου στρατοῦ μετὰ καὶ δυνάμεων ἄλλων τὸν πατρίκιον Νικόλαον, ἕνα ὄντα τῶν ᾠκειωμένων αὐτῷ εὐνούχων, ὃς ταῖς λοιπαῖς προσμίξας δυνάμεσι, καὶ συμπλακεὶς τοῖς βαρβάροις μυριοπλασίοις οὖσιν, ἐτρέψατο λαμπρῶς καὶ ἐσκέδασεν ἐνὶ πολέμῳ, καὶ B τὰς ὑπὸ Ῥωμαίους οὔσας πόλεις ἐν τῷ ἀσφαλεῖ κατεστήσατο.

Τῷ ἔθνει δὲ τῶν Ῥῶς ὃν εἴπομεν τρόπον τὴν Βουλγαρίαν χειρωσαμένῳ, δοριαλώτους δὲ κατασχόντι καὶ τοὺς δύο υἱοὺς τοῦ Πέτρου Βορίσην καὶ Ῥωμανόν, οὐκέτι ἦν βουλητὸν ἡ ἐπ' οἴκου ὑποστροφή, ἀλλὰ τὴν τοῦ τόπου θαυμάσαντες εὐφυΐαν, μακρὰ χαίρειν εἰπόντες ταῖς πρὸς Νικηφόρον τὸν βασιλέα γενομέναις συνθήκαις, συμφέρον ἐνόμισαν αὐτοῖς μεῖναι κατὰ χώραν καὶ τῆς γῆς κυριεύειν. ἐνῆγε δὲ πρὸς τοῦτο πλέον αὐτοὺς καὶ ὁ Καλοκυρός, λέγων, εἰ παρ' αὐτῶν ἀναγορευθῇ βασιλεὺς Ῥωμαίων, αὐτὸς τῆς τε Βουλγαρίας ἐκστήσεται καὶ σπονδὰς ποιήσει διηνε- C κεῖς, καὶ τὰς συμφωνηθείσας δοθῆναι δόσεις αὐτοῖς παρέξει πολ-

5 προσεδρεία C 8 καὶ post δὲ om C 15 δορυαλώτους C
17 ἀλλὰ καὶ τὴν C 19 αὐτοῖς] εἶναι C

100000 bello idoneorum virorum in Romanos ducunt, et Antiocheam quae est ad Daphnem obsidione cingunt; quam diuturnam fecit obsessorum fortitudo atque magnanimitas. imperator ubi de barbarorum coitione est factus certior, illico praefectum Mesopotamiae colligere exercitum et obsessis subvenire scripto iubet. simul ducem toti exercitui praefuturum cum reliquis copiis mittit patricium Nicolaum, unum ex intimis suis eunuchis. is ubi se cum suis coniunxit, barbaros, tametsi eorum exercitus vix minimam partem suis copiis aequabat, illustri praelio fudit unaque pugna dissipavit, urbesque Romanis subditas tutas praestitit.

Ceterum Rossis, cum ii Bulgariam quo rettulimus modo subegissent, captis etiam duobus Petri filiis Borisa et Romano, domum reverti nequaquam placuit: sed locorum commoditatem admirati, longum vale dicentes pactis cum Nicephoro imperatore initis, ibi commorari dicionemque istam possidere statuerunt. hanc eorum sententiam magis etiam confirmavit Calocyrus, qui se, si ab ipsis Romanorum designaretur imperator, Bulgaria eis cessurum, foedus perpetuum icturum, tributum

λαπλασίως, καὶ συμμάχους ἕξει καὶ φίλους αὐτοὺς διὰ βίου. οἷς τισὶ ῥήμασι χαυνωθέντες οἱ Ῥῶς τῆς τε Βουλγαρίας ὡς δορικτήτου ἀντεποιοῦντο κτήματος, καὶ διαπρεσβευσάμενον τὸν βασιλέα καὶ ὑποσχόμενον ἐπιτελέσειν ἅπαντα τὰ τῷ Νικηφόρῳ ἐπηγγελμένα οὐ προσεδέξαντο, ἀποκρίσεις δόντες βαρβαρικῆς πεπληρωμένας ἀλαζονείας, ὡς ἀναγκασθῆναι τοῦτον διὰ μάχης κρῖναι τὰ πράγματα. γράμμασιν οὖν ἐν ὀλίγῳ τὰς ἑῴας δυνάμεις πρὸς τὴν ἑσπέραν διαβιβάσας, ἄρχοντά τε αὐταῖς ἐπιστήσας ὃν ὠνόμασε στρατηλάτην D Βάρδαν μάγιστρον τὸν Σκληρόν, οὗ τὴν ἀδελφὴν Μαρίαν νόμιμον ἠγάγετο γαμετὴν ἰδιωτεύων ὁ βασιλεύς, ἔμελλεν ἔαρος ἐφισταμένου καὶ αὐτὸς ἐξορμῆσαι. οἱ Ῥῶς δὲ καὶ ὁ τούτων ἀρχηγὸς ὁ Σφενδοσθλάβος, τὴν τοῦ Ῥωμαϊκοῦ στρατεύματος ὡς ἐπύθοντο περαίωσιν, κοινοπραγήσαντες δεδουλωμένοις ἤδη τοῖς Βουλγάροις, προσειληφότες δὲ καὶ συμμάχους τούς τε Πατζινάκας καὶ τοὺς πρὸς δύσιν ἐν Παννονίᾳ κατῳκισμένους Τούρκους, καὶ διὰ πάντων στρατὸν πολεμιστὴν ἠθροικότες ἐς ὀκτακισχιλίους ἐπὶ τριάκοντα μυριάσι κορυφουμένον, καὶ τὸν Αἷμον διαβάντες, πᾶσαν ἐπυρπόλουν τὴν Θρᾴκην καὶ ἐληΐζοντο, πηξάμενοι παρεμβολὴν ἀγχοῦ που τῶν τειχῶν Ἀρκαδιουπόλεως, κἀκεῖσε τὴν συμπλοκὴν P 667 ἐκδεχόμενοι τοῦ πολέμου. ὁ δὲ μάγιστρος Βάρδας ὁ Σκληρὸς ὡς ᾔσθετο κατὰ πολὺ τῷ πλήθει λειπόμενος (περιίστατο γὰρ αὐτῷ πᾶσα ἡ στρατιὰ εἰς ιβ′ χιλιάδας), στρατηγικαῖς ἔγνω ἀπάταις

2 δορυκτήτου C 7 τὰς τῆς ἑῴας C 9 βάρδα C 11 ὁ post καὶ om C 15 κατῳκημένους C

ipsis promissum multiplicaturum, sociosque et amicos eos per omnem vitam habiturum pollicebatur. his Rossi vocibus inflati, et Bulgariam ut bello a se subactam sibi vindicaverunt, et legatos imperatoris, omnia eis a Nicephoro pacta se persoluturum pollicentis, barbaricae arrogantiae plenis responsis datis reiecerunt. proinde imperator armis eam rem disceptare coactus, missis literis celeriter exercitus ab Oriente in Occidentem transfert, eisque ducem a se nominatum praeficit Bardam magistrum, cognomento Sclerum, id est Durum, cuius sororem Mariam privatus adhuc legitimo sibi matrimonio coniunxerat; statuitque veris initio ipse quoque in bellum proficisci. sed Rossi eorumque ductor Sphendosthlabus, audito Romanas copias traiecisse, coniunctis quos iam in sua habebant potestate Bulgaris, adscitis etiam ad belli consortium Patzinacis, et qui in Pannonia versus occasum habitabant Turcis, exercitu bellicoso congregato ad 308 virorum milia, Aemum egressi universam Thraciam incendiis ac praedationibus vastarunt; castrisque prope muros Arcadiopolis factis praelii occasionem praestolati sunt. at Bardas, qui se numero hostibus multo inferiorem sentiret, quippe duodecim omnino milium exercitu instructus, artibus imperatoriis statuit bar-

τοὺς ἐναντίους περιελθεῖν καὶ τέχνῃ καὶ μηχανῇ τὰ τοσαῦτα κατεργάσασθαι πλήθη. ὃ δὴ καὶ γέγονε. συγκλείσας γὰρ ἑαυτὸν σὺν τῇ στρατιᾷ εἴσω τειχῶν, πολλὰ προκαλουμένων τῶν πολεμίων ἐξελθεῖν καὶ περὶ τῶν ὅλων διαγωνίσασθαι οὐχ ὑπήκουσεν, ἀλλ' ἐκαρτέρει ὡς τάχα δειλιάσας, βλέπων τοὺς ἀντιπάλους τὰ παρατυχόντα φέροντάς τε καὶ ἄγοντας. τοῦτο δὲ τὸ βούλευμα μεγάλην καταφρόνησιν ἐνεποίησε τοῖς βαρβάροις· οἰηθέντες γὰρ B ὡς ταῖς ἀληθείαις δειλίᾳ συνεχόμενος ὁ Σκληρὸς συγκεκλεικὼς ἔχει τείχους ἔνδον τὰς Ῥωμαϊκὰς φάλαγγας, ἐπεξελθεῖν μὴ τολμῶν, ἀδεῶς τε ἐσκεδάννυντο καὶ ἀμελῶς ἐστρατοπεδεύοντο καὶ τῆς πρεπούσης ἠμέλουν φυλακῆς, πότοις καὶ μέθαις καὶ αὐλοῖς καὶ κυμβάλοις καὶ ὀρχήσεσι βαρβαρικαῖς διανυκτερεύοντες καὶ μηδενὸς τῶν δεόντων ἐπιμελόμενοι. καιροῦ τοίνυν ἐπιτηδείου λαβόμενος ὁ Βάρδας, καὶ ὅπως ἐπίθηται τοῖς ἐχθροῖς εὖ μάλα διασκοπήσας, καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ὁρίσας, λόχους καὶ ἐνέδρας νυκτὸς ἐπί τινων εὐκαιροτάτων χωρίων στησάμενος Ἰωάννην πα- C τρίκιον τὸν Ἀλακασέα μετά τινος ὀλίγης δυνάμεως ἐκπέμπει, προτρέχειν κελεύσας καὶ διασκοπεῖν τοὺς ἐχθροὺς καὶ θαμὰ πρὸς αὐτὸν μηνύειν καὶ ὅπῃ πάρεισιν ἀναδιδάσκειν, ἐπισκήψας δὲ καὶ συμμῖξαι τούτοις ἐγγίσασι καὶ ἅμα τῇ συμπλοκῇ δοῦναι τὰ νῶτα καὶ δόκησιν φευγόντων παρεσχηκέναι, μὴ ἀκρατῶς μέντοι γε φεύγειν, ὅλῳ ῥυτῆρι ἐνδόντας τοῖς ἵπποις τοὺς χαλινούς, ἀλλ' ἠρέμα καὶ μετὰ τάξεως, ὅπῃ δὲ παρείκοι, καὶ ὑποστρέφοντας συρρή-

7 ἐποίησε C Βουλγάροις P 10 ἐστρατοπέδευον C 12 καὶ ὀρχήσεσι βαρβαρικαῖς om C 13 ἐπιμελούμενοι C

baros circumvenire astuque et machinis tantam opprimere multitudinem. neque eum is conatus frustratus fuit. quippe se cum suis intra muros continens, barbarisque crebro provocantibus ad certamen de summa rerum ineundum non obtemperans, metumque simulans, quantumvis suorum res ab hoste agi ferrique cerneret, tamen suum tenebat propositum. hoc pacto magnum sui contemptum apud barbaros excitavit: ii enim rati omnino formidine ductum Bardam suos moenibus inclusos detinere, neque audere egredi, libere porro vagari, castra negligenter metari, et excubias debitas posthabere, noctes potando per ebrietatem inter fistulas et cymbala et saltationes barbaricas ducere, denique nihil eorum quae attinebat curare. ergo Bardas occasionem nactus, et quomodo hostes adoriretur accurate meditatus, die horaque ad hoc designatis, dispositis per opportunissima loca insidiis, Ioannem patricium Alacasensem cum modica manu emittit, qui speculatum hostes excurreret, ubique ii essent illico sibi renuntiaret, hostibus appropinquantibus manum consereret, subitoque terga dans speciem fugae exhiberet, non quidem ut effuse laxatis equorum habenis fugerent, sed paulatim et

γνῶσθαι τοῖς ἐχθροῖς, καὶ οὕτω ποιεῖν μέχρις ἂν εἰς τοὺς λόχους D τούτους καὶ εἰς τὰς ἐνέδρας ἐναποκλείσωσι, τότε δὲ ἀκόσμως φεύγειν καὶ προτροπάδην. τριχῇ δὲ τῶν βαρβάρων διαιρεθέντων (Βούλγαροι μὲν γὰρ καὶ Ῥῶς τὴν πρώτην ἀνεπλήρουν μερίδα, Τοῦρκοι δὲ καθ' ἑαυτοὺς ἦσαν μόνοι καὶ Πατζινάκαι ὡσαύτως) ἐρχόμενος οὖν ὁ Ἰωάννης συμπλέκεται τοῖς Πατζινάκαις κατὰ τύχην συνηντηκώς, καὶ ὥσπερ ἦν αὐτῷ παρηγγελμένον, προσποιεῖται φυγεῖν, σχολαίαν τὴν ἀναχώρησιν ποιούμενος· ἐνέκειντο δ' οἱ Πατζινάκαι τὰς ἑαυτῶν λύσαντες τάξεις, ὡς τάχα τοὺς φεύγοντας ἀφανίσαιεν ἄρδην. ἐκεῖνοι δὲ νῦν μὲν φεύγοντες μετὰ τάξεως νῦν δ' ὑποστρέφοντες καὶ ἀμυνόμενοι ἔθεον πρὸς τοὺς λόχους. ἐπεὶ δὲ καὶ ἐς μέσους ἐγένοντο τούτους, τότε δὴ ἀνέντες τοὺς χαλινοὺς ἀκρατῶς ἔφευγον, καὶ οἱ Πατζινάκαι ἐκχυθέντες ἀτάκτως ἐδίωκον. ἐπιφανέντος δ' ἐξαίφνης τοῦ μαγίστρου μετὰ παντὸς τοῦ στρατοῦ, P 668 τῷ ἀπροσδοκήτῳ καταπλαγέντες τὴν μὲν δίωξιν ἐπέσχον, οὐ μήν γε καὶ ἐς φυγὴν ἀπεῖδον, ἀλλ' ἔμενον, ἥν τις ἐπίοι δεξόμενοι. μετὰ σφοδρᾶς δὲ ῥύμης τῶν περὶ τὸν μάγιστρον συμπεσόντων αὐτοῖς, καὶ τῆς λοιπῆς φάλαγγος ὄπισθεν ἐρχομένης μετ' εὐκοσμίας καὶ τάξεως, πίπτουσιν εὐθὺς οἱ ἀλκιμώτεροι τῶν Σκυθῶν. καὶ κατὰ βάθος τῆς φάλαγγος σχισθείσης ἐς μέσους ἐμπίπτουσι τοὺς λόχους οἱ Πατζινάκαι, τῶν κεράτων συνελθόντων ἀλλήλοις καὶ κύκλωσιν ἀποτελεσάντων. ἐπ' ὀλίγον οὖν ἀντισχόντες ἐνέκλιναν, καὶ πάντες σχεδὸν κατεκόπησαν.

4 γὰρ om C 10 ἀφανίσοιεν C 13 διεκχυθέντες C 15 τῷ ἀπροσδοκήτῳ καταπλαγέντες om C

composito agmine recederent, nonnunquam etiam aequo loco conversi cum hoste pugnarent, donec eum in insidias pertraherent: tum vero effuse et nullo ordine fugam facerent. erant barbari in tres divisi partes. in prima erant cum Rossis Bulgari, seorsim Turci, seorsim etiam Patzinacae. fors ita tulit ut Ioannes primo omnium in Patzinacas incideret. cumque, uti mandatum ei fuisse demonstravimus, oblique recedens fugam simularet, Patzinacae turbatis suis ordinibus instabant, spe fugientes subito omnes delendi. Romani modo agmine composito fugientes, modo hostibus sese obvertentes ac praeliantes, ad insidias cursum tenebant; in quas medias ubi venerunt, laxatis habenis effuse fugerunt, ac Patzinacae dissipatis ordinibus promiscue eos sunt insecuti. sed ubi Bardas subito cum toto exercitu apparuit, re improvisa consternati, omissa persecutione non quidem fugae sed defensioni sese pararunt. vehementi autem cum impetu Bardae exercitu irruente, atque altera quoque a tergo phalange compositis ordinibus ingruente, statim fortissimi quique Scytharum ceciderunt; et eorum phalange alte dissipata, cornibus Romanorum coeuntibus in medio deprehensi Patzinacae atque in orbem circumventi non diu vim sustinuerunt, sed inclinata acie prope universi sunt occisi.

Οὕτω δὲ τούτους τρεψάμενος ὁ Βάρδας, καὶ διὰ τῶν αἰχμαλώτων B μαθὼν ὡς καὶ οἱ λοιποὶ ἀκμῆτες ὄντες προσμένουσι συντεταγμένοι τὸν πόλεμον, τρέπεται τὴν ταχίστην πρὸς ἐκείνους. ἄρτι δ' ἐκεῖνοι τὸ τῶν Πατζινακῶν ἐγνωκότες ἀτύχημα κατεκλάσθησαν τὰς ψυχὰς τῷ ἀδοκήτῳ τῆς συμφορᾶς. ὅμως παρακαλέσαντες ἑαυτοὺς καὶ τοὺς ἐκ τῆς φυγῆς σκεδασθέντας ἀνακαλεσάμενοι προσβάλλουσι τοῖς Ῥωμαίοις, οἱ μὲν ἱππεῖς προδραμόντες, οἱ δὲ πεζοὶ κατόπιν ἐρχόμενοι. ὡς δὲ καὶ κατὰ τὴν πρώτην προσβολὴν ἀνεκόπησαν οἱ ἱππεῖς τὰς ὁρμὰς ὑπὸ Ῥωμαίων ἀνυποστάτων φανέντων, ἐκκλίναντες εἰς τοὺς πεζοὺς συνηλάθησαν. ἐκεῖσε δὲ πάλιν γενόμενοι ἀνελάμβανον ἑαυτούς, καὶ τοὺς Ῥωμαίους προσέμενον C ἐπερχομένους. καὶ ἦν μὲν ἄχρι τινὸς ἡ μάχη ἀγχώμαλος, ἕως οὗ Σκύθης τις μεγέθει σώματος καὶ ἀνδρίᾳ ψυχῆς ἐπαιρόμενος, τῶν ἄλλων ὑπερπηδήσας, ἐπ' αὐτὸν τὸν μάγιστρον φέρεται παριππεύοντα καὶ τὰς τάξεις παραθαρρύνοντα, καὶ ξίφει παίει κατὰ τοῦ κράνους. τοῦ δὲ ξίφους παρολισθήσαντος ἄπρακτος ἐγένετο ἡ βολή. τοῦτον δὲ ὁ μάγιστρος ξίφει παίει κατὰ τοῦ κράνους· βάρει δὲ τῆς χειρὸς καὶ βαφῇ τοῦ σιδήρου οὕτω γέγονεν ἐνεργὸς ἡ πλῆξις ὡς δίχα ὅλον διατμηθῆναι τὸν Σκύθην. καὶ Κωνσταντῖνος δὲ πατρίκιος ὁ τοῦ μαγίστρου ἀδελφός, τῷ ἀδελφῷ D βοηθῶν, ἕτερον Σκύθην συναιρόμενον τῷ ῥηθέντι καὶ ἰταμώτερον φερόμενον παῖσαι κατὰ τῆς κεφαλῆς ἐσπούδασεν· ἐκείνου δ' ἐπὶ θάτερα κλίναντος ἑαυτόν, διαμαρτήσας ὁ Κωνσταντῖνος κατα-

3 ἄρτι δ' ἐκ.] κἀκεῖνοι C   11 προσερχομένους προσέμενον C
16 κρανίου C   περιολισθήσαντος C

His hoc modo victis, Bardas cum ex captivis intellexisset reliquos adhuc integros instructa acie pugnam exspectare, recta in eos ducit. ii vero tametsi recens acceptus de Patzinacarum clade nuntius animos eorum insperata calamitate fractos deiecerat, tamen mutuo sese cohortati, adscitis etiam qui ex fuga confluebant, Romanis occurrunt, praemissis equitibus ac subsequentibus eos peditibus. primo congressu equites a Romanis, quorum vis subsisti non posse videbatur, reiecti inque peditatum compulsi sunt. ibi se recollegerunt et Romanorum impetum sustinuerunt. aliquamdiu dubio Marte pugnatum est, donec Scytha quidam mole corporis et robore animi elatus, ante alios progressus, in ipsum fertur Bardam, qui eques ordines obibat atque dictis animabat. huius cassidi Scytha cum gladium inflixisset, ictu delabente conatus irritus fuit. Bardas vero ense galeam Scythae feriit; et ob vim manus ac ferri praestantem tincturam ictui tanta fuit efficacitas ut medium Scytham dissecuerit. sed et Constantinus patricius, Bardae frater, alium Scytham, qui una cum priore ingruebat ac se ferocius gerebat, ut fratri opitularetur, caput ferire dum vult, declinante ictu barbaro, huius equi cervicem gladio tangit caputque amputat; collapsumque Scy-

φέρει τὸ ξίφος εἰς τὸν αὐχένα τοῦ ἵππου καὶ ἀποτέμνει τοῦ τραχήλου τὴν κεφαλήν. πεσόντος δὲ τοῦ Σκύθου ἀποβὰς τοῦ ἵππου καὶ τῇ χειρὶ τῆς γενειάδος δραξάμενος ἀποσφάττει τοῦτον. τοῦτο τὸ ἔργον Ῥωμαίους μὲν ἐπέρρωσε καὶ θαρραλεωτέρους ἐποίησε, δειλίας δὲ καὶ φόβου τοὺς Σκύθας ἐνέπλησε· καὶ ταχὺ ἐπιλελησμένοι ἀλκῆς τὰ νῶτα δεδώκασι, καὶ ἀσέμνως καὶ μετὰ πολλῆς ἔφευγον ἀκοσμίας. εἵποντο δὲ Ῥωμαῖοι, καὶ ἅπαν τὸ πεδίον νεκρῶν ἐμπεπλήκασιν. ἥλωσαν δὲ καὶ ζωγρίαι τῶν πεσόντων πλείους. ἐγένοντο δὲ καὶ πλὴν ὀλίγων πάντες οἱ περιλειφθέντες τραυματίαι.
P 669 καὶ οὐδεὶς ἂν διέδρα τὸν κίνδυνον, εἰ μὴ νὺξ ἐπιγενομένη ἐπέσχε τῆς διώξεως τοὺς Ῥωμαίους. καὶ τῶν μὲν βαρβάρων ἐκ τοσούτων μυριάδων ὀλίγοι παντελῶς διεγένοντο, Ῥωμαῖοι δὲ ἔπεσον ἐν τῇ μάχῃ κε΄, τραυματίαι δ᾽ ἐγένοντο ὁμοῦ τι σύμπαντες.

Οὔπω τέλος εἶχε τῷ Σκληρῷ τὰ τοῦ Σκυθικοῦ πολέμου, οὐδὲ προσεγένετο τοῖς Ῥωμαίοις τὸν ἐκ τῆς μάχης ἀποπλύνασθαι λύθρον, καὶ γράμματα ἐφοίτα βασιλικὰ μετάκλητον ποιοῦντα εἰς βασιλέα τὸν μάγιστρον· ὃν ἀφικόμενον ἐς τὴν Ἀσίαν κελεύει πε-
B ραιωθῆναι, τὰ πρὸς τὸν προκείμενον ἀρκοῦντα ἀγῶνα εἰληφότα στρατεύματα. ἔτυχε γὰρ Βάρδας ὁ Φωκᾶς ἀποδρὰς ἐξ Ἀμασείας, ἣν οἰκεῖν κατεκέκριτο, μετὰ συγγενῶν καὶ φίλων καὶ συνήθων, μεθ᾽ ὧν ἀφανῶς συνωμόσατο τὴν ἐν Καππαδοκίᾳ καταλαβεῖν Καισάρειαν, κἀκεῖσε ἑταιρικὸν οὐκ ὀλίγον ἀθροίσας, ὧν ἦσαν ἔξαρχοι οἱ τοῦ πατρικίου Θεοδούλου παῖδες τοῦ Παρσακουτηνοῦ Θεόδωρος καὶ Νικηφόρος καί τις πατρίκιος ἄλλος Συμεὼν ὁ Ἀμ-

3 τοῦτον om C   15 ἀποκλύνεσθαι C   19 στρατεύματος C

tham ab equo descendens, manu mento eius arrepto, iugulat. hoc facinus Romanis animos auxit, Scythas autem metu implevit; itaque obliti mox virtutis terga dederunt, turpemque nullo ordine fugam fecerunt, quos insecuti Romani campum cadaveribus oppleverunt. plures interfectis capti sunt, et superstites, paucis demptis, omnes fuerunt saucii. quodnisi nox ingruens Romanos a persequendo hoste revocasset, nemo sane evasisset. de tot milibus barbarorum perpauci superfuerunt: de Romanis in acie ceciderunt viri 25, vulnerati sunt universi.

Nondum confecto Scythico bello, cum quidem nondum cruorem istius praelii abluere Romanis licuisset, literis imperatoris Bardas Durus ad imperatorem evocatur. qui ut eo venit, statim iubetur cum exercitu, quantus proposito certamini videretur sufflecturus, in Asiam traiicere. etenim Bardas Phocas ex Amasia profugus, in quam relegatus fuerat, facta occulte conspiratione cum cognatis amicis et familiaribus suis occupaverat Caesaream Cappadociae, ibique socios haud paucos collegerat, quorum principes erant filii patricii Theoduli Parsacuteni Theodorus et Nicephorus, ac quidam patricius Simeon Ampelas. his

πελᾶς, διάδημα περιθεὶς ἑαυτῷ καὶ τὰ λοιπὰ τῆς βασιλείας ἀνειληφὼς γνωρίσματα ἀποστασίαν κατὰ τοῦ βασιλέως κινῆσαι, τοῦ πατρὸς αὐτοῦ Λέοντος τοῦ κουροπαλάτου τοὺς μὲν ἀναπείσαντος δώροις εἰς τοῦτο, τοὺς δὲ ὑποσχέσεσιν ἀξιωμάτων καὶ κτήσεων, C ὑπηρέτῃ πρὸς τοῦτο χρησαμένου τῷ τῆς Ἀβύδου ἐπισκόπῳ. ἐβούλετο δὲ καὶ αὐτὸς ἐκ τῆς Λέσβου διαπερᾶν λάθρᾳ σὺν τῷ υἱῷ Νικηφόρῳ εἰς τὰ ἐπὶ Θρᾴκην χωρία. γνωσθέντος δὲ τούτου τῷ βασιλεῖ, ἐπεὶ καὶ ὁ ἐπίσκοπος συνειλημμένος καὶ τοὺς ἐλέγχους οὐχ οἷός τε ὢν διαδιδράσκειν πάντα ἐξοίσειν εἰς τοὐμφανές, παρεδόθη τοῖς δικασταῖς ὁ κουροπαλάτης, καὶ ὑπὸ πάντων τούτων προστιμᾶται τεθνάναι σὺν τῷ υἱῷ· ἐπιεικέστερον δὲ χρησαμένου τοῦ βασιλέως, ἀειφυγίᾳ καὶ τῶν ὀμμάτων πηρώσει καὶ ἄμφω καταδικάζονται, λεληθότως, ὡς λέγεται, τοῦ βασιλέως παραγγεί- D λαντος τοῖς δημίοις μηδαμῶς τὰς ὄψεις τούτων λωβήσασθαι, ἀλλὰ δόκησιν μὲν παρασχεῖν ἐκτυφλώσεως, ἔργῳ δ' ἐᾶσαι τούτους τὸ οἰκεῖον ἀποφέρεσθαι φῶς, ἀποκρύψαι δὲ καὶ ὅτι προστεταγμένον ἦν τοῦτο παρὰ τοῦ βασιλέως, ἑαυτοῖς δὲ τὸ ἔργον ἀνατίθεσθαι ὡς τάχα φιλανθρωπευσαμένοις καὶ χαρισαμένοις τὸ βλέπειν αὐτοῖς. καὶ τὰ μὲν τοῦ κουροπαλάτου εἰς τοῦτο ἐτελεύτα· διαβὰς δὲ ὁ Σκληρὸς εἰς τὴν Ἀσίαν κἂν τῷ Δορυλαίῳ γενόμενος πρῶτον μὲν ἀπεπειρᾶτο τοῦ Φωκᾶ καὶ τῶν τούτῳ συναιρομένων, εἴ πως δυνηθείη αὐτὸς ἀγαθῶν ὑποσχέσεσιν ἀποστῆναι πεῖσαι τῶν βεβουλευμένων (καὶ γὰρ δὴ καὶ παραγγελίαν εἶχεν ἐκ βασιλέως ὡς ἀνυστὸν ἀγωνίσασθαι ἐμφυλίου αἵματος καθαρὰς διατηρῆσαι

7 παιδία C   19 μὲν περὶ τοῦ C   20 εἰς om C

fretus Bardas Phocas opibus, diademate reliquisque imperii insignibus assumptis, adversus imperatorem seditionem moverat. ad eam defectionem pater eius Leo curopalates alios muneribus alios dignitatum et opum pollicitationibus permoverat, usus ad hoc ministerio episcopi Abydeni; atque ipse statuerat clanculum ex Lesbo in Thraciam una cum filio suo Nicephoro traiicere. hic curopalates re imperatori detecta (comprehensus enim episcopus Abydenus et convictus rem totam patefecerat) iudicibus traditus, ab iisque morte est cum filio damnatus. sed imperator ita sententiam mitigavit ut uterque oculis orbatus perpetuum exsularet. fertur que clam carnificibus mandasse ne oculis eos privarent, sed simulato eos se effodisse visum incolumem ipsis relinquerent, neque mandato id se imperatoris, sed humanitate motos fecisse prae se ferrent. is tum fuit exitus rerum curopalatae. ceterum Durus ut in Asiam ad Dorylaeum pervenit, primo Phocam et eius conspirationis populares promissionibus splendidis a proposito deducere tentavit. mandaverat enim ipsi imperator ut quoad eius omnino fieri posset, manus civilis sanguinis puras servaret. postquam vero id abs re se conari

τὰς χεῖρας)· ὡς δ' ἀνηνύτοις ἔγνω ἐπιχειρῶν (ἐθρασύνοντο γὰρ μᾶλλον ἢ ἐχαυνοῦντο ταῖς πρεσβείαις οἱ ἀποστάται), ἔργου ἤδη
P 670 ἅπτεσθαι ἔκρινε, καὶ τὸν στρατὸν ἀγείρας ἀπῄει πρὸς τὴν Καισάρειαν. ὅπερ οἱ σὺν τῷ Φωκᾷ ἐγνωκότες, καὶ τὸ ἐπ' ἀδήλοις ἐλπίσιν ὀχεῖσθαι ἐάσαντες καὶ τὰ ἐν χερσὶ προτιμήσαντες, τὰς ἐκ τοῦ βασιλέως διδομένας αὐτοῖς δωρεὰς δεξάμενοι νυκτὸς ἐπιγενομένης αὐτομολοῦσι πρὸς τὸν Σκληρόν, πρῶτος μὲν ὁ Διογένης Ἀδράλεστος, εἶτα καὶ ὁ Ἀμπελᾶς καὶ οἱ τοῦ Θεοδούλου παῖδες, οἱ καὶ τὸ πᾶν τῆς ἀποστασίας προκαταρτύσαντες, καὶ ἐφεξῆς τὸ λοιπὸν ἅπαν πλῆθος, ὡς μόνον ἀθρόον μετὰ τῶν ἑαυτοῦ θεραπόντων περιλειφθῆναι τὸν Φωκᾶν. πάσης δὲ βοηθείας ἔρημος
B οὗτος ἀπολειφθείς, καὶ ἀνίᾳ βαπτισθεὶς καὶ λύπῃ κατὰ τῶν παρακινησάντων, εἶτα προδεδωκότων, κατηνέχθη πρὸς ὕπνον ἤδη νυκτὸς ἐπιστάσης. ἔδοξεν οὖν ὑπνιώττων ἀγανακτεῖν καὶ ἀλύειν καὶ περὶ τῶν ἀδικησάντων διαλέγεσθαι τῷ θεῷ, "δίκασον κύριε" λέγων "τοὺς ἀδικοῦντάς με." ἐν ᾧ δὲ ἔμελλε τὰ ἑπόμενα εἰπεῖν τοῦ ψαλμοῦ, ἤκουσε φωνῆς λεγούσης μὴ περαιτέρω προβῆναι· ἔφθασε γὰρ ὁ Σκληρὸς προειληφέναι τὸ ἐπίλοιπον τῆς ᾠδῆς. διαναστὰς οὖν σύντρομος, ὡς ἔγνω πάσης ἐλπίδος ὠλισθηκώς, ὡς
C εἶχεν ἐξιππασάμενος μετὰ τῶν περὶ αὐτὸν πρὸς τὸ φρούριον ἔφευγε τὸν Τυροποιόν. γνωσθέντος δὲ τοῦ δρασμοῦ τῷ μαγίστρῳ Βάρδᾳ τῷ Σκληρῷ, ἱππεῖς ἀπεστέλλοντο εὔζωνοι καταταχῆσαι καὶ καταλαβεῖν αὐτὸν πρὸ τοῦ εἰς τὸ φρούριον εἰσελθεῖν· οἵτινες συντόνῳ

9 προκαταρτίσαντες C 10 ἀθρόως C 20 περὶ το φρ. P ἔφυγε C

vidit (quippe seditiosi legatis auditis potius efferabantur quam ut quicquam concederent), rem gerere intendit, collectoque exercitu Caesaream petiit. at socii Phocae eo cognito, spes incertas repudiantes iisque in promptu sita praeferentes, acceptis quae ab imperatore offerebantur muneribus, nocte facta ad Bardam transfugerunt, primus omnium Diogenes Adralestus, deinde et Ampelas et Theoduli filii, qui auctores totius defectionis fuerant; tum reliqua omnis multitudo, ita ut solus cum suis famulis Phocas manserit. atque hic omni destitutus auxilio, aegritudini animi atque indignationi adversus eos qui eum prius ad rebellionem incitarant atque tum prodiderant immersus, nocte iam ingruente sopitus est. per somnum imaginatus est quiritari se animoque angi, et de iis qui iniuria ipsum affecerant, sic deo conqueri (Psalm. 34) "domine, ulciscere eos, qui me infestarunt." cumque reliquum psalmi addere vellet, vocem audire quae progredi vetaret, quod diceret reliquam carminis partem iam esse a Barda antecaptam. surrexit ergo tremebundus, omnique se spe excidisse videns, ut erat instructus, cum suis equos conscendit, fugaque castellum Tyropoeum petiit. Bardas ubi de fuga eius certior est factus, expeditos equites mittit, qui celeriter ei occurrant et antequam castellum intret comprehendant. ii citatis

χρησάμενοι τῇ διώξει καταλαμβάνουσιν αὐτὸν κατὰ τὸ πεδίον καὶ μέλλοντα ὅσον οὐδέπω ταῖς τοῦ φρουρίου προσεγγίζειν ὑπωρείαις. εἷς δὲ τούτων τόλμῃ προφέρων καὶ γενναιότητι, τοὔνομα Κωνσταντῖνος, Χάρων τὴν προσηγορίαν, τοὺς ἄλλους κατόπιν λιπὼν μετὰ συντονίας ἐπήρχετο τῷ Φωκᾷ, ὄπισθεν οὐραγοῦντι τῶν ἑαυτοῦ, καὶ ἥν τις ἐπίῃ δέξασθαι προθύμως παρεσκευασμένῳ. τοῦ- D τον πόρρωθεν ἰδὼν καὶ γνωρίσας ὁ Χάρων ὕβρεσιν ἀσέμνοις καὶ ἀπρεπέσιν ἔβαλλεν, ἀγεννῆ καὶ ἄνανδρον ἀποκαλῶν, καὶ προσμένειν κελεύων μικρὸν ὥστε τὰ γέρα τῆς ἀποστασίας λαβεῖν. ὁ δὲ τῶν ὕβρεων ἐπακούων, καὶ ὅστις ὁ λέγων μὴ ἀγνοήσας, ἐπισχὼν τὸν χαλινὸν καὶ πρὸς ἐκεῖνον ἐπιστραφεὶς "ἔδει σε ὦ ἄνθρωπε" ἔφη, "τὸ ἀστάθμητον λογισάμενον τῆς τῶν ἀνθρώπων τύχης μὴ προσονειδίζειν, μηδ' ἐπεμβαίνειν ἀνθρώπῳ ταῖς ἐξ αὐτῆς ἐπηρείαις ἠναγκασμένῳ, ἀλλ' οἰκτείρειν μᾶλλον καὶ ἐλεεῖν τὸν δυστυχοῦντά με, πατέρα μὲν ἐσχηκότα κουροπαλάτην, πάππον δὲ Καίσαρα, θεῖον βασιλέα, δοῦκα δὲ καὶ αὐτὸν γεγονότα καὶ τοῖς ἀνωτέρω συναριθμηθέντα, νυνὶ δὲ ἐσχάτοις κακοῖς ὑποβεβλημένον καὶ ἀκληρήμασι." τοῦ δὲ "καλὰ ταῦτα, ὦ κακὴ κεφαλή, λέγεσθαι P 671 πρὸς παῖδας τοὺς δυναμένους ἀπατηθῆναι" εἰπόντος, "ἐμὲ δὲ οὐ φενακίσεις τοῖς τοιούτοις σου λογυδρίοις," καὶ τὸν ἵππον μυωπίζοντος καὶ θρασύτερον προσιόντος, σπασάμενος ὁ Φωκᾶς τὴν ἐν τῇ ἐφεστρίδι παρηωρημένην κορύνην καὶ ὑπαντιάσας παίει τοῦτον κατὰ τοῦ κράνους. καὶ αὐτὸν μὲν ἀποδείκνυσι νεκρὸν παραυ-

2 οὔπω C 5 οὐραγοῦντα C 10 ὑπακούων P 15 ἐμέ C
δὲ om C 16 ἀνωτέροις C 22 σέλλῃ κρεμαμένην margo C

equis vecti Phocam in campo assequuntur iamiam imo monti in quo castellum erat situm subeuntem. erat inter eos audacia et indole princeps Constantinus Charon. is reliquis a tergo relictis Phocam citato cursu insecutus est, agmen suorum claudentem et ad strenue defendendam vim paratum. hunc Charon eminus conspectum cum agnosceret, turpia in eum iecit convicia, degenerem et timidum appellans, iubensque paulisper opperiri, dum praemium defectionis acciperet. Phocas contumelias inaudiens, neque ignorans quis eas iactaret, inhibito equo se Charonti obvertit, et "heus" inquit, "oportebat te instabilitatem humanae fortunae considerantem non exprobrare, neque insultare homini eius improbitate in hanc coniecto necessitatem, sed miserari potius meam calamitatem, nati patre curopalata, avo Caesare, patruo imperatore; eiusque adeo, qui cum et dux fuisset et inter summos numeratus, nunc extremis calamitatibus atque infortuniis premor." ad haec Charon "recto" inquit "pueris haec, sceleste, dicerentur, qui verbis ludi queant: me his nugis non decipies." simulque equo calcaribus stimulato ferocius invadit. tum Phocas clavam, quam sub paludamento pendentem ferebat, arripit, obviumque se ferens, ictu in caput impacto,

κομῶντα τοῖς ἀγαθοῖς καὶ αὐτῷ προθεσπίσαντα τὴν ἀνάρρησιν, καὶ παρεγγυησάμενον μὴ ἐπισπεῦσαι ὡς τοῦ θεοῦ μέλλοντος αὐτὸν εἰς τὸ τῆς βασιλείας ὕψος ἀναβιβάσαι, ἢ μὴν γινώσκειν ὡς εἰ ὀλι- C γώρως διατεθεὶς ἐπιτυχύνῃ τὴν τῆς βασιλείας κατάσχεσιν, τῆς ἑαυτοῦ ψυχῆς ἐπίβουλος ἔσται· ἀξιώσαντα δὲ καὶ τοὺς Μανιχαίους, τὴν ἑῴαν πᾶσαν ἐπινεμομένους καὶ λυμαινομένους τῇ μεταδόσει τῆς μυσαρᾶς αὐτῶν θρησκείας, πρὸς τὴν ἑσπέραν ἀποικίσαι καὶ εἴς τινα ἐσχατιὰν ἐγκατοικίσαι πανέρημον, ὃ καὶ πεποίηκεν ὕστερον, ἀπαναστήσας τούτους καὶ τῇ Φιλιππουπόλει ἐγκατοικίσας. ἐπὶ λʹ δὲ καὶ εʹ μόνας ἡμέρας μετὰ τὴν ἀναγόρευσιν καὶ ὁ Πολύευκτος ἐπιβιοὺς κατέλυσε τὴν ζωήν. καὶ προχειρίζεται ἀντ' αὐτοῦ πατριάρχης Βασίλειος μοναχὸς ὁ Σκαμανδρηνός, ἐπ' D ἀρετῆς τελειότητι μαρτυρούμενος. καὶ τὰ μὲν πολιτικὰ ἐφέρετο τῇδε.

Τῇ ἁλώσει δὲ τῆς Ἀντιοχείας καὶ τῶν λοιπῶν πόλεων, ἃς ἄνωθεν ἀπηριθμησάμεθα, περιαλγεῖς γεγονότες οἱ ἁπανταχοῦ γῆς ὄντες Ἀγαρηνοὶ καὶ τὰ λοιπὰ ἔθνη τὰ τὴν ὁμοίαν αὐτοῖς σέβοντα θρησκείαν, Αἰγύπτιοι Πέρσαι Ἄραβες Ἐλαμῖται καὶ οἱ τὴν Εὐδαίμονα λεγομένην οἰκοῦντες καὶ τὸ Σαβᾶ, συμφωνήσαντες καὶ ὁμαιχμίαν θέμενοι, δύναμιν πανταχόθεν ἠθροικότες μεγάλην καὶ ἡγεμονεύειν αὐτῆς τάξαντες Καρχηδονίους, Ζώχαρ ἔχοντας ἄρχοντα, πρακτικὸν ἄνδρα καὶ τὰ εἰς πολέμους δεινόν, ὡς ἂν ἀκριβεῖς καὶ ἐπιστήμονας τῶν τε κατὰ γῆν καὶ θάλατταν ἔργων, ἐξ-

3 μὴ C 5 ἔσεται C 6 ἕω C 9 μεταναστήσας C
17 σαρακηνοὶ C 22 ἐς C 23 θάλασσαν C

monachum, omnibus florentem bonis; qui ei etiam praedixerat imperio potiturum, deo ipsum ad hoc culmen elaturo, hortatusque fuerat ne praecipitanter ageret: alioqui si monitus suos sperneret, suae ipsius vitae se insidiatum fuisse intellecturum. contenderat etiam ab eo ut Manichaeos per totum Orientem serpentes et contagione suae impurae religionis omnia corrumpentes in Occidentem in desertam aliquam solitudinem deportaret; id quod postea temporis fecit imperator, eosque Philippopolin ex Oriente transtulit. Polyeuctus post Tzimiscae designationem tantum triginta quinque dies vixit. in eius locum suffectus Basilius monachus Scamandrenus, perfectae virtutis testimoniis clarus. is ergo tum rerum civilium fuit status.

At Agareni ubicunque terrarum degentes, aliaeque nationes eandem cum his religionem colentes, ut Aegyptii Persae Arabes Elamitae, et qui felicem Arabiam incolunt, Sabaeique, gravissimo ob amissam Antiocheam reliquasque urbes, quas supra recensui, dolore permoti foedus iciunt; magnisque undique contractis copiis, et Carthaginensibus, quod hi belli terra marique gerendi essent peritissimi, summa rei commissa, Zocharo imperatore, viro apprime strenuo atque bellicoso, cum exercitu

ἦλθον κατὰ Ῥωμαίων, ὑφ' ἓν τὰς πάσας συναγαγόντες δυνάμεις, εἰς ἑκατὸν μαχίμων ἀνδρῶν χιλιάδας ἀριθμουμένας, καὶ τὴν κατὰ P 666 Δάφνην Ἀντιόχειαν καταλαβόντες ἐπολιόρκουν ἐπιμελῶς. γενναίως δὲ τῶν ἔνδον καὶ εὐψύχως τὴν πολιορκίαν ὑφισταμένων ἐπὶ μακρὸν ἐπετείνετο ἡ πολιορκία. ἀγγελθείσης δὲ τῆς τῶν ἐθνῶν συνόδου τῷ βασιλεῖ γράμματα ταχέως ἐπέμποντο πρὸς τὸν στρατηγὸν Μεσοποταμίας, τὰς ἐκεῖσε κελεύοντα δυνάμεις ἀθροῖσαι καὶ βοηθῆσαι ταχὺ τοῖς πολιορκουμένοις· ἔπεμψε δὲ καὶ ἄρχοντα τοῦ ὅλου στρατοῦ μετὰ καὶ δυνάμεων ἄλλων τὸν πατρίκιον Νικόλαον, ἕνα ὄντα τῶν ᾠκειωμένων αὐτῷ εὐνούχων, ὃς ταῖς λοιπαῖς προσμίξας δυνάμεσι, καὶ συμπλακεὶς τοῖς βαρβάροις μυριοπλασίοις οὖσιν, ἐτρέψατο λαμπρῶς καὶ ἐσκέδασεν ἐνὶ πολέμῳ, καὶ B τὰς ὑπὸ Ῥωμαίους οὔσας πόλεις ἐν τῷ ἀσφαλεῖ κατεστήσατο.

Τῷ ἔθνει δὲ τῶν Ῥῶς ὃν εἴπομεν τρόπον τὴν Βουλγαρίαν χειρωσαμένῳ, δοριαλώτους δὲ κατασχόντι καὶ τοὺς δύο υἱοὺς τοῦ Πέτρου Βορίσην καὶ Ῥωμανόν, οὐκέτι ἦν βουλητὸν ἡ ἐπ' οἴκου ὑποστροφή, ἀλλὰ τὴν τοῦ τόπου θαυμάσαντες εὐφυΐαν, μακρὰ χαίρειν εἰπόντες ταῖς πρὸς Νικηφόρον τὸν βασιλέα γενομέναις συνθήκαις, συμφέρον ἐνόμισαν αὐτοῖς μεῖναι κατὰ χώραν καὶ τῆς γῆς κυριεύειν. ἐνῆγε δὲ πρὸς τοῦτο πλέον αὐτοὺς καὶ ὁ Καλοκυρός, λέγων, εἰ παρ' αὐτῶν ἀναγορευθῇ βασιλεὺς Ῥωμαίων, αὐτὸς τῆς τε Βουλγαρίας ἐκστήσεται καὶ σπονδὰς ποιήσει διηνε- C κεῖς, καὶ τὰς συμφωνηθείσας δοθῆναι δόσεις αὐτοῖς παρέξει πολ-

5 προσεδρεία C 8 καὶ post δὲ om C 15 δορυαλώτους C
17 ἀλλὰ καὶ τὴν C 19 αὐτοῖς] εἶναι C

100000 bello idoneorum virorum in Romanos ducunt, et Antiocheam quae est ad Daphnem obsidione cingunt; quam diuturnam fecit obsessorum fortitudo atque magnanimitas. imperator ubi de barbarorum coitione est factus certior, illico praefectum Mesopotamiae colligere exercitum et obsessis subveuire scripto iubet. simul ducem toti exercitui praefuturum cum reliquis copiis mittit patricium Nicolaum, unum ex intimis suis eunuchis. is ubi se cum suis coniunxit, barbaros, tametsi eorum exercitus vix minimam partem suis copiis aequabat, illustri praelio fudit unaque pugna dissipavit, urbesque Romanis subditas tutas praestitit.

Ceterum Rossis, cum ii Bulgariam quo rettulimus modo subegissent, captis etiam duobus Petri filiis Borisa et Romano, domum reverti nequaquam placuit: sed locorum commoditatem admirati, longum vale dicentes pactis cum Nicephoro imperatore initis, ibi commorari dicionemque istam possidere statuerunt. hanc eorum sententiam magis etiam confirmavit Calocyrus, qui se, si ab ipsis Romanorum designaretur imperator, Bulgaria eis cessurum, foedus perpetuum icturum, tributum

λαπλασίως, καὶ συμμάχους ἕξει καὶ φίλους αὐτοὺς διὰ βίου. οἷς τισὶ ῥήμασι χαυνωθέντες οἱ Ῥῶς τῆς τε Βουλγαρίας ὡς δορικτήτου ἀντεποιοῦντο κτήματος, καὶ διαπρεσβευσάμενον τὸν βασιλέα καὶ ὑποσχόμενον ἐπιτελέσειν ἅπαντα τὰ τῷ Νικηφόρῳ ἐπηγγελμένα οὐ προσεδέξαντο, ἀποκρίσεις δόντες βαρβαρικῆς πεπληρωμένας ἀλαζονείας, ὡς ἀναγκασθῆναι τοῦτον διὰ μάχης κρῖναι τὰ πράγματα. γράμμασιν οὖν ἐν ὀλίγῳ τὰς ἑῴας δυνάμεις πρὸς τὴν ἑσπέραν διαβιβάσας, ἄρχοντά τε αὐταῖς ἐπιστήσας ὃν ὠνόμασε στρατηλάτην
D Βάρδαν μάγιστρον τὸν Σκληρόν, οὗ τὴν ἀδελφὴν Μαρίαν νόμιμον ἠγάγετο γαμετὴν ἰδιωτεύων ὁ βασιλεύς, ἔμελλεν ἔαρος ἐφισταμένου καὶ αὐτὸς ἐξορμῆσαι. οἱ Ῥῶς δὲ καὶ ὁ τούτων ἀρχηγὸς ὁ Σφενδοσθλάβος, τὴν τοῦ Ῥωμαϊκοῦ στρατεύματος ὡς ἐπύθοντο περαίωσιν, κοινοπραγήσαντες δεδουλωμένοις ἤδη τοῖς Βουλγάροις, προσειληφότες δὲ καὶ συμμάχους τούς τε Πατζινάκας καὶ τοὺς πρὸς δύσιν ἐν Παννονίᾳ κατῳκισμένους Τούρκους, καὶ διὰ πάντων στρατὸν πολεμιστὴν ἠθροικότες ἐς ὀκτακισχιλίους ἐπὶ τριάκοντα μυριάσι κορυφουμένον, καὶ τὸν Αἷμον διαβάντες, πᾶσαν ἐπυρπόλουν τὴν Θρᾴκην καὶ ἐλῄζοντο, πηξάμενοι παρεμβολὴν ἀγχοῦ που τῶν τειχῶν Ἀρκαδιουπόλεως, κἀκεῖσε τὴν συμπλοκὴν
P 667 ἐκδεχόμενοι τοῦ πολέμου. ὁ δὲ μάγιστρος Βάρδας ὁ Σκληρὸς ὡς ᾔσθετο κατὰ πολὺ τῷ πλήθει λειπόμενος (περιίστατο γὰρ αὐτῷ πᾶσα ἡ στρατιὰ εἰς ιβʹ χιλιάδας), στρατηγικαῖς ἔγνω ἀπάταις

2 δορυκτήτου C 7 τὰς τῆς ἑώας C 9 βάρδα C 11 ὁ post καὶ om C 15 κατῳκημένους C

ipsis promissum multiplicaturum, sociosque et amicos eos per omnem vitam habiturum pollicebatur. his Rossi vocibus inflati, et Bulgariam ut bello a se subactam sibi vindicaverunt, et legatos imperatoris, omnia eis a Nicephoro pacta se persoluturum pollicentis, barbaricae arrogantiae plenis responsis datis reiecerunt. proinde imperator armis eam rem disceptare coactus, missis literis celeriter exercitus ab Oriente in Occidentem transfert, eisque ducem a se nominatum praeficit Bardam magistrum, cognomento Sclerum, id est Durum, cuius sororem Mariam privatus adhuc legitimo sibi matrimonio coniunxerat; statuitque veris initio ipse quoque in bellum proficisci. sed Rossi eorumque ductor Sphendosthlabus, audito Romanas copias traiecisse, coniunctis quos iam in sua habebant potestate Bulgaris, adscitis etiam ad belli consortium Patzinacis, et qui in Pannonia versus occasum habitabant Turcis, exercitu bellicoso congregato ad 308 virorum milia, Aemum egressi universam Thraciam incendiis ac praedationibus vastarunt; castrisque prope muros Arcadiopolis factis praelii occasionem praestolati sunt. at Bardas, qui se numero hostibus multo inferiorem sentiret, quippe duodecim omnino milium exercitu instructus, artibus imperatoriis statuit bar-

τοὺς ἐναντίους περιελθεῖν καὶ τέχνῃ καὶ μηχανῇ τὰ τοσαῦτα κατεργάσασθαι πλήθη. ὃ δὴ καὶ γέγονε. συγκλείσας γὰρ ἑαυτὸν σὺν τῇ στρατιᾷ εἴσω τειχῶν, πολλὰ προκαλουμένων τῶν πολεμίων ἐξελθεῖν καὶ περὶ τῶν ὅλων διαγωνίσασθαι οὐχ ὑπήκουσεν, ἀλλ' ἐκαρτέρει ὡς τάχα δειλιάσας, βλέπων τοὺς ἀντιπάλους τὰ παρατυχόντα φέροντάς τε καὶ ἄγοντας. τοῦτο δὲ τὸ βούλευμα μεγάλην καταφρόνησιν ἐνεποίησε τοῖς βαρβάροις· οἰηθέντες γὰρ B ὡς ταῖς ἀληθείαις δειλίᾳ συνεχόμενος ὁ Σκληρὸς συγκεκλεικὼς ἔχει τείχους ἔνδον τὰς Ῥωμαϊκὰς φάλαγγας, ἐπεξελθεῖν μὴ τολμῶν, ἀδεῶς τε ἐσκεδάννυντο καὶ ἀμελῶς ἐστρατοπεδεύοντο καὶ τῆς πρεπούσης ἠμέλουν φυλακῆς, πότοις καὶ μέθαις καὶ αὐλοῖς καὶ κυμβάλοις καὶ ὀρχήσεσι βαρβαρικαῖς διανυκτερεύοντες καὶ μηδενὸς τῶν δεόντων ἐπιμελόμενοι. καιροῦ τοίνυν ἐπιτηδείου λαβόμενος ὁ Βάρδας, καὶ ὅπως ἐπίθηται τοῖς ἐχθροῖς εὖ μάλα διασκοπήσας, καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ὁρίσας, λόχους καὶ ἐνέδρας νυκτὸς ἐπί τινων εὐκαιροτάτων χωρίων στησάμενος Ἰωάννην πα- C τρίκιον τὸν Ἀλακασέα μετά τινος ὀλίγης δυνάμεως ἐκπέμπει, προτρέχειν κελεύσας καὶ διασκοπεῖν τοὺς ἐχθροὺς καὶ θαμὰ πρὸς αὐτὸν μηνύειν καὶ ὅπῃ πάρεισιν ἀναδιδάσκειν, ἐπισκήψας δὲ καὶ συμμῖξαι τούτοις ἐγγίσασι καὶ ἅμα τῇ συμπλοκῇ δοῦναι τὰ νῶτα καὶ δόκησιν φευγόντων παρεσχηκέναι, μὴ ἀκρατῶς μέντοι γε φεύγειν, ὅλῳ ῥυτῆρι ἐνδόντας τοῖς ἵπποις τοὺς χαλινούς, ἀλλ' ἠρέμα καὶ μετὰ τάξεως, ὅπῃ δὲ παρείκοι, καὶ ὑποστρέφοντας συρρή-

7 ἐποίησε C Βουλγάροις P 10 ἐστρατοπέδευον C 12 καὶ ὀρχήσεσι βαρβαρικαῖς om C 13 ἐπιμελούμενοι C

baros circumvenire astuque et machinis tantam opprimere multitudinem. neque eum is conatus frustratus fuit. quippe se cum suis intra muros continens, barbarisque crebro provocantibus ad certamen de summa rerum ineundum non obtemperans, metumque simulans, quantumvis suorum res ab hoste agi ferrique cerneret, tamen suum tenebat propositum. hoc pacto magnum sui contemptum apud barbaros excitavit: ii enim rati omnino formidine ductum Bardam suos moenibus inclusos detinere, neque audere egredi, libere porro vagari, castra negligenter metari, et excubias debitas posthabere, noctes potando per ebrietatem inter fistulas et cymbala et saltationes barbaricas ducere, denique nihil eorum quae attinebat curare. ergo Bardas occasionem nactus, et quomodo hostes adoriretur accurate meditatus, die horaque ad hoc designatis, dispositis per opportunissima loca insidiis, Ioannem patricium Alacasensem cum modica manu emittit, qui speculatum hostes excurreret, ubique ii essent illico sibi renuntiaret, hostibus appropinquantibus manum consereret, subitoque terga dans speciem fugae exhiberet, non quidem ut effuse laxatis equorum habenis fugerent, sed paulatim et

γνῶσθαι τοῖς ἐχθροῖς, καὶ οὕτω ποιεῖν μέχρις ἂν εἰς τοὺς λόχους
D τούτους καὶ εἰς τὰς ἐνέδρας ἐναποκλείσωσι, τότε δὲ ἀκόσμως φεύ-
γειν καὶ προτροπάδην. τριχῇ δὲ τῶν βαρβάρων διαιρεθέντων
(Βούλγαροι μὲν γὰρ καὶ Ῥῶς τὴν πρώτην ἀνεπλήρουν μερίδα,
Τοῦρκοι δὲ καθ' ἑαυτοὺς ἦσαν μόνοι καὶ Πατζινάκαι ὡσαύτως)
ἐρχόμενος οὖν ὁ Ἰωάννης συμπλέκεται τοῖς Πατζινάκαις κατὰ τύ-
χην συνηντηκώς, καὶ ὥσπερ ἦν αὐτῷ παρηγγελμένον, προσποιεῖ-
ται φυγεῖν, σχολαίαν τὴν ἀναχώρησιν ποιούμενος· ἐνέκειντο δ' οἱ
Πατζινάκαι τὰς ἑαυτῶν λύσαντες τάξεις, ὡς τάχα τοὺς φεύγοντας
ἀφανίσαιεν ἄρδην. ἐκεῖνοι δὲ νῦν μὲν φεύγοντες μετὰ τάξεως νῦν
δ' ὑποστρέφοντες καὶ ἀμυνόμενοι ἔθεον πρὸς τοὺς λόχους. ἐπεὶ
δὲ καὶ ἐς μέσους ἐγένοντο τούτους, τότε δὴ ἀνέντες τοὺς χαλινοὺς
ἀκρατῶς ἔφευγον, καὶ οἱ Πατζινάκαι ἐκχυθέντες ἀτάκτως ἐδίωκον.
ἐπιφανέντος δ' ἐξαίφνης τοῦ μαγίστρου μετὰ παντὸς τοῦ στρατοῦ,
P 668 τῷ ἀπροσδοκήτῳ καταπλαγέντες τὴν μὲν δίωξιν ἐπέσχον, οὐ μὴν
γε καὶ ἐς φυγὴν ἀπεῖδον, ἀλλ' ἔμενον, ἥν τις ἐπίοι δεξόμενοι.
μετὰ σφοδρᾶς δὲ ῥύμης τῶν περὶ τὸν μάγιστρον συμπεσόντων αὐ-
τοῖς, καὶ τῆς λοιπῆς φάλαγγος ὄπισθεν ἐρχομένης μετ' εὐκοσμίας
καὶ τάξεως, πίπτουσιν εὐθὺς οἱ ἀλκιμώτεροι τῶν Σκυθῶν. καὶ
κατὰ βάθος τῆς φάλαγγος σχισθείσης ἐς μέσους ἐμπίπτουσι τοὺς
λόχους οἱ Πατζινάκαι, τῶν κεράτων συνελθόντων ἀλλήλοις καὶ
κύκλωσιν ἀποτελεσάντων. ἐπ' ὀλίγον οὖν ἀντισχόντες ἐνέκλιναν,
καὶ πάντες σχεδὸν κατεκόπησαν.

4 γὰρ om C 10 ἀφανίσοιεν C 13 διεκχυθέντες C 15 τῷ ἀπροσδοκήτῳ καταπλαγέντες om C

composito agmine recederent, nonnunquam etiam aequo loco conversi cum hoste pugnarent, donec eum in insidias pertraherent: tum vero effuse et nullo ordine fugam facerent. erant barbari in tres divisi partes. in prima erant cum Rossis Bulgari, seorsim Turci, seorsim etiam Patzinacae. fors ita tulit ut Ioannes primo omnium in Patzinacas incideret. cumque, uti mandatum ei fuisse demonstravimus, oblique recedens fugam simularet, Patzinacae turbatis suis ordinibus instabant, spe fugientes subito omnes delendi. Romani modo agmine composito fugientes, modo hostibus sese obvertentes ac praeliantes, ad insidias cursum tenebant; in quas medias ubi venerunt, laxatis habenis effuse fugerunt, ac Patzinacae dissipatis ordinibus promiscue eos sunt insecuti. sed ubi Bardas subito cum toto exercitu apparuit, re improvisa consternati, omissa persecutione non quidem fugae sed defensioni sese pararunt. vehementi autem cum impetu Bardae exercitu irruente, atque altera quoque a tergo phalange compositis ordinibus ingruente, statim fortissimi quique Scytharum ceciderunt; et eorum phalange alte dissipata, cornibus Romanorum coeuntibus in medio deprehensi Patzinacae atque in orbem circumventi non diu vim sustinuerunt, sed inclinata acie prope universi sunt occisi.

Οὕτω δὲ τούτους τρεψάμενος ὁ Βάρδας, καὶ διὰ τῶν αἰχμα- B *λώτων μαθὼν ὡς καὶ οἱ λοιποὶ ἀκμῆτες ὄντες προσμένουσι συντετεαγμένοι τὸν πόλεμον, τρέπεται τὴν ταχίστην πρὸς ἐκείνους. ἄρτι δ' ἐκεῖνοι τὸ τῶν Πατζινακῶν ἐγνωκότες ἀτύχημα κατεκλάσθησαν τὰς ψυχὰς τῷ ἀδοκήτῳ τῆς συμφορᾶς. ὅμως παρακαλέσαντες ἑαυτοὺς καὶ τοὺς ἐκ τῆς φυγῆς σκεδασθέντας ἀνακαλεσάμενοι προσβάλλουσι τοῖς Ῥωμαίοις, οἱ μὲν ἱππεῖς προδραμόντες, οἱ δὲ πεζοὶ κατόπιν ἐρχόμενοι. ὡς δὲ καὶ κατὰ τὴν πρώτην προσβολὴν ἀνεκόπησαν οἱ ἱππεῖς τὰς ὁρμὰς ὑπὸ Ῥωμαίων ἀνυποστάτων φανέντων, ἐκκλίναντες εἰς τοὺς πεζοὺς συνηλάθησαν. ἐκεῖσε δὲ πάλιν γενόμενοι ἀνελάμβανον ἑαυτούς, καὶ τοὺς Ῥωμαίους προσέμε-* C *νον ἐπερχομένους. καὶ ἦν μὲν ἄχρι τινὸς ἡ μάχη ἀγχώμαλος, ἕως οὗ Σκύθης τις μεγέθει σώματος καὶ ἀνδρίᾳ ψυχῆς ἐπαιρόμενος, τῶν ἄλλων ὑπερπηδήσας, ἐπ' αὐτὸν τὸν μάγιστρον φέρεται παριππεύοντα καὶ τὰς τάξεις παραθαρρύνοντα, καὶ ξίφει παίει κατὰ τοῦ κράνους. τοῦ δὲ ξίφους παρολισθήσαντος ἄπρακτος ἐγένετο ἡ βολή. τοῦτον δὲ ὁ μάγιστρος ξίφει παίει κατὰ τοῦ κράνους· βάρει δὲ τῆς χειρὸς καὶ βαφῇ τοῦ σιδήρου οὕτω γέγονεν ἐνεργὸς ἡ πλῆξις ὡς δίχα ὅλον διατμηθῆναι τὸν Σκύθην. καὶ Κωνσταντῖνος δὲ πατρίκιος ὁ τοῦ μαγίστρου ἀδελφός, τῷ ἀδελφῷ* D *βοηθῶν, ἕτερον Σκύθην συναιρόμενον τῷ ῥηθέντι καὶ ἰταμώτερον φερόμενον παῖσαι κατὰ τῆς κεφαλῆς ἐσπούδασεν· ἐκείνου δ' ἐπὶ θάτερα κλίναντος ἑαυτόν, διαμαρτήσας ὁ Κωνσταντῖνος κατα-*

8 *ἄρτι δ' ἐκ.*] *κἀκεῖνοι* C   11 *προσερχομένους προσέμενον* C
16 *κρανίου* C   *περιολισθήσαντος* C

His hoc modo victis, Bardas cum ex captivis intellexisset reliquos adhuc integros instructa acie pugnam exspectare, recta in eos ducit. Ii vero tametsi recens acceptus de Patzinacarum clade nuntius animos eorum insperata calamitate fractos deiecerat, tamen mutuo sese cohortati, adscitis etiam qui ex fuga confluebant, Romanis occurrunt, praemissis equitibus ac subsequentibus eos peditibus. primo congressu equites a Romanis, quorum vis subsisti non posse videbatur, reiecti inque peditatum compulsi sunt. ibi se recollegerunt et Romanorum impetum sustinuerunt. aliquamdiu dubio Marte pugnatum est, donec Scytha quidam mole corporis et robore animi elatus, ante alios progressus, in ipsum fertur Bardam, qui eques ordines obibat atque dictis animabat. huius cassidi Scytha cum gladium inflixisset, ictu delabente conatus irritus fuit. Bardas vero ense galeam Scythae feriit; et ob vim manus ac ferri praestantem tincturam ictui tanta fuit efficacitas ut medium Scytham dissecuerit. sed et Constantinus patricius, Bardae frater, alium Scytham, qui una cum priore ingruebat ac se ferocius gerebat, ut fratri opitularetur, caput ferire dum vult, declinante ictu barbaro, huius equi cervicem gladio tangit caputque amputat; collapsumque Scy-

φέρει τὸ ξίφος εἰς τὸν αὐχένα τοῦ ἵππου καὶ ἀποτέμνει τοῦ τραχήλου τὴν κεφαλήν. πεσόντος δὲ τοῦ Σκύθου ἀποβὰς τοῦ ἵππου καὶ τῇ χειρὶ τῆς γενειάδος δραξάμενος ἀποσφάττει τοῦτον. τοῦτο τὸ ἔργον Ῥωμαίους μὲν ἐπέρρωσε καὶ θαρραλεωτέρους ἐποίησε, δειλίας δὲ καὶ φόβου τοὺς Σκύθας ἐνέπλησε· καὶ ταχὺ ἐπιλελησμένοι ἀλκῆς τὰ νῶτα δεδώκασι, καὶ ἀσέμνως καὶ μετὰ πολλῆς ἔφευγον ἀκοσμίας. εἵποντο δὲ Ῥωμαῖοι, καὶ ἅπαν τὸ πεδίον νεκρῶν ἐμπεπλήκασιν. ἥλωσαν δὲ καὶ ζωγρίαι τῶν πεσόντων πλείους. ἐγένοντο δὲ καὶ πλὴν ὀλίγων πάντες οἱ περιλειφθέντες τραυματίαι.
P 669 καὶ οὐδεὶς ἂν διέδρα τὸν κίνδυνον, εἰ μὴ νὺξ ἐπιγενομένη ἐπέσχε τῆς διώξεως τοὺς Ῥωμαίους. καὶ τῶν μὲν βαρβάρων ἐκ τοσούτων μυριάδων ὀλίγοι παντελῶς διεγένοντο, Ῥωμαῖοι δὲ ἔπεσον ἐν τῇ μάχῃ κε΄, τραυματίαι δ᾽ ἐγένοντο ὁμοῦ τι σύμπαντες.

Οὔπω τέλος εἶχε τῷ Σκληρῷ τὰ τοῦ Σκυθικοῦ πολέμου, οὐδὲ προσεγένετο τοῖς Ῥωμαίοις τὸν ἐκ τῆς μάχης ἀποπλύνασθαι λύθρον, καὶ γράμματα ἐφοίτα βασιλικὰ μετάκλητον ποιοῦντα εἰς βασιλέα τὸν μάγιστρον· ὃν ἀφικόμενον ἐς τὴν Ἀσίαν κελεύει περαιωθῆναι,
B τὰ πρὸς τὸν προκείμενον ἀρκοῦντα ἀγῶνα εἰληφότα στρατεύματα. ἔτυχε γὰρ Βάρδας ὁ Φωκᾶς ἀποδρὰς ἐξ Ἀμασείας, ἣν οἰκεῖν κατεκέκριτο, μετὰ συγγενῶν καὶ φίλων καὶ συνήθων, μεθ᾽ ὧν ἀφανῶς συνωμόσατο τὴν ἐν Καππαδοκίᾳ καταλαβεῖν Καισάρειαν, κἀκεῖσε ἑταιρικὸν οὐκ ὀλίγον ἀθροίσας, ὧν ἦσαν ἔξαρχοι οἱ τοῦ πατρικίου Θεοδούλου παῖδες τοῦ Παρσακουτηνοῦ Θεόδωρος καὶ Νικηφόρος καί τις πατρίκιος ἄλλος Συμεὼν ὁ Ἀμ-

3 τοῦτον om C   15 ἀποπλύνεσθαι C   19 στρατεύματος C

tham ab equo descendens, manu mento eius arrepto, iugulat. hoc facinus Romanis animos auxit, Scythas autem metu implevit; itaque obliti mox virtutis terga dederunt, turpemque nullo ordine fugam fecerunt, quos insecuti Romani campum cadaveribus oppleverunt. plures interfectis capti sunt, et superstites, paucis demptis, omnes fuerunt saucii. quodnisi nox ingruens Romanos a persequendo hoste revocasset, nemo sane evasisset. de tot milibus barbarorum perpauci superfuerunt: de Romanis in acie ceciderunt viri 25, vulnerati sunt universi.

Nondum confecto Scythico bello, cum quidem nondum cruorem istius praelii abluere Romanis licuisset, literis imperatoris Bardas Durus ad imperatorem evocatur. qui ut eo venit, statim iubetur cum exercitu, quantus proposito certamini videretur sufficturus, in Asiam traiicere. etenim Bardas Phocas ex Amasia profugus, in quam relegatus fuerat, facta occulte conspiratione cum cognatis amicis et familiaribus suis occupaverat Caesaream Cappadociae, ibique socios haud paucos collegerat, quorum principes erant filii patricii Theoduli Parsacuteni Theodorus et Nicephorus, ac quidam patricius Simeon Ampelas. his

πελᾶς, διάδημα περιθεὶς ἑαυτῷ καὶ τὰ λοιπὰ τῆς βασιλείας ἀνειληφὼς γνωρίσματα ἀποστασίαν κατὰ τοῦ βασιλέως κινῆσαι, τοῦ πατρὸς αὐτοῦ Λέοντος τοῦ κουροπαλάτου τοὺς μὲν ἀναπείσαντος δώροις εἰς τοῦτο, τοὺς δὲ ὑποσχέσεσιν ἀξιωμάτων καὶ κτήσεων, C ὑπηρέτῃ πρὸς τοῦτο χρησαμένου τῷ τῆς Ἀβύδου ἐπισκόπῳ. ἐβούλετο δὲ καὶ αὐτὸς ἐκ τῆς Λέσβου διαπερᾶν λάθρᾳ σὺν τῷ υἱῷ Νικηφόρῳ εἰς τὰ ἐπὶ Θρᾴκην χωρία. γνωσθέντος δὲ τούτου τῷ βασιλεῖ, ἐπεὶ καὶ ὁ ἐπίσκοπος συνειλημμένος καὶ τοὺς ἐλέγχους οὐχ οἷός τε ὢν διαδιδράσκειν πάντα ἐξοῖσεν εἰς τοὐμφανές, παρεδόθη τοῖς δικασταῖς ὁ κουροπαλάτης, καὶ ὑπὸ πάντων τούτων προστιμᾶται τεθνάναι σὺν τῷ υἱῷ· ἐπιεικέστερον δὲ χρησαμένου τοῦ βασιλέως, ἀειφυγίᾳ καὶ τῶν ὀμμάτων πηρώσει καὶ ἄμφω καταδικάζονται, λεληθότως, ὡς λέγεται, τοῦ βασιλέως παραγγείλαντος τοῖς δημίοις μηδαμῶς τὰς ὄψεις τούτων λωβήσασθαι, D ἀλλὰ δόκησιν μὲν παρασχεῖν ἐκτυφλώσεως, ἔργῳ δ' ἐᾶσαι τούτους τὸ οἰκεῖον ἀποφέρεσθαι φῶς, ἀποκρύψαι δὲ καὶ ὅτι προστεταγμένον ἦν τοῦτο παρὰ τοῦ βασιλέως, ἑαυτοῖς δὲ τὸ ἔργον ἀναθέσθαι ὡς τάχα φιλανθρωπευσαμένοις καὶ χαρισαμένοις τὸ βλέπειν αὐτοῖς. καὶ τὰ μὲν τοῦ κουροπαλάτου εἰς τοῦτο ἐτελεύτα· διαβὰς δὲ ὁ Σκληρὸς εἰς τὴν Ἀσίαν κἀν τῷ Δορυλαίῳ γενόμενος πρῶτον μὲν ἀπεπειρᾶτο τοῦ Φωκᾶ καὶ τῶν τούτῳ συναιρομένων, εἴ πως δυνηθείη αὐτὸς ἀγαθῶν ὑποσχέσεσιν ἀποστῆναι πεῖσαι τῶν βεβουλευμένων (καὶ γὰρ δὴ καὶ παραγγελίαν εἶχεν ἐκ βασιλέως ὡς ἀνυστὸν ἀγωνίσασθαι ἐμφυλίου αἵματος καθαρὰς διατηρῆσαι

7 πεδία C 19 μὲν περὶ τοῦ C 20 εἰς om C

fretus Bardas Phocas opibus, diademate reliquisque imperii insignibus assumptis, adversus imperatorem seditionem moverat. ad eam defectionem pater eius Leo europalates alios muneribus alios dignitatum et opum pollicitationibus permoverat, usus ad hoc ministerio episcopi Abydeni; atque ipse statuerat clanculum ex Lesbo in Thraciam una cum filio suo Nicephoro traiicere. hic europalates re imperatori detecta (comprehensus enim episcopus Abydenus et convictus rem totam patefecerat) iudicibus traditus, ab iisque morte est cum filio damnatus. sed imperator ita sententiam mitigavit ut uterque oculis orbatus perpetuum exsularet. ferturque clam carnificibus mandasse ne oculis eos privarent, sed simulato eos se effodisse visum incolumem ipsis relinquerent, neque mandato id se imperatoris, sed humanitate motos fecisse prae se ferrent. is tum fuit exitus rerum europalatae. ceterum Durus ut in Asiam ad Dorylaeum pervenit, primo Phocam et eius conspirationis populares promissionibus splendidis a proposito deducere tentavit. mandaverat enim ipsi imperator ut quoad eius omnino fieri posset, manus civilis sanguinis puras servaret. postquam vero id abs re se conari

τὰς χεῖρας)· ὡς δ' ἀνηνύτοις ἔγνω ἐπιχειρῶν (ἐθρασύνοντο γὰρ μᾶλλον ἢ ἐχαυνοῦντο ταῖς πρεσβείαις οἱ ἀποστάται), ἔργου ἤδη
P 670 *ἅπτεσθαι ἔκρινε, καὶ τὸν στρατὸν ἀγείρας ἀπῄει πρὸς τὴν Καισάρειαν. ὅπερ οἱ σὺν τῷ Φωκᾷ ἐγνωκότες, καὶ τὸ ἐπ' ἀδήλοις ἐλπίσιν ὀχεῖσθαι ἐάσαντες καὶ τὰ ἐν χερσὶ προτιμήσαντες, τὰς ἐκ τοῦ βασιλέως διδομένας αὐτοῖς δωρεὰς δεξάμενοι νυκτὸς ἐπιγενομένης αὐτομολοῦσι πρὸς τὸν Σκληρόν, πρῶτος μὲν ὁ Διογένης Ἀδράλεστος, εἶτα καὶ ὁ Ἀμπελᾶς καὶ οἱ τοῦ Θεοδούλου παῖδες, οἱ καὶ τὸ πᾶν τῆς ἀποστασίας προκαταρτύσαντες, καὶ ἐφεξῆς τὸ λοιπὸν ἅπαν πλῆθος, ὡς μόνον ἀθρόον μετὰ τῶν ἑαυτοῦ θεραπόντων περιλειφθῆναι τὸν Φωκᾶν. πάσης δὲ βοηθείας ἔρημος*
B *οὗτος ἀπολειφθείς, καὶ ἀνίᾳ βαπτισθεὶς καὶ λύπῃ κατὰ τῶν παρακινησάντων, εἶτα προδεδωκότων, κατηνέχθη πρὸς ὕπνον ἤδη νυκτὸς ἐπιστάσης. ἔδοξεν οὖν ὑπνώττων ἀγανακτεῖν καὶ ἀλύειν καὶ περὶ τῶν ἀδικησάντων διαλέγεσθαι τῷ θεῷ, "δίκασον κύριε" λέγων "τοὺς ἀδικοῦντάς με." ἐν ᾧ δὲ ἔμελλε τὰ ἑπόμενα εἰπεῖν τοῦ ψαλμοῦ, ἤκουσε φωνῆς λεγούσης μὴ περαιτέρω προβῆναι· ἔφθασε γὰρ ὁ Σκληρὸς προειληφέναι τὸ ἐπίλοιπον τῆς ᾠδῆς. διαναστὰς οὖν σύντρομος, ὡς ἔγνω πάσης ἐλπίδος ὠλισθηκώς, ὡς*
C *εἶχεν ἐξιππασάμενος μετὰ τῶν περὶ αὐτὸν πρὸς τὸ φρούριον ἔφευγε τὸν Τυροποιόν. γνωσθέντος δὲ τοῦ δρασμοῦ τῷ μαγίστρῳ Βάρδᾳ τῷ Σκληρῷ, ἱππεῖς ἀπεστέλλοντο εὔζωνοι καταταχῆσαι καὶ καταλαβεῖν αὐτὸν πρὸ τοῦ εἰς τὸ φρούριον εἰσελθεῖν· οἵτινες συντόνῳ*

9 προκαταρτίσαντες C 10 ἀθρόως C 20 περὶ τὸ φρ. P ἔφυγε C

vidit (quippe seditiosi legatis auditis potius efferabantur quam ut quicquam concederent), rem gerere intendit, collectoque exercitu Caesaream petiit. at socii Phocae eo cognito, spes incertas repudiantes iisque in promptu sita praeferentes, acceptis quae ab imperatore offerebantur muneribus, nocte facta ad Bardam transfugerunt, primus omnium Diogenes Adralestus, deinde et Ampelas et Theoduli filii, qui auctores totius defectionis fuerant; tum reliqua omnis multitudo, ita ut solus cum suis famulis Phocas manserit. atque hic omni destitutus auxilio, aegritudini animi atque indignationi adversus eos qui eum prius ad rebellionem incitarant atque tum prodiderant immersus, nocte iam ingruente sopitus est. per somnum imaginatus est quiritari se animoque angi, et de iis qui iniuria ipsum affecerant, sic deo conqueri (Psalm. 34) "domine, ulciscere eos, qui me infestarunt." cumque reliquum psalmi addere vellet, vocem audire quae progredi vetaret, quod diceret reliquam carminis partem iam esse a Barda antecaptam. surrexit ergo tremebundus, omnique se spe excidisse videns, ut erat instructus, cum suis equos conscendit, fugaque castellum Tyropoeum petiit. Bardas ubi de fuga eius certior est factus, expeditos equites mittit, qui celeriter ei occurrant et antequam castellum intret comprehendant. ii citatis

χρησάμενοι τῇ διώξει καταλαμβάνουσιν αὐτὸν κατὰ τὸ πεδίον καὶ μέλλοντα ὅσον οὐδέπω ταῖς τοῦ φρουρίου προσεγγίζειν ὑπωρείαις. εἷς δὲ τούτων τόλμῃ προφέρων καὶ γενναιότητι, τοὔνομα Κωνσταντῖνος, Χάρων τὴν προσηγορίαν, τοὺς ἄλλους κατόπιν λιπὼν μετὰ συντονίας ἐπήρχετο τῷ Φωκᾷ, ὄπισθεν οὐραγοῦντι τῶν ἑαυτοῦ, καὶ ἤν τις ἐπίῃ δέξασθαι προθύμως παρεσκευασμένῳ. τοῦ- D
τον πόρρωθεν ἰδὼν καὶ γνωρίσας ὁ Χάρων ὕβρεσιν ἀσέμνοις καὶ ἀπρεπέσιν ἔβαλλεν, ἀγεννῆ καὶ ἄνανδρον ἀποκαλῶν, καὶ προσμένειν κελεύων μικρὸν ὥστε τὰ γέρα τῆς ἀποστασίας λαβεῖν. ὁ δὲ τῶν ὕβρεων ἐπακούων, καὶ ὅστις ὁ λέγων μὴ ἀγνοήσας, ἐπισχὼν τὸν χαλινὸν καὶ πρὸς ἐκεῖνον ἐπιστραφεὶς "ἔδει σε ὦ ἄνθρωπε" ἔφη, "τὸ ἀστάθμητον λογισάμενον τῆς τῶν ἀνθρώπων τύχης μὴ προσονειδίζειν, μηδ' ἐπεμβαίνειν ἀνθρώπῳ ταῖς ἐξ αὐτῆς ἐπηρείαις ἠναγκασμένῳ, ἀλλ' οἰκτείρειν μᾶλλον καὶ ἐλεεῖν τὸν δυστυχοῦντά με, πατέρα μὲν ἐσχηκότα κουροπαλάτην, πάππον δὲ Καίσαρα, θεῖον βασιλέα, δοῦκα δὲ καὶ αὐτὸν γεγονότα καὶ τοῖς ἀνωτέρω συναριθμηθέντα, νυνὶ δὲ ἐσχάτοις κακοῖς ὑποβεβλημένον καὶ ἀκληρήμασι." τοῦ δὲ "καλὰ ταῦτα, ὦ κακὴ κεφαλή, λέγεσθαι P 671
πρὸς παῖδας τοὺς δυναμένους ἀπατηθῆναι" εἰπόντος, "ἐμὲ δὲ οὐ φενακίσεις τοῖς τοιούτοις σου λογυδρίοις," καὶ τὸν ἵππον μυωπίζοντος καὶ θρασύτερον προσιόντος, σπασάμενος ὁ Φωκᾶς τὴν ἐν τῇ ἐφεστρίδι παρῃωρημένην κορύνην καὶ ὑπαντιάσας παίει τοῦτον κατὰ τοῦ κράνους. καὶ αὐτὸν μὲν ἀποδείκνυσι νεκρὸν παραυ-

2 οὔπω C 5 οὐραγοῦντα C 10 ὑπακούων P 15 ἐμέ C δὲ om C 16 ἀνωτέροις C 22 σέλλῃ κρεμαμένην margo C

equis vecti Phocam in campo assequuntur iamiam imo monti in quo castellum erat situm subeuntem. erat inter eos audacia et indole princeps Constantinus Charon. is reliquis a tergo relictis Phocam citato cursu insecutus est, agmen suorum claudentem et ad strenue defendendam vim paratum. hunc Charon eminus conspectum cum agnosceret, turpia in eum iecit convicia, degenerem et timidum appellans, iubensque paulisper operiri, dum praemium defectionis acciperet. Phocas contumelias inaudiens, neque ignorans quis eas iactaret, inhibito equo se Charonti obvertit, et "heus" inquit, "oportebat te instabilitatem humanae fortunae considerantem non exprobrare, neque insultare homini eius improbitate in hanc coniecto necessitatem, sed miserari potius meam calamitatem, nati patre curopalata, avo Caesare, patruo imperatore; eiusque adeo, qui cum et dux fuisset et inter summos numeratus, nunc extremis calamitatibus atque infortuniis premor." ad haec Charon "recte" inquit "pueris haec, scelestc, dicerentur, qui verbis ludi queant: me his nugis non decipies." simulque equo calcaribus stimulato ferocius invadit. tum Phocas clavam, quam sub paludamento pendentem ferebat, arripit, obviumque se ferens, ictu in caput impacto,

νίκα, ἐμποδίσαι μὴ δυνηθείσης τῆς κόρυθος τῇ βίᾳ τῆς πληγῆς, ἐκεῖνος δὲ ἀποστρέψας τὸν χαλινὸν εἴχετο τῆς ὁδοῦ. οἱ δὲ διώκοντες κατόπιν ἐρχόμενοι, καὶ ἔνθα ὁ Χάρων τεθνηκὼς ἔκειτο γενόμενοι, καὶ τῷ ἀνυποστάτῳ τοῦ πτώματος ἐκπληττόμενοι πάν- B τες ἵστων τὴν δίωξιν, μηδενὸς τολμῶντος προσωτέρω ἰέναι. καὶ οὕτως ἀδείας λαβόμενος ὁ Φωκᾶς ἄνεισιν εἰς τὸ φρούριον. παρεγένετο μετὰ ταῦτα καὶ ὁ Σκληρός, συνεχῶς πρὸς ἐκεῖνον πέμπων, καὶ κήδεσθαι μεθ' ὅρκων γράφων ὡς κηδεστοῦ (νύμφην γὰρ ἐπὶ τῷ ἀδελφῷ Κωνσταντίνῳ τὴν ἐκείνου εἶχεν ἀδελφὴν Σοφίαν), καὶ συμβουλεύων προσχωρῆσαι τῷ βασιλεῖ καὶ τὴν ἑαυτοῦ διὰ τῆς αὐτομολίας συμπάθειαν ἐπισπάσασθαι. ὅρκους οὖν λαβὼν ὡς οὐδέν τι πείσεται φλαῦρον, παραδίδωσιν ἑαυτὸν τῷ Σκληρῷ σὺν τοῖς συνοῦσιν αὐτῷ. ὃν μηδὲν ἄλλο παθόντα κακόν, μόνον δὲ γενόμενον κληρικὸν ἐν τῇ νήσῳ Χίῳ ὑπερορίζει ὁ βασιλεύς. C τὸν δὲ Σκληρὸν εὐζώνως μετὰ τῶν κούφων ταγμάτων διαβῆναι πάλιν κελεύει πρὸς τὴν ἑσπέραν.

Ἄγεται δὲ ἑαυτῷ γυναῖκα ὁ Ἰωάννης Θεοδώραν τὴν ἀδελφὴν Ῥωμανοῦ, θυγατέρα δὲ τοῦ πορφυρογεννήτου Κωνσταντίνου· καὶ ταύτῃ τῇ πράξει μεγάλως εὔφρανε τοὺς πολίτας ὡς τὸ τῆς βασιλείας κράτος περιφυλάττων τῷ γένει.

Δευτέρῳ δὲ ἔτει τῆς βασιλείας αὐτοῦ μέλλων ἐκστρατεύειν κατὰ τῶν Ῥὼς τά τε στρατεύματα φιλοτιμίαις ἀνελάμβανε, καὶ

10 τὴν ἐκείνου C 11 οὖν om C 13 τοῖς ὑπ' αὐτόν C
21 ἐν δὲ τῷ β' C

leto dat Charontem, galea nihil adversus vim plagae valente; et equo frenis averso institutum iter prosequitur. cum vero insequentium reliqui eo pervenissent, cadavere Charontis conspecto, re improvisa consternati substiterunt, nemine eorum ultra progredi audente. ita Phocas securitatem nactus in castellum pervenit. mox eodem Bardas accessit, continenterque ad Phocam missis internuntiis, interposito iuramento confirmavit se ipsius eam curam gerere quam affinis habere par esset (nam Sophia Phocae soror Constantino Duri fratri nupserat), suasitque ut imperatori se dederet, impetraturus ab eo rebellionis veniam. itaque fide a iurato Duro accepta Phocas, nihil in se atrox statutum iri, huic se suosque dedit. contentusque hac poena fuit imperator ut eum clericum factum in Chium relegaret; et Durum cum expeditis cohortibus iussit in Occidentem reverti.

Praeterea imperator uxorem ducit Theodoram Romani sororem, filiam Constantini Porphyrogeniti. quae nuptiae pergratae fuerunt civibus, quod eum imperium isti familiae conservare velle indicarent.

Tzimisces anno secundo imperii sui in Rossos expeditionem suscepturus, cum animos militum liberalitate sua refecisset, duces ils prae-

στρατηγοὺς ἐφίστα ἐπὶ συνέσει καὶ ἐμπειρίᾳ στρατηγημάτων βεβοημένους, καὶ τῶν ἄλλων ἐπεμελεῖτο παρασκευῶν, ἵνα μηδενὸς σπανίζοι τὸ στράτευμα. ἐπεμελήθη δὲ καὶ τοῦ στόλου διὰ Λέον- D τος τοῦ μετὰ ταῦτα πρωτοβεστιαρίου, δρουγγαρίου τότε τῶν πλωΐμων τυγχάνοντος, τὰ μὲν παλαιὰ ἐπισκευάσας, κατασκευάσας δὲ καὶ ἄλλα καινὰ καὶ στόλον ἀξιόλογον καταστησάμενος. ἐπεὶ δὲ πάντα καλῶς εἶχεν αὐτῷ ἔαρος ἐπιστάντος, τῷ θεῷ τὰ ἐξιτήρια θύσας καὶ συνταξάμενος τοῖς πολίταις ἔξεισι τῆς βασιλίδος. γενομένῳ δ' αὐτῷ κατὰ τὴν Ῥαιδεστὸν δύο συναντῶσι πρεσβευταὶ τῶν Σκυθῶν, τῷ δοκεῖν μὲν πρεσβείαν ἀποπληροῦντες, ἔργῳ δὲ τὰ Ῥωμαίων ἐλθόντες κατασκοπῆσαι πράγματα· οὓς ὀνειδίζοντας καὶ ἄδικα πάσχειν ἐπιβοωμένους προσέταξεν ὁ βασιλεὺς περιελθεῖν ἅπαν τὸ στρατόπεδον καὶ θεωροὺς γενέσθαι τῶν τάξεων (οὐδὲ γὰρ ἠγνόησε τῆς ἀφίξεως τὴν αἰτίαν), περιελθόντας δὲ καὶ πάντα P 672 κατασκοπήσαντας ἀπαλλάττεσθαι παρεκελεύετο, καὶ τῷ σφῶν ἡγουμένῳ λέγειν ὡς μετὰ τοιαύτης εὐκοσμίας καὶ πειθηνίου λαοῦ ὁ Ῥωμαίων βασιλεὺς ἔρχεται ὠχυρωμένος πολεμήσων αὐτῷ. καὶ τοὺς μὲν πρεσβευτὰς ὑποχωρῆσαι πεποίηκεν οὕτως, αὐτὸς δὲ κατόπιν εὐζώνους λαβών, πεζοὺς μὲν ἀμφὶ τὰς πέντε χιλιάδας ἱππεῖς δὲ εἰς τετρακισχιλίους, τὸ δὲ λοιπὸν ἅπαν πλῆθος σχολαίως ἕπεσθαι κελεύσας μετὰ Βασιλείου τοῦ παρακοιμωμένου, τὸν Αἷμον διαβὰς ἀπροόπτως εἰς τὴν πολεμίαν διαβαίνει καὶ ἐσβάλλει, καὶ ἐγγὺς τῆς πόλεως τῆς μεγάλης Περσθλάβας, ἥτις εἶχε τὰ τῶν B Βουλγάρων βασίλεια, τὴν στρατοπεδείαν ἐπήξατο. τοῦτο αἰφνι-

18 οὗτος C   22 βασιλείαν C   διαβαίνει καὶ om C

fecit prudentia et artium imperatoriarum peritia nobiles; et reliquis omnibus apparandis eam impendit curam, ne quid rerum necessariarum exercitibus deesset. classem quoque curavit opera Leonis eius qui tunc rei navalis drungarius, postea est protovestiarius factus; et cum veteres naves refecit tum novas fabricatus est, et classem iustam constituit. omnibus probe adornatis, ineunte vere sacris deo pro felici exitu operatus, et relictis ad cives mandatis, Cpoli exit. cum ad Raedestum venisset, duo illi occurrunt a Scythis missi sub legationis praetextu exploratum res Romanas. quos expostulantes et de iniuriis Scythicae genti factis querentes, cum non ignoraret causam eorum adventus, per tota castra circuire, et omnes ordines contemplari, eoque facto domum redire, suoque principi dicere iubet Romanum sic ornato et dictis obsequente exercitu ad bellum contra ipsum gerendum venire. hoc modo dimissis exploratoribus, ipse cum expeditis circiter 5000 peditibus et quattuor equitum milibus, mandato reliquis ut duce Basilio cubiculario citra festinationem subsequerentur, superato Aemo in hosticum nemine exspectante irrumpit, et prope urbem magnam Persthlabam, ubi regia erat Bulgarorum, castra ponit. ea subita res Scythis terrorem stupo-

δίως γενόμενον τοὺς μὲν Σκύθας εἰς ἔκστασιν καὶ ἀμηχανίαν ἐνέβαλε, Καλόκυρος δὲ ὁ τῶν παρόντων κακῶν πρωτουργός τε καὶ αἴτιος, μηδὲ τὴν τῆς σάλπιγγος ἠχὴν ἐνωτίσασθαι καρτερήσας (ἔτυχε γὰρ καὶ οὗτος ἐκεῖσε ἐνδιατρίβων), ἐπείπερ ᾔσθετο τὸν βασιλέα παραγενέσθαι αὐτὸν αὐτουργὸν ἐσόμενον τοῦ πολέμου, λάθρα τοῦ ἄστεος ὑπεκδὺς πρὸς τὴν παρεμβολὴν ἀποδιδράσκει τῶν Ῥώς. ὃν ἰδόντες οὗτοι, καὶ τὴν τοῦ βασιλέως πυθόμενοι ἄφιξιν, ἐς ταραχὴν οὐ μετρίαν ἐνέπιπτον. ἀναλαβόντες δ' ὅμως C *ἑαυτούς, τοῦ Σφενδοσθλάβου πολλὰ παραινετικὰ ῥήματα καὶ τῷ καιρῷ δημηγορήσαντος πρόσφορα, ἀφικνοῦνται καὶ παραστρατοπεδεύονται τοῖς Ῥωμαίοις. τέως δὲ τὸ συνὸν τῷ βασιλεῖ στράτευμα εἰς τὸ πρὸ τῆς πόλεως πεδίον παραγενόμενοι αἰφνιδίως μηδὲν προσδοκῶσι τοῖς πολεμίοις ἐμπίπτουσι, καταλαμβάνουσι δὲ ἔξω τειχῶν τὴν ἐνόπλιον παιδείαν γυμναζομένους ἄνδρας εἰς ὀκτακισχιλίους καὶ πεντακοσίους ἀριθμουμένους, οἵτινες ἐπὶ χρόνον τινὰ ἀντισχόντες, εἶτα καταπονηθέντες ἔφευγον· καὶ οἱ μὲν ἀκλεῶς ἀνῃρέθησαν, οἱ δὲ εἰς τὴν πόλιν διασώζονται. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, οἱ ἔνδον ὄντες τῆς πόλεως Σκύθαι, τὴν ἀπροόπτον* D *ἐπέλευσιν αἰσθόμενοι τῶν Ῥωμαίων καὶ τὴν πρὸς τοὺς σφετέρους συμπλοκήν, ἕκαστος ὡς ὁ καιρὸς ἐδίδου τὸ προστυχὸν λαμβάνοντες ὅπλον ἐξῄεσαν εἰς βοήθειαν. οὓς συναντῶντες οἱ Ῥωμαῖοι, ἀσύντακτον καὶ διεσπασμένην τὴν πορείαν ποιοῦντας, ἔκτεινον. διὸ μηδ' ἀντισχεῖν κἂν ἐπὶ μικρὸν χρόνον δυνηθέντες κλίνουσιν*

2 καλοκύρης C 4 ἐκεῖσε γὰρ καὶ οὗτος ἔτυχεν C 10 παραστρατοπεδεύουσιν C 13 προσδοκοῦσι C 23 ἔκλιναν C

remque incussit; et Calocyrus praesentium malorum auctor, qui tum ea in urbe degebat, ne sonitum quidem tubae exaudire sustinens, cognito ipsum imperatorem ad rem gerendam adesse, furtim urbe elapsus in castra Rossorum venit. eo viso Rossis, et de adventu imperatoris certiores redditis, haud mediocris incidit trepidatio. tamen Sphendosthlabo multis eos cohortato, et quae praesens rerum status requirebat concionato, animis receptis ad urbem accedunt et castra Romanorum castris opponunt. interim exercitus imperatoris in planitiem, quae erat ante urbem, se conferens in hostes nihil prorsus tale sperantes subito incidit: ii erant 8 virorum milia et quingenti, extra urbem in armis sese exercentes. qui cum aliquantulum restitissent, mox defatigati fugam fecerunt, et partim ingloriam oppetierunt mortem, partim in urbem evaserunt. dum haec geruntur, Scythae qui intra moenia erant, sentientes Romanos ex improviso irruisse et cum suis manum contulisse, subito ut cuique casus armorum aliquid offerebat instructi, urbe se ad ferendum suis auxilium effundunt; quibus incomposito venientibus agmine occurrentes Romani magnam edunt caedem, et barbari ne aliquantulum qui-

εἰς φυγήν. προδραμόντων δὲ τῶν ἱππέων τῆς Ῥωμαίων φάλαγγος καὶ τὴν ἐς τὴν πόλιν φέρουσαν ἐπιτειχισάντων, ἀνὰ τὸ πεδίον ἐσκεδασμένοι φεύγοντες καὶ καταλαμβανόμενοι ἀνῃροῦντο, ὡς ἅπαντα τὰ ὁμαλὰ πληρωθῆναι νεκρῶν, ζωγρίας δὲ ἁλῶναι ἀριθμοῦ κρείττους. Σφάγελλος δὲ ὁ πάσης τῆς ἐν Περσθλάβῳ στρατιᾶς ἐξηγούμενος (ἐτάττετο δὲ δεύτερος μετὰ τὸν Σφενδοσθλάβον ἐν Σκύθαις) καὶ περὶ αὐτῆς ὡς εἰκὸς δείσας τῆς πόλεως, τὰς πύλας ἀποκλείσας καὶ μοχλοῖς ἐξασφαλισάμενος ἄνεισιν εἰς τὸ τεῖχος, καὶ P 673 παντοίοις βέλεσι καὶ λίθοις τοὺς ἐπιόντας Ῥωμαίους ἠμύνετο. νὺξ μὲν οὖν ἐπιγενομένη διέλυσε τὴν πολιορκίαν, ἕωθεν δὲ ὁ πρόεδρος Βασίλειος ἀνεφάνη μετὰ τοῦ κατόπιν παντὸς πλήθους· καὶ ὁ βασιλεὺς τῇ τούτου ἐλεύσει περιχαρὴς γενόμενος ἄνεισιν ἐπί τινος γεωλόφου, ὡς εἴη τοῖς Σκύθαις καταφανής, τὰ δὲ πλήθη ἐς ταυτὸ συνελθόντα ἐκύκλουν τὴν πόλιν. ὡς δὲ πολλὰ τοῦ βασιλέως παρακαλοῦντος ἐνδοῦναι τῆς ἐνστάσεως καὶ μὴ ἄρδην ἀπολωλέναι, οὐκ ἐπείθοντο κατιέναι τοῦ τείχους, θυμοῦ δικαίου πλησθέντες οἱ Ῥωμαῖοι εἴχοντο τῆς πολιορκίας, τόξοις τε τοὺς ἄνωθεν εἴργοντες καὶ κλίμακας τοῖς τείχεσι προσερείδοντες. καί τις B στρατιώτης γεννάδας, ξίφος τῇ δεξιᾷ κατέχων καὶ τῇ λαιᾷ ἄνωθεν τῆς κεφαλῆς τὴν ἀσπίδα προβεβλημένος, πρῶτος διὰ μιᾶς τῶν κλιμάκων ἀναρριχώμενος, καὶ τῇ μὲν ἀσπίδι τὰς βολὰς ἀποκρουόμενος τῷ δὲ ξίφει τοὺς ἐπιόντας καὶ κωλύοντας ἀμυνόμενος, ἄνεισι διὰ τῶν ἐπάλξεων, καὶ τοὺς ἐκεῖσε πάντας διασκεδάσας ἄδειαν

2 ἐπιτειχίσαντες C   14 ἐπολιόρκουν C   23 ἄνεσιν C

dem resistere valentes dant terga. sed quia Romani equites citatis equis viam in urbem ducentem occuparant atque insederant, fuga per campos palantes atque deprehensi occiduntur. itaque et cadaveribus tota planities constrata est et innumeri capti. proinde Sphagellus, cuius post Sphendosthlabum summa erat inter Scythas auctoritas, Persthlabani exercitus praefectus, iam de ipsa urbe retinenda anxius portas claudit ac vectibus obiectis munit, et de muro omnis generis missilibus ac saxis subeuntes Romanos arcet. nox oborta obsidionem solvit. postridie prima luce praeses Basilius cum reliquis copiis adfuit, cuius adventus magnum gaudium imperatori attulit; et collem quendam conscendit, ut Scythis esset conspicuus. interim copiae inter se coniunctae urbem cingunt. multis hortato barbaros imperatore ut ab incepto desisterent neque sibi ipsis exitii causa essent, cum nihil proficeretur, Romani iusta incensi ira oppugnationem aggressi sagittis murorum defensores abigunt, scalas muris opponunt; et quidam animosus miles dextra gladium tenens, laevaque scutum ad capitis defensionem elatum gestans, primus per scalam in murum evadit, scuto ictus amoliens et ense obstantes arcens, itaque per propugnacula adscendens, dissipatis qui ibi erant hostibus, suis tutum muri conscendendi locum

ἀνόδου τοῖς κατόπιν παρέσχετο· ὃν μιμησάμενος ἄλλος καὶ αὖ ἄλλος καὶ πολλοὶ ἕτεροι ἀνῆλθον. καὶ συνασπισμοῦ γενομένου C οἱ Σκύθαι κατισχυόμενοι ἑαυτοὺς ἀπὸ τῶν τειχῶν κατεκρήμνιζον. πολλοὶ δὲ καὶ ἄλλοι Ῥωμαῖοι κατὰ ζῆλον τῶν προτέρων καὶ ἐν διαφόροις τόποις διὰ κλιμάκων ἀνέβαινον εἰς τὸ τεῖχος. καὶ τῶν Σκυθῶν θορυβουμένων ἔλαθόν τινες ἀμογητὶ πρὸς τὰς πύλας ἐλθεῖν, καὶ ταύτας ἀναπετάσαντες εἰσῆγον τὸ στράτευμα. καὶ τοῦτον τὸν τρόπον τῆς πόλεως ἁλούσης οἱ μὲν Σκύθαι ἀνὰ τοὺς στενωποὺς φεύγοντες καὶ καταλαμβανόμενοι ἀνῃροῦντο, γυναῖκες δὲ καὶ παιδία ᾐχμαλωτίζοντο. ἑάλω δὲ καὶ Βορίσης ὁ βασιλεὺς τῶν Βουλγάρων ἅμα γυναικὶ καὶ τέκνοις, ἔτι τὰ παράσημα φέρων τῆς βασιλείας, καὶ εἰς βασιλέα ἀπήχθη. τούτῳ δὲ ὁ βασιλεὺς φιλανθρώπως ἐχρήσατο, αὐτόν τε βασιλέα Βουλγάρων ἀποκαλῶν, καὶ D πάντας τοὺς ἁλισκομένους Βουλγάρους ἀνέτους ἀφιεὶς καὶ ἐλευθέρους ὅπῃ καὶ βούλοιντο ἀπιέναι, οὐκ ἐπὶ δουλείᾳ φάσκων Βουλγάρων ἀλλ' ἐπ' ἐλευθερίᾳ μᾶλλον ἀφῖχθαι, Ῥῶς δὲ μόνους γινώσκειν ἐχθροὺς καὶ τούτοις χρῆσθαι ὡς πολεμίοις.

Οἱ δὲ τῶν Σκυθῶν γενναιότεροι ὀχύρωμά τι κατειληφότες ἐντὸς τῶν τῆς πόλεως βασιλείων, ὀκτακισχίλιοι τὸν ἀριθμόν, ἐπί τινα χρόνον ἐλάνθανον, καὶ πολλοὺς τῶν καθ' ἱστορίαν ἐκεῖσε γενομένων ἢ σκύλων ἁρπαγὴν ἀσυμφανῶς κρατοῦντες ἀπέκτεινον. οὗ γνωσθέντος τῷ βασιλεῖ στρατὸς ἐπ' αὐτοὺς ἐστέλλετο ἀξιόμαχος. ὀκνηρῶς δὲ εἶχον οἱ πεμπόμενοι, καὶ τῆς πολιορκίας ἐδει-

2 ἀνῆλθον om C 5 τόποις om C 10 παῖδες C 16 ἀφικέσθαι?

praebet. hunc alii post alios imitantur. cumque hoc modo complures murum iam tenerent, cuneo facto Scythas pellunt, iique se de muris agunt praecipites. aliis quoque diversis locis multi priores imitati per scalas in murum succedunt. et Scythis trepidantibus quidam Romani hoste non animadvertente ad portas nullo negotio perveniunt, fisque apertis totum immittunt exercitum. hoc modo urbe capta, Scythae per angiporta diffugientes deprehensi interimuntur, mulieres et pueri captivi ducuntur. capitur et cum coniuge et liberis Borises Bulgarorum rex, regni insignia adhuc gestans, et ad imperatorem adducitur. cui se imperator admodum exhibuit humanum, regem Bulgarorum appellans, omnesque captivos Bulgaros libero quo quisque abire vellet permittens, non ad subigendos sed ad liberandos Bulgaros bellum se movisse dicens, solosque Rossos se hostium habere numero.

Interim Scytharum animosiores ad octo milia locum in regia munitum occupant, ibique aliquamdiu latent, ac multos qui loci contemplandi aut spoliorum causa eo accederent, occulte arreptos interficiunt. imperator re cognita exercitum adversus eos mittit. qui cum animo langue-

λίων ἀποπειρᾶσθαι, οὐκ ἐπειδὴ τοὺς Ῥῶς ἐφοβοῦντο, ἀλλ' ἐπειδὴ ὁ τόπος ὀχυρὸς ἦν καὶ ἀνάλωτος. καὶ τοῦτο δὲ ὁ βασιλεὺς εὐχερῶς P 674 διελύσατο, τὰ ὅπλα λαβὼν καὶ πεζὸς ἔμπροσθεν τῶν ἄλλων προπορευόμενος· τοῦτο γὰρ ἰδόντες οἱ στρατιῶται ἀθρόοι τὰ ὅπλα λαβόντες ἔθεον, ἕκαστος τὸν βασιλέα προλαβεῖν ἐπειγόμενοι, καὶ μετὰ βοῆς καὶ ἀλαλαγμοῦ τῷ φρουρίῳ προσβάλλουσιν. ἐκθύμως δὲ τῶν Ῥῶς ὑπομενόντων τὴν πολιορκίαν, πῦρ εἰς πολλὰ μέρη ἐφάψαντες, οὕτω τοὺς ἀνθισταμένους κατηγωνίσαντο· μὴ στέγοντες γὰρ τὴν τοῦ πυρὸς δύναμιν καὶ τὴν Ῥωμαϊκὴν χεῖρα, ἕκαστος ἑαυτὸν κρημνίζοντες ἀπεδίδρασκον· καὶ πολλοὶ μὲν ἀνήλωντο τῷ πυρί, πολλοὶ δὲ κρημνιζόμενοι ἀπώλοντο, τοὺς δὲ λοιποὺς μάχαιρα καὶ αἰχμαλωσία διεδέξαντο. καὶ ἡ μὲν πόλις τοῦτον ἑάλω B τὸν τρόπον, ἐν δυσὶν ὅλαις ἡμέραις μὴ ἀντισχοῦσα· ταύτην δ' ἁλοῦσαν ἀνακτησάμενος ὁ βασιλεύς, καὶ φρουρὰν ἀξιόλογον ἐπιστήσας, καὶ τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια δαψιλῶς παρασκευασάμενος, καὶ τὴν τῆς ἁγίας Ἀναστασίας τελέσας ἑορτήν, καὶ ἐξ ἑαυτοῦ Ἰωαννούπολιν μετονομάσας τὴν πόλιν, τῇ ἐπαύριον τῆς ἐπὶ τὸ Δορόστολον, ὃ καὶ Δρίστρα καλεῖται, εἴχετο πορείας.

Ὁ δὲ Σφενδοσθλάβος τὴν τῆς Περσθλάβας πυθόμενος ἅλωσιν εἰς ταραχὴν ἐνέπεσεν, ὡς εἰκός, οὐ μήν γε καὶ τοῦ φρονήματος καθυφῆκεν, ἀλλὰ παραθαρρύνας τοὺς περὶ αὐτόν, καὶ νῦν μᾶλλον ἀγαθοὺς ἄνδρας ἀναφανῆναι παρακαλέσας, τἆλλά τε ὡς C ἐνῆν καταστησάμενος, καὶ πάντας οὓς εἶχεν ἐν ὑποψίᾳ τῶν Βουλ-

3 ἔμπροσθεν om C   10 ἐπικρήμνιζόν τε καὶ ἀπ. C   16 ἀναστάσεως C   18 δρίστα C   21 τοὺς ὑφ' ἑαυτὸν C

ret et oppugnationem tentare non auderet, non hostium id metu, sed quod locus is munitus atque inexpugnabilis videbatur, imperator facile remedium adhibuit, ipse sumptis armis primus omnium pedes ad illum locum contendens. id enim cum viderent milites, confertim arma rapiunt, et quivis imperatorem praevertere cupientes sublato clamore Rossos oppugnare aggrediuntur. fortiter iis oppugnationem tolerantibus, multis locis ignem succendunt, itaque eos expugnant. nam vim ignis non ferentes Rossi, neque Romanorum robori pares, per praecipitia sese deiicientes quisque aufugiunt: multi eorum igni absumpti, multi praecipiti casu exstincti, reliqui ferro occisi aut capti. hoc modo intra biduum tota urbs capta. refecit eam imperator, et a suo nomine Ioannopolin denominavit; impositoque valido praesidio, rebus ad vitam necessariis abunde instruxit. inde festo dominicae resurrectionis die acto, postridie ad Dorostolum, cui et Dristra nomen, iter ingreditur.

At vero Sphendosthlabus, tametsi audita Persthlabae expugnatione perturbatus haud iniuria esset, infracto tamen animo suos cohortatus ut porro iam tanto se fortius gerant, constitutis etiam ut res ferebant reliquis, et quos suspectos habebat Bulgaros omnibus (erant autem tre-

γάρων ἀμφὶ τοὺς τριακοσίους ὄντας τὸν ἀριθμὸν ἀνελών, ἔξεισι κατὰ Ῥωμαίων. ὁ δὲ βασιλεὺς τὰς ἐν τῇ παρόδῳ πόλεις ἑλὼν καὶ στρατηγοὺς αὐταῖς ἐπιστήσας, πολλά τε φρούρια καὶ πολίσματα ἐκπορθήσας καὶ τοῖς στρατιώταις εἰς ἁρπαγὴν δεδωκώς, εἴχετο τῆς ὁδοῦ. τῶν δὲ σκοπῶν ἥκειν φρασάντων Σκύθας τινάς, λαὸν ἐπίλεκτον ἐκπέμπει. Θεόδωρόν τε τὸν ἐκ Μισθείας αὐτῶν τῷ πλήθει ἀρχηγὸν ἐπιστήσας προηγεῖσθαι ἐπέσκηψε τοῦ στρατοῦ, κατασκοπεῖν τε τὸ πλῆθος τῶν ἐναντίων καὶ αὐτῷ διδόναι γνῶσιν,
D εἰ προχωροίη δέ, καὶ διάπειραν τῆς αὐτῶν ἰσχύος ἀκροβολισάμενον εἰληφέναι· αὐτὸς δὲ κατόπιν εἵπετο συντεταγμένος μετὰ πάσης τῆς στρατιᾶς. οἱ σὺν τῷ Θεοδώρῳ γοῦν ἐπείπερ εἰς χεῖρας ἦλθον τοῖς πολεμίοις, ἐμπίπτουσι τούτοις ῥαγδαῖοι. οἱ δὲ Ῥῶς ἐνέδραν εὐλαβηθέντες πρόσω μὲν οὐκέτι ἐχώρουν, πολλῶν δὲ πληγέντων καί τινων δὲ πεσόντων ἐκκλίναντες ἐς τὰ πλησίον σκεδάννυνται ὄρη καὶ τὰς ἐκεῖσε νάπας βαθείας καὶ ἀμφιλαφεῖς τυγχανούσας, καὶ διὰ τῆς ὀρεινῆς ἐπὶ τὴν Δρίστραν ἐπανασώζονται. ἦσαν δὲ τὸ πλῆθος οὗτοι ἑπτακισχίλιοι, οἱ δὲ τούτοις συμπλακέντες καὶ τρεψάμενοι Ῥωμαῖοι τὸν ἀριθμὸν τριακόσιοι. ἑνωθέντες δ' οἱ Σκύθαι τῷ Σφενδοσθλάβῳ, καὶ τοῦτον ἐκεῖθεν ἀναστήσαντες μετὰ παντὸς τοῦ στρατοῦ, πρὸ δώδεκα τοῦ Δοροστόλου μιλίων αὐλίζονται, ἐς τριακοσίας καὶ τριάκοντα χιλιάδας ἀριθμού-
P 675 μενοι καὶ τὸν βασιλέα ἐπιόντα ἐκθύμως καὶ ῥωμαλέως ἐκδεχόμενοι. οἱ δὲ Ῥωμαῖοι ταῖς ἐξ ὑπογύου νίκαις γαυρούμενοι καὶ τὴν τὰ πάντα κρῖναι μέλλουσαν μάχην προσδεχόμενοι, εἰδότες δ' ὅτι καὶ

16 οὔσας C 24 προεκδεχόμενοι C

centi circiter) interfectis, adversum Romanos proficiscitur. imperator institutum iter persequens urbes in eo sitas itinere capit, iisque praefectos constituit, et multis castellis atque oppidis evastatis ac praeda militi concessa pergit. ubi exploratores nuntiaverunt Scythas adventare, delectum exercitum praemittit, duce Theodoro a Mistheia; iubetque hostium multitudinem exquirere et sibi indicare, et si ita videatur commodum, levi praelio eorum vires tentare. ipse cum instructo universo exercitu pone sequitur. Theodorus cum suis ubi ad hostes pervenit, dat in eos impetum. Rossi insidias subesse veriti progressu abstinent; multisque suorum ictis, quibusdam etiam deiectis, fuga in vicinos montes densosque et amplos saltus se dispergunt, ac per montana ad Dristram perfugiunt. Rossi fuere numero septem milia, Romani vero qui eos fuderunt trecenti. Scythae autem Sphendosthlabo coniuncti auctores ei fuerunt ut cum omnibus copiis (numerabantur autem trecenta triginta virorum milia) duodecim ante Dorostolum miliaribus castra poneret, ibique imperatoris adventum intrepide exspectarunt. at Romanos recentibus victoriis elatos, et iamiam de summa rerum praelio decertatum iri sperantes, scientes insuper deum se habere adiutorem, qui non

θεὸν συλλήπτορα ἕξουσιν, οὐ τοῖς ἀδίκων χειρῶν ἄρχουσι φιλοῦντα ἀλλὰ τοῖς ἀδικουμένοις διὰ παντὸς ἐπαρήγειν, οὐ μόνον οἱ εὐψυχότεροι, ἤδη δὲ καὶ οἱ καταπλῆγες καὶ μαλακοὶ τὰς ψυχὰς πρόθυμοι καὶ θαρραλέοι ἐγίνοντο καὶ πρὸς τὴν συμπλοκὴν λίαν ἐσφάδαζον. εἰς ὄψιν δὲ τῶν στρατευμάτων ἀλλήλοις γενομένων, καὶ λόγοις παρακλητικοῖς τοῦ τε βασιλέως καὶ τοῦ Σφενδοσθλάβου τοὺς οἰκείους ἐπιρρωσάντων καὶ τὰ τῷ καιρῷ πρόσφορα παρακε- B
λευσαμένων, ὡς αἱ σάλπιγγες τὸ ἐνυάλιον ἤχησαν, συρρήγνυται ἀλλήλοις τὰ πλήθη τὴν αὐτὴν ἔχοντα προθυμίαν. καὶ κατὰ μὲν τὴν πρώτην προσβολὴν οἱ Ῥωμαῖοι μετὰ ῥύμης ἐπενεχθέντες σφοδρᾶς καὶ πολλοὺς καταβαλόντες τὰς βαρβαρικὰς τάξεις κατέσεισαν· οὐ μήν γε καὶ ὑπαγωγὴ τῶν ἐναντίων ἐγένετο οὔτε τῶν Ῥωμαίων λαμπρὸς διωγμός, ἀλλ' ἐπιρρώσαντες πάλιν ἑαυτοὺς οἱ Σκύθαι αὖθις ἐπῆλθον μετ' ἀλαλαγμοῦ τοῖς Ῥωμαίοις. καὶ μέχρι μὲν τινος ἰσοπαλὴς ἦν ὁ ἀγών, ἤδη δὲ περὶ δείλην ὀψίαν τῆς ἡμέρας οὔσης οἱ Ῥωμαῖοι παρακαλέσαντες ἀλλήλους καὶ τρόπον τινὰ στομώσαντες ταῖς παραινέσεσιν ἐπέβρισαν τῷ εὐωνύμῳ κέρατι τῶν C
Σκυθῶν, καὶ πολλοὺς τῷ ἀνυποστάτῳ κατέβαλον τῆς ὁρμῆς. συνισταμένων δὲ τῶν Ῥὼς ἐπὶ τὸ πεπονηκός, τῶν περὶ αὐτὸν ὁ βασιλεὺς εἰς ἐπικουρίαν ἐκπέμπει τινάς, κατόπιν δὲ καὶ αὐτὸς εἵπετο ἀνακεκαλυμμένοις τοῖς παρασήμοις τῆς βασιλείας, τὸ δόρυ διηγκωνισμένος, τόν τε ἵππον κεντρίζων θαμὰ καὶ τῇ βοῇ διεγείρων τοὺς στρατιώτας. ἀγῶνος δὲ καρτεροῦ συστάντος καὶ πολλὰς μετακλίσεις δεξαμένης τῆς μάχης (δυοκαίδεκα γάρ φησι τροπὰς

8 ὡς om C   18 πολλὰ C   21 τῷ C

inferentibus sed passis iniuriam opitulari soleret, non eos modo qui fortitudine aliis anteibant, sed iam et timidiores alacritas et audacia incessebat, ardentique pugnae desiderio agitabantur. ubi in conspectum mutuo venere exercitus, utroque imperatore suos dictis qualia praesenti rei accommodata erant animante atque instigante, ut classicum cecinit, magna cum vi parique alacritate concursum est. primo conflictu Romani, vehementi facto impetu, multis deiectis hostium ordines labefactant. neque tamen cedunt hostes, neque Romanis eos persequendi datur facultas, Scythis sese confirmantibus rursumque sublato clamore in Romanos irruentibus. pugnatur aliquantisper aequo marte. iam autem ad vesperam inclinante die Romani sese cohortantes et veluti acuentes mutuis exhortationibus sinistrum Scytharum cornu premunt, et intolerabili vi ingruentes multos prosternunt. cumque ad afflictam partem Scythae coirent, suorum quosdam Romanus imperator suis auxilio mittit, ipseque subsequitur apertis cum imperii signis, equo calcaribus incitato, et hastam infensam ferens, suosque verbis exstimulat. acerrime tunc pugnatum, et variis vicibus praelio mutato (duodecies

δέξασθαι τὸν ἀγῶνα) μόλις οἱ Ῥῶς ἀπειρηκότες πρὸς τοὺς κινδύ-
νους ἀκόσμῳ φυγῇ πρὸς τὸ πεδίον ἐσκίδναντο· οἷς οἱ Ῥωμαῖοι
D ἑπόμενοι τοὺς καταλαμβανομένους ἀνῄλισκον. ἔπεσον οὖν πολλοί,
καὶ πλείους ἑάλωσαν. ὅσοι δὲ διαδρᾶναι τὸν κίνδυνον ἴσχυσαν,
εἰς τὸ Δορόστολον διασώζονται.

Ὁ δὲ βασιλεὺς τὰ ἐπινίκια θύσας τῷ καλλινίκῳ μάρτυρι Γεωργίῳ (ἦν γὰρ κατὰ τὴν ἡμέραν τῆς αὐτοῦ μνήμης συρράξας τοῖς πολεμίοις) τῇ ἐπιούσῃ καὶ αὐτὸς τῆς πρὸς τὸ Δορόστολον ἥψατο, ἐκεῖσέ τε γενόμενος στρατοπεδείαν ἐπήξατο ὀχυράν. οὐ μέντοι γε καὶ πολιορκίας ἥψατο, δεδιὼς μή πως ἀφυλάκτου τοῦ ποταμοῦ τυγχάνοντος ἀποδρᾶσαι μετὰ τῶν νηῶν δυνηθεῖεν οἱ Ῥῶς, αὐλισάμενος δὲ προσέμενε τὸν Ῥωμαϊκὸν στόλον. ἐν τῷ μεταξὺ δὲ ὁ Σφενδοσθλάβος οὓς κατεῖχε ζωγρίας Βουλγάρους, ἀμφὶ τὰς κ' χιλιάδας ἀριθμουμένους, σιδηροπέδαις καὶ ἄλλοις δεσμοῖς ἠσφαλίσατο, ἐπανάστασιν φοβηθείς, καὶ πρὸς ὑποδοχὴν ηὐτρεπίζετο τῆς πολιορκίας. ἤδη δὲ καὶ τοῦ στόλου καταλαβόντος
P 676 ἐπεχείρει τῇ τειχομαχίᾳ ὁ βασιλεύς, καὶ πολλάκις ἐπεκδραμόντας τοὺς Σκύθας ἐτρέψατο. μιᾷ δὲ τῶν ἡμερῶν σκεδασθεῖσι τοῖς Ῥωμαίοις εἰς ἄριστον περὶ δείλην ὀψίαν οἱ βάρβαροι, εἰς δύο διαιρεθέντες μέρη, ἱππεῖς καὶ πεζοὶ ἐκ πυλίδων δύο τῆς πόλεως, τῆς τε κατὰ ἀνατολάς, ἣν φρουρεῖν ἐτέτακτο Πέτρος ὁ στρατοπεδάρχης μετὰ Θρᾳκῶν καὶ Μακεδόνων, καὶ τῆς πρὸς δύσιν, ὅπου

7 τὴν αὐτοῦ ἡμέραν, omissis τῆς μνήμης, C 14 ἀριθμουμένας C

enim ferunt inclinatas acies) vix tandem Rossi, desperata salute, inordinata fuga in campum se effundunt; eosque insecuti Romani multos perimunt. de Rossis cecidere multi, capti etiam plures: reliqui Dorostolum fuga evaserunt.

Imperator ob impetratam victoriam sacrificio veneratus gloriosum martyrem Georgium (nam die huius memoriae consecrato cum hoste conflictum fuit) postridie ad Dorostolum ducit, ibique castris communitis classem Romanam operitur: nam ante huius adventum oppugnationem aggredi nolebat, ne amne custodiae vacuo navibus effugere Rossis liceret. interim Sphendosthlabus Bulgaros quos captivos habebat, ad 20 milia numeratos, compedibus ac vinculis constringit, metuens ne ii seditionem concitarent; et se ad tolerandam obsidionem parat. imperator ubi classis appulit, oppugnare urbem incipit, et saepe erumpentes urbe barbaros profligat. quadam die sub vesperam Romanis ad coenam dissipatis, barbari bipartito agmine equites et pedites (tum primum ii equites visi sunt, hactenus pedites tantum pugnaverant) duabus se urbis portis effundunt, quarum una versus orientem, quam custodire iussus erat Petrus castrorum praefectus cum Thracibus et Macedonibus,

Βάρδας ὁ Σκληρὸς μετὰ τῶν ἑῴων δυνάμεων τὴν φυλακὴν ἐπετέτραπτο, ἐξῆλθον παραταξάμενοι, τότε πρῶτον φανέντες ἔφιπποι· τὰς γὰρ προηγησαμένας μάχας πεζοὶ διηγωνίσαντο. οὓς εὐρώστως οἱ Ῥωμαῖοι δεξάμενοι ἐκθύμως ἐμάχοντο· καὶ μέχρι πολλοῦ ἰσοτάλαντος ἦν ὁ ἀγών. τέλος δὲ τῇ σφετέρᾳ ἀρετῇ Ῥωμαῖοι τρέ- B πουσι τοὺς βαρβάρους καὶ πρὸς τεῖχος συγκλείουσι, πολλῶν κἀν τῷ ἀγῶνι τῷδε πεσόντων, καὶ μᾶλλον ἱππέων, μηδενὸς δὲ τῶν Ῥωμαίων τραυματισθέντος, ἀλλ' ἢ μόνων ἵππων πεσόντων τριῶν. οὕτω δὲ θραυσθέντες οἱ βάρβαροι καὶ εἴσω τείχους συνελαθέντες νυκτὸς ἐπιγενομένης διενυκτέρευον ἄγρυπνοι, καὶ τοὺς ἐν τῇ μάχῃ πεσόντας ἀπωλοφύροντο ἀγρίοις καὶ φρικώδεσιν ὀδυρμοῖς, ὡς δοκεῖν τοὺς ἀκούοντας θηρίων εἶναι βρυχηθμοὺς καὶ ὠρυγάς, ἀλλ' οὐ θρήνους ἀνθρώπων καὶ οἰμωγάς. ἡμέρας δὲ ἄρτι διαγελώσης πάντας τοὺς ἔν τισι φρουρίοις εἰς φυλακὴν ἐσκεδασμένους ἀνεκαλοῦντο ἐς τὸ Δορόστολον, καὶ ταχέως ἧκον μετακληθέντες. καὶ C ὁ βασιλεὺς δὲ ἀνειληφὼς ὅλην τὴν δύναμιν ἦλθεν εἰς τὸ πρὸ τῆς πόλεως πεδίον, καὶ πρὸς πόλεμον ἠρέθιζε τοὺς βαρβάρους. ἐπεὶ δὲ μὴ ἐξῄεσαν, εἰς τὸ στρατόπεδον ὑποστρέψας ἡσυχίαν ἦγε. καὶ προσῆλθον αὐτῷ πρέσβεις ἐκ Κωνσταντείας καὶ τῶν ἄλλων φρουρίων τῶν πέραν ἱδρυμένων τοῦ Ἴστρου, ἀμνηστίαν κακῶν αἰτούμενοι καὶ ἑαυτοὺς ἐγχειρίζοντες σὺν τοῖς ὀχυρώμασιν· οὓς προσηνῶς δεξάμενος ἀπέστειλε τοὺς παραληψομένους τὰ φρούρια καὶ στρατιὰν ἀποχρῶσαν εἰς τὴν αὐτῶν φυλακήν. ἤδη δὲ ἑσπέρας καταλαβούσης τὰς πάσας πύλας τῆς πόλεως ἀναπετάσαντες οἱ

8 ἱππέων C   18 τὴν στρατοπεδείαν C

altera occidentalis, ad quam in excubiis locatus erat Barda Sclerus cum Orientalibus copiis. acriter dimicatum est, Romanis fortiter eos subsistentibus. et tametsi aliquamdiu dubia stetit victoria, tamen ad extremum Romani sua virtute barbaros fundunt, multisque occisis, maxime de equitatu, in urbem reliquos compellunt. Romanorum sauciatus est nemo, neque nisi tres equi quicquam periit. hoc pacto fracti barbari et intra muros coacti noctem istam insomnem exegerunt, et eos qui in pugna ceciderant, feris atque terribilibus eiulatibus deploraverunt, ut quicunque audirent, non hominum lamenta sed ferarum rugitus et mugitus putaret se percipere. sub auroram omnes qui hinc inde per castella praesidii causa erant, ad se Dorostolum evocant, iique praesto fuerunt. imperator quoque totum exercitum in campum qui est ante urbem eduxit; et barbaros cum frustra ad pugnam provocasset, in castra reduxit, ac quievit. ea die ad ipsum veniunt legati a Constantia, et aliis trans Istrum sitis castellis, veniam petentes et se ac munitiones dedentes. quibus benigne acceptis mittit qui castella recipiant, simulque praesidia, quibus ea asservari quirent. vespere iam facto Rossi

D Ῥῶς, πολλῷ τῶν προτέρων πλείονες ὄντες, ἐπιπίπτουσι τοῖς Ῥωμαίοις ἀνελπίστως διὰ τὴν νύκτα διάγουσι· καὶ κατὰ μὲν τὴν πρώτην συμβολὴν ἔδοξαν προτερῆσαι, μετὰ μικρὸν δὲ ὑπερίσχον Ῥωμαῖοι. ὡς γὰρ συνέβη πεσεῖν τὸν Σφάγελλον ἡρωϊκῶς ἀγωνιζόμενον, συνεχύθησαν τῇ τοῦ πεσόντος στερήσει καὶ τὰς ὁρμὰς ἐχαυνώθησαν. ὅμως ἀνένδοτοι παρ' ὅλην τὴν νύκτα διέμειναν καὶ τὴν ἐπιοῦσαν ἡμέραν μέχρι σταθηρᾶς μεσημβρίας. τότε δὴ τοῦ βασιλέως δύναμιν πεπομφότος ἐφ' ᾧ τοῖς βαρβάροις ἀποκλεῖσαι τὴν εἰς τὴν πόλιν εἴσοδον, γνόντες οἱ Ῥῶς ἔκλιναν εἰς φυγήν, καὶ τὰς πρὸς τὴν πόλιν εἰσόδους ἐπιτετειχισμένας εὑρόντες ἔφευγον διὰ τοῦ πεδίου καὶ καταλαμβανόμενοι ἀνῃροῦντο. ὁ δὲ Σφενδοσθλάβος νυκτὸς ἐπιγενομένης διώρυγι βαθείᾳ τὸ τῆς πόλεως
P 677 ἐστεφάνωσε τεῖχος, ἵνα μὴ εὐχερῶς ἔχοιεν οἱ Ῥωμαῖοι μεθ' ὁρμῆς τῷ τῆς πόλεως τείχει προσπελάζειν. καὶ οὕτω τὴν πόλιν ἀσφαλισάμενος ἔγνω δεῖν εὐψυχότατα τὴν πολιορκίαν προσδέχεσθαι. ἐπεὶ δὲ τὸ πλέον τῆς στρατιᾶς διέκειντο κακῶς ἀπὸ τῶν τραυμάτων, συνεπελάμβανε δὲ καὶ λιμὸς ἤδη τῶν ἀναγκαίων δαπανηθέντων αὐτοῖς, καὶ μηδ' ἔξωθεν τὰ πρὸς χρείαν συνεχωροῦντο αὐτοῖς εἰσκομίζεσθαι παρὰ τῶν Ῥωμαίων, νύκτα βαθεῖαν καὶ ἀσέληνον ἐπιτηρήσας ὁ Σφενδοσθλάβος, καθ' ἣν ὑετός τε ῥαγδαῖος ἐξ οὐρανοῦ κατηνέχθη καὶ χάλαζα φοβερὰ ἐπερράγη καὶ βρονταὶ καὶ ἀστραπαὶ φρικωδέσταται, μονοξύλοις ἐμβὰς μετὰ δισχιλίων
B ἀνδρῶν ἔξεισιν εἰς ἐπισιτισμόν. συλλεξάμενοι δὲ ὅθεν εὐπόρηκεν

8 προσβολὴν C 14 πελάζειν C 17 τἀναγκαῖα συνεχ. C 22 φρικωδέστατοι C 23 εὐπόρησεν C

omnibus urbis portis apertis, numero admodum aucti, in Romanos ob noctem nihil tale suspicantes irruunt. et quidem primo conflictu victores videbantur, paulatim tamen Romani superiores sunt facti. nam ubi Sphagellus fortissime pugnans cecidit, eo amisso animi barbarorum languere coeperunt et remisit impetus. per totam tamen noctem subsistunt, atque adeo ad meridiem usque: tum demum animadvertentes ab imperatore missam esse exercitus partem quae Rossos aditu in urbem excluderet, fugae se dant, cumque vias in urbem ducentes invenirent obsessas, per campum fuga dispersi, ab insequentibus multi occiduntur. ea quae subsecuta proxime est nox, Sphendosthlabus urbis muros fossa profunda circumdabat, ne facile Romani cum impetu possent eos oppugnatum accedere; atque hoc modo urbe communita statuit obsidionem fortissime perferre. quia autem plerique militum eius ob vulnera male habebant, et iam consumptis alimentis penuria imminebat, cum importari aliunde quicquam Romani non sinerent, observata nocte tenebrosa ac illuni, in quam imbres magni, grando terribilis fulguraque et tonitrua horrenda inciderant, cum duobus virorum milibus lintres conscendit et ad quaerenda victui necessaria navigat. cum collegissent prout quis-

ἕκαστος σῖτον καὶ κέγχρον καὶ εἴδη ἄλλα συνεκτικὰ τῆς ζωῆς, ἀνήγοντο διὰ τοῦ ποταμοῦ τοῖς μονοξύλοις εἰς τὸ Δορόστολον. ἐν δὲ τῷ ἀναπλεῖν θεασάμενοι κατὰ τὸ χεῖλος τοῦ ποταμοῦ θεράποντας οὐκ ὀλίγους τῶν στρατιωτῶν τοὺς μὲν ἵππους ποτίζοντας τοὺς δὲ χορτολογοῦντας, ἄλλους δὲ καὶ ξυλεύοντας, ἀποβάντες τῶν πλοίων διὰ τῆς ὕλης ἀψοφητὶ βαδίζοντες ἀδοκήτως ἐκ τοῦ ἀφανοῦς ἐμπίπτουσιν αὐτοῖς, καὶ πολλοὺς μὲν τούτων ἀπέκτειναν, τοὺς δὲ λοιποὺς ἐπὶ τὰς πλησίον λόχμας σκεδασθῆναι ἠνάγκασαν. αὖθις δ' εἰς τὰς σκάφας ἐμβάντες καὶ οὐρίῳ φερόμενοι πνεύματι C
πρὸς τὸ Δορύστολον φέρονται. τοῦτο δὲ γνωσθὲν εἰς μεγάλην ἀνίαν ἐμβάλλει τὸν βασιλέα, καὶ τοὺς ἀρχηγοὺς τοῦ στόλου ἐν αἰτίᾳ μεγάλῃ ἔσχεν, ὅτι μὴ ἐπῄσθοντο τοῦ ἐκ Δοροστόλου τῶν βαρβάρων ἀπόπλου· ἐπηπείλησε δὲ καὶ θάνατον αὐτοῖς, εἰ ἔτι ἅπαξ λάθῃ τοιοῦτόν τι γενέσθαι. καὶ οἱ μὲν τὰς παρ' ἑκάτερα ὄχθας τοῦ ποταμοῦ ἐτήρουν ἐπιμελῶς, ὁ δὲ βασιλεὺς ἐφ' ὅλας πέντε καὶ ἑξήκοντα ἡμέρας τῇ πολιορκίᾳ χρησάμενος, καὶ καθ' ἑκάστην πολεμῶν καὶ μὴ ἀνιείς, δέον ἐνόμισε διὰ προσεδρείας καὶ λιμοῦ ἀποπειρᾶσθαι τῆς πόλεως. διὸ καὶ πάντοθεν τάφροις τὰς ὁδοὺς ἀποκλείσας καὶ φύλακας ἐπιστήσας αὐταῖς, ὡς μή τις ἐξίοι τὰ ἐπιτήδεια κομίσων, ἐκάθητο ἠρεμῶν. καὶ τὰ μὲν ἐν Δορο- D
στόλῳ ἐφέρετο τῇδε.

Λέων δὲ ὁ κουροπαλάτης καὶ Νικηφόρος ὁ τούτου παῖς, δοκήσει μέν, ὡς εἴπομεν ἔμπροσθεν, πηρωθέντες, ἔτι δ' ἀσινεῖς

3 τεῖχος C   6 τάφανοῦς C   14 ἑκατέρας C   19 ἐπίῃ C

que nancisci poterat frumentum milium et alias ad vitam sustentandam facientes res, rursum adverso flumine Dorostolum vehuntur. atque inter revehendum, cum in ripa fluminis viderent calones haud paucos, quorum alii equos potabant alii herbam aut ligna colligebant, navibus egressi et per silvam absque strepitu incedentes eos nihil tale cogitantes subito adoriuntur, multisque interfectis reliquos palatim in proxima nemora se abdere cogunt. ipsi suis lintribus rursum conscensis secundo vento Dorostolum redeunt. imperator ut hoc percepit, molestissime tulit, et praefectos classis gravissime culpavit, quod barbaros Dorostolo avehi non sensissent, minatus etiam mortem, si quid praeterea tale ipsis non observantibus fieret. quo factum ut ii utramque fluminis ripam diligentissime posthac custodirent. enimvero imperator cum 65 continuos dies urbem oppugnasset, eam posthac obsidione et fame statuit tentare. ideo vias omnes fossis actis et praesidiis additis munit, ne quis alimentorum petendorum causa exire urbe posset; ipseque in obsidione interim otio fruitur.

Dum haec ad Dorostolum geruntur, Leo curopalates et Nicephorus eius filius, quos ante docuimus incolumibus oculis dimissos, tametsi

τὰς ὁράσεις ἔχοντες, εἰς τυραννίδα καὶ αὖθις παρεσκευάζοντο, πολλοὺς τῶν ἐν τῇ πόλει καὶ τῶν ἐν τοῖς βασιλείοις φρουρῶν ὑποφθείραντες. καὶ ἐπεὶ τὰ κατὰ γνώμην αὐτοῖς ἀπηρτίσθη, πλοῖον μισθωσάμενοι καὶ ἐν αὐτῷ ἐμβάντες ἀπαίρουσι τῆς νήσου ἣν οἰκεῖν κατεκρίθησαν, καὶ πρὸς τὴν ἀντίπορθμον τῆς πόλεως ἤπειρον γίνονται κατὰ τὸ προάστειον ὃ κατονομάζουσι Πηλαμύδιον, ἐκεῖθεν δὲ περὶ πρώτας ἀλεκτρυόνων ᾠδὰς ἐπὶ τὸ Βυζάντιον ἔρχονται. ἑνὸς δὲ τῶν συνιστόρων δῆλον θεμένου τὸ ἔργον Λέοντι τῷ δρουγγαρίῳ τοῦ στόλου, τὴν φυλακὴν ἐπιτετραμμένῳ τῶν βασιλείων
P 678 σὺν Βασιλείῳ τῷ ῥαίκτωρι, ὁ δὲ δύναμιν ἀξιόχρεων ἐπὶ κατασχέσει τοῦ κουροπαλάτου καὶ τοῦ παιδὸς αὐτοῦ ἐκπέμπει. ὅπερ οὗτοι μαθόντες εἰς τὴν μεγάλην καταφεύγουσιν ἐκκλησίαν· ἐκεῖθεν δὲ ἀποσπασθέντες εἰς τὴν Πρώτην νῆσον ἐξαπεστάλησαν, κἀκεῖσε τοὺς ὀφθαλμοὺς ἐξωρύχθησαν.

Ἐφάνη δὲ καὶ κατ' ἐκεῖνο καιροῦ καὶ ἄλλο τι ὡς οἷον ἄξιον εἶναι διηγήσεως. πινάκιον ἐκ λίθου Προικοννησίας ἐπὶ παραδείσου τινὸς τῶν συγκλητικῶν εὑρέθη ἀμελῶς ἐρριμμένον, εἰκονισμένας ἔχον δύο ἀνθρώπων μορφὰς ἐπὶ τῆς ἐπιφανείας, μίαν μὲν ἀνδρὸς ἑτέραν δὲ γυναικός· ἐν δὲ τῷ μετώπῳ τῆς πινακίδος ἦν
B γεγραμμένον ἐπίγραμμα ᾧδέ πη διεξιὸν "Ἰωάννου καὶ Θεοδώρας τῶν φιλοχρίστων πολλὰ τὰ ἔτη." ὅπερ τινὰς μὲν εἰς ἔκπληξιν ἦγεν, ὅπως τὰ ἐνεστῶτα μάλα προεδηλοῦτο σαφῶς· τινὲς δὲ μὴ ἀπηλλάχθαι τὸ πρᾶγμα σκευωρίας καὶ μαγγανείας ἐνόμιζον, τὸν τοῦ παραδείσου δεσπότην διὰ τῆσδε τῆς μηχανῆς τὴν βασιλικὴν

6 πηλαμύδα C 7 τε C 16 παραδείσω C 21 πεο om C

effodi eos sententia iussisset, rursus tyrannidem invadunt. cumque multos urbis et regiae custodes corrupissent, atque ex animi sententia viderentur sibi rem confecisse, conducta navi ex insula in quam relegati fuerant ad continentem urbi e regione locatam devehuntur, iuxta suburbium cui Pelamydium nomen, atque inde sub primum galli cantum Cpolin accedunt. sed Leo rei navalis drungarius, cui una cum Basilio rectore palatii custodia commendata fuerat, ea de re a conscio consiliorum istorum quodam factus certior manum mittit ad curopalatam et filium eius comprehendendos sufficientem. Phocae hoc animadverso in magnum templum confugiunt: inde avulsi in Protam insulam relegantur, atque ibi oculi eis effodiuntur.

Eodem tempore etiam aliud quidpiam accidit non indignum relatu. in pomario senatorii cuiusdam viri inventa est tabella ex Proconnesio lapide, forte abiecta, in superficie expressas habens duas humanas figuras, unam maris, alteram feminae: in altera superficie scriptum erat "diu vivant Ioannes et Theodora Christo dediti." fuerunt qui eam tabellam magnopere admirarentur, qua praesens rerum condicio ita aperte explicaretur: alii non carere fuco et impostura putarunt, atque

πρὸς ἑαυτὸν ἐκκαλεῖσθαι οἰηθέντες προσπάθειαν. εἴτε δὲ οὕτως ἔχει εἴτε ἐκείνως ἡ ἀλήθεια, φράζειν οὐκ ἔχω.

Οἱ δὲ Σκύθαι ἔνδοθεν τῷ λιμῷ πιεζόμενοι, ἐκτὸς ὑπὸ τῶν τειχομαχικῶν ὀργάνων κακούμενοι, καὶ κατ' ἐξαίρετον ἐν ἐκείνῳ τῷ τόπῳ ὃν ὁ μάγιστρος Ἰωάννης ὁ Ῥωμανοῦ τοῦ Κουρκούα υἱὸς φυλάττειν ἐτέτακτο (τὸ γὰρ ἐκεῖσε πετροβόλον ὄργανον οὐ μικρῶς C
τοὺς ἐντὸς ἐπημαίνετο), ἀποκρίναντές τινας τῶν ἀλκιμωτέρων ὁπλίτας ψιλοῖς ἐπιμεμιγμένους ἐπὶ τὸ τοιοῦτον ἐκπέμπουσιν ὄργανον, εἴ πως δυνηθεῖεν αὐτὸ κατεργάσασθαι. τοῦτο γνοὺς ὁ Κουρκούας, ὅ τι κράτιστον ἦν περὶ αὐτὸν ἀναλαβόμενος, ἐβοήθει διὰ ταχέων. ἐς μέσους δὲ τοὺς Σκύθας γενόμενος ἀκοντίῳ βληθέντος αὐτοῦ τοῦ ἵππου καὶ σὺν αὐτῷ πεπτωκότος ἀναιρεῖται κρεουργηθείς. οἱ Ῥωμαῖοι δὲ ἐπιδραμόντες καὶ τοῖς Ῥὼς συμπλακέντες τό τε ὄργανον ἀβλαβὲς διετήρησαν καὶ τοὺς Σκύθας ὠσάμενοι συνέκλεισαν εἰς τὴν πόλιν. Ἰουλίου δὲ καταλαβόντος D
μηνός, καὶ εἰκοστὴν ἡμέραν ἄγοντος, ἐξῆλθον οἱ Ῥὼς παμπληθεῖς καὶ τοῖς Ῥωμαίοις συμπλακέντες ἐμάχοντο, παραθαρρύνοντα ἔχοντες καὶ πρὸς τοὺς ἀγῶνας ἀλείφοντα ἄνδρα τινὰ παρὰ Σκύθαις ἐπισημότατον, Ἴκμορα τοὔνομα, μετὰ Σφάγελλον τὸν ἀναιρεθέντα τιμώμενον, οὔτε κατὰ συγγένειαν τὴν ἐξ αἵματος ἐν τοῖς μάλιστα ἀγόμενον παρ' αὐτοῖς οὔτε κατὰ συμπάθειαν, ἀλλ' ἐκ μόνης τῆς ἀρετῆς παρὰ πᾶσι σεβόμενον. τοῦτον ἰδὼν Ἀνεμᾶς ὁ τῶν Κρητῶν τοῦ βασιλέως υἱὸς Κουρουπᾶ, εἷς ὢν τῶν βασιλι-

5 κουροπαλάτου margo P καῖς C 21 τιμώμενον C
22 μόνης om C

hoc commento voluisse dominum pomarii se in gratiam imperatoris insinuare. utrum vere aut falso sit creditum, nihil affirmo.

Interim Scythae intus fame pressi simul a machinis oppugnatoriis hostium non leviter laedebantur, praecipue eo loco qui Ioanni magistro, Romani Curcuae filio, demandatus fuerat: nam saxa torquens instrumentum ibi collocatum obsessis multa damna dabat. itaque gravis armaturae delectos milites velitibus permistos emittunt, si qua ii ratione eam machinam pessundare possent. id ubi intellexit Curcuas, robustissimis suorum assumptis celeriter ad eam defendendam se confert; invectusque in medios Scythas ab equo missili icto eiicitur, atque a Scythis dilaniatus ferro interit. reliqui Romani concursu facto et machinam integram conservant et Rossos in urbem compellunt. die Iulii mensis vigesima Rossi universi ad pugnam adversus Romanos exiverunt. exhortabatur eos et ad fortitudinem excitabat Icmor, vir post Sphagellum apud Scythas primo loco, non quod vel familia eius praecipua esset, vel favorem aliorum sibi aliunde conciliasset, sed solius virtutis ergo ab universis in honore habitus. hunc commissa pugna Anemas, Cretensium amerae Basilii Curupae filius, unus imperatoris stipatorum,

κῶν σωματοφυλάκων, αὐτόν τε εὐψύχως ἀγωνιζόμενον καὶ τοὺς
λοιποὺς εἰς τοῦτο παρορμῶντα καὶ διεγείροντα καὶ τὰς τῶν Ῥω-
μαίων τάξεις διαταράσσοντα, μήτε πρὸς τὸ μέγεθος καταπλαγεὶς
P 679 τοῦ ἀνδρὸς μήτε τὴν ἀλκὴν δειλιάσας, ἀλλὰ περικαρδίῳ θέρμῃ
ληφθεὶς καὶ τὸν ἵππον τῇδε κἀκεῖσε παρακινήσας, μεθ' ὁρμῆς
ἀκατασχέτου τὸ παρῃωρημένον τῷ μηρῷ αὐτοῦ ξίφος σπασάμενος
ἵεται κατὰ τοῦ Σκύθου, καὶ παίει τοῦτον τῷ φασγάνῳ κατὰ τοῦ
ἀριστεροῦ ὤμου περὶ τὴν κλεῖδα, καὶ ἀποτέμνει τὸν αὐχένα, ὡς
συμβῆναι τὴν κεφαλὴν σὺν τῇ δεξιᾷ χειρὶ ἐκκοπεῖσαν πεσεῖν εἰς τὸ
ἔδαφος. καὶ ὁ μὲν Σκύθης ἔκειτο πεσών, ὁ δ' Ἀνεμᾶς ἀσινὴς
ἐπανῆκεν εἰς τὸ στρατόπεδον. ἤρθη ἐπὶ τῷ ἔργῳ φωνὴ παμμι-
γής, τῶν μὲν Ῥωμαίων ἀλαλαξάντων ἐπὶ τῇ νίκῃ, τῶν δὲ Σκυ-
B θῶν ἀσήμως ὀλολυξάντων καὶ τῆς ἑαυτῶν ὑπενδόντων ἐνστάσεως.
ἐπιβρισάντων δὲ τῶν Ῥωμαίων εἰς φυγὴν ἐγκεκλίκασι, καὶ ἀκλεῶς
εἰς τὴν πόλιν ἐσώζοντο. ἔπεσον δὲ πολλοὶ κατὰ τήνδε τὴν ἡμέραν,
ὑπ' ἀλλήλων τε συμπατούμενοι διὰ τὴν στενοχωρίαν καὶ ὑπὸ Ῥω-
μαίων σφαττόμενοι τῷ καταλαμβάνεσθαι. μικροῦ δ' ἂν ἑάλω
καὶ ὁ Σφενδοσθλάβος αὐτός, εἰ μὴ νὺξ ἐπιγενομένη τοῦτον ἐρρύ-
σατο. οἱ δὲ τὸν κίνδυνον διαδράντες, ἐντὸς τοῦ περιβόλου γενό-
μενοι, κωκυτὸν ἐπὶ τῷ τοῦ Ἴκμορος θανάτῳ μέγαν ἐκόψαντο.
τοὺς δὲ πεσόντας τῶν βαρβάρων σκυλεύοντες οἱ Ῥωμαῖοι εὗρον
καὶ γυναῖκας ἐν τοῖς ἀνῃρημένοις κειμένας ἀνδρικῶς ἐσταλμένας
καὶ μετὰ τῶν ἀνδρῶν πρὸς Ῥωμαίους ἀγωνισαμένας.

8 παρὰ C 11 εἰς] πρὸς C 14 ἐπιβριμησάντων C 15 τήνδε om C 20 ἴκμωρος C 21 σκυλεύσαντες C 22 ἀναιρεθεῖσι C

cernens fortiter pugnam obire ac reliquos excitare et Romanorum ordines conturbare, nihil vel vastitate corporis eius vel robore deterritus, sanguine circa cor effervescente equum hac illac torquens, stricto qui ad femur pendebat gladio impetum in eum dat vehementissimum, tantumque in sinistrum humerum iuxta claviculam imponit vulnus, ut et collum abscinderet et cum dextra manu amputatum caput in solum decideret. ipse illaesus ad suos rediit. exclamatum ad hoc facinus promiscue, Romanis ob victoriam laetum clamorem attollentibus, Scythis autem confusum eiulantibus et vigorem suum dimittentibus. tandem Romanis prementibus Rossi fugam faciunt, eaque cum dedecore in urbem evadunt. multi eo die perierunt, partim ob locorum angustiam a se invicem conculcati, partim a Romanis assecutis eos in fuga caesi. quod nisi nox ingruens Sphendosthlabum eripuisset, utique et ipse vivus in Romanorum venisset potestatem. superstites a clade cum intra moenia venissent, magno cum luctu ac planctu mortem Icmoris deploraverunt. et Romani cum barbaris occisis spolia detraherent, inter cadavera etiam mulieres invenerunt virili habitu tectas, quae inter maritos in Romanos pugnaverant.

Ἐπεὶ δὲ τοῖς βαρβάροις κακῶς ἐφέρετο τὰ τοῦ πολέμου καὶ C ἐπιμαχίας ἦν ἐλπὶς οὐδαμοῦ (οἵ τε γὰρ ὁμόφυλοι ἦσαν μακράν, καὶ τὰ ὅμορα βάρβαρα τῶν ἐθνῶν δείσαντα τοὺς Ῥωμαίους ἀπείπαντο τὴν βοήθειαν· ἐπελελοίπει δ' αὐτοὺς καὶ τὰ ἐπιτήδεια, καὶ οὐδαμόθεν εἰσκομίσασθαι δυνατὸν ἦν, τοῦ Ῥωμαϊκοῦ στόλου τὰς ὄχθας ἀκριβῶς τηροῦντος τοῦ ποταμοῦ· ἐπέρρει δὲ καὶ τοῖς Ῥωμαίοις ἑκάστης ἡμέρας ὡς ἔκ τινος ἀφθόνου πηγῆς πάντα τὰ ἀγαθά, καὶ ἱππικαὶ καὶ πεζικαὶ δυνάμεις διὰ παντὸς προσετίθεντο· καὶ οὐδὲ τοῖς κελητίοις ἑαυτῶν ἐμβάντας ἀποδρᾶναι ἦν δυνατόν, τῶν διεξόδων, ὡς εἴπομεν, ἀκριβῶς φυλαττομένων) D συμβουλὴν συστησάμενοι οἱ μὲν νυκτὸς συνεβούλευον κλέψαι τὴν ἀναχώρησιν, ἄλλοι δὲ δεξιὰς καὶ πίστεις παρὰ Ῥωμαίων αἰτήσασθαι οἷα μὴ ἄλλως δυνατῆς οὔσης τῆς ὑποχωρήσεως, καὶ οὕτω πρὸς τὰ οἰκεῖα ἀπᾶραι. καὶ ἄλλων ὡς πῃ ἑκάστῳ ὁ καιρὸς ἐδίδου συμβουλευσάντων, πάντων δὲ καθάπαξ καταθέσθαι τὸν πόλεμον ἐπιθυμούντων, ὁ Σφενδοσθλάβος παρῄνει μᾶλλον ἔτι ἅπαξ πολεμῆσαι Ῥωμαίοις, καὶ ἢ καλῶς ἀγωνισαμένους ἐπικρατεῖς τῶν ἐναντίων γενέσθαι, ἢ ἡττηθέντας αἰσχίστης ζωῆς καὶ ἐπονειδίστου εὐκλεᾶ καὶ μακάριον προτιμήσασθαι θάνατον· ἀβίωτον γὰρ ἔσται αὐτοῖς δρασμῷ τὴν σωτηρίαν πορισαμένοις, εἴπερ μέλλοιεν εὐκαταφρόνητοι ἔσεσθαι τοῖς γειτονοῦσιν ἔθνεσιν, ἃ τὸ πρόσθεν αὐτοὺς ἐδεδίεσαν σφοδρῶς. ἤρεσεν ἡ τοῦ Σφενδοσθλάβου βουλή, P 680 καὶ κατέθεντο πάντες τὸν ὑπὲρ ψυχῆς ἔσχατον ἀναδέχεσθαι κίνδυ-

2 οὐδεμία C 6 ἀκριβῶς om C 8 ἱππεῖς καὶ πεζοὶ C 9 οὐδὲ et κελητίοις om C 11 βουλὴν C 16 ἅπαξ add C 18 ἐναντίων] ῥωμαίων C 20 εἴπερ μὴ μ. P 22 αὐτοῖς σφόδρα ἐδεδίεσαν C

Iam barbaris bello omnia erant adversa. nam neque suppetiarum spes erat, cum et ipsorum gentiles procul abessent et finitimae barbarae gentes a Romanis sibi metuentes auxilia denegarent; et commeatus ipsos deficeret, quod Romana classe ripas accuratissime custodiente nihil eis poterat importari; eademque res obstaret quo minus lembis suis aufugere possent, cum interim Romanis quotidie veluti ex perenni fonte omnia affluerent bona, et subinde equestres terrestresque copiae accederent. itaque concilium cogunt. ibi alii noctu furtim aufugiendum censebant, alii Romanorum fidem pacemque implorandam, atque ita (aliter enim non licere) domum redeundum: aliis aliud pro re nata videbatur. omnium tamen eo tendebant sententiae, belli finem esse faciendum. at Sphendosthlabus hortari ut adhuc semel cum Romanis congredi vellent, et vel fortiter pugnando eos devincere, vel si victoria potiri non daretur, gloriosam atque felicem mortem turpissimae atque infami vitae praeferre. qui enim vitam toleraturi essent fuga servatam, contemnentibus ipsos porro vicinis populis, quibus antea terrori fuissent? ea sententia placuit, assensique sunt omnes, et polliciti extre-

νον ταῖς ὅλαις δυνάμεσι. τῇ γοῦν ἐπιούσῃ ἐξελθόντες τοῦ ἄστεος πανδημεί, καὶ τὰς πύλας ἀποκλείσαντες, ὡς μή τινι δυνατὸν εἴη τραπέντι διασώζεσθαι πρὸς τὴν πόλιν, συμβάλλουσι τοῖς Ῥωμαίοις. ἀγῶνος δὲ καρτεροῦ συστάντος καὶ τῶν βαρβάρων εὐψύχως ἀγωνιζομένων, τῷ ἡλίῳ καυσούμενοι οἱ Ῥωμαῖοι καὶ δίψει πονούμενοι ὡς πανοπλῖται (ἦν γὰρ καὶ σταθηρὰ μεσημβρία) ἤρξαντο ἐνδιδόναι. ὅπερ αἰσθόμενος ὁ βασιλεὺς διὰ ταχέων μετὰ τῶν περὶ αὐτὸν ἐβοήθει, καὶ αὐτὸς μὲν τὴν ἀκμὴν ὑπεδέ- B ξατο τοῦ πολέμου, τῷ δὲ πεπονηκότι στρατεύματι ὑπὸ ἡλίου καὶ δίψης ἀσκοὺς οἴνου καὶ ὕδατος πλήρεις προσέταξε κομίζειν. οἷς χρησάμενοι καὶ τὴν δίψαν καὶ τὸν τοῦ ἡλίου καύσωνα ἀποκρουσάμενοι καὶ ἑαυτοὺς ἀναλαβόντες μετὰ σφοδρότητος καὶ ῥύμης τοῖς Σκύθαις ἐπέρραξαν. ἐκείνων δὲ γενναίως ὑποδεξαμένων ἦν ἡ μάχη ἰσοπαλής, μέχρις ἂν ὁ βασιλεὺς τὴν στενοχωρίαν φρασάμενος τοῦ τόπου, καὶ ἐκ τούτου κατανοήσας τοῖς Σκύθαις ἐπιγίνεσθαι τὴν καρτερίαν τῷ τοὺς Ῥωμαίους ἐστενοχωρῆσθαι καὶ μὴ οἵους εἶναι ἔργα πρέποντα τῆς ἑαυτῶν ἀλκῆς ἐπιδείκνυσθαι, C ἐπέσκηψε τοῖς στρατηγοῖς εἴκειν εἰς τοὐπίσω πρὸς τὸ πεδίον, καὶ τῆς πόλεως πόρρω ἀφίστασθαι δόκησιν φευγόντων παρέχοντας, μὴ μέντοι γε προτροπάδην, ἀλλ' ἠρέμα καὶ κατ' ὀλίγον εἴκοντας, κἀπειδὰν ἄποθεν τῆς πόλεως διώκοντας ἐκκαλέσωνται, αἰφνίδιον παρενεγκόντας τοὺς χαλινοὺς ἐπιστρέφειν τοὺς ἵππους καὶ τούτοις συμπλέκεσθαι. καὶ οἱ μὲν ἐποίουν τὸ κελευσθέν, οἱ δὲ Ῥὼς τὴν εἰς τοὐπίσω ὑποχώρησιν τῶν Ῥωμαίων φυγὴν οἠθέντες, ἀλλήλους παρακαλεσάμενοι εἵποντο σὺν ἀλαλαγμῷ. ὡς δὲ κατὰ τὸν ὡρισμέ-

9 ὑπὸ τοῦ ἡλίου P 21 αἰφνιδίως C 24 εἰς τοὐπίσω om C 25 εἰρημένον C

num se pro vita sua certamen summa vi obituros. postridie ergo universi urbe exeunt, portasque claudunt, ne quis in urbem e fuga pervenire possit. commisso praelio acriter pugnatur. iam barbaris animoso pugnantibus, Romani et gravis suae armaturae pondere et solis sereno meridie ardore ac siti languere incipiebant, cum imperator re animadversa succurrit cum suis, et hostium vehementiae se obiicit, utresque interim aqua et vino plenos afferri iubet. inde quos aestus ac sitis afflixerat recreati violento impetu in Scythas irruunt; iisque audacter subsistentibus, aliquamdiu aequo Marte pugnatum est. tandem imperator sentiens loci angustiam virtuti suorum obstare ac Scythis eo animos augeri, mandat ducibus ut retro in planitiem procul ab urbe abducant, fugientiumque speciem non effuse sed sensim cedendo praebeant, atque ubi hostem longe ab urbe avocarint, subito equis conversis aggrediantur. iussa exsequuntur duces. et Rossi cedentes Romanos fugere opinati, mutuo sese exhortati, magno cum fremitu eos

νον ἐγένοντο τόπον οἱ Ῥωμαῖοι, ἐπιστραφέντες προσρήγνυνται τούτοις γενναίως. ἐνταῦθα μάχης ἰσχυρᾶς γενομένης συνέβη στρατηγὸν Θεόδωρον τὸν ἐκ Μισθείας τοῦ ἵππου αὐτοῦ λογχευθέντος πεσεῖν κατὰ γῆς. περὶ τοῦτον ἅμιλλα ἐγένετο καρτερά, τῶν μὲν Ῥῶς ἀνελέσθαι, τῶν δὲ Ῥωμαίων ὅπως μὴ ἀφαιρεθείη φιλοτιμουμένων. D οὗτος γὰρ ὁ Θεόδωρος τοῦ ἵππου πεσών, ἕνα τινὰ τῶν Σκυθῶν τῆς ζώνης δραξάμενος καὶ τῇδε κἀκεῖσε τῷ χειρὸς σθένει κινῶν ὥς τι μικρὸν ἀσπιδίσκιον κοῦφον, τὰς κατ' αὐτοῦ πεμπομένας αἰχμὰς ἀπεκρούετο, καὶ κατὰ μικρὸν πρὸς τοὺς Ῥωμαίους ὑπανεχώρει ὀπισθοκινήτῳ τῇ πορείᾳ. τέλος ἐπιβρίσαντες οἱ Ῥωμαῖοι τούς τε Σκύθας ἀπώσαντο καὶ τὸν ἄνδρα τοῦ κινδύνου ἐρρύσαντο. καὶ τὰ στρατεύματα διελύθησαν τελείως, μηδαμῶς ἔτι κρίσιν τοῦ πολέμου λαβόντος.

Ὁ βασιλεὺς δὲ εὐψυχότερον νῦν μᾶλλον ἢ πρότερον ὁρῶν ἀγωνιζομένους τοὺς Σκύθας, καὶ τὴν τοῦ χρόνου τριβὴν βαρούμενος, οἰκτείρων δὲ καὶ τοὺς Ῥωμαίους ταλαιπωρουμένους καὶ τῷ πολέμῳ κακῶς πάσχοντας, μονομαχίᾳ ᾠήθη κρῖναι τὰ πράγματα. καὶ δὴ διαπρεσβεύεται πρὸς τὸν Σφενδοσθλάβον, προκαλούμενος αὐτὸν εἰς μονομαχίαν, δέον εἶναι λέγων ἑνὸς ἀνδρὸς θανάτῳ κριθῆναι τὸ ἔργον ἢ κατασφάττεσθαι καὶ κατὰ μικρὸν δαπανᾶσθαι P 681 τὰ ἔθνη, καὶ τὸν νικήσαντα κύριον εἶναι τῶν ὅλων. οὗτος δὲ τὴν πρόκλησιν μὲν οὐκ ἐδέξατο, λόγους δ' ἐπαφῆκεν ὑπεροπτικούς, ὡς τὰ κατ' αὐτὸν ἄμεινον αὐτὸς τοῦ ἐχθροῦ σκοπήσει· αὐτὸς δὲ εἰ μὴ ζῆν ἄγει σχολήν, εἰσὶ μυρίαι ἄλλαι θανάτου ὁδοί· τούτων ὁποίαν αἱρεῖται ἑλέσθω. ταῦτα φρυαξάμενος τῆς πολεμικῆς εἴ-

10 ὑπεχώρει C   12 ῥύονται C   25 ταῦτα δὲ φρ. C

insequuntur. Romani, ut ad praescriptum locum est perventum, conversi fortiter hostem invadunt. ibi praelio fervente, ductor Theodorus a Mistheia equo suo lancea confosso in terram cadit, et circa eum acre oritur certamen, Rossis interficere, Romanis servare satagentibus. ipse ab equo collapsus Scytham quendam cingulo arreptum hac illac peltae instar obversans, eo coniectas in se hastas excutit, sensimque retro abiens ad suos revertitur, donec Romani Scythis vi repulsis eum periculo eripiunt. id praelium diremptum est, incerta etiamnum victoria.

At imperator animosius quam ante praeliari Scythas videns, tempusque teri aegre ferens, suorumque aerumnas eius belli miserans, singulari pugna decernendum censet. itaque Spheudosthlabum per legatos provocat et ostendit praestare unius hominis interitu rem decidi quam paulatim totas gentes perimi, ut victori in omnes pareret imperium. barbarus condicionem oblatam repudiat, superbeque respondet melius quid sibi ex re sit, se quam hostem intelligere. si Romano imperatori non vacet vivere, infinitas esse mortis vias: deligeret quam vellet.

χετο παρασκευῆς προθυμότερον. ὁ δὲ βασιλεὺς τὸν ἐκ προκλήσεως ἀπογνοὺς ἀγῶνα, πᾶσι τρόποις ἐμηχανᾶτο τὴν εἰς τὴν πόλιν ἀποκλεῖσαι εἴσοδον τοῖς βαρβάροις, καὶ πρὸς τὸ ἔργον ἐκπέμπει Βάρδαν μάγιστρον τὸν Σκληρὸν μετὰ τῶν ταγμάτων ὧν αὐτὸς ἐστρατήγει· τὸν δὲ πατρίκιον Ῥωμανὸν τὸν υἱὸν Κωνσταντίνου
B τοῦ βασιλέως, τοῦ υἱοῦ τοῦ πρεσβυτέρου Ῥωμανοῦ, καὶ Πέτρον τὸν στρατοπεδάρχην, μεθ' ὧν ἐξῆρχον δυνάμεων, προσράξαι τοῖς πολεμίοις ἐπέτρεψεν. οἳ δὴ προσβαλόντες τοῖς Σκύθαις ἐμάχοντο καρτερῶς. ἐκθύμως δὲ κἀκείνων ὑποδεξαμένων πολλὰς τροπὰς καὶ μετακλίσεις συνέβη τὸν πόλεμον δέξασθαι, καὶ ἐφ' ἱκανὸν χρόνον ἰσοτάλαντος ἦν ἡ μάχη. ἐνταῦθα πάλιν ὁ τοῦ τῆς Κρήτης ἀμηρᾶ υἱὸς Ἀνεμᾶς, τῇδε κἀκεῖσε τὸν ἵππον μετακινήσας καὶ σφοδρότερον μυωπίσας, κατ' αὐτοῦ τοῦ Σφενδοσθλάβου φέρεται μετὰ λήματος νεανικοῦ, καὶ τὴν φάλαγγα διασχίσας τῶν δυναμε-
C ων παίει τοῦτον τῷ ξίφει κατὰ μέσην τὴν κεφαλήν, καὶ καταβάλλει μὲν τοῦ ἵππου, οὐ μήν γε καὶ ἀναιρεῖ ἐπαρκεσάντων τῶν ὅπλων ἃ ἐνεδέδυτο. αὐτὸς μέντοι κυκλωθεὶς καὶ ὑπὸ πολλῶν βαλλόμενος ἀναιρεῖται, ἡρωϊκῶς καταστρέψας τὸν βίον, θαῦμα μέγα καὶ τοῖς ἀντιπάλοις γενόμενος.

Λέγεται δὲ καὶ θειοτέρας τότε τυχεῖν τοὺς Ῥωμαίους ἐπικουρίας. θύελλα γάρ τις ἐκ νότου κατὰ πρόσωπον ἀρθεῖσα ἵστατο τῶν Σκυθῶν, μὴ συγχωροῦσα χρῆσθαι κατὰ τὴν μάχην ταῖς προαιρέσεσι. καί τις ἀνὴρ ὤπτο παντὶ τῷ στρατοπέδῳ Ῥωμαίων ἐφ' ἵππου λευκοῦ προαγωνιζόμενος καὶ τὰς τῶν πολεμίων κλονῶν

1 παρακλήσεως C 4 αὐτὸς add C 7 τὸν om C ἦρχον C 18 καὶ θαῦμα C

ipse ad bellum omni studio se parat. singularis pugnae spe dimissa, imperator omni modo id molitur, ut ingressu urbis barbaros arceat. ad id negotii emittit Bardam Durum magistrum cum suis cohortibus. Romanum vero patricium, Constantini Caesaris filium Romani senioris N, et Petrum exercitus praefectum cum suis copiis hostem invadere iussit; estque acerrime utrinque pugnatum, et varie nunc ad hos nunc ad alteros inclinata victoria diu anceps fuit. ibi rursum amerae Cretensis filius Anemas equo hac illac obverso et vehementer calcaribus incitato, audacter in ipsum fertur Sphendosthlabum, hostilique phalange divulsa gladium ei in medium caput infligit, eoque ictu equo deiicit: ne tamen interficeret, arma quibus tectus erat barbarus obstiterunt. ipse circumventus, et multorum telis petitus fortissime pugnans, ipsorum etiam cum hostium admiratione, interficitur.

Ferunt ea pugna divinitus quoque Romanis latum auxilium. nam ab austro obortam procellam in facies Scytharum ingruisse, eosque impedivisse ne suo arbitratu rem gererent. et ab omni Romanorum exercitu conspectum fuisse virum albo equo vehentem, qui princeps pugnam

καὶ διαταράσσων φάλαγγας, μηδενὶ πρότερον ἢ μετὰ ταῦτα γενό- D μενος γνώριμος, ὃν ἔφασκον ἕνα εἶναι τῶν καλλινίκων μαρτύρων Θεόδωρον. τούτοις δὲ προμάχοις ἀεὶ καὶ προβόλοις κατὰ τῶν πολεμίων ἐχρῆτο ὁ βασιλεύς· καὶ γὰρ δὴ καὶ συνέτυχε τόνδε τὸν ἀγῶνα κατ' αὐτὴν συνενεχθῆναι τὴν ἡμέραν καθ' ἣν εἰώθαμεν ἑορτάζειν τὴν μνήμην τοῦ στρατηλάτου. καὶ γυνὴ δέ τις ἐν Βυζαντίῳ σεμνὴ ὑπερτάτης δυνάμεως εἶναι τὸ φάσμα ἐπιστοῦτο, μιᾷ πρότερον τῆς συμπλοκῆς ἡμέρᾳ ὄναρ θεασαμένη, καὶ δόξασα τῇ θεοτόκῳ παρίστασθαι καὶ λεγούσης ἀκοῦσαι πρός τινα στρατιώτην "κύριε Θεόδωρε, ὁ ἐμὸς καὶ σὸς Ἰωάννης περιστάσει συνέχεται, καὶ σπεῦσον εἰς τὴν αὐτοῦ βοήθειαν," καὶ ἡλίου ἀνίσχοντος τοῖς γείτοσιν ἐξηγησαμένη. καὶ τὰ μὲν ὁραθέντα ταῦτα, τρέπονται δὲ πάλιν οἱ Σκύθαι, καὶ ἀποκεκλεισμένας τὰς τῆς πόλεως εὑρόντες πύλας ὑπὸ τοῦ Σκληροῦ ἀνὰ τὸ πεδίον ἐσκεδάννυντο, καὶ P 682 ἀνῃρέθησαν ὑπ' ἀλλήλων τε συμπατούμενοι καὶ ὑπὸ Ῥωμαίων συγκοπτόμενοι ἀριθμοῦ κρείττους, τραυματίαι δὲ ἐγένοντο σχεδόν τι πάντες. τὸν μάρτυρα δ' ὁ βασιλεὺς τιμῶν, καὶ τῆς ἐπικουρίας ἀποτιννὺς αὐτῷ τὰς ἀμοιβάς, τὸν ναὸν ἐν ᾧ τὸ θεῖον αὐτοῦ ἀπόκειται σῶμα ἐκ βάθρων καταβαλὼν μέγαν τε καὶ κάλλιστον ᾠκοδόμησε, μεγαλοπρεπεῖς αὐτῷ κτίσεις προσαφορίσας· ὃν καὶ ἀντὶ Εὐχανείας Θεοδωρόπολιν κατωνόμασεν.

Ὁ δὲ Σφενδοσθλάβος πᾶσαν μετελθὼν μηχανὴν καὶ διὰ πασῶν ἐλαττούμενος, ὡς ἔγνω μηδεμίαν αὐτῷ ὑπολελεῖφθαι

2 ἕνα om C   10 κῦρι C

obierit hostiumque ordines conturbaverit, nemini neque ante neque postmodo cognitum: eum aiebant fuisse Theodorum, unum de pulcherrimas consecutis victorias martyribus. sane his semper auspicibus atque antesignanis adversum hostes uti solebat imperator hic; et quo die haec pugna est pugnata, is festus fuit memoriae illius Theodori exercituum ductoris. sed et veneranda quaedam mulier Cpoli fidem fecit id visum fuisse divinum. ea enim pridie istius diei in somnis visa sibi fuerat adstare deiparae, et audire eam dicentem cuidam militi "domine Theodore, meus ille et tuus Ioannes in periculo versatur: festina ad opem ei ferendam," idque insomnium prima luce vicinis narraverat. enimvero Scythae eo praelio funduntur, cumque se portis interclusos a Barda sentirent, in campum fuga dispergantur, percuntque innumerabiles partim a se invicem conculcati, partim a Romanis obtruncati, vulnerati pene omnes. martyri Theodoro gratiam pro ope lata referens imperator, fanum in quo is humatus erat ad fundamenta usque demolitus, aliud magnificentissimum exstruxit, ac praediis amplos habentibus reditus donavit: urbem in qua id erat, pro Euchancia Theodoropolin nominavit.

Sphendosthlabus cum omnibus tentatis nihil successisset, nullam spem reliquam sibi videns ad pacificationem animum adiicit, missisque

ἐλπίδα, πρὸς συνθήκας ἀπέβλεψε. πέμπει οὖν πρὸς βασιλέα
B πρεσβευτὰς πίστεις ἐξαιτούμενος, ἐφ' ᾧ συμμάχοις καὶ φίλοις Ῥωμαίων καταλεγεὶς ἀσινὴς συγχωρηθῇ ἐπ' οἴκου ἀναχωρῆσαι μετὰ τῶν ἀμφ' αὐτόν, ἀδεῶς τε τὸν βουλόμενον Σκύθην ἐμπορείας χάριν φοιτᾶν. δεξάμενος δὲ τὴν πρεσβείαν ὁ βασιλεύς, καὶ τὸ ᾀδόμενον λόγιον ἐπειπών, ὡς ἔθος Ῥωμαίοις τοὺς πολεμίους πλέον εὐεργεσίαις ἢ ὅπλοις νικᾶν, πάντα τὰ αἰτούμενα ἐβεβαίωσε. γενομένων δὲ τῶν σπονδῶν ὁ Σφενδοσθλάβος καὶ εἰς ὄψιν ἐλθεῖν καὶ ὁμιλίαν τῷ βασιλεῖ ἐδεήθη. ἐπινεύσαντος δὲ καὶ πρὸς τοῦτο ἀφίκετο. καὶ συμμίξαντες ἀλλήλοις, καὶ διαλεχθέντες περὶ ὧν ἂν ἐβούλοντο, ἀπηλλάγησαν. ὁ δὲ βασιλεύς, αἰτήσαντος καὶ
C τοῦτο τοῦ Σφενδοσθλάβου, καὶ πρὸς Πατζινάκας διαπρεσβεύεται, εἰ βούλονται, φίλους αὐτοὺς καὶ συμμάχους ἀξιοῦν ἔχειν, καὶ μὴ διαπερᾶν τὸν Ἴστρον καὶ τὰ Βουλγάρων ληΐζεσθαι, παραχωρῆσαι δὲ καὶ τοῖς Ῥὼς ἀκωλύτως διελθεῖν τὴν αὐτῶν γῆν καὶ οἴκαδε ἀπελθεῖν. ἀπεπλήρου δὲ τὴν πρεσβείαν Θεόφιλος ὁ τῶν Εὐχαΐτων ἀρχιερεύς. οἱ δὲ τὴν πρεσβείαν δεξάμενοι, τὴν διάβασιν μόνην ἀπαγορεύσαντες τῶν Ῥώς, πρὸς τἆλλα σπονδὰς ἔθεντο. τῶν δὲ Ῥὼς ἀποπλευσάντων, τῶν παρὰ ταῖς ὄχθαις τοῦ ποταμοῦ φρουρίων καὶ πόλεων πρόνοιαν θέμενος ὁ βασιλεὺς καὶ φρουρὰν καταλιπὼν τὴν ἀρκοῦσαν ἐς ἤθη τὰ Ῥωμαίων ἀνέζευξεν. ὃν ὁ τῆς πόλεως ἀρχιερεὺς μετὰ τῆς συνόδου καὶ πάντες οἱ ἐν τέλει μετὰ παιάνων καὶ ἐπινικίων εὐφημιῶν ὑπεδέξαντο στεφανηφο-
D ροῦντες, τέθριππον ὄχημα λευκοπώλων ἔχοντες ἡτοιμασμένον

3 συγχωρηθείη C   13 αὐτοὺς om C   14 ῥωμαίων C
23 στεφανηφοροῦντα P   24 λευκόπωλον?

legatis postulat ab imperatore se fide publica in numerum amicorum et sociorum Romani imperii recipi, sibique cum suis reditum tutum concedi in patriam, et Scythis libere negotiandi causa in Romanorum dicionem venire permitti. postulata haec omnia imperator confirmavit, fatus illud decantatum, Romani moris esse hostem beneficio magis quam armis vincere. pactis initis Sphendosthlabus etiam colloquium imperatoris petiit. estque admissus, et collocutus de quibus volebat recessit. eius rogatu etiam imperator per legatos a Patzinacis petit ut socii amicique Romanorum fiant, neque Istrum populandae Bulgariae causa transcant, utque Rossis per suam dicionem in patriam redeundi facultatem concedant. obiit eam legationem Euchaitorum summus pontifex Theophilus. Patzinacae reliqua pacti omnia, tantum Rossis per sua transitum denegarunt. cum Rossi navibus suis avecti domum versus essent, imperator castellis et urbibus quae ad ripas fluminis sunt communitis Cpolin rediit. excepit eum urbis patriarcha et pontificum ordo ac senatus cum paeanibus et laetis victoriae gratulationibus coronatum; et adduxerant quadrigas magnifice adornatas, quas quattuor albi equi tra-

πάνυ διαπρεπῶς, καὶ τοῦτον ἐπιβάντα ἀξιοῦντες θριαμβεῦσαι τὸν βασιλέα. ὁ δὲ μηδὲν σοβαρὸν ἐθέλων, ἀλλὰ μέτριον ἑαυτὸν ἐπιδεικνύμενος, τοὺς μὲν προσενεχθέντας ἀνειλήφει στεφάνους καὶ ἵππῳ λευκῷ τὸν θρίαμβον ἐξεπλήρωσεν, ἐν δὲ τῷ ἅρματι τὰς Βουλγαρικὰς θεὶς τῶν βασιλέων στολὰς καὶ ἄνωθεν τούτων εἰκόνα τῆς θεομήτορος ὡς πολιούχου, προπορεύεσθαι ἑαυτοῦ διετάξατο. ἐν δὲ τῷ λεγομένῳ φόρῳ γενόμενος καὶ ἀποχρώντως εὐφημηθείς, καὶ τῇ θεομήτορι καὶ τῷ ταύτης υἱῷ τὰς ἐπινικίους εὐχαριστίας παρεσχηκώς, τὰ παράσημα τῆς Βουλγαρικῆς βασιλείας ἐπ' ὄψει τῶν πολιτῶν τὸν Βορίσην ἀποδιδύσκει· τὰ δὲ ἦν στέφανος ἐκ χρυσοῦ καὶ τιάρα νενησμένη ἐκ βύσσου καὶ πέδιλα P 683 ἐρυθρά. ἐκεῖθεν εἰς τὴν μεγάλην φοιτήσας ἐκκλησίαν καὶ ἐν αὐτῇ τὸν Βουλγαρικὸν στέφανον ἀνάθημα τῷ θεῷ δεδωκώς, ἀναγαγὼν δὲ καὶ τὸν Βορίσην εἰς τὸ τῶν μαγίστρων ἀξίωμα, ἐπορεύθη εἰς τὰ βασίλεια. ὁ δὲ Σφενδοσθλάβος εἰς τὰ οἰκεῖα ἤδη ὑποστρέφων ἐν τῷ διιέναι τὴν τῶν Πατζινάκων γῆν περιπίπτει ἐνέδραις ἤδη προευτρεπισθείσαις καὶ ὑποδεχομέναις αὐτόν, καὶ ἄρδην αὐτός τε καὶ τὸ συνὸν αὐτῷ ἀπόλλυται πλῆθος, μηνιώντων αὐτῷ τῶν Πατζινάκων διὰ τὰς εἰς τοὺς Ῥωμαίους σπονδάς.

Ὁ δὲ βασιλεὺς χαριστήρια τῶν τροπαίων ἀποδιδοὺς τῷ σωτῆρι Χριστῷ ναὸν ἄνωθεν τῆς ἀψῖδος τῆς Χαλκῆς ἀνῳκοδόμησεν ἐκ καινῆς, μηδενὸς φεισάμενος τῶν εἰς πολυτέλειαν συντεινόντων καὶ κόσμον. ἀφῆκε δὲ καὶ τοῖς ὑποφόροις πᾶσι τῶν ὅλων θεμά- B των τὸ λεγόμενον καπνικόν. προσέταξε δὲ καὶ ἐν τῷ νομίσματι

13 στέφανον om C   15 εἰς τὰ οἰκεῖα ἤδη] οἴκαδε C

herent, eoque invehi eum ac triumphare volebant. sed imperator nihil insolens aut superbum admittens moderate se gessit; sertisque quae offerebantur acceptis albo equo triumphum duxit, quadrigis Bulgaricas regum vestes imposuit, supraque has imaginem deiparae, ut quae tutelam urbis gereret, eamque se praecedere iussit. ut in forum venit, gratulatoriarum iam satur acclamationum, actis pro parta victoria deiparae et eius filio gratiis, in conspectu populi insignibus Bulgarici regni Borisem exuit (ea erant corona aurea, taenia byssina, et calcei rubei), indeque ad magnum progressus templum coronam Bulgaricam deo donarii loco suspendit, Borisen ad magistri dignationem evehit, atque ita in palatium revertitur. ceterum Sphendosthlabus patriam repetens, dum per Patzinacas transit, insidiis iam ante paratis et ipsum exspectantibus illapsus cum suis ad internecionem caeditur: succensebant enim ei Patzinacae ob ictum cum Romanis foedus.

Porro imperator ut gratias Christo servatori referret, templum quod supra fornicem Chalces est, de novo aedificavit, nulli sumptui parcens, dum id quam ornatissimum faceret. absolvit etiam subditos universos fumario tributo. et edixit ut cum in aureo nummo tum in

καὶ ἐν τῷ ὀβολῷ εἰκόνα ἐγγράφεσθαι τοῦ σωτῆρος, μὴ πρότερον τούτου γινομένου. ἐγράφοντο δὲ καὶ γράμματα ῥωμαϊστὶ ἐν θατέρῳ μέρει ὧδέ πῃ διεξιόντα "Ἰησοῦς Χριστὸς βασιλεὺς βασιλέων." τοῦτο δὲ καὶ οἱ καθεξῆς ἐτήρησαν βασιλεῖς. Βασιλείου δὲ τοῦ πατριάρχου ἐπ' αἰτίαις διαβληθέντος καὶ συνοδικῶς καθαιρεθέντος προεβλήθη πατριάρχης Ἀντώνιος ὁ Στουδίτης.

Αὐγούστῳ δὲ μηνί, ἰνδικτιῶνος γ', ἐφάνη καὶ κομήτης ὁ λεγόμενος πωγωνίας, καὶ ἐφαίνετο ἕως Ὀκτωβρίου μηνὸς τῆς τετάρτης ἰνδικτιῶνος. προεμήνυε δ' οὗτος τὸν τοῦ βασιλέως C θάνατον καὶ τὰς μελλούσας κατασχεῖν τὴν Ῥωμαίων γῆν ἐκ τῶν ἐμφυλίων πολέμων ἀπαραμυθήτους τύχας.

Τῶν δ' ὑπὸ τοῦ βασιλέως Νικηφόρου προσκτηθεισῶν πόλεων καὶ τῶν ὑποφόρων γενομένων Ῥωμαίοις, ὡς ἔμπροσθεν εἴρηται, ἀραμένων πτέρναν καὶ τὴν Ῥωμαϊκὴν ἀποσεισαμένων ἐξουσίαν, ἔξεισι κατ' αὐτῶν ὁ βασιλεὺς καὶ ἄπεισιν ἄχρι Δαμασκοῦ. καὶ τὰς μὲν πειθοῖ καὶ λόγῳ τὰς δὲ πολέμῳ καὶ βίᾳ ἀνακτησάμενος, καὶ πάντα κατὰ τὸ πρέπον καταστησάμενος, ἀνέζευξε πρὸς τὴν βασιλίδα. γενόμενος δὲ κατὰ τὴν Ἀνάζαρβον, καὶ τὸν Ποδανδὸν καὶ τὰς λοιπὰς παροδεύων χώρας, καὶ βλέπων τὰ ἐν ποσί, κτήσεις τε ὁρῶν πολυτελεῖς καὶ χωρία εὐφυῆ τε καὶ πάμφορα, D διεπυνθάνετο τοὺς παρευρημένους τίνος ἂν καὶ εἶεν αὗται. ὡς δ' ἐμάνθανε παρὰ τῶν ἐρωτωμένων ὅτι περ τοῦ παρακοιμωμένου εἰσὶ Βασιλείου πᾶσαι, αὕτη μὲν καὶ αὕτη Ῥωμαίοις προσκτηθεῖ-

8 Ὀκτωβρίου μηνὸς] ὀκτὼ μηνῶν P 17 ἀνεζεύγνυε C 18 ἀνάβαρζαν καὶ τὸ πανδαδόν C

obolo servatoris insculperetur imago, quod antehac non fuerat receptum; et alteri parti inscribi iussit "Iesus Christus rex regum." quod successores etiam observarunt. Basilio patriarchae crimina quaedam obiecta, isque in concilio propterea depositus cum esset, Antonio Studitae patriarchatus mandatus est.

Augusto mense, indictione tertia, cometa exstitit, quem a barbae forma pogoniam vocant; et visus est usque ad octavum mensem indictionis quartae. is praemonstrabat imperatoris obitum et calamitates immedicabiles, quae propter civilia bella Romanorum dicioni erant eventura.

Secundum haec imperator expeditionem facit contra eas urbes quae, uti docuimus, ab imperatore Nicephoro subactae bello et Romanis stipendiariae factae defecerant; et Damascum usque profectus nonnullas verbis, quasdam bello et vi recuperat, et omnibus rite constitutis iter domum versus instituit. eo in itinere cum Anazarbam Podandum et reliqua loca transiret, videretque obiter magnifica et fertilissima praedia, quaesivit ex iis qui aderant quinam horum essent domini. cumque responderetur omnia ea esse Basilii cubicularii intimi, partim nuper

σαι ἔναγχος παρὰ Νικηφόρου τοῦ βασιλέως, αὕτη δὲ παρὰ τοῦδε τοῦ δομεστίκου τῶν σχολῶν, καὶ αὕτη παρὰ τοῦ δεῖνος, καὶ αὕτη καὶ αὕτη παρὰ σοῦ, καὶ τῷ Βασιλείῳ δεδώρηνται, οὐδὲν δὲ ὅτι καὶ λόγου ἄξιον εἶδεν ὑπολελειμμένον τῶν προσκτηθέντων τῷ δημοσίῳ, γενόμενος περιαλγὴς καὶ βύθιον στενάξας "δεινόν, ὦ παρόντες," ἔφη "εἰ τὰ δημόσια καταναλίσκονται χρήματα καὶ τὰ Ῥωμαϊκὰ ταλαιπωροῦνται στρατεύματα καὶ οἱ βασιλεῖς ὑπερο- P 684 ρίους ἀναδέχονται κόπους, τὰ δὲ ἐκ τοσούτων προσκτώμενα μόχθων καὶ κόπων ἑνὸς εὐνούχου γίνονται κτῆμα." καὶ ὁ μὲν βασιλεὺς ταῦτα, τῶν τις δὲ παρόντων τῷ Βασιλείῳ τὸν τοῦ βασιλέως λόγον διαπορθμεύσας ἀνηρέθισε πρὸς ὀργήν. καὶ ἔκτοτε εὐκαιρίαν ἐζήτει τὸν βασιλέα ἀποσκευάσασθαι. θωπείαις οὖν ὑπελθών ποτε καὶ δώροις ἐξαπατήσας τὸν ἐγχεῖν εἰωθότα τὸν οἶνον τῷ βασιλεῖ, καὶ δηλητήριον κερασάμενος οὐ τῶν δραστικωτάτων καὶ ταχὺν ἐπιφερόντων τὸν κίνδυνον, ἀλλὰ τῶν σχολαίως καὶ κατὰ μακρὸν ἀναλισκόντων τὴν τοῦ πεπωκότος δύναμιν, κεράννυσι τῷ βασιλεῖ. καὶ πιὼν καὶ κατ' ὀλίγον νοσηλευόμενος καὶ τῆς οἰκείας δυνάμεως ἀποπίπτων, τελευταῖον δὲ καὶ τοὺς ὤμους ἀνθρακιάσας, B αἵματος πολλοῦ ῥυέντος αὐτῷ διὰ τῶν ὀφθαλμῶν, εἰσελθὼν ἐν τῇ βασιλίδι κατέλυσε τὴν ζωήν, βασιλεύσας ἔτη ϛ' τοσούτους τε μῆνας καὶ πρός, διαδόχους καταλιπὼν τῆς βασιλείας Βασίλειον καὶ Κωνσταντῖνον τοὺς παῖδας τοῦ Ῥωμανοῦ.

3 δεδώρηται C 8 δὲ προσκτηθέντα ἐκ τῶν τοιούτων μόχθων C 22 post Ῥωμανοῦ C: τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν, λευκὸς μὲν τὴν ὄψιν καὶ εὔχρους, τὴν κόμην φέρων ξανθὴν καὶ ἀραιάν,

Romano imperio adiecta a Nicephoro imperatore, partim ab hoc, partim ab alio scholarum domestico, quaedam ab ipso Tzimisca, atque ea omnia Basilio donata, nihil memoratu dignum videns relictum rei publicae de tam multis ei acquisitis bonis, gravi correptus dolore et gemitu ex imo pectore ducto "pro indignam" ait "rem, comites, publicas insumi pecunias, Romanos exercitus aerumnas exantlare, imperatores extra sui imperii fines labores tolerare, et tamen quidquid tot laboribus atque molestiis conficitur, id omne in unius venire spadonis possessionem." hunc imperatoris sermonem quidam ad Basilium detulit. quo ille irritatus ex eo tempore occasionem quaesivit imperatoris tollendi. itaque eum qui minister a poculis imperatori erat, aliquando blanditiis et muneribus corrumpit, eiusque opera venenum non vehementissimi generis et quod statim necaret, sed quod sensim vires haurientis exstingueret, imperatori propinat. quo is epoto paulatim contabescens et viribus deficiens, tandem etiam carbunculis per humeros exortis, multo per oculos effluente sanguine, Cpolin reversus vivendi finem fecit, imperio Basilio et Constantino Romani filiis relicto. imperavit annos 6 totidemque menses et paulo amplius.

κῶν σωματοφυλάκων, αὐτόν τε εὐψύχως ἀγωνιζόμενον καὶ τοὺς λοιποὺς εἰς τοῦτο παρορμῶντα καὶ διεγείροντα καὶ τὰς τῶν Ῥωμαίων τάξεις διαταράσσοντα, μήτε πρὸς τὸ μέγεθος καταπλαγεὶς P 679 τοῦ ἀνδρὸς μήτε τὴν ἀλκὴν δειλιάσας, ἀλλὰ περικαρδίῳ θέρμῃ ληφθεὶς καὶ τὸν ἵππον τῇδε κἀκεῖσε παρακινήσας, μεθ' ὁρμῆς ἀκατασχέτου τὸ παρῃωρημένον τῷ μηρῷ αὐτοῦ ξίφος σπασάμενος ἵεται κατὰ τοῦ Σκύθου, καὶ παίει τοῦτον τῷ φασγάνῳ κατὰ τοῦ ἀριστεροῦ ὤμου περὶ τὴν κλεῖδα, καὶ ἀποτέμνει τὸν αὐχένα, ὡς συμβῆναι τὴν κεφαλὴν σὺν τῇ δεξιᾷ χειρὶ ἐκκοπεῖσαν πεσεῖν εἰς τὸ ἔδαφος. καὶ ὁ μὲν Σκύθης ἔκειτο πεσών, ὁ δ' Ἀνεμᾶς ἀσινὴς ἐπανῆκεν εἰς τὸ στρατόπεδον. ἤρθη ἐπὶ τῷ ἔργῳ φωνὴ παμμιγής, τῶν μὲν Ῥωμαίων ἀλαλαξάντων ἐπὶ τῇ νίκῃ, τῶν δὲ Σκυ- B θῶν ἀσήμως ὀλολυξάντων καὶ τῆς ἑαυτῶν ὑπενδόντων ἐνστάσεως. ἐπιβρισάντων δὲ τῶν Ῥωμαίων εἰς φυγὴν ἐγκεκλίκασι, καὶ ἀκλεῶς εἰς τὴν πόλιν ἐσώζοντο. ἔπεσον δὲ πολλοὶ κατὰ τήνδε τὴν ἡμέραν, ὑπ' ἀλλήλων τε συμπατούμενοι διὰ τὴν στενοχωρίαν καὶ ὑπὸ Ῥωμαίων σφαττόμενοι τῷ καταλαμβάνεσθαι. μικροῦ δ' ἂν ἑάλω καὶ ὁ Σφενδοσθλάβος αὐτός, εἰ μὴ νὺξ ἐπιγενομένη τοῦτον ἐρρύσατο. οἱ δὲ τὸν κίνδυνον διαδράντες, ἐντὸς τοῦ περιβόλου γενόμενοι, κωκυτὸν ἐπὶ τῷ τοῦ Ἴκμορος θανάτῳ μέγαν ἐκόψαντο. τοὺς δὲ πεσόντας τῶν βαρβάρων σκυλεύοντες οἱ Ῥωμαῖοι εὗρον καὶ γυναῖκας ἐν τοῖς ἀνῃρημένοις κειμένας ἀνδρικῶς ἐσταλμένας καὶ μετὰ τῶν ἀνδρῶν πρὸς Ῥωμαίους ἀγωνισαμένας.

8 παρὰ C 11 εἰς] πρὸς C 14 ἐπιβριμησάντων C 15 τήνδε om C 20 Ἴκμωρος C 21 σκυλεύσαντες C 22 ἀναιρεθεῖσι C

cernens fortiter pugnam obire ac reliquos excitare et Romanorum ordines conturbare, nihil vel vastitate corporis eius vel robore deterritus, sanguine circa cor effervescente equum hac illac torquens, stricto qui ad femur pendebat gladio impetum in eum dat vehementissimum, tantumque in sinistrum humerum iuxta claviculam imponit vulnus, ut et collum abscinderet et cum dextra manu amputatum caput in solum decideret. ipse illaesus ad suos rediit. exclamatum ad hoc facinus promiscue, Romanis ob victoriam laetum clamorem attollentibus, Scythis autem confusum eiulantibus et vigorem suum dimittentibus. tandem Romanis prementibus Rossi fugam faciunt, eaque cum dedecore in urbem evadunt. multi eo die perierunt, partim ob locorum angustiam a se invicem conculcati, partim a Romanis assecutis eos in fuga caesi. quod nisi nox ingruens Sphendosthlabum eripuisset, utique et ipse vivus in Romanorum venisset potestatem. superstites a clade cum intra moenia venissent, magno cum luctu ac planctu mortem Icmoris deploraverunt. et Romani cum barbaris occisis spolia detraherent, inter cadavera etiam mulieres invenerunt virili habitu tectas, quae inter maritos in Romanos pugnaverant.

Ἐπεὶ δὲ τοῖς βαρβάροις κακῶς ἐφέρετο τὰ τοῦ πολέμου καὶ C ξυμμαχίας ἦν ἐλπὶς οὐδαμοῦ (οἵ τε γὰρ ὁμόφυλοι ἦσαν μακράν, καὶ τὰ ὅμορα βάρβαρα τῶν ἐθνῶν δείσαντα τοὺς Ῥωμαίους ἀπείπαντο τὴν βοήθειαν· ἐπελελοίπει δ' αὐτοὺς καὶ τὰ ἐπιτήδεια, καὶ οὐδαμόθεν εἰσκομίσασθαι δυνατὸν ἦν, τοῦ Ῥωμαϊκοῦ στόλου τὰς ὄχθας ἀκριβῶς τηροῦντος τοῦ ποταμοῦ· ἐπέρρει δὲ καὶ τοῖς Ῥωμαίοις ἑκάστης ἡμέρας ὡς ἔκ τινος ἀφθόνου πηγῆς πάντα τὰ ἀγαθά, καὶ ἱππικαὶ καὶ πεζικαὶ δυνάμεις διὰ παντὸς προσετίθεντο· καὶ οὐδὲ τοῖς κελητίοις ἑαυτῶν ἐμβάντας ἀποδρᾶναι ἦν δυνατόν, τῶν διεξόδων, ὡς εἴπομεν, ἀκριβῶς φυλαττομένων) D συμβουλὴν συστησάμενοι οἱ μὲν νυκτὸς συνεβούλευον κλέψαι τὴν ἀναχώρησιν, ἄλλοι δὲ δεξιὰς καὶ πίστεις παρὰ Ῥωμαίων αἰτήσασθαι οἷα μὴ ἄλλως δυνατῆς οὔσης τῆς ὑποχωρήσεως, καὶ οὕτω πρὸς τὰ οἰκεῖα ἀπᾶραι. καὶ ἄλλων ὡς πῃ ἑκάστῳ ὁ καιρὸς ἐδίδου συμβουλευσάντων, πάντων δὲ καθάπαξ καταθέσθαι τὸν πόλεμον ἐπιθυμούντων, ὁ Σφενδοσθλάβος παρῄνει μᾶλλον ἔτι ἅπαξ πολεμῆσαι Ῥωμαίοις, καὶ ἢ καλῶς ἀγωνισαμένους ἐπικρατεῖς τῶν ἐναντίων γενέσθαι, ἢ ἡττηθέντας αἰσχίστης ζωῆς καὶ ἐπονειδίστου εὐκλεᾶ καὶ μακάριον προτιμήσασθαι θάνατον· ἀβίωτον γὰρ ἔσται αὐτοῖς δρασμῷ τὴν σωτηρίαν πορισαμένοις, εἴπερ μέλλοιεν εὐκαταφρόνητοι ἔσεσθαι τοῖς γειτονοῦσιν ἔθνεσιν, ἃ τὸ πρόσθεν αὐτοὺς ἐδεδίεσαν σφοδρῶς. ἤρεσεν ἡ τοῦ Σφενδοσθλάβου βουλή, P 680 καὶ κατέθεντο πάντες τὸν ὑπὲρ ψυχῆς ἔσχατον ἀναδέχεσθαι κίνδυ-

2 οὐδεμία C 6 ἀκριβῶς om C 8 ἱππεῖς καὶ πεζοὶ C 9 οὐδὲ et κελητίοις om C 11 βουλὴν C 16 ἅπαξ add C 18 ἐναντίων] ῥωμαίων C 20 εἴπερ μὴ μ. P 22 αὐτοῖς σφόδρα ἐδεδίεσαν C

Iam barbaris bello omnia erant adversa. nam neque suppetiarum spes erat, cum et ipsorum gentiles procul abessent et finitimae barbarae gentes a Romanis sibi metuentes auxilia denegarent; et commeatus ipsos deficeret, quod Romana classe ripas accuratissime custodiente nihil eis poterat importari; eademque res obstaret quo minus lembis suis aufugere possent, cum interim Romanis quotidie veluti ex perenni fonte omnia affluerent bona, et subinde equestres terrestresque copiae accederent. itaque concilium cogunt. ibi alii noctu furtim aufugiendum censebant, alii Romanorum fidem pacemque implorandam, atque ita (aliter enim non licere) domum redeundum: aliis aliud pro re nata videbatur. omnium tamen eo tendebant sententiae, belli finem esse faciendum. at Sphendosthlabus hortari ut adhuc semel cum Romanis congredi vellent, et vel fortiter pugnando eos devincere, vel si victoria potiri non daretur, gloriosam atque felicem mortem turpissimae atque infami vitae praeferre. qui enim vitam toleraturi essent fuga servatam, contemnentibus ipsos porro vicinis populis, quibus antea terrori fuissent? ea sententia placuit, assensique sunt omnes, et polliciti extre-

νον ταῖς ὅλαις δυνάμεσι. τῇ γοῦν ἐπιούσῃ ἐξελθόντες τοῦ ἄστεος πανδημεί, καὶ τὰς πύλας ἀποκλείσαντες, ὡς μή τινι δυνατὸν εἴη τραπέντι διασώζεσθαι πρὸς τὴν πόλιν, συμβάλλουσι τοῖς Ῥωμαίοις. ἀγῶνος δὲ καρτεροῦ συστάντος καὶ τῶν βαρβάρων εὐψύχως ἀγωνιζομένων, τῷ ἡλίῳ καυσούμενοι οἱ Ῥωμαῖοι καὶ δίψει πονούμενοι ὡς πανοπλῖται (ἦν γὰρ καὶ σταθηρὰ μεσημβρία) ἤρξαντο ἐνδιδόναι. ὅπερ αἰσθόμενος ὁ βασιλεὺς διὰ ταχέων μετὰ τῶν περὶ αὐτὸν ἐβοήθει, καὶ αὐτὸς μὲν τὴν ἀκμὴν ὑπεδέ-
B ξατο τοῦ πολέμου, τῷ δὲ πεπονηκότι στρατεύματι ὑπὸ ἡλίου καὶ δίψης ἀσκοὺς οἴνου καὶ ὕδατος πλήρεις προσέταξε κομίζειν. οἷς χρησάμενοι καὶ τὴν δίψαν καὶ τὸν τοῦ ἡλίου καύσωνα ἀποκρουσάμενοι καὶ ἑαυτοὺς ἀναλαβόντες μετὰ σφοδρότητος καὶ ῥύμης τοῖς Σκύθαις ἐπέρραξαν. ἐκείνων δὲ γενναίως ὑποδεξαμένων ἦν ἡ μάχη ἰσοπαλής, μέχρις ἂν ὁ βασιλεὺς τὴν στενοχωρίαν φρασάμενος τοῦ τόπου, καὶ ἐκ τούτου κατανοήσας τοῖς Σκύθαις ἐπιγίνεσθαι τὴν καρτερίαν τῷ τοὺς Ῥωμαίους ἐστενοχωρῆσθαι καὶ μὴ οἵους εἶναι ἔργα πρέποντα τῆς ἑαυτῶν ἀλκῆς ἐπιδείκνυσθαι,
C ἐπέσκηψε τοῖς στρατηγοῖς εἴκειν εἰς τοὐπίσω πρὸς τὸ πεδίον, καὶ τῆς πόλεως πόρρω ἀφίστασθαι δόκησιν φευγόντων παρέχοντας, μὴ μέντοι γε προτροπάδην, ἀλλ' ἠρέμα καὶ κατ' ὀλίγον εἴκοντας, κἀπειδὰν ἄποθεν τῆς πόλεως διώκοντας ἐκκαλέσωνται, αἰφνίδιον παρενεγκόντας τοὺς χαλινοὺς ἐπιστρέφειν τοὺς ἵππους καὶ τούτοις συμπλέκεσθαι. καὶ οἱ μὲν ἐποίουν τὸ κελευσθέν, οἱ δὲ Ῥῶς τὴν εἰς τοὐπίσω ὑποχώρησιν τῶν Ῥωμαίων φυγὴν οἠθέντες, ἀλλήλους παρακαλεσάμενοι εἵποντο σὺν ἀλαλαγμῷ. ὡς δὲ κατὰ τὸν ὡρισμέ-

9 ὑπὸ τοῦ ἡλίου P 21 αἰφνιδίως C 24 εἰς τοὐπίσω om C 25 εἰρημένον C

num se pro vita sua certamen summa vi obituros. postridie ergo universi urbe exeunt, portasque claudunt, ne quis in urbem e fuga pervenire possit. commisso praelio acriter pugnatur. iam barbaris animoso pugnantibus, Romani et gravis suae armaturae pondere et solis sereno meridie ardore ac siti languere incipiebant, cum imperator re animadversa succurrit cum suis, et hostium vehementiae se obiicit, utresque interim aqua et vino plenos afferri iubet. inde quos aestus ac sitis afflixerat recreati violento impetu in Scythas irruunt; iisque audacter subsistentibus, aliquamdiu aequo Marte pugnatum est. tandem imperator sentiens loci angustiam virtuti suorum obstare ac Scythis eo animos augeri, mandat ducibus ut retro in planitiem procul ab urbe abducant, fugientiumque speciem non effuse sed sensim cedendo praebeant, atque ubi hostem longe ab urbe avocarint, subito equis conversis aggrediantur. iussa exsequuntur duces. et Rossi cedentes Romanos fugere opinati, mutuo sese exhortati, magno cum fremitu eos

νον ἐγένοντο τόπον οἱ Ῥωμαῖοι, ἐπιστραφέντες προσρήγνυνται τούτοις γενναίως. ἐνταῦθα μάχης ἰσχυρᾶς γενομένης συνέβη στρατηγὸν Θεόδωρον τὸν ἐκ Μισθείας τοῦ ἵππου αὐτοῦ λογχευθέντος πεσεῖν κατὰ γῆς. περὶ τοῦτον ἅμιλλα ἐγένετο καρτερά, τῶν μὲν Ῥῶς ἀνελέσθαι, τῶν δὲ Ῥωμαίων ὅπως μὴ ἀφαιρεθείη φιλοτι- D μουμένων. οὗτος γὰρ ὁ Θεόδωρος τοῦ ἵππου πεσών, ἕνα τινὰ τῶν Σκυθῶν τῆς ζώνης δραξάμενος καὶ τῇδε κἀκεῖσε τῷ χειρὸς σθένει κινῶν ὥς τι μικρὸν ἀσπιδίσκιον κοῦφον, τὰς κατ' αὐτοῦ πεμπομένας αἰχμὰς ἀπεκρούετο, καὶ κατὰ μικρὸν πρὸς τοὺς Ῥωμαίους ὑπανεχώρει ὀπισθοκινήτῳ τῇ πορείᾳ. τέλος ἐπιβρίσαντες οἱ Ῥωμαῖοι τούς τε Σκύθας ἀπώσαντο καὶ τὸν ἄνδρα τοῦ κινδύνου ἐρρύσαντο. καὶ τὰ στρατεύματα διελύθησαν τελείως, μηδαμῶς ἔτι κρίσιν τοῦ πολέμου λαβόντος.

Ὁ βασιλεὺς δὲ εὐψυχότερον νῦν μᾶλλον ἢ πρότερον ὁρῶν ἀγωνιζομένους τοὺς Σκύθας, καὶ τὴν τοῦ χρόνου τριβὴν βαρούμενος, οἰκτείρων δὲ καὶ τοὺς Ῥωμαίους ταλαιπωρουμένους καὶ τῷ πολέμῳ κακῶς πάσχοντας, μονομαχίᾳ ᾠήθη κρῖναι τὰ πράγματα. καὶ δὴ διαπρεσβεύεται πρὸς τὸν Σφενδοσθλάβον, προκαλούμενος αὐτὸν εἰς μονομαχίαν, δέον εἶναι λέγων ἑνὸς ἀνδρὸς θανάτῳ κριθῆναι τὸ ἔργον ἢ κατασφάττεσθαι καὶ κατὰ μικρὸν δαπανᾶσθαι P 681 τὰ ἔθνη, καὶ τὸν νικήσαντα κύριον εἶναι τῶν ὅλων. οὗτος δὲ τὴν πρόκλησιν μὲν οὐκ ἐδέξατο, λόγους δ' ἐπαφῆκεν ὑπεροπτικούς, ὡς τὰ κατ' αὐτὸν ἄμεινον αὐτὸς τοῦ ἐχθροῦ σκοπήσει· αὐτὸς δὲ εἰ μὴ ζῆν ἄγει σχολήν, εἰσὶ μυρίαι ἄλλαι θανάτου ὁδοί· τούτων ὁποίαν αἱρεῖται ἑλέσθω. ταῦτα φρυαξάμενος τῆς πολεμικῆς εἴ-

10 ὑπεχώρει C   12 ῥύονται C   25 ταῦτα δὲ φρ. C

insequuntur. Romani, ut ad praescriptum locum est perventum, conversi fortiter hostem invadunt. ibi praelio fervente, ductor Theodorus a Mistheia equo suo lancea confosso in terram cadit, et circa eum acre oritur certamen, Rossis interficere, Romanis servare satagentibus. ipse ab equo collapsus Scytham quendam cingulo arreptum hac illac peltae instar obversans, eo coniectas in se hastas excutit, sensimque retro abiens ad suos revertitur, donec Romani Scythis vi repulsis eum periculo eripiunt. id praelium diremptum est, incerta etiamnum victoria.

At imperator animosius quam ante praeliari Scythas videns, tempusque teri aegre ferens, suorumque aerumnas eius belli miserans, singulari pugna decernendum censet. itaque Sphendosthlabum per legatos provocat et ostendit praestare unius hominis interitu rem decidi quam paulatim totas gentes perimi, ut victori in omnes paretur imperium. barbarus condicionem oblatam repudiat, superbeque respondet melius quid sibi ex re sit, se quam hostem intelligere. si Romano imperatori non vacet vivere, infinitas esse mortis vias: deligeret quam vellet.

χετο παρασκευῆς προθυμότερον. ὁ δὲ βασιλεὺς τὸν ἐκ προκλήσεως ἀπογνοὺς ἀγῶνα, πᾶσι τρόποις ἐμηχανᾶτο τὴν εἰς τὴν πόλιν ἀποκλεῖσαι εἴσοδον τοῖς βαρβάροις, καὶ πρὸς τὸ ἔργον ἐκπέμπει Βάρδαν μάγιστρον τὸν Σκληρὸν μετὰ τῶν ταγμάτων ὧν αὐτὸς ἐστρατήγει· τὸν δὲ πατρίκιον Ῥωμανὸν τὸν υἱὸν Κωνσταντίνου
B *τοῦ βασιλέως, τοῦ υἱοῦ τοῦ πρεσβυτέρου Ῥωμανοῦ, καὶ Πέτρον τὸν στρατοπεδάρχην, μεθ' ὧν ἐξῆρχον δυνάμεων, προσράξαι τοῖς πολεμίοις ἐπέτρεψεν. οἳ δὴ προσβαλόντες τοῖς Σκύθαις ἐμάχοντο καρτερῶς. ἐκθύμως δὲ κἀκείνων ὑποδεξαμένων πολλὰς τροπὰς καὶ μετακλίσεις συνέβη τὸν πόλεμον δέξασθαι, καὶ ἐφ' ἱκανὸν χρόνον ἰσοτάλαντος ἦν ἡ μάχη. ἐνταῦθα πάλιν ὁ τοῦ τῆς Κρήτης ἀμηρᾶ υἱὸς Ἀνεμᾶς, τῇδε κἀκεῖσε τὸν ἵππον μετακινήσας καὶ σφοδρότερον μυωπίσας, κατ' αὐτοῦ τοῦ Σφενδοσθλάβου φέρεται μετὰ λήματος νεανικοῦ, καὶ τὴν φάλαγγα διασχίσας τῶν δυσμε-*
C *νῶν παίει τοῦτον τῷ ξίφει κατὰ μέσην τὴν κεφαλήν, καὶ καταβάλλει μὲν τοῦ ἵππου, οὐ μήν γε καὶ ἀναιρεῖ ἐπαρκεσάντων τῶν ὅπλων ἃ ἐνεδέδυτο. αὐτὸς μέντοι κυκλωθεὶς καὶ ὑπὸ πολλῶν βαλλόμενος ἀναιρεῖται, ἡρωϊκῶς καταστρέψας τὸν βίον, θαῦμα μέγα καὶ τοῖς ἀντιπάλοις γενόμενος.*

Λέγεται δὲ καὶ θειοτέρας τότε τυχεῖν τοὺς Ῥωμαίους ἐπικουρίας. θύελλα γάρ τις ἐκ νότου κατὰ πρόσωπον ἀρθεῖσα ἵστατο τῶν Σκυθῶν, μὴ συγχωροῦσα χρῆσθαι κατὰ τὴν μάχην ταῖς προαιρέσεσι. καί τις ἀνὴρ ὤπτο παντὶ τῷ στρατοπέδῳ Ῥωμαίων ἐφ' ἵππου λευκοῦ προαγωνιζόμενος καὶ τὰς τῶν πολεμίων κλονῶν

1 παρακλήσεως C 4 αὐτὸς add C 7 τὸν om C ἦρχον C
18 καὶ θαῦμα C

ipse ad bellum omni studio se parat. singularis pugnae spe dimissa, imperator omni modo id molitur, ut ingressu urbis barbaros arceat. ad id negotii emittit Bardam Durum magistrum cum suis cohortibus. Romanum vero patricium, Constantini Caesaris filium Romani senioris N, et Petrum exercitus praefectum cum suis copiis hostem invadere iussit; estque acerrime utrinque pugnatum, et varie nunc ad hos nunc ad alteros inclinata victoria diu anceps fuit. ibi rursum amerae Cretensis filius Anemas equo hac illac obverso et vehementer calcaribus incitato, audacter in ipsum fertur Sphendosthlabum, hostilique phalange divulsa gladium ei in medium caput infligit, eoque ictu equo deiicit: ne tamen interficeret, arma quibus tectus erat barbarus obstiterunt. ipse circumventus, et multorum telis petitus fortissime pugnans, ipsorum etiam cum hostium admiratione, interficitur.

Ferunt ea pugna divinitus quoque Romanis latum auxilium. nam ab austro obortam procellam in facies Scytharum ingruisse, eosque impedivisse ne suo arbitratu rem gererent. et ab omni Romanorum exercitu conspectum fuisse virum albo equo vehentem, qui princeps pugnam

καὶ διαταράσσων φάλαγγας, μηδενὶ πρότερον ἢ μετὰ ταῦτα γενό- D
μενος γνώριμος, ὃν ἔφασκον ἕνα εἶναι τῶν καλλινίκων μαρτύρων Θεόδωρον. τούτοις δὲ προμάχοις ἀεὶ καὶ προβόλοις κατὰ τῶν πολεμίων ἐχρῆτο ὁ βασιλεύς· καὶ γὰρ δὴ καὶ συνέτυχε τόνδε τὸν ἀγῶνα κατ' αὐτὴν συνενεχθῆναι τὴν ἡμέραν καθ' ἣν εἰώθαμεν ἑορτάζειν τὴν μνήμην τοῦ στρατηλάτου. καὶ γυνὴ δέ τις ἐν Βυζαντίῳ σεμνὴ ὑπερτάτης δυνάμεως εἶναι τὸ φάσμα ἐπιστοῦτο, μιᾷ πρότερον τῆς συμπλοκῆς ἡμέρᾳ ὄναρ θεασαμένη, καὶ δόξασα τῇ θεοτόκῳ παρίστασθαι καὶ λεγούσης ἀκοῦσαι πρός τινα στρατιώτην "κύριε Θεόδωρε, ὁ ἐμὸς καὶ σὸς Ἰωάννης περιστάσει συνέχεται, καὶ σπεῦσον εἰς τὴν αὐτοῦ βοήθειαν," καὶ ἡλίου ἀνίσχοντος τοῖς γείτοσιν ἐξηγησαμένη. καὶ τὰ μὲν ὁραθέντα ταῦτα, τρέπονται δὲ πάλιν οἱ Σκύθαι, καὶ ἀποκεκλεισμένας τὰς τῆς πόλεως εὑρόντες πύλας ὑπὸ τοῦ Σκληροῦ ἀνὰ τὸ πεδίον ἐσκεδάννυντο, καὶ P 682
ἀνῃρέθησαν ὑπ' ἀλλήλων τε συμπατούμενοι καὶ ὑπὸ Ῥωμαίων συγκοπτόμενοι ἀριθμοῦ κρείττους, τραυματίαι δὲ ἐγένοντο σχεδόν τι πάντες. τὸν μάρτυρα δ' ὁ βασιλεὺς τιμῶν, καὶ τῆς ἐπικουρίας ἀποτιννὺς αὐτῷ τὰς ἀμοιβάς, τὸν ναὸν ἐν ᾧ τὸ θεῖον αὐτοῦ ἀπόκειται σῶμα ἐκ βάθρων καταβαλὼν μέγαν τε καὶ κάλλιστον ᾠκοδόμησε, μεγαλοπρεπεῖς αὐτῷ κτίσεις προσαφορίσας· ὃν καὶ ἀντὶ Εὐχανείας Θεοδωρόπολιν κατωνόμασεν.

Ὁ δὲ Σφενδοσθλάβος πᾶσαν μετελθὼν μηχανὴν καὶ διὰ πασῶν ἐλαττούμενος, ὡς ἔγνω μηδεμίαν αὐτῷ ὑπολελεῖφθαι

2 ἕνα om C 10 κῦρι C

obierit hostiumque ordines conturbaverit, nemini neque ante neque postmodo cognitum: eum aiebant fuisse Theodorum, unum de pulcherrimas consecutis victorias martyribus. sane his semper auspicibus atque antesignanis adversum hostes uti solebat imperator hic; et quo die haec pugna est pugnata, is festus fuit memoriae illius Theodori exercituum ductoris. sed et veneranda quaedam mulier Cpoli fidem fecit id visum fuisse divinum. ea enim pridie istius diei in somnis visa sibi fuerat adstare deiparae, et audire eam dicentem cuidam militi "domine Theodore, meus ille et tuus Ioannes in periculo versatur: festina ad opem ei ferendam," idque insomnium prima luce vicinis narraverat. enimvero Scythae eo praelio funduntur, cumque se portis interclusos a Barda sentirent, in campum fuga disperguntur, pereuntque innumerabiles partim a se invicem conculcati, partim a Romanis obtruncati, vulnerati pene omnes. martyri Theodoro gratiam pro ope lata referens imperator, fanum in quo is humatus erat ad fundamenta usque demolitus, aliud magnificentissimum exstruxit, ac praediis amplos habentibus reditus donavit: urbem in qua id erat, pro Euchaneia Theodoropolin nominavit.

Sphendosthlabus cum omnibus tentatis nihil successisset, nullam spem reliquam sibi videns ad pacificationem animum adiicit, missisque

ἐλπίδα, πρὸς συνθήκας ἀπέβλεψε. πέμπει οὖν πρὸς βασιλέα
B πρεσβευτὰς πίστεις ἐξαιτούμενος, ἐφ' ᾧ συμμάχοις καὶ φίλοις Ῥωμαίων καταλεγεὶς ἀσινὴς συγχωρηθῇ ἐπ' οἴκου ἀναχωρῆσαι μετὰ τῶν ἀμφ' αὐτόν, ἀδεῶς τε τὸν βουλόμενον Σκύθην ἐμπορείας χάριν φοιτᾶν. δεξάμενος δὲ τὴν πρεσβείαν ὁ βασιλεύς, καὶ τὸ ᾀδόμενον λόγιον ἐπειπών, ὡς ἔθος Ῥωμαίοις τοὺς πολεμίους πλέον εὐεργεσίαις ἢ ὅπλοις νικᾶν, πάντα τὰ αἰτούμενα ἐβεβαίωσε. γενομένων δὲ τῶν σπονδῶν ὁ Σφενδοσθλάβος καὶ εἰς ὄψιν ἐλθεῖν καὶ ὁμιλίαν τῷ βασιλεῖ ἐδεήθη. ἐπινεύσαντος δὲ καὶ πρὸς τοῦτο ἀφίκετο. καὶ συμμίξαντες ἀλλήλοις, καὶ διαλεχθέντες περὶ ὧν ἂν ἐβούλοντο, ἀπηλλάγησαν. ὁ δὲ βασιλεύς, αἰτήσαντος καὶ
C τοῦτο τοῦ Σφενδοσθλάβου, καὶ πρὸς Πατζινάκας διαπρεσβεύεται, εἰ βούλονται, φίλους αὐτοὺς καὶ συμμάχους ἀξιῶν ἔχειν, καὶ μὴ διαπερᾶν τὸν Ἴστρον καὶ τὰ Βουλγάρων λῄζεσθαι, παραχωρῆσαι δὲ καὶ τοῖς Ῥὼς ἀκωλύτως διελθεῖν τὴν αὐτῶν γῆν καὶ οἴκαδε ἀπελθεῖν. ἀπεπλήρου δὲ τὴν πρεσβείαν Θεόφιλος ὁ τῶν Εὐχαΐτων ἀρχιερεύς. οἱ δὲ τὴν πρεσβείαν δεξάμενοι, τὴν διάβασιν μόνην ἀπαγορεύσαντες τῶν Ῥώς, πρὸς τἄλλα σπονδὰς ἔθεντο. τῶν δὲ Ῥὼς ἀποπλευσάντων, τῶν παρὰ ταῖς ὄχθαις τοῦ ποταμοῦ φρουρίων καὶ πόλεων πρόνοιαν θέμενος ὁ βασιλεὺς καὶ φρουρὰν καταλιπὼν τὴν ἀρκοῦσαν ἐς ἤθη τὰ Ῥωμαίων ἀνέζευξεν. ὃν ὁ τῆς πόλεως ἀρχιερεὺς μετὰ τῆς συνόδου καὶ πάντες οἱ ἐν τέλει μετὰ παιάνων καὶ ἐπινικίων εὐφημιῶν ὑπεδέξαντο στεφανηφο-
D ροῦντες, τέθριππον ὄχημα λευκοπώλων ἔχοντες ἡτοιμασμένον

3 συγχωρηθείη C   13 αὐτοὺς om C   14 ῥωμαίων C
23 στεφανηφοροῦντα P   24 λευκόπωλον?

legatis postulat ab imperatore se fide publica in numerum amicorum et sociorum Romani imperii recipi, sibique cum suis reditum tutum concedi in patriam, et Scythis libere negotiandi causa in Romanorum dicionem venire permitti. postulata haec omnia imperator confirmavit, fatus illud decantatum, Romani moris esse hostem beneficio magis quam armis vincere. pactis initis Sphendosthlabus etiam colloquium imperatoris petiit. estque admissus, et collocutus de quibus volebat recessit. eius rogatu etiam imperator per legatos a Patzinacis petit ut socii amicique Romanorum fiant, neque Istrum populandae Bulgariae causa transeant, utque Rossis per suam dicionem in patriam redeundi facultatem concedant. obiit eam legationem Euchaitorum summus pontifex Theophilus. Patzinacae reliqua pacti omnia, tantum Rossis per sua transitum denegarunt. cum Rossi navibus suis avecti domum versus essent, imperator castellis et urbibus quae ad ripas fluminis sunt communitis Cpolin rediit. excepit eum urbis patriarcha et pontificum ordo ac senatus cum paeanibus et laetis victoriae gratulationibus coronatum; et adduxerant quadrigas magnifice adornatas, quas quattuor albi equi tra-

πάνυ διαπρεπῶς, καὶ τούτου ἐπιβάντα ἀξιοῦντες θριαμβεῦσαι τὸν βασιλέα. ὁ δὲ μηδὲν σοβαρὸν ἐθέλων, ἀλλὰ μέτριον ἑαυτὸν ἐπιδεικνύμενος, τοὺς μὲν προσενεχθέντας ἀνειλήφει στεφάνους καὶ ἵππῳ λευκῷ τὸν θρίαμβον ἐξεπλήρωσεν, ἐν δὲ τῷ ἅρματι τὰς Βουλγαρικὰς θεὶς τῶν βασιλέων στολὰς καὶ ἄνωθεν τούτων εἰκόνα τῆς θεομήτορος ὡς πολιούχου, προπορεύεσθαι ἑαυτοῦ διετάξατο. ἐν δὲ τῷ λεγομένῳ φόρῳ γενόμενος καὶ ἀποχρώντως εὐφημηθείς, καὶ τῇ θεομήτορι καὶ τῷ ταύτης υἱῷ τὰς ἐπινικίους εὐχαριστίας παρεσχηκώς, τὰ παράσημα τῆς Βουλγαρικῆς βασιλείας ἐπ' ὄψει τῶν πολιτῶν τὸν Βορίσην ἀποδιδύσκει· τὰ δὲ ἦν στέφανος ἐκ χρυσοῦ καὶ τιάρα νενησμένη ἐκ βύσσου καὶ πέδιλα P 683
ἐρυθρά. ἐκεῖθεν εἰς τὴν μεγάλην φοιτήσας ἐκκλησίαν καὶ ἐν αὐτῇ τὸν Βουλγαρικὸν στέφανον ἀνάθημα τῷ θεῷ δεδωκώς, ἀναγαγὼν δὲ καὶ τὸν Βορίσην εἰς τὸ τῶν μαγίστρων ἀξίωμα, ἐπορεύθη εἰς τὰ βασίλεια. ὁ δὲ Σφενδοσθλάβος εἰς τὰ οἰκεῖα ἤδη ὑποστρέφων ἐν τῷ διιέναι τὴν τῶν Πατζινάκων γῆν περιπίπτει ἐνέδραις ἤδη προευτρεπισθείσαις καὶ ὑποδεχομέναις αὐτόν, καὶ ἄρδην αὐτός τε καὶ τὸ σὺν αὐτῷ ἀπόλλυται πλῆθος, μηνιώντων αὐτῷ τῶν Πατζινάκων διὰ τὰς εἰς τοὺς Ῥωμαίους σπονδάς.

Ὁ δὲ βασιλεὺς χαριστήρια τῶν τροπαίων ἀποδιδοὺς τῷ σωτῆρι Χριστῷ ναὸν ἄνωθεν τῆς ἁψῖδος τῆς Χαλκῆς ἀνῳκοδόμησεν ἐκ καινῆς, μηδενὸς φεισάμενος τῶν εἰς πολυτέλειαν συντεινόντων καὶ κόσμον. ἀφῆκε δὲ καὶ τοῖς ὑποφόροις πᾶσι τῶν ὅλων θεμά- B
των τὸ λεγόμενον καπνικόν. προσέταξε δὲ καὶ ἐν τῷ νομίσματι

13 στέφανον om C   15 εἰς τὰ οἰκεῖα ἤδη] οἴκαδε C

herent, eoque invehi eum ac triumphare volebant. sed imperator nihil insolens aut superbum admittens moderate se gessit; sertisque quae offerebantur acceptis albo equo triumphum duxit, quadrigis Bulgaricas regum vestes imposuit, supraque has imaginem deiparae, ut quae tutelam urbis gereret, eamque se praecedere iussit. ut in forum venit, gratulatoriarum iam satur acclamationum, actis pro parta victoria deiparae et eius filio gratiis, in conspectu populi insignibus Bulgarici regni Borisem exuit (ea erant corona aurea, taenia byssina, et calcei rubei), indeque ad magnum progressus templum coronam Bulgaricam deo donarii loco suspendit, Borisen ad magistri dignationem evehit, atque ita in palatium revertitur. ceterum Sphendosthlabus patriam repetens, dum per Patzinacas transit, insidiis iam ante paratis et ipsum exspectantibus illapsus cum suis ad internecionem caeditur: succensebant enim ei Patzinacae ob ictum cum Romanis foedus.

Porro imperator ut gratias Christo servatori referret, templum quod supra fornicem Chalces est, de novo aedificavit, nulli sumptui parcens, dum id quam ornatissimum faceret. absolvit etiam subditos universos fumario tributo. et edixit ut cum in aureo nummo tum in

καὶ ἐν τῷ ὀβολῷ εἰκόνα ἐγγράφεσθαι τοῦ σωτῆρος, μὴ πρότερον τούτου γινομένου. ἐγράφοντο δὲ καὶ γράμματα ῥωμαϊστὶ ἐν θατέρῳ μέρει ὧδέ πη διεξιόντα "Ἰησοῦς Χριστὸς βασιλεὺς βασιλέων." τοῦτο δὲ καὶ οἱ καθεξῆς ἐτήρησαν βασιλεῖς. Βασιλείου δὲ τοῦ πατριάρχου ἐπ' αἰτίαις διαβληθέντος καὶ συνοδικῶς καθαιρεθέντος προεβλήθη πατριάρχης Ἀντώνιος ὁ Στουδίτης.

Αὐγούστῳ δὲ μηνί, ἰνδικτιῶνος γ', ἐφάνη καὶ κομήτης ὁ λεγόμενος πωγωνίας, καὶ ἐφαίνετο ἕως Ὀκτωβρίου μηνὸς τῆς τετάρτης ἰνδικτιῶνος. προεμήνυε δ' οὗτος τὸν τοῦ βασιλέως
C θάνατον καὶ τὰς μελλούσας κατασχεῖν τὴν Ῥωμαίων γῆν ἐκ τῶν ἐμφυλίων πολέμων ἀπαραμυθήτους τύχας.

Τῶν δ' ὑπὸ τοῦ βασιλέως Νικηφόρου προσκτηθεισῶν πόλεων καὶ τῶν ὑποφόρων γενομένων Ῥωμαίοις, ὡς ἔμπροσθεν εἴρηται, ἀραμένων πτέρναν καὶ τὴν Ῥωμαϊκὴν ἀποσεισαμένων ἐξουσίαν, ἔξεισι κατ' αὐτῶν ὁ βασιλεὺς καὶ ἄπεισιν ἄχρι Δαμασκοῦ. καὶ τὰς μὲν πειθοῖ καὶ λόγῳ τὰς δὲ πολέμῳ καὶ βίᾳ ἀνακτησάμενος, καὶ πάντα κατὰ τὸ πρέπον καταστησάμενος, ἀνέζευξε πρὸς τὴν βασιλίδα. γενόμενος δὲ κατὰ τὴν Ἀνάζαρβον, καὶ τὸν Ποδανδὸν καὶ τὰς λοιπὰς παροδεύων χώρας, καὶ βλέπων τὰ ἐν ποσί, κτήσεις τε ὁρῶν πολυτελεῖς καὶ χωρία εὐφυῆ τε καὶ πάμφορα,
D διεπυνθάνετο τοὺς παρευρημένους τίνος ἂν καὶ εἶεν αὗται. ὡς δ' ἐμάνθανε παρὰ τῶν ἐρωτωμένων ὅτι περ τοῦ παρακοιμωμένου εἰσὶ Βασιλείου πᾶσαι, αὕτη μὲν καὶ αὕτη Ῥωμαίοις προσκτηθεῖ-

8 Ὀκτωβρίου μηνὸς] ὀκτὼ μηνῶν P   17 ἀνεζεύγνυε C
18 ἀνάβαρζαν καὶ τὸ πανδαδόν C

obolo servatoris insculperetur imago, quod antehac non fuerat receptum; et alteri parti inscribi iussit "Iesus Christus rex regum." quod successores etiam observarunt. Basilio patriarchae crimina quaedam obiecta, isque in concilio propterea depositus cum esset, Antonio Studitae patriarchatus mandatus est.

Augusto mense, indictione tertia, cometa exstitit, quem a barbae forma pogoniam vocant; et visus est usque ad octavum mensem indictionis quartae. is praemonstrabat imperatoris obitum et calamitates immedicabiles, quae propter civilia bella Romanorum dicioni erant eventura.

Secundum haec imperator expeditionem facit contra eas urbes quae, uti docuimus, ab imperatore Nicephoro subactae bello et Romanis stipendiariae factae defecerant; et Damascum usque profectus nonnullas verbis, quasdam bello et vi recuperat, et omnibus rite constitutis iter domum versus instituit. eo in itinere cum Anazarbam Podandum et reliqua loca transiret, videretque obiter magnifica et fertilissima praedia, quaesivit ex iis qui aderant quinam horum essent domini. cumque responderetur omnia ea esse Basilii cubicularii intimi, partim nuper

σαι ἔναγχος παρὰ Νικηφόρου τοῦ βασιλέως, αὕτη δὲ παρὰ τοῦδε τοῦ δομεστίκου τῶν σχολῶν, καὶ αὕτη παρὰ τοῦ δεῖνος, καὶ αὕτη καὶ αὕτη παρὰ σοῦ, καὶ τῷ Βασιλείῳ δεδώρηνται, οὐδὲν δὲ ὅτι καὶ λόγου ἄξιον εἶδεν ὑπολελειμμένον τῶν προσκτηθέντων τῷ δημοσίῳ, γενόμενος περιαλγὴς καὶ βύθιον στενάξας "δεινόν, ὦ παρόντες," ἔφη "εἰ τὰ δημόσια καταναλίσκονται χρήματα καὶ τὰ Ῥωμαϊκὰ ταλαιπωροῦνται στρατεύματα καὶ οἱ βασιλεῖς ὑπερορίους ἀναδέχονται κόπους, τὰ δὲ ἐκ τοσούτων προσκτώμενα μόχθων καὶ κόπων ἑνὸς εὐνούχου γίνονται κτῆμα." καὶ ὁ μὲν βασιλεὺς ταῦτα, τῶν τις δὲ παρόντων τῷ Βασιλείῳ τὸν τοῦ βασιλέως λόγον διαπορθμεύσας ἀνηρέθισε πρὸς ὀργήν. καὶ ἔκτοτε εὐκαιρίαν ἐζήτει τὸν βασιλέα ἀποσκευάσασθαι. θωπείαις οὖν ὑπελθών ποτε καὶ δώροις ἐξαπατήσας τὸν ἐγχεῖν εἰωθότα τὸν οἶνον τῷ βασιλεῖ, καὶ δηλητήριον κερασάμενος οὐ τῶν δραστικωτάτων καὶ ταχὺν ἐπιφερόντων τὸν κίνδυνον, ἀλλὰ τῶν σχολαίως καὶ κατὰ μακρὸν ἀναλισκόντων τὴν τοῦ πεπωκότος δύναμιν, κεράννυσι τῷ βασιλεῖ. καὶ πιὼν καὶ κατ' ὀλίγον νοσηλευόμενος καὶ τῆς οἰκείας δυνάμεως ἀποπίπτων, τελευταῖον δὲ καὶ τοὺς ὤμους ἀνθρακιάσας, B αἵματος πολλοῦ ῥυέντος αὐτῷ διὰ τῶν ὀφθαλμῶν, εἰσελθὼν ἐν τῇ βασιλίδι κατέλυσε τὴν ζωήν, βασιλεύσας ἔτη ϛ' τοσούτους τε μῆνας καὶ πρός, διαδόχους καταλιπὼν τῆς βασιλείας Βασίλειον καὶ Κωνσταντῖνον τοὺς παῖδας τοῦ Ῥωμανοῦ.

P 684 (margin, at line 7)

3 δεδώρηται C 8 δὲ προσκτηθέντα ἐκ τῶν τοιούτων μόχθων C 22 post Ῥωμανοῦ C: τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν, λευκὸς μὲν τὴν ὄψιν καὶ εὔχρους, τὴν κόμην φέρων ξανθὴν καὶ ἀραιάν,

Romano imperio adiecta a Nicephoro imperatore, partim ab hoc, partim ab alio scholarum domestico, quaedam ab ipso Tzimisca, atque ea omnia Basilio donata, nihil memoratu dignum videns relictum rei publicae de tam multis ei acquisitis bonis, gravi correptus dolore et gemitu ex imo pectore ducto "pro indignam" ait "rem, comites, publicas insumi pecunias, Romanos exercitus aerumnas exantlare, imperatores extra sui imperii fines labores tolerare, et tamen quidquid tot laboribus atque molestiis conficitur, id omne in unius venire spadonis possessionem." hunc imperatoris sermonem quidam ad Basilium detulit. quo ille irritatus ex eo tempore occasionem quaesivit imperatoris tollendi. itaque eum qui minister a poculis imperatori erat, aliquando blanditiis et muneribus corrumpit, eiusque opera venenum non vehementissimi generis et quod statim necaret, sed quod sensim vires haurientis exstingueret, imperatori propinat. quo is epoto paulatim contabescens et viribus deficiens, tandem etiam carbunculis per humeros exortis, multo per oculos effluente sanguine, Cpolin reversus vivendi finem fecit, imperio Basilio et Constantino Romani filiis relicto. imperavit annos 6 totidemque menses et paulo amplius.

Τὸ μὲν οὖν Ἰωάννου τέλος τὸν εἰρημένον συνηνέχθη τρόπον, τὸ δὲ τῆς βασιλείας κράτος εἰς Βασίλειον μετήχθη καὶ Κωνσταντῖνον τοὺς υἱοὺς Ῥωμανοῦ, κατὰ τὸ ‚ςυπδʹ ἔτος, ἰνδικτιῶνος δʹ, μηνὶ Δεκεμβρίῳ· ὧν ὁ μὲν Βασίλειος τὸν κʹ ἤνυε τῆς ἡλικίας χρόνον, ἔτεσι δὲ τρισὶ τούτου νεώτερος ἦν ὁ Κωνσταντῖνος. σχῆμα C *μὲν οὖν καὶ ὄνομα μόνον τοῖς βασιλεῦσι περιετέθειτο, ἡ δὲ μεταχείρησις τῶν πραγμάτων παρὰ τοῦ προέδρου ἐνηργεῖτο Βασιλείου διὰ τὸ νεάζον τῆς ἡλικίας τῶν βασιλέων καὶ ἁπαλὸν καὶ μήπω βεβηκὸς τοῦ φρονήματος. ὃς ἅμα τε περιῆλθεν εἰς τοὺς παῖδας τοῦ Ῥωμανοῦ τὸ κράτος, καὶ ἅμα ταχυδρόμους ἐκπέμψας ἄγει τὴν αὐτῶν μητέρα ἀπὸ τῆς ὑπερορίας εἰς τὰ βασίλεια. δεδιὼς δὲ καὶ τὰς κατὰ τῆς βασιλείας ἐπαναστάσεις, καὶ μᾶλλον τῶν ἄλλων Βάρδαν μάγιστρον τὸν Σκληρόν, ἀεὶ τῇ βασιλείᾳ ἐφεδρεύοντα καὶ*

ἐπιμέτωπον. ὀφθαλμοὶ τούτῳ ἀνδρώδεις καὶ χαροποί, ῥὶς λεπτή τε καὶ σύμμετρος, γένυς ἡ ἄνωθεν πυρρὴ καὶ εἰς πλαίσιον καθειμένη παρὰ τὸ μέτριον, ἡ δὲ κάτωθεν μεμετρημένη, ὡς τὸ εἰκός, καὶ μήτι ἐνδεῶς ἔχουσα. τὴν δὲ ἡλικίαν βραχύς τις ἦν, εἰ καὶ στέρνον εὐρὺ καὶ μετάφρενον εἶχε. γιγαντώδης δὲ τούτῳ ἐνῆν ἰσχύς, καὶ ταῖς χερσὶν εὐαγωγία καὶ ἀλκή τις ἀκαταγώνιστος· ἡρωϊκὴ γὰρ αὐτῷ ψυχὴ ἀνεκέκρατο, ἀδεής τε καὶ ἀκατάπληκτος, ἐν οὕτω βραχεῖ σώματι ἀποδεδειγμένη τόλμαν ὑπερφυῆ. ἐς ὅλην γὰρ φάλαγγα οὐκ ἀπεδειλία μόνος ὁρμᾶν, πλείστους τε κατακαίνων ἀπτέρῳ τάχει πρὸς τοὺς οἰκείους διανέκαμπτεν. ἐν ἅλμασι δὲ καὶ σφαιρισμοῖς καὶ ἀκοντισμοῖς καὶ τόξων ἐντάσει καὶ βολαῖς πάντων κατευμεγέθει τῶν τότε. ἵππους τε τέσσαρας κέλητας ἱστὰς στοιχηδὸν τοῦ θατέρου μέρους καθαλλόμενος ἐπὶ τὸν πέμπτον ὥς τις πτηνὸς ἐφίζανε. βέλος τε ἀφιεὶς διὰ δακτυλίου ὀπῆς τοῦ σκοποῦ κατεστοχάζετο. σφαῖράν τε ἐκ σκύτους κατειργασμένην ἐν πυθμέσιν ὑελίνου σκύφους τιθείς, τὸν ἵππον μύωπι κεντρίζων θαμὰ καὶ τὸν δρόμον ἐπιταχύνων, ῥάβδῳ παίων τὴν σφαῖραν αὐτὴν μὲν ἀναθρώσκειν καὶ πέτεσθαι κατειργάζετο, τὸ δὲ σκύφος ἐπὶ χώρας ἔμενεν ἀμετακίνητον. μεγαλόδωρός τε ἦν καὶ φιλοδωρότατος, καὶ οὐδεὶς αὐτὸν αἰτησάμενος ἀπῆλθεν κενός, εἰ μὴ Βασίλειος ὁ παρακοιμώμενος ἐπεῖχεν αὐτόν. ἐλάττωμα δὲ τούτῳ προσῆν ὅτι τε περὶ πότους ἔστιν ὅτε παρὰ τὸ προσῆκον ἐκώμαζε καὶ περὶ τὰς τοῦ σώματος ἡδονὰς διεπτόητο. ἦν δὲ ὅτε ἐβασίλευσεν ἐτῶν τεσσαράκοντα καὶ πέντε, θνήσκει δὲ ζήσας τὰ πάντα ἔτη πεντήκοντα πρὸς τῷ ἑνί.

1 οὖν om C 4 μηνὸς δεκεμβρίου C 8 καὶ ἁπαλὸν τῶν βασιλέων C 10 πέμψας C

Anno mundi 5484, indictione quarta, mense Decembri, Basilius et Constantinus Romani filii imperium inierunt. annum aetatis vigesimum Basilius tum agebat: triennio iunior erat Constantinus. atque hi quidem nomen et figuram imperatorum gerebant: omnium rerum penes Basilium praesidem interim administratio erat, iis adhuc et aetate et prudentia minoribus. is praeses, simulatque ad hos adolescentes summa rerum devoluta est, matrem eorum celoce ab exsilio revocat. solicitus porro ne quis alius imperium invaderet, ac maximo omnium Bardam Sclerum

διὰ παντὸς τὴν ἀποστασίαν ὠδίνοντα (ἑάλω γὰρ καὶ ἐπὶ τοῦ βασιλέως Ἰωάννου ἐπιβουλεύων, καὶ καταδικασθεὶς ἐξορυχθῆναι τοὺς ὀφθαλμοὺς ἐξερρύσθη παρ' αὐτοῦ τῆς ποινῆς), τοῦτον D μάλιστα δεδοικὼς πᾶσαν τηνικαῦτα τὴν Ῥωμαϊκὴν δύναμιν ἐγκεχειρισμένον καὶ ὅπῃ καὶ βούλοιτο ῥᾳδίως ἄγοντα καὶ μετακυβεύοντα (ἦν γὰρ στρατηλάτης προβεβλημένος πάσης ἀνατολῆς) συμφέρον εἶναι τῇ βασιλείᾳ καὶ ἀσφαλὲς ἐνόμισε τὸ πολὺ τῆς δυνάμεως ἀκρωτηριάσαι καὶ ἀσθενέστερον αὐτὸν ἀποφήνασθαι πρὸς τὴν ὑποπτευομένην ἀποστασίαν. καὶ γοῦν καὶ παραλύει τοῦτον τῆς τοῦ στρατηλάτου ἀρχῆς, δοῦκα δὲ ἀποδείκνυσι τῶν ἐν τῇ Μεσοποταμίᾳ ταγμάτων, ἐπαγρυπνεῖν κελεύσας τὰς ἐκδρομὰς τῶν Σαρακηνῶν φυλάττοντα. τὸ δ' αὐτὸ τοῦτο καὶ εἰς Μιχαὴλ τὸν Βούρτζην ὕποπτον ὄντα ἐμηχανήσατο, διαστῆσαι τοῦτον τῆς τοῦ Σκληροῦ ἑταιρείας σπουδάσας (συνῆν γὰρ καὶ οὗτος αὐτῷ τάγματός τινος κατάρχων στρατιωτικοῦ)· ὅνπερ τῷ τῶν μαγίστρων τιμήσας ἀξιώματι δοῦκα τῆς παρὰ τῷ Ὀρόντῃ Ἀντιοχείας προβάλ- P 685 λεται. ἔφορον δὲ καὶ ἐπιστάτην τῶν ἑῴων ἀποδείκνυσι πάντων ταγμάτων τὸν πατρίκιον Πέτρον τὸν τοῦ Φωκᾶ δοῦλον, στρατοπεδάρχην αὐτὸν ὀνομάσας, τομίαν μὲν ἄνθρωπον, δραστήριον δ' ἄλλως καὶ τὰ πολεμικὰ ἐμπειρότατον. τοῦτο δὲ τὸν Σκληρὸν σφόδρα ἐλύπησεν, ὡς μηδὲ παρ' ἑαυτῷ δυνηθῆναι συγκαλύψαι τὴν ἀνίαν μεγαλοψύχως, ἀλλ' ἐπεγκαλέσαι καὶ προσονειδίσαι,

6 προβεβλημένος om C 7 ἀσφαλῆ C 9 οὖν C 11 κελ. καὶ φυλάττειν τὰς ἐκδρομὰς τῶν σαρακηνῶν C 14 ἑταιρίας C 16 ὀρόντι C 20 ἐμπυρότατον C δὲ om C

metuens (namque is ei semper inhiaverat, et Tzimisca imperante tyrannidis attentatae convictus oculis multatus fuisset, nisi eum ipse poenae eripuisset), hunc ergo maxime suspectum habens, ut cui tunc universae copiae commissae essent, facileque eas qua vellet impellere posset utpote totius Orientis dux designatus, ex usu rei publicae fore et ad imperium communiendum facturum iudicavit, si eius potentiam accideret ipsumque eo infirmiorem ad res novas tentandas redigeret. itaque ei Orientis praefecturam adimit ducemque constituit Mesopotamiae, ac mandat ut diligenter adversus Saracenorum excursiones excubet. eodem modo Michaelem quoque Burtzam sibi suspectum tractat; quem ut a Duri (nam ei aderat cuiusdam cohortis ductor) societate avelleret, ad magistri evectum dignitatem ducem Antiocheae ad Orontem sitae constituit. inspectionem atque imperium in omnes orientales copias Petro defert patricio, Phocae olim famulo, eumque exercituum praefectum nominat, castratum quidem, sed strenuum ceteroqui et rei bellicae peritissimum. indigne autem id tulit Durus, adeo ut ne apud se quidem magno animo occultam retinere eam potuerit aegritudinem, sed invectus

εἰ ἀντὶ τῶν ὑπ᾽ αὐτοῦ γενομένων ἀνδραγαθημάτων τε καὶ τροπαίων τοιαύτας ἀντιλαμβάνει τὰς ἀμοιβάς, ἐπὶ τὸ χεῖρον προκόπτων, κἂν ὀλίγον ἢ οὐδὲν τῷ παρακοιμωμένῳ ἐμέλησεν, B *ἀγαπᾶν εἰπόντι τοῖς δεδομένοις καὶ μὴ ἐπέκεινα πολυπραγμονεῖν, εἰ μή που μέλλει ἀντὶ ἄρχοντος οἰκουρὸς ἔσεσθαι τῆς ἰδίας οἰκίας.*

Τούτων δὲ οὕτως οἰκονομηθέντων τῷ παρακοιμωμένῳ ἀπάρας ὁ Βάρδας τῆς βασιλίδος σὺν τάχει πολλῷ τὴν ἐγχειρισθεῖσαν αὐτῷ καταλαμβάνει ἀρχήν. ἐν δὲ ταῖς προηγησαμέναις στρατηγίαις ἐμβριθὴς πολλάκις φανεὶς καὶ δραστήριος, καὶ ὑπὸ παντὸς ὡς ἔπος εἰπεῖν τοῦ στρατοῦ φιληθείς, καὶ πρὸς πολλοὺς οὓς ἐθάρρει τὸ τῆς μελέτης παραγυμνώσας μυστήριον, καὶ μᾶλλον τῷ τάγματι τῶν στρατηλατῶν, ἄρτι τε καιρὸν οἰηθεὶς ἐπιτήδειον εἰς τὸ ἀνακαλύψαι τὸ σπουδαζόμενον, μετὰ τῶν ἐπιτηδείων σκεψάμενος, ἣν ἐκ μακρῶν ὤδινεν ἀποτίκτει ἀποστασίαν, καὶ κατὰ τῶν βασι- C *λέων καὶ τῶν ὁμοφύλων αἴρει τὰ ὅπλα. εὐθὺς οὖν Ἄνθην τινὰ τοὔνομα, Ἀλυάτην τὴν προσηγορίαν, τὰ μάλιστα ὄντα αὐτῷ τῶν δραστικωτάτων ὑπηρετῶν, ἐς τὴν βασιλίδα πέμπει, ὅπως, εἰ δύναιτο, Ῥωμανὸν τὸν ἑαυτοῦ κλέψας υἱὸν (ἔτυχε γὰρ ἐνδημῶν τῇ βασιλευούσῃ) πρὸς αὐτὸν ἀφίκηται. ὁ δὲ γενόμενος ἐν τῇ πόλει, καὶ πάντα τρόπον λαθεῖν ἐπειγόμενος, φήμας οὐ καλὰς κατὰ τοῦ Σκληροῦ ἐνέσπειρε, δι᾽ ὧν λαθεῖν τε ἠδυνήθη ἀνύποπτος φανεὶς καὶ τὸν Ῥωμανὸν ἀποκλέψας πρὸς τὸν Σκληρὸν ἀγαγεῖν. ὁ Βάρ-*

verbis in auctorem contumeliosis sit, qui ipsum pro rerum praeclare gestarum victoriarumque partarum mercede ab equis (quod aiunt) ad asinos detruderet. sed praeses ista vel parum vel nihil curavit, contentum eum esse iubens iis quae dabantur neque ulterius quicquam tentare, nisi si vellet amisso magistratu privatus in domum suam concludi.

His ita a praeside constitutis Bardas Durus celerrime in suam provinciam proficiscitur. et cum superioribus temporibus gestis magistratibus gravitatem atque efficacitatem suam saepenumero declarasset, neque fere quisquam in exercitu cum non amaret, ad haec iam ante haud paucis quibus fidebat arcanum suum per ambages ostendisset propositum, praecipue ducibus militum, tunc ac tempus ratus opportunum habere eius vulgandi, re cum necessariis communicata, id quod diu parturierat imperii obtinendi studium tandem in lucem edit, armaque contra imperatores et populares suos capit. illico Anthem, cognomine Alyatam, ministrorum suorum maxime industrium, Cpolin mittit, qui filium Bardam Romanum tunc in urbe degentem ad se, modo id fieri posset, adduceret. Anthes cum eo venisset, omnia ne deprehenderetur commentus, sinistros de Duro rumores spargendo omni se suspicione eius quod moliebatur liberavit: itaque nemine observante Romanum suffuratus ex urbe ad patrem perduxit. tunc domum Durus in apertum

δας δὲ τὸ βουλευθὲν εἰς τοὐμφανὲς ἤδη ἐκρήξας διάδημά τε περιβάλλεται καὶ τὰ λοιπὰ τῆς βασιλείας ἀναλαμβάνει παράσημα, καὶ ὑπὸ παντὸς τοῦ συνόντος στρατοῦ Ῥωμαίων ἀναγορεύεται βασι- D λεύς, τῶν Ἀρμενίων καταρξάντων τῆς εὐφημίας. ἐπεὶ δὲ τῷ τοιοῦτον ἀναρρίψαντι κύβον χρημάτων δεῖν πολλῶν ἠπίστατο, ὧν ἄνευ οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων, καθά πού φησιν ὁ ῥήτωρ, πρὸς συλλογὴν τούτων παραχρῆμα ἐτρέπετο, τούς τε τῶν δημοσίων πράκτορας φόρων κατέχων καὶ τὰ κοινὰ εἰσπραττόμενος χρήματα, καὶ τοὺς ἄλλως ὑπόνοιαν παρέχοντας πλούτου συλλαμβάνων τε καὶ τιμωρῶν, ἐνίων δὲ καὶ αὐθαιρέτως προσαγόντων τὸν ἑαυτῶν βίον ἐλπίδι τοῦ ἀπολήψεσθαι μείζονα· καὶ οὕτως ἐν οὐ μακρῷ τῷ χρόνῳ πλῆθος χρημάτων συνάγει πολύ. φρούριόν τε P 686 κατασχὼν ἐρυμνὸν τὸ λεγόμενον Χάρποτε, ἐν Μεσοποταμίᾳ κείμενον, καὶ παντοίως ἀσφαλισάμενος καὶ φυλακὴν ἐπιστήσας τὴν ἐξαρκοῦσαν, ἐν τούτῳ τὰ συναγόμενα ἀπετίθει χρήματα, καὶ ὁρμητήριον ἐξ ἀποτυχίας καὶ λιμένα σωτηρίας ἔχειν ἐταμιεύετο. καὶ πρὸς τοὺς γειτονοῦντας Σαρακηνούς, τόν τε τῆς Ἀμίδης ἀμηρᾶν Ἀποτούλφ, ἥτις Ἔμετ καλεῖται, καὶ τὸν τῆς Μαρτυροπόλεως Ἀποτάγλε, ἥντινα Μιεφερκὶν ὀνομάζουσι, πίστεις δοὺς καὶ λαβών, καὶ μετ' αὐτῶν κηδεύσας καὶ διὰ τοῦ κήδους τὰ τῆς φιλίας ἀσφαλισάμενος, χρήματά τε λαμβάνει πολλὰ καὶ συμμαχικὸν Ἄραβας ἱππότας τ'. τῆς φήμης δὲ πανταχοῦ διαδραμούσης συνέρρεον B πρὸς αὐτὸν ὁπόσοι νεωτέροις χαίρουσι πράγμασιν. ἤδη δὲ τοῦ

5 ἀναρρίψαντα C   13 χάρπετε C   14 καὶ παντοίως ἀσφαλισάμενος om C   17 ἀμιδης C   19 μιεφερκεὶμ C

protulit sua consilia, et diademate reliquisque imperii signis sumptis ab omni suo exercitu est salutatus imperator, primoque omnium ab Armeniis. exinde ad cogendam pecuniam (neque enim illud Demosthenis ignorabat, sine hac nihil recte geri posse, praesertim vero cui de tanta re iacta esset alea) illico conversus publicanos comprehendit, ab iisque pecuniam publicam extorsit; alios, qui divites putabantur, captos pecunia emunxit: quidam ultro, spe maiora recipiendi, suas facultates ei obtulerunt. ita exiguo temporis spatio ingentem vim pecuniae coegit. proinde in Mesopotamia castellum validum occupat, cui nomen Charpote; quod cum undique communivisset et praesidio sufficienti armasset, eo pecuniam congestam deponit; quod ipsum etiam rebus adversis ipsi pro portu (quod aiunt) in quem se tuto reciperet, fore sperabat. quin et cum vicinis Saracenis data acceptaque fide pacta iniit, eaque nuptiis contractis firmavit, nempe cum amera Amidae (ipsi Emet vocant) Apotulpho et amera Martyropolis (ea ipsis Miepherkin dicitur) Apotagle; ab iisque cum pecuniae multum tum Arabes equites trecentos auxiliares accepit. fama huius rei late dissipata confluxerunt ad eum multi alii, qui rebus novis gaudebant. iam aestas appetierat, cum Bardas cum

θέρους ἐπιγενομένου ἄρας παντὶ τῷ στρατῷ ἠπείγετο πρὸς τὴν βασιλεύουσαν, μεστὸς ἐλπίδων καὶ μονονοὺ τοῖς βασιλείοις καθῆσθαι δοκῶν. καὶ γὰρ δὴ καὶ ἐθράσυνεν αὐτὸν καὶ τολμηρότερον ἐτίθει πρὸς τὸ ἐγχείρημα μοναχοῦ τινὸς ἀρετῆς ἀντιποιουμένου ὄψις νυκτερινή. ἐδόκει γὰρ οὗτος ἰδεῖν ἄνδρας πυρίνους, οἵτινες τὸν Βάρδαν λαβόντες ἀνάγουσιν εἴς τινα ὑψηλοτάτην περιωπήν· C ἐντυχεῖν δ' ἐν αὐτῇ γυναικὶ ἀνθρωπίνης ὄψεως στερροτέρᾳ, καὶ τὴν μάστιγα αὐτῷ ἐπιδοῦναι βασιλικήν. ταύτην τὴν μάστιγα ὁ μὲν Βάρδας σύμβολον ἐλογίζετο βασιλείας, ἦν δὲ ἄρα ἡ πρὸς Ῥωμαίους ὀργὴ τοῦ θεοῦ.

Ἄρτι δὲ τῆς φήμης καὶ τὴν βασιλίδα καταλαβούσης, οἱ βασιλεῖς τε ἐν ἀγωνίᾳ καθίσταντο, καὶ ἀθυμία κατέσχε τὸ νουνεχὲς τοῦ πολιτεύματος καὶ ἀκέραιον, μόνους δὲ ηὔφρανε τοὺς ὅσοι ταῖς ἐναλλαγαῖς ἥδονται τῶν πραγμάτων καὶ χαίρουσι ταῖς λεηλασίαις. ταχύ τε οὖν γράμματα πρὸς τὸν στρατοπεδάρχην ἐγένοντο Πέτρον, καὶ ταχὺ τὸ ὑγιαῖνον τοῦ στρατοῦ μέρος ἠθροίζετο εἰς Καισάρειαν. D ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, ὁ σύγκελλος Στέφανος καὶ τῆς Νικομηδείας πρόεδρος, ἀνὴρ ἐλλόγιμος καὶ ἐπὶ σοφίᾳ καὶ ἀρετῇ διαβόητος καὶ πειθοῖ μαλάξαι ἱκανὸς γνώμην σκληρὰν καὶ ἀτίθασσον, πρέσβυς εἰς τὸν Σκληρὸν ἀποστέλλεται, εἴ πως δυνηθῇ πεῖσαι τοῦτον ἀποθέσθαι τὰ ὅπλα. ἀλλ' οὗτος πρὸς ἓν ἔχων τὴν διάνοιαν τεταμένην, τὴν τῆς βασιλείας ὄρεξιν, ἐλθόντα πρὸς αὐτὸν καὶ

6 ἄγουσιν C 8 βασιλικόν C 9 τῆς βασιλείας C
12 κατεῖχε C 13 τῆς πολιτείας C ηὔφραινε C

omnibus suis copiis versus Cpolin iter instituit, plenus spei et tantum non in solio imperatoris sedere se existimans. etenim animum illi addebat adque tantam rem moliendam audaciorem reddebat monachi cuiusdam vitae probae insomnium. is per quietem visus sibi fuerat videre viros igneos, qui Bardam arreptum in sublimem quandam adducerent speculam: ibi eum convenire mulierem quandam humana specie grandiorem, quae ei imperatorium praeberet flagellum. id flagellum imperii signum Bardas interpretabatur; sed nimirum eo ira dei in Romanos notabatur.

Allatus autem huius rei Cpolin nuntius cum imperatores in magnam coniecit solicitudinem, tum optimum atque cordatissimum quemque civium gravi affecit maerore: iis solis voluptati fuit qui mutationibus rerum gaudent et rapto vivere amant. illico ad Petrum exercituum praefectum literae mittuntur; et exercitus, quidquid adhuc in fido permanserat, Caesaream cogitur. interim Stephanus syncellus Nicomediae praesul, vir sapientia atque virtute praestanti et verbis emollire animum durum atque indomitum gnarus, ad Bardam legatur, conaturus ei persuadere ut ab armis discedat. at enim Durus unicae imperii cupiditati animum intendens, eum ad se profectum et multa ad persuaden-

πολλὰ εἰπόντα ἐπαγωγὰ καὶ θελκτήρια λόγων μὲν πολλῶν οὐκ ἠξίωσεν, ἀνατείνας δὲ τὸν δεξιὸν πόδα καὶ τὸ κοκκοβαφὲς δείξας πέδιλον. "ἀδύνατον, ὦ ἄνθρωπε," ἔφη "τὸν τοῦτο ἅπαξ περιβαλόμενον ἐπ' ὄψει πολλῶν ῥᾳδίως ἀποβαλεῖν. φράσον τοίνυν τοῖς ἀποστείλασιν ὡς ἢ ἑκοντί με παραδέξονται βασιλέα ἢ καὶ μὴ P 687
βουλομένων πειράσομαι λαβεῖν τὴν ἀρχήν." ταῦτα εἰπὼν καὶ προθεσμίαν ἡμέρας τεσσαράκοντα δεδωκὼς ἀπαλλάττεσθαι κελεύει. ἐπαναδραμόντος δὲ τοῦ συγκέλλου καὶ τὴν ἀπόκρισιν ἀποκομίσαντος τοῦ Σκληροῦ τοῖς βασιλεῦσι καὶ τῷ τὴν βασιλείαν ἰθύνοντι Βασιλείῳ, γράμματα ἐφοίτων πρὸς τὸν στρατοπεδάρχην ἐμφυλίου μὲν μὴ κατάρχειν πολέμου, τὰς δὲ παρόδους τηρεῖν ἀσφαλῶς, καὶ ἤν τις ἐπίῃ πολεμήσων, ἀμύνεσθαι. ὁ δὲ Σκληρὸς ἀπιὼν πρὸς Καισάρειαν προδρόμους ἀπέστειλε καὶ κατόπτας, ἐφ' ᾧ κατασκοπεῖν, καὶ ὅπηπερ εἰσὶν οἱ ἐναντίοι μηνύειν, καὶ προοιμιάζειν αὐτῷ τὴν ὁδόν. ἔξαρχος δὲ τῶν πεμφθέντων προκέκριτο Ἄνθης ὁ Ἀλυάτης. οἵτινες καταντήσαντες ἔν τινι στενο- B
χωρίᾳ (Βούκου λίθον τὸν τόπον κατονομάζουσι) καὶ μέρει τῆς βασιλικῆς στρατιᾶς ἐντυχόντες ἄρχοντα ἐχούσης Εὐστάθιον μάγιστρον τὸν Μαλεῖνον, ἀπεπειρῶντο τοῦ συναντήματος καὶ ἀκροβολισμοὺς ἐποιοῦντο. ἐπί τινα δὲ καιρὸν ἀκροβολιζομένων ἀλλήλοις τῶν στρατευμάτων, καὶ μηδενὸς νῶτα διδόντος, ὁ Ἀλυάτης μὴ περισχὼν ἑαυτόν, περικαρδίῳ δὲ ζέσει ληφθείς, μυωπίσας τὸν ἵππον σὺν ἀλογίστῳ ῥύμῃ τοῖς ἐναντίοις προσρήγνυται. μηδὲν

5 βασιλέα om C   καὶ om C   17 κόκκον C   18 εὐστράτιον P

dum idonea locutum longo responso non dignatus, dextrum pedem proferens et coccinum ostendens calceum "fieri non potest" inquit "Stephane, ut hunc semel in conspectu multitudinis indutus facile exuat. significa ergo his qui te miserunt, vel sponte me imperatorem agnoscant, vel invitis ipsis imperium me mihi vindicare conaturum." hoc fatus, et quadraginta dierum terminum praescribens, eum abire iubet. reverso syncello, et imperatoribus ac qui imperium administrabat praesidi Basilio Bardae responsum effato, literis missis Petro mandatur ne belli civilis initium ipse praebeat, sed itinera diligenter custodiat et vim inferenti vi resistat. Durus Caesaream tendens speculatum quosdam praemittit, qui sibi quo loco agerent hostes indicarent viamque aperirent. dux eorum Anthes Alyata. hi in quibusdam angustiis (Buculithus, id est Bucci saxum, ei loco nomen) incidunt in partem imperatorii exercitus, quam ducebat Eustathius magister Maleinus; levique praelio commisso, cum aliquamdiu pugnatum esset ac neutri terga darent, Alyata ardore animi victus ac se ipsum non continens, equo incitato inconsiderate in adversos irruit, nullaque re memorabili gesta deii-

δὲ ὅ τι καὶ λόγου διαπραξάμενος ἄξιον, πίπτει καιρίαν τυπεὶς, καὶ
C τὸ ἀμφ' αὐτὸν ἅπαν εἰς τὰς ἔγγιστα νάπας καὶ λόχμας διεσκεδάσθη. διεμηνύθη δὲ τότε καὶ ὁ τοῦ Βάρδα ἑταιρειάρχης ὡς μελλων αὐτομολεῖν τῷ τοῦ βασιλέως στρατῷ· ὃν παραστησάμενος ὁ Σκληρὸς καὶ προσονειδίσας, καὶ μηδὲν πλέον φανερῶς εἰς αὐτὸν δεδρακὼς, ἀπέλυσε, λάθρᾳ δὲ τοῖς μισθοφόροις Σαρακηνοῖς μηνύσας ἀνεῖλεν· οὗτοι γὰρ διιόντα τὸν ἄνδρα μεσούσης ἡμέρας περιχυθέντες ταῖς μαχαίραις κατέκοψαν.

Οἱ δὲ τῶν βασιλικῶν κατάρχοντες στρατευμάτων τὴν τοῦ Σκληροῦ ὅσον οὐδέπω ἐπέλευσιν προσδοκῶντες, τὰ καίρια τῆς ὁδοῦ κρίνουσι προκαταλαβεῖν, καὶ ἄραντες παντὶ τῷ στρατεύματι στρατοπεδεύουσιν ἀπεναντίας ἐκείνῳ, προκαταλαβόντες ἃς ἔμελλε
D διοδεύειν ὁδούς. ὅπερ μαθὼν ὁ Σκληρὸς νωθρὸς ἦν καὶ ὤκνει τὴν εἰς τὸ πρόσω πορείαν, μελλήσει δὲ τρίβων τὸν χρόνον ἐκαραδόκει τὸ μέλλον. ἀνερεθίζει δὲ τοῦτον καὶ προθυμότερον ἀποδείκνυσιν αὐτόμολός τις ἐλθὼν στρατηγός, Σαχάκιος τοὔνομα, Βραχάμιος τὴν προσηγορίαν· παρηγγύησε γὰρ ἐλθὼν μὴ τηνάλλως τρίβειν τὸν χρόνον· καταφρόνησιν. γὰρ ἔλεγεν ἐμποιεῖν τὴν τριβήν. δόξας δὲ λέγειν εὔκαιρα ἡγεμὼν καὶ ὁδηγὸς ἀποδείκνυται τῆς ὁδοῦ. καὶ ὁ μὲν ἡγεῖτο, οὗτος δὲ εἵπετο. καὶ διὰ τριῶν ἡμερῶν καταλαμβάνει τὴν Λάπαραν· τόπος δὲ οὗτος μέρος τῆς Καππαδοκίας, τὸ νῦν λεγόμενον Λυκανδόν, διὰ τὸ λιπαρὸν καὶ πάμφορον οὕτω κατονομασθείς. τοῦτο μαθὼν ὁ στρατοπεδάρχης, νυκτοπορίᾳ χρησάμενος δέει τοῦ μὴ ἀντιπαρελθεῖν τὸν Σκληρόν,

12 ἐκείνου C 22 λικανδόν C

citur. quos duxerat, ii in vicinos saltus disperguntur. tunc etiam indicatum fuit Duro sodalitatis praefectum statuisse ad imperatorios transfugere exercitus. quem is ad se vocatum et obiurgatum, nihilque praeterea in eum statuens dimisit. occulte tamen Saracenis militibus mercenariis re detecta eum interfecit: nam illum hi transeuntem medio die circumfusi gladiis conciderunt.

Ceterum ductores imperatorii exercitus eum iamiam adventurum Bardam putarent, opportuna itinerum occupant, universumque exercitum moventes castra ei opponunt, praeceptis quibus ei veniendum erat itineribus. quo cognito, Durus progredi non ausus, cunctando tempus terens exitum rei praestolabatur. ad eum transfugit dux quidam Sachacius nomine, Brachamius cognomento. is eum excitat et alacriorem reddit, hortatus ne tempus nullo fructu traheret, quod ea mora sui contemptum gigneret. eius consilium visum tempestivum, isque dux itineris designatus est. et Durus cum exercitu tridui spatio Laparam pervenit. ei loco ob pinguedinem et fertilitatem soli id nomen fuit, nunc Lycandum vocant: pars est Cappadociae. Petrus ea re cognita, ne praeverteretur a Duro, nocturno itinere eodem venit. cum essent

ἀντιστρατοπεδεύει τοῖς ἐναντίοις. καὶ μέχρι μέν τινος ἀνεδύοντο, καὶ παρεῖλκον τὴν εἰς τοὐμφανὲς συμπλοκήν, καὶ κλέψαι τὴν νίκην P 683 διηγωνίζοντο. κατεστρατήγησε δὲ τοὺς ἐναντίους ὁ Βάρδας, δεῖπνα πολλὰ παρασκευασάμενος ὡς τάχα τὸν οἰκεῖον ἑστιάσων στρατόν, καὶ οὕτω τοὺς πολεμίους ἐξαπατήσας. ὑπολαβόντες γὰρ κατ' ἐκείνην τὴν ἡμέραν μὴ κατάρξασθαι μάχης αὐτόν, καὶ αὐτοὶ πρὸς εὐωχίαν ἐτράποντο· ὁ δὲ Σκληρὸς ὡς ἔγνω τοῦτο, (εἶχε γὰρ καὶ πρὸς πόλεμον παρεσκευασμένα τὰ στρατεύματα) αἰφνίδιον τῇ σάλπιγγι σημήνας τὸ ἐνυάλιον ἐμπίπτει τοῖς πολεμίοις ἀριστοποιουμένοις. οἱ δέ, ὡς ἔτυχεν ἕκαστος, τὸ παρατυχὸν ἀναλαμβάνοντες ὅπλον τοὺς προσιόντας ἐδέχοντο, μὴ τῷ αἰφνιδίῳ καταπλαγέντες. καὶ ἐπὶ χρόνον μέν τινα εὐρώστως ἠμύνοντο· B εἶτα ὑπερκερώσεις ποιησάμενος ὁ Βάρδας καὶ ἔνδον ἤδη συναπολαμβάνειν τοὺς πολεμίους φοβῶν, ἐπαφεὶς δὲ καὶ κατὰ νῶτα τοὺς μισθοφόρους, τρέπει τε εἰς φυγὴν καὶ πολὺν ἐργάζεται φόνον, τοῦ δουκὸς Ἀντιοχείας τοῦ Βούρτζη πρῶτον ἐκκλίναντος, εἴτε διὰ δειλίαν εἴτε διὰ κακουργίαν· ἐλέγετο γὰρ ἀμφότερα. κατέσχε δὲ καὶ τὸ στρατόπεδον ἅπαν σὺν τῇ ἀποσκευῇ, καὶ πλοῦτον ἐντεῦθεν περιεβάλετο ἄπειρον. ἐκεῖθεν αὖθις ἐπὶ τὸ λεγόμενον ἔρχεται Τζαμανδόν· πόλις δὲ ἡ Τζαμανδὸς ἐν ἀποκρήμνῳ πέτρᾳ κειμένη, πολυάνθρωπος καὶ πλούτῳ περιβριθής. ἥντινα παρ' ἑκόντων C λαβὼν τῶν ἐντοπίων πλοῦτον συνέλεξεν οὐκ ὀλίγον. αὕτη ἡ νίκη πολλοὺς τῶν τῷ βασιλεῖ προσκειμένων κατέσεισε καὶ αὐτομολῆσαι πρὸς τὸν Σκληρὸν ἠνάγκασεν· ὅ τε γὰρ Βούρτζης πρῶτος αὐτο-

19 περιεβάλλετο C   22 ἐγχωρίων C

castra castris opposita, aliquamdiu uterque apertam pugnam detrectans victoriam arte suffurari intenderunt. callide tamen Petrum Bardas elusit. multas instruxit coenas, veluti exercitui epulum daturus; quo facto imperatorii decepti, eo die pugnam initurum minime opinantes, ipsi quoque convivia agitarunt. at Durus, qui suos ad pugnam instruxisset, deprehenso quid apud hostes fieret, subito tuba signo dato prandentes adoritur hostes. qui et ipsi, inopinata re non perterriti, correptis, ut cuique ea fors offerebat, armis, fortiter aliquantisper repugnarunt: sed ubi Phocas extentis cornibus eos circumvenire coepit, ita ut in periculo essent ne ab hostibus concluderentur, cum etiam a tergo mercenarios immitteret, magna suorum caede facta fugae se dant. primus omnium pedem rettulit Antiocheae dux Burtza, sive prae metu sive fraude: utrumque enim fertur. castris etiam impedimentisque potitus Barda immensas est ibi consecutus opes. inde ad Tzamandum (urbs est Tzamandus sita in praerupto saxo, hominum divitiarumque abundans) pergit, eamque deditione capit, et haud parvas divitias colligit. haec eius victoria multos imperatori fidem servantes concussit, utque ad Durum transirent effecit, quorum princeps fuit Burtza, tum Andronicus patri-

μολεῖ τῷ Σκληρῷ καὶ ὁ πατρίκιος Ἀνδρόνικος καὶ δοὺξ ὁ Λυδὸς σὺν τοῖς υἱέσι. καὶ Ἀτταλεῖς δεσμὰ περιθέντες τῷ ναυάρχῳ τοῦ βασιλέως τῷ Κουρτίκῃ Μιχαὴλ προσχωροῦσι μετὰ παντὸς τοῦ στόλου, στρατηγεῖν παρὰ τοῦ Σκληροῦ πεμφθέντι τῶν Κιβυρραιωτῶν.

Ὧν ἀγγελθέντων τῷ βασιλεῖ καὶ τῷ παρακοιμωμένῳ, βου-
D λῆς προτεθείσης ἔδοξε τῶν τῷ βασιλεῖ ᾠκειωμένων τινὰ ἰσοτύραννον εἰληφότα ἀρχὴν καὶ ἀνεύθυνον, καὶ ἐξουσίαν ἔχοντα τιμαῖς τε προβιβάζειν καὶ δώροις καταπλουτίζειν τοὺς προσχωροῦντας, χωρῆσαι κατὰ τοῦ τυράννου. ἤρεσεν ἡ γνώμη, καὶ πέμπεται Λέων ὁ τοῦ βασιλέως πρωτοβεστιάριος, σύμβουλον εἰληφὼς καὶ Ἰωάννην τινὰ πατρίκιον, ἄνδρα ἐπίσημον καὶ ἐπὶ λόγων ἕξει βεβοημένον, ἐξουσίαν ἐκ βασιλέως δεξάμενος πάντα ἀδιστάκτως ποιεῖν ὅσα ἔξεστι βασιλεῖ. ἐξελθὼν οὖν καὶ κατὰ τὸ τῆς Φρυγίας γενόμενος Κοτυάειον καὶ τῷ στρατοπεδάρχῃ ἑνωθεὶς Πέτρῳ ἐκεῖσε τὴν παρεμβολὴν ἐπήξατο, κατεσκηνωμένου τοῦ Βάρδα τυγχάνοντος ἐν τῷ Διποτάμῳ· χωρίον δὲ βασιλικὸν τὸ Διπόταμον, ὃ Μεσάνακτα
P 689 κατονομάζουσιν οἱ ἐγχώριοι. λάθρᾳ οὖν ὑποσχέσεσι δωρεῶν καὶ τιμῶν προβιβασμοῖς ἐπειρᾶτο διασύρειν τοὺς ἀποστάτας καὶ πρὸς ἑαυτὸν ἐπισπᾶσθαι καὶ εὔνους τιθέναι τῷ βασιλεῖ, ἐλάνθανε δὲ μᾶλλον ἐπιρρωννὺς τὸ ἀντίπαλον, ἀσθενείας σημεῖον λογιζόμενον τὴν παράκλησιν. ὅθεν καὶ ἀπογνούς, ἄρας ἐκ Κοτυαείου καὶ τὸν Σκληρὸν νυκτὸς παρελάσας ἐχώρει πρὸς τὴν ἀνατολήν. τοῦτο τὸ

8 κουρτικίῳ C

cius ac dux, cognomine Lydus, cum filiis. Attaleenses quoque Michaelum Curticam classis imperatoriae praefectum in vincula coniecerunt, et Duro cum universa classe accesserunt, iussique sunt illo ipso duce contra Cibyrraeotas bellum gerere.

His imperatori et cubiculario nuntiatis, habito consilio decretum est ut quidam imperatoris familiarium, aequata eius cum imperatore potestate, cum pleno imperio, et cui permissum esset honoribus ac muneribus ad so quos posset allicere, in tyrannum mitteretur. mittitur ergo dictator Leo protovestiarius, addito ei consiliario Ioanne quodam patricio, viro insigni et eloquentiae nobilis, data ab imperatore potestate omnia libere agendi quae ex usu imperatoris essent. Leo apud Cotyaeium Phrygiae cum Petro se coniungit, ibique castra locat. Bardas eo tempore Dipotami commorabatur. id est castrum imperatorium, Mesanacta ab incolis appellatum. occulte autem Leo conatus munerum et honorum pollicitationibus perduelles a Barda avellere et sibi imperatorique eos conciliare, falsus est animi magisque hostes confirmavit, qui has eius solicitationes argumentum infirmitatis esse iudicabant. itaque Leo ista ratione se quicquam consecuturum desperans, castris motis noctu Durum transit et versus Orientem contendit. id factum in metum

ἔργον λίαν τοὺς περὶ τὸν Σκληρὸν ἐδειμάτωσε, δεδιότας οὐ περὶ χρημάτων καὶ κτημάτων μόνον ἀλλὰ καὶ περὶ τῶν τιμιωτάτων αὐτῶν. πολλοὶ μὲν οὖν ἐξομνύμενοι τὴν ἀποστασίαν τῷ πρωτοβεστιαρίῳ προσέρρεον, ὡς κινδυνεύειν κονιορτοῦ δίκην διαλυθῆναι τὸ ἀποστατικόν. ὅπερ ἵνα μὴ γένηται φοβηθεὶς ὁ Σκληρὸς τὸν B μάγιστρον Μιχαὴλ τὸν Βούρτζην, ἄρτι, ὡς εἴπομεν, προσκεχωρηκότα αὐτῷ, καὶ Ῥωμανὸν πατρίκιον τὸν Ταρωνίτην μετ' εὐζώνου ἐκπέμπει στρατιᾶς, ἐμποδὼν ἵστασθαι τῷ πρωτοβεστιαρίῳ κελεύσας, ἐπιτιθεμένους ἐξ ἐφόδου, καὶ τὰς ἐκδρομὰς κωλύειν ὡς δύναμις, συμπλοκῆς δὲ καθολικῆς κατὰ τὸ ἐγχωροῦν φείδεσθαι. πλησιάσαντες δὲ τῷ βασιλικῷ στρατεύματι οἱ περὶ τὸν Βούρτζην ἠναγκάσθησαν καὶ ἄκοντες πολεμῆσαι παρὰ τὴν τοῦ Σκληροῦ παραγγελίαν, ἀπὸ τοιαύτης αἰτίας. Σαρακηνοὶ ἐκ τῆς πρὸς ἑῴαν Βερροίας τὰ ἐτήσια τέλη Ῥωμαίοις κομίζοντες ἠγγέλλοντο πρὸς τὴν βασιλίδα ἀπιέναι, καὶ ὡς μέλλουσι κατά τινα ῥητὴν ἡμέραν διὰ μέσων ἰέναι τῶν στρατευμάτων. καὶ ἐπειδὴ παρῆν ἡ κυρία καὶ ἔμελλον κατὰ τὸ λεγόμενον Ὀξύλιθον φρούριον οἱ Σαρακηνοὶ διαβαίνειν, καθοπλίσαντες οἱ περὶ τὸν Βούρτζην τοὺς ἀμφ' αὐτούς, τὸ δ' αὐτὸ τοῦτο καὶ οἱ τοῦ πρωτοβεστιαρίου πεποιηκότες, μάλα ὁρμητικῶς πρὸς τὴν μάχην ἐχώρουν· πρόυκειτο γὰρ ἑκατέροις ὥσπερ τις ἆθλος ὁ παρὰ τῶν Σαρακηνῶν κομιζόμενος χρυσός. καὶ ἐπείπερ ἤγγισαν, συμπεσόντες ἐμάχοντο. τρέπεται γοῦν ὁ Βούρτζης, καὶ πολλοὶ τῶν σὺν αὐτῷ ἀπώλοντο, καὶ μᾶλλον τῶν Ἀρμενίων· πάντας γὰρ τοὺς ἁλόντας

14 ἕω βερροίας C 24 ἁλόντας ἀρμενίους C

ingentem coniecit eos qui cum Duro erant, quod iam non de pecunia et bonis suis tantum sed etiam de carissimis venirent in discrimen. itaque multi eiurata perduellione ad protovestiarium se contulerunt; iamque in eo periculo Bardas erat ne ipsius copiae pulveris instar dissiparentur. id ergo ne fieret, Michaelum Burtzam magistrum, quem nuper ei accessisse docuimus, et Romanum patricium Taronitam cum expedito exercitu mittit, qui Leonis progressibus obstarent, eumque subitis incursionibus vexarent et pabulationibus pro virili arcerent, omnino autem quantum eius fieri posset, iustam pugnam vitarent. Burtzas et qui cum eo erant, cum iam appropinquassent imperatorio exercitui, coacti sunt vel inviti contra Duri mandatum praelium inire. nuntiabatur enim Saracenos annuum ab orientali Berroea tributum Romanis afferentes Cpolin ire, ac certo die per medios exercitus iis transeundum fore. ut ea dies appetiit, Saracenis per castellum cui Oxylitho nomen transituris utrinque instructae sunt acies, et magno impetu animorum ad pugnam eductae, praemii loco victori proposito, quod Saraceni ferebant, auro. conflictumque, et pulsus Burtzas, multis ab eius parte occisis, maxime Armeniis: nam de his quoscunque comprehendere potuerunt Romani,

D τῶν Ἀρμενίων ἀπέσφαττον οἱ Ῥωμαῖοι, μὴ λαμβάνοντες οἶκτον διὰ τὸ πρώτους προσχωρῆσαι τῷ ἀποστάτῃ.

Ἀγγελθείσης δὲ τῆς ἥττης ὁ Βάρδας καιρὸν ἀναβολῆς μὴ δεδωκώς, ἀγείρας τοὺς ἀμφ' αὐτὸν ὑπήντα διὰ ταχέων, καὶ κατά τινα τόπον Ῥαγέας ὀνομαζόμενον γενόμενος στρατοπεδεύεται, ἐπιτήδειον μάχης καιρὸν ἐκζητῶν. χρονοτριβούντων δὲ τῶν βασιλικῶν ταγμάτων ὁ τῆς μάχης καιρὸς παρετείνετο, καὶ πολλοὶ τῶν ἀποστατῶν τῇ προηγησαμένῃ ἥττῃ σεσαλευμένοι τῷ πρωτοβεστιαρίῳ προσέτρεχον. ὅσον μὲν οὖν σφριγῶν ἦν ἐν τῇ στρατιᾷ τοῦ βασιλέως καὶ ἀπειροπόλεμον, τῇ ἐξ ὑπογύου γαυρούμενον νίκῃ ὤργα πρὸς συμπλοκήν, οἱ γηραιότεροι δὲ καὶ κατηθλημένοι τοῖς
P 690 ἀγῶσιν ὤκνουν καὶ ἀνεδύοντο τὴν μάχην. ἀλλ' ἐπεὶ κατὰ τὸν εἰπόντα "ταχεῖα πειθὼ τῶν κακῶν ἀκολουθεῖ," πείθεται τοῖς νεωτέροις καὶ ὁ πρωτοβεστιάριος, καὶ τὸ ἐνυάλιον σημήνας ἐξάγει τὰ στρατεύματα πρὸς τὴν μάχην. καὶ ὁ Βάρδας δὲ τριχῇ διελὼν τὸν οἰκεῖον στρατὸν τὸ μὲν μέσον εἶχεν αὐτός, τοῦ δεξιοῦ δὲ κέρως Κωνσταντῖνον τὸν ἀδελφόν, τοῦ δ' εὐωνύμου Κωνσταντῖνον τὸν Γαβρᾶν ἄρχειν ἐπέστησε. συμβολῆς δὲ γενομένης καὶ τῶν περὶ τὰ κέρατα στρατηγῶν τὴν ἵππον ἐπισεισάντων τοῖς ἐναντίοις, μὴ ἐνεγκόντες τὴν ῥύμην οἱ περὶ τὸν πρωτοβεστιάριον τρέπονται, καὶ γίνεται φόνος πολύς. ἐνταῦθα καὶ Ἰωάννης ἔπεσεν ὁ πατρί-
B κιος καὶ ὁ στρατοπεδάρχης Πέτρος καὶ ἄλλοι πολλοὶ τῶν διαφα-

7 στρατευμάτων C 13 ὁδοιχορεῖ margo C 17 κωνσταντίνου C 18 γαυρᾶν C

interfecere absque ulla miseratione, quod ii primi omnium se tyranno adiunxissent.

Nuntio eius cladis accepto, Bardas nulla interposita mora statim cum suo exercitu subsequitur, et cum ad locum cui Rageas nomen pervenisset, ibi castra facit tempusque pugnae commodum exspectat. cunctantibus autem imperatoriis, et pugnae opportunitate extracta, multi a Barda ad Leonem defecerunt, iam clade superiori animis eorum nutantibus. sed qui in exercitu Leonis erant rerum bellicarum imperitiores, ii animis recens parta victoria exsultantibus pugnam expetebant, natu grandioribus, et qui multis certaminibus exercitati essent, detrectantibus atque differentibus: cum Leo (verum enim illud tritum est "homines malis cito consiliis assentiunt") iunioribus obtemperans suos ad pugnam instructos dato tuba signo educit. Durus copiis suis in tres partes divisis medium agmen ipse ducit, dextrum cornu fratri suo Constantino, sinistrum Constantino Gabrae committit. ut concursum est et Bardae cornibus praefecti equitem hosti immiserunt, Leonis milites impetum non sustinentes fugam faciunt, eorumque magna editur caedes. interficitur Ioannes patricius et Petrus castrorum praefectus

νῶν. ἑάλω δὲ καὶ ὁ πρωτοβεστιάριος μεθ' ἑτέρων ἀνδρῶν ἀρχικῶν. τὸν μὲν οὖν πρωτοβεστιάριον φρουρεῖσθαι προσέταξε, Θεοδώρου δὲ καὶ Νικήτα τῶν αὐταδέλφων τῶν Ἁγιοζαχαριτῶν ἐπ' ὄψει παντὸς τοῦ στρατεύματος ἐξορύττει τοὺς ὀφθαλμοὺς ὡς παραβάντων τάχα τοὺς ὅρκους οὓς πρὸς αὐτὸν ἔθεντο καὶ τῷ πρωτοβεστιαρίῳ προσχωρησάντων.

Ἐκ ταύτης τῆς νίκης τὰ μὲν τοῦ Βάρδα ὑψοῦτο καὶ ἐπὶ μέγα ἤρετο, πάντων ὡς εἰπεῖν μικρῶν καὶ μεγάλων προσρυϊσκομένων αὐτῷ, τὰ δὲ τοῦ βασιλέως ἐπὶ μιᾶς ἐσάλευεν, ἱερᾶς μέντοι ἀγκύρας, τῆς τοῦ θεοῦ βοηθείας. ὁ δὲ παρακοιμώμενος ἐφρόντιζε C μὲν καὶ τῶν κατὰ χέρσον, πλέον δ' ἐμερίμνα τῶν κατὰ θάλατταν· ἐλύπει γὰρ αὐτὸν ὁ τοῦ ἐναντίου κατάρχων στόλου, Μιχαὴλ ὁ Κουρτίκιος, πᾶσαν μὲν νῆσον πεπορθηκώς, ἤδη δ' ἐπίδοξος ὢν καὶ τὴν ἐν Ἑλλησπόντῳ πολιορκεῖν Ἄβυδον. οὐκοῦν καὶ στόλον ἐξαρτυσάμενος μάλα καλῶς ἐκπέμπει κατὰ τοῦ Κουρτικίου, ναύαρχον ἔχοντα Θεόδωρον πατρίκιον τὸν Καραντηνόν. οὗτος δ' ἐκπλεύσας καὶ τὰ στενὰ διαβὰς τοῦ Ἑλλησπόντου κατὰ Φώκαιαν τῷ Κουρτικίῳ προσρήγνυται, καὶ γενομένης καρτερᾶς ναυμαχίας οἱ περὶ τὸν Κουρτίκιον τρέπονται καὶ σκεδάννυνται, καὶ λοιπὸν θαλασσοκρατήσαντος τοῦ Καραντηνοῦ τὴν ἐκεχειρίαν ἔσχε τὰ τῆς θαλάσσης. ἤδη δὲ τῶν κατὰ θάλατταν ἐχόντων καλῶς ὁ παρα- D κοιμώμενος τῶν κατὰ τὴν ἤπειρον ἐτίθετο ἐπιμέλειαν. καὶ δὴ Μανουὴλ πατρίκιον τὸν Ἐρωτικόν, ἐκ γένους τε ἄνδρα καὶ ἐπ'

1 δὲ om P   ὁ om C   12 Μ. ὁ] Μ. γὰρ ὁ libri

multique alii illustres viri. Leo protovestiarius vivus una cum aliis magistratum gerentibus viris in Duri potestatem venit. atque hunc quidem Durus in custodiam dedit. Theodoro autem et Nicetae Hagiozacharitis germanis fratribus in conspectu totius exercitus effodi oculos iubet, quod ii nimirum violato iureiurando, quo se ipsi obstrinxerant, ad Leonem transivissent.

Haec victoria Bardae rebus plurimum attulit incrementi, omnesque ad eum magni parvique deficiebant: imperatoris res una, eaque sacra ancora sustinebantur, divino nimirum auxilio. at cubicularius praeses, quanquam et terrestribus negotiis curam impenderet, multo magis tamen maritimae rei erat intentus. nam hostilis classis praefectus Michaelus Curtices, omnes insulas depopulatus, iam ipsam quoque in Hellesponto sitam Abydum videbatur oppugnaturus. itaque classem probe instruit, eamque contra Curticam emittit, praefecto Theodoro Caranteno patricio. is Theodorus per fauces Hellesponti vectus apud Phocaeam cum Curtica navalem conserit pugnam vehementem: ea victus Curtices classisque eius disiecta, et Caranteno exinde mare obtinente res maritimae quietae fuerunt. proinde terrestribus negotiis intentus praeses Manue-

ἀρετῇ διαβόητον καὶ ἀνδρίᾳ, φρουρεῖν ἐκπέμπει τὴν Νίκαιαν.
μετὰ μικρὸν δὲ καταλαμβάνει καὶ ὁ Σκληρός, καὶ τὰ πέριξ τῆς
Νικαίας πυρπολήσας χωρία τελευταῖον καὶ ἐπ' αὐτὴν τὴν Νίκαιαν
ἔρχεται, καὶ ἑλεπόλεσι καὶ μηχαναῖς ἐκπορθῆσαι ἠπείγετο. γεν-
ναίως δὲ τοῦ Μανουὴλ ὑποδεξαμένου τὴν πολιορκίαν, καὶ τὰς
προσαγομένας τῷ τείχει κλίμακας καὶ μηχανὰς σκευαστῷ πυρὶ
πυρπολήσαντος, τὴν ἐκ πολιορκίας ἅλωσιν ἀπογνοὺς ὁ Σκληρὸς
ἐνδείᾳ τῶν ἀναγκαίων ἤλπιζεν αἱρῆσαι τὴν πόλιν. χρόνου δὲ τῇ
πολιορκίᾳ τριβέντος πολλοῦ καὶ τῶν ἔνδον πιεζομένων τῇ σιτοδείᾳ,
P 691 μὴ ἔχων ὅ τι καὶ δράσειεν ὁ Μανουὴλ μηδ' ὅθεν εἰσκομίσεται τὰ
πρὸς τὸ ζῆν ἀναγκαῖα ἐπιμελῶς τοῦ Σκληροῦ τὰς εἰσόδους τηροῦν-
τος, ἀπάτῃ τὸν Σκληρὸν ἔγνω περιελθεῖν. ἀμέλει καὶ τοὺς τῆς
Νικαίας σιταβολῶνας ψάμμου λεληθότως πεπληρωκώς, καὶ σίτῳ
ἄνωθεν τὴν ἐπιφάνειαν ἐπιχρώσας, ὡς κλέπτεσθαι τὰς ὄψεις τῶν
θεωμένων, τινὰς τῶν ἡλωκότων ἀπὸ τῆς τῶν ἐναντίων μοίρας
προσκαλεσάμενος ἐδείκνυ τὰ ταμιεῖα, καὶ πρὸς τὸν Σκληρὸν ἐπαφίη-
σιν, εἰπεῖν ἐπισκήψας ὅτιπερ τὴν ἐκ τοῦ λιμοῦ πολιορκίαν οὐ
δέδοικα (ἀποχρώσας γὰρ ἔχω τροφὰς καὶ ἐπὶ δυσὶν ὅλοις ἔτεσι),
πολιορκίᾳ δὲ ἄλλως ἡ πόλις ἀνάλωτος· τὰ σὰ δ' ἐγὼ φρονῶν ἕτοι-
B μός εἰμι ὑπεκστῆναί σοι τῆς πόλεως, εἴ ἐμοί τε καὶ τοῖς μετ' ἐμοῦ
δι' ὅρκων δοίης ἀπιέναι ὅπῃ δὴ καὶ αἱρούμεθα. ἀσμένως δὲ τοῦ
Βάρδα δεξαμένου τὸν λόγον καὶ πίστεις παρεσχηκότος, τοὺς Νι-
καεῖς ὁ Μανουὴλ εἰληφὼς καὶ τὸν ἀμφ' αὐτὸν στρατὸν μετὰ πάν-

10 μηδ' ἔχων ὅθεν C 14 ἐπιχώσας margo P 22 παρεστηκότος C

lum Eroticum, nobili genere ortum et virtute ac fortitudine clarum, emittit ad custodiendam Nicaeam. paulo post ad eam urbem accedit Durus, et incendio evastata vicinia tandem ipsam quoque machinis adhibitis oppugnat. et cum fortiter defenderet Manuelus, scalasque et machinas admotas igni artificioso cremaret, vi se urbem expugnare posse desperans Bardas, ob penuriam autem deditum iri tandem cogitans, diu obsidionem traxit. oppidanis alimentorum defectu pressis, Manuelus quo se verteret nescius, cum Duro aditus urbis accurate custodiente invehi nihil posset, dolo circumvenire eum statuit. granaria Nicaeae clam arena congesta implet, in superficie frumento constrata, ut arena visum falleret. tum quendam de hostibus captum eo adducit, et illa demonstrat, et ad Durum emittit, cum his mandatis, se plane ab obsidione penuriae causa nihil sibi metuere, instructum etiam biennii integri alimentis: tum urbem ipsam vi nequaquam expugnari posse. tamen quod ipsi bene vellet, urbe excedere paratum esse, si hoc obtineat ut iuramento confirmet Durus se ipsi et suis liberam quo vellent abeundi dare potestatem. libenter eam condicionem amplexo Duro, et fidem firmante, Manuelus cum Nicaeensibus et suo exercitu omnibusque

των ὧν εἶχον, εἴσεισιν εἰς τὴν βασιλεύουσαν. τὴν Νίκαιαν δὲ παρειληφὼς ὁ Σκληρὸς καὶ τὸ περὶ τὸν σῖτον εὑρὼν ῥᾳδιούργημα ἠνιάθη μὲν ἐφ' οἷς ἐξηπάτητο, φρουρὰν δ' ὅμως ἀφεὶς ἀξιόμαχον ἐν αὐτῇ, καὶ στρατηγὸν Πηγάσιόν τινα ἐν αὐτοῖς ἐπιστήσας, αὐτὸς τῶν ἐφεξῆς εἴχετο ἔργων.

Ὁ δὲ παρακοιμώμενος τοῖς ὅλοις ἀπορηθεὶς (ἤδη γὰρ ὁ Σκληρὸς ἐπλησίαζε τῇ βασιλίδι) μίαν ἐγνώκει βοήθειαν ἀποχρῶσαν, Βάρδαν τὸν Φωκᾶν μεταπέμψασθαι τῆς ὑπερορίας, μόνον C ἀξιόμαχον οἰηθεὶς τοῦτον ἀντίπαλον ἔσεσθαι τῷ Σκληρῷ. λόγου δὲ θᾶττον μεταπεμψάμενος καὶ ὅρκοις ἀσφαλισάμενος, καὶ πλοῦτον παρεσχηκὼς δαψιλῆ καὶ τῷ τῶν μαγίστρων ἀξιώματι τιμήσας, δομέστικον προχειρίζεται τῶν σχολῶν καὶ κατὰ τοῦ Σκληροῦ ἀφίησιν. ὁ δὲ τὸν ὑπὲρ τῶν ὅλων ἀναδεξάμενος ἀγῶνα πρῶτον μὲν ἐπεχείρησεν ἀπὸ Θρᾴκης περαιωθῆναι εἰς Ἄβυδον· φυλάττοντος δὲ τὰ ἐν Ἑλλησπόντῳ χωρία Ῥωμανοῦ τοῦ υἱοῦ τοῦ Σκληροῦ, ἀποκρουσθεὶς ἐκεῖθεν ἐπάνεισιν εἰς τὴν βασιλίδα, ἐκεῖθέν τε πλοίου ἐπιβὰς καὶ τοὺς ἐναντίους λαθὼν πρὸς τὴν ἀντίπορθμον γίνεται γῆν, καὶ νυκτοπορίαις χρησάμενος ἄπεισιν εἰς Καισάρειαν, D ἐκεῖσέ τε Εὐσταθίῳ μαγίστρῳ τῷ Μαλεΐνῳ καὶ Μιχαὴλ μαγίστρῳ τῷ Βούρτζῃ συμμίξας (ἔφθασε γὰρ καὶ αὐτὸς ἐκ μετανοίας τὰ τοῦ βασιλέως πάλιν ἑλέσθαι) μετ' αὐτῶν πρὸς πόλεμον ἐξηρτύετο. καὶ δὴ λαὸν ὡς ὁ καιρὸς ἐδίδου ἀθροίσας, καὶ τοὺς ἐκ τῆς φυγῆς ἐσκεδασμένους ἁλίσας, πρὸς τὸ Ἀμώριον γίνεται. καὶ ὁ Σκληρὸς

2 ὁ] καὶ ὁ C 5 ἥπτετο C 18 νυκτοπορείαις C 20 συμπαίξας margo P . 21 τοῦ om C

impedimentis Cpolin abit. hoc pacto Nicaea potitus Durus, tametsi vaframentum illud de frumento deprehendens moleste ferret, validum nihilominus urbi ei praesidium imponit, duce quodam Pegasio, et ipse reliqua persequitur negotia.

Enimvero praeses Basilius rebus tantum non desperatis (cum iam ad ipsam urbem accederet Durus) unum hoc cogitavit praesidium superesse, si Barda Phocas ab exsilio revocaretur, quem solum censebat Duro recte opponi posse. eum ergo dicto citius evocat, iureiurando ei cavens atque amplissimas conferens opes; ornatumque magistri dignitate domesticum scholarum facit et contra Durum emittit. Phocas summa sibi rerum credita primo e Thracia ad Abydum traiicere conatus est. sed ea spe deiectus, quod Romanus Duri filius Hellespontum teneret, Cpolin rediit. inde navigio conscenso hostibus non animadvertentibus ad oppositam continentem traiecit, nocturnisque itineribus Caesaream pervenit. ibi se cum magistro Eustathio Maleino et Michaelo Burtza (nam et is mutata voluntate ad imperatoris partes redierat) coniunxit et bello gerendo paravit. ergo coactis ut poterat militibus, collectisque iis quos fuga disperserat, ad Amorium accedit. Durus ubi Phocam ad

δὲ τὴν τούτου ἔξοδον ἀκηκοώς, καὶ νῦν πρῶτον οἰηθεὶς τὸν ἀγῶνα ἔσεσθαι αὐτῷ πρὸς ἄνδρα πολεμιστὴν καὶ φέρειν εἰδότα γενναίως καὶ τακτικῶς τὰς πολεμίους στροφάς, καὶ οὐχ ὡς τὸ πρότερον πρὸς ἀνδράρια ἐκτετμημένα θαλαμευόμενα καὶ σκιατραφῆ, ἄρας
P 692 ἀπὸ Νικαίας πρὸς τὸ Ἀμώριον ἄπεισι, καὶ συναντήσας συμπλέκεται τῷ Φωκᾷ. οὐχ ὑποστάντων δὲ τῶν περὶ τὸν Φωκᾶν διὰ τὸ ταῖς προηγησαμέναις ἥτταις χαυνωθῆναι τὸν τῆς ἀνδρίας αὐτοῖς καὶ τόλμης τόνον, ἐπικρατέστερος γίνεται ὁ Σκληρός. οὐ μέντοι καὶ παντάπασιν ἐς ὑπαγωγὴν ἄκοσμον ἐσκέδαστο ἡ στρατιὰ τῷ Φωκᾷ, ἀλλ' ὑποκλίνασα μὲν ἐνέδωκε, σχολαίαν δὲ ἐποιεῖτο τὴν ὑποχώρησιν, ὡς μὴ ὑπὸ δειλίας δοκεῖν ἐλαύνεσθαι, ἀλλ' ἐξ ἐπιτάγματος ὑπείκειν στρατηγικοῦ μετ' εὐκοσμίας καὶ τάξεως. καὶ γὰρ δὴ καὶ νῶτα δόντας τοὺς στρατιώτας καὶ πρὸς φυγὴν ὡρμημένους, ὄπισθεν οὐραγῶν ὁ Φωκᾶς τοὺς ἐπιόντας ἠμύνετο καὶ οὐ μετὰ σφοδροτάτης εἴα βίας καὶ ῥύμης προσφέρεσθαι. ἔνθα καὶ
B λέγεται Κωνσταντῖνον τὸν Γαβρᾶν μετὰ τῶν ἀμφ' αὐτὸν τὸ φεῦγον διώκοντα φιλοτιμίᾳ χρησάμενον ἀκαίρῳ, καὶ μεγάλην εὔκλειαν ἕξειν οἰηθέντα εἰ αἰχμάλωτος ὑπ' αὐτοῦ γένοιτο ὁ Φωκᾶς, μυωπίσαντα τὸν ᾧ ἐπωχεῖτο ἵππον, μετὰ μεγίστης ὁρμῆς προσενεχθῆναι τῷ Φωκᾷ. ὃν οὗτος ἰδὼν καὶ ὅστις εἴη κατανοήσας, ἠρέμα τὸν ἵππον παρενεγκὼν καὶ ὑπαντιάσας παίει κορύνῃ κατὰ τῆς κόρυθος. καὶ ὁ μὲν λειποθυμήσας τῇ ἀνυποστάτῳ φορᾷ τῆς πληγῆς πίπτει παραυτίκα τοῦ ἵππου, ὁ δὲ Φωκᾶς ἀδείας μείζονος τυχὼν

3 πολέμου C 5 ἀμόριον C 12 στρατηγικῆς C 15 καὶ ῥύμης καὶ βίας C 17 εὐκαίρῳ P om C 18 κεντρίσαντα margo P

bellum exiisse cognovit, nunc demum ratus sibi rem fore cum viro bellicoso et fortiter atque composite ferre vices belli gnaro, cum hactenus sibi obiecti essent homunciones castrati, in thalamis versati et in umbra degere soliti, a Nicaea exercitum ad Amorium ducit. ibi collatis signis pugnatum; et Phocae exercitus, qui superioribus praeliis victus audaciam animique vigorem dimiserat, pedem rettulit, ac victoria penes Durum fuit. neque tamen turpiter aut dissolutis ordinibus Phocae milites cesserunt, sed lente et composite, ita ut non prae metu sed iussu ducis cedere viderentur. etenim Phocas militibus terga hosti dantibus et fugam parantibus, extremum claudens agmen irruentes propulsabat, neque eos cum impetu irruere cedentibus suis sinebat. ibi Constantino ferunt Gabrae cum suis hostem insequenti conatum egregium animo incidisse, Phocae capiendi, quam rem sibi summae laudi fore speraret. itaque equo calcaribus incitato acerrimo in hunc impetu invectum. Phocam eo conspecto et agnito leviter equum flexisse et se obvium tulisse; itaque clavam in galeam Constantini impegisse, ut is ob ictus intolerabilem vim statim animo delinquente ab eo decideret. quem dum sui omissa hostium persecutione attollunt atque curant, interim Phocam securiorem

τῆς ἐπὶ τὰ πρόσω πορείας εἴχετο, σχολῇ καὶ βάδην ἰών, ἀλλ' οὐκ ἀνειμένοις τοῖς χαλινοῖς· οἱ γὰρ σὺν τῷ Γαβρᾷ τὸν οἰκεῖον πεπτωκότα θεασάμενοι στρατηγόν, καὶ ἐπιμέλειαν τούτου τιθέμενοι, C ἀνῆκαν τὸν διωγμόν. ὁ δὲ Φωκᾶς ἅμα τοῖς σὺν αὐτῷ τὸν λεγόμενον Χαρσιανὸν κατειληφὼς κἀκεῖσε αὐλισάμενος ἐσκόπει τὸ μέλλον, τιμαῖς τε ταῖς ἐκ βασιλέως δεξιούμενος πολλοὺς προσφοιτῶντας, καὶ τῶν συνόντων εὐεργεσίαις παραθερμαίνων τὰς προθυμίας. ἑπόμενος δὲ τούτῳ καὶ ὁ Σκληρός, καὶ περί τινα τόπον Βασιλικὰ θέρμα καλούμενον κατασκηνώσας, εἰς μάχην τὸν ὁμώνυμον ἐξεκαλεῖτο. ἀσπασίως δὲ καὶ τούτου δεξαμένου τὴν πρόκλησιν αὖθις ἑτέρα συνίσταται μάχη. καὶ χρόνον μέν τινα ἀντέσχον οἱ περὶ τὸν Φωκᾶν, αὐτοῦ τούτου περιππεύοντος ἁπανταχοῦ καὶ τῇ σιδηρέᾳ κορύνῃ τὰς τῶν ἐναντίων ῥηγνύντος φάλαγγας καὶ D μύριον ἐργαζομένου φόνον· ὅμως δὲ καὶ πάλιν νῶτα δεδωκότες οἱ περὶ τοῦτον ἐτράπησαν.

Ἐκεῖθεν οὖν ὁ Φωκᾶς, ὡς εἶχε, διὰ ταχέων ἄνεισιν εἰς τὴν Ἰβηρίαν, καὶ Δαβὶδ τῷ τῶν Ἰβήρων ἄρχοντι προσελθὼν εἰς ἐπικουρίαν ᾔτει στρατόν· τοῦ δὲ μετὰ προθυμίας ὑπηρετοῦντος (ἐπεφιλίωτο γὰρ τῷ Φωκᾷ ἐξ οὗ δοὺξ ἦν ἐν Χαλδίᾳ) λαὸν ἐκεῖθεν εἰληφὼς οὐκ ὀλίγον, ἀθροίσας δὲ καὶ τοὺς μετ' αὐτοῦ ἐσκεδασμένους ὄντας ἐκ τῆς τροπῆς, κάτεισιν εἰς Παγκάλειαν, ἔνθα στρατοπεδευσάμενος ἦν ὁ Σκληρός. τόπος δὲ ἡ Παγκάλεια, πεδίον ἀναπεπταμένον τε καὶ ἱππήλατον, ἔγγιστά που τοῦ ποταμοῦ Ἄλυος κείμενον. καὶ γίνεται πάλιν καρτερὸς ἀγών. ἐνταῦθα τὸν ἑαυ-

4 τὸ C 7 παραθαρρύνων C 9 βασιλικὸν C 17 Ἰωάννῃ margo P 19 ὅτου C 24 κείμενος C

iam factum, sed non laxatis equo habenis lente progressum, evasisse. sic Phocas cum suis elapsus, occupato Charsiano et castris positis, de futuro cogitavit, interim multos ad se accedentes imperatoris nomine honoribus afficiens, suorumque alacritatem beneficiis excitans. eum subsecutus Durus, castris ad Thermas imperatorias (loci hoc nomen est) locatis, cognominem suum (utrique enim Bardae erat nomen) ad pugnam provocat. quo alacriter assentiente rursum pugna committitur. ac tametsi aliquamdiu restitissent milites Phocae, ipso undiquaque circumequitante et ferrea clava hostium dissipante ordines atque innumeras edente caedes, tamen fusi ad extremum fugam faciunt.

Ab hoc praelio Phocas quanta fieri poterat celeritate in Iberiam abit, et a Davido eius regionis principe suppetias petit, et impetrat sane haud exiguas. erat enim Phocas amicitia iunctus Davido ex eo tempore quo Chaldiae dux fuerat. cum his et suis quos ex fuga collegerat, ad Pancaleam (campus est latus ac rei equestri aptus, proxime Alyn flumen situs) ducit, ubi Duri castra erant. rursum omni vi pugna-

P 693 τοῦ λαὸν θεασάμενος ὁ Φωκᾶς κατὰ μικρὸν ἐνδιδόντα καὶ πρὸς φυγὴν βλέποντα, βέλτιον εἶναι κρίνας τὸν εὐκλεῆ θάνατον τῆς ἀγεννοῦς καὶ ἐπονειδίστου ζωῆς, τὰς τῶν ἐναντίων συγκόψας φάλαγγας πρὸς αὐτὸν μετὰ σφοδρότητος ἵεται τὸν Σκληρόν. εὐρώστως δὲ κἀκείνου τὴν αὐτοῦ ὑποδεξαμένου ὁρμήν, καὶ μηδενὸς τῶν στρατιωτῶν ἐπιβοηθοῦντος, ἀλλὰ τῷ τῶν ἀρχηγῶν ἀγῶνι κριθῆναι τὰ πράγματα βουλευομένων (καὶ γὰρ δὴ καὶ ἐφαίνετο πάγκαλόν τι θέαμα καὶ κατάπληξιν τοῖς ὁρῶσιν ἐπάγον ἀνδρῶν δύο μονομαχία ἐπ' εὐτολμίᾳ καὶ ῥώμῃ ψυχῆς μέγα φρονούντων), ὑποστάντες ἀλλήλους συστάδην ἐμάχοντο. καὶ ὁ μὲν Σκληρὸς τοῦ ἵππου τοῦ Φωκᾶ τὸ δεξιὸν οὖς σὺν τῷ χαλινῷ παίσας ἀποκό- B πτει τῷ ξίφει· ὁ δὲ Φωκᾶς τῇ κορύνῃ πατάξας αὐτὸν κατὰ τῆς κεφαλῆς τοῦτον μὲν ἐπὶ τοῦ τραχήλου τοῦ ἵππου ῥίπτει τῷ βάρει τῆς πληγῆς κατενεχθέντα, αὐτὸς δὲ τὸν ἵππον κεντρίσας καὶ τὰς τῶν ἐναντίων διατεμὼν φάλαγγας ἔξεισι, καὶ πρός τινα λόφον ἀνελθὼν τοὺς ἐκ τῆς τροπῆς ἀνεκαλεῖτο. οἱ δὲ περὶ τὸν Σκληρὸν κακῶς ἔχοντα τοῦτον ἐκ τῆς πληγῆς θεασάμενοι καὶ ἤδη λειποψυχοῦντα τῷ τραύματι ἐπί τινα πηγὴν ἄγουσι τὸν λύθρον ἀπονιψόμενον· ὑπώπτευον γὰρ καὶ τὸν Φωκᾶν τελείῳ ἤδη παραδοθῆναι ἀφανισμῷ. τοῦ ἵππου δὲ ἀποσκιρτήσαντος καὶ τὸν κατέχοντα ἀποδράντος καὶ διὰ τῶν στρατευμάτων ἐπιβάτου χωρὶς θέοντος C ἀτάκτῳ ῥύμῃ, καὶ τῷ αἵματι πεφυρμένου (Αἰγύπτιον τὸν ἵππον ἐκάλουν), καὶ καταμαθόντες οὗ τινὸς ὁ ἵππος, καὶ νομίσαντες τὸν ἑαυτῶν ἄρχοντα πεπτωκέναι, ἀκόσμως τρέπονται πρὸς φυγήν, κρημνοῖς καὶ Ἄλυϊ τῷ ποταμῷ ῥιπτοῦντες ἑαυτοὺς καὶ ἀκλεῶς

tum. atque hic Phocas cernens suos paulatim succumbere atque ad fugam spectare, honestam mortem turpi atque infami vitae praestare ratus disiectis hostium ordinibus in ipsum vehementi impetu fertur Durum fortiter subsistentem, nemine militum opitulante, quod omnes certamine ducum decerni bellum cuperent. et quidem pulcherrimum videbatur spectaculum, magnamque admirationem spectatoribus excitaturum, singulare certamen intueri duorum virorum audacia atque animi robore praestantissimorum. his ergo cominus duellum ineuntibus, Durus Phocae equi aurem dextram una cum fraeno ense amputat, Phocas caput Duri clava ita ferit, ut is vi ictu prostratus collo equi incumberet: ipse ordinibus hostium perruptis citato equo evadit, et in tumulum quendam evectus suos e fuga colligit. Durum sui graviter ex ictu laborare iamque animo delinquere videntes, ad fontem quendam adducunt cruoris eluendi causa: nam actum iam prorsus esse de Phoca putabant. ibi cum equus Duri, Aegyptius nomine, ab eo qui ipsum tenebat se avellisset, ac sine sessore per ordines incerto impetu cruore oppletus discurreret, agnito eo milites Duri, suum imperatorem occubuisse rati, fugam inordinatam faciunt, per praecipitia sese et in Alyn amnem deii-

ἀπολλύμενοι, μηδενὸς ὄντος τοῦ διώκοντος. τοῦτο κατιδὼν ὁ Φωκᾶς ἀπὸ τοῦ λόφου, καὶ θεῖον ἔργον εἶναι τὸ πρᾶγμα, ὥσπερ ἦν εἰκός, ὑποτοπάσας, κάτεισι μετὰ τῶν συνόντων ἐπιδιώκων τοὺς φεύγοντας ὑπ' ἀλλήλων συμπατουμένους καὶ ἀλκῆς ὅλως μὴ μεμνημένους, καὶ τοὺς μὲν ἀναιρῶν τοὺς δὲ χειρούμενος. ὁ δὲ Σκληρὸς μετ' ὀλίγον διασωθεὶς φεύγει πρὸς Μαρτυρόπολιν. ἐκεῖθεν δὲ πρεσβευτὴν ἐκπέμπει τὸν ἑαυτοῦ ἀδελφὸν Κωνσταντῖνον D πρὸς Χοσρόην τὸν τῆς Βαβυλῶνος ἄρχοντα, ἐπικουρίαν καὶ συμμαχίαν αἰτῶν. παρέλκοντος δ' ἐκείνου καὶ μήτε τῇ δόσει συντιθεμένου μήτ' ἀπαναινομένου, καὶ τοῦ Κωνσταντίνου χρονοτριβοῦντος, ἠναγκάσθη καὶ αὐτὸς ὁ Σκληρὸς μετὰ τῶν συνόντων ἁπάντων πρὸς Χοσρόην φοιτῆσαι.

Τῆς δὲ τοῦ Σκληροῦ τροπῆς ἀγγελθείσης τῷ βασιλεῖ διὰ γραμμάτων τοῦ Φωκᾶ, καὶ τῆς εἰς Βαβυλῶνα ἀναχωρήσεως, τοῦτον μὲν ὁ βασιλεὺς ἀποδεξάμενος ἀξίως ἐτίμησε, πρὸς δὲ Χοσρόην τὸν τῆς Βαβυλῶνος ἀμερμουμνῆν πρεσβευτὴν ἐκπέμπει τὸν Βέστην Νικηφόρον τὸν Οὐρανόν, ἱκετεύων μηδεμιᾶς ἐπιστροφῆς ἀξιῶσαι τὸν ἀποστάτην, μηδὲ θελῆσαι παράδειγμα γενέσθαι τοῖς ὀψιγόνοις φαῦλον, ἀμελήσας μὲν βασιλέως ἀδικουμένου βασιλεὺς καὶ αὐτὸς ὤν, προσθέμενος δὲ τυράννῳ ἀδίκῳ καὶ ἀποστάτῃ. ἐνεχείρισε δὲ καὶ γράμματα βασιλικὰ ἐνσεσημασμένα, δι' P 694 ὧν συμπαθείας ἁπάσης κακῶν ἠξίου τὸν Σκληρὸν καὶ τοὺς συνόντας αὐτῷ, εἰ μεταμαθόντες τὸ δέον τόν τε ἑαυτῶν ἐπιγνῶσι δε-

3 ὑποτοπήσας C, ὑπονοήσας margo 12 προσχωρῆσαι χοσρόῃ C

cientes ac turpiter percuntes, nemine insequente. quod de colle videns Phocas, deique hoc fieri, ut sane fiebat, nutu sentiens, cum suis descendit et fugientibus instat, sese invicem conculcantibus et omnis defensionis oblitis, eorumque alios interficit alios capit. Durus cum paucis elapsus Martyropolim confugit. inde fratrem suum Constantinum ad Chosroen Babylonis principem mittit, societatem et auxilia petitum. cumque is moras nectens neque annueret neque denegaret quod petebatur, ideoque Constantinus diutius abesset, coactus ipse quoque cum omnibus suis eodem abit.

Imperator Phocae literis de Duri clade et Babylonica profectione certior factus, dignis honoribus Phocam remuneratus, ad Chosroen Babylonis amermumnam literas mittit, legato ad eam rem Besta Nicephoro, cui Uranus (id est Coelus) cognomen; ab eoque contendit ne quam perduellis rationem habeat, neque posteris mali exempli auctor esse velit, rex ipse regi iniurias factas negligens, tyranno autem iniusto et perduelli opitulans. dat legato etiam literas ab imperatore consignatas, quibus Durum et quos secum is habebat omnium peccatorum venia dignabatur, siquidem resipiscerent ac suum dominum agnoscerent et do-

σπότην καὶ πρὸς τὰ οἰκεῖα ὑπονοστήσουσι. διασωθέντος δὲ πρὸς Χοσρόην τοῦ Οὐρανοῦ καὶ τῶν βασιλικῶν φωραθέντων γραμμάτων, ὁ Χοσρόης καὶ τὸν πρεσβευτὴν καὶ τὸν Σκληρὸν καὶ πάντας τοὺς σὺν αὐτῷ Ῥωμαίους ὑπονοήσας φρουρᾷ παραδίδωσι. καὶ τούτους μὲν εἶχεν ἡ φρουρά, τῶν δὲ μὴ συνανελθόντων ἀποστατῶν τῷ Σκληρῷ Λέων μὲν ὁ αἰχμάλωτος καὶ οἱ τοῦ δοῦκα Ἀνδρο-
B νίκου τοῦ Λυδοῦ παῖδες Χριστοφόρος ὁ Ἐπείκτης καὶ Βάρδας ὁ Μογγὸς (ἔφθη γὰρ ἐκεῖνος ἀποθανεῖν) τὸ Ἀρμακούριον καὶ τὴν Πλατεῖαν πέτραν καὶ ἄλλα τινὰ φρούρια ἐρυμνὰ ἐν τῷ θέματι κείμενα τῶν Θρᾳκησίων κατεσχηκότες ἀντεῖχον ἕως ὀγδόης ἰνδικτιῶνος, καὶ ἐπεκδρομὰς ἐκ τούτων ποιούμενοι τὰ βασιλέως ἐλύπουν· καὶ οὐ πρὶν ἐπαύσαντο τὰς χώρας λεηλατοῦντες, πρὶν ἂν ἀμνηστίαν εἰληφότες κακῶν διὰ Νικηφόρου πατρικίου τοῦ Παρσακουτηνοῦ τῷ βασιλεῖ προσεχώρησαν.

Τότε δὴ καὶ Ἀντώνιος ὁ πατριάρχης, κατὰ τὴν τοῦ Σκληροῦ ἀποταξάμενος ἀποστασίαν τῇ ἱερατείᾳ, ἀπεβίω· καὶ χειροτο-
C νεῖται πατριάρχης Νικόλαος ὁ τὴν ἐπωνυμίαν Χρυσοβέργιος, τῆς ἐκκλησίας ἀποιμάντου διατελεσάσης ἐπὶ ἔτη τέσσαρα πρὸς τῷ ἡμίσει. ἐγένετο δὲ καὶ ἔκλειψις ἡλίου περὶ μέσην ἡμέραν, ὡς καὶ ἀστέρας φανῆναι. τῶν δὲ Βουλγάρων ἅμα τῇ τελευτῇ τοῦ βασιλέως Ἰωάννου ἀποστατησάντων, ἄρχειν αὐτῶν προχειρίζονται τέσσαρες ἀδελφοί, Δαβὶδ Μωϋσῆς Ἀαρὼν καὶ Σαμουήλ, ἑνὸς τῶν παρὰ Βουλγάροις μέγα δυνηθέντων κόμητος ὄντες παῖδες καὶ

5 συνελθόντων C 6 δουκὸς C 11 ἐκιδρομὰς C 17 χρυσοβέργης C 18 πρὸς τῷ ἡμίσει τέσσαρα C

mum quisque suam se conferrent. cum ad Chosroen pervenisset Uranus literaeque imperatoris innotuissent, Chosroes sinistra suspicans et legatum et Durum omnesque qui cum ipso erant Romanos in custodiam tradidit. de perduellibus qui cum Duro eo non venerant, Leo captivus et Andronici Lydi ducae, qui iam e vivis excesserat, filii, Christifer Epeicta et Bardas Moncus, Armacurium, Latum saxum et alia munita castella in Thracensi provincia occuparunt; indeque factis eruptionibus, dicionem imperatoris infestando usque ad indictionem 8 perseverarunt, neque finem ante fecerunt latrociniorum quam promissa ipsis per Nicephorum patricium Parsacutinum impunitate ad imperatorem transiverunt.

Ceterum Antonius patriarcha cum sacerdotio renuntiasset Duro rebellionem movente, tum temporis mortuus est; creatusque patriarcha Nicolaus Chrysobergius, cum per 4 annos ecclesia pastore caruisset. sol etiam meridio defecit et stellae conspectae sunt. simulatque diem extremum clausit Tzimiscas imperator, Bulgari defecerunt et imperium in se quattuor fratribus commiserunt, Davido Mosi Aaroni et Samuelo, filiis unius cui erat magna inter Bulgaros potentia comitis, a qua re et

διὰ τοῦτο κομητόπουλοι κατονομαζόμενοι. τῶν γὰρ κατὰ γένος προσηκόντων τῷ Πέτρῳ οἱ μὲν ἄλλοι θανάτῳ διεκόπησαν, Βορίσης δὲ καὶ Ῥωμανὸς οἱ τούτου υἱοὶ εἰς τὴν πόλιν εἰσαχθέντες, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἔμενον ἐν αὐτῇ, ὁ μὲν μάγιστρος παρὰ D τοῦ βασιλέως τιμηθεὶς Ἰωάννου, ὁ δὲ Ῥωμανὸς ἐκτμηθεὶς τὰ παιδουργὰ μόρια παρὰ τοῦ παρακοιμωμένου πρότερον Ἰωσήφ. καὶ ἐπεὶ συνέβη τὸν βασιλέα Ἰωάννην ἀποθανεῖν, ἐκεῖθεν ἀποδιδράσκουσι, καὶ τὴν Βουλγαρίαν φθάσαι ἠπείγοντο. καὶ ὁ μὲν Βορίσης τόξῳ βληθεὶς ἐν τῷ διιέναι κατά τινα λόχμην παρά τινος Βουλγάρου νομίσαντος αὐτὸν Ῥωμαῖον εἶναι (ἐνεδέδυτο γὰρ στολὴν Ῥωμαϊκὴν) ἀπόλλυται, Ῥωμανὸς δὲ διασώζεται, καὶ χρόνῳ ὕστερον ἐπάνεισι πάλιν εἰς τὴν βασιλίδα, ὡς ἐν τῷ ἰδίῳ τόπῳ λελέξεται. τούτων δὲ τῶν τεσσάρων ἀδελφῶν Δαβὶδ μὲν εὐθὺς ἀπεβίω ἀναιρεθεὶς μέσον Καστορίας καὶ Πρέσπας καὶ τὰς λεγομένας Καλὰς δρῦς παρά τινων Βλαχῶν ὁδιτῶν, Μωϋσῆς δὲ τὰς Σέρρας πολιορκῶν λίθῳ ἀπὸ τοῦ τείχους βληθεὶς ἐτελεύτησε· καὶ τὸν Ἀαρὼν δὲ τὰ Ῥωμαίων, ὡς λέγεται, φρονοῦντα ἢ τὴν ἀρχὴν εἰς ἑαυτὸν σφετεριζόμενον ἀνεῖλεν ὁ ἀδελφὸς Σαμουὴλ παγγενεί, κατὰ τὴν ιδʹ τοῦ Ἰουλίου μηνός, ἐν τῇ τοποθεσίᾳ τῆς Ῥαμετανίτζας, μόνου Βλαδοσθλάβου τοῦ καὶ Ἰωάννου διασωθέντος, τοῦ P 695 υἱοῦ αὐτοῦ, παρὰ Ῥαδομηροῦ τοῦ καὶ Ῥωμανοῦ, τοῦ υἱοῦ τοῦ Σαμουήλ. καὶ καθίσταται μόναρχος Βουλγαρίας ἁπάσης ὁ Σαμουήλ. οὗτος πολεμικὸς ἄνθρωπος ὢν καὶ μηδέποτε εἰδὼς ἠρεμεῖν, τῶν Ῥωμαϊκῶν στρατευμάτων ταῖς πρὸς τὸν Σκληρὸν μάχαις

2 βορίσσης C, ut solet   6 μόρια om C   9 λόχμον C, δάσος margo   10 καὶ γὰρ C   11 ἀπόλλυτο C   14 ἀναιρεθεὶς — 15 ὁδιτῶν add C   15 μωσῆς C   17 ἢ — 18 σφετεριζόμενον add C   19 κατὰ — Ῥαμετανίτζας add C   20 Σφενδοθλάβου C   21 δομηροῦ C   22 καὶ — Σαμουὴλ add C

Comitopuli appellabantur. etenim de Petri gente reliquos mors abstulerat: Borises autem et Romanus huius filii abducti, ut ante rettulimus, in urbem ibi degebant, Borises magistri dignitate a Tzimisca ornatus, Romanus a Iosepho cubiculario intimo castratus. mortuo Tzimisca ex urbe profugerunt et in Bulgariam contenderunt. ac Borisen quidem Romano habitu indutum, dum per silvam quandam transit, Bulgarus quidam Romanum esse ratus interfecit. Romanus incolumis mansit, et aliquanto post in urbem rediit, ut suo loco dicetur. de quattuor autem istis fratribus Davidus quidem statim obiit, Moses autem Serras oppugnans saxo a muro ictus periit. Aaronem Romanis rebus, ut ferebatur, faventem frater Samuelus cum sobole interfecit, solo Bladosthlabo, qui etiam Ioannes usurpatur, filio eius erepto a Radomero Samueli filio, quem et Romanum vocant. is Samuelus homo bellicosus ac quietis impatiens, nactus licentiam Romanis exercitibus bello adversus Durum oc-

ἀσχολουμένων ἀδείας τυχὼν κατέδραμε πᾶσαν τὴν ἑσπέραν, οὐ μόνον Θρᾴκην καὶ Μακεδονίαν καὶ τὰ τῇ Θεσσαλονίκῃ πρόσχωρα, ἀλλὰ καὶ Θετταλίαν καὶ Ἑλλάδα καὶ Πελοπόννησον· καὶ πολλὰ φρούρια παρεστήσατο, ὧν ἦν τὸ κορυφαῖον ἡ Λάρισσα, ἧς τοὺς ἐποίκους μετῴκισεν εἰς τὰ τῆς Βουλγαρίας ἐνδότερα πανεστίους, καὶ τοῖς καταλόγοις τῶν ἑαυτοῦ κατατάξας στρατιωτῶν συμμάχοις
B ἐχρῆτο κατὰ Ῥωμαίων. μετήγαγε δὲ καὶ τὸ λείψανον τοῦ ἁγίου Ἀχιλλείου, ἐπισκόπου Λαρίσσης χρηματίσαντος ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου κἀν τῇ μεγάλῃ καὶ πρώτῃ συνόδῳ παρόντος σὺν Ῥηγίνῳ Σκοπέλων καὶ Διοδώρῳ Τρίκκης, καὶ εἰς τὴν Πρέσπαν ἀπέθετο, ἔνθα ἦσαν αὐτῷ τὰ βασίλεια.

Ἀμύνασθαι δὲ τοῦτον ὁ βασιλεὺς τῶν εἰργασμένων γλιχόμενος, ἐπείπερ ἀπετινάξατο τὰς περὶ τοῦ Σκληροῦ φροντίδας, τὰς Ῥωμαϊκὰς ἀθροίσας δυνάμεις αὐτὸς δι' ἑαυτοῦ εἰσβολὴν ἐν Βουλγαρίᾳ ἐδόκει ποιήσασθαι, Βάρδαν τὸν Φωκᾶν ἔτι τῶν σχολῶν δομέστικον ὄντα καὶ τοὺς λοιποὺς ἑῴους δυνάστας μηδ' ἀξιώσας λόγου. εἰσερχόμενος δὲ ἐν Βουλγαρίᾳ διὰ τῆς παρὰ τῇ Ῥοδόπῃ καὶ τῷ ποταμῷ Ἕβρῳ, τὸν μάγιστρον Λέοντα τὸν Μελισσηνὸν κατόπιν εἴασε, τὰς δυσχωρίας φυλάττειν προστάξας· αὐτὸς δὲ
C τὰ μεταξὺ Τριαδίτζης, ἥτις πάλαι Σαρδικὴ ἐπωνόμαστο, στενὰ διελθὼν καὶ τὰς λόχμας, καὶ ἔν τινι τόπῳ Στοπωνίῳ λεγομένῳ γενόμενος, ἔθετο χάρακα, ἐκεῖσέ τε διενοεῖτο πῶς ἂν ἐπιχειρήσῃ τῇ πολιορκίᾳ τῆς Σαρδικῆς. ἠκούετο δὲ καὶ ὁ Σαμουὴλ τὰς κορυ-

6 στρατῶν P 8 Κωνσταντίνου — 10 Τρίκκης add C 17 ἐν πλοιαρίῳ C 20 post ἐπωνόμαστο C: ἐν ᾗ καὶ τῶν δυτικῶν τριακοσίων ἐπισκόπων σύνοδος γέγονε Κώνσταντος τοῦ τῆς δύσεως καὶ Κωνσταντίνου τοῦ τῆς ἀνατολῆς βασιλέως κελεύσει, τῶν υἱῶν τοῦ μεγάλου Κωνσταντίνου 21 στοπονίῳ C

cupatis, totum Occidentem incursionibus vexavit, non Thraciam modo et Macedoniam ac Thessalonicae propinqua, sed Thessaliam quoque, Graeciam et Peloponnesum. ac multa cepit castella, quorum praecipuum Larissa. huius incolas cum totis familiis in intimam transtulit Bulgariam et suorum militum tabulis inscripsit, eorumque opera contra Romanos usus est. avexit etiam reliquias S. Achillei, qui episcopus Larissae fuerat, et Prespae, ubi regiam habebat suam, deposuit.

Proinde Basilius imperator, ut primum Duri negotio se expediit, ulcisci Samueli maleficia cupiens, collectis Romanis exercitibus in Bulgariam ipse ducere statuit, ne communicata quidem re cum Barda Phoca scholarum etiamnum domestico et reliquis orientalibus ducibus. ergo per Rhodopae ac Euro flumini regiones propinquas Bulgariam ingressus magistrum Leonem Melissenum a tergo relinquit, qui angustias custodiret: ipse faucibus et silvis quae sunt ad Triaditzam (olim haec Sardica dicebatur) peragratis, in loco cui Stoponio nomen, castra ponit, ibique de oppugnanda Sardica cogitationes instituit. audiebatur etiam

q ὰς τῶν κύκλωθεν ὀρέων κατέχων (πρὸς φανερὰν γὰρ συμπλοκὴν καὶ ἀγχέμαχον ἐδειλία) καὶ πάντοθεν ἐνεδρεύων, εἴ πως δυνηθείη βλάψαι τοὺς ἐναντίους. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο καὶ τοιοῦτος ἦν τῷ βασιλεῖ ὁ σκοπός, Στέφανος ὁ δομέστικος τῶν σχολῶν τῆς δύσεως, ὃν διὰ τὸ βραχὺ τῆς ἡλικίας Κοντοστέφανον ἐπωνόμαζον, ἀπεχθέστατος ὢν Λέοντι τῷ Μελισσηνῷ πρόσεισι νυκτὸς ἤδη D καταλαβούσης τῷ βασιλεῖ, καὶ ἀναζευγνύειν ὡς τάχιστα παρεκάλει, τὰ ἄλλα λογιζόμενον δεύτερα, καὶ τὴν βασιλίδα καταλαβεῖν, ὡς τοῦ Μελισσηνοῦ ἐποφθαλμιῶντος τῇ βασιλείᾳ. κἀκεῖσε ἀπιόντος ἄρτι σὺν τάχει πολλῷ. ἐθρόησεν ὁ λόγος τὸν βασιλέα, καὶ ἀναζυγὴν εὐθέως ἐκήρυξεν. ὁ δὲ Σαμουὴλ τὴν ἀσύντακτον ἀναχώρησιν φυγὴν ὡς εἰκὸς εἶναι ὑποτοπάσας, ἐπεισπεσὼν ἀθρόως μετ' ἀλαλαγμοῦ καὶ βοῆς τούς τε Ῥωμαίους κατέπληξε καὶ φυγεῖν ἠνάγκασε, καὶ τὸ στρατόπεδον κατέσχε, καὶ τῆς ἀποσκευῆς ἁπάσης ἐγένετο κύριος καὶ αὐτῆς τῆς βασιλικῆς σκηνῆς καὶ τῶν βασιλικῶν παρασήμων. μόλις δὲ ὁ βασιλεὺς τὰ στενὰ διελθὼν εἰς Φιλιππούπολιν διασώζεται· ἐν ᾗ γενόμενος, καὶ τὸν Μελισσηνὸν P 696 ἀμετακίνητον εὑρὼν καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ φυλακὴν ἐπιμελῶς τηροῦντα, τῷ Κοντοστεφάνῳ ἐλοιδορεῖτο ὡς ψευσαμένῳ καὶ παραιτίῳ γεγονότι τοσούτου κακοῦ. οὗτος δὲ μὴ ἐνεγκὼν πρᾴως τὴν ἐπιτίμησιν, ἀλλ' ἔτι μᾶλλον τραχυνόμενος καὶ δίκαια συμβουλεῦσαι ἰσχυριζόμενος, ἠνάγκασε τὸν βασιλέα διὰ τὴν ἀναισχυν-

2 ἀγχίμαχον C 3 κλέφαι C 8 τὰ] καὶ τὰ C 11 ἀναζευγνύειν margo P, ὑποστροφὴν margo C 12 ὑποτοπήσας C ἐπιπεσὼν C 17 φιλιππόπολιν C 18 εὐμετακίνητον C

Samuelum montes qui circumiacent tenere, ab aperto praelio metu abhorrentem, et undique insidias hostis laedendi causa tendentem. dum his intentus est imperator, Stephanus scholarum occidentalium domesticus, quem ob staturae humilitatem Contostephanum appellabant, Leoni Melisseno inimicissimus, nocte se iam intendeute imperatorem adit, hortaturque ut omnibus rebus posthabitis motis castris Cpolin recurrat: Melissenum enim inhiare imperio, et ad urbem summa celeritate proficisci. hoc sermone conturbatus imperator statim castra moveri iubet. at Samuelus incompositum hostium discessum pro fuga, ut par erat, habens subito in eos cum clamore ac strepitu irruit, territosque in fugam coniicit, castris eorum potitur et impedimentis omnibus ipsisque adeo imperatoriis insignibus. imperator cum aegre per fauces Philippopolin pervenisset, inveniretque Melissenum in sua statione morantem diligenter sibi demandatam obire custodiam, exprobrat mendacium Contostephano, quod tanti mali causa fuisset. eumque non ferentem placide obiurgationem sed ferociter responsantem et contendentem se recte

τον ἰταμότητα ἀναπηδῆσαί τε τοῦ θρόνου, καὶ τῶν τριχῶν αὐτοῦ καὶ τῆς γενειάδος λαβόμενον κατασπάσαι εἰς γῆν.

Ἰνδικτιῶνος δὲ ιε΄, ἔτους ͵ϛυϟδ΄, Ὀκτωβρίῳ μηνὶ ἐγένετο κλόνος μέγας, καὶ κατέπεσον οἰκίαι πολλαὶ καὶ ναοὶ καὶ μέρος τῆς σφαίρας τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας· ὅπερ πάλιν ὁ βασιλεὺς
B φιλοτίμως ἐπηνωρθώσατο, δαπανήσας εἰς μόνας τὰς μηχανὰς τῆς ἀνόδου, δι' ὧν οἱ τεχνῖται ἱστάμενοι καὶ τὰς ὕλας ἀναγομένας δεχόμενοι ᾠκοδόμουν τὸ πεπτωκός, χρυσίου κεντηνάρια δέκα.

Οἱ δὲ τῶν Ῥωμαίων μεγιστᾶνες μηνιῶντες τῷ βασιλεῖ, ὁ μὲν Φωκᾶς Βάρδας καί τινες σὺν αὐτῷ ὅτι περ εἰς Βουλγαρίαν ἐκστρατεύσας ὑπερεῖδεν αὐτούς, μηδ' ἐν Καρὸς λογισάμενος μοίρᾳ, ἄλλοι δὲ καὶ ἄλλοι δι' ἄλλους προπηλακισμούς τε καὶ παροινίας, ὁ δὲ μάγιστρος Εὐστάθιος ὁ Μαλεῖνος διὰ τὸ ἀτίμως ἀπὸ τῆς εἰρημένης ἐκστρατείας ἀποπεμφθῆναι, συναθροισθέντες ἐν τῷ Χαρσιανῷ κατὰ τὸν οἶκον τοῦ ῥηθέντος Μαλείνου, ιε΄ τοῦ Αὐγούστου μηνός, τῆς ιε΄ ἰνδικτιῶνος, Βάρδαν τὸν Φωκᾶν ἀνεῖπον βασιλέα,
C διάδημά τε περιθέντες αὐτῷ καὶ τὰ λοιπὰ τῆς βασιλείας γνωρίσματα. τούτου δὲ ἀναγορευθέντος ἠγγέλλετο καὶ ὁ Σκληρὸς ἥκων ἀπὸ Συρίας. καθειρχθεὶς γάρ, ὡς εἴπομεν, παρὰ τοῦ Χοσρόου μετὰ τῶν περὶ αὐτὸν ἐν Βαβυλῶνι ἔμενε τηρούμενος ἐν τῇ φρουρᾷ, πάσης ἐπιμελείας ἐστερημένος καὶ τῇ ἐκ τῆς καθείρξεως κακουχίᾳ καὶ ταῖς τῶν φυλαττόντων παροινίαις τετρυχωμένος· ἐξαίφνης δ' ἐπέλαμψεν αὐτῷ τύχη λαμπρά, καὶ τῆς φυλακῆς ἐκβάλλεται σὺν τοῖς ἀμφ' αὐτὸν παραδόξως. οἵῳ δὲ τρόπῳ τῶν δεσμῶν ἠλευ-

8 ᾠκονόμουν C 20 φρουρούμενος C

consuluisse, impudenti hominis petulantia irritatus solio desiliens crinibus ac barba arripit et in terram prosternit.

Indictione 15, anno mundi 6494, mense Octobri, terra vehementer concussa multae domus atque templa corruerunt et pars sphaerae magnae dei aedis. quam imperator magnifice refecit, impensis in solas machinas quibus fabri insistentes materiam sursum attractam excipiebant et operi adhibebant, centenariis auri decem.

Interim Romani imperii proceres imperatori succensentes, Phocas Bardas et quidam cum ipso, quod Bulgaricam instituens expeditionem ipsos sprevisset nulloque numero habuisset, alii alias ob contumelias, Eustathius magister Maleinus, quod ignominiose a dicta expeditione fuerat dimissus, Charsiani in domo Maleini coeuntes die Augusti 15, indictione 15, Bardam Phocam imperatorem designant diademateque et aliis imperii insignibus exornant. simul nuntiabatur Durum e Syria adventare. is enim a Chosroe, uti exposuimus, in carcerem compactus Babylone in custodia vixerat, omni cura corporis destitutus, carcerisque incommodis et custodum contumeliis divexatus. subito ei affulsit fortuna propitia, ipsumque cum suis carcere eduxit. quo autem modo vin-

θερώθη, καὶ ὅπως εἰς τὰ Ῥωμαίων ἤδη διεσώθη καὶ ἐπανῆλθεν, ἄπεισι λέξων ὁ λόγος.

Τὸ τῶν Περσῶν γένος τὴν ἀρχὴν τῆς βασιλείας ἀφαιρεθὲν D ὑπὸ τῶν Σαρακηνῶν ἀεὶ μὲν ἐνεκότει τούτοις καὶ ἐνεδομύχει, καὶ καιρὸν ἐζήτει καὶ μηχανὴν ὅπως τοὺς τὸ κράτος ἔχοντας κατασπάσῃ καὶ τὴν πάτριον πάλιν ἀναλάβῃ ἀρχήν· ἦν δέ τις ἐν αὐτοῖς ἀνὴρ ἐξ εὐγενοῦς σειρᾶς καταγόμενος, Ἴναργος τοὔνομα, λέγειν τε δεινὸς καὶ ἄλλως πολεμικὸς καὶ δραστήριος ἄνθρωπος. οὗτος τὸν βασιλέα Χοσρόην κατανοήσας ἀνειμένως καὶ φαύλως ἄρχοντα, καὶ νῦν παρεῖναι ὃν ἐζήτουν οἱ Πέρσαι καιρὸν οἰηθείς, ἀνασείει τε τὸ γένος τῶν Ἀχαιμενιδῶν ἅπαν καὶ ἀπόστασιν κινεῖ κατὰ τῶν Σαρακηνῶν. προσλαβόμενος δὲ καὶ μισθοφορικὸν ἀπὸ τῶν ἑῴων Τούρκων ἀμφὶ τὰς εἴκοσι χιλιάδας ἐδῄου καὶ κατέτρεχε τὰ Σαρακηνῶν, ἄρδην ἀναιρῶν τοὺς ἁλισκομένους καὶ μηδὲ παίδων φειδόμενος. P 691 πρὸς τοῦτον ὁ Χοσρόης πολλάκις καὶ διὰ τῶν οἰκείων στρατηγῶν καὶ αὐτὸς δι' ἑαυτοῦ ἀντιπαραταξάμενος ἐν πάσαις ταῖς μάχαις ἡττήθη. ἀπογνοὺς οὖν λοιπὸν καὶ εἰδὼς μὴ ὢν ἱκανὸς ὅπλα ἀπὸ τοῦδε κινῆσαι κατὰ Περσῶν, τῶν αὐτοῦ στρατευμάτων πολλάκις κατακοπέντων καὶ μηδ' ὄνομα στεγόντων ἀκοῦσαι Περσῶν, εἰς ἔννοιαν ἔρχεται τῶν ἐν τῇ φρουρᾷ Ῥωμαίων, ἐπιλογισάμενος λίαν ἐμφρόνως ὡς εἰ μή τις τῶν ἐπισήμων ἦν καὶ ἐμφανῶν ὁ καθειργμένος καὶ κατὰ ψυχὴν καὶ σῶμα γενναίως ἔχων, οὐκ ἂν τοῦ οἰκείου δεσπότου κατεξανέστη καὶ ἐς τόδε ἀνάγκης συνήλασε τοῦτον, καὶ μετὰ ταῦτα φυγὰς καὶ βίον διαντλῶν ἀτυχῆ B

1 διεσ. καὶ ἐπ.] ἐπανεσώθη C

culis liberatus in Romanas provincias incolumis pervenerit, iam nunc narrabimus.

Persica gens regno a Saracenis exuta nunquam non iis irascebatur, taciteque cogitabat et occasionem dispiciebat eos deiiciendi avitamque potentiam recuperandi. erat inter eos quidam stirpe nobilissima ortus Inargus, et eloquentia et bellica re clarus atque strenuus. is Chosroem sentiens dissolute atque inepte imperium gerere, iam nunc quaesitam diu opportunitatem Persis adesse ratus, universam Achaemenidarum gentem ad defectionem a Saracenis concitat, Turcarumque orientalium ad viginti milia mercede conducens, res Saracenorum agit atque fert, si quos cepisset, eos morte multans, ac ne pueris quidem parcens. cum hoc Chosroes saepe ipse, saepe per duces suos praeliatus semper succubuit. desperata iam re, ac porro sentiens se arma contra Persas ferre non posse, cum saepe concisi ipsius exercitus iam ne nomen quidem Persarum audire sustinerent, Romanorum, quos captivos detinebat, recordatur. subitque ei prudenter admodum ratiocinari, nisi Sclerus illustrium unus esset ac summorum virorum et animi corporisque fortitudine praestans, nunquam cum profecto contra dominum suum insurre-

ὑπὸ τοσούτων καὶ τηλικούτων ὡς βασιλεὺς ἀνυμνεῖται. κοινολογησάμενος μετὰ τῆς ἑαυτοῦ γερουσίας ἐκβάλλει τε τὸν ἄνδρα τοῦτον καὶ τοὺς σὺν αὐτῷ τῆς φυλακῆς καὶ πάσης ἐπιμελείας καταξιοῖ, καὶ τελευταῖον τὴν περὶ τοῦ πολέμου προσφέρει ἀξίωσιν. θρυπτομένου δὲ κατ' ἀρχὰς τοῦ Σκληροῦ, καὶ μετ' εἰρωνείας πῶς ἂν δυνηθεῖεν λέγοντος ὅπλα κινῆσαι ἄνδρες ἐν τοσούτῳ καιρῷ καθειργμένοι καὶ κατακόρως μετασχόντες τῶν ἐκ τῆς φρουρᾶς κακοπαθειῶν, ὁ Χοσρόης καὶ πάλιν ἐνέκειτο, καὶ χρήματα λαβεῖν αὐτὸν ἱκέτευεν ἀριθμοῦ διεκπίπτοντα καὶ στρατεύματα πλήθει τε C ἄπειρα καὶ λαμπρὰ ταῖς παρασκευαῖς, καὶ στρατηγῆσαι τὸν πόλεμον, καὶ μὴ μνησικακῆσαι τῆς καθείρξεως, ὡς δυναμένου καὶ αὐτοῦ τοῖς μετὰ ταῦτα καλοῖς καὶ ταῖς φιλοφροσύναις ἐπηλυγάσαι τὰ προφθάσαντα κακὰ καὶ τὰς ἐκ τῆς φυλακῆς ἀηδίας. πείθεται τὸ τελευταῖον ὁ Σκληρός, καὶ ἐκτελέσειν ὑπέσχετο τὸ κεκελευσμένον. στρατεύματα μέντοι λαβεῖν Ἀράβων ἢ Σαρακηνῶν ἢ ἑτέρων ἐθνῶν τῶν τῷ Χοσρόῃ ὑποκειμένων οὐδ' ὅλως ἠνέσχετο, τὰς δὲ φυλακὰς τῶν ἐν Συρίᾳ πόλεων ἀναζητῆσαι ἠξίωσε, καὶ τοὺς ἐν αὐταῖς κρατουμένους Ῥωμαίους ἐξαγαγεῖν καὶ καθοπλίσαι, μετὰ τούτων καὶ οὐκ ἄλλως λέγων εἶναι δυνατὸν αὐτῷ τὸν πρὸς τοὺς D Πέρσας ἀναδέξασθαι πόλεμον. ἐδέξατο ὁ Χοσρόης τὸν λόγον, καὶ αἱ φυλακαὶ ταχὺ ἀνεῴγνυντο, καὶ οἱ ἐν αὐταῖς ἠλευθεροῦντο Ῥωμαῖοι, καὶ συνηθροίσθησαν ἀπὸ τούτων ἄνδρες ὁμοῦ τρισχίλιοι· οὓς εἰς βαλανεῖα ἐκδοὺς καὶ τὸν ἐκ τῆς καθείρξεως ῥύπον ἀποκαθάρας, ἐσθῆσί τε καὶ περιβολαῖς καιναῖς ἀμφιάσας, καὶ ἑκάστῳ

8 καὶ ante πάλιν om C   20 αἱρεῖσθαι C   22 ὁμοῦ om C

ctorum, eumque in tantas angustias compulsurum, neque deinde exsuli et infelicem toleranti vitam tot tantosque viros imperatorium honorem habituros fuisse. ergo re cum suo senatu communicata Durum et comites eius e carcere educit omnique cura reficit, tandemque ab eo petit ut sibi in Persis debellandis operam navet. simulanter initio Durus id recusavit, causatus viros tanto tempore in custodia detentos carcerisque aerumnis attritos non posse arma ferre. Chosroes autem magis magisque instabat, flagitabatque ut pecuniam innumeram et exercitus numerosissimos splendideque instructos acciperet et bellum in Persas gereret, neque iniuriarum meminisset et carceris molestiarum, quas ipse in posterum amplissimis meritis esset aboliturus. tandem ergo Durus annuit et belli administrationem in se recipit. neque vero Arabes aut Saracenos aut alios Chosroi subditos populos ducere sustinet, sed Syriacarum urbium perlustrari iubet carceres, et qui in iis detinebantur captivi Romani educi atque armari, hoc et nullo alio exercitu se rem contra Persas gesturum affirmans. placuit consilium Chosroi, moxque aperti carceres, educti Romani, atque hoc modo ad tria virorum milia collecta. quos Durus in balnea misit, sordibusque et squalore in vinculis contra-

τὴν προσήκουσαν καὶ ἀρκοῦσαν δοὺς παντευχίαν, ὁδηγοὺς τῆς
ὁδοῦ λαβὼν ἔξεισι μετ' αὐτῶν κατὰ τῶν Περσῶν. γενομένης δὲ
ἀντιπαρατάξεως, καὶ μετὰ ῥύμης σφοδρᾶς τῶν περὶ τὸν Σκληρὸν
ἐπιθεμένων τοῖς Πέρσαις, ἐκεῖνοι τῷ ξένῳ τῆς καθοπλίσεως καὶ
τῷ ἀήθει τῆς φωνῆς καὶ τῷ ἀγνώστῳ τῆς παρατάξεως, τὸ δὲ
πλέον καὶ τῇ ῥαγδαίᾳ φορᾷ καὶ ῥύμῃ τῶν Ῥωμαίων καταπλαγέν-
τες τρέπονται κατὰ κράτος καὶ πίπτουσι πανσυδί, ὡς μηδ' ἄγγε-
λον (τοῦτο δὴ τὸ τοῦ λόγου) περιλειφθῆναι τῆς συμφορᾶς, πε- P 698
σόντος καὶ αὐτοῦ Ἰνάργου κατὰ τὴν προσβολήν. λείαν δ' ὅτι
πολλὴν περιβαλόμενοι καὶ ἵππους συχνοὺς οὐκέθ' ὑποστρέψαι πρὸς
Χοσρόην ἔγνωσαν, ἀλλὰ τῆς ἐπὶ Ῥωμαίους ἀγούσης ἁψάμενοι καὶ
συντόνῳ χρησάμενοι τῇ ὁδοιπορίᾳ ἔλαθον διαδράντες καὶ εἰς τὰ
σφέτερα ἤδη διασωθέντες. ἕτερος δὲ λόγος ἔχει ὡς μετὰ τὴν
κατὰ Περσῶν νίκην ἐπανελθόντας ἐδέξατο φιλοφρόνως αὐτοὺς ὁ
Χοσρόης, καὶ ἐπεὶ μετ' ὀλίγον τὸ τῆς ζωῆς αὐτὸν ἔφθασε τέλος,
ἐπέσκηψε τῷ υἱῷ καὶ ὁμωνύμῳ καὶ μετ' αὐτὸν βασιλεῖ συμμαχίαν
δοῦναι τοῖς Ῥωμαίοις καὶ οἴκαδε πέμψαι. καὶ ὁ μὲν Σκληρὸς ἑνὶ
τῶν εἰρημένων τρόπων τὴν Ῥωμαίων καταλαμβάνει γῆν, εὑρὼν B
Βάρδαν τὸν Φωκᾶν ὡς βασιλέα ἀνευφημούμενον, καὶ αὐτὸς ὁμοίως
παρὰ τῶν συνόντων ἀνευφημούμενος.

Οὕτω δὲ τὰ πράγματα εὑρηκὼς διακείμενα διάφορος ἦν καὶ ποικίλος ταῖς γνώμαις· ἑαυτὸν μὲν γὰρ ἀσθενέστατον ἔκρινεν εἰς τὸ καθ' ἑαυτὸν μόνον συνέχειν καὶ διακρατεῖν τὴν ἀποστασίαν·

7 πασσυδὶ C, πανστρατὶ margo   10 περιβαλλόμενοι libri   11 ἔγνωσαν om C

cto ablutis novis vestibus induit, armatosque ut cuiusque rationes postulabant, ductoribus itineris adscitis, hunc exercitum in Persas ducit. ubi adversis signis pugna inita est, Romani acrem impetum in Persas dant. qui et ignoto armaturae genere et insueta voce ac non ante visa ordinum ac pugnae ratione, praecipue vero violentia incursus perterriti, fusi et ad unum omnes caesi sunt, ne nuntio quidem, ut est in proverbio, cladis relicto. ipse etiam Inargus in prima acie cecidit. Romani ingentem praedam et plurimos equos adepti nequaquam ad Chosroen revertendum sibi duxerunt, sed viam quae in Romanam ducit dicionem ingressi magnis itineribus clam Saracenis effugerunt, inque eam pervenerunt. alius fertur sermo, Romanos victis Persis ad Chosroen rediisse et humaniter fuisse exceptos. eum paulo post vita excedentem Chosroi filio et successori suo mandasse ut Romanos adhibito praesidio in patriam deducat. sive hoc sive illo modo, in Romanos quidem fines pervenit Durus. cumque Bardam Phocam esse imperatorem designatum inveniret, ipse quoque a suis est salutatus imperator.

Cum autem in hunc rerum statum incidisset, in varias admodum partes animum cogitationibus distraxit. nam se quidem solum ad obti-

προσχωρῆσαι δὲ τῷ Φωκᾷ ἢ τῷ βασιλεῖ λίαν ἀγεννὲς ᾠήθη καὶ ἄνανδρον. πολλὰ γοῦν γνωμιατεύσας μετὰ τῶν συνόντων, τέλος τὸ μὲν μόνος ἀνευφημεῖσθαι ὡς βασιλεὺς παράβολον καὶ ἀλυσιτε- C λὲς διὰ τὸ ἀδύνατον ἐλογίζετο, ἑνὶ δὲ προσφοιτῆσαι τῶν δυναστῶν καὶ τοῦ ἑτέρου καταφρονῆσαι κατεγίνωσκε διὰ τὸ τοῦ μέλλοντος ἄδηλον. ἔγνω οὖν κατὰ τὸ δυνατὸν καὶ ἄμφω προσκτήσασθαι τὰς ἀρχάς, ἵν᾽ ἐξ ἀποτυχίας τὴν ἑτέραν ἔχῃ βοηθὸν καὶ συλλήπτορα. γράμματα μὲν οὖν αὐτὸς ἐκπέμπει πρὸς τὸν Φωκᾶν, κοινοπραγίαν ἐξαιτῶν καὶ τῆς βασιλείας διανομήν, εἰ καταγωνίσασθαι δυνηθείεν τὸν βασιλέα. λάθρᾳ δὲ Ῥωμανὸν τὸν υἱὸν ἐκπέμπει πρὸς τὸν βασιλέα ὡς τάχα αὐτομολήσαντα, λίαν ἐντρεχῶς λογισάμενός τε καὶ κρίνας, ἵν᾽ εἰ μὲν ὁ Φωκᾶς ὑπερέχῃ, αὐ- D τὸς εἴη σωτὴρ τοῦ παιδός, εἰ δ᾽ ἐπικρατέστερα τὰ τοῦ βασιλέως ὑπάρξει, αὐτὸς δι᾽ ἐκείνου παραιτηθεὶς τοῦ κινδύνου ῥυσθείη. καὶ ὁ μὲν Ῥωμανὸς δόκησιν φυγῆς παρασχὼν ἄπεισι πρὸς τὸν βασιλέα· ὃν οὗτος φιλοφρόνως ἄγαν δεξάμενος καὶ περιχαρῶς μάγιστρόν τε εὐθέως ἐτίμησε καὶ συμβούλῳ διὰ παντὸς ἐν τοῖς πολέμοις ἐχρῆτο. καὶ γὰρ δὴ μετὰ τὴν εἰς Συρίαν ὑποχώρησιν τοῦ Σκληροῦ τῶν φροντίδων ὁ βασιλεὺς ἀπαλλαγεὶς καὶ τῶν διοικήσεων ἁπτόμενος ἀνδρικώτερον, ἐπεὶ ἔγνω τὸν παρακοιμώμενον μὴ ἀρεσκόμενον τοῖς δρωμένοις ἀλλ᾽ ὑποτονθορύζοντα καὶ δεινὰ δράσειν, εἰ καιροῦ λάβοιτο, ἐλπιζόμενον, τοῦτον μὲν κατάγει τῆς

11 τὸν om C

nendum imperium videbat nequaquam satis habere virium, et vel Phocae vel imperatori se adiungere indignum iudicabat effeminatique hominis facinus. re diu multumque deliberata cum suis decrevit, si solus imperium sibi vindicaret, eum conatum, quia teneri propositum nullo modo posset, nimis temerarium inutilemque fore: tum rerum dubio exitu alteri se eorum penes quos summa erat coniungere, altero spreto, esse periculosum. itaque sibi, quantum eius fieri posset, utrumque conciliandum, ut alterutro successu carente apud alterum locum haberet et auxilium. ergo literis ad Phocam missis societatem cum eo imperatoris opprimendi imperiique partitionem secure inire significat. occulte autem Romanum filium, simulato eum transfugisse, ad imperatorem mittit, callidissime hoc meditatus, ut sive Phocas vicisset, filio ipse veniam impetraret, sive imperatoris res praevaluissent, filii deprecatione periculum evitaret. Romanus ergo simulato perfugio ad imperatorem abit, ab eoque benignissime et cum gaudio acceptus, statim magisterii ad dignitatem evectus, apud eum in summo deinceps honore fuit habitusque in bellis consiliarius. etenim imperator Duro in Syriam profecto solicitudine liberatus, cum rerum administrationi impensius sese daret, Basilium cubicularium, sentiens eum sua acta improbare et mussare atque haud dubie occasionem aliquando nactum facinus atrox contra se ausurum, aula di-

ἐξουσίας καὶ οἴκοι μένειν προστάττει, αὖθις δὲ μὴ ἠρεμοῦντα ὁρῶν ἀλλ᾽ ἀεὶ μελετῶντα ἀλλόκοτα καὶ τὴν προτέραν ἀπειληφέναι P 699
σπεύδοντα ἐξουσίαν ὑπερόριον ἀνὰ τὸ Στενὸν τίθησιν, ἀφελόμενος καὶ τὰ πλείω τῆς οὐσίας αὐτοῦ, ὡς μὴ κεχορηγημένην ἔχων ὕλην φθάσαι τι δρᾶσαι τῶν ἀνηκέστων· αὐτὸς δὲ τῆς ἐξ αὐτοῦ μονωθεὶς συμβουλῆς, καὶ φίλων δεόμενος καὶ συνεργῶν ἐν ταῖς περιστάσεσι, τότε γνησίως τὸν Ῥωμανὸν προσεδέξατο, ἄνδρα εἰδὼς ἐντρεχῆ καὶ δραστήριον καὶ τὰ πολεμικὰ ἱκανώτατον.

Βάρδας δὲ ὁ Φωκᾶς ὡς τὴν τοῦ Σκληροῦ ἐπάνοδον προσαγγελθεῖσαν ἐπύθετο, γράμματά τε ἐκπέμπει αὐτὰ ἐκεῖνα δηλοῦντα τὰ ἐκείνῳ πρὸς τρόπου, καὶ ὅρκοις ἐπιστοῦτο τὰς ὑποσχέσεις, "εἰ τῶν ἠλπισμένων τύχωμεν" λέγων, "σὺ μὲν ἄρξεις Ἀντιοχείας B
καὶ Φοινίκης καὶ Κοίλης Συρίας καὶ Παλαιστίνης καὶ Μεσοποταμίας, ἐγὼ δὲ ἄρχων ἔσομαι τῆς βασιλίδος αὐτῆς καὶ τῶν ὑπολοίπων ἐθνῶν." δεξάμενος δὲ περιχαρῶς ὁ Σκληρὸς τοὺς λόγους, καὶ τοῖς ὅρκοις θαρρήσας, ἄπεισιν ἐν Καππαδοκίᾳ πρὸς τὸν Φωκᾶν ὡς τάχα πληρώσων τὴν κοινοπραγίαν. ἐκεῖνος δὲ τοῦτον ἔνδον τῆς σαγήνης λαβὼν ἀπαμφιέννυσί τε τὰ τῆς βασιλείας παράσημα καὶ εἰς τὸ φρούριον τὸ Τυροποιὸν ἐκπέμπει, φρουρὰν οὐκ ἀγεννῆ περιστήσας αὐτῷ. αὐτὸς δὲ μέρος τοῦ στρατοῦ παρασχὼν Καλοκυρῷ πατρικίῳ τῷ Δελφηνᾷ ἐκπέμπει κατὰ τὴν ἀντίπορθμον τῇ βασιλίδι Χρυσόπολιν. τὸ δὲ λοιπὸν ἅπαν τῆς στρα- C

6 συγγενῶν P 7 ἄνδρα τε εἰδὼς νουνεχῆ C 11 ἐπὶ τοῦτο C
22 στρατηγίας P

moverat domique suae se continere iusserat. rursum videns hominem non quiescere, sed semper mala consilia meditari ac de pristina potentia recuperanda cogitare, in Stenum relegarat, ademptis etiam plerisque facultatibus: nam sumptibus suppeditantibus grave aliquod moliri posset flagitium. proinde huius consiliis destitutus, amicisque opus habens quorum fidei temporibus dubiis se crederet, vere tunc Romanum amplexus est, virum sciens esse versutum ac strenuum et bellica re praestantissimum.

Bardas vero Phocas ubi de reditu Duri cognovit, literas ad eum mittit, hoc ipsum quod volebat Durus interposito etiam iureiurando offerentes. promittebat autem, re ex animi sententia confecta, se Duro Antiocheae Phoeniciae Coelesyriae Palaestinae et Mesopotamiae imperium cessurum, sibi Cpoli et reliquis gentibus servatis. laetus admodum has condiciones accepit Durus; iureiurandoque fidem adhibens, in Cappadociam ad Phocam abiit, ut quod de societate componenda reliquum erat perficeret. is cum eum in nassam illexisset, insignibus imperii exutum in castellum Tyropaeum mittit, valida septum custodia. inde partem exercitus Calocyro Delphinae patricio tradit, et ad Chrysopolin, quae ab altera freti parte contra Cpolin sita est, mittit: ipse

τιᾶς ἄγων μεθ' ἑαυτοῦ κάτεισιν εἰς Ἄβυδον, ἐλπίσας οὕτω κατεχομένων τῶν στενῶν πεπιεσμένους ἐνδείᾳ παραστήσεσθαι τοὺς πολίτας. ὁ δὲ βασιλεὺς πολλὰ παρακαλέσας τὸν Δελφινᾶν ἀπαναστῆναι τῆς Χρυσοπόλεως καὶ μὴ ἀντιμέτωπον τῇ βασιλίδι ποιεῖσθαι στρατοπεδείαν, ὡς οὐκ ἔπειθε, πλοῖα παρασκευάσας νυκτὸς καὶ τούτοις ἐμβιβάσας Ῥώς (ἔτυχε γὰρ συμμαχίαν προσκαλεσάμενος ἐξ αὐτῶν, καὶ κηδεστὴν ποιησάμενος τὸν ἄρχοντα τούτων Βλαδιμηρὸν ἐπὶ τῇ ἑαυτοῦ ἀδελφῇ Ἄννῃ), περαιωθεὶς μετ' αὐτῶν
D ἀνοήτως ἐπιτίθεται τοῖς ἐχθροῖς καὶ ῥᾷον χειροῦται. τὸν μὲν οὖν Δελφινᾶν ἐπὶ ξύλου κρεμᾷ κατ' ἐκεῖνον τὸν τόπον ἔνθαπερ εἶχε τὴν σκηνὴν πεπηγμένην, τὸν δὲ ἀδελφὸν τοῦ Φωκᾶ Νικηφόρον τὸν τυφλὸν φρουρᾷ παραδίδωσι, καὶ τοῖς λοιποῖς τοῖς ἁλοῦσι ποινὰς ἐπιθεὶς τὰς δοκούσας ὑπέστρεψεν εἰς τὴν βασιλίδα.

Ὁ δὲ Φωκᾶς τὴν Ἄβυδον καταλαβὼν ἐπιμελῶς ἐπολιόρκει, ῥωμαλέως ὑφισταμένων καὶ τῶν ἔνδον τὴν πολιορκίαν, τοῦ δρουγγαρίου τῶν πλωΐμων Κυριακοῦ προεκπεμφθέντος παρὰ τοῦ βασιλέως καὶ τοὺς ἔνδον παραθαρρύνοντος. μετὰ μικρὸν δὲ ἐπεραιώθη καὶ Κωνσταντῖνος ὁ τοῦ βασιλέως ἀδελφός, κατόπιν δ' ἀφίκετο καὶ αὐτὸς ὁ βασιλεύς· ὧν περαιωθέντων ὁ Φωκᾶς μέρος μὲν τῆς στρατιᾶς προσεδρεύειν ἐπέταξε τῇ τῆς Ἀβύδου πολιορκίᾳ, αὐτὸς
P 700 δὲ τοῖς λοιποῖς τοῦ στρατοῦ ἀντιπαρατάττεται τοῖς βασιλεῦσι. καὶ μελλούσης ἤδη ἀρχὴν λαμβάνειν τῆς μάχης ὁ Φωκᾶς τοῦ ζῆν ἀγεννῶς τὸ γενναίως ἀποθανεῖν εὐγενῶς προκρίνας, τὸν βασιλέα θεασάμενος πόρρωθεν τῇδε κἀκεῖσε καθιππαζόμενον καὶ τὰς τῶν

cum reliquo Abydum petit, sperans hoc modo angustiis occupatis se Cpolitanos rerum necessariarum inopia subacturum. imperator multis frustra hortatus Delphinam ut a Chrysopoli decederet neque castra e regione urbis haberet, noctu navibus adornatis Rossos imponit (nam ab iis suppetias impetraverat, quod sororem suam Annam Bladimero eorum principi matrimonio coniunxisset), cumque his non sentiente hoste freto traiecto, eos adortus nullo negotio opprimit. Delphinam in palo suffigit eo ipso loco, ubi tabernaculum is defixerat: fratrem Phocae Nicephorum caecum in custodiam dat, et reliquis captivis suo arbitratu punitis Cpolin redit.

Interim Phocas Abydum summa opera oppugnabat, oppidanis fortiter se defendentibus: nam drungarius rei navalis Cyriacus praemissus erat, qui oppidanorum animos confirmaret. paulo post traiecit ad Abydum Constantinus imperator, et subsecutus est statim frater eius Basilius. his ita gestis, Phocas parte exercitus ad obsidionem Abydi relicta, cum reliqua parte imperatoribus occurrit. iam ad pugnam conserendam nihil praeter classicum requirebatur, cum Phocas honeste potius oppetendam mortem quam turpiter vivendum ratus, cum videret imperatorem eminus hinc inde obequitantem ordinesque suorum instruentem

οἰκείων διακοσμοῦντα τάξεις καὶ παραθαρρύνοντα, καὶ πρὸς ἑαυτὸν λογισάμενος ὡς εἰ τούτου ἐπιτυχὴς γένηται, ῥᾷον ἂν καὶ τοὺς λοιποὺς καταγωνιεῖται, τὸν ἵππον μυωπίσας ῥαγδαίως ἵκετο κατ' αὐτοῦ, τὰς ἐναντίας φάλαγγας διακόπτων καὶ ἀνυπόστατος τοῖς πᾶσι φαινόμενος. ἤδη δὲ τῷ βασιλεῖ προσεγγίζων εὐθὺς ὑποστρέφει καὶ εἴς τινα λόφον ἄνεισι, καὶ τοῦ ἵππου ἀποβὰς καὶ πρὸς γῆν ἐκτείνας ἑαυτὸν ἀπέλιπε τὴν ζωήν, εἴτε παρά του τῶν στρατιωτῶν B ἐν τῷ ἀτάκτοις φέρεσθαι καιρίαν τυπείς, εἴτε καὶ ἄλλως ἀπὸ σωματικῆς ἀταξίας κατεργασθείς· πληγὴν μέντοι οὐδ' ὅλως εὑρέθη ἐν τῷ σώματι ἔχων, καὶ διὰ τοῦτο ὁ λέγων λόγος δηλητηρίῳ αὐτὸν ἀναιρεθῆναι κρατεῖ. φέρεται γὰρ ὅτι Συμεὼν ὁ πιστικώτατος τῶν θεραπόντων αὐτοῦ, δώροις ὑπὸ βασιλέως ἀναπεισθείς, φαρμάκῳ τοῦτον ἀπέκτεινεν. εἰώθει γὰρ ὁ Φωκᾶς ἐν τῷ πολέμῳ ὕδατος ψυχροῦ πρὸ τῆς συμπλοκῆς ἀπογεύεσθαι· ὃ κἀν ταύτῃ τῇ συμβολῇ ποιήσας ἔλαθε συγκαταπιὼν τῷ ὕδατι καὶ τὸ δηλητή- C ριον. ἐπὶ πολὺν δὲ χρόνον ἐν τῷ λόφῳ κειμένου τοῦ Φωκᾶ ᾤοντο πάντες διά τινα σωματικὴν μαλακίαν ἀναπαύσει μικρᾷ ἑαυτὸν ἐκδεδωκέναι· ὡς δὲ ἐχρόνιζε κείμενος καὶ προσελθών τις νεκρὸν αὐτὸν εὗρε καὶ ἄναυδον καὶ διεγνώσθη τοῖς πᾶσιν ὁ τούτου θάνατος, οἱ μὲν ἀποστάται εὐθὺς εἰς φυγὴν ὥρμησαν, τὰ δὲ τοῦ βασιλέως ἐπερρώσθη στρατεύματα, καὶ ἐδίωκον ἀμεταστρεπτί, καὶ ζωγροῦνται μὲν Λέων καὶ Θεόγνωστος οἱ Μελισσηνοί, Θεοδόσιος ὁ Μεσανύκτης καὶ ἄλλοι πολλοί. οὓς μεθ' ἑαυτοῦ ὁ βασιλεὺς εἰς

et animos dictis reborantem, secum cogitans, siquidem hunc deiecisset, se reliquis facile victoriam erepturum, calcaribus adacto equo per adversos ordines tanto impetu in imperatorem fertur ut eum subsisti posse nemo putaret. cum autem non procul iam ab imperatore abesset, subito conversus in quendam tumulum evadit, ibique ab equo descendit, et humi exporrectus exspirat. de morte eius varia feruntur. quidam, dum per hostes incomposito impetu ruit, letale vulnus accepisse putant, alii absque hoc ob corpus negligentius curatum periisse. certe nullum plagae signum in cadavere eius exstitit; quo fit ut veneno exstinctum fuisse fama obtinuerit. aiunt enim Simeonem, cui omnium famuiorum maxime fidebat, ab imperatore muneribus corruptum aquam poturo cum praelium iniret (omnibus enim praeliis consuevisse Phocam ante conflictum frigidam bibere) venenum letale iniecisse, idque ab eo simul cum aqua haustum. cum aliquamdiu in tumulo isto iacuisset Phocas, universi putabant eum ob corporis aliquem languorem quieti se aliquantulum dedisse. sed cum diutius iaceret et aggressus quidam mortuum eum deprehendisset ac de morte eius rumor increbuisset, statim eius milites fugae se dederunt; et imperatoris copiae animis auctae pertinacissime eos insecutae sunt. inter captivos fuere Leo Theognostusque Melisseni, Theodosius Mesanyctes, et alii multi, quos Basilius imperator secum in

τὴν πόλιν εἰσαγαγὼν διὰ μέσης ἐθριάμβευσε τῆς ἀγορᾶς ὄνοις D ἐφεζομένους, μόνου φεισάμενος Λέοντος τοῦ Μελισσηνοῦ. λέγεται γὰρ οὗτος ἐπὶ τῆς παρατάξεως τῷ οἰκείῳ ἀδελφῷ Θεογνώστῳ, ἐπιχλευάζοντι τοὺς βασιλεῖς καὶ ὕβρεις ἀπρεπεῖς ἐς αὐτοὺς ἀπορριπτοῦντι, ἐπιτιμῆσαί τε μετὰ δακρύων πολλά, καὶ παρακαλέσαι παύσασθαι τῆς ἀθυροστομίας καὶ μὴ ἀναιδῶς ἐνυβρίζειν εἰς τοὺς οἰκείους δεσπότας, ἐπεὶ δὲ μὴ ἔπειθε, καὶ τὸν σειρομάστην ἐκτείνας δοῦναι τούτῳ πολλάς, ὥστε καὶ τὸν βασιλέα θεωρὸν ὄντα τῶν γινομένων ἀνειπεῖν πρὸς τοὺς παρόντας "ἴδετε, ὦ οὗτοι, ἀφ' ἑνὸς ξύλου καὶ σταυρὸν καὶ πτύον." διὰ ταύτην οὖν τὴν αἰτίαν λέγεται τῷ Λέοντι συγχωρηθῆναι τὸν θρίαμβον.

P 701 Ἄρτι δὲ τοῦ Φωκᾶ ἀποθανόντος κατὰ τὸν Ἀπρίλλιον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος τοῦ ,ϛυϟζʹ ἔτους, καὶ τῆς κατ' αὐτὸν ἀποστασίας διαλυθείσης, ἀδείας λαβόμενος ὁ Σκληρὸς πάλιν ἀνελάμβανεν ἑαυτὸν καὶ τὴν προτέραν ἐσωμάσκει ἀποστασίαν. ὅπερ πυθόμενος ὁ βασιλεὺς γράμμασι παρῄνει κόρον λαβεῖν τῆς τῶν Χριστιανικῶν χύσεως αἱμάτων, ἄνθρωπον καὶ αὐτὸν ὄντα καὶ θάνατον προσδεχόμενον καὶ κρίσιν, καὶ ὀψέ ποτε μεταμαθεῖν τὸ συμφέρον, καὶ τὸν ἐκ θεοῦ δεδομένον ἄρχοντα ἐπιγνῶναι. τούτοις δὲ τοῖς γράμμασι μαλαχθεὶς ἐκεῖνος, καὶ πίστεις λαβὼν ὡς οὐδὲν ὑποστήσεται φλαῦρον, κατατίθεται τὰ ὅπλα καὶ τῷ βασιλεῖ B σπένδεται, κουροπαλάτης τιμηθείς. οὐ μέντοι γε καὶ ὀφθαλμοῖς τὸν βασιλέα θεάσασθαι ἠξιώθη· κατὰ γὰρ τὴν ὁδὸν ἀορασίᾳ

17 χριστιανῶν C

urbem advectos per medium forum in triumpho duxit, asinis impositos. solum in hac re eximium habuit Leonem Melissenum. is enim fertur, cum iam acies instruerentur, Theognostum fratrem suum subsannantem et turpibus maledictis insectantem imperatores lacrimans graviter obiurgasse, et linguae ista petulantia abstinere iussisse, neque ita impudenter dominis suis conviciari; cumque is non obtemperaret, seiromasta intentato aliquot ei plagas imposuisse. atque ipsum imperatorem haec spectantem praesentibus dixisse "videtisne ex eodem ligno crucem et ventilabrum?" et hanc fuisse causam cur Leonem in triumpho non duceret.

Enimvero Phoca Aprili mense mortuo, indictione secunda, anno ab origine rerum 6497, eiusque rebellione compressa, Durus libertatem consecutus se ipsum recollegit, et pristinum conatum persequi coepit. quod ubi rescivit imperator, per literas eum hortatur ut tandem Christiani sanguinis fundendi finem faciat homo et in iudicio vitae gestae rationem redditurus. vel sero intelligat quid expediat, et magistratum sibi divinitus praelatum agnoscat. his literis Durus emollitus, cum ei fide publica de impunitate cautum esset ac securitate, et curopalatae dignitas in ipsum collata, cum imperatore in gratiam rediit. non tamen dignatus eum deus est ut oculis suis imperatorem intueretur: nam in

πληγεὶς τὴν ὁρατικὴν ἀπέβαλεν αἴσθησιν καὶ τυφλὸς εἰσήχθη πρὸς
βασιλέα. ὃν χειραγωγούμενον ἐκεῖνος θεασάμενός φησι πρὸς
τοὺς παρόντας "ὃν ἐφοβούμην καὶ ἔτρεμον, χειραγωγούμενος
ἔρχεται."

Ἀπολυθεὶς δὲ τῶν ἐμφυλίων πολέμων καὶ φροντίδων ὁ βα-
σιλεύς, πῶς ἂν διάθηται τὰ κατὰ τὸν Σαμουὴλ ἐσκόπει καὶ τοὺς
λοιποὺς τοπάρχας, οἵτινες ταῖς ἀποστασίαις ἐνασχολουμένου ἄδειαν
εἰληφότες οὐ μικρὰ τὰς τῶν Ῥωμαίων ἐπικρατείας ἐλύπησαν.
ἔξεισιν οὖν εἰς τἀπὶ Θρᾴκης καὶ Μακεδονίας χωρία, καὶ κάτεισιν
εἰς Θεσσαλονίκην, ἀποδώσων τὰ εὐχαριστήρια τῷ μεγαλομάρτυρι C
Δημητρίῳ· ἐκεῖσέ τε Γρηγόριον μάγιστρον τὸν Ταρωνίτην ἄρχειν
λιπών, δοὺς αὐτῷ καὶ στρατὸν ἀξιόμαχον ἐφ' ᾧ εἴργειν καὶ ἀνα-
κόπτειν τὰς ἐπιδρομὰς τοῦ Σαμουήλ, αὐτὸς ὑποστρέψας κἂν τῇ
βασιλίδι γενόμενος ἄνεισιν εἰς Ἰβηρίαν· ἤδη γὰρ καὶ ὁ κουροπα-
λάτης ἐτεθνήκει Δαβίδ, κληρονόμον τῶν αὐτῷ προσηκόντων γρά-
ψας τὸν βασιλέα. ἐκεῖσε δὲ γενόμενος, καὶ τὴν δοθεῖσαν αὐτῷ
κληρονομίαν καταστησάμενος, καὶ τὸν τοῦ κουροπαλάτου Δαβὶδ
Γεώργιον τὸν τῆς ἐνδοτέρω Ἰβηρίας ἄρχοντα τοῖς οἰκείοις ἀρκεῖ-
σθαι πείσας καὶ μὴ ἐπιβαίνειν τοῖς ἀλλοτρίοις, σπεισάμενός τε
αὐτῷ καὶ ὅμηρον εἰληφὼς τὸν τούτου υἱόν, ἄπεισιν εἰς Φοινίκην,
ἔχων μεθ' ἑαυτοῦ καὶ τοὺς ἐν τῇ κατ' αὐτὸν Ἰβηρίᾳ κατὰ γένος D
πρωτεύοντας, ὧν ἦσαν κορυφαῖοι ὁ Πακουριάνος καὶ Φεβδάτος
καὶ Φέρσης οἱ αὐτάδελφοι, οὓς καὶ εἰς τὸν τῶν πατρικίων ἀνεβί-

10 μάρτυρι C

itinere visus sensum amisit, caecusque ad Basilium est introductus. et is conspecto Duro dixisse fertur adstantibus "quem ita metuebam ut contremiscerem, is aliorum manibus deductus venit."

Civilium bellorum mole ac curis liberatus imperator de ulciscendo Samuelo aliisque regulis consilia iniit; qui ipso rebellionibus occupato licentiam nacti haud exigua damna Romano imperio intulerant. exit ergo in Thraciam et Macedoniam, et Thessalonicam descendit, gratias actum magno martyri Demetrio. tum magistrum Gregorium Taronitam ibi cum valido praesidio relinquit ad reprimendas Samueli grassationes. ipse Cpolin reversus inde in Iberiam proficiscitur: nam eius regionis curopalates Davidus moriens imperatorem suarum possessionum heredem scripserat. eo igitur profectus, constituta hereditate, et Georgio Davidi fratre eo adducto ut is se interiore Iberia contentum fore neque aliena invasurum promitteret, icto foedere cum eo et accepto eius filio obside, in Phoeniciam pergit, secum ducens etiam suae Phoeniciae genere nobilissimos; quorum primarii erant Pacurianus, Phebdatus et Pherses fratres germani, quos etiam patricio honore decoravit. post-

βασι θῶκον. ἐν Φοινίκῃ δὲ γενόμενος, καὶ τὸν Τριπόλεως ἀμηρᾶν καὶ τὸν Δαμασκοῦ καὶ Τύρου καὶ Βηρύτου (οὗτοι γὰρ πρὸ ὀλίγου ὁμονοήσαντες καὶ ὅπλα κατὰ τῆς Ἀντιοχείας κινήσαντες, τοῦ βασιλέως τῷ πρὸς τὸν Φωκᾶν πολέμῳ σχολάζοντος, Δαμιανόν τε τὸν πατρίκιον ὃς ἦρχεν Ἀντιοχείας πολέμῳ συμβαλόντα τούτοις ἀνεῖλον καὶ κίνδυνον οὐ μικρὸν τῇ πόλει ἐπέσειον) ὡς ἐνῆν P 702 ἀσφαλισάμενος μένειν τῇ δουλώσει Ῥωμαίων, καὶ ὅμηρα λαβὼν ἐπαναζευγνύει πρὸς τὸ Βυζάντιον.

Διιόντα δὲ τοῦτον ἐκ Καππαδοκίας Εὐστάθιος μάγιστρος ὁ Μαλεῖνος ἐν τοῖς οἰκείοις ὑπεδέξατο πανστρατί, πᾶσαν αὐτῷ τε καὶ τῷ στρατεύματι ἀφθόνως παρεσχηκὼς χορηγίαν· ὃν ὡς τάχα ἀποδεξάμενος καὶ ἐπαινέσας καὶ μετ' αὐτοῦ προσλαβόμενος εἰς τὴν βασιλίδα ἔκτοτε ὑποστρέψαι οὐ συνεχώρησεν, ἀλλὰ χορηγῶν αὐτῷ δαψιλῶς τὰ πρὸς τὴν χρείαν καὶ ὥσπερ τι θηρίον τρέφων ἔν τινι σηκῷ κατεῖχεν, ἕως αὐτὸν καὶ τὸ πέρας τοῦ βίου κατέλαβε. τού- B του δὲ ἀποθανόντος ἡ κτῆσις αὐτοῦ πᾶσα δεδημοσίευτο. ἔγραψε δὲ καὶ νόμον ὁ βασιλεὺς εἴργοντα τοὺς δυνατοὺς ἐν ὁμάδι χωρίων αὐξάνεσθαι. τοῦτο δὲ καὶ πρὸ αὐτοῦ Κωνσταντῖνος ὁ πορφυρογέννητος, ὁ πατροπάτωρ τοῦ βασιλέως, καὶ Ῥωμανὸς ὁ ἐκείνου πενθερὸς ἐποιήσαντο.

Νικολάου δὲ τοῦ Χρυσοβέργη ἐπὶ χρόνους ιβ' καὶ μῆνας η' τὴν ἐκκλησίαν ἰθύναντος καὶ καταλύσαντος τὴν ζωήν, χειροτονεῖται Σισίνιος μάγιστρος, ἀνὴρ ἐλλόγιμος καὶ ἰατρικῆς τέχνης ἥκων

1 τριπολίτην C   16 κτίσις C

quam in Phoeniciam ventum est, Tripolis Damasci Tyri Berytique ameras (nam hi paulo ante ipso civili contra Phocam bello detento, inito foedere contra Antiocheam arma tulerant, et Damianum patricium eius urbis praefectum pugna congressum interfecerant, urbique haud exiguum periculum obiecerant) coegit Romanis parere. et quantum eius fieri poterat rebus istis in tutum redactis, acceptis etiam obsidibus, redit Byzantium.

In reditu eum per Cappadociam iter facientem magister Eustathius Maleinus hospitio excepit cum universo exercitu, omniaque abunde suppeditavit. quod officium se probare simulans imperator secum eum Cpolin abduxit, neque inde domum unquam reverti passus est, sed in urbe omnia copiosissime suppeditans, veluti feram in cavea alens, ad mortem eius usque detinuit. mortui omnia bona publicata sunt. lege etiam sanxit ne potentiores multiplicandis praediis augescerent, quanquam eadem etiam ab avo eius Constantino huiusque socero Romano lata fuit.

Nicolao Chrysobergio post administratum per annos duodecim cum besse patriarchatum vita functo substituitur Sisinnius magister, vir in-

εἰς τὸ ἀκρότατον, ἐν ἔτει ,ςφγʹ, ἰνδικτιῶνος ηʹ· ὅστις καὶ τοὺς διακρινομένους ἥνωσε διὰ τὴν τετραγαμίαν. καὶ οὗτος ἐπὶ τρεῖς μόνους ἐνιαυτοὺς τὴν ἐκκλησίαν ποιμάνας ἐξέστη τῆς ζωῆς, καὶ προεβλήθη Σέργιος ἡγούμενος ὢν τῆς μονῆς τοῦ Μανουὴλ καὶ τὸ C γένος ἀναφέρων πρὸς Φώτιον τὸν πατριάρχην.

Τοῦ δὲ Σαμουὴλ ἐκστρατεύσαντος κατὰ Θεσσαλονίκης, καὶ τὸ μὲν ἄλλο πλῆθος εἰς λόχους καὶ ἐνέδρας διαμερίσαντος, ὀλίγους δέ τινας εἰς ἐκδρομὴν ἄχρι Θεσσαλονίκης αὐτῆς πεπομφότος, ἐπιγνοὺς τὴν ἔφοδον ὁ δοὺξ Γρηγόριος τὸν μὲν οἰκεῖον υἱὸν Ἀσώτην ἔπεμψεν ἰδεῖν καὶ κατασκοπῆσαι τὸ πλῆθος καὶ αὐτῷ γνῶσιν δοῦναι, αὐτὸς δὲ ὄπισθεν εἵπετο. ὁ δὲ ἐξελθὼν καὶ τοῖς προδρόμοις συμπλακεὶς καὶ τρεψάμενος ἔλαθεν εἰς μέσους τοὺς λόχους περιληφθείς. τοῦτο ὡς ὁ Γρηγόριος ἔμαθεν, ἐβοήθει διὰ ταχέων τὸν D παῖδα τῆς αἰχμαλωσίας γλιχόμενος ἐκλυτρώσασθαι· ἀλλὰ καὶ αὐτὸς κυκλωθεὶς ὑπὸ τῶν Βουλγάρων καὶ γενναίως καὶ ἡρωϊκῶς ἀγωνισάμενος ἔπεσεν. ἀγγελθείσης δὲ τῷ βασιλεῖ τῆς τοῦ δουκὸς ἀναιρέσεως πέμπεται πάσης δύσεως ἄρχων ὁ μάγιστρος Νικηφόρος ὁ Οὐρανός· ἔφθασε γὰρ καὶ οὗτος τὴν ἐκ Βαβυλῶνος φυγὴν ὠνησάμενος καὶ τὴν βασιλίδα καταλαβών. ὅστις ἐν Θεσσαλονίκῃ γενόμενος, ἐπεὶ ἔγνω τὸν Σαμουὴλ τῇ τοῦ δουκὸς Γρηγορίου τοῦ Ταρωνίτου σφαγῇ καὶ τῇ ἁλώσει τοῦ υἱοῦ αὐτοῦ ἐπαιρόμενον, καὶ διὰ τοῦτο τά τε Θετταλικὰ διαβάντα τέμπη καὶ τὸν Πηνειὸν περαιωσάμενον ποταμόν, Θετταλίαν τε καὶ Βοιωτίαν καὶ Ἀττικὴν

9 ἀσώτιον C

signis et medicae artis peritissimus, anno mundi supra sexies millesimum 503, indictione octava. is discidium propter quartas nuptias dudum ortum sustulit, concordia facta. cumque tres tantum annos ecclesiae praefuisset, vitam cum morte commutavit. ei suffectus est Sergius Manuelici monasterii praesul, genus a Photio patriarcha ducens.

Hoc maxime tempore Samuelus moto in Thessalonicam bello, copiis suis in insidias distributis, paucos quosdam excursionem usque ad eam urbem facere iubet. quod ut sensit praefectus Gregorius, Asoten filium suum mittit, qui exploraret hostium multitudinem et sibi indicaret. is in emissarios eos incidens, fusos insecutus, imprudens in medias incidit insidias. Gregorius re cognita illico ad ferendum auxilium festinat, ut filium hostium manibus eriperet. sed et ipse a Bulgaris circumventus fortiter pugnans interficitur. hac ducis clade intellecta mittitur totius Occidentis praefectus magister Nicephorus Uranus: nam et hic pretio dato Babylone Cpolin profugerat. is ut Thessalonicam pervenit, certior fit Samuelum animo elatum, quod ducem Gregorium Taronitam interfecisset filiumque eius cepisset, Thessalica iam Tempe transgressum et Peneum amnem transmisisse, et in Thessaliam Boeotiam atque Atti-

εἰσβαλόντα τε καὶ ἐν Πελοποννήσῳ διὰ τοῦ ἐν Κορίνθῳ ἰσθμοῦ, P 703 καὶ πάντα ταῦτα δῃοῦντα καὶ ληϊζόμενον, ἄρας καὶ αὐτὸς μετὰ τῶν περὶ αὐτὸν στρατευμάτων καὶ τὰς ὑπωρείας διελθὼν τοῦ Ὀλύμπου καὶ ἐν Λαρίσσῃ γενόμενος, κἀκεῖσε λιπὼν τὴν ἀποσκευὴν καὶ εὔζωνον λαβὼν τὸν στρατόν, τὴν Θετταλίαν ὁδοιπορίᾳ συντόνῳ διελθὼν καὶ τὸ τῆς Φαρσαλίας πεδίον καὶ τὸν Ἀπιδανὸν διαβὰς ποταμόν, κατὰ τὸ χεῖλος τοῦ Σπερχειοῦ ποταμοῦ πήγνυσι τὴν στρατοπεδείαν, εἰς τὴν περαίαν καὶ αὐτοῦ τοῦ Σαμουὴλ αὐλιζομένου· ὄμβρων γὰρ ἀπλέτων ὑσθέντων ἐξ οὐρανοῦ, καὶ τοῦ ποταμοῦ πλημμυροῦντος καὶ πελαγίζοντος, ἀπέγνωστο τὸ νῦν ἔχον ἡ συμπλοκή. ἀλλ' ὁ μάγιστρος ἄνω καὶ κάτω τὸν ποταμὸν περισκοπήσας, B καί τινα τόπον εὑρὼν δι' οὗ ᾠήθη δυνατὸν ἔσεσθαι τούτῳ περαιωθῆναι, ἀγείρας νυκτὸς τὸν στρατὸν περαιοῦται τὸν ποταμὸν καὶ τοῖς περὶ τὸν Σαμουὴλ ἀμερίμνως καθεύδουσιν ἐπιτίθεται· καὶ σφάζονται μὲν ἀριθμοῦ κρείττους, μηδενὸς πρὸς ἀλκὴν ἀπιδεῖν τολμήσαντος, ἐπλήγη δὲ καὶ αὐτὸς ὁ Σαμουὴλ καὶ ὁ τούτου υἱὸς ὁ Ῥωμανὸς βαθείαις πληγαῖς. καὶ ἑάλωσαν ἄν, εἰ μὴ τοῖς νεκροῖς συμμίξαντες ἑαυτοὺς ἔκειντο ὡς τεθνεῶτες, καὶ νυκτὸς ἐπιγενομένης ἔλαθον διαδράντες εἰς τὰ ὄρη τῶν Αἰτωλῶν, κἀκεῖθεν διὰ τῶν κορυφῶν τῶν τοιούτων ὀρέων διελθόντες τὸν Πίνδον διεσώθησαν ἐν Βουλγαρίᾳ. ὁ δὲ μάγιστρος τοὺς αἰχμαλώτους Ῥωμαίους C ἐλευθερώσας, σκυλεύσας δὲ καὶ τοὺς πεσόντας Βουλγάρους, διαρπάσας δὲ καὶ τὸ τῶν πολεμίων στρατόπεδον καὶ πλοῦτον ὅτι πλεῖστον περιβαλόμενος, σὺν τῇ στρατιᾷ ἐπανέζευξεν εἰς Θεσσαλονίκην.

2 καὶ πάντα — ληϊζ. om C   12 τρόπον C   17 κἂν ἑάλωσαν εἰ C

cam, et per Isthmum Corinthiacum etiam in Peloponnesum grassari. itaque et ipse suis cum copiis ad radices Olympi facto itinere Larissam venit; ibique impedimentis relictis Thessaliam magnis itineribus peragrat, campisque Pharsaliae et Apidano amne transmissis in ripa Spercheii amnis castra ponit, in opposita ripa Samuelo sua castra habente. ingentes imbres tum deciderant, et fluvius alveo turgente stagnabat: itaque eo quidem tempore praelium nullum sperabatur. sed Uranus sursum deorsumque tentato flumine vadum invenit; eaque intelligens se exercitum in oppositam ripam traducere posse, noctu cum suis amnem transit, Bulgarosque secure dormientes adoritur, innumerosque interficit, nemine se defendere auso. ipse quoque Samuelus et filius eius Romanus profunda acceperunt vulnera; fuissentque capti, nisi inter cadavera delituissent et nocte insequenti occulte in montes Aetolicos aufugissent, per quorum deinde cacumina ad Pindum montem atque hinc in Bulgariam evaserunt. Uranus interim Romanos captivos liberat, occisos Bulgaros spoliat, castra eorum diripit, ingentique parta praeda suos Thessalonicam reducit.

Ὁ Σαμουὴλ δὲ πρὸς τὰ οἰκεῖα ἀνασωθεὶς γαμβρὸν ἄγεται ἐπὶ τῇ αὐτοῦ θυγατρὶ Ἀσώτην τὸν τοῦ Ταρωνίτου υἱόν, τῶν δεσμῶν ἐλευθερώσας· πρὸς τοῦτον γὰρ ἡ παῖς ἐρωτικῶς διατεθεῖσα ἐξάξειν ἑαυτὴν ἠπείλει, εἰ μὴ νομίμως αὐτῷ συναφθείη. ἐκτελέσας δὲ τοὺς γάμους ἐκπέμπει μετ' αὐτῆς τοῦτον εἰς τὸ Δυρράχιον, ἐπὶ φυλακῇ τάχα τῆς χώρας· ὁ δὲ ἐκεῖσε γενόμενος καὶ D τῇ συζύγῳ κοινολογησάμενος καὶ πείσας φεύγει μετ' αὐτῆς εἰς τὰς ἐν τῷ τόπῳ φυλακῆς χάριν παραπλεούσας Ῥωμαϊκὰς τριήρεις, καὶ δι' αὐτῶν εἰς τὸν βασιλέα ἀνασώζεται, τιμηθεὶς μάγιστρος καὶ ἡ τούτου σύζυγος ζωστή. διεκόμισε δὲ οὗτος καὶ γράμματα δυνάστου τινός, ἑνὸς τῶν ἐν τῷ Δυρραχίῳ, Χρυσηλίου τοὔνομα, ὑπισχνουμένου παραδοῦναι τὴν τοῦ Δυρραχίου πόλιν τῷ βασιλεῖ, εἰ τιμηθείη αὐτός τε καὶ οἱ δύο υἱοὶ αὐτοῦ πατρίκιοι. γράμμασι δὲ τοῦ βασιλέως ἐπιτελεῖς τὰς ὑποσχέσεις ποιῆσαι βεβαιώσαντος, προεδόθη τὸ Δυρράχιον Εὐσταθίῳ πατρικίῳ τῷ Δαφνομήλῃ, καὶ οἱ τοῦ Χρυσηλίου υἱοὶ τετίμηντο πατρίκιοι, ἐκείνου φθάσαντος καταστρέψαι τὴν ζωήν.

Τούτῳ τῷ χρόνῳ Παῦλος μάγιστρος ὁ Βωβός, ἀνὴρ τῶν ἐν Θεσσαλονίκῃ τὰ πρῶτα, καὶ Μαλακηνὸς πρωτοσπαθάριος ἐπὶ P 704 συνέσει καὶ λόγῳ ἐμπρέπων, διαβληθέντες ὡς τὰ Βουλγάρων φρονοῦντες μετῳκίσθησαν, ὁ μὲν Παῦλος εἰς τὴν ἐν Θρᾳκησίῳ πεδιάδα, ὁ δὲ Μαλακηνὸς εἰς Βυζάντιον. τοῦτο παθεῖν φοβηθέντες καί τινες τῶν ἐκ τῆς Ἀδριανουπόλεως ἰλλούστριοι καὶ στρατη-

2 ἀσώτιον C 7 αὐτῶν C 13 τούτου υἱοὶ C γράμμασι — 16 πατρίκιοι add C 21 θρακήσῃ πεδιάδαν C

Samuelus domum reversus filiam suam Asotae Taronitae filio libertate reddita in matrimonium conlocat: nam eius amore puella correpta mortem se sibi conscituram minabatur, nisi eo marito potiretur. nuptiis confectis generum cum filia Dyrrachium mittit et regionis eius custodiae praeficit. verum Asotes eo profectus, uxore quoque in suam sententiam traducta, cum ea in Romanas triremes, quae finium tuendorum causa litus illud legebant, confugit; iisque ad imperatorem perfertur, ab eoque magistri ipse, uxor zostae honore afficitur. idem literas imperatori attulit a Chryselio, uno eorum quorum summa erat Dyrrachii potentia: is pro mercede stipulatus sibi et duobus suis filiis patricios honores, promittebat imperatori se urbem eam traditurum. cumque per literas imperator confirmasset se promissa omnino praestiturum, Dyrrachium Eustathio patricio Daphnomelae traditum est, et Chryselii filii patriciatus honore decorati sunt, illo morte praevento.

Sub idem tempus Paulus magister Bobus, vir Thessalonicae primarius, et Malaceinus protospatharius, prudentiae ac facundiae celebris, delati quod animis ad Bulgaros inclinarent, hic Byzantium, ille in Thracensem Pediadem translati sunt. idem ne sibi eveniret veriti quidam illustres Adrianopoli, et qui gestis erant clari magistratibus, quod in

γικαῖς ἀρχαῖς διαρρίψαντες διὰ τὸ ὑποπτεύεσθαι τῷ Σαμουὴλ προσερρύησαν, ὁ μὲν Βατάτζης πανοικί, μόνος δὲ Βασίλειος ὁ Γλαβᾶς· οὗ τὸν υἱὸν ὁ βασιλεὺς καθεῖρξε καὶ ἐπὶ τρεῖς ὅλους ἐνιαυτοὺς κατεῖχεν, εἶτα ἀπέλυσε. τότε καὶ τῷ ἄρχοντι Βενετίας γυναῖκα νόμιμον ἔδωκεν ὁ βασιλεὺς τὴν θυγατέρα τοῦ Ἀργυροῦ, B ἀδελφὴν δὲ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος, τὸ ἔθνος οὕτως ὑποποιούμενος. ἐποιήσατο δὲ καὶ εἰσβολὴν ἐν Βουλγαρίᾳ διὰ Φιλιππουπόλεως ὁ βασιλεύς, ταύτην φρουρεῖν τάξας τὸν πατρίκιον Θεοδωροκάνον. καὶ πολλὰ τῶν ἐν Τριαδίτζῃ φρουρίων καταστρεψάμενος ἐπανῆλθεν εἰς Μοσυνόπολιν.

Τῷ δὲ ,ςφη΄ ἔτει, ἰνδικτιῶνος ιγ΄, δύναμιν βαρεῖαν ἐκπέμψας ὁ βασιλεὺς κατὰ τῶν πέραν τοῦ Αἵμου Βουλγαρικῶν κάστρων, ἀρχηγοὺς ἔχουσαν τὸν πατρίκιον Θεοδωροκάνον καὶ Νικηφόρον πρωτοσπαθάριον τὸν Ξιφίαν, τήν τε μεγάλην εἷλε Περσθλάβαν καὶ τὴν μικρὰν καὶ τὴν Πλίσκοβαν, καὶ ἀσινὴς καὶ τροπαιοῦχος ἡ Ῥωμαϊκὴ ὑπενόστησε δύναμις.

C Τῷ δ' ἐπιόντι πάλιν ἔτει ἄπεισι κατὰ Βουλγάρων ὁ βασιλεὺς διὰ Θεσσαλονίκης, καὶ προσερρύη αὐτῷ Δοβρομηρὸς ὁ τῆς Βερροίας κατάρχων, παραδοὺς καὶ τὴν πόλιν τῷ βασιλεῖ καὶ ἀνθύπατος τιμηθείς. ὁ δὲ τὰ Σέρβια φυλάττων Νικόλαος, ὃν Νικολιτζᾶν ὑποκοριζόμενοι διὰ τὸ βραχὺ τῆς ἡλικίας ἐκάλουν, ἐκθύμως ἀντεῖχε καὶ τὴν ἐπενηνεγμένην αὐτῷ γεγηθότως ὑπέφερε πο-

1 διὰ] εἰς C 7 οὗτος C 10 μοσυνούπολιν C 11 τῆς ιδ΄ ἰνδ. C 12 τὴν P 13 ἀρχηγὸν C 17 βουλγαρίας C 18 δομρομηρὸς C

suspicionem et ipsi venissent, ad Samuelum sese contulerunt, Batatzes cum tota familia, Basilius Glabas solus. cuius filium imperator per integrum triennium in custodia detentum tandem dimisit. tunc etiam principi Venetiae imperator nuptum tradidit filiam Argyri, sororem eius Romani qui post imperio potitus est, hoc modo sibi gentem devinciens Venetam. per Philippopolin quoque impressionem in Bulgariam fecit, custodia huius urbis commissa patricio Theodorocano; multisque Triaditzae eversis castellis Mosynopolin redit.

Anno mundi 6508, indictione 13, gravem exercitum Basilius mittit adversus Bulgarica trans Aemum castra, ducibus patricio Theodorocano et Nicephoro protospathario Xiphia. capta ab his maior minorque Persthlaba atque Pliscoba, victorque domum rediit Romanus exercitus.

Insequenti anno rursum imperator in Bulgariam abit per Thessalonicam. ibi se urbemque Berrhoeam eius princeps Dobromerus dedit, et proconsulis afficitur honore. at qui Servia praesidio tenebat Nicolaus, quem diminutiva forma ob staturae brevitatem Nicolitzam vocabant, oppugnato ab imperatore castello fortiter ac alacriter resistebat, donec

λιορκίαν. φιλοτίμως δὲ τοῦ βασιλέως χρησαμένου αὐτῇ ἑάλω τὸ φρούριον καὶ αὐτὸς ὁ Νικολιτζᾶς· καὶ μετοικίσας ἐκεῖθεν τοὺς Βουλγάρους ὁ βασιλεὺς Ῥωμαίους φυλάττειν ἐπέστησε. καὶ ταῦτα δράσας ἐπάνεισι πρὸς τὴν βασιλίδα, ἐπαγόμενος μεθ' ἑαυτοῦ καὶ D τὸν Νικολιτζᾶν, ὃν καὶ πατρικιότητι ἐτίμησεν. ἀλλ' ἀβεβαίου γνώμης οὗτος τυχών, ἐκεῖθεν ἀποδράς, ἔλαθεν ἀνασωθεὶς πρὸς τὸν Σαμουήλ, καὶ μετ' αὐτοῦ ἐλθὼν ἐπολιόρκει τὰ Σέρβια. ἀλλὰ πάλιν ὁ βασιλεὺς ὀξὺς ἐπιφανεὶς τὴν τῆς πόλεως ἔλυσε πολιορκίαν, δρασμῷ χρησαμένου τοῦ Νικολιτζᾶ σὺν τῷ Σαμουήλ. ἀλλ' οὐκ εἰς τέλος διέδρα ὁ ἄπιστος· λόχῳ γάρ τινι Ῥωμαϊκῷ περιπεσὼν συνελήφθη, καὶ πρὸς τὸν βασιλέα δέσμιος ἀχθεὶς εἰς φυλακὴν ἐνεβλήθη ἐν Κωνσταντινουπόλει πεμφθείς. ὁ δὲ βασιλεὺς ἐλθὼν εἰς Θετταλίαν τὰ ἐν αὐτῇ φρούρια ἤδη παρὰ τοῦ Σαμουὴλ κατασκαφέντα ἀνωρθώσατο, καὶ τὰ παρὰ τῶν Βουλγάρων κατεχόμενα ἐκπολιορκήσας τοὺς μὲν Βουλγάρους ἐς τὸν λεγόμενον μετῴκισε P 705 Βολερόν, φρουρὰν δὲ ἐν πᾶσι καταλιπὼν ἀξιόμαχον ἐπανῆλθεν εἰς τὰ λεγόμενα Βοδηνά· φρούριον δὲ τὰ Βοδηνὰ ἐπὶ πέτρας ἀποτόμου κείμενον, δι' ἧς καταρρεῖ τὸ τῆς λίμνης τοῦ Ὀστροβοῦ ὕδωρ, ὑπὸ γῆς κάτωθεν ῥέον ἀφανῶς κἀκεῖσε πάλιν ὑποδυόμενον. καὶ ἐπεὶ μὴ ἑκουσίως παρεδίδοσαν ἑαυτοὺς οἱ ἔνδον, πολιορκίᾳ τοῦτο κατέσχε. καὶ τούτους ὁμοίως εἰς τὸν Βολερὸν ἀποικίσας, φρουρᾷ δὲ τοῦτο ὀχυρωσάμενος ἀξιολόγῳ, ἐπάνεισιν εἰς Θεσσαλονίκην.

Ὁ δὲ τοῦ φρουρίου κατάρχων Δραξάνος, ἀνὴρ πολεμιστής,

10 διέδρασεν C 24 δραξάνης C

ab imperatore vi castello expugnato simul et ipse in eius potestatem venit. id castellum, translatis alio Bulgaris, imperator Romano munit praesidio; ac inde Cpolin redit, eo etiam Nicolitza abducto ac patricii honore ornato. verum Nicolitzas homo inconstans urbe profugit, furtimque ad Samuelum elapsus cum eo Servia oppugnat. quam obsidionem celeriter superveniens imperator facile discussit, Nicolao et Samuelo diffugientibus. et Nicolitza a quodam Romanorum manipulo, in quem inciderat, captus et in vinculis adductus, Cpolin missus in carcerem coniicitur. inde in Thessaliam profectus imperator castella a Samuelo diruta reficit, quae a Bulgaris tenebantur expugnat, Bulgarosque Bolerum (loci hoc nomen) transfert. omnibusque castellis praesidio munitis ad Bodena pervenit. Bodena castellum est saxo praerupto impositum, per quod saxum aqua paludis Ostrobi occulte infra terram defluit, indeque rursum emergit. cumque deditio non fieret, vi expugnat, Bulgaricum praesidium Bolerum deportat, et castello praesidio valido imposito Thessalonicam abit.

Qui praefuerat ei castello Draxanus, vir bellicosus, ab imperatore

B ᾐτήσατο κατὰ τὴν Θεσσαλονίκην οἰκῆσαι. ἐπινεύσαντος δὲ τοῦ βασιλέως ἡρμόσατο γυναῖκα τὴν θυγατέρα τοῦ πρώτου τῶν περιβαταρίων τοῦ ναοῦ τοῦ ἀθλοφόρου Δημητρίου, καὶ παῖδας ἐξ αὐτῆς ἔσχε δύο. εἶτα ἀποδρὰς ἑάλω, καὶ ἐντεύξει τοῦ κηδεστοῦ συνεχωρήθη. καὶ δεύτερον ἀποδρὰς ὁμοίως ἀφείθη. καὶ ἕτερα δὲ τέκνα δύο ποιήσας τὸ τρίτον ἀπέδρα, καὶ συλληφθεὶς ἀνεσκολοπίσθη.

Τῶν δὲ Νουμεριτῶν καὶ Ἀταφιτῶν Ἀράβων δεινῶς τήν τε κοίλην Συρίαν καὶ αὐτὴν κατατρεχόντων τὴν Ἀντιόχειαν, τὸν μάγιστρον Νικηφόρον τὸν Οὐρανὸν ὁ βασιλεὺς ἄρχοντα Ἀντιοχείας C ἐκπέμπει, διάδοχον αὐτοῦ τῆς Θεσσαλονίκης πεποιηκὼς τὸν πατρίκιον Δαβὶδ τὸν Ἀριανίτην. ἐν δὲ Φιλιππουπόλει τὸν πρωτοσπαθάριον Νικηφόρον τὸν Ξιφίαν στρατηγεῖν ἔταξε, τοῦ Θεοδωροκάνου διὰ γῆρας παραιτησαμένου. ὁ δὲ μάγιστρος Νικηφόρος ὁ Οὐρανὸς ἐν Ἀντιοχείᾳ γενόμενος καὶ δυσὶ καὶ τρισὶ μάχαις συμπλακεὶς Κιστρινήτῃ τῷ τῶν Ἀράβων στρατηγῷ καὶ τρεψάμενος ἔπεισεν ἡσυχίαν ἄγειν, καὶ τὰ πράγματα εἰς βαθεῖαν εἰρήνην καὶ γαληνιῶσαν μετήγαγεν.

Ὁ δὲ βασιλεὺς κατὰ τὸ ἐπιὸν ἔτος ἰνδικτιῶνος ιε' ἐκστρατεύει κατὰ Βιδύνης, καὶ ἐφ' ὅλους ὀκτὼ μῆνας ἐμφιλοχωρήσας D τῇ προσεδρείᾳ αἱρεῖ κατὰ κράτος τὴν πόλιν. ἐν ᾧ δὲ τῇ πολιορκίᾳ οὗτος προσήδρευεν, ὁ Σαμουὴλ εὐζώνῳ χρησάμενος ὁδοιπορίᾳ ἐπιτίθεται ἐξ ἐφόδου τῇ Ἀδριανουπόλει κατ' αὐτὴν τὴν ἡμέραν τῆς

2 πρεσβυτέρων C 13 θεοδωρουκάνου C 16 κιτρινίτῃ C

impetrat ut Thessalonicae sibi liceret degere; ibique uxorem ducit filiam primi peribatariorum aedis martyris Demetrii. cumque bis ea maritum patrem fecisset, ipse profugit. deprehensus socero intercedente veniam impetravit. et cum denuo profugisset, rursum est eodem modo dimissus. aliis autem duobus liberis procreatis, tertium ut profugit, captus inque palum suffixus est.

Interim Numeritae et Ataphitae Arabes cum Coelesyriam ipsamque etiam Africam graviter vexarent incursionibus, magistrum Nicephorum Uranum imperator praetorem Antiocheae mittit, succedere ei in praeturam Thessalonices iusso patricio Davido Arianita. et Philippopolis praeturam ob gravem aetatem resignante Theodoro cano, eam Nicephoro protospathario Xiphiae mandat. Uranus ut Antiocheam venit, duobus aut tribus praeliis Cistrinitam Arabum ducem contudit, facileque persuasit ut is porro quiesceret, omniaque reddidit pacatissima.

Anno insequenti, indictione decima quinta, Bidynam urbem obsidet, et octo menses oppugnatione tracta, eam vi capit. dum haec agit imperator, Samuelus expeditos ducens Adrianopolitanos obiter adoritur,

κοιμήσεως τῆς ὑπεραγίου θεοτόκου, καὶ τήν τε πανήγυριν, ἥτις εἰώθει ἐτησίως τελεῖσθαι δημοτελής, αἱρεῖ ἐξαίφνης ἐπιπεσών, καὶ λείαν πολλὴν ὑπερποιησάμενος ὑπέστρεψεν εἰς τὰ ἴδια. ὁ δὲ βασιλεὺς τὴν Βιδύνην μάλα καλῶς ὀχυρωσάμενος ἐπανῆλθεν ἀσινὴς εἰς τὴν βασιλίδα, ἐν τῷ διιέναι πάντα τὰ ἐν ποσὶ Βουλγαρικὰ φρούρια δῃῶν καὶ καταστρεφόμενος. τῇ πόλει δὲ τῶν Σκοπίων ἐγγίσας εὗρε πέραν Ἀξιοῦ τοῦ ποταμοῦ, ὃν νῦν Βαρδάριον ὀνομάζουσι, κατεσκηνωμένον ἀμερίμνως τὸν Σαμουήλ· θαρρῶν γὰρ τῇ πλημμύρᾳ τοῦ ποταμοῦ. καὶ ὡς οὐ διαβατὸν τὸ νῦν ἔχον ἔσεσθαι, ηὐλίζετο ἀμελῶς. τινὸς δὲ τῶν στρατιωτῶν πόρον εὑρόντος P 706 καὶ δι' αὐτοῦ τὸν βασιλέα διαβιβάσαντος, ὁ μὲν Σαμουὴλ τῷ αἰφνιδίῳ καταπλαγεὶς ἔφυγεν ἀμεταστρεπτί, ἐλήφθη δ' ἡ τούτου σκηνὴ καὶ τὸ ὅλον στρατόπεδον. ἐνεχείρισε δὲ καὶ τὴν πόλιν τῶν Σκοπίων τῷ βασιλεῖ ὁ ταύτης ἄρχειν παρὰ τοῦ Σαμουὴλ τεταγμένος Ῥωμανός, ὁ Πέτρου μὲν τοῦ βασιλέως τῶν Βουλγάρων υἱὸς τοῦ δὲ Βορίσου ἀδελφός, Συμεὼν τῷ τοῦ πάππου ὀνόματι μετονομασθείς· ὃν ὁ βασιλεὺς ἀποδεξάμενος τῆς προαιρέσεως πατρίκιόν τε τιμᾷ καὶ πραιπόσιτον, καὶ στρατηγεῖν ἐκπέμπει Ἀβύδου.

Ἐκεῖθεν ὁ βασιλεὺς διαβὰς ἔρχεται πρὸς τὸν Πέρνικον, οὗ φύλαξ ἦν ὁ Κρακρᾶς, ἀνὴρ ἄριστος τὰ πολεμικά. ἐν ᾧ χρόνον B οὐκ ὀλίγον διατρίψας καὶ λαὸν ἐν τῇ πολιορκίᾳ οὐκ ὀλίγον ἀποβαλών, ὡς ἔγνω κρεῖττον ὑπάρχον πολιορκίας τὸ ἔρυμα, καὶ οὐδ' ὁ Κρακρᾶς θωπείαις ἢ ἄλλαις ὑποσχέσεσιν ἐμαλάσσετο καὶ ἐπαγγε-

1 ὑπεραγίας C   8 κατεσκηνημένον C   14 ὁ om C   ταύτην C
16 βορίσση C   20 κρακαῖ C

die assumptioni deiparae festo, quo publica tum de more peragebatur solemnitas. subito igitur irruens magna parta praeda discedit. imperator Bidyna diligentissime communita in urbem incolumis reditum instituit, obiter omnia Bulgarica castella vastans atque subigens. sed cum ad urbem Scopias accederet, deprehendit trans Axium flumen (nunc Bardarius appellabatur) Samuelum negligenter castra habere. hic enim fretus amnis abundantia, et eum ob aquarum insolentem affluxum transiri non posse ratus, securus erat. at imperator per vadum a quodam suorum inventum copias traducit. itaque re insperata consternatus Samuelus ita effuse fugit cum suis, ut nemo eorum hosti pectus unquam ostenderet. ipsius tabernaculum totaque castra capta. sed et urbem Scopias imperatori tradidit ei a Samuelo praefectus Romanus, Petri Bulgarorum regis filius, Borisae frater, Simeon etiam avi nomine appellatus. quem eius officii causa imperator patricium praepositumque designat, Abydoque praeficit.

Inde imperator ad Pernicum ducit, quod tuebatur Cracras, vir bello optimus. ibi cum haud parum temporis trivisset et in oppugnatione multos amisisset, cum et castellum inexpugnabile sentiret, et Cracram

λίαις, μετέβη πρὸς Φιλιππούπολιν. ἐκεῖθέν τε ἀπάρας ἄπεισιν εἰς Κωνσταντινούπολιν.

Καὶ τῇ αὐτῇ ἐπινεμήσει δόγμα ἐξέθετο, τὰς τῶν ἀπολωλότων ταπεινῶν συντελείας τελεῖσθαι παρὰ τῶν δυνατῶν. κατωνομάσθη δὲ ἡ τοιαύτη σύνταξις ἀλληλέγγυον. τοῦ πατριάρχου δὲ Σεργίου καὶ πολλῶν ἀρχιερέων καὶ ἀσκητῶν ἀνδρῶν οὐκ ὀλίγων C δεηθέντων ἐκκοπῆναι τὸ παράλογον ἄχθος τουτί, ὁ βασιλεὺς οὐχ ὑπήκουσεν.

Ὀγδόῃ δὲ ἰνδικτιῶνι, ἐν ἔτει ,ϛφιη', ὁ τῆς Αἰγύπτου κατάρχων Ἀζίζιος διὰ μικρᾶς αἰτίας καὶ μηδενὸς λόγου προσκρούματα ἄξια τὰς πρὸς Ῥωμαίους λύσας σπονδάς τόν τε ἐν Ἱεροσολύμοις ἐν τῷ τάφῳ τοῦ σωτῆρος Χριστοῦ ἀνεγηγερμένον πολυτελῶς θεῖον ναὸν κατεστρέψατο, καὶ τὰ εὐαγῆ ἐλυμήνατο μοναστήρια, καὶ τοὺς ἐν τούτοις ἀσκουμένους ἁπανταχοῦ γῆς ἐφυγάδευσε.

Τῷ δ' ἐπιόντι ἔτει γέγονε χειμὼν ἐπαχθέστατος, ὡς ἀποκρυσταλλωθῆναι πάντα ποταμὸν καὶ λίμνην καὶ αὐτὴν τὴν θάλασσαν. καὶ Ἰανουαρίῳ μηνὶ τῆς αὐτῆς ἐπινεμήσεως γέγονε σεισμὸς D φρικωδέστατος, καὶ διεκράτησε κλονουμένη ἡ γῆ μέχρι τῆς θ' τοῦ Μαρτίου μηνός· ἐν ταύτῃ δὲ περὶ δεκάτην ὥραν τῆς ἡμέρας γέγονε βρασμὸς καὶ κλόνος φρικτὸς κατά τε τὴν βασιλίδα καὶ ἐν τοῖς θέμασι, καὶ πεπτώκασιν αἱ σφαῖραι τοῦ ναοῦ τῶν ἁγίων τεσσαράκοντα καὶ τῶν ἁγίων πάντων· ἃς ὁ βασιλεὺς εὐθὺς ἀνεκτήσατο. ταῦτα δὲ προεμήνυε τὴν μετὰ ταῦτα γενομένην ἐν Ἰτα-

16 πάντα τὸν π. C

neque blandiendo neque pollicitationibus subigere posset, ad Philippopolin transit, indeque in urbem revertitur.

Eadem indictione legem tulit ut pensionem quam pauperes perditi debebant, divites persolverent. id vocabatur Allelengyum. et patriarchae Sergio multisque aliis pontificibus ac monachis deprecantibus ut absurdum hoc onus subditis demeret, non obtemperavit.

Indictione octava, anno mundi 6518, Aegypti princeps Azizius ob levem causam et offensas ne relatu quidem dignas foedere quod ei cum Romanis erat rupto, et templum Hierosolymis ad sepulchrum Christi sumptuosissime conditum evertit, et religiosa perdidit monasteria, et qui in iis piae vitae exercitationibus erant dediti, eos per omnes terras extorres egit.

Anno insequenti hiems fuit gravissima, quae omnes fluvios paludes ipsumque mare in glaciem coegit. mense Ianuario eiusdem indictionis apprime horrendus fuit terrae motus, qui duravit usque ad nonum Martii diem. eius enim diei hora decima fragor fuit et concussio terribilis et in urbe et in provinciis; ac corruerunt sphaerae templi sanctorum et templi omnium sanctorum. quas imperator statim instauravit. haec fuerunt Italici motus praevia indicia. quidam enim vir potens, unus de

λίᾳ στάσιν. δυνάστης γάρ τις τῶν ἐποίκων τῆς Βάρεως, τοὔνομα Μέλης, παραθήξας τὸν ἐν Λογγιβαρδίᾳ λαὸν ὅπλα κατὰ Ῥωμαίων αἴρει. καὶ ὁ βασιλεὺς Βασίλειον ἐκπέμπει τὸν Ἀργυρὸν στρατηγὸν ὄντα τῆς Σάμου, καὶ τὸν λεγόμενον Κοντολέοντα τῆς Κεφαληνίας στρατηγοῦντα, ἐπὶ τῷ καταστῆσαι Ῥωμαίοις τὰ πράγματα· οἷς ἀντιπαραταξάμενος ὁ Μέλης τρέπει λαμπρῶς, P 707 πολλῶν πεπτωκότων, οὐκ ὀλίγων δὲ καὶ ζωγρηθέντων, τῶν δὲ λοιπῶν τὴν διὰ φυγῆς ἀσχήμονα προκρινάντων ζωήν.

Ὁ δὲ βασιλεὺς οὐ διέλιπε καθ' ἕκαστον ἐνιαυτὸν εἰσιὼν ἐν Βουλγαρίᾳ καὶ τὰ ἐν ποσὶ κείρων τε καὶ δῃῶν. ὁ Σαμουὴλ δὲ μὴ δυνάμενος τῶν ὑπαίθρων ἀντιποιεῖσθαι μηδὲ πρὸς ἐμφανῆ μάχην ἀντιστῆναι τῷ βασιλεῖ, ἀλλὰ πάντοθεν θραυόμενος καὶ τὴν οἰκείαν ἀκμὴν ἀποβάλλων, ἔγνω τάφροις καὶ θριγγοῖς ἐπιτειχίσαι τούτῳ τὴν εἰς τὴν Βουλγαρίαν εἴσοδον. εἰδὼς οὖν ὡς ἔθος ἀεὶ τῷ βασιλεῖ διὰ τοῦ λεγομένου Κίμβα Λόγγου καὶ τοῦ Κλειδίου ποιεῖσθαι τὰς διελεύσεις, ταύτην ἔγνω τὴν δυσχωρίαν ἐπιτειχίσαι καὶ B τῷ βασιλεῖ ἀποκλεῖσαι τὴν εἴσοδον. φραγμὸν οὖν δομησάμενος εἰς εὖρος πολύ, καὶ φύλακας ἐν αὐτῷ ἀξιοπρεπεῖς ἐπιστήσας, προσέμενε τὸν βασιλέα. ἀφικομένου δὲ καὶ τούτου καὶ ἀποπειρασαμένου τῆς εἰσόδου, ἐπείπερ ἀντεῖχον γενναίως οἱ φυλάσσοντες καὶ τοὺς βιαζομένους ἐξ ὑπερδεξίων ἀνῄρουν βάλλοντες καὶ τιτρώσκοντες, καὶ ἤδη ἀπέγνωστο τῷ βασιλεῖ ἡ διάβασις, Νικηφόρος ὁ Ξιφίας τῆς Φιλιπποπόλεως τότε στρατηγῶν τῷ βασιλεῖ συνταξάμενος, καὶ αὐτὸν μὲν προσμένειν καὶ συνεχεῖς προσβολὰς τῷ

13 θριγγίοις C   15 κίαμα C

iis qui Barin incolebant, nomine Meles, concitatis Longibardis arma contra Romanos movit. cumque imperator adversus hunc misisset Basilium Argyrum Sami et Contoleonem Cephalleniae praefectos, Meles illustri eos praelio vicit, multis caesis, haud paucis captis, reliquis turpi fuga vitam tutatis.

Porro Basilius imperator quotannis in Bulgariam expeditionem faciebat et obvia quaeque populabatur ac vastabat. ideo Samuelus castra sub dio locare aut aperto praelio concurrere non audens, undique attritis viribus amissoque vigore suo, statuit fossis ac septis factis eum ingressu Bulgariae excludere. et quia norat solere eum per Cimbam Longum et Cleidium intrare, angustias illas septo late producto munit atque intercipit, iustoque firmat praesidio, et sic imperatorem operitur. postquam eo venit imperator et intrare est conatus, fortiter eum arcuere custodes, eos qui vi penetrare niterentur de superiore loco ferientes atque vulnerantes. ibi de transitu desperantem iam imperatorem Nicephorus Xiphias Philippopolis tum praefectus monet ut loco eo maneat, septumque illud oppugnare continenter pergat: se alio abiturum, ope-

C δέματι ποιεῖσθαι παρεγγυήσας, αὐτὸς δὲ ἀπιέναι φήσας, εἴ πως δυνηθείη λυσιτελές τι διαπράξασθαι καὶ σωτήριον, τὸν περὶ αὐτὸν εἰληφὼς λαὸν ὑποστρέφει, καὶ περιοδεύσας τὸ πρὸς μεσημβρίαν κείμενον τοῦ Κλειδίου ὑψηλότατον ὄρος, ὃ Βαλαθίσταν κατονομάζουσι, καὶ τραχυπορίαις καὶ ἀνοδίαις χρησάμενος, κθ' τοῦ Ἰουλίου μηνός, ἐπινεμήσει ιβ', ἄνωθεν ἐξαίφνης μετ' ἀλαλαγμοῦ καὶ δούπου κατὰ νώτου γίνεται τῶν Βουλγάρων· οἱ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες τρέπονται πρὸς φυγήν. καὶ ὁ βασιλεὺς μονωθὲν διαρρήξας τὸ τεῖχος ἐδίωκεν. ἔπεσον οὖν πολλοί, καὶ πολλῷ πλείους ἑάλωσαν, μόλις τοῦ Σαμουὴλ διαφυγεῖν δυνηθέντος τὸν κίνδυνον συνεργίᾳ τοῦ ἰδίου υἱοῦ γενναίως τοὺς ἐπιόντας ὑποδεξαμένου, καὶ ἵππῳ τοῦτον ἐπιβιβάσαντος καὶ εἰς τὸ λεγόμε-
D νον Πρίλαπον τὸ φρούριον ἀπαγαγόντος. ὁ δὲ βασιλεὺς τοὺς ἑαλωκότας τῶν Βουλγάρων ἀμφὶ τὰς ιε', ὥς φασιν, ὄντας χιλιάδας ἀπετύφλωσε, καὶ ἑκάστην ἑκατοντάδα πεπηρωμένων ὑφ' ἑνὸς μονοφθάλμου ὁδηγεῖσθαι κελεύσας εἰς τὸν Σαμουὴλ ἀποπέμπει. οὓς ἐκεῖνος ἀφικνουμένους κατ' ἀριθμὸν καὶ τάξιν θεώμενος, καὶ τὸ πάθος οὐκ ἐνεγκὼν νεανικῶς καὶ εὐψύχως, λειποθυμίᾳ καὶ σκότῳ βάλλεται καὶ εἰς γῆν πίπτει· ὕδατι δὲ καὶ μύροις οἱ παρόντες τὴν πνοὴν αὐτοῦ ἀνακαλεσάμενοι ἀνενεγκεῖν μικρὸν πεποιήκασιν. ἀνενεγκὼν δὲ ὕδωρ πιεῖν ἐπεζήτησε ψυχρόν. λαβὼν δὲ καὶ πιὼν ἐλήφθη καρδιαγμῷ, καὶ μετὰ δύο ἡμέρας θνήσκει. παραλαμβάνει δὲ τὴν Βουλγάρων ἀρχὴν ὁ υἱὸς αὐτοῦ Γαβριὴλ ὁ καὶ Ῥωμανός, ῥώμῃ μὲν καὶ ἰσχύϊ τοῦ πατρὸς ὑπερέχων, φρονήσει δὲ καὶ διανοίᾳ πολλῷ λειπόμενος, τεχθεὶς τῷ Σαμουὴλ ἀπό τινος

4 βαλασίτζαν C   5 ταχυπορίαις P

ramque daturum ut salutare aliquid conficiat. hoc modo re composita, cum suis montem ad meridiem claustris iis obiectum celsissimum, cui Balathistae nomen, magnis itineribus circuit; et 29 die Iulii, indictione 12, de superiore loco subito ingenti cum strepitu Bulgaros a tergo adoritur. qui cum re insperata perterriti fugerent, imperator defensoribus vacuum septum diruit ac fugientes insequitur. multi tum Bulgari occisi, multo plures capti. ipse Samuelus aegre evasit filii opera, irruentes fortiter repellente patremque equo impositum in castellum Prilapum abducente. captivis Bulgaris, qui fuisse ad 15 milia feruntur, oculos imperator eruit, singulisque centuriis unoculum praeficit, atque his ductoribus eos ad Samuelum mittit. quos Samuelus isto numero atque ordine venire videns animi ad calamitatem eam fortiter ferendam non habuit satis, sed oborta vertigine exanimatus in terram corruit. aqua autem et unguentis a praesentibus utcunque recreatus, cum sese aliquantulum collegisset, frigidae haustum petiit; cumque bibisset, cardiagmo correptus biduo post obiit. successit ei filius Gabrielus, qui et Romanus dicebatur, patre robustior ille, sed prudentia longe inferior, natus ca-

αἰχμαλώτιδος Λαρισσαίας. ἦρξε δὲ κατὰ τὴν ιε' τοῦ Σεπτεμβρίου P 708 μηνός, ἐπινεμήσει ιγ'. καὶ μηδ' ὅλον ἀποπληρώσας ἐνιαυτὸν σφάττεται, εἰς κυνηγέσιον ἐξελθών, παρὰ Ἰωάννου τοῦ καὶ Βλαδισθλάβου τοῦ υἱοῦ Ἀαρών, ὃν αὐτὸς θνήσκειν μέλλοντα τοῦ θανάτου ἀπελυτρώσατο.

Πρὸ τοῦ δὲ ταῦτα γενέσθαι, Θεοφυλάκτου τοῦ Βοτανειάτου ἄρχειν Θεσσαλονίκης μετὰ τὸν Ἀριανίτην πεμφθέντος Δαβὶδ ὁ Νεστορίτζης, εἷς τῶν παρὰ Βουλγάροις μέγα δυναμένων ὑπάρχων, μετὰ δυνάμεως ἁδρᾶς κατὰ Θεσσαλονίκης ἐκπέμπεται παρὰ τοῦ Σαμουήλ· οἷς συναντήσας ὁ Θεοφύλακτος σὺν τῷ υἱῷ Μιχαὴλ καὶ συμπλακεὶς τρέπει τε κατὰ κράτος, καὶ λείαν πολλὴν καὶ αἰχμαλώτους συχνοὺς προσλαβόμενος διακομίζει τῷ βασιλεῖ πολιορ- B κοῦντι τὸ ἐν τῇ κλεισούρᾳ τοῦ Κλειδίου δέμα. τὸ δέμα δέ, ὡς εἴρηται, διαβὰς ὁ βασιλεὺς κατὰ Στρούμπιτζαν γίνεται. καὶ παρεστήσατο μὲν φρούριον τὸ καλούμενον Ματζούκιον, τῇ Στρουμπίτζῃ δὲ προσεγγίζον, μετὰ δυνάμεως δ' ἐκπέμπει τὸν Βατανειάτην Θεοφύλακτον τόν, δοῦκα Θεσσαλονίκης, ὑπερβῆναι κελεύσας τοὺς ἐν Στρουμπίτζῃ βουνούς, καὶ τὰ ἐν ταῖς κατ' αὐτοὺς ὁδοῖς πυρπολῆσαι δέματα, καὶ εὐπόρευτον αὐτῷ θεῖναι τὴν πρὸς Θεσσαλονίκην ἄγουσαν ὁδόν. ὁ δὲ ἀπελθὼν συνεχωρήθη μὲν ἐν τῷ εἰσιέναι παρὰ τῶν τοποφυλακούντων Βουλγάρων ἀνεμποδίστως διελθεῖν, μέλλων δὲ πρὸς τὸν βασιλέα πάλιν ὑποστρέφειν μετὰ τὸ C τὰ προστεταγμένα πληρῶσαι περιπίπτει λόχοις ἐπ' αὐτῷ τούτῳ προσκαθημένοις καὶ ἐνεδρεύουσιν ἔν τινι ἐπιμήκει στενοχωρίᾳ· ἐν

6 τοῦ ante Βοτ. om C 7 ἀρχὴν P 14 στρουβίτζῃ C

ptiva quadam Larissaea. iniit decima quinta Septembris, indictione decima tertia. cumque nondum integrum imperasset annum, venatum exiens interficitur a Ioanne, qui et Bladisthlabus, filio Aaronis, quem ipse neci aliquando subtraxerat.

Antequam hoc fieret, Theophylacto Botaneiata Thessalonicae post Davidum Arianitam praefecto Samuelus Nestoritzam, unum de potentissimis Bulgaris, magno cum exercitu ad eam urbem misit. quem Theophylactus, filio suo Michaelo comitatus, pugna congressus fudit; magnaque praeda parta et multis captis, cum his ad imperatorem tunc septum in angustiis apud Chlidium oppugnantem venit. imperator angustiis quo diximus modo superatis, ad Strumpitzam accedit; et castello cui Matzucium nomen potitus, Strumpitzae iam propinquans, Theophylactum Botoneiatam Thessalonicae ducem colles ad Strumpitzam sitos superare iubet et septa obvia incendere, sibique hoc modo iter Thessalonicam ducens expedire. proficiscentem praesidiarii nihil obstantes ire quo volebat passi sunt. sed cum mandatis peractis ad imperatorem redire vellet, in insidias ad hoc ipsum collocatas in porrectis in longum angustiis incidit,

ᾗ εἰσελθὼν καὶ πάντοθεν περιστοιχισθεὶς καὶ ἄνωθεν ὑπὸ λίθων καὶ τόξων βαλλόμενος, μηδενὸς ἀμύνασθαι δυναμένου διὰ τὴν πύκνωσιν καὶ τὸ τῆς στενοχωρίας ἀδιεξόδευτον, αὐτός τε πίπτει, μηδὲ ταῖς οἰκείαις χερσὶ δυνηθεὶς χρήσασθαι, καὶ πολὺ μέρος σὺν αὐτῷ ἀπώλετο τοῦ στρατοῦ. ἅπερ μηνυθέντα τῷ βασιλεῖ πολλῆς αὐτὸν ἐνέπλησεν ἀθυμίας. ὅθεν καὶ προσωτέρω χωρεῖν οὐκ ἔκρινεν, ἀλλ' ὑποστρέψας ἦλθεν εἰς τὰ Ζαγόρια, ἔνθα τὸ
D λίαν ὀχυρώτατον ἵδρυται φρούριον ὁ Μελένικος, ἐπί τινος πέτρας ἱδρυμένον κρημνοῖς καὶ φάραγξι βαθυτάταις πάντοθεν ἐστεφανωμένης· ἐν ᾧ οἱ τῆς περιχώρου πάντοθεν καταφυγόντες Βούλγαροι ὀλίγα τῶν Ῥωμαίων ἐφρόντιζον. πρὸς οὓς ὁ βασιλεὺς Σέργιόν τινα ἐκτομίαν, ἕνα τῶν οἰκειοτάτων αὐτῷ θαλαμηπόλων, ἐκπέμπει, ἄνδρα φρενήρη τε καὶ δεινὸν εἰπεῖν, ἀποπειρώμενος τῆς γνώμης αὐτῶν. οὗτος δ' ἐκεῖσε γενόμενος καὶ πολλαῖς χρησάμενος πιθανολογίαις μεταδιδάξαι ἴσχυσε τοὺς ἀνθρώπους τὸ δέον, καὶ τὰ ὅπλα καταθεμένους παραδοῦναι τῷ βασιλεῖ ἑαυτοὺς καὶ τὸ φρούριον. οὓς ἀποδεξάμενος ὁ βασιλεὺς καὶ φιλοφρονησάμενος ἀξιοπρεπῶς, καὶ φρουρὰν τῷ φρουρίῳ τὴν ἀρκοῦσαν ἐγκατατάξας, μετέβη πρὸς Μοσυνούπολιν· ἐν ᾗ διάγοντι τούτῳ καὶ ὁ τοῦ Σαμουὴλ ἀγγέλλεται θάνατος κατὰ τὴν κδ' τοῦ Ὀκτωβρίου μηνός.
P 709 καὶ εὐθὺς ὁ βασιλεὺς ἀπάρας ἐκ Μοσυνουπόλεως κάτεισιν εἰς Θεσσαλονίκην, κἀκεῖθεν ἄπεισιν εἰς Πελαγονίαν, μηδὲν λυμαινόμενος τῶν ἐν ποσίν, ἀλλ' ἢ μόνα πυρπολήσας τὰ ἐν Βουτελίῳ βασίλεια τοῦ Γαβριήλ. πέμψας δὲ καὶ στρατιὰν χειροῦται τὸ φρού-

1 περιστοιχηθεὶς C 8 μελνῖκος C 19 μοσυνόπολιν C, et mox μοσυνοπόλεως τοῦτον C 23 βουτέλη C

circumventusque et desuper saxis telisque petitus, omni se defendendi praerepta facultate ob compressos in artum ordines et loci angustiam omni exitu carentis, cum magna sui exercitus parte perit. imperator ea clade nuntiata maximum percepit dolorem, et progredi ulterius non ausus retro abiit ad Zagoria, ubi castellum erat Melenicus longe munitissimum, saxo impositum et praecipitiis vallibusque profundissimis cinctum. eo ex vicinia passim confugerant Bulgari, Romanorum admodum securi. ad eos imperator mittit Sergium spadonem, unum ex intimis suis cubiculi ministris, hominem cordatum ac facundum, qui ipsorum animos periclitaretur. is multa suadendo atque probabiliter disserendo eos eo adduxit, ut rem recta via reputantes positis armis se et castellum imperatori dederent. quos imperator humanissime excepit; et castello praesidio sufficienti imposito Mosynopolin rediit. ibi ei moranti nuntius de obitu Samuelis affertur, vigesima quarta Octobris die. exinde statim Mosynopoli Thessalonicam abit, atque hinc ad Pelagoniam usque proficiscitur nullo cum maleficio, nisi quod regiam Gabrieli Bute-

ριον Πριλάπου καὶ τοῦ Στυπείου. ἐκεῖθεν καταλαμβάνει τὸν Τζερνᾶν λεγόμενον ποταμόν, ὃν σχεδίαις καὶ θυλάκοις πεφυσημένοις διαπεράσας ἐπάνεισιν εἰς τὰ Βοδηνά, κἀκεῖθεν τῇ θ' τοῦ Ἰανουαρίου μηνὸς ἦλθεν εἰς Θεσσαλονίκην.

Ἔαρος δ' ἐπιστάντος ὑπέστρεψε πάλιν εἰς Βουλγαρίαν, καὶ τῷ φρουρίῳ τῶν Βοδηνῶν προσίσχει· ἔφθασαν γὰρ οὗτοι, τὴν πρὸς βασιλέα πίστιν ἀπαρνησάμενοι, ἆραι κατὰ Ῥωμαίων ὅπλα. B καρτερὰν οὖν ἐνστησάμενος πολιορκίαν ἠνάγκασε πίστεις λαβόντας ἑαυτοὺς ἐγχειρίσαι τοὺς ἔνδον· οὓς πάλιν ἐν τῷ Βολερῷ μετοικίσας, καὶ ἕτερα φρούρια ἀνεγείρας δύο ἐν τῷ μέσῳ τῆς δυσχωρίας, ὧν τὸ μὲν Καρδίαν ὠνόμασε τὸ δ' ἕτερον ἅγιον Ἠλίαν, ὑπέστρεψεν εἰς Θεσσαλονίκην. ἐν ᾗ Ῥωμανὸς ὁ καὶ Γαβριὴλ διά τινος Ῥωμαίου χειροτμήτου δούλωσιν καὶ ὑποταγὴν ὑπισχνεῖται. ὁ δὲ ὑποπτεύσας τὰ γράμματα, τὸν πατρίκιον Νικηφόρον τὸν Ξιφίαν καὶ Κωνσταντῖνον τὸν Διογένην, μετὰ τὸν Βοτανειάτην στρατηγὸν γεγονότα Θεσσαλονίκης, μετὰ δυνάμεως ἐκπέμπει ἐν τῇ χώρᾳ τῶν Μογλένων. ὧν τὴν πᾶσαν ληϊσαμένων ἐκείνην γῆν C καὶ τὴν πόλιν πολιορκούντων ἔφθασε καὶ ὁ βασιλεύς, καὶ τὸν παραρρέοντα τῇ πόλει μετοχετεύσας ποταμόν, καὶ τὰ θεμέλια τῶν τειχῶν ὑπορύξας καὶ ξύλα καὶ εὔπρηστον ἄλλην ὕλην ὑποβαλὼν τοῖς ὀρύγμασι καὶ πῦρ ἐμβαλών, τῆς ὕλης καταπρησθείσης, κατέστρεψε τὸ τεῖχος. ὅπερ ἰδόντες οἱ ἔνδον πρὸς ἱκεσίαν μετ' ὀλοφυρμῶν ἐτράποντο, καὶ ἑαυτοὺς παρεδίδουν σὺν τῷ φρουρίῳ.

5 ἐπιόντος C 8 ἐνστησάμενοι C 13 τετμημένην ἔχοντος τὴν χεῖρα C 17 μογλαίνων C ubique

lianam incendit. missis etiam militibus castella Prilapum et Stypeium capit. inde ad fluvium Tzernam venit, eumque ratibus et utribus inflatis traiicit, ac Budena; et inde nona Ianuarii die Thessalonicam redit.

Initio veris rursum in Bulgariam it, ac Budenae castellum (nam praesidium fide violata arma contra Romanos ceperat) magna vi obsidens, fide publica accepta se dedere praesidiarios cogit, eosque Bolerum deportat. tum in angustiarum medio duo castella aedificat, unum Cardiae, alterum sancti Eliae nomine, et Thessalonicam redit. hic degenti Gabrielus, qui et Romanus appellabatur, per quendam Romanum Cheirotmetum (id nominis ab incisa manu est) promittit se ipsi servum atque subiectum fore. sed imperator fallaces literas esse suspicans, Xiphiam et Constantinum Diogenem, qui Botaneiatae in praetura Thessalonicensi successit, cum exercitu in regionem Moglenorum mittit; qui cum eam depopulati urbem obsiderent, supervenit ipse, et amnis, qui urbem alluebat, alveo adverso, suffossis murorum fundamentis, et interiecto cavernis ligno aliaque ignis capace materia, incendio muros evertit. quo viso oppidani miserabiliter supplices facti se et munitionem

ἐλήφθη μὲν οὖν Δομετιανὸς ὁ Καυκάνος, ἀνὴρ δυνάστης καὶ τῷ Γαβριὴλ συμπάρεδρος, καὶ Ἠλίτζης ὁ ἄρχων Μογλένων, καὶ D ἕτεροι δυνάσται πολλοί, καὶ λαὸς πολεμιστὴς οὐκ ὀλίγος. τοὺς μὲν οὖν ὅπλα δυναμένους κινεῖν εἰς Ἀσπρακανίαν ἐκπέμπει ὁ βασιλεύς, τὸν δὲ λοιπὸν συρφετώδη λαὸν διαρπαγῆναι προσέταξεν, ἐμπρησθῆναι δὲ καὶ τὸ φρούριον. ἑάλω καὶ ἕτερον φρούριον Ἐνώτια κεκλημένον, γειτονοῦν τοῖς Μογλένοις.

Ἡμέρᾳ δὲ πέμπτῃ ἧκεν ὁ χειρότμητος Ῥωμαῖος, ἔχων καὶ θεράποντας Ἰωάννου τοῦ καὶ Βλαδισθλάβου. υἱοῦ Ἀαρών, ἐπαγόμενος καὶ γράμματα δηλοῦντα φονευθῆναι ὑπ' αὐτοῦ τὸν Γαβριὴλ ἐν τῷ Πετρισκῷ καὶ τὴν πᾶσαν ἐξουσίαν εἰς ἑαυτὸν μετενεχθῆναι, ὑπισχνούμενά τε τὴν πρέπουσαν ὑποταγὴν καὶ δούλωσιν ἐνδείξασθαι πρὸς τὸν βασιλέα. ὅπερ ἀναγνοὺς ὁ βασιλεύς, καὶ χρυσοβούλλοις γράμμασιν τὰ δοκοῦντα πιστωσάμενος, ἀπέστειλε πρὸς τὸν Ἰωάννην. καὶ μετ' ὀλίγας πάλιν ἡμέρας ἐπανῆκεν ὁ τετμημένος τὴν χεῖρα Ῥωμαῖος, γραφὰς κομίζων Ἰωάννου τε καὶ P 710 τῶν ἀρχόντων Βουλγαρίας ὑπηκόους ὁμολογούντων καὶ δούλους γενέσθαι τοῦ βασιλέως. προσερρύη δὲ τῷ βασιλεῖ καὶ Καυκάνος ὁ ἀδελφὸς Δομετιανοῦ τοῦ ἐν Μογλένοις ἁλόντος· ὃν φιλοτιμησάμενος διὰ τιμῆς ἦγεν. ἐπεὶ δὲ ἔγνω τὸν Ἰωάννην δόλῳ καὶ περινοίᾳ γράψαντα τὰ γραφέντα καὶ τἀναντία ὧν ὑπισχνεῖτο διανοούμενον, ἐπανέστρεψε πάλιν πρὸς Βουλγαρίαν, καὶ ληλατήσας τὴν περίχωρον Ὀστροβοῦ καὶ τοῦ Σωσκοῦ καὶ τὴν πεδιάδα Πελαγονίας τοὺς ἁλισκομένους πάντας ἀπετύφλου Βουλγάρους. ἄπεισιν οὖν ἄχρι τῆς πόλεως Ἀχρίδος, ἐν ᾗ τὰ βασίλεια τῶν βασιλέων ἵδρυντο

dediderunt. captus est ibi Domitianus Caucanus, homo potens et Gabrieli consiliarius, et Moglenorum princeps Elitzes aliique procerum multi et manus haud parva militum. armis ferendis idoneos Aspracaniam deportat imperator: colluviem reliquam diripi iubet, et castellum, cui Notia nomen, incendi, Moglenis vicinum.

Quinta die Cheirotmetus Romanus venit, famulos secum adducens Ioannis Bladisthlabi, Aaronis filii, et literas, quibus hic significabat se Gabrielo vitam eripuisse, nuncque ad se rediisse Bulgaricum imperium; promittebatque se servum et subditum imperatori fore. iis perlectis imperator suam sententiam aurea bulla consignatam Ioanni mittit. paucisque post diebus Romanus redit, literas Ioannis et principum Bulgariae afferens, quibus ii se subditos imperatori fatebantur. adiungit se etiam imperatori Caucanus, Domitiani apud Moglenos capti frater; estque ab eo honorifice habitus. ceterum imperator certior factus Ioannem dolo ac fallaciter ista scripsisse ac contraria suis promissis moliri, in Bulgariam revertitur; et Ostrobo Soscoque adiacente regione ac campestri Pelagonia depopulatis, quotquot Bulgaros cepisset, eis oculos effodit. et usque ad urbem Achridem, regiam Bulgariae, accedit. qua

Βουλγαρίας. καὶ τὴν πόλιν παραλαβὼν καὶ πάντα καλῶς δια-
θεὶς ἔμελλε καὶ προσωτέρω βαδίζειν καὶ τῆς πρὸς τὸ Δυρράχιον B
ἅψασθαι· ἐδεῖτο γὰρ τῆς ἐπιδημίας αὐτοῦ τὰ ἐκεῖσε. ἕως μὲν
γὰρ Τρυμαλιᾶς καὶ τῶν ἀγχοτάτω Σερβίας μερῶν ἦρχε Βλαδιμη-
ρὸς ὁ ἐπὶ θυγατρὶ τοῦ Σαμουὴλ κηδεστής, ἀνὴρ ἐπιεικὴς καὶ
εἰρηνικὸς καὶ ἀρετῆς ἀντεχόμενος, ἠρεμίαν εἶχε τὰ ἐν Δυρραχίῳ·
ἐπειδὴ δὲ ὁ Γαβριὴλ παρὰ τοῦ Ἰωάννου ἀπώλετο, καὶ οὗτος
παρασπονδηθεὶς καὶ τοῖς ὅρκοις πιστεύσας παρὰ τοῦ Ἰωάννου δο-
θεῖσιν αὐτῷ διὰ Δαβὶδ τοῦ ἀρχιεπισκόπου Βουλγαρίας ἑαυτὸν
ἐνεχείρισε καὶ μετὰ μικρὸν ἀπεσφάγη, πολὺν εἶχε τάραχον καὶ
κλόνον τὰ ἐκεῖσε πράγματα, ἐγκειμένου καθ᾽ ἑκάστην καὶ διὰ
στρατηγῶν πολλάκις τοῦ Ἰωάννου καὶ δι᾽ ἑαυτοῦ πάλιν ἑλεῖν τὴν C
πόλιν. καὶ διὰ τοῦτο ἐβούλετο μὲν ὁ βασιλεὺς ἀπελθεῖν καὶ βοη-
θῆσαι, ἐκωλύθη δὲ δι᾽ αἰτίαν οὐκ ἄλογον. ἀπερχόμενος γὰρ
πρὸς Ἀχρίδα κατέλιπε κατόπιν μετὰ πλήθους στρατιωτῶν Γεώρ-
γιον στρατηγὸν τὸν Γονιτζιάτην καὶ Ὀρέστην πρωτοσπαθάριον
τὸν αἰχμάλωτον, κατατρέχειν κελεύσας τὰ πεδία Πελαγονίας· οὓς
ἐλλοχήσαντες Βούλγαροι ἔχοντες στρατηγὸν τὸν Ἰβάτζην, φανε-
ρώτατον ἄνδρα καὶ δεδοκιμασμένον, ἀναιροῦσι πάντας. ὧν τῇ
λύπῃ συγχυθεὶς ὁ βασιλεὺς ἐπανέστρεψεν εἰς Πελαγονίαν, καὶ τὸν
Ἰβάτζην καταδραμὼν καὶ διώξας ἀπῆλθεν ἐν Θεσσαλονίκῃ. κἀκεῖ- D
θεν διέβη εἰς Μοσυνούπολιν, κατὰ Στρουμπίτζης λαὸν πεπομφὼς
ἡγεμόνα ἔχοντα τὸν πατρίκιον Δαβὶδ τὸν Ἀριανίτην· ὃς αἰφνι-
δίως ἐπιφανεὶς εἷλε τὸ φρούριον ὃ Θερμίτζα κατονομάζεται. καὶ

4 τριβαλίας C   βλαδημηρὸς C   7 ἐπεὶ C   15 ἀχρίδας C

potitus, rebus omnibus recte constitutis, pergere et ad Dyrrachium proficisci intendit, quod et eius loci res ipsius praesentiam requirebant. etenim quamdiu Trymalia et viciniores Serviae partes in potestate Bladimeri (gener is fuit Samueli) manserunt, hominis iusti ac pacis et virtutis studiosi, pacatum fuerat Dyrrachium. at postquam Ioannes Samuelum interfecit, deceptumque falsis iuramentis Bladimerum et opera Davidi Bulgarorum archiepiscopi se dedentem paulo post perfide necavit, magnopere Dyrrachiana res concussa atque perturbata est, quod Ioannes urbem eam identidem per ductores suos, aliquando etiam praesens oppugnaret. sed imperatoris institutum res haud parva impediit. etenim ad Achridem proficiscens post se reliquit cum manu militum Georgium Gonitziatem et Orestam protospatharium captivum, iubens eos in campestria Pelagoniae grassari. eos universos Bulgari duce Ibatza, viro nobilissimo et spectatae virtutis, in insidias attractos trucidarunt. eius cladis dolore concitus imperator in Pelagoniam revertitur, Ibatzamque persecutus Thessalonicam venit indeque Mosynopolin, misso cum exercitu ad Strumpitzae oppugnationem Davido Arianita. is subito irruens castellum Thermitza cepit. misit et alium exercitum in Triadi-

ἕτερον πάλιν λαὸν κατὰ τῶν ἐν Τριαδίτζῃ φρουρίων, ἔξαρχον ἔχοντα τὸν Ξιφίαν, ἐκπέμπει. καὶ οὗτος δὲ τὰ ἐν τοῖς ὑπαίθροις πάντα καταστρεψάμενος εἷλε πολιορκίᾳ τὸ ἔρυμα ὃ Βοϊὼν καλεῖται.

Ὁ δὲ βασιλεὺς ἀπελθὼν ἐν Κωνσταντινουπόλει, κατὰ τὸν Ἰανουάριον μῆνα τοῦ ,ςφκδʹ ἔτους, στόλον εἰς Χαζαρίαν ἐκπέμπει, ἔξαρχον ἔχοντα τὸν Μογγόν, υἱὸν Ἀνδρονίκου δουκὸς τοῦ Λυδοῦ· καὶ τῇ συνεργίᾳ Σφέγγου τοῦ ἀδελφοῦ Βλαδιμηροῦ, τοῦ ἀδελφοῦ τοῦ βασιλέως, ὑπέταξε τὴν χώραν, τοῦ ἄρχοντος αὐτῆς
P 711 Γεωργίου τοῦ Τζούλου ἐν τῇ πρώτῃ προσβολῇ συλληφθέντος. τότε καὶ Σεναχηρεὶμ ὁ τῆς ἄνω Μηδίας ἄρχων, ἣν Ἀσπρακανίαν ὀνομάζουσι σήμερον, τῷ βασιλεῖ παγγενεὶ προσέδραμε, τὴν ὑπείκουσαν αὐτῷ παραδεδωκὼς ἅπασαν χώραν, πατρίκιος τιμηθεὶς καὶ στρατηγὸς Καππαδοκίας, καὶ κτήσεις ἀντιλαβὼν τάσδε τὰς πόλεις, τὴν Σεβάστειαν, τὴν Λάρισσαν, τὴν Ἄβαραν, καὶ ἄλλας κτήσεις πολλάς. στενοχωρούμενος γὰρ οὗτος ὑπὸ τῶν προσοίκων Ἀγαρηνῶν καὶ μὴ οἷος ὢν ἀντέχειν προσέδραμε τῷ βασιλεῖ, παραδοὺς τὴν ἑαυτοῦ χώραν. ἧς ἄρχειν ἀποσταλεὶς Βασίλειος πατρίκιος ὁ Ἀργυρὸς καὶ τοῖς ὅλοις πταίσας παραλύεται τῆς ἀρχῆς· καὶ διά-
B δοχος αὐτοῦ πέμπεται Νικηφόρος πρωτοσπαθάριος ὁ Κομνηνός, ὃς κατὰ χώραν γενόμενος καὶ τὰ μὲν πειθοῖ τὰ δὲ βίᾳ χρώμενος ὑπήκοον τῷ βασιλεῖ τὴν χώραν ἐποίησε.

Τῷ δὲ ,ςφκδʹ ἔτει, ἰνδικτιῶνος ιδʹ, ἀπάρας τῆς βασιλίδος ὁ

7 υἱὸν] Ἰωάννην C 9 ἀδελφοῦ] γαμβροῦ C: cf. 699 c Βασιλείου P 10 τζούλη C 16 προσόντων C 23 ,ς̄ δὲ φκδ C, omisso τῷ

tzae castella, duce Xiphia. qui omnibus quae sita erant in planitie subactis, castellum cui Boion nomen expugnavit.

Imperator Cpolin reversus Ianuario mense, anno mundi 6524, classem in Chatzariam mittit, duce Mongo Andronici duce Lydi filio. is adiuvante Sphengo fratre Bladimeri, eius qui Basilii imperatoris sororem in matrimonio habebat, regionem eam subegit, principe eius Georgio Tzulo in primo conflictu capto. tunc etiam Senacherimus, superioris Mediae princeps, quam hodie Aspracaniam nominant, cum universa sua familia imperatori accessit, tradita ei sua dicione, quod vicinis Agarenis ipsum prementibus ad resistendum non satis haberet virium; estque factus patricius et Cappadociae dux, recepitque suae dicionis loco Sebasteam Larissam Abaram urbes aliaque multa praedia. Aspracaniae autem imperator praefecit Basilium patricium Argyrum; cui ob rem male gestam abrogatum imperium, et successor missus Nicephorus Comnenus protospatharius, qui provinciam qua verbis qua vi usus imperatori subiecit.

Eodem anno, indictione 14, imperator urbe egressus in Triaditzam

βασιλεὺς ἄπεισιν εἰς Τριαδίτζαν. καὶ τὸ φρούριον Πέρνικον περικαθίσας ἐπολιόρκει, τῶν ἔνδον τε καρτερῶς καὶ ἐκθύμως ἀγωνιζομένων, καὶ πολλῶν Ῥωμαίων πιπτόντων. ἐφ᾽ ὅλας ὀγδοήκοντα καὶ η΄ ἡμέρας προσλιπαρήσας τῇ πολιορκίᾳ, ὡς ἔγνω ἀδυνάτοις ἐπιχειρῶν, ἄπρακτος ὑπεχώρησε καὶ εἰς Μοσυνούπολιν ἀπῆλθεν. ἐν ᾗ τὸν λαὸν διαναπαύσας, ἔαρος ἐπιστάντος ὥρας ἐκ Μοσυνουπόλεως εἴσεισιν εἰς Βουλγαρίαν, καὶ περικαθίσας φρούριον τὸ λεγόμενον Λογγὸν εἷλε πολιορκίᾳ. Δαβὶδ δὲ τὸν Ἀριανίτην καὶ C Κωνσταντῖνον τὸν Διογένην εἰς τὰς κατὰ Πελαγονίαν πεδιάδας ἐκπέμψας ζῴων πολλῶν καὶ αἰχμαλώτων ἐγένετο κύριος. τὸ δὲ ληφθὲν φρούριον ἐμπρήσας ὁ βασιλεύς, καὶ τριχῇ τοὺς ἁλόντας μερισάμενος, καὶ μίαν μὲν μερίδα τοῖς συμμαχοῦσι παρεσχηκὼς Ῥῶς ἑτέραν δὲ Ῥωμαίοις, καὶ ἄλλην ἑαυτῷ παρακατασχών, ἐχώρει προσωτέρω. καὶ μέχρι Καστορίας ἐλθὼν καὶ τῆς πόλεως ἀποπειραθείς, ὡς ᾔσθετο ἀνεπιχείρητον αὐτὴν οὖσαν, ὑπέστρεψεν· ἐδέξατο γὰρ καὶ γράμμα τοῦ στρατηγοῦντος ἐν τῷ Δοροστόλῳ Τζιτζικίου, τοῦ υἱοῦ τοῦ πατρικίου Θευδάτη τοῦ Ἴβηρος, ὡς ὁ Κρακρᾶς λαὸν ὅτι πλεῖστον ἀθροίσας καὶ τῷ Ἰωάννῃ ἑνωθείς, D προσλαβόμενοι δὲ καὶ Πατζινάκας, μέλλουσιν εἰσβολὴν κατὰ Ῥωμαίων ποιήσασθαι. τούτῳ τῷ γράμματι θορυβηθεὶς ἐπανῄει διὰ ταχέων. ἐν τῷ παριέναι δὲ τό τε φρούριον εἷλε τὰ Βοσόγραδα καὶ ἐνέπρησε, καὶ τὴν Βέρροιαν ἐπικτίσας, δῃώσας δὲ καὶ κατερειπώσας τὰ πέριξ Ὀστροβοῦ καὶ Μολισκοῦ, ἔστη τοῦ προσωτέρω ἰέναι· ἀπηγγέλη γὰρ αὐτῷ ὡς ἡ μελετωμένη τῷ Κρακρᾷ καὶ τῷ

1 τριάδιτζαν C 5 κατῆλθεν C. 8 λογγᾶν C 16 δωροστόλω τζοτζικίου C 17 θευδάτου C

venit, et castellum Pernicum obsidione cinctum oppugnat. dies autem octoginta octo cum ibi perseverasset, praesidiariis fortissime defendentibus multisque Romanis cadentibus, sentiens se quod conatus erat consequi non posse, re infecta discedit Mosynopolin. ibi quiete refectis copiis, appetente vere in Bulgariam intrat, et castellum Longum circumsessum expugnat; ac missis in campestria Pelagoniae Davido Arianita ac Constantino Diogene multum pecoris atque hominum inde abigit. inceuso castello captivos in tres partes distribuit, quarum unam Roasis auxilia iis, alteram Romanis, tertiam sibi assignat. progressus inde ad Castoriam usque, cum eam urbem tentasset ac inexpugnabilem sentiret, retro abduxit. acceperat enim literas a Tzitzicio Dorostoli praefecto, Theudatae Iberi patricii filio, quibus indicabatur Cracram numerosissimo exercitu contracto se cum Ioanne coniunxisse, eosque adscitis in societatem Patzinacis in Romanorum dicionem irrupturos. his literis perturbatus illico convertit iter, inque transitu Bosograda castellum capit atque incendit, Berroeam reficit; eversisque circum Ostrobum et Moliscum sitis castellis subsistit, accepto nuntio Cracrae et Ioannis impressionem,

Ἰωάννῃ κατὰ Ῥωμαίων ἔφοδος ἐνεποδίσθη, τῶν Πατζινάκων μὴ δόντων συμμαχίαν αὐτοῖς. διὸ καὶ ὑποστρέψας πολιορκεῖ φρούριον ἄλλο τὴν Σέτεναν, ἐν ᾗ βασίλεια ἦσαν τοῦ Σαμουὴλ καὶ σῖτος ἀπέκειτο πολύς, ὃν τῷ λαῷ διαρπάσαι κελεύσας τἆλλα πάντα
P 712 κατέφλεξεν. ἐξέπεμψε δὲ καὶ κατὰ Ἰωάννου οὐ μακρὰν ἀπέχοντος τὸ τάγμα τῶν σχολῶν τῆς δύσεως καὶ τὸ τῆς Θεσσαλονίκης, ἡγεμόνα ἔχοντα Κωνσταντῖνον τὸν Διογένην. τούτοις ἀπιοῦσιν ἐνήδρευεν ὁ Ἰωάννης. μαθὼν δὲ τοῦτο ὁ βασιλεὺς καὶ μή τι πάθοιεν φοβηθείς, παρὰ τοῦ λαοῦ ἐξιππασάμενος, καὶ μηδὲν ἄλλο εἰπὼν ἀλλ' ἢ μόνον "ὅστις πολεμιστής, ἀκολουθείτω μοι," ἀπῄει κατὰ σπουδήν. τοῦτο γνόντες οἱ τοῦ Ἰωάννου σκόποι μετὰ φόβου πρὸς τὸ τοῦ Ἰωάννου στρατόπεδον ἔρχονται, καὶ δειλίας καὶ ταραχῆς τοῦτο ἐνέπλησαν, μηδὲν ἄλλο βοῶντες εἰ μὴ "βεζεῖτε, ὁ Τζαῖσαρ." πάντων οὖν φευγόντων ἀκόσμως σὺν τῷ Ἰωάννῃ,
B οἱ περὶ τὸν Διογένην ἀναθαρρήσαντες κατόπιν ἐδίωκον. καὶ κτείνουσι μὲν πολλούς, συλλαμβάνουσι δὲ καὶ διακοσίους πανοπλίτας καὶ τοὺς ἵππους καὶ τὴν ἀποσκευὴν Ἰωάννου καὶ τὸν τούτου ἀνεψιόν. ταῦτα δράσας ἐπάνεισι πρὸς τὰ Βοδηνά, καὶ πάντα τὰ ἐκεῖσε καταστησάμενος ἐπαναζευγνύει πρὸς τὸ Βυζάντιον, κατὰ τὴν θ' τοῦ Ἰανουαρίου μηνός, τῆς ιε' ἐπινεμήσεως, ἔτους ,ϛφκϛ'.

Ἀδείας δὲ λαβόμενος ὁ Ἰωάννης ἄπεισι πολιορκήσων τὸ Δυρράχιον μετὰ φρυάγματος καὶ ὄγκου βαρβαρικοῦ. ἔνθα πολιορκίας συστάσης καὶ συμπλοκῆς γενομένης πίπτει, μηδενὸς δήλου

3 σέτεναν C 9 φοβηθεὶς κ. τοῦ λαοῦ om C 10 ἀλλ' ἢ] εἰ μὴ C 14 τζέσαρ C

quam moliti erant, impeditam esse, Patzinacis eos auxilio frustratis. in reditu castellum expugnat Setaenam, ubi arcem Samuelus habebat ac plurimum frumenti reposuerat: frumentum milites diripere iubet, cetera omnia cremat. secundum haec adversus Ioannem non procul a se dissitum emittit cohortes scholarum occidentalium et Thessalonicensium, duce Constantino Diogene. iis profectis insidias cum tenderet Ioannes, imperator de suorum solicitus salute, equo ante suos profectus idque unum fatus "si quis bellator est, me sequatur," cursum contendit. hoc ut comperere Ioannis exploratores, territi in sua castra redierunt, nihil aliud vociferantes quam "bezeite Tsaesar." omnibus cum ipso Ioanne incomposite fugientibus, Diogenes cum suis, animis receptis, eos insecuti magnam caedem peragunt, capiunt ducentos gravis armaturae, et equos ac supellectilem Ioannis et eius patruelem. imperator his rebus gestis ad Bodena redit, indeque omnibus constitutis Byzantium, die nono mensis Ianuarii, indictione decima quinta, anno mundi 6526.

Ioannes licentiam consecutus ad oppugnandum Dyrrachium barbarico cum fastu proficiscitur, et inito praelio sternitur, incertum a quo,

γενομένου τοῦ καταβεβληκότος αὐτόν, ἄρξας Βουλγάρων ἐπ' C
ἐνιαυτοὺς β' καὶ μῆνας ε'. μηνυθέντος δὲ τῷ βασιλεῖ τοῦ θανά-
του τοῦ Ἰωάννου διὰ τοῦ στρατηγοῦντος Δυρραχίου Νικήτα πα-
τρικίου τοῦ Πηγωνίτου, ἔξεισι παραυτίκα ὁ βασιλεύς. γενομένῳ
δ' αὐτῷ κατὰ τὴν Ἀδριανούπολιν ὑπαντῶσιν ὁ ἀδελφὸς τοῦ περι-
φήμου Κρακρᾶ καὶ ὁ υἱός, προσχωρεῖν εὐαγγελιζόμενοι τό τε
περίπυστον φρούριον τὸν Πέρνικον καὶ ἕτερα πέντε ἐπὶ τριάκοντα.
οὓς τιμήσας ἀξίως καὶ τὸν Κρακρᾶν ἐς τὸν τῶν πατρικίων θρόνον
ἀναβιβάσας ἦλθεν εἰς Μοσυνούπολιν. ἐνταῦθα δὲ καὶ πρέσβεις
ἧκον ἐκ Πελαγονίας καὶ Μοροβίσδου καὶ Λιπενίου, παραδιδόν-
των τῷ βασιλεῖ τὰς πόλεις. ἐκεῖθεν ἄρας ἦλθεν ἐν Σέρραις. ἐν
αἷς ἀφίκετο ὁ Κρακρᾶς μετὰ τῶν ἀρχόντων τῶν προσρυέντων λε' D
κάστρων, καὶ καλῶς ὑπεδέχθη. προσερρύη δὲ καὶ Δραγομοῦζος,
τὰ ἐν τῇ Στρουμπίτζῃ παρεσχηκὼς καὶ πατρίκιος τιμηθείς, ἄγων
μεθ' ἑαυτοῦ καὶ τὸν πατρίκιον Ἰωάννην τὸν Χαλδίας, τότε τῆς
χρονίας ἀπολυθέντα καθείρξεως· ἔτυχε γὰρ ἁλοὺς παρὰ τοῦ Σα-
μουὴλ καὶ ἐπὶ εἴκοσι καὶ δύο χρόνους ὢν ἐν τῇ φυλακῇ. ἄρτι δὲ
τῇ Στρουμπίτζῃ προσήγγισεν ὁ βασιλεύς, καὶ ἧκεν ὁ ἀρχιεπίσκο-
πος Βουλγαρίας Δαβὶδ μετὰ γραμμάτων Μαρίας τῆς Ἰωάννου
γυναικός, ὑπισχνουμένης ἐκστῆναι Βουλγαρίας, εἰ τεύξεται τῶν
κατὰ σκοπόν. ὑπήντησε δὲ καὶ Βογδάνος ὁ τῶν ἐνδοτέρω κάστρων
τοπάρχης, καὶ τιμᾶται καὶ οὗτος πατρίκιος ὡς καὶ πάλαι τὰ βα-
σιλέως φρονῶν καὶ τὸν ἑαυτοῦ πενθερὸν ἀνελών. ἐκεῖθεν ἄπεισιν P 713
εἰς τὰ Σκόπια, καὶ στρατηγὸν αὐτοκράτορα λιπὼν ἐν τῇ πόλει

1 γεγονότος C

cum imperasset Bulgaris annos 2, menses 5. imperator a praefecto Dyrrachii Nicephoro patricio Pegonita certior de morte Ioannis factus statim expeditionem facit. cumque ad Adrianopolin venisset, occurrunt ei frater et filius famosi illius Cracrae, laetum ferentes nuntium, dedere se imperatori celebre illud Pernicum et alia 35 castella; quibus cum dignos habuisset honores et Cracram ad patriciam extulisset dignitatem, Mosynopolin venit. eodem venerunt et legati e Pelagonia et Morobisdo et Lipenio, urbes imperatori dedentes. inde Serras proficiscitur. eodemque venit Cracras cum iis qui 35 ista dedita castella obtinuerant, suntque honorifice excepti. accessit etiam Dragomuzus Strumpitzam dedens, estque patricio honore affectus, secum adducens etiam Ioannem Chaldiae praefectum patricium, qui a Samuelo captus in custodia 22 annos detentus fuerat. simulatque Strumpitzae imperator appropinquavit, ad eum venit Davidus Bulgariae archiepiscopus cum literis Mariae morte Ioannis viduae, promittentis se, modo certa quaedam postulata obtineret, Bulgaria cessuram. occurrit etiam Bogdanus interiorum castellorum dominus; atque ipse etiam patricio ornatur gradu, quod iampridem rebus imperatoris favisset suumque socerum interfecisset. inde Scopia abit; urbique relinquens praefectum Davidum patricium Ariani-

Δαβὶδ πατρίκιον τὸν Ἀρειανίτην ὑπέστρεψε διὰ τῶν φρουρίων Στυπείου τε καὶ Προσάκου, μετὰ λιτῶν καὶ ὕμνων εὐφημούμενος καὶ τιμώμενος. αὖθις δὲ πάλιν πρὸς τὰ δεξιὰ νενευκὼς ἄπεισιν εἰς Ἀχρίδας, κἀκεῖσε στρατοπεδείαν ἐπήξατο, τοῦ λαοῦ παντὸς μετὰ παιάνων καὶ κρότων καὶ εὐφημιῶν προσυπαντῶντος αὐτῷ· πόλις δὲ ἡ Ἀχρὶς ἐπὶ λόφου κειμένη ὑψηλοῦ, ἔγγιστα λίμνης μεγίστης, ἐξ ἧς ποιεῖται τὰς ἐκβολὰς ὁ Δρῖνος ποταμὸς πρὸς ἄρκτον ἰών, εἶτα νεύων πρὸς δύσιν καὶ εἰσβάλλων εἰς τὸ Ἰόνιον περὶ τὸν Ἐλισσὸν τὸ φρούριον, μητρόπολις οὖσα τῆς πάσης Βουλγαρίας,
B ἐν ᾗ καὶ τὰ βασίλεια τῶν βασιλέων ἵδρυντο Βουλγαρίας καὶ τὰ χρήματα ἀποτεθησαύριστο· ἅπερ ἀνοίξας ὁ βασιλεὺς εὗρε χρήματα πολλὰ καὶ στέμματα ἐκ μαργάρων καὶ χρυσοϋφεῖς ἐσθῆτας καὶ χρυσοῦ ἐπισήμου κεντηνάρια ἑκατόν, ἅτινα πάντα εἰς ῥόγας ἐκένωσε τῆς περὶ αὐτὸν στρατιᾶς. ἐπιστήσας οὖν ἄρχοντα τῆς πόλεως Εὐστάθιον πατρίκιον τὸν Δαφνομήλην, καὶ φρουρὰν ἀξιόλογον αὐτῷ δούς, ἐξῆλθεν εἰς τὴν παρεμβολὴν καὶ ἀχθεῖσαν ὡς αὐτὸν ἐδέξατο τὴν γυναῖκα Ἰωάννου τοῦ καὶ Βλαδισθλάβου, σὺν τρισὶν υἱοῖς καὶ θυγατράσιν ἓξ ἐπαγομένην καὶ νοθογενῆ υἱὸν τοῦ Σαμουὴλ καὶ δύο θυγατέρας Ῥαδομηροῦ τοῦ υἱοῦ τοῦ Σαμουὴλ

5 προσυπαντώντων C 6 post λίμνης μεγίστης C: Λυχνιδοῦ καλουμένης· ἀφ' ἧς καὶ ἡ πόλις Λυχνιδὸς ἐπικαλεῖται ὁμωνύμως τῇ λίμνῃ, Δυασσαρίτης ἔκπαλαι καλουμένη. ἀπὸ δὲ τῆς λίμνης ταύτης ἀγρεύεται ἰχθύων εὐχρήστων πλῆθος ἀμύθητον. 8 post ἰών C: ἀπὸ μὲν τῶν νοτιωτέρων μερῶν τῶν πρὸς Διάβολιν ἐκρέων. διαιρῶν δὲ τὴν εἰρημένην λίμνην οἷον Ἀλφειὸς λέγεται τὸ πέλαγος διαιρεῖν καὶ πρὸς τὴν Ἀρέθουσαν ἀπιὼν καὶ κατὰ τὸ βόρειον μέρος ἰών· πρὸς δὲ τὸ τέρμα τῆς λίμνης τὰς ἐγχωρίως λεγομένας Στρούγας εὑρηκὼς καὶ ταύταις ἑνωθεὶς μέγιστός τε γίνεται ποταμῶν τὸν Ὄρινον C 18 ἐπαγομένων libri υἱῶν C

tam, per castella Stypeium et Prosacum revertitur, comprecationibus et gratulationibus eum venerantibus subditis. inde ad dextram partem inclinans Achridem ingreditur, ibique castra facit, omni populo cum paeanibus plausu et faustis acclamationibus occurrente. urbs est Achris in sublimi posita colle, proxime lacum maximum, unde Drinus fluvius versus septentriones effluit. deinde versus occidentem deflectens in Ionium intravit, apud Ilissum castellum, quae urbs caput erat totius Bulgariae et regia regum Bulgariae, ibique eorum repositi thesauri. quos imperator aperuit, magnamque pecuniae vim invenit, et coronas ex unionibus consertas, auroque intextas vestes, atque auri centenaria 100, quae is congiarii loco in milites suos erogavit. urbi praefecit Eustathium patricium Daphnomelum, adiuncto valido praesidio; atque exiit in castra, excepitque ad se adductam Ioannis Bladisthlabi viduam cum filiis tribus et sex filiabus: adducebat ea secum etiam spurium Samueli filium et duas filias Radomeri, filii Samueli, ac filios quinque, de qui-

καὶ πέντε υἱούς, ὧν ὁ εἷς πεπήρωτο τοὺς ὀφθαλμοὺς παρὰ τοῦ C Ἰωάννου ληφθείς, ὅτε τὸν Ῥαδομηρὸν τὸν υἱὸν Σαμουὴλ σὺν τῇ αὐτοῦ γυναικὶ καὶ Βλαδιμηρὸν τὸν τούτου γαμβρὸν ἀνεῖλεν. ἦσαν δὲ καὶ ἕτεροι τρεῖς υἱοὶ τῇ Μαρίᾳ ἀπὸ τοῦ Ἰωάννου τεχθέντες, ἀλλ' ἔφθασαν ἀποδρᾶσαι εἰς τὸ ὄρος τὸν Τμῶρον, κορυφὴν ὑπάρχοντα τῶν Κεραυνίων ὀρῶν. ἣν ἠπίως δεξάμενος καὶ φιλοφρόνως φυλάττεσθαι προσέταξε μετὰ τῶν ἄλλων. προσῆλθον δὲ τῷ βασιλεῖ καὶ ἕτεροι μεγιστᾶνες τῶν Βουλγάρων, ὁ Νεστορίτζης, ὁ Ζαρίτζης καὶ ὁ νέος Δοβρομηρός, μετὰ τῶν οἰκείων ἕκαστος ταγμάτων· καὶ ἐδέχθησαν εὐμενῶς καὶ βασιλικῶς ἐτιμήθησαν. τότε καὶ Προυσιανὸς καὶ οἱ τούτου δύο ἀδελφοί, οἱ τοῦ Βλαδι- D σθλάβου παῖδες οἱ εἰς τὸν Τμῶρον φυγόντες, ὡς ἔμπροσθεν εἴρηται, καὶ χρονίᾳ κακωθέντες πολιορκίᾳ (στρατιῶται γὰρ προσταχθὲν ἐκ βασιλέως προσεδρεύοντες ἐτήρουν τὰς καθόδους τοῦ ὄρους), διακηρυκεύονται πρὸς τὸν βασιλέα πίστεις αἰτοῦντες καὶ ἑαυτοὺς ἐγχειρίσαι ἐπαγγελλόμενοι. καὶ πρὸς μὲν τούτους ὁ βασιλεὺς φιλανθρώπους ἔδωκεν ἀποκρίσεις, ἄρας δ' ἐξ Ἀχρίδος ἔρχεται εἰς τὴν λίμνην τὴν λεγομένην Πρέσπαν, ἐν τῷ διιέναι τὸ μεταξὺ ὄρος φρούριον οἰκοδομήσας ἄνωθεν τούτου καὶ Βασιλίδα ἐπονομάσας, καὶ ἕτερον ἐν τῇ λεχθείσῃ λίμνῃ. ἐκ δὲ Πρέσπης ἄπεισιν εἰς τὴν λεγομένην Διάβολιν, ἐν ᾗ βήματος ἀρθέντος ὑψηλοῦ εἰσιόντας ἐδέξατο τοὺς περὶ τὸν Προυσιανὸν ἀδελφούς, καὶ λόγοις ἐπιεικέσι καὶ φιλανθρώποις παραμυθησάμενος τοῦτον μὲν P 714 μάγιστρον τοὺς δὲ λοιποὺς πατρικίους ἐτίμησεν. ἤχθη δὲ καὶ ὁ

5 τμόρον C 12 τμόρον C 13 κατασχεθέντες C 15 διακηρυκεύοντες C 20 καὶ ἕτ. — λίμνῃ om C

bus unus oculis erat orbatus ab Ioanne, quo is tempore Radomerum Samueli filium eiusque uxorem et generum Bladimerum interfecit. habebat Maria ex Ioanne etiam alios tres filios: sed ii in montem Tmorum, qui unus est de verticibus Ceraunicorum montium, confugerant. imperator eam benigne et comiter exceptam cum reliquis asservari iussit. adiunxerunt se imperatori praeterea alii etiam Bulgarici proceres, Nestoritzes Zaritzes et iunior Dobromerus, quisque cum suis cohortibus, acceptique sunt comiter, et ab imperatore iis ut ipso dignum erat honos habitus. quin et Prusianus Bladisthlabi filius cum fratribus, quos in Tmorum effugisse docuimus, diuturna fracti obsidione (milites enim iussu imperatoris insederant montium descensus) ab imperatore caveri sibi petunt et deditionem promittunt; quibus is humaniter respondit. Achride porro ad lacum Pespam iter faciens duo condit castella, unum in monte interiacente, quod Basilidem vocat, alterum in dicta palude. Prespa Diabolin petit, ibique erecto tribunali Prusianum cum fratribus accipit, orationeque plena humanitatis consolatus, eum magistri, reliquos

Ἰβάτζης πεπηρωμένας ἔχων τὰς ὄψεις. ἀλλ' ἄξιον εἰπεῖν καὶ τὸν τρόπον τῆς ἐκτυφλώσεως· ἔχει γὰρ ἡδύ τι καὶ θαυμαστὸν ἡ διήγησις.

Μετὰ γὰρ τὸν τοῦ Βλαδισθλάβου τοῦ καὶ Ἰωάννου θάνατον καὶ τῆς γυναικὸς αὐτοῦ Μαρίας καὶ τῶν ταύτης παίδων προσχώρησιν καὶ τὴν τῶν ἄλλων δυναστῶν ἁπάσης Βουλγαρίας ὑπακοὴν ὁ Ἰβάτζης οὗτος φυγὼν καὶ ἔν τινι δυσβάτῳ γενόμενος ὄρει (Βροχωτὸς κλῆσις αὐτῷ) βασίλειά τε ἔχοντι περικαλλῆ (Προνίσταν
B ταῦτα καλοῦσι) καὶ παραδείσους καὶ ἀπολαύσεις οὐκ ἀπρεπεῖς, ὑπεῖξαι τοῖς θελήμασιν οὐκ ἐβούλετο τοῦ θεοῦ, ἀλλὰ δύναμιν ἐκ τοῦ κατὰ μικρὸν συνεγείρων ἀνεστάτου τὰ παρακείμενα καὶ ἀποστασίαν ἐμελέτα καὶ τὴν Βουλγαρικὴν ὠνειροπόλει ἀρχήν. τοῦτο οὐ μικρῶς ἐλύπει τὸν βασιλέα, καὶ διὰ τοῦτο τοῦ κατ' εὐθεῖαν ἀφέμενος πορεύεσθαι ἀπέκλινε πρὸς μεσημβρίαν, καὶ κατὰ τὴν εἰρημένην ἐγένετο Διάβολιν, ὡς ἢ καταναγκάσων πάντως τὸν ἀποστάτην καταθεῖναι τὰ ὅπλα ἢ πολέμῳ τοῦτον κατεργασόμενος. καὶ ὁ μὲν βασιλεὺς ἐν τῷ ῥηθέντι τόπῳ φιλοχωρῶν γράμμασιν ἐνουθέτει τὸν Ἰβάτζην, μὴ τῆς Βουλγαρίας πάσης ὑποταγείσης
C μόνον ἀνταίρειν χεῖρας αὐτὸν μηδὲ φαντάζεσθαι τὰ ἀτέλεστα, γινώσκοντα ὡς οὐκ εἰς ὄνησιν αὐτῷ τὸ ἐγχείρημα τελευτήσει. ὁ δὲ τὰ γράμματα δεχόμενος καὶ ἑτέροις ἀμειβόμενος, καὶ παντοίας προτιθεὶς ἀφορμάς, παρεῖλκε καὶ ἀνεδύετο, ὡς ἀναγκασθῆναι τὸν βασιλέα ἐπὶ πέντε καὶ πεντήκοντα ἡμέρας ἐνδιατρῖψαι τῷ τόπῳ, ταῖς ὑποσχέσεσι δελεαζόμενον. ἐγνώσθη τὰ τοῦ πράγματος τῷ

10 βουλήμασιν C 18 πάσης add C

patricia dignatur excellentia. adductus est etiam Ibatzes oculis spoliatus. quos quo pacto amiserit, referre operae pretium est, cum ea narratio iucundum habeat quippiam et admirabile.

Mortuo Bladisthlabo, cum uxor ab ea relicta, filii omnesque Bulgariae proceres imperatori deditionem fecissent, solus hic Ibatzes fugiens, occupato monte accessus habente difficillimos, arcem autem regiam perelegantem hortosque et alia oblectamenta praeclara (Brochotum quidam, alii Pronistan vocant), solus dei voluntati sese opponebat, copiasque paulatim colligens rebellionem moliebatur, imperium Bulgaricum somnians. haud exiguam id factum imperatori attulit molestiam; ideoque recto itinere omisso ad meridiem declinavit, Diabolinque se contulit, ut aut desistere ab armis seditiosum istum cogeret aut bello oppprimeret. ibi ergo degens aliquamdiu Ibatzen per literas hortatus est ne Bulgaria subacta solus ipse rebellare vellet, neve ea sibi polliceri vana spe quae adipisci nequiret: cogitaret hunc sibi conatum male cessurum. ad eas literas Ibatzes ita rescripsit ut omnis generis usus praetextibus rem extraheret, imperatorque ab eo lactatus quinquaginta quinque dies contra

τῆς Ἀχρίδος ἄρχοντι Εὐσταθίῳ τῷ Δαφνομήλῃ, ὅτι μέλει τῷ βασιλεῖ ἡ τοῦ Ἰβάτζη καθαίρεσις. καὶ δῆτα καιρὸν ἐπιτήδειον εὑρηκώς, καὶ δυσὶ θεράπουσι τῶν πιστικωτάτων κοινολογησάμενος καὶ τὸ βούλευμα φανερώσας, ἐγχειρεῖ τῇ πράξει. δημοτελὴς ἤγετο ἑορτὴ τῷ Ἰβάτζῃ, ἡ κοίμησις τῆς πανάγνου καὶ θεομήτο- D ρος. κατὰ ταύτην τὴν ἡμέραν εἰώθει συγκαλεῖν εἰς εὐωχίαν οὐ τοὺς ἀγρογείτονας μόνον καὶ ἀγχιτέρμονας, ἀλλὰ καὶ τῶν ὡς πορρωτάτω πολλούς. ἄπεισι γοῦν ὁ Εὐστάθιος αὐτόκλητος εἰς τὴν ἑορτήν, καὶ τοῖς φυλάττουσιν ἐντυχὼν τὰς διόδους ἀπαγγέλλειν ἐκέλευεν ὅστις εἴη, καὶ ὅτι πάρεστι τῷ ἄρχοντι συνευφρανθησόμενος. ἀπαγγειλάντων δὲ τούτων, ἐν θαύματι ὁ Ἰβάτζης ἐτίθει εἰ δυσμενὴς ἄνθρωπος αὐθαίρετος ἥκει καὶ χερσὶν ἐκδίδωσιν ἑαυτὸν πολεμίαις. ὅμως ἀφικέσθαι κελεύει, καὶ ἐλθόντα ἐδέξατό τε περιχαρῶς καὶ ἠσπάσατο. ἄρτι δὲ τελεσθέντος τοῦ ἑωθινοῦ ὕμνου, καὶ πάντων τῶν συνειλεγμένων εἰς τὰς ἰδίας σκεδασθέντων καταγωγάς, ὁ Εὐστάθιος πρόσεισι τῷ Ἰβάτζῃ, καὶ ἀξιοῖ τοὺς ἄλλους πρὸς μικρὸν ἐκστῆναι ὡς τάχα μέλλων αὐτὸς διαλέξασθαι κατ' ἰδίαν περί τινος ἀναγκαιοτάτου καὶ λυσιτελοῦντος αὐτῷ. ὁ δὲ τὸν δόλον καὶ τὴν ἀπάτην μὴ κατανοήσας, ἀλλὰ P 715 τῷ ὄντι ὑπολαβὼν ὡς βούλεται καὶ αὐτὸς εἷς γενέσθαι τῶν συνιστώντων αὐτῷ τὴν ἀποστασίαν, τοὺς θεράποντας μικρὸν ἀποστῆναι κελεύσας, τῆς χειρὸς ἐκείνου λαβόμενος ἔν τινι παραδείσῳ εἰσάγει συνηρεφεῖ δένδροις καὶ κοιλότητα ἔχοντι, ὡς μηδὲ φωνὴν ἐξηχεῖσθαι δύνασθαι διὰ τὴν συνδενδρίαν. οὗ ἐντὸς γενόμενος ὁ

1 δαφνομίλῃ C

animi sententiam Diaboli haereret. at Achridis praefectus Daphnomelus certior factus imperatorem de opprimendo Ibatza esse solicitum, instituto suo cum duobus quorum ei perspecta erat fides famulis communicato, opportunitatem venatus rem ita aggreditur. solenne festum assumptionis Mariae Ibatzes publice celebrabat, vocabanturque ad convivium de more non vicini modo sed et peregrini. ad eam festivitatem Eustathius ultro proficiscitur. cumque incidisset in custodes viarum, nuntiare Ibatzae iubet nominatim se adesse et cupere cum ipso animum exhilarare. miratus est Ibatzes hostem sua sponte venire ac se hostium manibus credere, venire tamen iussit, admissumque laetus excepit atque amplexus est. finito hymno matutino, omnibusque aliis in sua dilapsis diversoria, Ibatzen Eustathius accedit, et quod haberet quae seorsim cum ipso colloqueretur apprime necessaria ac ipsi utilia, petit ut reliqui interim secedant. Ibatzes dolum non sentiens, sibique omnino persuadens Eustathium cum ipso velle societatem rebellionis coire, dimotis aliquantisper famulis manu eum apprehensum in pomarium quoddam abducit opacum arboribusque ita dense consitum ut ne vox quidem inde

Εὐστάθιος, καὶ μεμονωμένου λαβόμενος τοῦ Ἰβάτζου, εἰς γῆν
τε αὐτὸν εὐθὺς καταβάλλει, καὶ τῷ στήθει προσερείσας τὸ γόνυ
(ἦν γὰρ κατὰ χεῖρα γενναῖος) τοῦτον κατῆγχε, καὶ τοῖς δυσὶν
B ὑπηρέταις ἐνεκελεύσατο βοηθεῖν τὴν ταχίστην. οἱ δέ, καθάπερ
συντεθειμένον ἦν, ἱστάμενοι καὶ καραδοκοῦντες τὸ μέλλον, ὡς
ἤκουσαν τῆς φωνῆς τοῦ κυρίου, ἔδραμόν τε εὐθέως, καὶ τὸν
Ἰβάτζην περισχόντες καὶ τῷ χιτῶνι ἀποφράξαντες αὐτοῦ τὸ στόμα, ὡς μὴ βοήσας περιστήσῃ πλῆθος αὐτοῖς καὶ ἄπρακτον ἀποτελέσῃ τὸ ἔργον, ἀποτυφλοῦσι, τυφλωθέντα δὲ ἐκβάλλουσι τοῦ παραδείσου εἰς τὴν αὐλήν. αὐτοὶ δὲ εἴς τι ὑπερῷον οἴκημα ὑψηλὸν ἀναδραμόντες καὶ τὰ ξίφη ἑλκύσαντες ἐξεδέχοντο τοὺς μέλλοντας προσιέναι. γνωσθέντος δὲ τοῦ δράματος συνέρρει πλῆθος ἀμύθητον· οἱ μὲν γὰρ ξίφη κατέχοντες ἐν χερσίν, οἱ δὲ δόρατα, οἱ δὲ τόξα, οἱ δὲ λίθους, οἱ δὲ ξύλα, οἱ δὲ δαλοὺς καιομένους,
C ἄλλοι δὲ ὕλην εὔπρηστον, ἔθεον βοηδρομοῦντες καὶ κεκραγότες "σφαττέσθωσαν, καιέσθωσαν, μεληδὸν κατατεμνέσθωσαν, λίθοις καταχωννύσθωσαν οἱ παλαμναῖοι καὶ ἀλιτήριοι· μή τις φειδὼ γενέσθω τῶν ἀλαστόρων." συνδρομὴν δὲ θεασάμενος ὁ Εὐστάθιος, καὶ τῆς ἑαυτοῦ ἀπεγνωκὼς σωτηρίας παρεκάλει τέως τοὺς ἀμφ' αὐτὸν ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ μη μαλακισθῆναι, μηδ' ἑαυτοὺς προδοῦναι καὶ εἰς ἐξουσίαν πεσεῖν τῶν ζητούντων τὴν αὐτῶν ἀπώλειαν, καὶ παρ' ἐκείνων τὴν σωτηρίαν ἐκδέχεσθαι ἢ θάνατον οἰκτρὸν καὶ ἐπώδυνον. πρὸς δὲ τὸ πλῆθος ἀπό τινος θυρίδος προκύψας καὶ τῇ χειρὶ κατασιγάσας τὸν ὄχλον τοιῶνδε λόγων

exaudiri posset. ibi solum Ibatzam nactus Eustathius, homo manu promptus, in terram illico prosternit, genuque pectori eius innixus vocem iacentis intercludit, duosque suos famulos celerrime subvenire iubet, qui, ut erat compositum, stantes et eventui intenti, simulatque domini vox auribus ipsorum allata est, accurrunt, Ibatzae os veste iniecta obturant, ne ad eius clamorem confluente multitudine conatus fieret irritus, et oculos ei exsculpunt: caecatum in aulam proiiciunt extra paradisum, ipsi in sublime domus coenaculum evadunt, strictisque gladiis exspectant hostium impetum. cognito facinore ingens confluxit multitudo. alii strictos manibus gladios tenentes, alii hastas, arcus alii, nonnulli lapides, quidam ligna, aliqui faces ardentes, materiam alii ignis capacem, accurrebant opitulatum, vociferantes "iugulantor, cremantor, membratim conciduntor, lapidibus obruuntor scelesti: nemo flagitiosis hisce parcat." concursum cernens Eustathius, tametsi de salute sua desperarat, tamen suos hortabatur ut animo essent forti, neque emollirentur aut se ipsos hostibus proderent iisque dederent qui ipsorum mortem desiderarent, neve ab iis salutem potius se consecuturos quam misere interfectum iri putarent. ipse per fenestram quandam ad turbam prospiciens, manusque motu si-

ἀπήρξατο. “ὅτι μέν, ὦ ἄνδρες οἱ συνειλεγμένοι, οὐδεμία τις D *προαπέκειτό μοι ἀπέχθεια πρὸς τὸν ὑμέτερον δυνάστην, καὶ ὑμεῖς αὐτοὶ πάντες ἐρεῖτε, ἀκριβῶς εἰδότες ὡς Βούλγαρος μὲν αὐτὸς Ῥωμαῖος δ' ἐγώ, καὶ Ῥωμαῖος οὐ τῶν ἐπὶ Θρᾴκης καὶ Μακεδονίας οἰκούντων, ἀλλ' ἐκ τῆς μικρᾶς Ἀσίας, ἥτις ὅσον ἀπέχει ὑμῶν, ἴσασιν οἱ γινώσκοντες. ὅτι δὲ καὶ αὐτὸς τῷ τοιούτῳ ἐπεχείρησα ἔργῳ οὐκ εἰκῇ καὶ μάτην, ἀλλά τις με κατήπειξεν ἀνάγκη, λογιεῖσθε οἱ φρονιμώτεροι. οὐ γὰρ ἂν οὕτω μανιωδῶς εἰς προὖπτον ἐμαυτὸν ἐνέρριψα κίνδυνον καὶ τῆς ἐμαυτοῦ ζωῆς κατεφρόνησα, εἰ μή τις ἦν ἄλλη αἰτία ἡ βιασαμένη με πρὸς τὴν πρᾶξιν ἐλθεῖν. ἴστε οὖν ὡς τὸ γενόμενον ἔργον πρόσταγμα βασιλέως ἐστίν, ᾧ πειθαρχῶν ἐγὼ ὡς ὄργανον διηκόνησα. καὶ νῦν εἰ βούλεσθέ με δια-* P 716 *χειρίσασθαι, ἰδοὺ ὑφ' ὑμῶν ἐγὼ περιειλημμένος. πλὴν οὐκ εὐκόλως οὐδὲ ῥᾳδίως ἐγὼ ἀποθανοῦμαι, οὐδὲ καταθεὶς τὰ ὅπλα ἐμαυτὸν παραδώσω ὑμῖν ὡς βούλεσθε χρῆσθαι, ἀλλ' ἀγωνιοῦμαι περὶ τῆς οἰκείας ζωῆς, καὶ μέχρι θανάτου ἀμυνοῦμαι τοὺς ἐπιόντας ἅμα τοῖς σὺν ἐμοί. εἰ δὲ καὶ θανούμεθα, ὅπερ ἀνάγκη παθεῖν τοὺς ὑπὸ πλειόνων περιστοιχισθέντας, εὐδαίμονα καὶ μακάριον τὸν θάνατον λογιζόμεθα, ἔχοντες καὶ τὸν μέλλοντα καὶ τὸ ἡμέτερον ἐκζητῆσαι καὶ ἐκδικῆσαι αἷμα, πρὸς ὃν βουλεύσασθε εἰ δυνατὸν ἄχρι πολλοῦ ἀνθίστασθαι.” τούτων ἀκούσαντες οἱ συνηθροισμένοι τῶν λόγων, καὶ τῷ ἐκ βασιλέως δέει καταπλαγέντες, κατὰ μικρὸν ὑπορρέοντες ἄλλοι ἀλλαχῇ διεσκεδάσθησαν, οἱ γη-* B

3 *πάντως* C 5 *μακρᾶς* C 14 *εὐλόγως* margo P 21 *συνειλεγμένοι* C 23 *ἄλλος* C

lentium conficiens, ita eam est affatus: nullas mihi, o multitudo, cum vestro principe privatim intercessisse inimicitias vel ipsi iudicare potestis. is enim Bulgarus est, ego Romanus, quod vobis est notissimum. neque Romanus ego sum e Thracia aut Macedonia oriundus, sed ex Asia minore; quae quanto sit spatio a vestra patria dissita, periti norunt. iam prudentiores id non difficulter iudicabunt, non temere me aut frustra, sed necessitate aliqua compulsum hoc facinoris aggressum fuisse. alioqui nunquam me in tam evidens periculum tam dementer coniecturus fueram. proinde sciatis iussu imperatoris, quicquid eius est, fuisse factum, et eum mearum manuum usum ministerio. ergo si me vultis occidere, sane circumdatus in vestra sum potestate: neque tamen nullo negotio nos conficietis, neque armis depositis vestrae nos tractandos committemus libidini, sed ad extremum usque spiritum pro nostra vita propugnabimus. quodsi interficiemur, quod fieri necesse est, cum tam pauci a tam multis circumclusi simus, mortem eam felicem deputabimus, eum habituri sanguinis nostri ultorem, cui vos cupitis quam diutissime reluctari." hoc sermone audito, colluvies ista imperatoris terrore perculsi paulatim alii aliorsum dissipati diffluxere. seniores ac

ἕτερον πάλιν λαὸν κατὰ τῶν ἐν Τριαδίτζῃ φρουρίων, ἔξαρχον ἔχοντα τὸν Ξιφίαν, ἐκπέμπει. καὶ οὗτος δὲ τὰ ἐν τοῖς ὑπαίθροις πάντα καταστρεψάμενος εἷλε πολιορκίᾳ τὸ ἔρυμα ὃ Βοϊὼν καλεῖται.

Ὁ δὲ βασιλεὺς ἀπελθὼν ἐν Κωνσταντινουπόλει, κατὰ τὸν Ἰανουάριον μῆνα τοῦ ,ςφκδʹ ἔτους, στόλον εἰς Χαζαρίαν ἐκπέμπει, ἔξαρχον ἔχοντα τὸν Μογγόν, υἱὸν Ἀνδρονίκου δουκὸς τοῦ Λυδοῦ· καὶ τῇ συνεργίᾳ Σφέγγου τοῦ ἀδελφοῦ Βλαδιμηροῦ, τοῦ ἀδελφοῦ τοῦ βασιλέως, ὑπέταξε τὴν χώραν, τοῦ ἄρχοντος αὐτῆς P 711 Γεωργίου τοῦ Τζούλου ἐν τῇ πρώτῃ προσβολῇ συλληφθέντος. τότε καὶ Σεναχηρεὶμ ὁ τῆς ἄνω Μηδίας ἄρχων, ἣν Ἀσπρακανίαν ὀνομάζουσι σήμερον, τῷ βασιλεῖ παγγενεὶ προσέδραμε, τὴν ὑπείκουσαν αὐτῷ παραδεδωκὼς ἅπασαν χώραν, πατρίκιος τιμηθεὶς καὶ στρατηγὸς Καππαδοκίας, καὶ κτήσεις ἀντιλαβὼν τάσδε τὰς πόλεις, τὴν Σεβάστειαν, τὴν Λάρισσαν, τὴν Ἄβαραν, καὶ ἄλλας κτήσεις πολλάς. στενοχωρούμενος γὰρ οὗτος ὑπὸ τῶν προσοίκων Ἀγαρηνῶν καὶ μὴ οἷος ὢν ἀντέχειν προσέδραμε τῷ βασιλεῖ, παραδοὺς τὴν ἑαυτοῦ χώραν. ἧς ἄρχειν ἀποσταλεὶς Βασίλειος πατρίκιος ὁ Ἀργυρὸς καὶ τοῖς ὅλοις πταίσας παραλύεται τῆς ἀρχῆς· καὶ διά- B δοχος αὐτοῦ πέμπεται Νικηφόρος πρωτοσπαθάριος ὁ Κομνηνός, ὃς κατὰ χώραν γενόμενος καὶ τὰ μὲν πειθοῖ τὰ δὲ βίᾳ χρώμενος ὑπήκοον τῷ βασιλεῖ τὴν χώραν ἐποίησε.

Τῷ δὲ ,ςφκδʹ ἔτει, ἰνδικτιῶνος ιδʹ, ἀπάρας τῆς βασιλίδος ὁ

7 υἱὸν] Ἰωάννην C 9 ἀδελφοῦ] γαμβροῦ C: cf. 699 c Βασιλείου P 10 τζούλη C 16 προσόντων C 23 ,ςʹ δὲ φκδ C, omisso τῷ

tzac castella, duce Xiphia. qui omnibus quae sita erant in planitie subactis, castellum cui Boion nomen expugnavit.

Imperator Cpolin reversus Ianuario mense, anno mundi 6524, classem in Chatzariam mittit, duce Mongo Andronici duce Lydi filio. is adiuvante Sphengo fratre Bladimeri, eius qui Basilii imperatoris sororem in matrimonio habebat, regionem eam subegit, principe eius Georgio Tzulo in primo conflictu capto. tunc etiam Senacherimus, superioris Mediae princeps, quam hodie Aspracaniam nominant, cum universa sua familia imperatori accessit, tradita ei sua dicione, quod viciniis Agarenis ipsum prementibus ad resistendum non satis haberet virium; estque factus patricius et Cappadociae dux, recepitque suae dicionis loco Sebasteam Larissam Abaram urbes aliaque multa praedia. Aspracaniae autem imperator praefecit Basilium patricium Argyrum; cui ob rem male gestam abrogatum imperium, et successor missus Nicephorus Comnenus protospatharius, qui provinciam qua verbis qua vi usus imperatori subiecit.

Eodem anno, indictione 14, imperator urbe egressus in Triaditzam

βασιλεὺς ἄπεισιν εἰς Τριαδίτζαν. καὶ τὸ φρούριον Πέρνικον περικα-
θίσας ἐπολιόρκει, τῶν ἔνδον τε καρτερῶς καὶ ἐκθύμως ἀγωνιζο-
μένων, καὶ πολλῶν Ῥωμαίων πιπτόντων. ἐφ' ὅλας ὀγδοήκοντα
καὶ η' ἡμέρας προσλιπαρήσας τῇ πολιορκίᾳ, ὡς ἔγνω ἀδυνάτοις
ἐπιχειρῶν, ἄπρακτος ὑπεχώρησε καὶ εἰς Μοσυνούπολιν ἀπῆλθεν.
ἐν ᾗ τὸν λαὸν διαναπαύσας, ἔαρος ἐπιστάντος ἄρας ἐκ Μοσυνου-
πόλεως εἴσεισιν εἰς Βουλγαρίαν, καὶ περικαθίσας φρούριον τὸ λε-
γόμενον Λογγὸν εἷλε πολιορκίᾳ. Δαβὶδ δὲ τὸν Ἀριανίτην καὶ C
Κωνσταντῖνον τὸν Διογένην εἰς τὰς κατὰ Πελαγονίαν πεδιάδας
ἐκπέμψας ζῴων πολλῶν καὶ αἰχμαλώτων ἐγένετο κύριος. τὸ δὲ
ληφθὲν φρούριον ἐμπρήσας ὁ βασιλεύς, καὶ τριχῇ τοὺς ἁλόντας
μερισάμενος, καὶ μίαν μὲν μερίδα τοῖς συμμαχοῦσι παρεσχηκὼς
Ῥῶς ἑτέραν δὲ Ῥωμαίοις, καὶ ἄλλην ἑαυτῷ παρακατασχών, ἐχώ-
ρει προσωτέρω. καὶ μέχρι Καστορίας ἐλθὼν καὶ τῆς πόλεως ἀπο-
πειραθείς, ὡς ᾔσθετο ἀνεπιχείρητον αὐτὴν οὖσαν, ὑπέστρεψεν·
ἐδέξατο γὰρ καὶ γράμμα τοῦ στρατηγοῦντος ἐν τῷ Δοροστόλῳ
Τζιτζικίου, τοῦ υἱοῦ τοῦ πατρικίου Θευδάτη τοῦ Ἴβηρος, ὡς ὁ
Κρακρᾶς λαὸν ὅτι πλεῖστον ἀθροίσας καὶ τῷ Ἰωάννῃ ἑνωθείς, D
προσλαβόμενοι δὲ καὶ Πατζινάκας, μέλλουσιν εἰσβολὴν κατὰ Ῥω-
μαίων ποιήσασθαι. τούτῳ τῷ γράμματι θορυβηθεὶς ἐπανῄει διὰ
ταχέων. ἐν τῷ παριέναι δὲ τό τε φρούριον εἷλε τὰ Βοσόγραδα καὶ
ἐνέπρησε, καὶ τὴν Βέρροιαν ἐπικτίσας, δῃώσας δὲ καὶ κατερει-
πώσας τὰ πέριξ Ὀστρόβου καὶ Μολισκοῦ, ἔστη τοῦ προσωτέρω
ἰέναι· ἀπηγγέλη γὰρ αὐτῷ ὡς ἡ μελετωμένη τῷ Κρακρᾷ καὶ τῷ

1 τριάδιτζαν C 5 κατῆλθεν C. 8 λογγᾶν C 16 δωροστόλω τζοτζικίου C 17 θευδάτου C

venit, et castellum Pernicum obsidione cinctum oppugnat. dies autem octoginta octo cum ibi perseverasset, praesidiariis fortissime defendentibus multisque Romanis cadentibus, sentiens se quod conatus erat consequi non posse, re infecta discedit Mosynopolin. ibi quiete refectis copiis, appetente vere in Bulgariam intrat, et castellum Longum circumsessum expugnat; ac missis in campestria Pelagoniae Davido Arianita ac Constantino Diogene multum pecoris atque hominum inde abigit. incenso castello captivos in tres partes distribuit, quarum unam Rossis auxilia iis, alteram Romanis, tertiam sibi assignat. progressus inde ad Castoriam usque, cum eam urbem tentasset ac inexpugnabilem sentiret, retro abduxit. acceperat enim literas a Tzitzicio Dorostoli praefecto, Theudatae Iberi patricii filio, quibus indicabatur Cracram numerosissimo exercitu contracto se cum Ioanne coniunxisse, eosque adscitis in societatem Patzinacis in Romanorum dicionem irrupturos. his literis perturbatus illico convertit iter, inque transitu Bosograda castellum capit atque incendit, Berroeam reficit; eversisque circum Ostrobum et Moliscum sitis castellis subsistit, accepto nuntio Cracrae et Ioannis impressionem,

Ἰωάννῃ κατὰ Ῥωμαίων ἔφοδος ἐνεποδίσθη, τῶν Πατζινάκων μὴ
δόντων συμμαχίαν αὐτοῖς. διὸ καὶ ὑποστρέψας πολιορκεῖ φρούριον ἄλλο τὴν Σέταιναν, ἐν ᾗ βασίλεια ἦσαν τοῦ Σαμουὴλ καὶ
σῖτος ἀπέκειτο πολύς, ὃν τῷ λαῷ διαρπάσαι κελεύσας τἆλλα πάντα
P 712 κατέφλεξεν. ἐξέπεμψε δὲ καὶ κατὰ Ἰωάννου οὐ μακρὰν ἀπέχοντος τὸ τάγμα τῶν σχολῶν τῆς δύσεως καὶ τὸ τῆς Θεσσαλονίκης, ἡγεμόνα ἔχοντα Κωνσταντῖνον τὸν Διογένην. τούτοις ἀπιοῦσιν ἐνήδρευεν ὁ Ἰωάννης. μαθὼν δὲ τοῦτο ὁ βασιλεὺς καὶ μή τι πάθοιεν φοβηθείς, παρὰ τοῦ λαοῦ ἐξιππασάμενος, καὶ μηδὲν ἄλλο εἰπὼν ἀλλ' ἢ μόνον "ὅστις πολεμιστής, ἀκολουθείτω μοι," ἀπῄει κατὰ σπουδήν. τοῦτο γνόντες οἱ τοῦ Ἰωάννου σκόποι μετὰ φόβου πρὸς τὸ τοῦ Ἰωάννου στρατόπεδον ἔρχονται, καὶ δειλίας καὶ ταραχῆς τοῦτο ἐνέπλησαν, μηδὲν ἄλλο βοῶντες εἰ μὴ "βεζεῖτε, ὁ Τζαῖσαρ." πάντων οὖν φευγόντων ἀκόσμως σὺν τῷ Ἰωάννῃ,
B οἱ περὶ τὸν Διογένην ἀναθαρρήσαντες κατόπιν ἐδίωκον. καὶ κτείνουσι μὲν πολλούς, συλλαμβάνουσι δὲ καὶ διακοσίους πανοπλίτας καὶ τοὺς ἵππους καὶ τὴν ἀποσκευὴν Ἰωάννου καὶ τὸν τούτου ἀνεψιόν. ταῦτα δράσας ἐπάνεισι πρὸς τὰ Βοδηνά, καὶ πάντα τὰ ἐκεῖσε καταστησάμενος ἐπαναζευγνύει πρὸς τὸ Βυζάντιον, κατὰ τὴν θ' τοῦ Ἰανουαρίου μηνός, τῆς ιε' ἐπινεμήσεως, ἔτους ,ςφκς'.

Ἀδείας δὲ λαβόμενος ὁ Ἰωάννης ἄπεισι πολιορκήσων τὸ Δυρράχιον μετὰ φρυάγματος καὶ ὄγκου βαρβαρικοῦ. ἔνθα πολιορκίας συστάσης καὶ συμπλοκῆς γενομένης πίπτει, μηδενὸς δήλου

3 σέτεναν C 9 φοβηθεὶς π. τοῦ λαοῦ om C 10 ἀλλ' ἢ] εἰ μὴ C 14 τζέσαρ C

quam moliti erant, impeditam esse, Patzinacis eos auxilio frustratis. in reditu castellum expugnat Setaenam, ubi arcem Samuelus habebat ac plurimum frumenti reposuerat: frumentum milites diripere iubet, cetera omnia cremat. secundum haec adversus Ioannem non procul a se dissitum emittit cohortes scholarum occidentalium et Thessalonicensium, duce Constantino Diogene. iis profectis insidias cum tenderet Ioannes, imperator de suorum solicitus salute, equo ante suos profectus idque unum fatus "si quis bellator est, me sequatur," cursum contendit. hoc ut comperere Ioannis exploratores, territi in sua castra redierunt, nihil aliud vociferantes quam "bezeite Tsaesar." omnibus cum ipso Ioanne incomposite fugientibus, Diogenes cum suis, animis receptis, eos insecuti magnam caedem peragunt, capiunt ducentos gravis armaturae, et equos ac supellectilem Ioannis et eius patruelem. imperator his rebus gestis ad Bodena redit, indeque omnibus constitutis Byzantium, die nono mensis Ianuarii, indictione decima quinta, anno mundi 6526.

Ioannes licentiam consecutus ad oppugnandum Dyrrachium barbarico cum fastu proficiscitur, et inito praelio sternitur, incertum a quo,

γενομένου τοῦ καταβεβληκότος αὐτόν, ἄρξας Βουλγάρων ἐπ' C ἐνιαυτοὺς β' καὶ μῆνας ε'. μηνυθέντος δὲ τῷ βασιλεῖ τοῦ θανάτου τοῦ Ἰωάννου διὰ τοῦ στρατηγοῦντος Δυρραχίου Νικήτα πατρικίου τοῦ Πηγωνίτου, ἔξεισι παραυτίκα ὁ βασιλεύς. γενομένῳ δ' αὐτῷ κατὰ τὴν Ἀδριανούπολιν ὑπαντῶσιν ὁ ἀδελφὸς τοῦ περιφήμου Κρακρᾶ καὶ ὁ υἱός, προσχωρεῖν εὐαγγελιζόμενοι τό τε περίπυστον φρούριον τὸν Πέρνικον καὶ ἕτερα πέντε ἐπὶ τριάκοντα. οὓς τιμήσας ἀξίως καὶ τὸν Κρακρᾶν ἐς τὸν τῶν πατρικίων θρόνον ἀναβιβάσας ἦλθεν εἰς Μοσυνούπολιν. ἐνταῦθα δὲ καὶ πρέσβεις ἧκον ἐκ Πελαγονίας καὶ Μωροβίσδου καὶ Λιπενίου, παραδιδόντων τῷ βασιλεῖ τὰς πόλεις. ἐκεῖθεν ἄρας ἦλθεν ἐν Σέρραις. ἐν αἷς ἀφίκετο ὁ Κρακρᾶς μετὰ τῶν ἀρχόντων τῶν προσρυέντων λε' D κάστρων, καὶ καλῶς ὑπεδέχθη. προσερρύη δὲ καὶ Δραγομοῦζος, τὰ ἐν τῇ Στρουμπίτζῃ παρεσχηκὼς καὶ πατρίκιος τιμηθείς, ἄγων μεθ' ἑαυτοῦ καὶ τὸν πατρίκιον Ἰωάννην τὸν Χαλδίας, τότε τῆς χρονίας ἀπολυθέντα καθείρξεως· ἔτυχε γὰρ ἁλοὺς παρὰ τοῦ Σαμουὴλ καὶ ἐπὶ εἴκοσι καὶ δύο χρόνους ὢν ἐν τῇ φυλακῇ. ἄρτι δὲ τῇ Στρουμπίτζῃ προσήγγισεν ὁ βασιλεύς, καὶ ἧκεν ὁ ἀρχιεπίσκοπος Βουλγαρίας Δαβὶδ μετὰ γραμμάτων Μαρίας τῆς Ἰωάννου γυναικός, ὑπισχνουμένης ἐκστῆναι Βουλγαρίας, εἰ τεύξεται τῶν κατὰ σκοπόν. ὑπήντησε δὲ καὶ Βογδάνος ὁ τῶν ἐνδοτέρω κάστρων τοπάρχης, καὶ τιμᾶται καὶ οὗτος πατρίκιος ὡς καὶ πάλαι τὰ βασιλέως φρονῶν καὶ τὸν ἑαυτοῦ πενθερὸν ἀνελών. ἐκεῖθεν ἄπεισιν P 713 εἰς τὰ Σκόπια, καὶ στρατηγὸν αὐτοκράτορα λιπὼν ἐν τῇ πόλει

1 γεγονότος C

cum imperasset Bulgaris annos 2, menses 5. imperator a praefecto Dyrrachii Nicephoro patricio Pegonita certior de morte Ioannis factus statim expeditionem facit. cumque ad Adrianopolin venisset, occurrunt ei frater et filius famosi illius Cracrae, laetum ferentes nuntium, dedere se imperatori celebre illud Pernicum et alia 35 castella; quibus cum dignos habuisset honores et Cracram ad patriciam extulisset dignitatem, Mosynopolin venit. eodem venerunt et legati e Pelagonia et Morobisdo et Lipenio, urbes imperatori dedentes. inde Serras proficiscitur. eodemque venit Cracras cum iis qui 35 ista dedita castella obtinuerant, suntque honorifice excepti. accessit etiam Dragomuzus Strumpitzam dedens, estque patricio honore affectus, secum adducens etiam Ioannem Chaldiae praefectum patricium, qui a Samuelo captus in custodia 22 annos detentus fuerat. simulatque Strumpitzae imperator appropinquavit, ad eum venit Davidus Bulgariae archiepiscopus cum literis Mariae morte Ioannis viduae, promittentis se, modo certa quaedam postulata obtineret, Bulgaria cessuram. occurrit etiam Bogdanus interiorum castellorum dominus; atque ipse etiam patricio ornatur gradu, quod iampridem rebus imperatoris favisset suumque socerum interfecisset. inde Scopia abit; urbique relinquens praefectum Davidum patricium Ariani-

Δαβὶδ πατρίκιον τὸν Ἀρειανίτην ὑπέστρεψε διὰ τῶν φρουρίων Στυπείου τε καὶ Προσάκου, μετὰ λιτῶν καὶ ὕμνων εὐφημούμενος καὶ τιμώμενος. αὖθις δὲ πάλιν πρὸς τὰ δεξιὰ νενευκὼς ἄπεισιν εἰς Ἀχρίδας, κἀκεῖσε στρατοπεδείαν ἐπήξατο, τοῦ λαοῦ παντὸς μετὰ παιάνων καὶ κρότων καὶ εὐφημιῶν προσυπαντῶντος αὐτῷ· πόλις δὲ ἡ Ἀχρὶς ἐπὶ λόφου κειμένη ὑψηλοῦ, ἔγγιστα λίμνης μεγίστης, ἐξ ἧς ποιεῖται τὰς ἐκβολὰς ὁ Δρῖνος ποταμὸς πρὸς ἄρκτον ἰών, εἶτα νεύων πρὸς δύσιν καὶ εἰσβάλλων εἰς τὸ Ἰόνιον περὶ τὸν Ελισσὸν τὸ φρούριον, μητρόπολις οὖσα τῆς πάσης Βουλγαρίας,
B ἐν ᾗ καὶ τὰ βασίλεια τῶν βασιλέων ἵδρυντο Βουλγαρίας καὶ τὰ χρήματα ἀποτεθησαύριστο· ἅπερ ἀνοίξας ὁ βασιλεὺς εὗρε χρήματα πολλὰ καὶ στέμματα ἐκ μαργάρων καὶ χρυσοϋφεῖς ἐσθῆτας καὶ χρυσοῦ ἐπισήμου κεντηνάρια ἑκατόν, ἅτινα πάντα εἰς ῥόγας ἐκένωσε τῆς περὶ αὐτὸν στρατιᾶς. ἐπιστήσας οὖν ἄρχοντα τῆς πόλεως Εὐστάθιον πατρίκιον τὸν Δαφνομήλην, καὶ φρουρὰν ἀξιόλογον αὐτῷ δούς, ἐξῆλθεν εἰς τὴν παρεμβολὴν καὶ ἀχθεῖσαν ὡς αὐτὸν ἐδέξατο τὴν γυναῖκα Ἰωάννου τοῦ καὶ Βλαδισθλάβου, σὺν τρισὶν υἱοῖς καὶ θυγατράσιν ἓξ ἐπαγομένην καὶ νοθογενῆ υἱὸν τοῦ Σαμουὴλ καὶ δύο θυγατέρας Ῥαδομηροῦ τοῦ υἱοῦ τοῦ Σαμουὴλ

5 προσυπαντώντων C   6 post λίμνης μεγίστης C: Λυχνιδοῦ καλουμένης· ἀφ᾽ ἧς καὶ ἡ πόλις Λυχνιδὸς ἐπικαλεῖται ὁμωνύμως τῇ λίμνῃ, Δυασσαρίτης ἔκπαλαι καλουμένη. ἀπὸ δὲ τῆς λίμνης ταύτης ἀγρεύεται ἰχθύων εὐχρήστων πλῆθος ἀμύθητον.   8 post ἰὼν C: ἀπὸ μὲν τῶν νοτιωτέρων μερῶν τῶν πρὸς Διάβολιν ἐκρέων. διαιρῶν δὲ τὴν εἰρημένην λίμνην οἷον Ἀλφειὸς λέγεται τὸ πέλαγος διαιρεῖν καὶ πρὸς τὴν Ἀρέθουσαν ἀπιὼν καὶ κατὰ τὸ βόρειον μέρος ἰών· πρὸς δὲ τὸ τέρμα τῆς λίμνης τὰς ἐγχωρίως λεγομένας Στρούγας εὑρηκὼς καὶ ταύταις ἑνωθεὶς μέγιστος τε γίνεται ποταμῶν   τὸν ὅρινον C   18 ἐπαγομένων libri   υἱῶν C

tam, per castella Stypeium et Prosacum revertitur, comprecationibus et gratulationibus eum venerantibus subditis. inde ad dextram partem inclinans Achridem ingreditur, ibique castra facit, omni populo cum paeanibus plausu et faustis acclamationibus occurrente. urbs est Achris in sublimi posita colle, proxime lacum maximum, unde Drinus fluvius versus septentriones effluit. deinde versus occidentem deflectens in Ionium intravit, apud Ilissum castellum, quae urbs caput erat totius Bulgariae et regia regum Bulgariae, ibique eorum repositi thesauri. quos imperator aperuit, magnamque pecuniae vim invenit, et coronas ex unionibus consertas, auroque intextas vestes, atque auri centenaria 100, quae is congiarii loco in milites suos erogavit. urbi praefecit Eustathium patricium Daphnomelum, adiuncto valido praesidio; atque exiit in castra, excepitque ad se adductam Ioannis Bladisthlabi viduam cum filiis tribus et sex filiabus: adducebat ea secum etiam spurium Samueli filium et duas filias Radomeri, filii Samueli, ac filios quinque, de qui-

καὶ πέντε υἱούς, ὧν ὁ εἷς πεπήρωτο τοὺς ὀφθαλμοὺς παρὰ τοῦ C Ἰωάννου λωβηθείς, ὅτε τὸν Ῥαδομηρὸν τὸν υἱὸν Σαμουὴλ σὺν τῇ αὐτοῦ γυναικὶ καὶ Βλαδιμηρὸν τὸν τούτου γαμβρὸν ἀνεῖλεν. ἦσαν δὲ καὶ ἕτεροι τρεῖς υἱοὶ τῇ Μαρίᾳ ἀπὸ τοῦ Ἰωάννου τεχθέντες, ἀλλ' ἔφθασαν ἀποδρᾶσαι εἰς τὸ ὄρος τὸν Τμῶρον, κορυφὴν ὑπάρχοντα τῶν Κεραυνίων ὀρῶν. ἣν ἠπίως δεξάμενος καὶ φιλοφρόνως φυλάττεσθαι προσέταξε μετὰ τῶν ἄλλων. προσῆλθον δὲ τῷ βασιλεῖ καὶ ἕτεροι μεγιστᾶνες τῶν Βουλγάρων, ὁ Νεστορίτζης, ὁ Ζαρίτζης καὶ ὁ νέος Δοβρομηρός, μετὰ τῶν οἰκείων ἕκαστος ταγμάτων· καὶ ἐδέχθησαν εὐμενῶς καὶ βασιλικῶς ἐτιμήθησαν. τότε καὶ Προυσιανὸς καὶ οἱ τούτου δύο ἀδελφοί, οἱ τοῦ Βλαδι- D σθλάβου παῖδες οἱ εἰς τὸν Τμῶρον φυγόντες, ὡς ἔμπροσθεν εἴρηται, καὶ χρονίᾳ κακωθέντες πολιορκίᾳ (στρατιῶται γὰρ προσταχθὲν ἐκ βασιλέως προσεδρεύοντες ἐτήρουν τὰς καθόδους τοῦ ὄρους), διακηρυκεύονται πρὸς τὸν βασιλέα πίστεις αἰτοῦντες καὶ ἑαυτοὺς ἐγχειρίσαι ἐπαγγελλόμενοι. καὶ πρὸς μὲν τούτους ὁ βασιλεὺς φιλανθρώπους ἔδωκεν ἀποκρίσεις, ἄρας δ' ἐξ Ἀχρίδος ἔρχεται εἰς τὴν λίμνην τὴν λεγομένην Πρέσπαν, ἐν τῷ διιέναι τὸ μεταξὺ ὄρος φρούριον οἰκοδομήσας ἄνωθεν τούτου καὶ Βασιλίδα ἐπονομάσας, καὶ ἕτερον ἐν τῇ λεχθείσῃ λίμνῃ. ἐκ δὲ Πρέσπης ἄπεισιν εἰς τὴν λεγομένην Διάβολιν, ἐν ᾗ βήματος ἀρθέντος ὑψηλοῦ εἰσιόντας ἐδέξατο τοὺς περὶ τὸν Προυσιανὸν ἀδελφούς, καὶ λόγοις ἐπιεικέσι καὶ φιλανθρώποις παραμυθησάμενος τοῦτον μὲν P 714 μάγιστρον τοὺς δὲ λοιποὺς πατρικίους ἐτίμησεν. ἤχθη δὲ καὶ ὁ

5 τμόρον C 12 τμόρον C 13 κατασχεθέντες C 15 διακηρυκεύοντες C 20 καὶ ἕτ. — λίμνῃ om C

bus unus oculis erat orbatus ab Ioanne, quo is tempore Radomerum Samueli filium eiusque uxorem et generum Bladimerum interfecit. habebat Maria ex Ioanne etiam alios tres filios: sed ii in montem Tmorum, qui unus est de verticibus Ceraunicorum montium, confugerant. imperator eam benigne et comiter exceptam cum reliquis asservari iussit. adiunxerunt se imperatori praeterea alii etiam Bulgarici proceres, Nestoritzes Zaritzes et iunior Dobromerus, quisque cum suis cohortibus, acceptique sunt comiter, et ab imperatore iis ut ipso dignum erat honos habitus. quin et Prusianus Bladisthlabi filius cum fratribus, quos in Tmorum effugisse docuimus, diuturna fracti obsidione (milites enim iussu imperatoris insederant montium descensus) ab imperatore caveri sibi petunt et deditionem promittunt; quibus is humaniter respondit. Achride porro ad lacum Pespam iter faciens duo condit castella, unum in monte interiacente, quod Basilidem vocat, alterum in dicta palude. Prespa Diabolin petit, ibique erecto tribunali Prusianum cum fratribus accipit, orationeque plena humanitatis consolatus, eum magistri, reliquos

Ἰβάτζης πεπηρωμένας ἔχων τὰς ὄψεις. ἀλλ' ἄξιον εἰπεῖν καὶ τὸν τρόπον τῆς ἐκτυφλώσεως· ἔχει γὰρ ἡδύ τι καὶ θαυμαστὸν ἡ διήγησις.

Μετὰ γὰρ τὸν τοῦ Βλαδισθλάβου τοῦ καὶ Ἰωάννου θάνατον καὶ τῆς γυναικὸς αὐτοῦ Μαρίας καὶ τῶν ταύτης παίδων προσχώρησιν καὶ τὴν τῶν ἄλλων δυναστῶν ἁπάσης Βουλγαρίας ὑπακοὴν ὁ Ἰβάτζης οὗτος φυγὼν καὶ ἔν τινι δυσβάτῳ γενόμενος ὄρει (Βροχωτὸς κλῆσις αὐτῷ) βασίλειά τε ἔχοντι περικαλλῆ (Προνίσταν
B ταῦτα καλοῦσι) καὶ παραδείσους καὶ ἀπολαύσεις οὐκ ἀπρεπεῖς, ὑπεῖξαι τοῖς θελήμασιν οὐκ ἐβούλετο τοῦ θεοῦ, ἀλλὰ δύναμιν ἐκ τοῦ κατὰ μικρὸν συνεγείρων ἀνεστάτου τὰ παρακείμενα καὶ ἀποστασίαν ἐμελέτα καὶ τὴν Βουλγαρικὴν ὠνειροπόλει ἀρχήν. τοῦτο οὐ μικρῶς ἐλύπει τὸν βασιλέα, καὶ διὰ τοῦτο τοῦ κατ' εὐθεῖαν ἀφέμενος πορεύεσθαι ἀπέκλινε πρὸς μεσημβρίαν, καὶ κατὰ τὴν εἰρημένην ἐγένετο Διάβολιν, ὡς ἢ καταναγκάσων πάντως τὸν ἀποστάτην καταθεῖναι τὰ ὅπλα ἢ πολέμῳ τοῦτον κατεργασόμενος. καὶ ὁ μὲν βασιλεὺς ἐν τῷ ῥηθέντι τόπῳ φιλοχωρῶν γράμμασιν ἐνουθέτει τὸν Ἰβάτζην, μὴ τῆς Βουλγαρίας πάσης ὑποταγείσης
C μόνον ἀνταίρειν χεῖρας αὐτὸν μηδὲ φαντάζεσθαι τὰ ἀτέλεστα, γινώσκοντα ὡς οὐκ εἰς ὄνησιν αὐτῷ τὸ ἐγχείρημα τελευτήσει. ὁ δὲ τὰ γράμματα δεχόμενος καὶ ἑτέροις ἀμειβόμενος, καὶ παντοίας προτιθεὶς ἀφορμάς, παρεῖλκε καὶ ἀνεδύετο, ὡς ἀναγκασθῆναι τὸν βασιλέα ἐπὶ πέντε καὶ πεντήκοντα ἡμέρας ἐνδιατρῖψαι τῷ τόπῳ, ταῖς ὑποσχέσεσι δελεαζόμενον. ἐγνώσθη τὰ τοῦ πράγματος τῷ

10 βουλήμασιν C   18 πάσης add C

patricia dignatur excellentia. adductus est etiam Ibatzes oculis spoliatus. quos quo pacto amiserit, referre operae pretium est, cum ea narratio iucundum habeat quippiam et admirabile.

Mortuo Bladisthlabo, cum uxor ab ea relicta, filii omnesque Bulgariae proceres imperatori deditionem fecissent, solus hic Ibatzes fugiens, occupato monte accessus habente difficillimos, arcem autem regiam perelegantem hortosque et alia oblectamenta praeclara (Brochotum quidam, alii Pronistan vocant), solus dei voluntati sese opponebat, copiasque paulatim colligens rebellionem moliebatur, imperium Bulgaricum somnians. haud exiguam id factum imperatori attulit molestiam; ideoque recto itinere omisso ad meridiem declinavit, Diabolinque se contulit, ut aut desistere ab armis seditiosum istum cogeret aut bello opprimeret. ibi ergo degens aliquamdiu Ibatzen per literas hortatus est ne Bulgaria subacta solus ipse rebellare vellet, neve ea sibi polliceri vana spe quae adipisci nequiret: cogitaret hunc sibi conatum male cessurum. ad eas literas Ibatzes ita rescripsit ut omnis generis usus praetextibus rem extraheret, imperatorque ab eo lactatus quinquaginta quinque dies contra

τῆς Ἀχρίδος ἄρχοντι Εὐσταθίῳ τῷ Δαφνομήλῃ, ὅτι μέλει τῷ βασιλεῖ ἡ τοῦ Ἰβάτζη καθαίρεσις. καὶ δὴ ἅμα καιρὸν ἐπιτήδειον εὑρηκώς, καὶ δυσὶ θεράπουσι τῶν πιστικωτάτων κοινολογησάμενος καὶ τὸ βούλευμα φανερώσας, ἐγχειρεῖ τῇ πράξει. δημοτελὴς ἤγετο ἑορτὴ τῷ Ἰβάτζῃ, ἡ κοίμησις τῆς παναγίου καὶ θεομήτο- D
ρος. κατὰ ταύτην τὴν ἡμέραν εἰώθει συγκαλεῖν εἰς εὐωχίαν οὐ τοὺς ἀγρογείτονας μόνον καὶ ἀγχιτέρμονας, ἀλλὰ καὶ τῶν ὡς πορρωτάτω πολλούς. ἄπεισι γοῦν ὁ Εὐστάθιος αὐτόκλητος εἰς τὴν ἑορτήν, καὶ τοῖς φυλάττουσιν ἐντυχὼν τὰς διόδους ἀπαγγέλλειν ἐκέλευεν ὅστις εἴη, καὶ ὅτι πάρεστι τῷ ἄρχοντι συνευφρανθησόμενος. ἀπαγγειλάντων δὲ τούτων, ἐν θαύματι ὁ Ἰβάτζης ἐτίθει εἰ δυσμενὴς ἄνθρωπος αὐθαίρετος ἥκει καὶ χερσὶν ἐκδίδωσιν ἑαυτὸν πολεμίαις. ὅμως ἀφικέσθαι κελεύει, καὶ ἐλθόντα ἐδέξατό τε περιχαρῶς καὶ ἠσπάσατο. ἄρτι δὲ τελεσθέντος τοῦ ἑωθινοῦ ὕμνου, καὶ πάντων τῶν συνειλεγμένων εἰς τὰς ἰδίας σκεδασθέντων καταγωγάς, ὁ Εὐστάθιος πρόσεισι τῷ Ἰβάτζῃ, καὶ ἀξιοῖ τοὺς ἄλλους πρὸς μικρὸν ἐκστῆναι ὡς τάχα μέλλων αὐτὸς διαλέξασθαι κατ' ἰδίαν περί τινος ἀναγκαιοτάτου καὶ λυσιτελοῦντος αὐτῷ. ὁ δὲ τὸν δόλον καὶ τὴν ἀπάτην μὴ κατανοήσας, ἀλλὰ P 715
τῷ ὄντι ὑπολαβὼν ὡς βούλεται καὶ αὐτὸς εἷς γενέσθαι τῶν συνιστώντων αὐτῷ τὴν ἀποστασίαν, τοὺς θεράποντας μικρὸν ἀποστῆναι κελεύσας, τῆς χειρὸς ἐκείνου λαβόμενος ἔν τινι παραδείσῳ εἰσάγει συνηρεφεῖ δένδροις καὶ κοιλότητά ἔχοντι, ὡς μηδὲ φωνὴν ἐξηχεῖσθαι δύνασθαι διὰ τὴν συνδενδρίαν. οὗ ἐντὸς γενόμενος ὁ

1 δαφνομίλῃ C

animi sententiam Diaboli haereret. at Achridis praefectus Daphnomelus certior factus imperatorem de opprimendo Ibatza esse solicitum, instituto suo cum duobus quorum ei perspecta erat fides famulis communicato, opportunitatem venatus rem ita aggreditur. solenne festum assumptionis Mariae Ibatzes publice celebrabat, vocabanturque ad convivium de more non vicini modo sed et peregrini. ad eam festivitatem Eustathius ultro proficiscitur. cumque incidisset in custodes viarum, nuntiare Ibatzae iubet nominatim se adesse et cupere cum ipso animum exhilarare. miratus est Ibatzes hostem sua sponte venire ac se hostium manibus credere, venire tamen iussit, admissumque laetus excepit atque amplexus est. finito hymno matutino, omnibusque aliis in sua dilapsis diversoria, Ibatzen Eustathius accedit, et quod haberet quae seorsim cum ipso colloqueretur apprime necessaria ac ipsi utilia, petit ut reliqui interim secedant. Ibatzes dolum non sentiens, sibique omnino persuadens Eustathium cum ipso velle societatem rebellionis coire, dimotis aliquantisper famulis manu eum apprehensum in pomarium quoddam abducit opacum arboribusque ita dense consitum ut ne vox quidem inde

Εὐστάθιος, καὶ μεμονωμένου λαβόμενος τοῦ Ἰβάτζου, εἰς γῆν τε αὐτὸν εὐθὺς καταβάλλει, καὶ τῷ στήθει προσερείσας τὸ γόνυ (ἦν γὰρ κατὰ χεῖρα γενναῖος) τοῦτον κατῆγχε, καὶ τοῖς δυσὶν B ὑπηρέταις ἐνεκελεύσατο βοηθεῖν τὴν ταχίστην. οἱ δέ, καθάπερ συντεθειμένον ἦν, ἱστάμενοι καὶ καραδοκοῦντες τὸ μέλλον, ὡς ἤκουσαν τῆς φωνῆς τοῦ κυρίου, ἔδραμόν τε εὐθέως, καὶ τὸν Ἰβάτζην περισχόντες καὶ τῷ χιτῶνι ἀποφράξαντες αὐτοῦ τὸ στόμα, ὡς μὴ βοήσας περιστήσῃ πλῆθος αὐτοῖς καὶ ἄπρακτον ἀποτελέσῃ τὸ ἔργον, ἀποτυφλοῦσι, τυφλωθέντα δὲ ἐκβάλλουσι τοῦ παραδείσου εἰς τὴν αὐλήν. αὐτοὶ δὲ εἴς τι ὑπερῷον οἴκημα ὑψηλὸν ἀναδραμόντες καὶ τὰ ξίφη ἑλκύσαντες ἐξεδέχοντο τοὺς μέλλοντας προσιέναι. γνωσθέντος δὲ τοῦ δράματος συνέρρει πλῆθος ἀμύθητον· οἱ μὲν γὰρ ξίφη κατέχοντες ἐν χερσίν, οἱ δὲ δόρατα, οἱ δὲ τόξα, οἱ δὲ λίθους, οἱ δὲ ξύλα, οἱ δὲ δαλοὺς καιομένους, C ἄλλοι δὲ ὕλην εὔπρηστον, ἔθεον βοηδρομοῦντες καὶ κεκραγότες "σφαττέσθωσαν, καιέσθωσαν, μεληδὸν κατατεμνέσθωσαν, λίθοις καταχωννύσθωσαν οἱ παλαμναῖοι καὶ ἀλιτήριοι· μή τις φειδὼ γενέσθω τῶν ἀλαστόρων." συνδρομὴν δὲ θεασάμενος ὁ Εὐστάθιος, καὶ τῆς ἑαυτοῦ ἀπεγνωκὼς σωτηρίας παρεκάλει τέως τοὺς ἀμφ' αὐτὸν ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ μη μαλακισθῆναι, μηδ' ἑαυτοὺς προδοῦναι καὶ εἰς ἐξουσίαν πεσεῖν τῶν ζητούντων τὴν αὐτῶν ἀπώλειαν, καὶ παρ' ἐκείνων τὴν σωτηρίαν ἐκδέχεσθαι ἢ θάνατον οἰκτρὸν καὶ ἐπώδυνον. πρὸς δὲ τὸ πλῆθος ἀπό τινος θυρίδος προκύψας καὶ τῇ χειρὶ κατασιγάσας τὸν ὄχλον τοιῶνδε λόγων

exaudiri posset. ibi solum Ibatzam nactus Eustathius, homo manu promptus, in terram illico prosternit, genuque pectori eius innixus vocem iacentis intercludit, duosque suos famulos celerrime subvenire iubet, qui, ut erat compositum, stantes et eventui intenti, simulatque domini vox auribus ipsorum allata est, accurrunt, Ibatzae os veste iniecta obturant, ne ad eius clamorem confluente multitudine conatus fieret irritus, et oculos ei exsculpunt: caecatum in aulam proiiciunt extra paradisum, ipsi in sublime domus coenaculum evadunt, strictisque gladiis exspectant hostium impetum. cognito facinore ingens confluxit multitudo. alii strictos manibus gladios tenentes, alii hastas, arcus alii, nonnulli lapides, quidam ligna, aliqui faces ardentes, materiam alii ignis capacem, accurrebant opitulatum, vociferantes "iugulantor, cremantor, membratim conciduntor, lapidibus obruuntor scelesti: nemo flagitiosis hisce parcat." concursum cernens Eustathius, tametsi de salute sua desperarat, tamen suos hortabatur ut animo essent forti, neque emollirentur aut se ipsos hostibus proderent iisque dederent qui ipsorum mortem desiderarent, neve ab iis salutem potius se consecuturos quam misere interfectum iri putarent. ipse per fenestram quandam ad turbam prospiciens, manusque motu si-

ἀπήρξατο. "ὅτι μέν, ὦ ἄνδρες οἱ συνειλεγμένοι, οὐδεμία τις D
προαπέκειτό μοι ἀπέχθεια πρὸς τὸν ὑμέτερον δυνάστην, καὶ ὑμεῖς
αὐτοὶ πάντες ἐρεῖτε, ἀκριβῶς εἰδότες ὡς Βούλγαρος μὲν αὐτὸς
Ῥωμαῖος δ' ἐγώ, καὶ Ῥωμαῖος οὐ τῶν ἐπὶ Θρᾴκης καὶ Μακεδο-
νίας οἰκούντων, ἀλλ' ἐκ τῆς μικρᾶς Ἀσίας, ἥτις ὅσον ἀπέχει ὑμῶν,
ἴσασιν οἱ γινώσκοντες. ὅτι δὲ καὶ αὐτὸς τῷ τοιούτῳ ἐπεχείρησα
ἔργῳ οὐκ εἰκῇ καὶ μάτην, ἀλλά τις με κατήπειξεν ἀνάγκη, λογιεῖ-
σθε οἱ φρονιμώτεροι. οὐ γὰρ ἂν οὕτω μανιωδῶς εἰς προὖπτον
ἐμαυτὸν ἐνέρριψα κίνδυνον καὶ τῆς ἐμαυτοῦ ζωῆς κατεφρόνησα,
εἰ μή τις ἦν ἄλλη αἰτία ἡ βιασαμένη με πρὸς τὴν πρᾶξιν ἐλθεῖν.
ἴστε οὖν ὡς τὸ γενόμενον ἔργον πρόσταγμα βασιλέως ἐστίν, ᾧ πει-
θαρχῶν ἐγὼ ὡς ὄργανον διηκόνησα. καὶ νῦν εἰ βούλεσθέ με δια- P 716
χειρίσασθαι, ἰδοὺ ὑφ' ὑμῶν ἐγὼ περιειλημμένος. πλὴν οὐκ
εὐκόλως οὐδὲ ῥᾳδίως ἐγὼ ἀποθανοῦμαι, οὐδὲ καταθεὶς τὰ ὅπλα
ἐμαυτὸν παραδώσω ὑμῖν ὡς βούλεσθε χρῆσθαι, ἀλλ' ἀγωνιοῦμαι
περὶ τῆς οἰκείας ζωῆς, καὶ μέχρι θανάτου ἀμυνοῦμαι τοὺς ἐπιόν-
τας ἅμα τοῖς σὺν ἐμοί. εἰ δὲ καὶ θανούμεθα, ὅπερ ἀνάγκη πα-
θεῖν τοὺς ὑπὸ πλειόνων περιστοιχισθέντας, εὐδαίμονα καὶ μακά-
ριον τὸν θάνατον λογιζόμεθα, ἔχοντες καὶ τὸν μέλλοντα καὶ τὸ
ἡμέτερον ἐκζητῆσαι καὶ ἐκδικῆσαι αἷμα, πρὸς ὃν βουλεύσασθε εἰ
δυνατὸν ἄχρι πολλοῦ ἀνθίστασθαι." τούτων ἀκούσαντες οἱ συνη-
θροισμένοι τῶν λόγων, καὶ τῷ ἐκ βασιλέως δέει καταπλαγέντες,
κατὰ μικρὸν ὑπορρέοντες ἄλλοι ἀλλαχῇ διεσκεδάσθησαν, οἱ γη- B

3 πάντως C 5 μακρᾶς C 14 εὐλόγως margo P 21 συνειλεγμένοι C 23 ἄλλος C

lentium conficiens, ita eam est affatus: nullas mihi, o multitudo, cum vestro principe privatim intercessisse inimicitias vel ipsi iudicare potestis. is enim Bulgarus est, ego Romanus, quod vobis est notissimum. neque Romanus ego sum e Thracia aut Macedonia oriundus, sed ex Asia minore; quae quanto sit spatio a vestra patria dissita, periti norunt. iam prudentiores id non difficulter iudicabunt, non temere me aut frustra, sed necessitate aliqua compulsum hoc facinoris aggressum fuisse. alioqui nunquam me in tam evidens periculum tam dementer coniecturus fueram. proinde sciatis iussu imperatoris, quicquid eius est, fuisse factum, et eum mearum manuum usum ministerio. ergo si me vultis occidere, sane circumdatus in vestra sum potestate: neque tamen nullo negotio nos conficietis, neque armis depositis vestrae nos tractandos committemus libidini, sed ad extremum usque spiritum pro nostra vita propugnabimus. quodsi interficiemur, quod fieri necesse est, cum tam pauci a tam multis circumclusi simus, mortem eam felicem deputabimus, eum habituri sanguinis nostri ultorem, cui vos cupitis quam diutissime reluctari." hoc sermone audito, colluvies ista imperatoris terrore perculsi paulatim alii aliorsum dissipati diffluxere. seniores ac

ραιότεροι δὲ καὶ φρονιμώτεροι τὸν βασιλέα εὐφημήσαντες ὑπετάγησαν. ὁ δ' Εὐστάθιος κατὰ πολλὴν ἄδειαν τὸν Ἰβάτζην εἰληφὼς τῷ βασιλεῖ διεκόμισεν. ὃν οὗτος ἀποδεξάμενος τῆς ἀνδραγαθίας στρατηγόν τε εὐθὺς προυβάλετο Δυρραχίου καὶ τὴν ἅπασαν κινητὴν ὕπαρξιν ἐδωρήσατο τοῦ Ἰβάτζου· τοῦτον δὲ παρέδωκεν φυλακῇ.

Τότε καὶ Νικολιτζᾶς ὁ πολλάκις ληφθεὶς καὶ τοσαυτάκις ἀφεθείς, ἔν τισιν ὄρεσιν κρυπτόμενος, ὡς ἐπέμφθη δύναμις κατ' αὐτοῦ καὶ τῶν οἱ συνόντων οἱ μὲν προσεχώρησαν ἐθελοντὶ οἱ δὲ
C ἡλίσκοντο, αὐτόμολος κάτεισι νυκτὸς εἰς τὸ στρατόπεδον, καὶ τῇ χειρὶ κρούσας τὴν θύραν προσήγγειλεν ἑαυτὸν ὅστις εἴη καὶ ὅτι παραδίδωσιν ἑκουσίως τὸ σῶμα τῷ βασιλεῖ. ἀλλὰ τοῦτον μὲν ὁ βασιλεὺς οὐδὲ ἰδεῖν ἠνέσχετο, ἀλλ' εἰς Θεσσαλονίκην ἐξέπεμψε φρουρεῖσθαι κελεύσας. αὐτὸς δὲ τὰ τοῦ Δυρραχίου καὶ τῆς Κολωνείας καὶ Δρυϊνουπόλεως, ὥς πῃ ἐδόκει αὐτῷ βέλτιστα, καταστησάμενος, καὶ φύλακας τοῖς θέμασι καὶ στρατηγοὺς ἐπιστήσας, καὶ τῶν αἰχμαλώτων Ῥωμαίων τοὺς βουλομένους κατὰ χώραν μέ-
D νειν ἐάσας, τοὺς δὲ λοιποὺς ἕπεσθαι προστάξας, ἦλθεν εἰς Καστορίαν. ἔνθα προσήχθησαν αὐτῷ θυγατέρες δύο τοῦ Σαμουήλ, αἵτινες θεασάμεναι Μαρίαν τὴν Ἰωάννου γυναῖκα παρισταμένην τῷ βασιλεῖ ὥρμησαν κατ' αὐτῆς ὡς διαχειρισόμεναι. ἀλλὰ ταύταις μὲν ὁ βασιλεὺς τὸν θυμὸν κατεκοίμισεν, ὑποσχόμενος τιμῆσαι καὶ ὑπερπλουτίσαι αὐτάς, τὴν δὲ Μαρίαν τῷ τῆς ζωστῆς ἀξιώματι τιμήσας εἰς τὴν βασιλίδα μετὰ τῶν υἱῶν ἐκπέμπει.

5 ἰβάτζη C 6 πολλάκις C 8 οἱ C in τούτῳ mutat 13 τῆς om C 17 ἐάσας] κελεύσας P 22 ζωστῆς πατρικίου ἀξ. C

prudentia antecedentes, bene ominati imperatori, obedientiam promiserunt. ita Eustathius nemine impediente Ibatzen ad imperatorem adduxit. imperator Eustathium ob tam praeclarum facinus collaudatum Dyrrachii praefectum constituit, et omnia mobilia Ibatzae bona ei dono dedit. Ibatzam in custodiam tradidit.

Eodem tempore Nicolitzas etiam, toties captus totiesque dimissus, in montibus occultatus, cum adversus eum mitteretur cohors, et qui cum ipso erant partim ultro ad Romanos transirent partim caperentur, noctu sponte sua in castra Romanorum venit, manuque pulsatis foribus se nominatim adesse indicavit, ac corpus suum in potestatem imperatoris dedere. sed eum imperator suo conspectu non dignatus Thessalonicam custodiendum misit. ipse rebus Dyrrachii Coloneiae ac Dryinopolis suo arbitratu rectissime constitutis, et provinciis praesidio ducibusque munitis, permissoque ut captivi Romani, qui vellent, ibi manerent, reliqui ipsum sequerentur, Castoriam venit. hic ad ipsum adductae sunt duae Samueli filiae. quae cum viderent Mariam Ioannis quondam uxorem imperatori adstare, impetum in eam fecerunt tanquam interfecturae. sed imperator earum ferociam sedavit, pollicitus amplissimas se ipsis opes largiturum. Mariam zostae munere ornatam cum filiis suis Cpolin misit.

καθαιρεῖ δὲ καὶ τὰ ἐν Σερβίοις καὶ τῷ Σωσκῷ φρούρια πάντα διὰ τοῦ Ξιφίου, καὶ εἰς ἔδαφος καταστρέφει. καὶ εἰς τὸ φρούριον Σταγοῦς ἔρχεται, ἔνθα κατέλαβεν ὁ τῶν Βελογράδων ἄρχων μετὰ δουλικοῦ τοῦ σχήματος Ἐλεμάγος, μετὰ τῶν συναρχόντων αὐτοῦ. ἐκεῖθεν ἄρας ἄπεισιν εἰς Ἀθήνας. ἐν δὲ τῷ διιέναι τὸ Ζητούνιον τὰ ὀστᾶ τῶν πεσόντων ἐκεῖσε Βουλγάρων, ὁπηνίκα ὁ μάγιστρος P 717 Νικηφόρος ὁ Οὐρανὸς τὸν Σαμουὴλ ἐτρέψατο, θεασάμενος ἐθαύμασεν. ὑπερηγάσθη δὲ καὶ τὸ ἐν Θερμοπύλαις γενόμενον τεῖχος, ὃ Σκέλος ἄρτι κατονομάζεται, εἰς ἀποτροπὴν τῶν Βουλγάρων παρὰ τοῦ Ῥουπένη. καὶ ἐν Ἀθήναις γενόμενος καὶ τὰ τῆς νίκης εὐχαριστήρια τῇ θεοτόκῳ δούς, καὶ ἀναθήμασι πολλοῖς λαμπροῖς καὶ πολυτελέσι κοσμήσας τὸν ναόν, ὑπέστρεψεν εἰς Κωνσταντινούπολιν. καὶ διὰ τῶν μεγάλων πυλῶν τῆς χρυσῆς πόρτης στεφάνῳ χρυσῷ λόφον ἐφύπερθεν ἔχοντι ἐθριάμβευσεν ἐστεφανωμένος, προηγουμένης Μαρίας τῆς τοῦ Βλαδισθλάβου γυναικὸς καὶ τῶν B τοῦ Σαμουὴλ θυγατέρων καὶ τῶν λοιπῶν Βουλγάρων. ἰνδικτιὼν ἦν β', ἔτος ,ϛφκζ'. καὶ οὕτω μετὰ τροπαίων καὶ νίκης ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ εἰσελθών, καὶ τῷ θεῷ εὐχαριστηρίους ᾄσας ᾠδάς, ἀπῆλθεν εἰς τὰ βασίλεια. ὃν ὁ πατριάρχης Σέργιος μετὰ νίκης εἰσελθόντα πολλὰ κατελιπάρει σβέσαι τὸ ἀλληλέγγυον (ἦν γὰρ ὑποσχόμενος ποιῆσαι τοῦτο, εἰ τῶν Βουλγάρων ὑπερισχύσειεν), ἀλλ' οὐκ ἔπεισεν. ὃς ἐπὶ εἴκοσιν ὅλους ἐνιαυτοὺς τὴν τοῦ θεοῦ ποιμάνας ἐκκλησίαν Ἰουλίῳ μηνί, ἰνδικτιῶνος β', ἐν ἔτει τῷ

10 ῥουπενίου C 15 Μαρίας om C

Xiphiae porro opera quae erant in Serviis et Sosco castella omnia solo aequat, et in castellum Stagus venit. ibi se ipsi offert Elemagus Belegradorum princeps, servili habitu, cum collegis suis. imperator inde Athenas proficiscens, in itinere Zetunium transiens, ossa Bulgarorum contemplatus occisorum quo tempore Samuelum Nicephorus praelio fudit, admiratus est. ac multo magis murum in Thermopylis exstructum (qui etiamnum Scelos vocatur) apud Rupenam ad deterrendos Bulgaros. ut Athenas venit, deiparae pro victoria gratias egit, templumque donariis splendidis ac magnificis exornavit. hinc Cpolin rediit, invectusque est triumphans per magnas fores Aureae portae, ornatus corona aurea superne cristata, praecuntibus Maria, Samueli filiabus et reliquis Bulgaris. actum hoc indictione secunda, anno ab origine mundi 6527. atque hoc modo prosequentibus eum victoriae gratulantibus acclamationibus magnum templum iniit; cumque ibi carmine cantato deo gratias pro tam felici successu egisset, in palatium abiit. reversum victorem Sergius patriarcha prolixe oravit ut quod se facturum bello Bulgarico feliciter confecto promiserat, Allelengyum aboleret: sed nihil obtinuit. atque is Sergius, cum per annos 20 ecclesiam dei moderatus esset, indictione

,ςφκζ', πρὸς κύριον ἐξεδήμησε. καὶ προεβλήθη πατριάρχης Εὐστάθιος, πρῶτος ὢν τῶν πρεσβυτέρων τοῦ ἐν τοῖς βασιλείοις ναοῦ.

C Τῷ δὲ βασιλεῖ προσερρύησαν, τῆς Βουλγαρίας δουλωθείσης αὐτῷ, καὶ τὰ ὅμορα ἔθνη τῶν Χορβατῶν, ἄρχοντας ἔχοντες δύο ἀδελφούς, ὧν προσρυέντων καὶ ἀξιώματα λαβόντων καὶ κτήσεις ἱκανὰς ὑπήκοα γέγονε καὶ τὰ ἔθνη. μόνος δὲ ὁ τοῦ Σιρμίου κρατῶν ἀδελφὸς τοῦ Νεστόγγου Σέρμων πιθῆσαι οὐκ ἤθελε· πρὸς ὃν Κωνσταντῖνος ὁ Διογένης, τῶν ἐκεῖσε μερῶν ἄρχων, φιλίαν ὑποκρινόμενος πρεσβευτὴν ἐκπέμπει, δηλῶν μεθ' ὅρκων ἐπιθυμίαν ἔχειν ἑνωθῆναι αὐτῷ καὶ περὶ ἀναγκαίων κοινολογήσασθαι. εἰ δέ τις αὐτὸν ὑποτρέχει φόβος, τρεῖς ὑπηρέτας εἰληφέναι μόνους, καὶ κατὰ τὸ μέσον τοῦ παραρρέοντος ποταμοῦ συμμῖξαι αὐτῷ μετὰ
D τριῶν ὑπηρετῶν ὁμοίως ἀφίξεσθαι μέλλοντι. πεισθεὶς οὖν ἐκεῖνος ἔρχεται πρὸς τὸν ποταμὸν καὶ τῷ Διογένει ἑνοῦται. ἐν ᾧ δὲ ἔμελλον διαλέγεσθαι, ὁ Διογένης ἐγκόλπιον φέρων μάχαιραν καὶ ταύτην αἰφνιδίως ἑλκύσας παίει τοῦτον κατὰ τῆς πλευρᾶς καὶ εὐθὺς ἀναιρεῖ. τῶν δὲ μετ' αὐτοῦ φυγῇ χρησαμένων, τοὺς πλησιάζοντας ὁ Διογένης συναθροίσας στρατοὺς μετὰ χειρὸς ἱκανῆς ἔρχεται πρὸς τὸ Σίρμιον, καὶ τὴν γυναῖκα τοῦ τεθνεῶτος καταπληξάμενος καὶ ὑποσχέσεσι μεγάλαις καταμαλάξας ἔπεισε προσχωρῆσαι καὶ τὸ Σίρμιον παραδοῦναι τῷ βασιλεῖ· ἥτις καὶ εἰς τὸ Βυζάντιον ἀνεπέμφθη, καὶ ἀνδρὶ συνεζεύχθη ἑνὶ τῶν ἐν τῇ πόλει μεγιστάνων, καὶ ὁ Διογένης ἄρχειν ἐτάχθη τῆς νεοκτήτου χώρας.

5 χορβάτων C 8 πειθῆσαι C ἠθέλησε C

secunda, mense Iulio, anno mundi 6527 ad dominum emigravit. suffectus est ei Eustathius, palatinae aedis presbyterorum princeps.

Subacta Bulgaria, imperatori se dedidit etiam contermina Chorbatorum gens et eius principes, fratres duo; quibus imperator honores ac opes amplas tribuit. solus adhuc imperium detrectabat Sermo Sirmii dominus, Nestongi frater. ad hunc Constantinus Diogenes finitimae provinciae praefectus legatum mittit, interposito iureiurando affirmans cupere se ipsum convenire ac de rebus necessariis colloqui. quodsi ipse insidias vereretur subesse, tribus tantum famulis stipatum se ad ripam profluentis ibi amnis accessurum. idem ipse quoque faceret. obtemperat Sermo, atque hoc modo cum Diogene congreditur. ibi cum iam collocuturi essent, Diogenes pugionem, quem in sinu abditum gestabat, subito in latus Sermonis adigit, eumque interficit: famuli fuga elabuntur. Diogenes vicinis exercitibus contractis valida cum manu ad Sirmium proficiscitur, viduaeque exterritae magnis insuper pollicitationibus persuadet ut se Sirmiumque imperatori traderet. ea Byzantium missa ibi primario cuidam civium matrimonio copulata est: Diogenes recens captae dicioni praefectus.

Ἀνεκαίνισε δὲ ὁ βασιλεὺς καὶ τὸν ἀγωγὸν Οὐαλεντινιανοῦ P 718 τοῦ βασιλέως, ὡς ἂν ἔχοιεν οἱ ἀστοὶ ἀφθονίαν ὕδατος. Γεωργίου δὲ τοῦ ἄρχοντος Ἀβασγίας τὰς πρὸς Ῥωμαίους ἀθετήσαντος συνθήκας καὶ τὰ ὅμορα κατατρέχοντος, ἔξεισι κατ' αὐτοῦ ὁ βασιλεὺς πανστρατί, κατόπιν λιπὼν Νικηφόρον πατρίκιον τὸν Ξιφίαν καὶ Νικηφόρον πατρίκιον τὸν υἱὸν Βάρδα τοῦ Φωκᾶ. οἱ δὲ διὰ τὸ τῆς στρατείας ἀπολελεῖφθαι δεινοπαθήσαντες οὐ μικρῶς, λαὸν ὡς ἔτυχεν ἠθροικότες ἀπό τε Καππαδοκίας καὶ Ῥοδάντου καὶ τῶν πέριξ χωρίων, ἀποστασίαν κινοῦσιν. οὗπερ ἀγγελθέντος τῷ βασιλεῖ ταραχὴ κατεῖχε τὴν παρεμβολὴν καὶ ἀγωνία, δεδοικυῖαν μή πως ἐν μέσῳ Ἀβασγῶν τε καὶ τῶν ἀποστατῶν συνειλημμένοι (διεδέδοτο γὰρ καὶ λόγος ὡς οἱ περὶ τὸν Ξιφίαν διεκηρυκεύσαντο περὶ B τούτου πρὸς τὸν ἄρχοντα Ἀβασγίας) ἀνήκεστόν τι πάθωσιν. ὁ δὲ βασιλεὺς γράμματα γράψας πρός τε τὸν Ξιφίαν καὶ τὸν Φωκᾶν ἐξέπεμψε, παραγγείλας τῷ λαβόντι σπουδάσαι πάντα τρόπον λαθεῖν καὶ ἑκάστῳ ἀσυγγνώστως δεδωκέναι τὸ γράμμα. τοῦ δὲ ὡς ἐκελεύσθη ποιήσαντος καὶ τὰς ἐπιστολὰς ἐγχειρίσαντος λεληθότως, ὁ μὲν Φωκᾶς εὐθὺς ἐπανέγνω τὴν ἑαυτοῦ τῷ Ξιφίᾳ, ἐκεῖνος δὲ τὴν ἑαυτοῦ ἀποκρύψας καὶ γράμμα δέξασθαι ὅλως ἀπαρνησάμενος ἐν μιᾷ τῶν ἡμερῶν καλεῖ τοῦτον ἐπὶ κοινολογίαν, καὶ ἐλθόντα, λόχους ἔχων προευτρεπισμένους, ἀποκτίννυσι. καὶ ἡ C ἐπισύστασις τῶν ἀποστατῶν εὐθὺς διεσκεδάσθη. τοῦ δὲ θανάτου τοῦ Φωκᾶ γνωσθέντος τῷ βασιλεῖ πέμπεται Θεοφύλακτος ὁ Δαμιανοῦ τοῦ Δαλασσηνοῦ υἱός, καὶ τὸν Ξιφίαν συλλαβὼν ἐκπέμπει

8 ῥογαντοῦ C 19 τὴν ἑαυτοῦ add C

Aquaeductum quoque Valentiniani imperatoris refecit Basilius, civibusque aquae abundantiam paravit. porro cum Georgius Abasgiae dux violato quod ei cum Romanis erat foedere vicina incursionibus vexaret, exercitum contra eum educit Basilius, domi relictis Nicephoro patricio, filio Bardae Phocae. at ii indignissime ferentes non se quoque una ad id bellum iussos ire, contracto e Cappadocia Rodanto et aliis vicinis regionibus utcunque exercitu rebellionem concitant. eius rei nuntius imperatori allatus exercitui magnam incussit solicitudinem. metuebant enim ne in medio inter Abasgos et perduelles (quippe ferebatur ea de re Xiphias cum principe Abasgorum per internuntios egisse) inclusi extrema pati cogerentur. imperator ergo literas et ad Xiphiam et ad Phocam mittit, ei qui perferebat mandans ut quam maxime alteri, altero ignorante, eas reddere curaret. quod cum is effecisset, Phocas statim Xiphiae ad se scriptas recitavit, Xiphias autem omnino ad se quicquam scriptum negans Phocam die quadam ad colloquium vocat, venientemque praeparatis ad hoc insidiis necat. hoc modo statim dissipata ea coniuratio. et imperator de morte Phocae factus certior Theophylactum Damiani Dalasseni filium mittit, qui captum Xiphiam Cpolin in vinculis

δέσμιον πρὸς τὴν βασιλίδα πρὸς Ἰωάννην τὸν πρωτονοτάριον. ὃς ἐν τῇ νήσῳ τοῦ Ἀντιγόνου μοναχὸν αὐτὸν ἀποκείρει. ὁ δὲ βασιλεὺς τοῦ τῶν ἀποστατῶν ἀπολυθεὶς δέους συμβάλλει τοῖς Ἀβασγοῖς, καὶ πολλοὶ πίπτουσι τῶν Ῥωμαίων. ὅμως διελύθησαν ἄμφω τὰ στρατεύματα, καὶ ἡ νίκη ἀμφίβολος ἦν. μετὰ δὲ ταῦτα δευτέρας συμπλοκῆς γενομένης, τῇ ια΄ τοῦ Σεπτεμβρίου μηνός, ἰνδικτιῶνος ς΄, κατὰ τὸ ,ςφλα΄ ἔτος, πίπτει μὲν ὁ Λιπαρίτης (οὗτος γὰρ ἦν ἀρχιστράτηγος τῷ Γεωργίῳ) καὶ σὺν αὐτῷ πᾶν τὸ
D κρατιστεῖον ἐν Ἀβασγοῖς, φεύγει δὲ καὶ ὁ Γεώργιος εἰς τὰ ἐνδότερα ὄρη τῆς Ἰβηρίας. μετ' ὀλίγον δὲ διαπρεσβευσάμενος, καὶ τῷ βασιλεῖ ἐκστὰς χώρας ὁπόσης ἐβούλετο, σπένδεται, ὅμηρον δοὺς τὸν υἱὸν αὐτοῦ Παγκράτιον· ὃν μάγιστρον ποιήσας ὁ βασιλεὺς ὑπέστρεψε. τοὺς μὲν οὖν ἄλλους τῶν τῷ Ξιφίᾳ συναραμένων καὶ τῷ Φωκᾷ τῶν ὑπαρχόντων γυμνώσας καθεῖρξε, μόνον δὲ τὸν πατρίκιον Φέρσην ἀπέκτεινε, πρὸ πάντων τε προσρυέντα τοῖς ἀποστάταις, καὶ τέσσαρας ἀρχόντων γειτόνων κουράτωρας ἀποκτείναντα, καὶ ἐκτομίαν τινὰ βασιλικὸν αὐτοχείρως καρατομή-
P 719 σαντα. ἐδόθη δὲ καὶ λέουσι βασιλικοῖς τις θαλαμηπόλος βρῶμα, ἐλεγχθεὶς φαρμάκοις ἐπιβουλεύων τῷ βασιλεῖ διὰ τὸν Ξιφίαν.

Καὶ Ἄννης δὲ τῆς τοῦ βασιλέως ἀδελφῆς ἐν Ῥωσίᾳ ἀποθανούσης, καὶ πρὸ αὐτῆς τοῦ ἀνδρὸς αὐτῆς Βλαδιμηροῦ, Χρυσόχειρ συγγενής τις ὢν τοῦ τελευτήσαντος, ἄνδρας ὀκτακοσίους προσεταιρισάμενος καὶ πλοίοις ἐμβιβάσας, ἦλθεν εἰς Κωνσταντινούπολιν

1 εἰς C 16 κράτορας C 20 τελευτησάσης C

Byzantium ad Ioannem ablegat protonotarium. is eum rasum in Antigoni insula monachum facit. imperator proinde metu rebellium liberatus cum Abasgis pugnam committit; et quamvis multi Romani occubuere, tamen incerta victoria discessum est. alterum deinde praelium initum die Septembris undecima, indictione sexta, anno ab origine mundi 6531. in eo cadit Liparites, Georgii copiarum dux primarius, et cum eo validissima Abasgici exercitus pars. Georgius in montes Iberiae interiores fuga elapsus paulo post missis legatis cum imperatore pacem componit, cedens ei sua, quantum eius hoc imperator volebat, dicione, filiumque suum Pancratium dans obsidem. quem imperator magistrum creavit, ac domum rediit. qui se Xiphiae ac Phocae seditionis socios praebuerant, eos bonis suis multatos in carcerem abdidit: solum patricium Phersam interfecit, qui et primus omnium se perduellibus adiunxerat, et quattuor curatores vicinorum principum necaverat, suaque manu spadoni cuidam imperatorio caput amputaverat. est et cubicularius quidam imperatoris leonibus obiectus, convictus quod imperatorem in Xiphiae gratiam conatus esset veneno tollere.

Mortua Anna imperatoris sorore in Rossia, defuncto iam ante Bladimero marito, Chrysochir quidam Bladimeri cognatus 800 viros adscivit, iisque in naves impositis Cpolin venit, stipendia se facere velle

ὡς τάχα μισθοφορήσων. τοῦ δὲ βασιλέως καταθεῖναι τὰ ὅπλα κελεύοντος καὶ οὕτω ποιήσασθαι τὴν ἐντυχίαν, μὴ θελήσας διῆλθε τὴν Προποντίδα. ἐν Ἀβύδῳ δὲ γενόμενος καὶ τῷ στρατηγοῦντι ταύτης συρράξας ὑπερμαχοῦντι τῶν παραλίων, καὶ τοῦτον ῥᾳδίως B καταστρεψάμενος, κατῆλθεν εἰς Λῆμνον. ἐκεῖσε δὲ παρὰ τοῦ στόλου τοῦ Κιβυρραιωτῶν, καὶ Δαβὶδ τοῦ ἀπὸ Ἀχριδῶν στρατηγοῦντος Σάμου, καὶ Νικηφόρου τοῦ Καβάσιλα δουκὸς ὄντος Θεσσαλονίκης παρασπονδηθέντες ἅπαντες κατεσφάγησαν.

Βουλόμενος δὲ ὁ βασιλεὺς ἐκστρατεῦσαι κατὰ τῆς Σικελίας Ὀρέστην προέπεμψε μετὰ δυνάμεως ἁδρᾶς, ἕνα ὄντα τῶν πιστοτάτων εὐνούχων, αὐτὸς δὲ ἐκωλύθη φθάσαντος τοῦ χρεών. Δεκεμβρίῳ γὰρ μηνὶ ιε', ἰνδικτιῶνος θ', ἔτους ,ϛφλδ', αἰφνιδίῳ νόσῳ ληφθεὶς ἀπεβίω, πρό τινων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς καὶ Εὐσταθίου τοῦ πατριάρχου ἀποθανόντος, οὗ διάδοχον ὁ βασιλεὺς C ἐποιήσατο Ἀλέξιον μοναχὸν καὶ καθηγούμενον τῆς μονῆς τοῦ

2 κελεύσαντος C 4 ὑπερμαχούντων C 6 κιβυραιωτῶν C
14 post ἀποθανόντος C: περὶ οὗ λέγεται ὅτι ἐν μιᾷ τῶν ἐπισήμων ἑορτῶν τῆς ἱερουργίας τελουμένης (τοῦτο μὲν γὰρ διὰ τὸ γῆρας ἔξωρος ην, τοῦτο δὲ διὰ μαλακίαν σωματικήν. ἐνοσηλεύετο γάρ) τῆς εἰσόδου τῶν ἁγίων ἀργῶς τε καὶ σχολαίως πλεῖον τοῦ συνήθους τελουμένης. μετὰ τὸ τελέσαι τὴν εὐχὴν μὴ δυνάμενος ἵστασθαι, δόξαν αὐτῷ ἤχθη θρόνος ἐφ' ᾧ ἀναπαύεσθαι εἴθιστο. κεκαθικὼς οὖν ἐξεδέχετο τὴν τῶν ἁγίων ἄφιξιν. καθήμενος δὲ ἀφύπνωσε. καὶ ὁρᾷ θέαμα φρικτόν, ὕπαρ, οὐκ ὄναρ· ἑώρα γὰρ εἰσοδεύοντα θηρία ἱερατικὰς ἠμφιεσμένα στολάς, τὰ μὲν ἄλλα σώματα ἀνθρωπίνως πεπλασμένα, μόνας δὲ τὰς κεφαλὰς θηριομόρφους ἔχοντα. ἐν τοσούτῳ δὲ τοῦ διακόνου ὑπομνήσαντος τὴν τῶν ἁγίων παρουσίαν, πολλὰ αὐτὸν κατεμέμφετο τῆς ὑπομνήσεως ὡς στερήσαντα αὐτὸν φρικωδεστάτου θεάματος· ἕνδεκα γὰρ ἔλεγεν ἰδεῖν τοιούτους τερατομόρφους ἀρχιερεῖς, ἔτι ἐπὶ τούτοις καὶ ἄλλων εἰσιόντων περικοπείσης τῆς αὐτῶν εἰσόδου διὰ τὴν τοῦ διακόνου ὑπόμνησιν. τὰ δὲ θηρία εἶναι ἔλεγεν ὄνους, λέοντας, παρδάλεις, κατοικιδίους αἰλούρους, οὓς ἡμεῖς συνήθως γόητας (γάτας?) καλοῦμεν, λύκους, ἄρκους, καὶ ἕτερα τοιαῦτα. ἀλλὰ τοῦτο μὲν τοιοῦτον.

simulans. cum autem imperator eum positis armis petere si quid vellet iuberet, non obtemperans Propontidem traiecit; cumque ad Abydum venisset, conserta navali pugna cum eo qui oram maritimam tuebatur, nullo negotio vicit ac Lemnum pervenit. ibi Rossi a classe Cibyrraeotarum et Davido Achridensi Sami praefecto ac Nicephoro Cabasila duce Thessalonicae per fraudem omnes sunt interfecti.

Post haec in Siciliam molitus expeditionem Basilius Orestam quendam de fidissimis suis eunuchis praemittit cum magnis copiis. ipse fato interceptus subsequi non valuit. nam mense Decembri, indictione nona, anno 6534, subito correptus morbo decessit. paucis ante mortem eius diebus obit Eustathius patriarcha; in cuius locum imperator substituit Alexium monachum, Studiani collegii magistrum, quid ad ipsum invi-

Στουδίου, εἰς ἐπίσκεψιν αὐτοῦ πεφοιτηκότα μετὰ τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου. ὃν καὶ πέμψας ἐνθρονίζει διὰ τοῦ πρωτονοταρίου Ἰωάννου, ᾧ συνεργῷ ἐχρῆτο πρὸς τὴν τῶν κοινῶν διοίκησιν. καὶ τῇ ἑσπέρᾳ ἐτελεύτησε, ζήσας μὲν ἔτη ο', καὶ τὰ πάντα βασιλεύσας, ἐπὶ χρόνους δὲ ν' τὴν αὐτοκράτορα διαθεὶς ἀρχήν. ταφῆναι δὲ παρεκάλεσε τὸν ἑαυτοῦ ἀδελφόν, ὃν καὶ διάδοχον κατέλιπε τῆς ἀρχῆς, ἐν τῷ κατὰ τὸ Ἕβδομον ναῷ τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου· ὃ δὴ καὶ γέγονεν.

Ἀναζωσάμενος δὲ τὴν ἅπασαν δυναστείαν ὁ Κωνσταντῖνος, D *καὶ πράττειν ὅ τι καὶ βούληται ἐξουσίαν λαβών, καὶ ταῖς ἐκδεδιητημέναις χαίρων τῶν πράξεων, πολλῶν κακῶν αἴτιος ὑπῆρξε τῷ πολιτεύματι, αὐτὸς μὲν πράττων οὐδὲν ἢ βουλευόμενος τῶν δεόντων, ἱπποδρομίαις δὲ χαίρων καὶ μίμοις καὶ γελωτοποιοῖς, καὶ κύβοις καὶ κοττάβοις ἐννυκτερεύων, ἄρχοντας καθιστὰς ἔν τε πολιταρχίαις καὶ στρατηγίαις οὐ τοὺς ἔργῳ καὶ λόγῳ τὸ δόκιμον ἑαυτῶν παρεχομένους ἀλλ' οἰνόληπτα ἐκτετμημένα ἀνδράποδα καὶ πάσης μιαρίας καὶ βδελυρίας ἐμπεπλησμένα, ἀνάγων αὐτοὺς εἰς τὰς τῶν ἀξιωμάτων ὑψηλοτάτας περιωπάς, τοὺς δὲ γένει καὶ ἀρετῇ καὶ πείρᾳ προέχοντας παρατρέχων. Νικόλαον γὰρ τὸν πρῶτον τῶν αὐτοῦ θαλαμηπόλων δομέστικον προεβάλετο τῶν σχολῶν* P 720 *καὶ παρακοιμώμενον, Νικηφόρον δὲ τὸν μετ' ἐκεῖνον τὰ δευτερεῖα φέροντα πρωτοβεστιάριον, Συμεὼν δὲ τὸν κατὰ τὴν τάξιν τρίτον δρουγγάριον τῆς βίγλας, προέδρους τοὺς πάντας τιμήσας,*

6 παρεκέλευσε margo P 14 κοττάβοις] τζουκανίσμασιν margo C 16 παρεχ.] ἔχοντας C 18 περιοπας C, βαθμίδας margo 19 καὶ πείρᾳ om C 22 δὲ om C τὴν om C

sendi causa venerat, afferens secum caput Ioannis baptistae. eum ergo cum per Ioannem protonotarium, cuius opera in administrandis publicis negotiis utebatur, in solio patriarchae collocasset, vespere exspiravit. vixit annos 70, quos omnes regnavit. solus autem summum imperium gessit annos 50. fratrem imperii successorem instituit, eique mandavit ut se in Ioannis evangelistae ac theologi fano sepeliret, apud Hebdomum. idque is est exsecutus.

Constantinus imperio potitus, nactusque licentiam agendi quae vellet, multa rei publicae mala dedit. quippe homo pravis studiis deditus, nihil eorum quae officii erant vel agebat vel cogitabat, ludis autem equestribus et mimis ac scurris delectabatur, potandoque noctes trahebat. civiles ac bellicos magistratus non iis qui facto aut dicto virtutem suam testatam fecissent mandavit: sed praeteritis iis qui genere virtute usuque rerum pollebant, ad summas dignitates extulit mancipia ebriosa atque evirata omnibusque polluta flagitiis. etenim Nicolaum, famulorum cubiculi principem, scholarum domesticum et accubitorem creavit, Nicephorum, ab eo proximum, protovestiarum, Simeonem, tertio loco habitum, drungarium vigiliae; iisque omnibus honorem praesidis tribuit.

Εὐστάθιόν τε τὸν πολλοστὸν μετ' ἐκείνους μέγαν ἑταιρειάρχην. προεβάλετο δὲ καὶ δοῦκα Ἀντιοχείας εὐνοῦχόν τινα Σπονδύλην λεγόμενον, καὶ Ἰβηρίας Νικήταν τὸν ἐκ Πισιδίας, καὶ ἄμφω ἐπιρρήτους ἀνθρώπους καὶ πονηρούς· οἵτινες ταραχῆς καὶ συγχύσεως τὰ πάντα πληρώσαντες μικροῦ τὴν βασιλείαν ἀνέτρεψαν ἤδη καλῶς ἀγομένην ἀπό τε τῆς αὐτοκρατορίας Ῥωμανοῦ τοῦ τοῖν βασιλέοιν πατρός, Νικηφόρου δὲ καὶ Ἰωάννου καὶ Βασιλείου τῶν κατὰ διαδοχὰς δεξαμένων τὰ σκῆπτρα καὶ φοβερὰν καθισταμένην B τοῖς πλησιάζουσιν ἔθνεσι. καὶ οὐ μόνον ἀδιάφορον εἶχε τὴν γνώμην ἐν ταῖς τῶν ἀρχῶν προβολαῖς, ὡς ἔτυχεν αὐτὰς καθιστάς, ἀλλὰ καὶ τοὺς ἀξιολογωτέρους καὶ δοκιμωτέρους ἐδίωκε διὰ παντός, τοῖς εὐδοκίμοις ἐπιβουλεύων. ἀπετύφλωσε μὲν γὰρ καὶ Κωνσταντῖνον πατρίκιον τὸν υἱὸν Μιχαὴλ μαγίστρου τοῦ Βούρτζη, πρὸ τῆς αὐτοκρατορίας αὐτοῦ προσκρούοντα καὶ τὰς ἀκολάστους αὐτῷ πράξεις Βασιλείῳ τῷ βασιλεῖ μηνύοντα, καὶ ἄλλους οὐκ ὀλίγους ἄνδρας ἀγαθοὺς ἠφάνισεν, ὡς προϊὼν ἐξείπῃ ὁ λόγος. καὶ τὰ μὲν προοίμια τῆς αὐτοκρατορίας αὐτοῦ ταῦτα καὶ τοιαῦτα· τὰ δὲ μετὰ ταῦτα ποῖα ἂν καὶ κατ' ἀξίαν παραστήσειεν ἱστορία; μόνων γάρ, ὡς ἐρρέθη, C ἐξεχόμενος γελωτοποιῶν καὶ μίμων, καὶ περὶ τὰς ἱπποδρομίας εἴ πέρ τις ἄλλος κεχηνώς, ἔργον μόνον ἀναγκαῖον ταύτας ἡγεῖτο, τὰ λοιπὰ μηδενὸς ἀξιῶν λόγου ἀλλὰ δεύτερα λογιζόμενος τῶν αὐτοῦ ἀκολάστων ἔργων. Νικηφόρον γὰρ τὸν Κομνηνόν, ἄνδρα συνετὸν καὶ ἐπ' ἀρετῇ καὶ ἀνδρείᾳ βεβοημένον, Μηδίας ἄρχοντα τῆς

1 εὐστράτιον τὸν C   6 κακῶς P   8 διαδεξαμένων C   10 ταύτας C   14 προσκρούοντας C   16 ἐξείποι C   τῆς αὐτοῦ βασιλείας τοιαῦτα C   18 παραστήσηται P

Eustathium, qui longo istos subsequebatur intervallo, magnae sodalitatis ducem constituit. Antiocheae ducem fecit Spondylen quondam eunuchum, et Iberiae Nicetam e Pisidia oriundum, utrumque malitiae infamis. hi tumultibus omnia et confusione implentes everterunt propemodo imperium; quod iam inde a Romano huius patre, sceptrum ordine gerentibus Nicephoro Tzimisca et Basilio, floruerat ac terrori vicinis gentibus fuerat. et vero Constantinus non modo absque iudicio et temere magistratus legebat, sed et praestantissimum quemque vexabat, ac non cessabat illustribus viris insidiari. hoc modo Constantinum patricium, magistri Michaeli Burtzae filium, oculis privavit, offensus ab eo ante initum imperium, fratri Basilio turpia ipsius facta indicante. et alios haud paucos praestantes viros e medio sustulit, ut suo loco dicetur. talia ergo fuerunt imperii huius initia. quae subsecuta sunt, quaenam possit digne explicare narratio? solis, uti monui, deditus scurris ac mimis et ludis, ut nemo unquam magis, equestribus captus, hos unice sibi curandos arbitrabatur, reliquorum, quod ea suis ineptiis ac libidinibus posteriora ducebat, nullam habens rationem. Nicephorum Comnenum, virum pru-

καὶ Ἀσπρακανίας, τὸν καὶ τὰ πρόσχωρα ὑποτάξαντα ἔθνη, δι' αἰτίαν μὲν εὔλογον οὐδεμίαν, τῆς δὲ ἀρετῆς φθονήσας ἀπετύφλωσεν, ἔγκλημα τούτῳ καθοσιώσεως ἐπενεγκών. οὗτος γὰρ πολλάκις συμπλεκόμενος τοῖς γείτοσιν ἐν Μηδίᾳ Σαρακηνοῖς, καὶ τοὺς
D ἑαυτοῦ στρατιώτας μαλακιζομένους ὁρῶν καὶ τὰ νῶτα στρέφοντας ἀκόσμως καὶ φεύγοντας, καὶ τὰ μὲν ὀνειδίζων, τὰ δὲ καὶ παρακαλῶν μὴ οὕτω φεύγειν αἰσχρῶς ἀλλ' ἵστασθαι κατὰ τῶν ἀντιπάλων γενναίως, ἔπεισε συγκαταθέσθαι. ὡς δὲ καὶ ἐνωμότως τὴν κατάθεσιν βεβαιῶσαι οὗτος ἀπῄτει, ὅτι σὺν αὐτῷ θανοῦνται μαχόμενοι πρὸς τοὺς πολεμίους, ἔγγραφον ἐκδεδώκασι γραμματεῖον, παλαμναιοτάταις ἀραῖς καὶ φρικωδεστάτοις ὅρκοις ἐμπεδωσάμενοι στῆναι ῥωμαλέως ἐν τῇ παρατάξει καὶ ἀποθανεῖν σὺν τῷ στρατηγῷ. τοῦτο ὡς ἦλθεν εἰς ὦτα τοῦ Κωνσταντίνου, παραλύεται μὲν εὐθὺς τῆς ἀρχῆς ὁ Νικηφόρος καὶ εἰς τὴν βασιλίδα εἰσάγεται, κριτήριόν τε καὶ βῆμα ἤρτο, καὶ καταδικάζεται ὡς συνομοσάμενος κατὰ τῆς βασιλείας, καὶ τὰς ὄψεις πηροῦται.
P 721 ἐγκοτῶν δὲ καὶ Βάρδᾳ πατρικίῳ τῷ ἐκγόνῳ τοῦ μαγίστρου Βάρδα τοῦ Φωκᾶ καί τισιν ἄλλοις, ῥάπτει διά τινος τῶν παρατρεφομένων συκοφαντῶν τυραννίδος ἐπίθεσιν κατ' αὐτοῦ, καὶ εὐθὺς ἀποτυφλοῖ τοῦτον καὶ τοὺς συνδιαβληθέντας αὐτῷ. καὶ στάσεως δὲ γενομένης ἐν τῇ Ναυπάκτῳ κατὰ Γεωργίου τοῦ στρατηγοῦντος αὐτῆς, ὃν καὶ Μωρογεώργιον ἐκάλουν διὰ τὸ ἄστατον τῆς γνώμης, ἀναιρεῖται μὲν ὁ στρατηγός, διαρπάζουσι δὲ καὶ τὰ πρα-

9 μαχοῦνται πρὸς τοὺς πολεμίους μαχόμενοι C   17 τοῦ μαγίστρου om C

dentem ac virtute et fortitudine inclitum, qui Aspracaniae praefectus finitima subegerat, nullam ob iustam causam, sed virtuti hominis invidens, maiestatis reum fecit ac luminibus orbavit. is enim Nicephorus saepe cum vicinis in Media Saracenis congressus, cum videret suos milites hosti turpiter terga obiicere, exprobrando eis mollitiem, hortandoque ne fuga turpi sed fortiter pugnando se tuerentur, ad fortitudinem excitavit. cumque ab iis etiam iureiurando sibi promitti posceret cum ipso ad mortem usque se in hostem pugnaturos, scripto libello ad hoc se obligavere; in quo dirissimis sese devovebant imprecationibus, nisi fortiter in pugna starent et ad mortem usque cum duce perseverarent. hoc ubi rescivit Constantinus, illico magistratum Comneno abrogat, reductumque Cpolin in iudicio conspirationis contra imperatorem accusat, damnatoque criminis oculos eruit. Bardae etiam patricio, Barda magistro Phoca prognato, infensus ac nonnullis aliis, opera cuiusdam domesticorum suorum calumniatorum dolum nectit, accusatosque insidiarum imperatori structarum statim oculis multat. sub id tempus Naupacto praeerat Georgius, quem ob animi inconstantiam Morogeorgium, id est fatuum Georgium, appellabant. is cum oppidanos vexaret eosque ex

ὄντα πάντα αὐτῷ, κακῶς διατιθέμενος περὶ τους ἐγχωρίους καὶ εἰσπράξεσι σεσοφισμέναις καὶ συνεχέσι τούτους συντρίβων. ὁ βασιλεὺς δὲ οὐ μόνον τοὺς αἰτίους ἀπηνῶς ἐκόλασε τοῦ φόνου, ἀλλὰ καὶ αὐτὸν τὸν ἀρχιερέα τῆς Ναυπάκτου ἐτύφλωσεν. ὁ δὲ τοῦ B Σκληροῦ Ῥωμανοῦ υἱὸς Βασίλειος πατρίκιος, προσκρούων τῷ μαγίστρῳ Προυσιανῷ τῷ Βουλγάρῳ στρατηγοῦντι βουκελλαρίων, ἐς τοσοῦτον προήχθη τόλμης ὡς καὶ διὰ μάχης τούτῳ ἐλθεῖν. τούτων τὴν διένεξιν Κωνσταντῖνος ὁ βασιλεὺς ἀναισχυντίαν κρίνων κατὰ τῆς βασιλείας καὶ ἄμφω ὑπερορίζει, τὸν μὲν ἐν τῇ Ὀξείᾳ νήσῳ τὸν δὲ ἐν τῇ Πλάτῃ. μετὰ μικρὸν δὲ τὸν μὲν Βασίλειον, κατηγορηθέντα ὡς εἴη ἀπόδρασιν μελετῶν, ἀπετύφλωσε, τὸν δὲ Προυσιανὸν μικροῦ δεῖν τοῦτο αὐτὸ πείσεσθαι κινδυνεύοντα ἠλευθέρωσεν. ἐτύφλωσε δὲ καὶ Ῥωμανὸν τὸν Κουρκούαν, ἐπ' ἀδελφῇ ὄντα γαμβρὸν τοῦ Προυσιανοῦ καὶ τὸν Βογδάνον καὶ τὸν Γλαβᾶν καὶ τὸν Γουδέλην. C ἐγλωσσοτόμησε δὲ καὶ τὸν μοναχὸν Ζαχαρίαν τὸν συγγενῆ τοῦ Βέστου Θευδάτου, συσκευάσασθαι τούτους πλασάμενος κατ' αὐτοῦ.

Τούτῳ τῷ ἔτει καὶ Πατζινάκαι εἰσβολὴν ἐποιήσαντο κατὰ Βουλγαρίας, καὶ πλεῖστον λαὸν καὶ στρατηγοὺς καὶ ταγματάρχας ἔσφαξαν καὶ ἐζώγρησαν· διὸ ὁ βασιλεὺς Κωνσταντῖνος τὸν Διογένην ἄρχοντα Σιρμίου ὑπάρχοντα καὶ δοῦκα τῆς Βουλγαρίας ἐποίησεν, ὃς συμπλακεὶς πολλάκις αὐτοῖς διεσπαρμένοις ἐτρέψατο καὶ ἠνάγκασε περαιωθέντας τὸν Ἴστρον ἡσυχίαν ἄγειν. ἐγένετο δὲ

4 Βασίλειος δὲ πατρίκιος ὁ Ῥωμανοῦ τοῦ Σκληροῦ υἱὸς C 15 γουδέλλιον C 19 ταξιάρχας C

actionibus commenticiis ac continentibus attereret, seditione adversus ipsum coorta interfectus est, et bona eius direpta. imperator non auctores modo caedis crudeliter puniit, sed et ipsi summo pontifici eius urbis oculos effodit. Romani Duri filio, patricio Basilio, adversus Prusianum Bulgarum magistrum ac bucellariorum praefectum incidit contentio, ventumque est etiam ad pugnam. qua eos discordia in imperii maiestatem impudenter deliquisse iudicans, alterum in Oxeiam, id est acutam, insulam, alterum in Platam relegavit. et paulo post Basilium delatum quod fugam esset meditatus, excaecavit. Prusianum, cum is quoque in periculum de oculis suis venisset, missum fecit. oculos eruit praeterea Romano Curcuae, qui sororem Prusiani in matrimonio habebat, Bogdano, Glabae et Gudeli. linguam etiam praecidit Zachariae Bestae Theudati cognato, commentus eos sibi insidias struxisse.

Hoc anno Patzinacae irruperunt in Bulgariam, et plurimos homines, duces ac cohortes occiderunt ac ceperunt. itaque Constantinus Sirmii Diogenem praefectum Bulgariae ducem creat; qui saepe cum iis palantibus commissa pugna eos fudit, coegitque traiecto Istro quiescere. toto

καὶ ἐφ' ὅλους τοὺς τῆς βασιλείας αὐτοῦ χρόνους μέγιστος αὐχμός,
D ὡς ἀποξηρανθῆναι τὰς ἀεννάους πηγὰς καὶ τοὺς ποταμούς. τοῦ
βασιλέως δὲ Βασιλείου φειδοῖ τῶν πενήτων μὴ ἐγκαίρως τὰς δη-
μοσίας εἰσπραττομένου συντελείας ἀλλ' ἀνακωχὴν καὶ ὑπερημερίαν
διδόντος ταῖς ἀπαιτήσεσιν, ἐκείνου τελευτήσαντος συνέβη δύο ἐνιαυ-
τῶν φόρους ἔτι ἠρτῆσθαι· οὓς ὁ Κωνσταντῖνος εὐθὺς εἰσεπράξατο.
εἰσεπράξατο δὲ καὶ τῶν ἑτέρων τριῶν ἐνιαυτῶν (ἐς τοσοῦτον γὰρ
χρόνον ἡ ἀρχὴ αὐτῷ ἐξετάθη), καὶ συνετρίβησαν οὐχ οἱ πένητες
μόνον καὶ ἄποροι ἀλλὰ καὶ οἱ εὐπόρως ἔχοντες, ἐν τρισὶ χρόνοις
πέντε παρασχόντες δασμοφορίας. ἐξῆλθεν οὖν καὶ στόλος Ἀγα-
ρηνῶν κατὰ τῶν Κυκλάδων νήσων· οἷς συμπλακεὶς ὁ στρατηγὸς
P 722 Σάμου Γεώργιος ὁ Θεοδωροκάνος, ἅμα Βεριβόῃ τῷ στρατηγοῦντι
τῆς Χίου, ἐτρέψατο, καὶ δώδεκα μὲν αὔτανδρα εἷλε, τὰ δὲ λοιπὰ
διεσκέδασεν.

Ἐννάτῃ δὲ Νοεμβρίου μηνός, τῆς ιβ' ἐπινεμήσεως, ἐν ἔτει
,ϛφλζ', αἰφνιδίῳ νόσῳ ληφθεὶς ὁ Κωνσταντῖνος καὶ παρὰ τῶν
ἰατρῶν ἀπαγορευθεὶς ἐσκέπτετο τίνα ἂν καταλίποι διάδοχον τῆς
βασιλείας. ἔδοξεν οὖν αὐτῷ τὸν πατρίκιον Κωνσταντῖνον τὸν
Δαλασσηνὸν μεταστείλασθαι, κατὰ τὸν Ἀρμενιακὸν ἐν τῷ ἰδίῳ
οἴκῳ σχολάζοντα, γαμβρόν τε ποιήσασθαι ἐπὶ μιᾷ τῶν θυγατέρων
καὶ ἀναγορεῦσαι βασιλέα. καὶ δὴ πέμπεται ἄξων αὐτὸν εὐνοῦχός
B τις τῶν πιστικωτάτων, ὁ λεγόμενος Ἐργοδότης. σπουδῇ δὲ τοῦ
Συμεὼν φιλίως διακειμένου πρὸς τὸν πατρίκιον Ῥωμανὸν τὸν Ἀρ-
γυρὸν αὕτη μὲν παρωράθη ἡ γνώμη, καὶ στέλλεταί τις τάχα ἐκ

5 ἀπατήσεσιν C   12 βεριβώῃ C

etiam imperii eius tempore maxima fuit siccitas, exarueruntque etiam fontes perennes et flumina. pauperibus parcens Basilius publicum tributum solitus erat non ad diem dictum exigere, sed dilationem aliquam concedere; quo factum ut eo moriente duorum annorum tributum deberetur. non id modo, sed et trium insequentium (tot enim imperavit) annorum tributum exegit Constantinus; qua re non egeni tantum sed et opulenti attriti sunt, triennio quinque annorum pendere coacti tributum. ea tempestate classis Agarenorum Cyclades insulas invasit. eam Sami praetor Georgius Theodorocanus ac Periboes Chii praefectus adorti profligarunt, captis duodecim navibus cum ipsis vectoribus, ac reliquis dissipatis.

Nona Novembris die, indictione 12, anno mundi 6537, subito morbo correptus Constantinus et a medicis desperatus de instituendo imperii successore cogitavit. placuitque accersere patricium Constantinum Dalassenum, qui tum domi suae in Armeniaco degebat, eique filiarum suarum unam nuptum dare, ac Caesarem designare. mittitur ergo ad eum adducendum Ergodotes, eunuchorum fidissimus. sed opera Simeonis, qui Romano Argyro patricio fovebat, id consilii repudiatum fuit, mox-

βασιλέως ἐς τὸν Δαλασσηνόν, ἐκεῖσε προσμένειν κελεύοντος αὐτὸν ὅπῃ ἂν ἡ γραφὴ καταλήψηται, ἄγεται δὲ ὁ Ῥωμανὸς πρὸς τὰ βασίλεια. ἀχθέντι δὲ δύο προτίθενται γνῶμαι, ἢ διαζυγῆναι τῆς νομίμου γυναικὸς τῇ βασιλέως τε θυγατρὶ συναφθῆναι καὶ βασιλέα ἀναγορευθῆναι, ἢ πηρωθῆναι τοὺς ὀφθαλμούς. τοῦ δὲ ἰλιγγιῶντος καὶ ἀναδυομένου πρὸς αὐτῶν ἑκάτερον, ἡ σύνοικος δείσασα περὶ τοῦ ἀνδρός, μή τι καὶ πάθῃ φλαῦρον, τὴν κοσμικὴν ἑκουσίως ἀπέθετο τρίχα, καὶ τῷ συζύγῳ πρὸς τῇ ὄψει ἐχαρίσατο καὶ τὴν βασιλείαν. οὐσῶν δὲ τῷ Κωνσταντίνῳ θυγατέρων τριῶν C ἐκ τῆς θυγατρὸς τοῦ πατρικίου Ἀλυπίου, ἣν ἔτι ζῶντος τοῦ Βασιλείου ἡρμόσατο, ἡ μὲν καθ' ἡλικίαν πρωτεύουσα Εὐδοκία ἀπεκείρατο, ἡ τρίτη δὲ Θεοδώρα ἀπηνήνατο συζυγῆναι τῷ Ῥωμανῷ, ἢ διὰ τὸ συγγενές, ὥς φασιν, ἢ διὰ τὸ ἔτι τὴν ἐκείνου σύζυγον ζῆν. ἡ δὲ τῷ χρόνῳ δευτέρα Ζωὴ τὸν περὶ τῆς συνοικίας λόγον συνενεσθέντα ἀσπασίως ἐδέξατο. λόγου δὲ περὶ τῆς συγγενείας κινηθέντος, καὶ τῆς ἐκκλησίας σὺν τῷ πατριάρχῃ λυσάντων τὸ ἀμφίβολον, ἱερολογεῖται ὁ Ῥωμανὸς τῇ Ζωῇ καὶ αὐτοκράτωρ ἀναγορεύεται βασιλεύς. καὶ μετὰ τρεῖς ἡμέρας Κωνσταντῖνος ἀπέθανε, ζήσας μὲν τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ο' ἔτη, ἐπὶ D τρεῖς δὲ ἑνὸς δέοντος μηνὸς βεβασιλευκώς.

Οὕτω δὲ παρὰ πᾶσαν ἐλπίδα καὶ προσδοκίαν τὸν τῆς πηρώσεως κίνδυνον διαδρὰς ὁ Ῥωμανὸς τὸ τῆς βασιλείας περιζώννυται κράτος, καὶ βασιλεὺς αὐτοκράτωρ ἅμα Ζωῇ τῇ τοῦ Κωνσταντίνου ἀναγορεύεται θυγατρί. ἅμα τε οὖν ἐπὶ τὸν βασίλειον ἐκάθισε θρόνον, καὶ ἅμα προοιμίοις ἀγαθοῖς καὶ ἐπιβατηρίοις ἐπαινετοῖς

que ab imperatore missus qui Dalassenum eo loco ubi literas accepisset subsistere iuberet. Romanus in palatium adducitur, daturque ei optio, ut vel oculos sibi erui patiatur, vel dimissa sua legitima uxore filiam imperatoris ducat ac Caesar designetur. haesitante eo, uxor marito metuens, ultro comam posuit ac seculo renuntiavit, viroque et oculos servavit et imperium paravit. erant Constantino ex filia patricii tres filiae; quarum natu maxima Eudocia monachatum fuit amplexa, minima Theodora coniugium Romani aversata est, sive ob propinquitatem, ut ferebatur, generis, sive quod uxorem eius sciret adhuc vivere. media Zoe facile eum sibi dari maritum passa est. disputatione autem de cognatione mota, res a patriarcha et ecclesiasticis discussa et Romanus Zoae copulatus est, imperatorque declaratus. triduo post Constantinus vivendi finem fecit, cum vixisset annos 70, triennium mense minus imperasset.

Romanus praeter omnem spem atque exspectationem oculorum amittendorum periculo evitato, imperator cum Zoe Augusta factus, initio imperii bonis ac laudabilibus orsis subditos demeritus est. principium fecit beneficia in religionem. cum enim sciret magnae ecclesiae reditus

ἐδεξιοῦτο τοὺς ὑπὸ χεῖρα, ἀπὸ τῆς εὐσεβείας πρότερον ἀρξάμενος
ἀγαθοεργεῖν. ἐνδέουσαν γὰρ τὴν πρόσοδον τῆς μεγάλης εἰδὼς
ἐκκλησίας ἅτε οἰκονόμος ταύτης γενόμενος ἐν τοῖς ἔμπροσθεν χρό-
νοις, καὶ τῶν ἄλλων ὁπόσαις ὑπηρετεῖσθαι ἔθος παρὰ τοῦ ταύτης
κλήρου, ὀγδοήκοντα χρυσίου λίτρας ἀνὰ πᾶν ἔτος χορηγεῖσθαι
τούτοις τετύπωκεν ἀπὸ τοῦ βασιλικοῦ ταμιείου εἰς προσθήκην.
P 723 ἐξέκοψε δὲ καὶ τέλεον ἀπερρίζωσε τὸ ἀλληλέγγυον, ὅπερ ἔμελλε
μὲν ὁ Κωνσταντῖνος ποιῆσαι, οὐκ ἔφθασε δέ. ἐκένωσε δὲ καὶ τὰς
φυλακὰς τῶν ἐγκαθειργμένων διά τινας εὐθύνας, τὰ μὲν δημό-
σια χρέα χαριζόμενος, ἀποτιννὺς δὲ τὰ ἰδιωτικά. ἀπελυτρώσατο
δὲ καὶ τοὺς κατεχομένους αἰχμαλώτους ἐν Πατζινακίᾳ. ἐτίμησε
δὲ καὶ συγκέλλους μητροπολίτας τρεῖς, τὸν Ἐφέσου Κυριακὸν ὡς
τοῦ πατριάρχου ὁμαίμονα, Δημήτριον τὸν Κυζίκου ὡς λίαν αὐτῷ
καὶ πρὸ τῆς βασιλείας πεφιλημένον, καὶ Μιχαὴλ τὸν τῶν Εὐχαϊ-
τῶν καθ᾽ αἷμα τούτῳ ἐγγίζοντα διὰ τὸ ἀναφέρειν τὸ γένος εἰς τοὺς
B λεγομένους Ῥαδηνούς. Ἰωάννην δὲ τὸν τοῦ Βασιλείου τοῦ βασι-
λέως πρωτονοτάριον, ἤδη τὴν κοσμικὴν κειράμενον τρίχα, μετα-
πεμψάμενος καὶ σύγκελλον τιμήσας τῇ τῆς ἑαυτοῦ συζύγου ἀδελ-
φῇ Θεοδώρᾳ φρουρὸν κατέστησε. πολλοὺς δὲ καὶ τῶν λειτουργῶν
τοῦ θεοῦ ἐκ τῶν ἀλληλεγγύων εἰς ἐσχάτην ἐλθόντας πενίαν ἀνεκτή-
σατο, καὶ τοὺς ἄλλους δυσφοροῦντας καὶ πιεζομένους ἀπορίαις
παραμυθίας ἠξίωσε. παρέσχε δὲ καὶ χρημάτων πλῆθος ἀριθμοῦ
κρεῖττον ὑπὲρ σωτηρίας ψυχῆς τοῦ ἑαυτοῦ πενθεροῦ. ἠξίωσε δὲ
παραπλησίως καὶ τοὺς ὅσοι κακῶς ἔπαθον ὑπ᾽ αὐτοῦ, τοὺς μὲν εἰς
ἀξιώματα προβιβάσας, τοὺς δὲ ἐν κτήμασι καὶ ἄλλους ἐν χρήμασι

16 ῥαδινοὺς C

non sufficere, ut qui superioribus temporibus dispensator fuisset eius, et aliarum quibus huius clerus de more inserviebat, 80 auri libras quotannis ex aerario imperatorio ei pendi iussit, decreto ea de re condito. abolevit etiam Allelengyum, quod Constantinus erat sublaturus, nisi mors eum antevertisset. carceres quoque captivis ob certa crimina evacuavit; publica debita dimisit, privata persolvit. redemit captivos ex Patzinacia. fecit etiam tres syncellos metropolitas, Cyriacum Ephesi, utpote consanguineum patriarchae, Demetrium Cyzici, quem etiam antequam fieret imperator admodum dilexerat, et Michaelum Kuchaitarum, ut genere huic propinquum, quod a Redanis stirpem ducebat. Ioannem, qui Basilii imperatoris fuerat protonotarius iamque religionis causa caput raserat, evocavit syncellumque fecit, et coniugis suae sororis Theodorae custodiae praefecit. multos porro dei famulos ad extremam redactos pauperiem sublevavit, et alioquin adversis rebus pressos refocillavit. pro salute animae soceri sui immensam pecuniae vim impendit.

παραμυθησάμενος. ἀνήγαγε δὲ καὶ εἰς τὸ λαμπρὸν τῶν μαγίστρων ἀξίωμα τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ Ῥωμανὸν τὸν Σκλη- C
ρόν, ὃν ὁ Κωνσταντῖνος, ὡς εἴπομεν, ἀπετύφλωσεν. ἀνεκαλέσατο δὲ καὶ τῆς χρονίας ὑπερορίας Νικηφόρον τὸν Ξιφίαν, ὃς ἐθελοντὴς ἐν τῇ μονῇ τῶν Στουδίου τὸ τῶν μοναχῶν ἠμφιέσατο σχῆμα.

Κατὰ τοῦτον τὸν χρόνον ὗσεν ὁ θεὸς ὑετὸν σύμμετρον, καὶ εὐφορία γέγονε τῶν καρπῶν, κατ' ἐξαίρετον δὲ τῆς ἐλαίας. ἐγένετο δὲ κατὰ τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς ταραχὴ διὰ τὴν καθέδραν ἐν τῇ λειτουργίᾳ, μὴ καταδεξαμένων τῶν μητροπολιτῶν προκαθίσαι αὐτῶν τοὺς συγκέλλους ἐν τῷ συνθρόνῳ.

Κατὰ τοῦτον τὸν χρόνον διαβληθεὶς ὁ μάγιστρος Προυσιανὸς ὁ Βούλγαρος κοινοπραγεῖν Θεοδώρᾳ τῇ τῆς βασιλίδος ἀδελφῇ D
καὶ τῆς βασιλείας σὺν αὐτῇ ἀντιποιεῖσθαι εἰς τὸ τοῦ Μανουὴλ μοναστήριον φρουρεῖται. ἐπικρατησάσης δὲ τῆς κατηγορίας αὐτὸς μὲν ἀποτυφλοῦται, ἡ δὲ μήτηρ αὐτοῦ ἡ ζωστὴ τῆς πόλεως ἐκβάλλεται. καὶ Κωνσταντῖνος ὁ Διογένης, γαμβρὸς ὢν τοῦ βασιλέως ἐπὶ θυγατρὶ τοῦ ἀδελφοῦ αὐτοῦ, ἀπὸ Σιρμίου μετατεθεὶς εἰς Θεσσαλονίκην γίνεται δούξ, κατηγορηθεὶς δὲ παρὰ Ὀρέστου τοῦ θεράποντος τοῦ Βασιλείου τοῦ βασιλέως ὡς μελετῶν ἀποστασίαν, στρατηγὸς εἰς Θρᾳκησίους στέλλεται. φανερᾶς δὲ τῆς κατηγορίας γενομένης ἄγεται δέσμιος ἐν τῇ βασιλίδι καὶ ἐν πύργῳ βάλλεται. οἱ δὲ τούτου συνωμόται, ὁ πρωτονοτάριος Ἰωάννης καὶ σύγκελλος, ὁ πατρίκιος Εὐστάθιος καὶ στρατηγὸς ὁ Δαφνο-

et quos ille male tractaverat, alios honoribus alios opibus aut pecunia consolatus est. Romanum Sclerum, cui a Constantino erutos oculos demonstravimus, sororis suae maritum, ad splendorem magisterii extulit. et a diuturno exsilio revocavit Nicephorum Xiphiam, qui sponte sua in Studiano collegio est monachus factus.

Eo tempore pluvias commodas dedit deus, fructusque large proveneruut, maxime oleae. die Pentecostae sacro tumultuatum est ob sessionem in sacro officio, metropolitis non ferentibus superiore loco ipsis sedere syncellos.

Eo tempore Prusianus Bulgarus magister delatus ut qui conspiratione cum Theodora Augustae sorore inita imperium affectaret, in Manueli monasterium in custodiam datur; et ingravescente crimine oculis privatur, et mater eius zoste urbe eiicitur. et Constantinus Diogenes, cuius uxor fratre imperatoris nata erat, Sirmii praefectus, inde transfertur ac Thessalonicae dux constituitur; accusatusque ab Oresta, qui Basilii imperatoris fuerat minister, quod defectionem moliretur, praetor ad Thracenses mittitur, ac comperto crimine vinctus in urbem adducitur, inque turrim coniicitur. socii coniurationis, Ioannes syncellus, Eustathius patricius, ac dux Daphnomelus, Michaelus Theognostus et

P 724 μήλης, Μιχαὴλ Θεόγνωστος καὶ Σαμουὴλ οἱ τοῦ μαγίστρου Μιχαὴλ τοῦ Βούρτζη ἔκγονοι, Γεώργιός τε καὶ Βαρασβατζὲ ὁ ἐν τῷ ὄρει τῷ Ἄθῳ τὴν τῶν Ἰβήρων μονὴν συστησάμενος, οἱ τοῦ πατρικίου Θευδάτου ἀνεψιοί, δεινῶς τυφθέντες καὶ διὰ μέσης τῆς λεωφόρου παραπεμφθέντες ἐξορίᾳ παρεπέμφθησαν. κατηνέχθη δὲ καὶ Θεοδώρα τῶν ἀνακτόρων, καὶ εἰς τὸ λεγόμενον περιωρίσθη Πετρίον.

Ὀκτωβρίου δὲ μηνὸς λα' χύσις ἀστέρος ἐγένετο, ἐκ δυσμῶν πρὸς ἀνατολὴν τὴν πορείαν ποιοῦντος. καὶ κατ' αὐτὴν τὴν ἡμέραν πτῶσις οὐ μικρὰ γέγονε τοῦ Ῥωμαϊκοῦ στρατοῦ ἐν Συρίᾳ, στρατηγοῦντος τῆς μεγάλης Ἀντιοχείας Μιχαὴλ τοῦ Σπονδύλη. ἐγένετο δὲ καὶ ὄμβρων ἐπίκλυσις, ἐπικρατήσασα ἕως τοῦ Μαρτίου
B μηνός, τῶν ποταμῶν ὑπερχυθέντων καὶ τῶν κοίλων πελαγισάντων, ὡς ἀποπνιγῆναι σχεδὸν πάντα τὰ ζῷα καὶ τοὺς καταβληθέντας καρποὺς τῇ γῇ, καὶ διὰ τοῦτο λιμὸν κατὰ τὸν ἐπιόντα χρόνον ἐπακολουθῆσαι δεινόν. βουλόμενος δὲ ὁ βασιλεὺς τὸ γεγονὸς ἐν Συρίᾳ ἀτύχημα ἐξιάσασθαι, ὥρμητο κατὰ τῆς Βερροίας ἐκστρατεῦσαι. ἐκπέμπει γοῦν μετ' εὐζώνου δυνάμεως Κωνσταντῖνον πατρίκιον τὸν Καραντηνὸν τὸν ἐπ' ἀδελφῇ τούτου γαμβρόν, ἀπελθεῖν ἐπισκήψας καὶ κατασκοπῆσαι τὰς εἰσόδους καὶ κατὰ τὸ δυνατὸν πημαίνεσθαι τοὺς ἐχθρούς, παρατάξεως δὲ καθολικῆς ἀπέχεσθαι μέχρι τῆς αὐτοῦ παρουσίας. ἐν ὅσῳ δὲ ὁ στρατὸς αὐτῷ
C συνηθροίζετο, ὁ μὲν τῆς Ἀβασγίας ἄρχων Γεώργιος νόσῳ τελευτᾷ, ἡ δὲ τούτου σύνοικος πρέσβεις εἰς βασιλέα στείλασα μετὰ δώρων

5 πομπευθέντες?

Samuelus, magistri Michaeli Burtzae filii, Georgiusque et Barasbatze, qui in monte Atho Iberorum monasterium condidit, patrueles patricii Theudati, graviter verberati et per viam publicam producti deportantur. Theodora etiam pulsa palatio in Petrium relegatur.

Ultima Octobris die stella ab occasu versus ortum traiicere visa est. eademque die classis Romana haud exiguam est passa cladem, Antiocheae praetore Michaelo Spondyla. imbres quoque ingentes usque ad Martium mensem obtinuerunt, et amnium ac lacuum exundatione fere omnia animalia necata sunt, ac semina terrae commissa perierunt; ideoque insequenti anno gravi est laboratum penuria. ceterum imperator ut acceptam in Syria cladem exsarciret, expeditionem ad Berroeam instituit; mittitque sororis suae maritum Constantinum patricium Carantenum, cum levis armaturae exercitu, speculari eum aditus et quantum fieri posset hostes infestare, praelio tamen usque ad suum adventum abstinere iubens. dum autem milites cogit, interim Abasgiae princeps Georgius ex morbo decedit. uxor eius legatis ad imperatorem donisque

σπονδάς τε εἰρηνικὰς ἐζήτει καὶ τῷ ταύτης υἱῷ Παγκρατίῳ τὴν συνοικήσουσαν. ἧς τὴν πρεσβείαν ἀποδεξάμενος ὁ βασιλεὺς τάς τε σπονδὰς ἐκύρωσε, καὶ Ἑλένην τὴν ἑαυτοῦ ἀνεψιάν, τὴν θυγατέρα τοῦ ἀδελφοῦ αὐτοῦ Βασιλείου, νύμφην εἰς Ἀβασγίαν ἀπέστειλε, τὸν νυμφίον Παγκράτιον ἐς τῶν κουροπαλάτων ἀναβιβάσας τὸ ὕψος.

Κατὰ τοῦτον τὸν χρόνον γέγονέ τι τεράστιον ἐν τῷ θέματι D τῶν Θρακησίων παράδοξον, περὶ τὰς ὑπωρείας τοῦ ὄρους τοῦ Κουζηνᾶ, ἐν ᾧ πηγή ἐστι καλλίστου καὶ διειδοῦς ὕδατος. φωνή τις ἐξηκούετο οἰκτρὰ μετὰ ὀδυρμοῦ καὶ οὐαὶ καὶ θρήνων, παρεμφερὴς ὀλοφυρμῷ γυναικός. καὶ οὐχ ἅπαξ ἢ δὶς τοῦτο, ἀλλ' ἀπὸ Μαρτίου μηνὸς ἄχρις Ἰουνίου αὐτοῦ καθ' ἡμέραν καὶ νύκτα. ἀπιόντων δέ τινων ἐπὶ τῷ κατασκοπῆσαι τὸν τόπον ἔνθα ἡ φωνὴ ἐξηχεῖτο, ἀλλαχοῦ μετέπιπτεν ἡ ὀλολυγή. τοῦτο δέ, ὡς ἔοικε, προεμήνυε τὴν φθάσασαν ῥηθῆναι ἀτυχίαν τῶν Ῥωμαίων ἐν τῇ κοίλῃ Συρίᾳ. τοῦ γὰρ βασιλέως Νικηφόρου τὰς πλείστας Συρίας καὶ Φοινίκης πόλεις παραστησαμένου, καὶ τοῦ μετ' αὐτὸν Ἰωάννου τὰ ἑαλωκότα κρατυναμένου καὶ μέχρι Δαμασκοῦ τὴν ἐπικράτειαν παρατείναντος, ἐπείπερ ὁ μετ' αὐτοὺς Βασίλειος πρότερον μὲν ὑπὸ τῶν ἐμφυλίων ἀσχολούμενος πολέμων, ὕστερον δὲ καὶ τοῖς κατὰ τοῦ Σαμουὴλ ἔργοις προσλιπαρῶν οὐκ ἔσχεν εὐκαιρίαν καλῶς καὶ P 725 ὡς ἐνεδέχετο τὰ ἐν τῇ ἕῳ κατασφαλίσασθαι, ἀλλ' ὅσον ἐν φαντασίᾳ γενόμενος ἐκεῖσε, καὶ ὡς ὁ καιρὸς ἀπῄτει ταῦτα καταστησάμενος, εἶθ' ὑποστρέψας καὶ ἀσχολίαν ἔμμονον ἔχων καὶ φροντίδα τὸ τῶν

8 παράδοξον post τεράστιον C τοῦ ante Κουζ. om C 10 οἰκτρὰ om C 13 κατασκοπεῖν πρὸς τὸν C 22 ἑῴᾳ C

missis foederis renovationem et filio suo Pancratio coniugem petit. cui assensus imperator foedus firmat, Helenamque sui fratris filiam in Abasgiam nuptum mittit, et Pancratium curopalatae honore insignit.

Hoc tempore in Thracensi provincia prodigiosum quippiam accidit, apud radices montis Cuzenae, ubi fons est aquae limpidissimae. vox enim ibi quaedam exaudita est miserabilis, eiulatibus et lamentis permixta; neque hoc semel aut iterum, sed noctes diesque continuo a mense Martio usque ad Iunium. cumque nonnulli accessissent speculatum locum unde vox edebatur, alio eiulatus isti transiverunt. praemonstrabat autem, opinor, hoc portentum cladem Romanorum in Coelesyria acceptam. etenim Nicephorus imperator urbes Syriae ac Phoeniciae plerasque ceperat, et ab eo parta Tzimiscas successor confirmarat, imperiumque ad Damascum usque protulerat. Basilius autem, qui post hos imperavit, civilibus primum bellis occupatus, deinde totus bello Samuelico intentus, non habuerat opportunitatem Orientis res constituendi, sed quasi per imaginationem eo interdum animum traiecerat, et utcun-

Βουλγάρων ὑποτάξαι γένος, ἀφορμὴ γέγονε τοῦ τὸν ζυγὸν ἀπορρῖψαι τὰς δυνατωτέρας τῶν πόλεων καὶ τὴν ἑαυτῶν ἀναζητῆσαι ἐλευθερίαν. ἀλλ' ἕως μὲν οὗτος περιῆν, ἐμελετᾶτο μὲν ἡ ἀπόστασις, κρύβδην δὲ καὶ οὐ φανερῶς. τούτου δὲ τὸ χρεὼν ἀποτίσαντος, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου ἀμελῶς βασιλεύοντος καὶ ῥᾳθύμως, καὶ ἐπ' ἐκείνοις ἔχοντος τὸν σκοπὸν ἅπερ
B ὁ λόγος φθάσας ἐστηλογράφησε, τῶν δ' ἄλλων ὀλιγωρίαν κατασκεδάσαντος οὐ τὴν τυχοῦσαν, ἀδείας οἱ Σαρακηνοὶ λαβόμενοι τάς τε ἐν ταῖς πόλεσι φρουρὰς ἐξεπόρθησαν, ἀνελόντες καὶ τοὺς φρουρούς, κατ' ἐξαίρετον δὲ ὁ τῆς Βερροίας ἀρχηγός, ἣν καὶ Χάλεπ καλοῦσιν· ἐκδρομάς τε γὰρ ἐποίει συνεχεῖς, καὶ τὴν Ἀντιόχειαν ἐκάκου καὶ τὰ ὁμοροῦντα ἔθνη καὶ πρόσοικα τὰ τοῖς Ῥωμαίοις ὑπήκοα. πρὸς ὃν ὁ Σπονδύλης τῆς Ἀντιοχείας, ὡς εἴρηται, κατάρχων ἐκστρατεύει ἔτι περιόντος τοῦ Κωνσταντίνου, βουλόμενος τάχα νεανικόν τι καὶ γενναῖον ἐνδείξασθαι. καὶ συμβαλὼν τῷ τῆς Βερροίας ἐξηγουμένῳ ἡττᾶται, καὶ πολὺς μὲν γίνεται
C τῶν σὺν αὐτῷ φθόρος, αὐτὸς δὲ αἴσχιστα εἰς Ἀντιόχειαν διασώζεται. κατεστρατήγησε δ' αὐτὸν καί τις Ἄραψ, Μουσάραφ τὴν προσηγορίαν, τρόπῳ τοιῷδε. οὗτος γὰρ ὁ Μουσάραφ δορυάλωτος κατεχόμενος ἐν Ἀντιοχείᾳ (ἦν γὰρ κατασχεθεὶς ὑπὸ Πόθου τοῦ Ἀργυροῦ), ἐπείπερ αἱ τῆς ἡγεμονίας ἡνίαι εἰς τὸν Σπονδύλην μετέπεσον, κατανενοηκὼς τὸν ἄνθρωπον εὐρίπιστον, ὑπέσχετο μεγάλα χρησιμεῦσαι Ῥωμαίοις, εἰ ἀνεθείη τῶν δεσμῶν, καὶ πάντα ἐπιτελέσειν τὰ κατὰ σκοπόν· τά τε γὰρ ὁμόφυλα κακῶσαι κατεπ-

2 ἀναζητεῖν C   9 τάς — φρουρὰς] τούς — φρουροὺς C
24 ἐπιτελέσεις P

que curatis iis totum se Bulgaricae genti subigendae dederat. ea fuit occasio urbibus potentioribus Orientis iugum Romanum excutiendi suamque recuperandi libertatem. sed eae cum vivente adhuc Basilio defectionem occulte tantum molirentur, eo sublato et Constantino fratre imperium negligenter gerente, iisque modo quas ostendimus rebus dedito omnium aliorum secure repudiata cura, Saraceni licentiam adepti praesidia urbium expugnaverunt atque interfecerunt. prae reliquis rem gessit Chalegi (ea est Berrhoea) praefectus, qui continentibus incursionibus Antiocheam ac vicina Romanis subdita vexabat. adversus hunc Spondyles Antiocheae dux vivente adhuc Constantino expeditionem fecit, praeclarum nimirum aliquod editurus facinus; pugnaque commissa, magna cum suorum clade superatus, turpiter Antiocheam perfugit. decepit arte hunc Spondylam etiam Arabs quidam Musaraphus nomine, in bello a Potho Argyro captus ac Antiocheae in vinculis detentus. is Spondylem ei urbi praefectum animadvertens hominem esse mobilem, se magnifice commodaturum pollicitus est Romanis, si vinculis liberaretur; omniaque eorum consilia expediturum, et Arabibus plurimum damni da-

ὑπέσχετο, καὶ τόπον ἐπιδεικνύς, εἰ φρούριον ἐν αὐτῷ δομηθείη καὶ αὐτῷ παραδοθείη, οὐ μικρὸν ὄφελος ἔσεσθαι Ῥωμαίοις. οὐ τὰς ῥᾳδιουργίας μὴ συνεὶς ὁ Σπονδύλης τῶν τε κλοιῶν ἀφῆκεν αὐτόν, καὶ τὸ φρούριον ὡς ἐκέλευσεν ἐδομήσατο, καὶ αὐτῷ τὴν φυ- D λακὴν ἐπετρέψατο, χιλίους φρουροὺς ἐγκαταστήσας ἐν τούτῳ Ῥωμαίους. ὁ δὲ Μουσάραφ τυχὼν οὗπερ ηὔχετο καιροῦ, λάθρᾳ τῷ Τριπόλεως ἀμηρᾷ καὶ Τούσβερ τῷ ἀρχιστρατηγῷ τοῦ Αἰγυπτίου προσδιαλεχθείς, λαὸν ὑπ᾽ αὐτῶν πεμφθέντα δεξάμενος τούς τε χιλίους ἀναιρεῖ καὶ τὸ φρούριον αὐτοῖς παραδίδωσι. καὶ οὐ διέλιπον ἐξ ἐκείνου ἐξ ὑπερδεξίων φερόμενοι οἱ Σαρακηνοὶ διαφθείρειν τὰ ἐν Συρίᾳ Ῥωμαίοις ὑπήκοα καὶ λυμαίνεσθαι.

Ἀλλὰ τοῦτον μὲν ὁ Ῥωμανὸς μεθίστησι τῆς ἀρχῆς, διάδοχον αὐτῷ πέμψας τὸν ἐπ᾽ ἀδελφῇ γαμβρὸν αὐτοῦ Κωνσταντῖνον τὸν Καραντηνόν, ηὐτρεπίζετο δὲ καὶ αὐτὸς κατόπιν ἀπελθεῖν τῶν Σαρακηνῶν. ἤδη δὲ τὸ Φιλομήλιον καταλαβόντος αὐτοῦ ἦλθον P 726 πρέσβεις ἐκ Βεῤῥοίας μετὰ δώρων ὅτι πολλῶν, παρακαλοῦντες συμπαθείας τυχεῖν καὶ τὴν πρὶν δουλείαν ἐπαναδέξασθαι καὶ τοὺς ἐτησίους εὐγνωμόνως προσφέρειν φόρους. πολλῶν δὲ κἀγαθῶν στρατιωτῶν συστρατευομένων αὐτῷ παρακαλούντων τὴν πρόκλησιν δέξασθαι, ὧν εἷς ἦν καὶ ὁ πατρίκιος Ἰωάννης ὁ Χάλδας, καὶ μὴ ἐκστρατεῦσαι κατὰ Συρίας ἐν καιρῷ θέρους, ὁπότε τό τε ὕδωρ ἐν αὐτῇ σπανίζει καὶ τὸ μὲν Ἀράβων ἔθνος ἀνυπόστατόν ἐστιν οἷα

13 Κωνσταντῖνον post πέμψας C 14 τῶν] κατὰ τῶν P

turum. locum quoque monstravit, in quo si castellum exstrueretur sibique committeretur, rem Romanam haud leviter esset adiuturus. Spondyles eius fallacia non intellecta vinculis hominem solvit, castellumque uti suaserat condidit, et mille Romanis praesidii loco impositis Musaraphum ei praefecit. Musaraphus consecutus quod volebat, occulte cum amera Tripolis et Tusbero summo Aegyptii principis duce re composita, missum ab iis exercitum in castellum admisit, Romanoque praesidio caeso ipsi tradidit. exinde semper Saracenorum res potior Romana fuit, neque ullam fecere in Syriacam Romanorum dicionem grassandi intercapedinem.

Romanus ergo Spondyle loco moto successorem mittit Constantinum Carantenum, sororis suae maritum; et ipse eum sequitur, adque bellum Saracenis inferendum sese comparat. iam ad Philomilium pervenerat Romanus, cum legati a Berrhoea occurrunt cum muneribus, veniam petentes, et se pristinam servitutem servituros ac annuum tributum cum bona gratia persoluturos promittentes. erant in exercitu Romani multi bello clari viri, interque hos Ioannes Chaldas patricius, qui imperatori suadebant ut condicionem acciperet, neve aestate in Syriam duceret, quo tempore iis in locis aqua deficit et Arabes subsisti nequeunt, quippe

ἐνειθισμένον φέρειν γενναίως τὰ ἐγχώρια θάλπη καὶ τοὺς φλογμοὺς B καὶ τοὺς καύσωνας, οἱ δὲ Ῥωμαῖοι πανοπλῖται τυγχάνοντες οὐ τληπαθῶς ἔχουσι πρὸς τὴν ὥραν, μηδενὸς ἐπιστροφὴν ποιησάμενος, ἀλλ' ἐξ ὑπογύου τὰ τῶν πρὸ αὐτοῦ βασιλέων ἔχων ἀνδραγαθήματα, καὶ σπεύδων καὶ αὐτὸς ἀνδρῷά τινα ἐπιδείξασθαι, ἄπεισιν ἐν Συρίᾳ. καὶ στρατοπεδείαν πηξάμενος ἔν τινι φρουρίῳ δύο ἡμερῶν ὁδὸν Βερροίας ἀπέχοντι (Ἀζάζιον ὄνομα τῷ φρουρίῳ) ἐσκόπει τὸ μέλλον. ἐν ᾧ κατεσκηνωμένος τὸν τῶν ἐξκουβίτων ἄρχοντα τὸν πατρίκιον Λέοντα τὸν Χοιροσφάκτην μετὰ τοῦ οἰκείου τάγματος ἐπὶ κατασκοπῇ στέλλει, εἴ τινές τε ἐπίοιεν κατοψόμενον C Ἄραβες, καὶ ὅπῃ δὴ λυσιτελὲς μεταθεῖναι τὴν στρατοπεδείαν. ἀλλὰ τοῦτον οἱ ἐνεδρεύοντες καὶ τὰ ἐν τῷ μεταξὺ πεδία φυλάσσοντες Ἄραβες καιροσκοπήσαντες καὶ αἰφνίδιον ἐπιθέμενοι κατέσχον, τὸν δὲ μετ' αὐτοῦ λαὸν διεσκέδασαν. ἐς τοσοῦτον δὲ προῆλθον τόλμης καὶ ἀναιδείας ὡς ἀναφανδὸν ἐπικόπτειν Ῥωμαίοις τὴν χορτολογίαν καὶ τὴν τῶν ἄλλων ἀναγκαίων συλλογήν. πλέον δ' αὐτοὺς ἐκάκουν ἐν τοῖς ὕδασι· πιεζόμενοι γὰρ οἱ Ῥωμαῖοι καὶ οἱ τούτων ἵπποι καὶ τὰ ὑποζύγια, ὑπὸ τῆς ἀνάγκης τοῦ δίψους εἰς προφανῆ ἑαυτοὺς συνώθουν τὸν κίνδυνον, καὶ οἱ ἁλισκόμενοι προσαπώλοντο. τότε δὴ καὶ Κωνσταντῖνος πατρίκιος ὁ Δαλασσηνὸς ἐκπεμφθεὶς ἀνακόψαι τοὺς ἐπεμβαίνοντας Ἄραβας καὶ ἀνδρι- D κόν τι καὶ γενναῖον διαπράξασθαι, καὶ τούτοις συμπλακεὶς καὶ ἀκόσμως φυγών, μεγάλης ταραχῆς καὶ συγχύσεως τὰ Ῥωμαίων

5 ἀνδρῷόν τι καὶ αὐτὸς C 12 τῷ om C 18 ἡ τούτων ἵππος C 19 καὶ ἁλισκόμενοι ἀπώλοιντο C, i. e. ἀπώλλυντο 21 Ἄραβας om C

assueti earum regionum calorem aestumque et ardorem solis tolerare, Romanis, utpote gravi armatura utentibus, intolerabilem. sed Romanus nihil eorum consilia moratus, priorum imperatorum memoria recolens res praeclare gestas, cupiensque ipse etiam forte aliquod edere facinus, in Syriam abiit; ac castra posuit ad Azazium castellum, bidui itinere a Berroea dissitum. exinde rei gerendae intentus, Leonem Choerosphactam patricium, excubitorum ducem, cum sua cohorte mittit speculatum, numnam Arabes accederent, et quorsum transferre castra conduceret. verum is insidiis Arabum interiectas planities custodientium atque ipsum capto tempore subito adorientium interceptus, cohorsque eius dissipata est. quin eo etiam audaciae atque petulantiae progressi sunt Arabes, ut palam pabulationibus Romanos arcerent aliarumque rerum necessariarum comportatione; ac maxime eos aquatum egredientes infestabant. nam siti vexati Romani et equi eorum ac iumenta aquae parandae causa se in apertum dabant periculum, deprehensique interficiebantur. quo tempore etiam Constantinus patricius Dalassenus missus ad reprimendum ingruentes Arabes ac fortiter rem gerendam, commissa pugna turpiter fugiens et cum trepidatione in castra reversus, tantum tumultum

ἐνέπλησε καὶ τὸν βασιλέα αὐτόν· ἐπανελθόντος γὰρ αὐτοῦ τεθορυβημένου καὶ τὸ στρατόπεδον ἅπαν ταραχῆς ἐμφορήσαντος καὶ ἀκοσμίας, οὐκέτι τοῦ λοιποῦ μάχης λόγος ἐτύγχανεν, ἀλλ' ἕκαστος, ὥς πῃ δυνατὸν ἦν, τὴν ἑαυτοῦ σωτηρίαν ἐπραγματεύετο. βουλῆς οὖν προτεθείσης ἔδοξεν ἕωθεν διαλύσαντας τὴν τάφρον ἐπαναζευγνύειν εἰς Ἀντιόχειαν. καὶ δὴ κατὰ τὴν δεκάτην τοῦ Αὐγούστου μηνός, ἰνδικτιῶνος ιγ', ἔτους ‚ςφλή', κατὰ τὰ βεβουλευμένα τὰς τῆς στρατοπεδείας ἀνοίξαντες πύλας ἁπανταχῆ τῆς ἐπ' Ἀντιόχειαν εἴχοντο, οἱ πλείους μὲν κοιλιακῷ κατειργασμένοι νοσήματι, οἱ πλείους δὲ καὶ ὑπὸ τῆς ἀνάγκης τοῦ δίψους κατειργασμένοι. οἷς ἐξελθοῦσι τῆς παρεμβολῆς μετὰ ῥύμης οἱ Ἄραβες ἐπιτίθενται. τῶν δὲ μηδ' ὅλως ὑποστάντων τὴν ὁρμὴν γίνεται P 727 *τροπὴ φρικωδεστάτη, καὶ οἱ μὲν ὑπ' ἀλλήλων ἐπατοῦντο καὶ διεφθείροντο, οἱ δὲ ζωγρίαι ἡλίσκοντο. ἔνθα τι καὶ συνέβη χάριεν γενέσθαι· τῶν γὰρ στρατηγῶν, οἷς ἐπ' ἀνδρίᾳ μέγα ὄνομα ἦν, καὶ τῶν στρατιωτῶν μηδενὸς ὑποστῆναι τολμώντων τὸν κίνδυνον ἀλλ' ἀγεννῶς ἀποδιδρασκόντων, εὐνοῦχός τις τῶν βασιλικῶν θαλαμηπόλων τὴν ἑαυτοῦ φερομένην ἰδὼν ἀποσκευὴν καὶ τοὺς ὑπηρέτας, καὶ μὴ ἐνεγκὼν μετρίως τὸ πάθος, τὸν ἵππον τῇδε κἀκεῖσε συνταράξας ἔπεισι μετὰ σφοδρᾶς ὁρμῆς κατὰ τῶν Σαρακηνῶν, καὶ τόξον ἐντείνας βάλλει μὲν ἕνα τρέπει δὲ τοὺς ἄλλους, καὶ τὰ* B *ἑαυτοῦ ἑλὼν ὑπέστρεψε γεγηθώς. ὁ δὲ βασιλεὺς ἐγγὺς ἐλθὼν τοῦ ἁλῶναι περισώζεται εἰς Ἀντιόχειαν, ἐκθύμως ἀγωνισαμένων τῶν βασιλικῶν ἑταίρων καὶ διασωσάντων ἑαυτούς τε καὶ τὸν βασιλέα.*

6 δευτέραν C 17 ἀκλεῶς C

ac confusionem excitavit, ut iam nulla pugnae mentio fieret, sed quivis de salute sibi quocumque modo paranda cogitaret. et concilio advocato placuit postridie castra movere atque Antiocheam abire. ergo decima die Augusti, indictione decima tertia, anno mundi 6538, sicuti fuerat decretum, omnibus portis castrorum apertis Romani iter Antiocheam versus ingrediuntur, plerique coeliaco morbo vexati, pluresque siti confecti. in eos castris egressos Arabes impetum faciunt; quem nemo sustinuit, sed fugam fecere periculosissimam, aliis captis, aliis a se invicem obtritis atque conculcatis. accidit ibi quippiam non indignum relatu. etenim ducibus, qui fortitudinis fama magnum habebant nomen, militibusque subsistere non audentibus, sed turpiter diffugientibus, eunuchus quidam de regis cubiculi ministris impedimenta servosque suos diripi videns, idque non ferens modiocriter, equo hac illac circumacto magno cum impetu in hostes fertur, arcumque tendens unum eorum deiicit, reliquos in fugam vertit, receptisque suis rebus laetus revertitur. imperator aegre Antiocheam pervenit; fuissetque ab hoste captus, nisi imperatorii sodales streune pugnando se ipsumque eripuissent.

Τότε δὴ Γεωργίου τοῦ Μανιάκη τοῦ θέματος στρατηγοῦντος Τελούχ, Ἄραβες ὀκτακόσιοι μετὰ γαύρου τοῦ φρονήματος ὑποστρέψαντες ἀπὸ τῆς τροπῆς καὶ πρὸς αὐτὸν παραγενόμενοι εἴκειν τὴν ταχίστην ἐκέλευον καὶ τὴν πόλιν καταλιπεῖν τοῦ βασιλέως ἑαλωκότος καὶ παντὸς τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἄρδην ἀπολωλότος, καὶ μὴ ἑαυτὸν προφανεῖ κινδύνῳ ἐκδεδωκέναι· C ἡμέρας γὰρ διαλαμπούσης οἰκτρῶς αὐτός τε καὶ οἱ σὺν αὐτῷ ἀπολοῦνται περιστοιχισθέντες. ὁ δὲ δέχεσθαι τάχα τὴν παραίνεσιν δόξας καὶ ποιήσειν τὸ κελευόμενον ὑποπτευθεὶς, σῖτά τε καὶ ποτὰ τούτοις ἀποχρώντως ἐκπέμψας διαναπαύειν ἐκέλευεν ἑαυτούς, ὡς ἅμ' ἡμέρᾳ αὐτὸς μὲν σὺν τοῖς συνοῦσιν αὐτῷ ἀπαλλαγήσεται, αὐτοὺς δὲ κυρίους καταστήσει τῆς πόλεως Τελοὺχ καὶ πάντων τῶν Ῥωμαϊκῶν χρημάτων. οἱ δὲ τοῖς τε λόγοις καὶ τοῖς ἔργοις φενακισθέντες, καὶ ὡς αὔριον τάχα ἀπολήψεσθαι τὰ πάντα ὑπειληφότες, πρὸς πότους καὶ μέθας ἐτράπησαν καὶ ἐν πάσῃ ἀδείᾳ καὶ ἀμεριμνίᾳ διενυκτέρευον. ὁ δὲ περὶ μέσας νύκτας οἰνωμένοις D αὐτοῖς καὶ ἀφροντίστως κοιμωμένοις ἐπιτίθεται, καὶ τούτους μὲν πάντας ἀπέσφαξεν, ὑφείλετο δὲ καὶ διακοσίας ὀγδοήκοντα καμήλους πεφορτωμένας καὶ πλήρεις ἀγαθῶν παντοίων Ῥωμαϊκῶν. τὰς δὲ ῥῖνας καὶ τὰ ὦτα τῶν πεσόντων ἀποτεμὼν διεκόμισεν ἐν Καππαδοκίᾳ τῷ βασιλεῖ, ἤδη ἀπὸ τῆς φυγῆς κατειληφότι τὸν τοῦ Φωκᾶ οἶκον καὶ ἐν αὐτῷ διατρίβοντι. ὃν ὁ βασιλεὺς τοῦ ἔργου ἀποδεξάμενος κατεπάνω τῆς κάτω Μηδίας ἀποδείκνυσιν.

12 τοὺς C

Sub id tempus provinciae Teluchae praeerat Georgius Maniaces. ad eum Arabes octingenti fugatis Romanis revertentes accesserunt, superbe ferocientes; iusseruntque eum, quando captus imperator et deletae Romanorum iam essent copiae, statim urbe abire neque se in certissimum discrimen dare: alioqui eum prima luce circumdatum cum suis misere occisum iri. Georgius obtemperare se eis simulans, ut opinionem eam in barbarorum animis confirmaret, cibi potusque abunde eis ex urbe misit, quiete se eos iubens reficere, et significans mane se cum suis discessurum, ipsisque urbem Teluchain et omnia Romanorum bona traditurum. eis verbis ac facto Arabes decepti potationi se et ebrietati dederunt, noctemque eam securi absque omni cura exegerunt, certo sibi persuadentes postridie se omnibus potituros. media nocte ebrios barbaros et secure dormientes adoritur Maniaces et internecione delet; camelis etiam potitur 280, onustis omnis generis opum Romanarum; naresque et aures occisorum amputans ad imperatorem adfert, qui iam a fuga in Cappadocia Phocae domum venerat ibique morabatur. eius facinoris causa imperator Georgium inferioris Mediae ducem fecit.

Ἀπαίρων δὲ τῆς Συρίας δομέστικον μὲν τῶν σχολῶν ἀποδείκνυσι Συμεὼν τὸν τοῦ πενθεροῦ αὐτοῦ Κωνσταντίνου θεράποντα, ἡγεμόνα δὲ Ἀντιοχείας Νικήταν τὸν ἐκ Μισθείας. τούτοις ἐνετείλατο κατὰ τὸ δυνατὸν ἀποπειρᾶσθαι τοῦ παρὰ τοῦ Μουσάραφ κτισθέντος φρουρίου, ᾧ Μενῖκὸς ὄνομα, εἴ πως P 723 δυνηθεῖεν ἀπαλλάξαι Συρίαν τῶν ἐκ τοῦ Μουσάραφ ἐπιδρομῶν. ἀφυῶς δὲ τούτων καὶ ἀμαθῶς ἐπιχειρησάντων τῇ πολιορκίᾳ, νυκτὸς ὁ Μουσάραφ ὑπεκδραμὼν τοῦ φρουρίου τάς τε ἑλεπόλεις ἐνέπρησε καὶ τούτους ἐκεῖθεν αἰσχρῶς ἀπεδίωξεν. ὅπερ πυθόμενος ὁ βασιλεύς, καὶ μὴ φέρων τὴν ὕβριν, Θεόκτιστον πρωτοσπαθάριον, ἕνα τῶν πιστικωτάτων αὐτῷ ὑπάρχοντα διακόνων καὶ μέγαν ἑταιρειάρχην τῷ τότε χρηματίζοντα, μετὰ δυνάμεως ἁδρᾶς Ῥωμαίων τε καὶ ἐθνικῶν κατὰ Συρίας ἐκπέμπει, στρατηγὸν αὐτοκράτορα τοῦτον προχειρισάμενος, καὶ ἐπισκήψας τῷ Τριπόλεως συμμῖξαι ἀμηρᾷ Πινζαρὰχ καὶ μετ' αὐτοῦ τὰ τῶν Ἀράβων λυμαίνεσθαι· ἔτυχε γὰρ οὗτος ὁ Πινζαρὰχ διά τι πρόσκρουμα πρὸ μικροῦ ἀποστατῆσαι τοῦ Αἰγυπτίων ἀμερμουμνῆ καὶ ὅπλα κινῆσαι B κατ' αὐτοῦ. καὶ τοῦ Αἰγυπτίου τὸν Τοῦρκον Τοῦσπερ, ἄρχοντα τυγχάνοντα τῶν αὐτοῦ ταγμάτων, μετὰ χειρὸς ἀξιολόγου ἐπὶ καθαιρέσει τοῦ Πινζαρὰχ πεπομφότος, ὡς οὗτος ᾔσθετο μὴ ἀξιόμαχος εἶναι αὐτὸς καθ' ἑαυτὸν τῇ τῶν Αἰγυπτίων συμπλακῆναι δυνάμει, τῷ βασιλεῖ Ῥωμαίων προσρύεται καὶ ὁμαιχμίαν αἰτεῖ. οὗ τὴν αἴτησιν μὴ παριδὼν ὁ Ῥωμανὸς τὸν Θεόκτιστον μετὰ πλήθους ἀξιολόγου ἐξέπεμψε, συμμαχίαν τε παρασχεῖν τῷ Πινζαρὰχ

5 εἴ] μή C 8 ὑποδραμὼν C 12 τῷ om C 22 ὁμαιχμείας C 24 ἀξιολόγων C

Discedens autem Syria Simeonem soceri sui Constantini ministrum creat scholarum domesticum, Antiocheae Nicetam a Mistheia praeficit; atque his mandat ut in recipiendo Menico castello, quod a Musarapho erat conditum, omne studium collocent, itaque incursionibus Syriam liberent. sed eos oppugnare id castellum inscite aggressos Musaraphus noctu eruptione facta turpiter inde repulit, machinis etiam crematis. quam rei indignitatem non ferens imperator Theoctistum protospatharium, unum suorum fidelissimorum ministrorum magnumque tunc sodalitatis ducem, in Syriam cum magno ex Romanis aliisque gentibus collecto exercitu dictatorem mittit, iubetque eum se coniungere cum Pinzaracho Tripolis amera. is enim Pinzarachus paulo ante ab Aegyptio amermumna desciverat, et adversus eum arma ceperat. cumque contra se ab Aegyptio cum iusto exercitu missum Turcum Tusberum copiarum eius praefectum, seque imparem esse videret pugnae, ad imperatorem Romanum se recipiebat et societatem belli cum eo coire cupiebat. eius petitionem minime contemnendam ratus Romanus Theoctistum amplis cum copiis mittit, qui et cum Pinzaracho se coniungeret et obiter Me-

κελεύσας, καὶ ἐκ παρόδου τοῦ φρουρίου Μενίκου ἀντιποιεῖσθαι·
C ὃς ἀπελθὼν καὶ συμμίξας τῷ Πινζαρὰχ ἔργου εἴχετο. καὶ ὁ μὲν
Αἰγυπτίων ἀρχιστράτηγος Τοῦσπερ τῷ αἰφνιδίῳ τῆς ἐφόδου καὶ
τῷ πλήθει καταπλαγεὶς οἴκαδε ὑπενόστησεν· οὐδὲ ἤνεγκε δὲ οὐδ'
ὁ Μουσάραφ τὴν ἐπέλευσιν τῶν πολεμίων, ἀλλὰ τὸν Μενῖκον
ἀφεὶς ἔφυγε καὶ περὶ τὰ ὅρια Τριπόλεως συσχεθεὶς ἀνῃρέθη.
παρειλήφασι δὲ οἱ περὶ τὸν Θεόκτιστον αὐτό τε τὸ φρούριον τὸν
Μενῖκον, παραδοθὲν αὐτοῖς ὑπὸ ἀδελφόπαιδος τοῦ Μουσάραφ,
καὶ ἕτερον φρούριον ἐπί τινος ἀποτόμου κείμενον πέτρας, τὸ λεγό-
μενον Ἀργυρόκαστρον. ταῦτα δὲ οὕτω καταστησάμενος ὁ Θεό-
κτιστος εἰσῆλθεν εἰς τὴν βασιλίδα, ἐπαγόμενος μεθ' ἑαυτοῦ καὶ
Ἀλὰχ τὸν τοῦ Πινζαρὰχ υἱόν, ὃν καὶ πατρικιότητος ὁ αὐτοκράτωρ
D ἠξίωσε. κατόπιν δὲ ἦλθε καὶ ὁ Πινζαράχ, προπεμπόμενος καὶ
δορυφορούμενος παρὰ τοῦ χρηματίσαντος ἄρχοντος Ἀντιοχείας
Νικήτα τοῦ ἐκ Μισθείας· ὃν ὁ βασιλεὺς φιλοφρόνως ἀποδεξάμε-
νος καὶ δώροις καὶ εὐεργεσίαις δεξιωσάμενος οὐ μικραῖς οἴκαδε
χαίροντα ἐξαπέστειλεν. ἐλυτρώσατο δὲ καὶ ἐκ τῆς αἰχμαλωσίας
τὸν Χοιροσφάκτην καὶ τοῖς οἰκείοις ἀπέδωκε.

Τοῦ πρωτοσπαθαρίου δὲ Ὀρέστου, ὃν ὑπὸ Βασιλείου τοῦ
βασιλέως ἐν Σικελίᾳ πεμφθῆναι ὁ λόγος ἐδήλωσεν ἄνωθεν, ἀπεί-
ρως ἔχοντος περὶ τὰ πολεμικὰ καὶ ἀτέχνως ἐπιχειροῦντος τοῖς
πράγμασιν, οἱ ἐκ Σικελίας Σαρακηνοὶ καιροφυλακήσαντες καὶ
αἰφνίδιον ἐπιθέμενοι τοῖς Ῥωμαίοις, ἤδη καὶ κοιλιακῷ νοσήματι
ἀπὸ τρυφῆς κατασχεθεῖσιν, ὄλεθρον οὐκ ὀλίγον εἰργάσαντο. ἀνα-

11 βασιλεύουσαν C

nicum castellum tentaret. idque Theoctistus alacriter est exsecutus. ac Tusber quidem subito eius adventu ac multitudine perterritus domum rediit. sed et Musaraphus hostium impressionem non sustinens Menico deserto fugit, ac deprehensus in montibus apud Tripolin occisus est. Menicum a filio fratris Musaraphi deditum Theoctistus recipit, aliudque etiam castellum in praerupto situm saxo, nomine Argyrocastrum. his ita constitutis in urbem rediit, secum ducens Arachum Pinzarachi filium, quem imperator patricio honore ornavit. subsecutus est etiam ipse Pinzarachus, deducente ac stipante eum praefecto Antiocheae Niceta a Mistheia. quem imperator benignissime exceptum donis et beneficiis haud vulgaribus demeritus, laetum domum dimisit. liberavit etiam Choerosphactum et suis reddidit.

At in Sicilia Orestes protospatharius, quem eo praemissum fuisse a Basilio diximus, rei bellicae imperitus, cum negotium inepte esset aggressus, Saraceni capto tempore Romanos subito adorti, qui plerique luxuria coeliacum morbum contraxerant, haud exigua eos clade affece-

κτώμενος δὲ τὸ γεγονὸς ἀτύχημα ὁ βασιλεὺς δύναμιν ἀξιόμαχον P 729 ἔκ τε Ἑλλάδος καὶ Μακεδονίας ἀθροίσας ἐν Ἰταλίᾳ ἐκπέμπει, κἂν οὐδέν τι γενναῖον δρᾶσαι ἴσχυσεν ἀφελείᾳ καὶ κακότητι τοῦ στρατηγοῦ.

Τούτῳ τῷ ἔτει ,ϛφλθʹ τυγχάνοντι, ἰνδικτιῶνος ιδʹ, καὶ ὁ Προυσιανὸς ἑκουσίως ἀποκείρεται μοναχός, καὶ ἡ μήτηρ αὐτοῦ ἐκ Μαντινείου τῆς ἐν βουκελλαρίῳ μονῆς εἰς Θρᾳκησίους μεταβιβάζεται, καὶ Κωνσταντῖνος πατρίκιος ὁ Διογένης ἐκβληθεὶς τοῦ πύργου ἐν τῇ μονῇ τῶν Στουδίου ἀποκείρεται μοναχός. ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὸν οἶκον τοῦ Τριακονταφύλλου ἐξωνησάμενος εἰς μοναστήριον μετεσκεύασεν ἐπ' ὀνόματι τῆς δεσποίνης ἡμῶν θεοτόκου, μηδεμιᾶς πολυτελείας φεισάμενος, συντρίψας μέντοι B τῇ προφάσει ταύτῃ οὐ μικρῶς τὸ ὑπήκοον καὶ κακώσας ἔν τε ταῖς τῶν λίθων καὶ τῶν ἄλλων εἰδῶν διακομιδαῖς. καταλαμπρύνει δὲ καὶ τὰ κιονόκρανα τῆς μεγάλης ἐκκλησίας καὶ τῆς ὑπεραγίας θεοτόκου τῶν Βλαχερνῶν ἀργύρῳ καὶ χρυσῷ. μέλλων δὲ καὶ τὸ θυσιαστήριον ἐπιποιεῖσθαι τῶν Βλαχερνῶν εὗρε κρεμαμένην εἰκόνα παλαιάν, ἣν ἀνακαινισθῆναι προσέταξεν. ἐξαργυρωμένον δὲ τὸ τοῦ τοίχου χρίσμα ἰδὼν καθαιρεθῆναι προσέταξε καὶ νέον γενέσθαι. καθαιρεθέντος δὲ τοῦ χρίσματος εὑρέθη εἰκὼν ὑλογραφική, σανίδιον ἐπιστήθιον κρατούσης τῆς θεοτόκου τὸν κύριον καὶ θεὸν C ἡμῶν, ἀμόλυντος διαμείνασα ἀπὸ τῶν ἡμερῶν τοῦ Κοπρωνύμου ἕως τῆσδε τῆς ἡμέρας, ἐτῶν διελθόντων τριακοσίων.

7 ἐν μαντινείᾳ C 9 τῶν] τοῦ C 16 μᾶλλον C 18 ἐξηργυρωμένον C, ἐξωγυρωμένην margo P 22 καιρῶν C 23 τῆσδε om C

runt. quam ut exsarciret imperator, ex Graecia et Macedonia collectum egregium exercitum in Italiam misit; qui tamen ipse quoque nihil potuit praeclarum efficere ob ducis inscitiam atque malitiam.

Hoc ipso anno mundi 6539, indictione 14, Prusianus pro monacho raditur, eiusque mater a Mantineo Bucellarii monasterio in Thraciam transfertur, et Constantinus patricius Diogenes turri eductus monachi habitu in Studianum collegium detruditur. Romanus porro domum Triacontaphylli emptam in monasterium convertit a deipara denominatum, nullis parcens sumptibus, quanquam eius aedificationis praetextu subditos haud mediocriter gravavit lapidum ac reliquae materiae congerendae molestiis. exornavit etiam capita columnarum magni templi et Blachernensis auro atque argento. cumque aram Blachernensis fani reficere vellet, veterem imaginem suspensam invenit eamque renovari iussit. cumque videret muri incrustationem argento tectam, iussit adimi et novam fieri. tectorio opere amoto inventa est imago in tabella coloribus depicta, deiparae Christum ad pectus applicatum tenentis; quae a Copronymo in istum usque diem per annos trecentos duraverat integra.

Τῷ δὲ ͵ςφμ' ἔτει, ἰνδικτιῶνος ιε', μηνὶ Σεπτεμβρίῳ, ἦλθε πρὸς τὸν βασιλέα Ῥωμανὸν μετὰ δώρων πολλῶν ὁ τοῦ Χαλεπίτου υἱὸς Ἀμερ, ἐξαιτῶν ἀνανεῶσαι τὴν εἰρήνην καὶ τοὺς πρόσθεν παρέχειν φόρους. καὶ δὴ στέλλεται Θεοφύλακτος πρωτοσπαθάριος ὁ Ἀθηναῖος, καὶ τάς τε σπονδὰς ἐβεβαίωσε καὶ κοινοπραγίαν μετὰ τῶν Χαλεπιτῶν ἔθετο. Ζωὴ δὲ ἡ βασιλὶς μετὰ τὴν ὕψωσιν τοῦ τιμίου σταυροῦ αἰφνίδιον ἀπελθοῦσα εἰς τὸ Πετρίον τὴν ἑαυτῆς ἀδελφὴν Θεοδώραν ἀπέκειρε μοναχήν, ἀδύνατον ἄλλως εἶναι D φήσασα παυθῆναι τὰς ἐπιβουλὰς καὶ τὰ σκάνδαλα. δέδωκε δὲ καὶ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς Ῥωμανὸς μετὰ πολλῶν ἕδνων εἰς εὐνὴν τῷ τῆς μεγάλης Ἀρμενίας ἐξουσιάρχῃ. μέλλων δὲ δευτέραν εἰσβολὴν τάχα ποιήσασθαι ὁ βασιλεὺς κατὰ Συρίας ἐξῆλθεν εἰς τὰ Μεσάνακτα. ἐκεῖσε δὲ τούτου ἐνδιατρίβοντος μηνύεται τῇ βασιλίδι Ζωῇ διὰ Θεοφάνους τοῦ Θεσσαλονίκης ὡς Κωνσταντῖνος ὁ Διογένης κοινολογησάμενος τῇ ταύτης ἀδελφῇ Θεοδώρᾳ ἀπόδρασιν πρὸς τὸ Ἰλλυρικὸν μελετᾷ, εἰδήσει τοῦ μητροπολίτου Δυρραχίου καὶ τοῦ ἐπισκόπου Περιθεωρίου. καὶ εὐθὺς ἀνάρπαστοι P 730 οἵ τε ἐπίσκοποι καὶ ὁ Διογένης γίνονται. καὶ ὁ μὲν Κωνσταντῖνος ἐταζόμενος ἐν τῷ παλατίῳ τῶν Βλαχερνῶν διὰ Ἰωάννου τοῦ πραιποσίτου, τοῦ μετὰ ταῦτα ὀρφανοτρόφου καὶ ἀδελφοῦ τοῦ βεβασιλευκότος Μιχαήλ, ἑαυτὸν ἀποκρημνίσας τοῦ τείχους καὶ ἐκτραχηλισθεὶς ἀπέθανε ῥιφεὶς μετὰ τῶν αὐτοφόνων, οἱ δὲ ἐπίσκοποι ὡς

1 μ' om C in lacuna

Anno mundi 6540, indictione 15, mense Septembri, ad imperatorem Romanum multis cum donis venit amer, Chalepi praefecti filius, foedus pristinum renovari petens et antiquum tributum se persoluturum promittens. ad eam rem conficiendam missus Theophylactus protospatharius Atheniensis foedus sanxit, et cum Chalepensibus societatem composuit. ceterum Zoe Augusta post exaltationem crucis subito in Petrium ivit, sororemque suam Theodoram rasam in monacharum ordinem redegit, causata aliter finem insidiis et offensis non posse imponi. suam quoque ex fratre neptem Romanus magna cum dote Armeniae magnae regulo nuptum dedit. secundum haec iterum in Syriam ducturus Mesanacta venit. ibi eo commorante, Zoae Augustae Theophanes Thessalonicae episcopus indicat Constantinum Diogenem et Theodoram re inter se composita instituisse in Illyricum aufugere, conscio rei metropolita Dyrrachii et episcopo Peritheorio. illico igitur arripiuntur et episcopi et Diogenes. hic, cum in eum quaestio exerceretur in palatio a Ioanne praeposito, qui deinde pupillis alendis est praefectus, et fratre Michaeli eius, qui deinde imperator fuit, se ipsum de muro praecipitem dedit, confractaque cervice eo abiectus est quo solebant qui sibi ipsis mortem

τὸν βασιλέα πρὸς τὰ Μεσάνακτα ἐξεπέμφθησαν κἀκεῖθεν ἠλευθερώθησαν.

Εἰκάδι δὲ η΄ Ἰουλίου μηνός, ἡμέρᾳ ϛ΄, ὥρᾳ β΄ τῆς νυκτός, ἀστέρος ἐγένετο χύσις ἐκ μεσημβρίας πρὸς ἄρκτον, πᾶσαν περιαστράψαντος τὴν γῆν. καὶ μετὰ μικρὸν ἀγγέλλονται τὰ κατα- B σχόντα τὴν Ῥωμαίων ἀτυχήματα, Ἄραβες μὲν ληϊσάμενοι Μεσοποταμίαν ἄχρι Μελιτηνῆς, Πατζινάκαι δὲ τὸν Ἴστρον διαβάντες καὶ τὴν Μυσίαν κακῶς διαθέμενοι, Σαρακηνοὶ δὲ τὴν παράλιον καταδραμόντες τοῦ Ἰλλυρικοῦ μέχρι Κερκύρας καὶ αὐτὴν πυρπολήσαντες. ἀλλ' οἱ μὲν ἄλλοι ἀπήμονες κακῶν οἴκαδε ὑπενόστησαν, Σαρακηνοὶ δὲ ὑπό τε Ῥαουσαίων καὶ τοῦ στρατηγοῦντος ἐν Ναυπλίῳ Νικηφόρου πατρικίου τοῦ υἱοῦ τοῦ Καραντηνοῦ κακῶς ἔπαθον, καταπολεμηθέντες καὶ τὰ πλείω ἀποβαλόντες τῶν σκαφῶν. οἱ δὲ περισωθέντες, οὓς εἶχον Ῥωμαίους αἰχμαλώτους ἀποκτείναντες, ἐν τῷ οἴκαδε ὑποστρέφειν ναυαγίῳ περιπεσόντες περὶ τὸ Σικελικὸν πέλαγος διεφθάρησαν. C

Τούτῳ τῷ ἔτει καὶ λιμὸς καὶ λοιμὸς ἐπέδραμε Καππαδοκίαν Παφλαγονίαν Ἀρμενιακὸν καὶ Ὀνωριάδα, ὡς καὶ αὐτοὺς τοὺς τῶν θεμάτων ἐποίκους καταλιπόντας τὰς πατρίδας μετοικίαν ζητεῖν· οἷς ὁ βασιλεὺς ἐν τῷ ἀπὸ τῶν Μεσανάκτων εἰσιέναι πρὸς τὴν βασιλίδα συνηντηκώς, καὶ τὴν αἰτίαν τῆς ἀναναστάσεως μὴ ἀγνοήσας, ὑποστρέφειν οἴκαδε κατηνάγκαζε, χρυσίῳ ἀναλαμβάνων καὶ τοῖς ἄλλοις τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις. καὶ Μιχαὴλ δὲ

1 ἠλευθερώθη C   11 ῥασαίων C   12 τοῦ υἱοῦ om C

conscivissent. episcopi ad imperatorem Mesanacta missi ab eoque dimissi sunt.

Iulii mensis 28 die, quae fuit septimanae sexta, hora noctis secunda, stella traiecit a meridie versus septentrionem, quae terram totam fulgore illustraret. pauloque post tristes nuntii de rebus Romanis allati sunt, Arabes in Mesopotamiam usque ad Melitenam grassari, Patzinacas Istro transmisso Mysiam infestare, Saracenos grassationibus et incendiis ora Illyrici vexanda usque ad Corcyram perrexisse. ac reliqui sane hostes illaesi domum redierunt: Saraceni a Ragusinis et Nicephoro patricio Nauplii praefecto, Carantenі filio, male sunt multati, praelio victi; et maiorem navium partem cum amisissent, domum redeuntes naufragio in Siculo mari perierunt.

Hoc ipso anno fames simul ac pestis Cappadociam Paphlagoniam Armeniam et Honoriadem ita afflixerunt, ut incolae patriis relictis alias sibi quaererent sedes. quibus imperator a Mesanactis in urbem rediens cum occurreret, neque ignoraret migrationis causam, coegit eos domum redire, pecunia et aliis ad vitam necessariis rebus eos consolatus. sed

ὁ τῆς Ἀγκύρας τότε τὴν ἐκκλησίαν πηδαλιουχῶν ἔργα ἀρετῆς ἐπεδείξατο ἄξια, μηδενὸς φεισάμενος τῶν τεινόντων εἰς σωτηρίαν τῶν τοῦ λιμοῦ καὶ λοιμοῦ τραυμάτων.

D Τῆς ιγ' δὲ τοῦ Αὐγούστου μηνός, ἡμέρᾳ κυριακῇ, ὥρᾳ α' τῆς νυκτός, ἐν ἔτει τῷ ,ςφμ', γέγονε σεισμὸς μέγας. εἰσῆλθε δὲ καὶ ὁ βασιλεὺς ἐν τῇ βασιλίδι, καὶ τῆς προτέρας αὐτοῦ γυναικὸς Ἑλένης ἀποθανούσης μεγάλας διαδόσεις ὑπὲρ αὐτῆς ἐποιήσατο. τούτῳ τῷ ἔτει κατὰ τὴν κη' τοῦ Φεβρουαρίου μηνὸς καὶ ἀστὴρ διῆξεν ἀπὸ βορρᾶ πρὸς μεσημβρίαν μετ' ἤχου καὶ κτύπου· ἐφαίνετο δὲ ἄχρι τῆς ιε' Μαρτίου, τόξον ὕπερθεν ἔχων. Μαρτίῳ δὲ ς', ἡμέρᾳ γ', γέγονε σεισμός.

Ἐγένετο δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ ἐκδρομὴ Ἄφρων Σαρακηνῶν, πλοίων χιλίων, πολεμιστὰς ἔχοντα μυρίους, οἵτινες πολλὰ τὰς νήσους καὶ παραλίους ἐκάκωσαν. ὧν μέρει τινὶ συμ-
P 731 πλακεὶς Νικηφόρος ὁ Καραντηνὸς ἐτρέψατο, καὶ πεντακοσίους πεπεδημένους Σαρακηνοὺς τῷ βασιλεῖ ἐξαπέστειλε. τούτῳ τῷ ἔτει καὶ Γεώργιος πρωτοσπαθάριος ὁ Μανιάκης, ὁ Γουδελίου τοῦ Μανιάκη υἱός, τῶν παρευφρατιδίων στρατηγῶν πόλεων καὶ ἐν Σαμοσάτοις τὰς οἰκήσεις ἔχων τῆς παρὰ τῇ Ὀσροηνῇ πόλει ἀπεπειράθη Ἐδέσσης· ταύτης γὰρ τὴν ἐπιστασίαν Σαλαμάνης ἔχων ὁ Τοῦρκος, παρὰ τοῦ ἀμηρᾶ Μαρτυρουπόλεως ἤτοι Μιεφερκεὶμ ἐπιτετραμμένης αὐτῷ, καὶ δώροις καὶ ὑποσχέσεσι καὶ τιμαῖς διαφθαρεὶς παραδίδωσι τῷ Μανιάκῃ ἀωρὶ τῶν νυκτῶν, ὃς τρεῖς

3 τραυματιῶν C

et Michaelus Ancyrae tum episcopus officium fecit, nihil eorum omittens quae ad remedium faciendum famis pestilentiaeque malis pertinerent.

Die Augusti 13, qui fuit dominicus, hora prima noctis, anno mundi 6549, magnus fuit terrae motus. et imperator urbem ingressus nomine suae prioris uxoris Helenae recens mortuae magnam elargitus est pecuniam. eodem anno, die Februarii 28, stella a septentrione versus meridiem traiecit cum sonitu ac fragore; et visa est usque ad decimum quintum Martii, superne habens arcum. Martii die 6, quae feria fuit tertia, terrae motus exstitit.

Per idem tempus Afri Saraceni cum mille navibus et innumeris classiariis insulas orasque maritimas multas infestaverunt. cum eorum parte congressus praelio Nicephorus Carantenus eos fudit, ac quingentos in compedibus ad imperatorem misit. eodem anno Georgius protospatharius Maniaces, Gudelii Maniacae filius, praefectus urbium ad Euphratem sitarum, Samosatis degens, Edessam Osroenae urbem tentavit, cui a Martyropolis (quae et Miepherkim) amera praefectus erat Salamanes Turcus. atque hic donis ac pollicitationibus honorum corruptus Maniacae intempesta nocte tres urbis eius munitissimas turres tradidit;

πύργους λίαν ὀχυρωτάτους κατασχὼν εὐψύχως τοὺς πολιορκοῦν-
τας ἠμύνετο, βοήθειαν ἔξωθεν ἐπικαλούμενος. Ἀπομερμάνης δὲ B
ὁ τῶν Μιεφερκεὶμ ἀμηρᾶς, τὴν ἅλωσιν μαθὼν καὶ ὀξὺς ἐπιφανεὶς
μετὰ δυνάμεως οὐκ ὀλίγης ἐπεχείρησε μὲν τῇ πολιορκίᾳ τῶν
πύργων, γενναίως δὲ ὑποστάντος τοῦ Γεωργίου ἀποκρουσθεὶς καὶ
μὴ ἔχων ὅ τι καὶ δράσειεν, ἀποκείρας τὰ κάλλιστα τῶν οἰκημάτων
καὶ διαφθείρας τὸν τῆς πόλεως κόσμον καὶ αὐτῆς τῆς μεγάλης ἐκ-
κλησίας, καὶ καμήλοις ἐπιθεὶς τὰ κάλλιστα, καὶ τὰ περίλοιπα
τῆς πόλεως πυρὶ παραδούς, ὑπεχώρησεν· εἰς Μαρτυρούπολιν.
ἀδείας δὲ τυχὼν ὁ Μανιάκης, τὸ ἐν μέσῳ τῆς πόλεως κείμενον
φρούριον ἐν λοφώδει πέτρᾳ κατασχών, δύναμίν τε ἔξωθεν προσ-
καλεσάμενος, ἀσφαλῶς τὴν πόλιν κατέσχεν. εὑρὼν δὲ καὶ τὴν
ἰδιόγραφον ἐπιστολὴν τοῦ δεσπότου καὶ κυρίου ἡμῶν Ἰησοῦ Χρι- C
στοῦ, τὴν πρὸς Αὔγαρον πεμφθεῖσαν, τῷ βασιλεῖ ἐν Βυζαντίῳ
ἀπέστειλεν.

Ἀζίου δὲ τοῦ Αἰγυπτίου μανέντος καὶ πολλὰ κακὰ εἰς Χρι-
στιανοὺς ἐνδειξαμένου, καταστρέψαντος δὲ καὶ τὸν ἐν Ἱεροσολύ-
μοις ναὸν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἶτα καὶ
αὐτοῦ αἴσχιστα καταλύσαντος τὴν ζωήν, ὁ υἱὸς αὐτοῦ, ἀπό τινος
Ῥωμαίας γυναικὸς αἰχμαλώτου τεχθεὶς αὐτῷ, ἐπέτρεψε τοῖς βου-
λομένοις οἰκοδομεῖν τὸν ναόν, ὃν ἀποστείλας ὁ βασιλεὺς φιλοτίμως
οἰκοδομῆσαι ἠπείγετο. ἀλλὰ φθάσαν τὸ χρεὼν ἐνεπόδισε, καὶ ὁ
μετ' αὐτὸν Μιχαὴλ ἐκπληρωτὴς τοῦ ἔργου ἐγένετο. D

Καὶ ὁ μάγιστρος δὲ Βασίλειος, ὁ ἐπ' ἀδελφῇ γαμβρὸς τοῦ
βασιλέως, ὁ Σκληρός, παρὰ Κωνσταντίνου ἐκτυφλωθείς, ἄστα-

2 ἀποβερβάνης δὲ ὁ τοῦ C

quibus ille occupatis oppugnationem oppidanorum fortiter sustinuit et exterorum auxilia imploravit. sed Apomermanes Martyropolis ameras re cognita illico cum haud parvo exercitu adfuit, turresque a Maniaco occupatas oppugnavit: fortiter autem repulsus, cum nihil se efficere sentiret, pulcherrima quaeque aedificia diripuit, omnemque Edessae ornatum ipsiusque etiam magni templi perdidit; ac pretiosissimis quibusque rebus in camelos impositis et igni in reliqua urbis iniecto Martyropolin reduxit. liberatus oppugnatore Maniaces arcem in medio urbis sitam in edita rupe occupavit, et adscitis aliunde auxiliis urbem totam tenuit. inventam quoque manu Christi epistolam ad Augarum scriptam imperatori Byzantium transmisit.

Vita turpiter defuncto Azio Aegyptio, qui in Christianos saevierat templumque Christo Hierosolymis dedicatum everterat, filius eius natus ex quadam Romana, captiva eius, instaurationem liberam fecit. ad eam rem suos misit imperator: sed eo morte praevento successor Michaelus opus absolvit.

Porro Basilius Durus, sororis imperatoris maritus, a Constantino

τον γνώμην ἔχων καὶ ἀλλοπρόσαλλον, εἰ καὶ μάγιστρος ἐτετίμητο καὶ πολλῶν εὐεργεσιῶν ἠξίωτο παρὰ τοῦ Ῥωμανοῦ, ὅμως ἐπιβουλὴν μελετᾷ κατ' αὐτοῦ. ἀλλὰ φωραθεὶς τῆς πόλεως ἐκβάλλεται σὺν τῇ γυναικί.

Ἀπέστειλε δὲ καὶ ἐξ Ἐδέσσης ὁ Μανιάκης τῷ βασιλεῖ ἐνιαύσιον φόρον, λίτρας πεντήκοντα. καὶ ὁ τῆς Τριπόλεως δὲ ἀμηρᾶς ὁ Πινζαράχ, κατισχυόμενος παρὰ τῶν Αἰγυπτίων, φυγὰς τὴν βασιλίδα κατέλαβεν· ὃν ὁ βασιλεὺς πάλιν μετὰ πλείστης δυνάμεως σὺν τῷ ἑταιρειάρχῃ Θεοκτίστῳ εἰς Συρίαν ἐκπέπομφεν. ἐξέπεμψε δὲ καὶ μετὰ στόλου τὸν πρωτοσπαθάριον Τεκνέαν τὸν ἐξ P 732 Ἀβύδου εἰς Αἴγυπτον, τὰ τοῦ Νείλου στόματα, ὅπῃ παρείχοι, κακώσοντα, καὶ αὐτὴν Ἀλεξάνδρειαν· ὃς εὐθυπλοήσας καὶ μέχρις αὐτῆς ἐλάσας Ἀλεξανδρείας πλοῖά τε πάμπλειστα ἐχειρώσατο καὶ λείαν ὅτι πολλὴν περιβαλόμενος ὑπέστρεψεν ἀσινής. παρέδωκε δὲ καὶ τὸ φρούριον τὸ λεγόμενον Περκρὶν ὁ κατέχων αὐτὸ Σαρακηνὸς Ἀλείμ, ἔγγιστα Βαβυλῶνος διακείμενον, τῷ βασιλεῖ Ῥωμαίων, ἐλπίσας πατρικιότητός τε καὶ πλείστων ἄλλων ἀμοιβῶν ἀξιωθῆναι, διὰ τοῦ υἱοῦ αὐτοῦ τὴν πρὸς τὸν βασιλέα ποιησάμενος ἔντευξιν. καὶ τὸ φρούριον μὲν παρειλήφει ὁ πατρίκιος Νικόλαος ὁ Βούλγαρος, ᾧ Χρυσήλιος τὸ ἐπώνυμον, ὁ δὲ τοῦ Σαρα- B κηνοῦ υἱὸς εἰσελθὼν ἐν τῷ Βυζαντίῳ καὶ διὰ τὸ τὸν βασιλέα συνέχεσθαι ἀρρωστήματι μηδεμιᾶς τυχὼν ἐπιστροφῆς καὶ μετὰ θυμοῦ ὑποστρέψας ἀνέπεισε τὸν γεννήσαντα ἀντιλαβέσθαι τοῦ οἰκείου

14 περιβαλλόμενος libri

oculis privatus, quanquam et magistri honore et multis a Romano affectus beneficiis, tamen homo inconstanti animo insidias imperatori struxit; quibus deprehensis urbe est cum uxore eiectus.

Ab Edessa Maniaces imperatori pro annuo tributo misit quinquaginta libras. et Pinzarachus Tripolis ameras, Aegyptiorum vim non perferens, Cpolin profugit. quem imperator cum maximo exercitu, addito sodalitatis duce Theoctisto, in Syriam misit. emisit etiam Abydo cum classe protospatharium Tecneam in Aegyptum, Nili ostia ipsamque Alexandream per occasionem infestare iussum. qui cum tenuisset cursum et ad ipsam Alexandream delatus esset, plurimis hostium navibus praedaque maxima potitus domum incolumis rediit. castellum quoque, cui nomen Percrin, Babyloni proximum, Alimus Saracenus ei praefectus Romano imperatori dedit, filiumque suum ad eum misit, sperans se patriciam dignitatem aliaque praemia reportaturum. ac castellum quidem illud in suam potestatem accepit patricius Nicolaus Bulgarus, cognomento Chryselius. sed Alimi filius cum venisset Byzantium nullaque eius habita esset ratio, imperatore tunc invaletudine detento, iratus domum rediit, patrique ut suum castellum recuperare niteretur persua-

φρουρίου, ὅστις λάθρᾳ τοῖς ὁμόροις Πέρσαις κοινοπραγήσας νυκτός τε τὸ φρούριον ἀπέκλεισε καὶ ἑξακισχιλίους ἄνδρας Ῥωμαίους πολεμιστὰς ἀπέκτεινε ῥᾳστώνῃ καὶ ἀμελείᾳ τοῦ κατέχοντος τοῦτο Χρυσηλίου. ἀλλὰ μετὰ μικρὸν ὁ πατρίκιος Νικήτας ὁ Πηγονίτης ἄρχειν ἐκεῖσε πεμφθεὶς καὶ ἐπιμόνῳ χρησάμενος πολιορκίᾳ μετὰ Ῥὼς καὶ λοιπῆς ἄλλης Ῥωμαϊκῆς δυνάμεως, τό τε φρούριον κατὰ κράτος εἷλε πολιορκίᾳ καὶ τὸν Ἀλεὶμ σὺν τῷ υἱῷ ἀπέκτεινε. C

Τότε δὴ καὶ Ἀλδὴ ἡ Γεωργίου τοῦ Ἀβασγοῦ γυνή, τοῦ γένους οὖσα τῶν Ἀλανῶν, προσερρύη τῷ βασιλεῖ, παραδοῦσα καὶ τὸ ὀχυρώτατον φρούριον τὴν Ἀνακουφήν· ἧς τὸν υἱὸν Δημήτριον ὁ βασιλεὺς τῷ τῶν μαγίστρων τετίμηκεν ἀξιώματι. ἔστησε δὲ πάλιν κατὰ τῶν Σαρακηνῶν τρόπαιον ὁ Καραντηνός, ἐξελθόντων ἐπὶ λεηλασίᾳ, καὶ δεσμίους ἑξακοσίους τῷ βασιλεῖ πέπομφε.

Τούτῳ τῷ ,ςφμβʹ ἔτει, ιζʹ Φεβρουαρίου μηνός, σεισμοῦ D γεγονότος κακῶς ἔπαθον αἱ ἐν Συρίᾳ πόλεις. καὶ τοῦ Ὀρέστου δὲ παραλυθέντος τῆς ἀρχῆς Λέων μὲν ὁ λεγόμενος Ὦπος τοῦ πεζικοῦ στρατοῦ κατάρχειν ἐκπέμπεται ἐν Ἰταλίᾳ, τοῦ δὲ πλωΐμου Ἰωάννης, εἷς ὢν τῶν θαλαμηπόλων Βασιλείου τοῦ βασιλέως. τῆς δὲ ἀκρίδος ἐπὶ πολὺν χρόνον τὰ ἑῷα διαφθειρούσης θέματα, ἠναγκάσθησαν οἱ ἔποικοι τούτων καὶ τὰ τέκνα πωλῆσαι καὶ ἐν Θρᾴκῃ ἀποικισθῆναι· οἷς ἀνὰ τρία νομίσματα διδοὺς ἅπασιν ὁ βασιλεὺς ὑποστρέφειν οἴκαδε παρεσκεύασεν, ἕως ἡ ἀκρὶς ἀνέμῳ

9 γεωργία C 11 ἀνακουφίαν C

sit. ergo Alimus re cum vicinis Persis occulte composita noctu castellum occupavit, et sex milia Romanorum militum interfecit; quod accidit culpa atque incuria Chryselii, praesidii principis. sed paulo post eo praetor missus patricius Niceta Pegonites cum Rossico et Romano exercitu castellum illud obsidione cinxit, constanterque oppugnando cepit, Alimumque et eius filium necavit.

Sub idem tempus Alda, Georgii Abasgorum reguli quondam uxor, gente Alana, imperatori se adiunxit; tradiditque Anacuphen arcem munitissimam. cuius filium Demetrium magistri dignitate ornavit imperator. aliud quoque de Saracenis tropaeum statuit Carantenus praedatum egressis, vinctosque 600 ad imperatorem misit.

Hoc ipso mundi 6542 anno, die decima septima Februarii, terrae motus Syriae urbes afflixit. Orestae porro abrogatum imperium, pedestribusque praefectus copiis Leo Opus, et in Italiam missus; classem ducere iussus Ioannes, unus de cubiculariis Basilii imperatoris. cum locustae aliquamdiu Orientales essent depastae provincias, coacti sunt incolae liberos suos divendere et in Thraciam migrare; quibus imperator terna in singulos nomismata largitus est, et domum redire iussit.

ἀρθεῖσα βιαίῳ εἰς τὸ τῆς Ἑλλησπόντου πεσοῦσα διεφθάρη πέλαγος καὶ ἐκβρασθεῖσα πρὸς τὸν αἰγιαλὸν τὴν παράλιον ψάμμον ἐκάλυψεν. ὁ δὲ βασιλεὺς τούς τε τῶν ὑδάτων ὁλκοὺς ἐπεποιήσατο τοὺς τὸ ὕδωρ τῇ πόλει εἰσάγοντας, καὶ τὰς δεχομένας τοῦτο
P 733 καστέλλους καὶ τὸ λωβοτροφεῖον καὶ τὸ ὀρφανοτροφεῖον καὶ πάντας τοὺς κακῶς παθόντας ξενῶνας ἀπὸ τοῦ σεισμοῦ, καὶ ἁπλῶς πάντων ἐπεμελεῖτο τῶν ἀγαθῶν ἔργων. νόσῳ δὲ χρονίᾳ βάλλεται καὶ τριχορρυεῖ γένυν τε καὶ τὴν κόμην, κατεργασθείς, ὥς φασιν, ὑπὸ Ἰωάννου τοῦ μετὰ ταῦτα ὀρφανοτρόφου. οὗτος γὰρ ὁ Ἰωάννης καὶ πρὸ τῆς βασιλείας ὑπηρετῶν τῷ Ῥωμανῷ, ἄρτι τοῦ κράτους ἐπιβάντος αὐτοῦ μεγάλην δύναμιν ἔσχεν. ἦσαν δὲ αὐτῷ καὶ ἕτεροι ἀδελφοί, Μιχαὴλ Νικήτας Κωνσταντῖνός τε καὶ Γεώργιος. ἀλλ' οὗτος μὲν ὁ Ἰωάννης καὶ Κωνσταντῖνος καὶ Γεώργιος ὑπῆρχον εὐνοῦχοι, ἀγυρτικὴν μετιόντες τέχνην, ὁ δὲ Νικήτας εἶχε μὲν τὰ παιδογόνα καὶ τὸν πρῶτον ἤδη ἐπήνθει ἴουλον, ὁ δὲ Μιχαὴλ τῆς
B ἀνδρικῆς ἤδη ἡλικίας ἁπτόμενος εὐπρεπέστατος ἦν τὴν ὄψιν. ἄμφω δὲ τὴν ἀργυραμοιβικὴν μετῄεσαν ἐπιστήμην καὶ τὰ ἀργύρια ἐκιβδήλευον. τούτους οἰκειωθέντας ἅπαντας τῷ βασιλεῖ διὰ τοῦ Ἰωάννου ἡ τύχη, τὴν μέλλουσαν καταλήψεσθαι δυναστείαν αὐτοὺς ὑποδηλοῦσα, ἐπὶ μέγα διὰ παντὸς ἐξῆρε δυνάμεως· οἵ τε γὰρ ἄλλοι ἐν διαφόροις ἀρχαῖς ἐξητάζοντο, καὶ ὁ Μιχαὴλ ὑπὸ τοῦ βασιλέως ἄρχων προυβέβλητο τοῦ πανθέου. πρὸς τοῦτον ἡ βασιλὶς ἔρωτα δαιμονιώδη σχοῦσα καὶ μανικόν, καὶ κρυφίους ἐντυ-

5 κινστέρνας margo C   17 ἀργυραμοιβὴν C

interim locustas ventus vehemens corripuit inque Hellespontum abiecit, ubi in littus eiectae arenam operuerunt. reficit hic imperator etiam aquaeductus, quibus in urbem aqua deducitur, et iis imposita castella, item alendis aegrotis et pupillis destinatas domos, et quidquid terrae motu laesum fuerat. in summa, omnibus bonis operibus incubuit. interim morbo lento correptus est, capitis et barbae pilis defluentibus, veneno, ut aiunt, ei ab Ioanne propinato, qui deinde pupillorum alumnus factus fuit. is Ioannes, cum etiam antequam imperator fieret Romano inserviisset, rerum eo potito plurimum nactus fuerat potentiae. erant ei fratres Michaelus Niceta Constantinus et Georgius. Ioannes Constantinus ac Georgius spadones erant et circulatoriam exercebant artem. Nicetae integro iam prima succrescebat lanugo, Michaelus virilem attigerat aetatem, formosissimus homo: uterque argentariam faciebat, et argentum adulterabant. hi omnes in familiaritatem imperatoris opera Ioannis pervenerant; eosque fortuna, ut de imperio quod in ipsos erat translatura praemoneret, ad magnam evexerat potentiam. nam et reliqui diversos gessere magistratus, et Michaelum imperator Pantheo praefecit. huius Michaeli diro atque insano amore correpta arcanis colloquiis in

χίας ποιησαμένη, σκοτίως ἐπεμίγνυτο. διὸ καί φασι χρονίοις
φαρμάκοις κατεργασθεὶς ὁ βασιλεὺς θυμαλγέσι νόσοις ἐσφακελί- C
ζετο, καιρὸν ἐπιζητούσης τῆς βασιλίδος τοῦ τὸν βασιλέα μὲν ἀπο-
σκευάσασθαι ἀνυπονοήτως, τὸν Μιχαὴλ δὲ εἰς τὸν βασίλειον
θρόνον ἀναγαγεῖν. ὅθεν καὶ φαρμάκοις, ὡς εἴρηται, οὐκ ὠκυ-
μόροις ἀλλὰ σχολαιότατον καὶ βραδὺν ἐπάγουσι θάνατον κατα-
πραχθεὶς οἰκτρὸν καὶ ἐπώδυνον διήντλει τὸν βίον, κλινοπετὴς ὢν
καὶ ὅλῃ ψυχῇ τὸν θάνατον ἐκκαλούμενος. διήρκεσεν οὖν ἄχρι τῆς
ιε' τοῦ Ἀπριλλίου μηνός, τῆς β' ἰνδικτιῶνος, τοῦ ,ςφμβ' ἔτους.
τότε δὲ κατὰ τὴν ἡμέραν τῆς ἁγίας μεγάλης πέμπτης τὴν διανο-
μὴν τῆς τῶν συγκλητικῶν ποιησάμενος ῥόγας, καὶ ἐπιθυμήσας D
λούσασθαι κατὰ τὸ ἐν τῷ μεγάλῳ παλατίῳ βαλανεῖον καὶ εἰσελθὼν
οἰκτρῶς ἀποπνίγεται ὑπὸ τῶν περὶ τὸν Μιχαὴλ ἐν τῇ κολυμβήθρᾳ
τοῦ λοετροῦ, βασιλεύσας ἐπ' ἔτη ε' καὶ μῆνας ς'. καὶ ταύτῃ τῇ
νυκτὶ τῶν ἁγίων παθῶν ψαλλομένων μηνύεται ὁ πατριάρχης Ἀλέ-
ξιος ὑπὸ τοῦ βασιλέως Ῥωμανοῦ τάχα ἀνελθεῖν ἐν τοῖς ἀνακτόροις
καὶ ἀνελθὼν εὑρίσκει μὲν νεκρὸν τὸν ἄνακτα Ῥωμανόν, τοῦ
χρυσοτρικλίνου δὲ κοσμηθέντος ἐπὶ βήματος καθίσασα ἡ Ζωὴ
ἐξάγει τὸν Μιχαήλ, καὶ τὸν πατριάρχην καταναγκάζει ἱερολογῆ-
σαι τοῦτον αὐτῇ. ὁ δὲ τῷ λόγῳ ἐκθαμβηθεὶς ἵστατο ἐννεὸς καὶ
πρὸς τὴν ἱερολογίαν ἐνεδοίαζεν. ἀλλ' ὁ Ἰωάννης σὺν τῇ Ζωῇ
πεντήκοντα μὲν χρυσίου λίτρας τῷ πατριάρχῃ πεντήκοντα δὲ τῷ
κλήρῳ δοὺς ἔπεισεν ἱεροτελεστίας καταξιῶσαι αὐτούς. τὸν ῥηθέντα P 734
δὲ τρόπον ἀναιρεθεὶς Ῥωμανὸς ὁ βασιλεὺς θάπτεται ἐν τῇ παρ'

9 ιε'] ια' C 20 ἐννεὼς C 23 αὐτοὺς ἀξιῶσαι C

adulterii cum eo consuetudinem pervenerat; utque hunc, Romanum absque ulla flagitii suspicione amolita, imperatorem crearet, maritum venenis, non iis celerem adferentibus interitum sed lentissimis, ita confecit ut is durissimis excarnificatus morbis miserandam toleraret atque traheret vitam, decumbens in lecto, nihilque aliud quam mortem optaret. duravit usque ad 15 diem Aprilis, indictionis secundae, anni 6542, quo die sanctae magnae quintae feriae erat solemnitas. ibi Romanus cum senatoribus dona (rogam vocant) distribuisset, et se lavandi causa in magnum palatii balneum contulisset, misere suffocatus est in solio balnei a Michaelo et eius sociis, cum imperasset annos 5, menses 6. eadem nocte, cum sacra passio caneretur, patriarcha Alexius quasi iubente Romano in palatium vocatur. quo cum venisset, mortuum Romanum invenit. et Zoe auro triclinio exornato in suggesto sedens Michaelum producit, et a patriarcha contendit ut hunc sibi maritum sacra comprecatione copulet. attonito et voce oppressa haerenti Ioannes ac Zoe 50 auri libras, totidemque clero largiuntur. ita patriarchae persuasum ut matrimonium hoc consecraret. hoc modo interfectus Romanus, in mo-

κελεύσας, καὶ ἐκ παρόδου τοῦ φρουρίου Μενίκου ἀντιποιεῖσθαι· C ὃς ἀπελθὼν καὶ συμμίξας τῷ Πινζαρὰχ ἔργου εἴχετο. καὶ ὁ μὲν Αἰγυπτίων ἀρχιστράτηγος Τοῦσπερ τῷ αἰφνιδίῳ τῆς ἐφόδου καὶ τῷ πλήθει καταπλαγεὶς οἴκαδε ὑπενόστησεν· οὐδὲ ἤνεγκε δὲ οὐδ' ὁ Μουσάραφ τὴν ἐπέλευσιν τῶν πολεμίων, ἀλλὰ τὸν Μενῖκον ἀφεὶς ἔφυγε καὶ περὶ τὰ ὅρια Τριπόλεως συσχεθεὶς ἀνῃρέθη. παρειλήφασι δὲ οἱ περὶ τὸν Θεόκτιστον αὐτό τε τὸ φρούριον τὸν Μενῖκον, παραδοθὲν αὐτοῖς ὑπὸ ἀδελφόπαιδος τοῦ Μουσάραφ, καὶ ἕτερον φρούριον ἐπί τινος ἀποτόμου κείμενον πέτρας, τὸ λεγόμενον Ἀργυρόκαστρον. ταῦτα δὲ οὕτω καταστησάμενος ὁ Θεόκτιστος εἰσῆλθεν εἰς τὴν βασιλίδα, ἐπαγόμενος μεθ' ἑαυτοῦ καὶ Ἀλὰχ τὸν τοῦ Πινζαρὰχ υἱόν, ὃν καὶ πατρικιότητος ὁ αὐτοκράτωρ D ἠξίωσε. κατόπιν δὲ ἦλθε καὶ ὁ Πινζαράχ, προπεμπόμενος καὶ δορυφορούμενος παρὰ τοῦ χρηματίσαντος ἄρχοντος Ἀντιοχείας Νικήτα τοῦ ἐκ Μισθείας· ὃν ὁ βασιλεὺς φιλοφρόνως ἀποδεξάμενος καὶ δώροις καὶ εὐεργεσίαις δεξιωσάμενος οὐ μικραῖς οἴκαδε χαίροντα ἐξαπέστειλεν. ἐλυτρώσατο δὲ καὶ ἐκ τῆς αἰχμαλωσίας τὸν Χοιροσφάκτην καὶ τοῖς οἰκείοις ἀπέδωκε.

Τοῦ πρωτοσπαθαρίου δὲ Ὀρέστου, ὃν ὑπὸ Βασιλείου τοῦ βασιλέως ἐν Σικελίᾳ πεμφθῆναι ὁ λόγος ἐδήλωσεν ἄνωθεν, ἀπείρως ἔχοντος περὶ τὰ πολεμικὰ καὶ ἀτέχνως ἐπιχειροῦντος τοῖς πράγμασιν, οἱ ἐκ Σικελίας Σαρακηνοὶ καιροφυλακήσαντες καὶ αἰφνίδιον ἐπιθέμενοι τοῖς Ῥωμαίοις, ἤδη καὶ κοιλιακῷ νοσήματι ἀπὸ τρυφῆς κατασχεθεῖσιν, ὄλεθρον οὐκ ὀλίγον εἰργάσαντο. ἀνα-

11 βασιλεύουσαν C

nicum castellum tentaret. idque Theoctistus alacriter est exsecutus. ac Tusber quidem subito eius adventu ac multitudine perterritus domum rediit. sed et Musaraphus hostium impressionem non sustinens Menico deserto fugit, ac deprehensus in montibus apud Tripolin occisus est. Menicum a filio fratris Musaraphi deditum Theoctistus recipit, aliudque etiam castellum in praerupto situm saxo, nomine Argyrocastrum. his ita constitutis in urbem rediit, secum ducens Arachum Pinzarachi filium, quem imperator patricio honore ornavit. subsecutus est etiam ipse Pinzarachus, deducente ac stipante eum praefecto Antiocheae Niceta a Mistheia. quem imperator benignissime exceptum donis et beneficiis haud vulgaribus demeritus, laetum domum dimisit. liberavit etiam Choerosphactum et suis reddidit.

At in Sicilia Orestes protospatharius, quem eo praemissum fuisse a Basilio diximus, rei bellicae imperitus, cum negotium inepte esset aggressus, Saraceni capto tempore Romanos subito adorti, qui plerique luxuria coeliacum morbum contraxerant, haud exigua eos clade affece-

κτώμενος δὲ τὸ γεγονὸς ἀτύχημα ὁ βασιλεὺς δύναμιν ἀξιόμαχον P 729
ἔκ τε Ἑλλάδος καὶ Μακεδονίας ἀθροίσας ἐν Ἰταλίᾳ ἐκπέμπει, κἂν οὐδέν τι γενναῖον δρᾶσαι ἴσχυσεν ἀφελείᾳ καὶ κακότητι τοῦ στρατηγοῦ.

Τούτῳ τῷ ἔτει ,ϛφλθ' τυγχάνοντι, ἰνδικτιῶνος ιδ', καὶ ὁ Προυσιανὸς ἑκουσίως ἀποκείρεται μοναχός, καὶ ἡ μήτηρ αὐτοῦ ἐκ Μαντινείου τῆς ἐν βουκελλαρίῳ μονῆς εἰς Θρᾳκησίους μεταβιβάζεται, καὶ Κωνσταντῖνος πατρίκιος ὁ Διογένης ἐκβληθεὶς τοῦ πύργου ἐν τῇ μονῇ τῶν Στουδίου ἀποκείρεται μοναχός. ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὸν οἶκον τοῦ Τριακονταφύλλου ἐξωνησάμενος εἰς μοναστήριον μετεσκεύασεν ἐπ' ὀνόματι τῆς δεσποίνης ἡμῶν θεοτόκου, μηδεμιᾶς πολυτελείας φεισάμενος, συντρίψας μέντοι B
τῇ προφάσει ταύτῃ οὐ μικρῶς τὸ ὑπήκοον καὶ κακώσας ἔν τε ταῖς τῶν λίθων καὶ τῶν ἄλλων εἰδῶν διακομιδαῖς. καταλαμπρύνει δὲ καὶ τὰ κιονόκρανα τῆς μεγάλης ἐκκλησίας καὶ τῆς ὑπεραγίας θεοτόκου τῶν Βλαχερνῶν ἀργύρῳ καὶ χρυσῷ. μέλλων δὲ καὶ τὸ θυσιαστήριον ἐπιποιεῖσθαι τῶν Βλαχερνῶν εὗρε κρεμαμένην εἰκόνα παλαιάν, ἣν ἀνακαινισθῆναι προσέταξεν. ἐξαργυρωμένον δὲ τὸ τοῦ τοίχου χρίσμα ἰδὼν καθαιρεθῆναι προσέταξε καὶ νέον γενέσθαι. καθαιρεθέντος δὲ τοῦ χρίσματος εὑρέθη εἰκὼν ὑλογραφική, σανίδιον ἐπιστήθιον κρατούσης τῆς θεοτόκου τὸν κύριον καὶ θεὸν C
ἡμῶν, ἀμόλυντος διαμείνασα ἀπὸ τῶν ἡμερῶν τοῦ Κοπρωνύμου ἕως τῆσδε τῆς ἡμέρας, ἐτῶν διελθόντων τριακοσίων.

7 ἐν μαντινείᾳ C 9 τῶν] τοῦ C 16 μᾶλλον C 18 ἐξηργυρωμένον C, ἐξωγυρωμένην margo P 22 καιρῶν C 23 τῆσδε om C

runt. quam ut exsarciret imperator, ex Graecia et Macedonia collectum egregium exercitum in Italiam misit; qui tamen ipse quoque nihil potuit praeclarum efficere ob ducis inscitiam atque malitiam.

Hoc ipso anno mundi 6539, indictione 14, Prusianus pro monacho raditur, eiusque mater a Mantineo Bucellarii monasterio in Thraciam transfertur, et Constantinus patricius Diogenes turri eductus monachi habitu in Studianum collegium detruditur. Romanus porro domum Triacontaphylli emptam in monasterium convertit a deipara denominatum, nullis parcens sumptibus, quanquam eius aedificationis praetextu subditos haud mediocriter gravavit lapidum ac reliquae materiae congerendae molestiis. exornavit etiam capita columnarum magni templi et Blachernensis auro atque argento. cumque aram Blachernensis fani reficere vellet, veterem imaginem suspensam invenit eamque renovari iussit. cumque videret muri incrustationem argento tectam, iussit adimi et novam fieri. tectorio opere amoto inventa est imago in tabella coloribus depicta, deiparae Christum ad pectus applicatum tenentis; quae a Copronymo in istum usque diem per annos trecentos duraverat integra.

Τῷ δὲ ‚ϛφμ' ἔτει, ἰνδικτιῶνος ιε', μηνὶ Σεπτεμβρίῳ, ἦλθε πρὸς τὸν βασιλέα Ῥωμανὸν μετὰ δώρων πολλῶν ὁ τοῦ Χαλεπίτου υἱὸς Ἀμερ, ἐξαιτῶν ἀνανεῶσαι τὴν εἰρήνην καὶ τοὺς πρόσθεν παρέχειν φόρους. καὶ δὴ στέλλεται Θεοφύλακτος πρωτοσπαθάριος ὁ Ἀθηναῖος, καὶ τάς τε σπονδὰς ἐβεβαίωσε καὶ κοινοπραγίαν μετὰ τῶν Χαλεπιτῶν ἔθετο. Ζωὴ δὲ ἡ βασιλὶς μετὰ τὴν ὕψωσιν τοῦ τιμίου σταυροῦ αἰφνίδιον ἀπελθοῦσα εἰς τὸ Πετρίον τὴν ἑαυτῆς ἀδελφὴν Θεοδώραν ἀπέκειρε μοναχήν, ἀδύνατον ἄλλως εἶναι
D φήσασα παυθῆναι τὰς ἐπιβουλὰς καὶ τὰ σκάνδαλα. δέδωκε δὲ καὶ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς Ῥωμανὸς μετὰ πολλῶν ἔδνων εἰς εὐνὴν τῷ τῆς μεγάλης Ἀρμενίας ἐξουσιάρχῃ. μέλλων δὲ δευτέραν εἰσβολὴν τάχα ποιήσασθαι ὁ βασιλεὺς κατὰ Συρίας ἐξῆλθεν εἰς τὰ Μεσάνακτα. ἐκεῖσε δὲ τούτου ἐνδιατρίβοντος μηνύεται τῇ βασιλίδι Ζωῇ διὰ Θεοφάνους τοῦ Θεσσαλονίκης ὡς Κωνσταντῖνος ὁ Διογένης κοινολογησάμενος τῇ ταύτης ἀδελφῇ Θεοδώρᾳ ἀπόδρασιν πρὸς τὸ Ἰλλυρικὸν μελετᾷ, εἰδήσει τοῦ μητροπολίτου Δυρραχίου καὶ τοῦ ἐπισκόπου Περιθεωρίου. καὶ εὐθὺς ἀνάρπαστοι
P 730 οἵ τε ἐπίσκοποι καὶ ὁ Διογένης γίνονται. καὶ ὁ μὲν Κωνσταντῖνος ἐταζόμενος ἐν τῷ παλατίῳ τῶν Βλαχερνῶν διὰ Ἰωάννου τοῦ πραιποσίτου, τοῦ μετὰ ταῦτα ὀρφανοτρόφου καὶ ἀδελφοῦ τοῦ βεβασιλευκότος Μιχαήλ, ἑαυτὸν ἀποκρημνίσας τοῦ τείχους καὶ ἐκτραχηλισθεὶς ἀπέθανε ῥιφεὶς μετὰ τῶν αὐτοφόνων, οἱ δὲ ἐπίσκοποι ὡς

1 μ' om C in lacuna

Anno mundi 6540, indictione 15, mense Septembri, ad imperatorem Romanum multis cum donis venit amer, Chalepi praefecti filius, foedus pristinum renovari petens et antiquum tributum se persoluturum promittens. ad eam rem conficiendam missus Theophylactus protospatharius Atheniensis foedus sanxit, et cum Chalepensibus societatem composuit. ceterum Zoe Augusta post exaltationem crucis subito in Petrium ivit, sororemque suam Theodoram rasam in monacharum ordinem redegit, causata aliter finem insidiis et offensis non posse imponi. suam quoque ex fratre neptem Romanus magna cum dote Armeniae magnae regulo nuptum dedit. secundum haec iterum in Syriam ducturus Mesanacta venit. ibi eo commorante, Zoae Augustae Theophanes Thessalonicae episcopus indicat Constantinum Diogenem et Theodoram re inter se composita instituisse in Illyricum aufugere, conscio rei metropolita Dyrrachii et episcopo Peritheorio. illico igitur arripiuntur et episcopi et Diogenes. hic, cum in eum quaestio exerceretur in palatio a Ioanne praeposito, qui deinde pupillis alendis est praefectus, et fratre Michaeli eius, qui deinde imperator fuit, se ipsum de muro praecipitem dedit, confractaque cervice eo abiectus est quo solebant qui sibi ipsis mortem

τὸν βασιλέα πρὸς τὰ Μεσάνακτα ἐξεπέμφθησαν κἀκεῖθεν ἠλευθερώθησαν.

Εἰκάδι δὲ ή' Ἰουλίου μηνός, ἡμέρᾳ ς', ὥρᾳ β' τῆς νυκτός, ἀστέρος ἐγένετο χύσις ἐκ μεσημβρίας πρὸς ἄρκτον, πᾶσαν περιαστράψαντος τὴν γῆν. καὶ μετὰ μικρὸν ἀγγέλλονται τὰ κατα- B
σχόντα τὴν Ῥωμαίων ἀτυχήματα, Ἄραβες μὲν ληϊσάμενοι Μεσοποταμίαν ἄχρι Μελιτηνῆς, Πατζινάκαι δὲ τὸν Ἴστρον διαβάντες καὶ τὴν Μυσίαν κακῶς διαθέμενοι, Σαρακηνοὶ δὲ τὴν παράλιον καταδραμόντες τοῦ Ἰλλυρικοῦ μέχρι Κερκύρας καὶ αὐτὴν πυρπολήσαντες. ἀλλ' οἱ μὲν ἄλλοι ἀπήμονες κακῶν οἴκαδε ὑπενόστησαν, Σαρακηνοὶ δὲ ὑπό τε Ῥαουσαίων καὶ τοῦ στρατηγοῦντος ἐν Ναυπλίῳ Νικηφόρου πατρικίου τοῦ υἱοῦ τοῦ Καραντηνοῦ κακῶς ἔπαθον, καταπολεμηθέντες καὶ τὰ πλείω ἀποβαλόντες τῶν σκαφῶν. οἱ δὲ περισωθέντες, οὓς εἶχον Ῥωμαίους αἰχμαλώτους ἀποκτείναντες, ἐν τῷ οἴκαδε ὑποστρέφειν ναυαγίῳ περιπεσόντες περὶ τὸ Σικελικὸν πέλαγος διεφθάρησαν. C

Τούτῳ τῷ ἔτει καὶ λιμὸς καὶ λοιμὸς ἐπέδραμε Καππαδοκίαν Παφλαγονίαν Ἀρμενιακὸν καὶ Ὀνωριάδα, ὡς καὶ αὐτοὺς τοὺς τῶν θεμάτων ἐποίκους καταλιπόντας τὰς πατρίδας μετοικίαν ζητεῖν· οἷς ὁ βασιλεὺς ἐν τῷ ἀπὸ τῶν Μεσανάκτων εἰσιέναι πρὸς τὴν βασιλίδα συνηντηκώς, καὶ τὴν αἰτίαν τῆς ἀπαναστάσεως μὴ ἀγνοήσας, ὑποστρέφειν οἴκαδε κατηνάγκαζε, χρυσίῳ ἀναλαμβάνων καὶ τοῖς ἄλλοις τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις. καὶ Μιχαὴλ δὲ

1 ἠλευθερώθη C   11 ῥασαίων C   12 τοῦ υἱοῦ om C

conscivissent. episcopi ad imperatorem Mesanacta missi ab eoque di missi sunt.

Iulii mensis 28 die, quae fuit septimanae sexta, hora noctis secunda, stella traiecit a meridie versus septentrionem, quae terram totam fulgore illustraret. pauloque post tristes nuntii de rebus Romanis allati sunt, Arabes in Mesopotamiam usque ad Melitenam grassari, Patzinacas Istro transmisso Mysiam infestare, Saracenos grassationibus et incendiis ora Illyrici vexanda usque ad Corcyram perrexisse. ac reliqui sane hostes illaesi domum redierunt: Saraceni a Ragusinis et Nicephoro patricio Nauplii praefecto, Caranteni filio, male sunt multati, praelio victi; et maiorem navium partem cum amisissent, domum redeuntes naufragio in Siculo mari perierunt.

Hoc ipso anno fames simul ac pestis Cappadociam Paphlagoniam Armeniam et Honoriadem ita afflixerunt, ut incolae patriis relictis alias sibi quaererent sedes. quibus imperator a Mesanactis in urbem rediens cum occurreret, neque ignoraret migrationis causam, coegit eos domum redire, pecunia et aliis ad vitam necessariis rebus eos consolatus. sed

ὁ τῆς Ἀγκύρας τότε τὴν ἐκκλησίαν πηδαλιουχῶν ἔργα ἀρετῆς ἐπεδείξατο ἄξια, μηδενὸς φεισάμενος τῶν τεινόντων εἰς σωτηρίαν τῶν τοῦ λιμοῦ καὶ λοιμοῦ τραυμάτων.

D Τῆς ιγʹ δὲ τοῦ Αὐγούστου μηνός, ἡμέρᾳ κυριακῇ, ὥρᾳ αʹ τῆς νυκτός, ἐν ἔτει τῷ ,ϛφμʹ, γέγονε σεισμὸς μέγας. εἰσῆλθε δὲ καὶ ὁ βασιλεὺς ἐν τῇ βασιλίδι, καὶ τῆς προτέρας αὐτοῦ γυναικὸς Ἑλένης ἀποθανούσης μεγάλας διαδόσεις ὑπὲρ αὐτῆς ἐποιήσατο. τούτῳ τῷ ἔτει κατὰ τὴν κηʹ τοῦ Φεβρουαρίου μηνὸς καὶ ἀστὴρ διῆξεν ἀπὸ βορρᾶ πρὸς μεσημβρίαν μετ' ἤχου καὶ κτύπου· ἐφαίνετο δὲ ἄχρι τῆς ιεʹ Μαρτίου, τόξον ὕπερθεν ἔχων. Μαρτίῳ δὲ ϛʹ, ἡμέρᾳ γʹ, γέγονε σεισμός.

Ἐγένετο δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ ἐκδρομὴ Ἄφρων Σαρακηνῶν, πλοίων χιλίων, πολεμιστὰς ἔχοντα μυρίους, οἵτινες πολλὰ τὰς νήσους καὶ παραλίους ἐκάκωσαν. ὧν μέρει τινὶ συμ-
P 731 πλακεὶς Νικηφόρος ὁ Καραντηνὸς ἐτρέψατο, καὶ πεντακοσίους πεπεδημένους Σαρακηνοὺς τῷ βασιλεῖ ἐξαπέστειλε. τούτῳ τῷ ἔτει καὶ Γεώργιος πρωτοσπαθάριος ὁ Μανιάκης, ὁ Γουδελίου τοῦ Μανιάκη υἱός, τῶν παρευφρατιδίων στρατηγῶν πόλεων καὶ ἐν Σαμοσάτοις τὰς οἰκήσεις ἔχων τῆς παρὰ τῇ Ὀσροηνῇ πόλει ἀπεπειράθη Ἐδέσσης· ταύτης γὰρ τὴν ἐπιστασίαν Σαλαμάνης ἔχων ὁ Τοῦρκος, παρὰ τοῦ ἀμηρᾶ Μαρτυρουπόλεως ἤτοι Μιεφερκεὶμ ἐπιτετραμμένης αὐτῷ, καὶ δώροις καὶ ὑποσχέσεσι καὶ τιμαῖς διαφθαρεὶς παραδίδωσι τῷ Μανιάκῃ ἀωρὶ τῶν νυκτῶν, ὡς τρεῖς

3 τραυματιῶν C

et Michaelus Ancyrae tum episcopus officium fecit, nihil eorum omittens quae ad remedium faciendum famis pestilentiaeque malis pertinerent.

Die Augusti 13, qui fuit dominicus, hora prima noctis, anno mundi 6549, magnus fuit terrae motus. et imperator urbem ingressus nomine suae prioris uxoris Helenae recens mortuae magnam elargitus est pecuniam. eodem anno, die Februarii 28, stella a septentrione versus meridiem traiecit cum sonitu ac fragore; et visa est usque ad decimum quintum Martii, superne habens arcum. Martii die 6, quae feria fuit tertia, terrae motus exstitit.

Per idem tempus Afri Saraceni cum mille navibus et innumeris classiariis insulas orasque maritimas multas infestaverunt. cum eorum parte congressus praelio Nicephorus Carantenus eos fudit, ac quingentos in compedibus ad imperatorem misit. eodem anno Georgius protospatharius Maniaces, Gudelii Maniacae filius, praefectus urbium ad Euphratem sitarum, Samosatis degens, Edessam Osroenae urbem tentavit, cui a Martyropolis (quae et Miepherkim) amera praefectus erat Salamanes Turcus. atque hic donis ac pollicitationibus honorum corruptus Maniacae intempesta nocte tres urbis eius munitissimas turres tradidit;

πύργους λίαν ὀχυρωτάτους κατασχὼν εὐψύχως τοὺς πολιορκοῦντας ἠμύνετο, βοήθειαν ἔξωθεν ἐπικαλούμενος. Ἀπομερμάνης δὲ B ὁ τῶν Μιεφερκεὶμ ἀμηρᾶς, τὴν ἅλωσιν μαθὼν καὶ ὀξὺς ἐπιφανεὶς μετὰ δυνάμεως οὐκ ὀλίγης ἐπεχείρησε μὲν τῇ πολιορκίᾳ τῶν πύργων, γενναίως δὲ ὑποστάντος τοῦ Γεωργίου ἀποκρουσθεὶς καὶ μὴ ἔχων ὅ τι καὶ δράσειεν, ἀποκείρας τὰ κάλλιστα τῶν οἰκημάτων καὶ διαφθείρας τὸν τῆς πόλεως κόσμον καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας, καὶ καμήλοις ἐπιθεὶς τὰ κάλλιστα, καὶ τὰ περίλοιπα τῆς πόλεως πυρὶ παραδούς, ὑπεχώρησεν εἰς Μαρτυρούπολιν. ἀδείας δὲ τυχὼν ὁ Μανιάκης, τὸ ἐν μέσῳ τῆς πόλεως κείμενον φρούριον ἐν λοφώδει πέτρᾳ κατασχών, δύναμίν τε ἔξωθεν προσκαλεσάμενος, ἀσφαλῶς τὴν πόλιν κατέσχεν. εὑρὼν δὲ καὶ τὴν ἰδιόγραφον ἐπιστολὴν τοῦ δεσπότου καὶ κυρίου ἡμῶν Ἰησοῦ Χρι- C στοῦ, τὴν πρὸς Αὔγαρον πεμφθεῖσαν, τῷ βασιλεῖ ἐν Βυζαντίῳ ἀπέστειλεν.

Ἀζίου δὲ τοῦ Αἰγυπτίου μανέντος καὶ πολλὰ κακὰ εἰς Χριστιανοὺς ἐνδειξαμένου, καταστρέψαντος δὲ καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἶτα καὶ αὐτοῦ αἴσχιστα καταλύσαντος τὴν ζωήν, ὁ υἱὸς αὐτοῦ, ἀπό τινος Ῥωμαίας γυναικὸς αἰχμαλώτου τεχθεὶς αὐτῷ, ἐπέτρεψε τοῖς βουλομένοις οἰκοδομεῖν τὸν ναόν, ὃν ἀποστείλας ὁ βασιλεὺς φιλοτίμως οἰκοδομῆσαι ἠπείγετο. ἀλλὰ φθάσαν τὸ χρεὼν ἐνεπόδισε, καὶ ὁ μετ' αὐτὸν Μιχαὴλ ἐκπληρωτὴς τοῦ ἔργου ἐγένετο. D

Καὶ ὁ μάγιστρος δὲ Βασίλειος, ὁ ἐπ' ἀδελφῇ γαμβρὸς τοῦ βασιλέως, ὁ Σκληρός, παρὰ Κωνσταντίνου ἐκτυφλωθείς, ἄστυ-

2 ἀποβερβάνης δὲ ὁ τοῦ C

quibus ille occupatis oppugnationem oppidanorum fortiter sustinuit et exterorum auxilia imploravit. sed Apomermanes Martyropolis ameras re cognita illico cum haud parvo exercitu adfuit, turresque a Maniaco occupatas oppugnavit: fortiter autem repulsus, cum nihil se efficere sentiret, pulcherrima quaeque aedificia diripuit, omnemque Edessae ornatum ipsiusque etiam magni templi perdidit; ac pretiosissimis quibusque rebus in camelos impositis et igni in reliqua urbis iniecto Martyropolin reduxit. liberatus oppugnatore Maniaces arcem in medio urbis sitam in edita rupe occupavit, et adscitis aliunde auxiliis urbem totam tenuit. inventam quoque manu Christi epistolam ad Augarum scriptam imperatori Byzantium transmisit.

Vita turpiter defuncto Azio Aegyptio, qui in Christianos saevierat templumque Christo Hierosolymis dedicatum everterat, filius eius natus ex quadam Romana, captiva eius, instaurationem liberam fecit. ad eam rem suos misit imperator: sed eo morte praevento successor Michaelus opus absolvit.

Porro Basilius Durus, sororis imperatoris maritus, a Constantino

τον γνώμην ἔχων καὶ ἀλλοπρόσαλλον, εἰ καὶ μάγιστρος ἐτετίμητο καὶ πολλῶν εὐεργεσιῶν ἠξίωτο παρὰ τοῦ Ῥωμανοῦ, ὅμως ἐπιβουλὴν μελετᾷ κατ' αὐτοῦ. ἀλλὰ φωραθεὶς τῆς πόλεως ἐκβάλλεται σὺν τῇ γυναικί.

Ἀπέστειλε δὲ καὶ ἐξ Ἐδέσσης ὁ Μανιάκης τῷ βασιλεῖ ἐνιαύσιον φόρον, λίτρας πεντήκοντα. καὶ ὁ τῆς Τριπόλεως δὲ ἀμηρᾶς ὁ Πινζαράχ, κατισχυόμενος παρὰ τῶν Αἰγυπτίων, φυγὰς τὴν βασιλίδα κατέλαβεν· ὃν ὁ βασιλεὺς πάλιν μετὰ πλείστης δυνάμεως σὺν τῷ ἑταιρειάρχῃ Θεοκτίστῳ εἰς Συρίαν ἐκπέπομφεν. ἐξέπεμψε δὲ καὶ μετὰ στόλου τὸν πρωτοσπαθάριον Τεκνέαν τὸν ἐξ
P 732 Ἀβύδου εἰς Αἴγυπτον, τὰ τοῦ Νείλου στόματα, ὅπῃ παρείκοι, κακώσοντα, καὶ αὐτὴν Ἀλεξάνδρειαν ὃς εὐθυπλοήσας καὶ μέχρις αὐτῆς ἐλάσας Ἀλεξανδρείας πλοῖά τε πάμπλειστα ἐχειρώσατο καὶ λείαν ὅτι πολλὴν περιβαλόμενος ὑπέστρεψεν ἀσινής. παρέδωκε δὲ καὶ τὸ φρούριον τὸ λεγόμενον Περκρὶν ὁ κατέχων αὐτὸ Σαρακηνὸς Ἀλείμ, ἔγγιστα Βαβυλῶνος διακείμενον, τῷ βασιλεῖ Ῥωμαίων, ἐλπίσας πατρικιότητός τε καὶ πλείστων ἄλλων ἀμοιβῶν ἀξιωθῆναι, διὰ τοῦ υἱοῦ αὐτοῦ τὴν πρὸς τὸν βασιλέα ποιησάμενος ἔντευξιν. καὶ τὸ φρούριον μὲν παρειλήφει ὁ πατρίκιος Νικόλαος ὁ Βούλγαρος, ᾧ Χρυσήλιος τὸ ἐπώνυμον, ὁ δὲ τοῦ Σαρα-
B κηνοῦ υἱὸς εἰσελθὼν ἐν τῷ Βυζαντίῳ καὶ διὰ τὸ τὸν βασιλέα συνέχεσθαι ἀρρωστήματι μηδεμιᾶς τυχὼν ἐπιστροφῆς καὶ μετὰ θυμοῦ ὑποστρέψας ἀνέπεισε τὸν γεννήσαντα ἀντιλαβέσθαι τοῦ οἰκείου

14 περιβαλλόμενος libri

oculis privatus, quanquam et magistri honore et multis a Romano affectus beneficiis, tamen homo inconstanti animo insidias imperatori struxit; quibus deprehensis urbe est cum uxore eiectus.

Ab Edessa Maniaces imperatori pro annuo tributo misit quinquaginta libras. et Pinzarachus Tripolis ameras, Aegyptiorum vim non perferens, Cpolin profugit. quem imperator cum maximo exercitu, addito sodalitatis duce Theoctisto, in Syriam misit. emisit etiam Abydo cum classe protospatharium Tecneam in Aegyptum, Nili ostia ipsamque Alexandream per occasionem infestare iussum. qui cum tenuisset cursum et ad ipsam Alexandream delatus esset, plurimis hostium navibus praedaque maxima potitus domum incolumis rediit. castellum quoque, cui nomen Percrin, Babyloni proximum, Alimus Saracenus ei praefectus Romano imperatori dedit, filiumque suum ad eum misit, sperans se patriciam dignitatem aliaque praemia reportaturum. ac castellum quidem illud in suam potestatem accepit patricius Nicolaus Bulgarus, cognomento Chryselius. sed Alimi filius cum venisset Byzantium nullaque eius habita esset ratio, imperatore tunc invaletudine detento, iratus domum rediit, patrique ut suum castellum recuperare niteretur persua-

φρουρίου, ὅστις λάθρα τοῖς ὁμόροις Πέρσαις κοινοπραγήσας νυκτός τε τὸ φρούριον ἀπέκλεψε καὶ ἑξακισχιλίους ἄνδρας Ῥωμαίους πολεμιστὰς ἀπέκτεινε ῥαστώνῃ καὶ ἀμελείᾳ τοῦ κατέχοντος τοῦτο Χρυσηλίου. ἀλλὰ μετὰ μικρὸν ὁ πατρίκιος Νικήτας ὁ Πηγονίτης ἄρχειν ἐκεῖσε πεμφθεὶς καὶ ἐπιμόνῳ χρησάμενος πολιορκίᾳ μετὰ Ῥὼς καὶ λοιπῆς ἄλλης Ῥωμαϊκῆς δυνάμεως, τό τε φρούριον κατὰ κράτος εἷλε πολιορκίᾳ καὶ τὸν Ἀλεὶμ σὺν τῷ υἱῷ ἀπέκτεινε. C

Τότε δὴ καὶ Ἀλδὴ ἡ Γεωργίου τοῦ Ἀβασγοῦ γυνή, τοῦ γένους οὖσα τῶν Ἀλανῶν, προσερρύη τῷ βασιλεῖ, παραδοῦσα καὶ τὸ ὀχυρώτατον φρούριον τὴν Ἀνακουφήν· ἧς τὸν υἱὸν Δημήτριον ὁ βασιλεὺς τῷ τῶν μαγίστρων τετίμηκεν ἀξιώματι. ἔστησε δὲ πάλιν κατὰ τῶν Σαρακηνῶν τρόπαιον ὁ Καραντηνός, ἐξελθόντων ἐπὶ λεηλασίᾳ, καὶ δεσμίους ἑξακοσίους τῷ βασιλεῖ πέπομφε.

Τούτῳ τῷ ,ϛφμβ' ἔτει, ιζ' Φεβρουαρίου μηνός, σεισμοῦ D γεγονότος κακῶς ἔπαθον αἱ ἐν Συρίᾳ πόλεις. καὶ τοῦ Ὀρέστου δὲ παραλυθέντος τῆς ἀρχῆς Λέων μὲν ὁ λεγόμενος Ὦπος τοῦ πεζικοῦ στρατοῦ κατάρχειν ἐκπέμπεται ἐν Ἰταλίᾳ, τοῦ δὲ πλωΐμου Ἰωάννης, εἷς ὢν τῶν θαλαμηπόλων Βασιλείου τοῦ βασιλέως. τῆς δὲ ἀκρίδος ἐπὶ πολὺν χρόνον τὰ ἑῷα διαφθειρούσης θέματα, ἠναγκάσθησαν οἱ ἔποικοι τούτων καὶ τὰ τέκνα πωλῆσαι καὶ ἐν Θρᾴκῃ ἀποικισθῆναι· οἷς ἀνὰ τρία νομίσματα διδοὺς ἅπασιν ὁ βασιλεὺς ὑποστρέφειν οἴκαδε παρεσκεύασεν, ἕως ἡ ἀκρὶς ἀνέμῳ

9 γεωργία C 11 ἀνακουφίαν C

sit. ergo Alimus re cum vicinis Persis occulte composita noctu castellum occupavit, et sex milia Romanorum militum interfecit; quod accidit culpa atque incuria Chryselii, praesidii principis. sed paulo post eo praetor missus patricius Niceta Pegonites cum Rossico et Romano exercitu castellum illud obsidione cinxit, constanterque oppugnando cepit, Alimumque et eius filium necavit.

Sub idem tempus Alda, Georgii Abasgorum reguli quondam uxor, gente Alana, imperatori se adiunxit; tradiditque Anacuphen arcem munitissimam. cuius filium Demetrium magistri dignitate ornavit imperator. aliud quoque de Saracenis tropaeum statuit Caranteuus praedatum egressis, vinctosque 600 ad imperatorem misit.

Hoc ipso mundi 6542 anno, die decima septima Februarii, terrae motus Syriae urbes afflixit. Orestae porro abrogatum imperium, pedestribusque praefectus copiis Leo Opus, et in Italiam missus; classem ducere iussus Ioannes, unus de cubiculariis Basilii imperatoris. cum locustae aliquamdiu Orientales essent depastae provincias, coacti sunt incolae liberos suos divendere et in Thraciam migrare; quibus imperator terna in singulos nomismata largitus est, et domum redire iussit.

ἀρθεῖσα βιαίῳ εἰς τὸ τῆς Ἑλλησπόντου πεσοῦσα διεφθάρη πέλαγος καὶ ἐκβρασθεῖσα πρὸς τὸν αἰγιαλὸν τὴν παράλιον ψάμμον ἐκάλυψεν. ὁ δὲ βασιλεὺς τούς τε τῶν ὑδάτων ὁλκοὺς ἐπεποιήσατο τοὺς τὸ ὕδωρ τῇ πόλει εἰσάγοντας, καὶ τὰς δεχομένας τοῦτο P 733 καστέλλους καὶ τὸ λωβοτροφεῖον καὶ τὸ ὀρφανοτροφεῖον καὶ πάντας τοὺς κακῶς παθόντας ξενῶνας ἀπὸ τοῦ σεισμοῦ, καὶ ἁπλῶς πάντων ἐπεμελεῖτο τῶν ἀγαθῶν ἔργων. νόσῳ δὲ χρονίᾳ βάλλεται καὶ τριχορρυεῖ γένυν τε καὶ τὴν κόμην, κατεργασθείς, ὥς φασιν, ὑπὸ Ἰωάννου τοῦ μετὰ ταῦτα ὀρφανοτρόφου. οὗτος γὰρ ὁ Ἰωάννης καὶ πρὸ τῆς βασιλείας ὑπηρετῶν τῷ Ῥωμανῷ, ἄρτι τοῦ κράτους ἐπιβάντος αὐτοῦ μεγάλην δύναμιν ἔσχεν. ἦσαν δὲ αὐτῷ καὶ ἕτεροι ἀδελφοί, Μιχαὴλ Νικήτας Κωνσταντῖνός τε καὶ Γεώργιος. ἀλλ' οὗτος μὲν ὁ Ἰωάννης καὶ Κωνσταντῖνος καὶ Γεώργιος ὑπῆρχον εὐνοῦχοι, ἀγυρτικὴν μετιόντες τέχνην, ὁ δὲ Νικήτας εἶχε μὲν τὰ παιδογόνα καὶ τὸν πρῶτον ἤδη ἐπήνθει ἴουλον, ὁ δὲ Μιχαὴλ τῆς B ἀνδρικῆς ἤδη ἡλικίας ἁπτόμενος εὐπρεπέστατος ἦν τὴν ὄψιν. ἄμφω δὲ τὴν ἀργυραμοιβικὴν μετῄεσαν ἐπιστήμην καὶ τὰ ἀργύρια ἐκιβδήλευον. τούτους οἰκειωθέντας ἅπαντας τῷ βασιλεῖ διὰ τοῦ Ἰωάννου ἡ τύχη, τὴν μέλλουσαν καταλήψεσθαι δυναστείαν αὐτοὺς ὑποδηλοῦσα, ἐπὶ μέγα διὰ παντὸς ἐξῇρε δυνάμεως· οἵ τε γὰρ ἄλλοι ἐν διαφόροις ἀρχαῖς ἐξητάζοντο, καὶ ὁ Μιχαὴλ ὑπὸ τοῦ βασιλέως ἄρχων προυβέβλητο τοῦ πανθέου. πρὸς τοῦτον ἡ βασιλὶς ἔρωτα δαιμονιώδη σχοῦσα καὶ μανικόν, καὶ χρυσίους ἐντυ-

5 κινστέρνας margo C   17 ἀργυραμοιβὴν C

interim locustas ventus vehemens corripuit inque Hellespontum abiecit, ubi in littus eiectae arenam operuerunt. reficit hic imperator etiam aquaeductus, quibus in urbem aqua deducitur, et iis imposita castella, item alendis aegrotis et pupillis destinatas domos, et quidquid terrae motu laesum fuerat. in summa, omnibus bonis operibus incubuit. interim morbo lento correptus est, capitis et barbae pilis defluentibus, veneno, ut aiunt, ei ab Ioanne propinato, qui deinde pupillorum alumnus factus fuit. is Ioannes, cum etiam antequam imperator fieret Romano inserviisset, rerum eo potito plurimum nactus fuerat potentiae. erant ei fratres Michaelus Niceta Constantinus et Georgius. Ioannes Constantinus ac Georgius spadones erant et circulatoriam exercebant artem. Nicetae integro iam prima succrescebat lanugo, Michaelus virilem attigerat aetatem, formosissimus homo: uterque argentariam faciebat, et argentum adulterabant. hi omnes in familiaritatem imperatoris opera Ioannis pervenerant; eosque fortuna, ut de imperio quod in ipsos erat translatura praemoneret, ad magnam evexerat potentiam. nam et reliqui diversos gessere magistratus, et Michaelum imperator Pantheo praefecit. huius Michaeli diro atque insano amore correpta arcanis colloquiis in

χίας ποιησαμένη, σκοτίως ἐπεμίγνυτο. διὸ καί φασι χρονίοις
φαρμάκοις κατεργασθεὶς ὁ βασιλεὺς θυμαλγέσι νόσοις ἐσφακελί- C
ζετο, καιρὸν ἐπιζητούσης τῆς βασιλίδος τοῦ τὸν βασιλέα μὲν ἀπο-
σκευάσασθαι ἀνυπονοήτως, τὸν Μιχαὴλ δὲ εἰς τὸν βασίλειον
θρόνον ἀναγαγεῖν. ὅθεν καὶ φαρμάκοις, ὡς εἴρηται, οὐκ ὠκυ-
μόροις ἀλλὰ σχολαιότατον καὶ βραδὺν ἐπάγουσι θάνατον κατα-
πραχθεὶς οἰκτρὸν καὶ ἐπώδυνον διήντλει τὸν βίον, κλινοπετὴς ὢν
καὶ ὅλῃ ψυχῇ τὸν θάνατον ἐκκαλούμενος. διήρκεσεν οὖν ἄχρι τῆς
ιε΄ τοῦ Ἀπριλλίου μηνός, τῆς β΄ ἰνδικτιῶνος, τοῦ ,ςφμβ΄ ἔτους.
τότε δὲ κατὰ τὴν ἡμέραν τῆς ἁγίας μεγάλης πέμπτης τὴν διανο-
μὴν τῆς τῶν συγκλητικῶν ποιησάμενος ῥόγας, καὶ ἐπιθυμήσας D
λούσασθαι κατὰ τὸ ἐν τῷ μεγάλῳ παλατίῳ βαλανεῖον καὶ εἰσελθὼν
οἰκτρῶς ἀποπνίγεται ὑπὸ τῶν περὶ τὸν Μιχαὴλ ἐν τῇ κολυμβήθρᾳ
τοῦ λοετροῦ, βασιλεύσας ἐπ' ἔτη ε΄ καὶ μῆνας ς΄. καὶ ταύτῃ τῇ
νυκτὶ τῶν ἁγίων παθῶν ψαλλομένων μηνύεται ὁ πατριάρχης Ἀλέ-
ξιος ὑπὸ τοῦ βασιλέως Ῥωμανοῦ τάχα ἀνελθεῖν ἐν τοῖς ἀνακτόροις
καὶ ἀνελθὼν εὑρίσκει μὲν νεκρὸν τὸν ἄνακτα Ῥωμανόν, τοῦ
χρυσοτρικλίνου δὲ κοσμηθέντος ἐπὶ βήματος καθίσασα ἡ Ζωὴ
ἐξάγει τὸν Μιχαήλ, καὶ τὸν πατριάρχην καταναγκάζει ἱερολογῆ-
σαι τοῦτον αὐτῇ. ὁ δὲ τῷ λόγῳ ἐκθαμβηθεὶς ἵστατο ἐννεὸς καὶ
πρὸς τὴν ἱερολογίαν ἐνεδοίαζεν. ἀλλ' ὁ Ἰωάννης σὺν τῇ Ζωῇ
πεντήκοντα μὲν χρυσίου λίτρας τῷ πατριάρχῃ πεντήκοντα δὲ τῷ
κλήρῳ δοὺς ἔπεισεν ἱεροτελεστίας καταξιῶσαι αὐτούς. τὸν ῥηθέντα P 734
δὲ τρόπον ἀναιρεθεὶς Ῥωμανὸς ὁ βασιλεὺς θάπτεται ἐν τῇ παρ'

9 ιε΄] ια΄ C   20 ἐννεὼς C   23 αὐτοὺς ἀξιῶσαι C

adulterii cum eo consuetudinem pervenerat; utque hunc, Romanum absque ulla flagitii suspicione amolita, imperatorem crearet, maritum venenis, non iis celerem adferentibus interitum sed lentissimis, ita confecit ut is durissimis excarnificatus morbis miserandam toleraret atque traheret vitam, decumbens in lecto, nihilque aliud quam mortem optaret. duravit usque ad 15 diem Aprilis, indictionis secundae, anni 6542, quo die sanctae magnae quintae feriae erat solemnitas. ibi Romanus cum senatoribus dona (rogam vocant) distribuisset, et se lavandi causa in magnum palatii balneum contulisset, misere suffocatus est in solio balnei a Michaelo et eius sociis, cum imperasset annos 5, menses 6. eadem nocte, cum sacra passio caneretur, patriarcha Alexius quasi iubente Romano in palatium vocatur. quo cum venisset, mortuum Romanum invenit. et Zoe auro triclinio exornato in suggesto sedens Michaelum producit, et a patriarcha contendit ut hunc sibi maritum sacra comprecatione copulet. attonito et voce oppressa haerenti Ioannes ac Zoe 50 auri libras, totidemque clero largiuntur. ita patriarchae persuasum ut matrimonium hoc consecraret. hoc modo interfectus Romanus, in mo-

αὐτοῦ νεουργηθείσῃ τῆς περιβλέπτου μονῇ, κατ' αὐτὴν τὴν ἁγίαν
καὶ μεγάλην παρασκευήν.
Ἡ Ζωὴ δὲ τὸν Μιχαὴλ ἐπὶ τὸν βασίλειον ἐνιδρύσασα θρό-
νον ᾠήθη μὲν ἀντὶ ἀνδρὸς καὶ βασιλέως δοῦλον καὶ διάκονον ἕξειν,
καὶ ἤδη τοὺς πατρῴους εὐνούχους εἰσαγαγοῦσα εἰς τὰ ἀνάκτορα
γενναιότερον ἥπτετο τῶν πραγμάτων· ἀλλ' ἀπέβη πάντα ταύτῃ
εἰς τοὐναντίον λαμπρῶς. ὁ γὰρ τοῦ βασιλέως ἀδελφὸς Ἰωάννης,
πρακτικὸς ἄνθρωπος ὢν καὶ δραστήριος, ἅμα τε ἐπέβη τῶν βα-
B σιλείων, καὶ δεδιὼς περὶ τοῦ ἀδελφοῦ (ἑώρα γὰρ εἰς παράδειγμα
τοῦ Ῥωμανοῦ) μή τι καὶ πάθῃ δεινόν, τοὺς μὲν εὐνούχους τῆς
βασιλίδος καταβιβάζει τοῦ παλατίου καὶ τὰς πιστικωτάτας τῶν
θεραπαινίδων αὐτῇ ἀποσκευάζεται, γυναῖκας δὲ τῶν κατὰ γένος
αὐτῷ προσηκόντων φρουροὺς ἐφίστησι τῇ βασιλίδι καὶ φύλακας.
καὶ οὐδὲν μικρὸν ἢ μέγα ἦν ὃ μὴ μετὰ γνώμης αὐτοῦ διεπράττετο·
περιπάτων τε γὰρ ἐκωλύετο καὶ βαλανείων οὐ μετεῖχε μὴ αὐτοῦ
ἐπιτρέψαντος, καὶ ὅλως περιῄρητο αὐτῇ πᾶσα ψυχαγωγία.
πάντα δὲ τὰ ἔνδον καταστησάμενος γράμματα κατὰ πάσης ἐκ-
πέμπει τῆς οἰκουμένης, γνωρίζοντα τοῖς πᾶσιν ὡς εἴη μὲν Ῥωμα-
C νὸς ὁ βασιλεὺς τὸ φυσικὸν ἀποδεδωκὼς χρέος, ἀνηγόρευται δὲ ὁ
Μιχαὴλ βασιλεὺς ἔτι ζῶντος ἐκείνου καὶ ἐπιτρέποντος, καὶ τῇ βα-
σιλίδι συζεύγνυται. πρὸς ἅπερ πάντες μὲν ὑπεκλίνοντο οἱ ἄλλοι,
καὶ δι' εὐφήμου φωνῆς τὸν νέον ἐμεγάλυνον βασιλέα· μόνος δὲ
Κωνσταντῖνος πατρίκιος ὁ Δαλασσηνός, οἴκαδε διατρίβων, οὐκ

2 καὶ om C   10 τὸν ῥωμανόν C

nasterio spectatissimae a se condito sepelitur, ipso magnae Parasceues die.

At vero Zoe cum in imperatorio solio Michaelum collocasset, sperabat se loco viri et imperatoris mancipium ac famulum habituram, idcoque paternis eunuchis in aulam adscitis rem gnaviter aggrediebatur. sed perspicue ei omnia secus evenerunt. etenim Ioannes imperatoris frater, homo industrius atque efficax, simulatque in aulam venit, fratri suo metuens (movebatur enim Romani exemplo) et eunuchos Augustae palatio eiecit et fidissimas eius ancillas amovit, mulieres sibi genere propinquas custodiae Zoes adhibuit, ut iam neque agere quicquam ea vel magnum vel parvum ipsius iniussu posset, et omnes eius conatus impedirentur, ac ne in balneum quidem nisi ipsius permissu venire posset; omnique prorsus oblectatione spoliata fuit. sic rebus in aula constitutis literas per omnem imperii dicionem emittit, omnibusque significat Romanum debitum naturae persolvisse, Michaelum imperatorem designatum illo adhuc vivente ac permittente, et Zoae matrimonio iunctum. ad hoc omnes sese inclinarunt, faustisque ominibus novo imperatori sunt gratulati. solus patricius Constantinus Dalassenus domi de-

ἤνεγκε πρᾴως τὴν ἀκοήν, ἀλλὰ καὶ ἀπεδυσπέτησε πρὸς τὰ φημιζόμενα, καὶ διὰ θαύματος ἦγε πῶς πλείστων κἀγαθῶν ὄντων ἀνδρῶν ἐξ οἴκων λαμπρῶν καὶ ἐπισήμου γένους χυδαῖος καὶ τριωβολιμαῖος ἄνθρωπος τῶν ἄλλων προτετίμητο πάντων καὶ δεσπότης καὶ βασιλεὺς ἀνηγόρευτο. τοῦτο δὲ πυθόμενος ὁ Ἰωάννης D ἐπλήσθη μέν, ὡς εἰκός, θορύβου καὶ ταραχῆς, ἐμελέτα δὲ καὶ ἐσκέπτετο πῶς ἂν καὶ τόνδε τὸν ἄνδρα ὑπὸ τὴν ἑαυτοῦ θεῖτο σαγήνην. καὶ δὴ στέλλεται πρὸς αὐτὸν εἷς τῶν εὐνούχων ὁ λεγόμενος Ἐργοδότης, ἐπιτήδειος ὑπηρετεῖν εἰς τὰ τοιαῦτα, ἐφ' ᾧ ὅρκους δοῦναί τε καὶ λαβεῖν καὶ ἀγαγεῖν τὸν ἄνδρα ἐς βασιλέα. καὶ ὁ μὲν ἄπεισιν ἐς τὸν Δαλασσηνόν, ὁ Ἰωάννης δὲ τήν τε σύγκλητον ὑπεποιεῖτο καὶ τὸ κοινόν, καὶ τὴν τῶν πολλῶν ἐπεσπᾶτο εὔνοιαν, βαθμοῖς μὲν αὖ τοὺς τῆς συγκλήτου προύχοντας ἀξιωμάτων ὑψῶν, δωρεῶν δὲ διανομαῖς καὶ χάρισι μειλισσόμενος τὸ κοινόν, καὶ καθάπαξ οἰκειούμενος τὸ ὑπήκοον. ὅτι δὲ μὴ ἀρεστὰ τὰ γεγονότα ἦν τῷ θεῷ, διεδείχθη τρανῶς ἐκ προοιμίων αὐτῶν· κατὰ γὰρ τὴν P 735 ια' ὥραν τῆς ἁγίας καὶ μεγάλης κυριακῆς χάλαζα κατηνέχθη ἀφόρητος καὶ ῥαγδαία, ὡς συντριβῆναι μὴ μόνον τὰ δένδρα κάρπιμά τε καὶ ἄκαρπα, ἀλλὰ δῆτα καὶ οἰκίας καταπεσεῖν καὶ ναοὺς καὶ τὰ λήϊα καὶ τὰς ἀμπέλους μέχρις ἐδάφους, ὡς ἐπισυμβῆναι κατὰ τοῦτον τὸν χρόνον παντοίων καρπῶν ἀφορίαν γενέσθαι. γέγονε δὲ καὶ χύσις ἀστέρος κατὰ τὴν κυριακὴν τὴν μετὰ τὸ πάσχα, περὶ ὥραν τρίτην τῆς νυκτός, τῇ μαρμαρυγῇ τῆς λαμπρότητος τοὺς ἀστέρας πάντας καλύψαντος, ὡς καὶ δόκησιν παρασχεῖν τοῖς πολλοῖς ἡλίου ἀνατολῆς. ἐλήφθη δὲ καὶ ὁ βασιλεὺς δαιμονίῳ· ὃ B

gens non tulit mediocriter hunc nuntium, sed abominatus est, atque adeo miratus qua tandem ratione plebeius iste ac triobolaris homo omnibus aliis esset praelatus, cum exstarent plurimi praestantissimi ac familiis summis nati viri, ac dominus et imperator designatus. quod ut rescivit Ioannes, tametsi, uti par erat, vehementer perturbabatur, tamen quomodo istum in suam alliceret nassam cogitavit. mittitur ergo ad Dalassenum Ergodotes eunuchus, ad huiusmodi ministeria aptissimus, qui praestito acceptoque iureiurando eum ad imperatorem adduceret. interea Ioannes et senatum, primarios eorum ad subliniores evehendo dignitates, suum facit, et muneribus ac largitionibus multitudinis benevolentiam captat, itaque omnes subditos sibi conciliat. displicuisse autem haec facta deo satis ipsa exordia aperte docuerunt. etenim undecima hora sanctae et magnae dominicae grando impetu intolerabili delata non frugiferas modo sterilesque arbores confregit, sed etiam domos deiecit et templa ac segetes vitesque solo allisit. itaque eo anno summa fuit sterilitas. stella etiam dominico qui pascha insequitur die, hora noctis tertia, traiecit, fulgore suo luminibus omnium aliarum stellarum officiens, ita ut multi opinarentur solem oriri. malus etiam daemon impe-

σεμνολογοῦντες οἱ περὶ τοῦτον μανικὸν ἀπεκάλουν νόσημα, καὶ παρέμεινεν ἄχρι τέλους τῆς αὐτοῦ βιοτῆς, μήθ' ὑπὸ θείας δυνάμεως μήθ' ὑπὸ ἰατρῶν θεραπείαν λαβών, ἀλλ' ἐλεεινῶς κατατεινόμενος καὶ βασανιζόμενος.

Ἄρτι δὲ τοῦ Ἐργοδότου πρὸς τὸν Δαλασσηνὸν ἀφικομένου, πιστεῦσαι μὲν οὗτος τοῖς ὅρκοις καὶ σὺν αὐτῷ ἀπελθεῖν οὐκ ἠθέλησεν ἐν τῷ Βυζαντίῳ, τῶν τινὰ δὲ πέμψας πιστοτάτων αὐτῷ ὅρκους τε ἀπήτησε μείζονας τοῦ μή τι παθεῖν χαλεπόν, καὶ ἀπελθεῖν ἐπηγγείλατο. πέμπεται τοίνυν Κωνσταντῖνος ὁ Φαγίτζης C *εὐνοῦχος, ἄνθρωπος Παφλαγὼν καὶ συνήθης τῷ βασιλεῖ, τά τε τίμια ἐπαγόμενος ξύλα καὶ τὸ ἅγιον ἐκμαγεῖον καὶ τὴν πρὸς Αὔγαρον ἰδιόγραφον ἐπιστολὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰκόνα τῆς ὑπεραγίας θεοτόκου· ὃς ἀπελθών, καὶ ὅρκους τῷ Κωνσταντίνῳ δοὺς καὶ λαβών, ἔρχεται μετ' αὐτοῦ εἰς τὸ Βυζάντιον. ἐλθόντα δὲ τοῦτον φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο, καὶ ἀνθύπατον τιμήσας καὶ δώροις μεγίστοις δεξιωσάμενος ἀνέτως καὶ ἀδεῶς προσέταξε διάγειν ἐν τῷ ὄντι κατὰ τὰ Κύρου οἴκῳ αὐτοῦ.*

Τούτῳ τῷ χρόνῳ καὶ ἄλλο τι συνέβη ἀξιαφήγητον. τῶν εἰς παραχειμασίαν ἐν τῷ θέματι τῶν Θρακησίων διεσπαρμένων Βα- D *ράγγων γυναῖκά τις ἐγχωρίαν εὑρὼν ἐπ' ἐρημίας ἀπεπειρᾶτο τῆς σωφροσύνης αὐτῆς· ὡς δὲ οὐκ ἔπειθε, καὶ βίαν ἤδη ἐπῆγεν, ἡ δὲ τὸν ἀκινάκην σπασαμένη τἀνδρὸς παίει κατὰ καρδίας τὸν βάρβα-*

6 *εἰς τὴν βασιλεύουσαν οὐκ ἠθέλησεν* C

ratorem invasit, neque ante finem vitae missum fecit. qui specioso nomine malum id volebant velare, insaniam animi appellabant: sane neque humanum neque divinum auxilium miserabilibus eum istis cruciatibus ac torturis eripuit.

Ceterum Dalassenus, Ergodota ad se veniente, credere eius iureiurando et una Byzantium venire noluit: sed quendam suorum fidelissimum misit, per quem sanctioribus sibi iuramentis caveri petebat, eoque facto venturum se promittebat. mittitur igitur ad Dalassenum Constantinus Phagitzes eunuchus Paphlago, familiaris imperatoris, secum ferens veneranda crucis ligna, et linteum Christi imaginem habens expressam, ac epistolam servatoris manu ad Augarum scriptam, ac imaginem deiparae. is data acceptaque fide Dalassenum Cpolin secum perducit. venientem imperator amice excepit, proconsulis honore dignatus est, ac donis amplissimis affecit, iussitque libere et absque metu in domo ipsius, quae erat ad Cyri, degere.

Accidit eo tempore aliud quippiam memoratu dignum. Barangorum per provinciam Thracensium in hiberna dispersorum quidam mulierem indigenam solam nactus de stupro appellavit, ac recusanti vim inferre aggressus est. ea barbarum correpto viri acinace in cor ferit ac statim

ρον καὶ εὐθὺς ἀναιρεῖ. τοῦ δὲ ἔργου διαδοθέντος ἐν τῇ περιχώρῳ
συναθροισθέντες οἱ Βάραγγοι τήν τε γυναῖκα στεφανοῦσι, διδόν-
τες αὐτῇ καὶ τὴν ἅπασαν οὐσίαν τοῦ βιαστοῦ, κἀκεῖνον ἄταφον
ῥίπτουσι κατὰ τὸν τῶν βιοθανάτων νόμον. τὰ δὲ τῆς ἀκρίδος
στρατόπεδα, ὡς ἤδη φθάσαντες εἴπομεν, κατὰ τὴν ἐν Ἑλλησπόντῳ
αἰγιαλῖτιν ψάμμον διαφθαρέντα αὖθις ἀνεφύη αὐτομάτως καὶ
τὴν παράλιον τῆς Ἑλλησπόντου πάλιν κατέμαρπτε, καὶ ἐπὶ τριε-
τίαν ὅλην διετέλεσε κεραΐζοντα τὸ θέμα τῶν Θρακησίων, καὶ ἐν
Περγάμῳ γενόμενα διεφθάρη, θεασαμένου δέ τινος πρότερον τῶν P 736
ὑπηρετουμένων τῷ ἐπισκόπῳ θέαμα οὐκ ὄναρ ἀλλ' ὕπαρ. ἐδόκει
γὰρ ὁρᾶν εὐνοῦχόν τινα λευχείμονα, ἐξαστράπτοντα τὴν μορφήν.
καὶ ὃς τριῶν παρακειμένων ἔμπροσθεν αὐτοῦ σάκκων λῦσαι προσ-
ετάχθη τὸν ἕνα καὶ κενῶσαι, εἶτα τὸν δεύτερον καὶ ἐφεξῆς τὸν
τρίτον. τοῦ δὲ ὡς ἐκελεύσθη ποιήσαντος, ὁ μὲν πρῶτος ὄφεις
καὶ ἐχίδνας καὶ σκορπίους ἐξέβρασεν, ὁ δὲ δεύτερος φρύνους καὶ
ἀσπίδας καὶ βασιλίσκους καὶ κεράστας καὶ ἕτερα ἰοβόλα, ὁ δὲ
τρίτος κανθάρους καὶ σκνῖπας καὶ σφῆκας καί τινα ἄλλα τῶν ὀπι-
σθοκέντρων ζῴων. καὶ ὁ μὲν ἐπὶ τῷ θεάματι ἵστατο ἐννεός, ὁ δὲ
φαιδρὸς ἐκεῖνος ἀνὴρ ἔγγιστα παραστησάμενος αὐτὸν "ταῦτα" B
ἔφη "ἐπῆλθέ τε καὶ ἐλεύσεται ἐφ' ὑμᾶς διὰ τὴν παράβασιν τῶν
τοῦ θεοῦ ἐντολῶν καὶ τὸ γενόμενον ἀνόσιον ἔργον εἴς τε τὸν βασι-
λέα Ῥωμανὸν καὶ εἰς τὴν αὐτοῦ κοίτην." καὶ ταῦτα μὲν συνη-
νέχθη τῇδε.

4 τὸν om C   8 κεραΐζουσα C, κλονοῦσα, ἀφανίζουσα margo
17 σκανθάρους C   21 ἔργον om C

necat. quod factum cum per viciniam innotuisset, coivere ceteri Barangi, et mulierem coronavere, omnibus etiam bonis eius qui ipsum voluerat violare donatam: ipsum autem insepultum abiecerunt, ut lex iubet eos qui sibi mortem consciverunt. interim examina locustarum quae per Hellesponti arenam in littore sitam dispersa periisse docuimus, sponte sua revixerunt et omnia Hellesponti infestarunt; cumque provinciam Thracensem per integrum triennium populata essent, apud Pergamum perierunt. antequam id fieret, cuidam de ministris episcopi insomnium oblatum fuerat, prorsus rem ipsam repraesentans. visus erat sibi videre eunuchum quendam albis vestibus amictum, forma effulgente, qui tribus ipsi appositis saccis ordine eos iuberetur aperire ac evacuare. cumque id faceret, e primo vim serpentum viperarum et scorpionum erupisse, ex altero rubetas aspides basiliscos cerastas et alias venenatas bestias, ex tertio cantharides culices vespas aliaque aculeata animalia. sibi cum ad spectaculum obmutuisset, splendidum istum virum proxime adstitisse, ac dixisse "haec vobis accidere et evenient ob violata dei mandata et impium facinus in imperatorem Romanum eiusque coniugem perpetratum."

Μιχαὴλ δὲ ὁ βασιλεὺς ὑπό τε τῆς δαιμονίας νόσου εἰργόμενος, καὶ ἄλλως πρὸς μεταχείρησιν πραγμάτων νωθρός τις ὢν καὶ ἀμβλύς, σχῆμα μὲν εἶχε τῆς βασιλείας καὶ ὄνομα, ἡ δὲ τῶν πραγμάτων ἐνέργεια ἅπασα πολιτικῶν τε καὶ στρατιωτικῶν ἐν ταῖς χερσὶν ἦν τοῦ Ἰωάννου. εὐθὺς οὖν προχειρίζεται τὸν αὐτοῦ ἀδελ- C φὸν Νικήταν δοῦκα Ἀντιοχείας, ὃν ἀπελθόντα εἰσελθεῖν ἐν τῇ πόλει οὐ συνεχώρησαν οἱ Ἀντιοχεῖς· πρὸ μικροῦ γὰρ φορολόγος τις, Σαλίβας τὴν προσηγορίαν, τὰ κατ' αὐτοὺς ἐπιτετραμμένος καὶ βαρέως τοῖς ἀνθρώποις προσενηνεγμένος κτείνεται παρὰ τοῦ δήμου τῶν Ἀντιοχέων. διὰ γοῦν τὸν τούτου φόνον, ἵνα μή τι καὶ ἀνήκεστον πάθωσιν, οἱ Ἀντιοχεῖς δεδιότες ἀπέκλεισαν τῷ Νικήτᾳ τὴν εἴσοδον. ὅρκοις δὲ τούτου πιστωσαμένου ὡς ἀμνηστία κακῶν αὐτοῖς ἔσεται καὶ οὐδὲν οὐδεὶς πείσεται ἄχαρι διὰ τὸν τοῦ Σαλίβα φόνον, συγχωροῦσι τὴν εἴσοδον. ὁ δὲ τῆς πόλεως ἐπειλημμένος καὶ κύριος τῶν πραγμάτων γενόμενος, ὀλίγα ἢ οὐδὲν D τῶν ὅρκων φροντίσας, ἀμφὶ μὲν τοὺς ἄνδρας ρ' ἀπέκτεινεν ἀποτεμών τε καὶ ἀνασκολοπίσας, ἕνδεκα δὲ τοὺς προύχοντας ζαπλούτους ἄνδρας καὶ γένει περιφανεῖς δημεύσας, ὧν κορυφαῖος ἦν ὁ πατρίκιος Ἐλπίδιος, δεσμίους ἐκπέμπει πρὸς τὸ Βυζάντιον, γράψας τῷ ἀδελφῷ Ἰωάννῃ μὴ διὰ τὸν τοῦ Σαλίβα φόνον κωλυθῆναι αὐτῷ τὴν εἰς τὴν πόλιν εἴσοδον, ἀλλὰ διὰ τὴν εἰς τὸν Δαλασσηνὸν εὔνοιαν. τοῦτο τῆς προαποκειμένης ὑπονοίας κατὰ τοῦ Δαλασσηνοῦ τῷ Ἰωάννῃ ζώπυρον ἐγεγόνει καὶ εἰς πυρσὸν ἀνήπτετο. καὶ εὐθὺς ἄγεται εἰς τὸν βασιλέα, καὶ κατὰ τὴν τρίτην

1 δαιμονίου C 4 πολιτική τε καὶ στρατιωτική C 9 ἐπενηνεγμένος C 18 δεσμεύσας C 24 τὰ βασίλεια C

Ceterum Michaelo et a malo daemone infestato et alioquin ignavo nomen et figura imperatoris aderant, rerum civilium bellicarumque administratio omnis in manu erat Ioannis. hic statim Nicetam fratrem suum Antiocheae ducem designat; quem ad se venientem Antiocheni non admiserunt in urbem, metuentes ne is in ipsos gravius aliquid statueret, quod paulo ante Salibas quidam tributum exigere ab ipsis iussus, cum asperius homines tractaret, a populo fuerat interfectus. veniam tamen eius facti impunitatemque iureiurando addito promittenti portas aperuerunt. Nicetas admissus et urbe potitus, nihil aut parum datam curans fidem, viros circiter centum capitibus truncavit et in palos suffixit; undecim porro viros primarios et opulentissimos ac genere illustres, quorum princeps Elpidius patricius, bonis eorum publicatis vinctos Byzantium misit; scripsitque Ioanni fratri non ob caedem Salibae, sed ob benevolentiam in Dalassenum, urbis ingressu se fuisse prohibitum. hoc iam ante conceptam de Dalasseno suspicionem veluti scintillam quandam sopitam excitavit ignemque succendit. illico igitur Dalassenus ad imperatorem adducitur, et tertia die Augusti, indictione

τοῦ Αὐγούστου μηνὸς τῆς δευτέρας ἰνδικτιῶνος ἐν τῇ νήσῳ Πλάτῃ περιορίζεται. βάλλεται δὲ καὶ ἔν τινι πύργῳ ὁ ἐπὶ θυγατρὶ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος ὁ Δοῦκας, ὅτιπερ ἐπεβοᾶτο τὴν ἀδικίαν καὶ τὴν παράβασιν τῶν ὅρκων ἐξήλεγχε καὶ τὸν θεὸν ἐμαρτύρετο. ἔπαθον δὲ δι' αὐτὸν καὶ ἄνδρες τρεῖς τῶν ἐκ τῆς μικρᾶς Ἀσίας P 737
εὐγενεῖς καὶ πλούσιοι, ὁ Γουδέλης, ὁ Βαϊανὸς καὶ ὁ λεγόμενος Προβατᾶς, δημευθείσης τῆς οὐσίας αὐτῶν καὶ Κωνσταντίνῳ τῷ τοῦ βασιλέως ἀφορισθείσης ἀδελφῷ. τότε καὶ Συμεὼν πρωτοβεστιάριος, ὁ τῶν θεραπόντων τοῦ βασιλέως εἷς Κωνσταντίνου, ὅτι μὴ ἠρέσκετο τοῖς δρωμένοις, ἀλλὰ τὴν εἰς τὸν Δαλασσηνὸν ἀδικίαν ἐπεβοᾶτο καὶ τὴν τῶν ὅρκων ἀθέτησιν τῶν βασιλείων, διώκεται καὶ τῆς πόλεως, κἂν τῷ Ὀλύμπῳ γενόμενος τὴν κοσμικὴν ἀπέθετο τρίχα, καρεὶς ἐν τῷ παρ' αὐτοῦ νεουργηθέντι μοναστηρίῳ.

Τῷ δ' αὐτῷ ἔτει καὶ σεισμοῦ γενομένου κακῶς ἔπαθον τὰ B
Ἱεροσόλυμα, τεθνηκότων ἀνθρώπων πολλῶν ἐν τοῖς τῶν ἐκκλησιῶν καὶ τῶν οἰκιῶν συμπτώμασι, σειομένης τῆς γῆς ἄχρι τεσσαράκοντα ἡμερῶν. τῷ δὲ Σεπτεμβρίῳ μηνὶ τοῦ ,ϛφμγ' ἔτους, ἰνδικτιῶνος γ', στῦλος πυρὸς ἐφαίνετο κατὰ τὴν ἑῴαν, τὴν κορυφὴν κεκλιμένην φαίνων πρὸς μεσημβρίαν. καθ' ἃς ἡμέρας καὶ οἱ Σαρακηνοὶ ᾖρον τὰ Μύρα. ἐξεδίωξαν δὲ καὶ οἱ Βερροιαῖοι οἱ καὶ Χαλεπῖται τὸν παρὰ τοῦ βασιλέως πεμφθέντα αὐτοῖς ἁρμοστήν. καὶ Παγκράτιος δὲ ὁ Ἀβασγός, Ῥωμανὸν τὸν βασιλέα δῆθεν ἐκδικῶν ὡς θεῖον τῆς γυναικὸς αὐτοῦ, τήν τε πρὸς Ῥω-

9 εἷς om C   19 ἰνδ. γ' om C   20 ἔχων C

secunda, in Platam insulam relegatur; et gener eius Constantinus Ducas in turrim quandam coniicitur, quod vociferaretur iniuste haec fieri et violari iusiurandum ostenderet deumque testaretur. propter eundem etiam Gudelis Baiani, et Probatae, virorum nobilium ac divitum, in Asia minori natorum, bona publicata et Constantino imperatoris fratri addicta sunt. quin et Simeon protovestiarius, unus de ministris Constantini imperatoris, quod ista non probaret iniuriamque fieri Dalasseno et infringi iuramentum clamaret, aula et urbe eiectus, cum ad Olympum venisset, in monasterio a se condito monachus est factus.

Eodem anno per quadraginta dies terra concussa multi homines Hierosolymis perierunt, fanorum ac aedium ruinis oppressi. anno ab origine mundi 6543, indictione tertia, mense Septembri, ignea columna apparuit versus ortum, vertice ad meridiem inclinante. per eos ipsos dies et Saraceni Myra ceperunt, et Berroeenses Chalepitae praefectum ipsis ab imperatore missum expulerunt; et Pancratius Abasgus Romani imperatoris, nimirum ut patrui uxoris suae, ulciscendi causa, pacem cum

μαίους εἰρήνην ἀπείπατο καὶ τὰ πρῴην δοθέντα κάστρα καὶ φρού-
C ρια ἅπαντα ἀνεκτήσατο. περαιωθέντες δὲ καὶ τὸν Ἴστρον οἱ Πατζινάκαι πᾶσαν ἐληΐσαντο τὴν Μυσίαν ἄχρι Θεσσαλονίκης, καὶ τὰ τῶν Ἄφρων πλοῖα τὰς Κυκλάδας οὐ μικρῶς ἐλυμήναντο. ὧν οὐδεμία φροντὶς ἦν τῷ Ἰωάννῃ, μόνην δ' ἔμμονον ἀσχολίαν εἶχεν ὅπως ἂν ὁ Δαλασσηνὸς ἀσφαλῶς τηροῖτο καὶ μὴ τὰς αὐτοῦ λάθοι διαδρὰς πλεκτάνας. καὶ δῆτα μεταγαγὼν ἀπὸ τῆς νήσου Πλάτης αὐτὸν πύργῳ καθείργνυσιν ἀσφαλεῖ, ἐπιστήσας αὐτῷ φρουροὺς οὐκ ἀγεννεῖς. μεταστέλλεται δ' ἐξ Ἐδέσσης καὶ Γεώργιον πατρίκιον τὸν Μανιάκην, καὶ τοῦτον μὲν ἄρχειν ἐκπέμπει τῆς ἄνω Μηδίας καὶ τῆς Ἀσπρακανίας, ἐν Ἐδέσσῃ δὲ πέμπει Λέοντα τὸν
D Λεπενδρηνόν. ἕλκους δὲ διανεμομένου τὸ τοῦ ὀρφανοτρόφου στόμα καὶ πάσης ἰατρικῆς τέχνης ἀπειρηκυίας, ὄναρ αὐτῷ ἐπιστὰς ὁ μέγας ἐν θαύμασι Νικόλαος ἥκειν ἐν Μύροις τὴν ταχίστην ἐκέλευεν ὡς ἐκεῖσε τευξόμενον θεραπείας. ὁ δὲ θᾶττον ἢ λόγος ἐκεῖσε φοιτήσας, καὶ μύροις καὶ ἄλλαις πολυτελείαις τὸν τοῦ μεγάλου θεῖον δεξιωσάμενος ναόν, καὶ τείχει περικλείσας ὀχυρωτάτῳ τὴν τῶν Μυρέων μητρόπολιν, θεραπείας τυχὼν ἐπάνεισιν ὑγιής.

Νικήτα δὲ τοῦ στρατηγοῦντος ἐν Ἀντιοχείᾳ τῆς Συρίας καταστρέψαντος τὴν ζωήν, ἅτερος τῶν ἀδελφῶν ὁ Κωνσταντῖνος καθίσταται τούτου διάδοχος, καὶ Γεώργιος ὁ λοιπὸς πρωτοβεστιάριος γίνεται, τοῦ Συμεών, ὡς εἴπομεν, τὸ μοναδικὸν ἐνδυσαμένου σχῆμα. ἐλευθεροῖ δὲ καὶ τοὺς καθειργμένους Ἀντιοχεῖς

1 φρούρια καὶ κάστρα C 11 καὶ βαασπρακανίας C 17 τὴν τῶν μυρέων πόλιν ὀχυρωτάτω C 19 ἀντιοχείας ἐν συρία C 22 μοναχικὸν C

Romanis factam rescidit, arcesque et castella pridem iis concessa recuperavit; et Patzinacae Istrum transgressi universam Mysiam usque Thessalonicam populati sunt; et Afrorum naves Cycladibus insulis non levia damna intulerunt. nihil horum omnium curae Ioanni fuit, in id unum intento ut Dalassenum accurate custodiret, ne is se ipsius cassibus explicans subduceret. itaque eum ab insula in turrim transfert, custodibusque strenuis asservandum mandat. Georgium quoque Maniacen avocat Edessa, et praeficit Mediae superiori, quae et Aspracania dicitur, misso Edessam Leone Lependreno. cum autem ulcus orphanotrophi os depasceretur et medici de ope ferenda desperassent, per insomnium ei visus magnus miraculorum effector Nicolaus monuit ut quamprimum Myra iret, ibi sanitatem recepturus. celerrime igitur eo profectus, Nicolai clericos unguentis aliisque sumptuosis rebus demeritus, metropolin Myra muro validissimo cinxit, morboque solutus rediit.

Mortuo Niceta Antiocheae in Syria praefecto, frater Constantinus sufficitur, et fratrum reliquus Georgius fit protovestiarius, Simeone, ut diximus, monasticam vitam ingresso. diuturnis etiam carceribus impe-

τῆς χρονίας καθείρξεως ὁ βασιλεύς, ἀναγαγὼν καὶ πρὸς τὸ τοῦ P 738
Καίσαρος περίοπτον ὕψος Μιχαὴλ τὸν τῆς ἑαυτοῦ ἀδελφῆς Μαρίας υἱόν. ἀποκλαιόμενος δὲ καὶ τὴν εἰς τὸν βασιλέα Ῥωμανὸν ἄχρι τέλους διετέλεσεν ἁμαρτάδα, τὸν θεὸν ἱλασκόμενος διὰ ἀγαθοεργιῶν καὶ τῶν εἰς τοὺς πένητας μεταδόσεων, μοναστήριά τε ἐκ καινῆς ἀνεγείρων καὶ μοναχοὺς ἐγκατοικίζων, καὶ ἄλλας πράξεις ἐπιτελῶν οὐ μεμπτάς. αὗται δ' ἂν ἦσαν ἀνύσιμοι, εἰ τήν τε βασιλείαν ἀπέρριψε δι' ἣν τὰ τοσαῦτα κακὰ καὶ τὴν μοιχαλίδα ἀπώσατο, καὶ καθ' ἑαυτὸν ἀπεκλαίετο τὴν ἁμαρτίαν. τούτων δὲ μηδὲν πεπραχώς, ἀλλ' ἐκείνῃ τε συνὼν καὶ τῆς βασιλείας ὁλοσχερῶς ἀντεχόμενος κἀκ τῶν δημοσίων καὶ κοινῶν τὰς δοκούσας B
εὐποιίας ἀποπληρῶν, εἶθ' ὑπολαμβάνων τυχεῖν συγχωρήσεως, ἀνόητον ἐλογίζετο τὸ θεῖον καὶ ἄδικον, ἀλλοτρίοις χρήμασιν ὠνούμενον τὴν μετάνοιαν.

Τῷ δὲ ,ϛφμγ' ἔτει, ἰνδικτιῶνος γ', Μαΐῳ μηνί, Ἄφροι καὶ Σικελοὶ καταδραμόντες τὰς Κυκλάδας καὶ τὰ τοῦ Θρᾳκησίου παράλια τελευταῖον κατεπολεμήθησαν ὑπὸ τῶν ἐκεῖσε φυλαττόντων, καὶ πεντακόσιοι μὲν ζῶντες ὡς βασιλέα ἤχθησαν, οἱ δὲ λοιποὶ πάντες ἀνεσκολοπίσθησαν ἐν τῇ παραλίᾳ ἀπὸ Ἀτραμυτίου καὶ μέχρι Στροβίλου. πέμπει δὲ καὶ πρεσβευτὴν ἐς Σικελίαν Ἰωάννης Γεώργιον τὸν Προβατᾶν, περὶ εἰρήνης διαλεξόμενον τῷ ταύτης ἀμηρεύοντι· ὃς ἀπελθὼν καὶ δεξιῶς διαλεχθείς, εἰληφὼς τὸν τοῦ C
ἀμηρᾶ υἱὸν ἤγαγεν εἰς τὸν βασιλέα. κατὰ τοῦτον τὸν χρόνον

1 χρονίου C 21 πρεσβευσόμενον C 22 κρατοῦντι margo C 23 τὴν βασιλεύουσαν C

rator Antiochenos emittit. et Michaelum Mariae sororis suae filium ad Caesaris culmen extollit. ad finem usque vitae deflevit peccatum in Romano necato suum, bonis operibus et liberalitate in pauperes deum placans, et monasteria nova condendo et monachos in ea imponendo aliisque factis laudabilibus. et profuissent ea utique, si et imperium deposuisset, ob quae in ista prolapsus erat peccata, et adulteram repudiasset, ac privatus suum scelus deplorasset. nunc ille nihil horum agens, sed et Zoes utens consuetudine, et imperium mordicus retinens, ac de publicis bonis ista quae videbantur beneficia largiens, hocque modo tamen se veniam consecuturum sperans, stultum et iniustum esse putavit deum, ut qui aliena pecunia poenitentiam redimi sineret.

Eo quem diximus anno, mense Maio, Afri et Siculi Cyclades oramque Thraciae incursionibus vexantes, ab eorum locorum praefectis devicti sunt, et 500 vivi ad imperatorem perducti, reliquis in palos suffixis ab Atramytio usque ad Strobelum. misit etiam Ioannes legatum Georgium Probatam in Siciliam ad eius insulae ameram, de pace tractaturum. qui dextre confecto negotio amerae filium ad imperatorem

χάσματα γέγονεν ἐν Βουκελλαρίοις σεισμοῦ γεγονότος, καὶ κατεπόθησαν ὁλόκληρα χωρία πέντε. ἔνθα συνέβη καὶ Νικηφόρον πρόεδρον τὸν Κωνσταντίνου τοῦ βασιλέως εὐνοῦχον διατρίβοντα μικροῦ δεῖν κινδυνεῦσαι, διαφυγόντα δὲ παρ' ἐλπίδα τὸν κίνδυνον ἀποκαρῆναι μοναχὸν ἐν τῇ μονῇ τῶν Στουδίου.

Ἀπολάφαρ δὲ Μουχούμετ ὁ Σικελίας ἄρχων, ὁμαιχμίαν μετὰ τοῦ βασιλέως θέμενος, ἐτιμήθη μάγιστρος. τοῦ δὲ ἀδελ- [D] φοῦ αὐτοῦ Ἀπόχαψ ἀντάραντος αὐτῷ κατισχυόμενος εἰς τὴν βασιλέως βοήθειαν καταφεύγει. καὶ δὴ στέλλεται μετὰ δυνάμεως ἐν Λογγιβαρδίᾳ Γεώργιος πατρίκιος ὁ Μανιάκης στρατηγὸς αὐτοκράτωρ, σὺν αὐτῷ δὲ καὶ ἄρχων τοῦ στόλου Στέφανος ὁ πατρίκιος, ὁ ἐπ' ἀδελφῇ γαμβρὸς τοῦ βασιλέως. Σαρακηνῶν δὲ Ἄφρων καὶ Σικελῶν μετὰ σκαφῶν οὐκ ὀλίγων ἐπιδραμόντων τὰς νήσους καὶ τὴν παράλιον, ὁ Κιβυρραιωτῶν στρατηγὸς Κωνσταντῖνος ὁ Χαγὲ συμπλακεὶς αὐτοῖς μετὰ τοῦ ἐγχωρίου στόλου ἐτρέψατο κατὰ κράτος, καὶ πεντακοσίους μὲν αἰχμαλώτους πέμπει τῷ βασιλεῖ, τοὺς δὲ λοιποὺς κατεπόντισεν. ἀφορήτου δὲ παγετοῦ γενομένου καὶ τοῦ Ἴστρου κρυσταλλωθέντος οἱ Πατζινάκαι περαιωθέντες οὐ μικρῶς τὴν Μυσίαν καὶ Θρᾴκην μέχρι Μακεδονίας ἐκάκωσαν. [P 739] ἐπῆλθε δὲ πάλιν ἀκρὶς τοῖς Θρᾳκησίοις, καὶ κακῶς διέθετο τοὺς καρπούς.

Τῷ ,ςφμδ' ἔτει, ἰνδικτιῶνος ιδ', διὰ τοῦ ἔαρος τρεῖς εἰσβολὰς ποιησάμενοι οἱ Πατζινάκαι κατὰ Ῥωμαίων ἄρδην τὰ παρα-

5 τῶν] τοῦ C   22 ιδ'] δ' P

adduxit. eodem tempore hiatus in Bucellariis terrae motum subsecutus est, et quinque integra absorpsit oppidula. parumque abfuit quin eo etiam periret Nicephorus praeses, eunuchus Constantini imperatoris, ibi tum degens. is praeter spem evitato periculo monachus factus est in Studiano monasterio.

Apolaphar Muchumetus Siciliae praefectus, foedere cum imperatore icto, magisterio honoratur. cumque eum frater Apochapsus bello premeret, ad imperatoris auxilium confugit. mittitur ergo Georgius Maniaces patricius cum exercitu imperator in Longibardiam, atque una classis praefectus Stephanus patricius, maritus sororis imperatoris. cum autem Saraceni Afri et Siculi multis navigiis insulas oramque infestarent, Cibyrraeotarum dux Constantinus Chages classem eorum locorum in eos duxit ac fudit eos: 500 ad imperatorem captivis missis, reliquos in mare demersit. ordo deinde intolerabili gelu et Istro glacie durato, Patzinacae cum transgressi Mysiam et Thraciam usque ad Macedoniam non leviter vexarunt. locustae quoque Thraciae frugibus nocuerunt.

Anno ab origine mundi 6544, indictione quarta, verno tempore Patzinacae ter impressionem fecerunt in Romanam dicionem, obviis

τυχόντα ἠφάνισαν, ἡβηδὸν τοὺς ἁλισκομένους ἀναιροῦντες καὶ τιμωρίαις τοὺς αἰχμαλώτους ὑποβάλλοντες ἀνεκδιηγήτοις. εἷλον δὲ καὶ στρατηγοὺς πέντε ζωγρίας, Ἰωάννην τὸν Δερμοκαΐτην, Βάρδαν τὸν Πέτζην, Λέοντα τὸν Χαλκοτούβην, Κωνσταντῖνον τὸν Πτερωτὸν καὶ τὸν Στραβοτριχάρην Μιχαήλ. ἐτελεύτησαν δὲ καὶ οἱ τῶν Ῥῶς ἄρχοντες, Νοσισθλάβος καὶ Ἱεροσθλάβος, καὶ ἄρχειν προεκρίθη τῶν Ῥῶς συγγενὴς τῶν τελευτησάντων Ζινισθλάβος. καὶ ἡ Σερβία Ῥωμαίων ἀφηνιάσασα μετὰ θάνατον Ῥω- B
μανοῦ τοῦ βασιλέως αὖθις ἐσπείσατο. Ἄμερ δὲ τοῦ τῆς Αἰγύπτου ἀμερμουμνῆ τελευτήσαντος, ἡ γυνὴ αὐτοῦ Χριστιανὴ οὖσα διαπρεσβεύεται ἅμα τῷ υἱῷ πρὸς βασιλέα περὶ εἰρήνης· ἧς ἀποδεξάμενος τὴν προαίρεσιν ὁ βασιλεὺς σπονδὰς τριακοντούτεις ἔθετο μετ' αὐτῆς.

Δεκεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος ι', ἔτους ,ςφμε', κατὰ τὴν ιη' τοῦ μηνός, περὶ τετάρτην ὥραν τῆς νυκτός, γεγόνασι σεισμοὶ τρεῖς, δύο μικροὶ καὶ εἷς μέγας. Γεωργίου δὲ πατρικίου τοῦ Μανιάκη ἐξ Ἐδέσσης, ὡ εἴπομεν, μετατεθέντος καὶ τοῦ Λεπενδρηνοῦ ἐν αὐτῇ ἄρχειν ταχθέντος, οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν Ἄραβες κοινοπραγίαν θέμενοι ἐπῆλθον τῇ Ἐδέσσῃ καὶ C
ἐπολιόρκουν τὴν πόλιν. καὶ μικροῦ δεῖν ἑάλω, εἰ μὴ Κωνσταντῖνος ὁ τοῦ βασιλέως ἀδελφὸς βοήθειαν ἀποχρῶσαν ἐξ Ἀντιοχείας πεπομφὼς ταύτην παρ' ἐλπίδας ἐρρύσατο· ὃν ὁ βασιλεὺς τοῦ ἔργου ἀποδεξάμενος δομέστικον προβάλλεται τῶν σχολῶν τῆς ἀνα-

4 πίτζην C χαλκούτζην C 6 νεσισθλάβος C

omnibus excisis, et quoscunque cepissent, nullius habita aetatis ratione, interfectis, ineffabilibus cruciatibus in captivos debacchati. vivos quoque cepere quinque ductores, Ioannem Dermocaitam, Bardam Petzem, Leonem Chalcotubam, Constantinum Pterotum et Michaelum Strabotricarem. mortui sunt etiam Rossorum principes Nosisthlabus et Hierosthlabus. et Serbia, quae morte Romani imperatoris iugum excusserat, rursus imperio coniuncta est. Amere Aegypti amermumna mortuo, uxor eius Christianae religioni dedita cum filio legatos de pace ad imperatorem mittit. cuius is petitioni assentiens 30-annorum pacem composuit.

Indictione decima, mensis Decembris decima octava die, hora noctis quarta, anno mundi 6545, terrae motus tres exstiterunt, exigui duo, unus vehemens. cum, ut diximus, Maniacae successor Lependrenus Edessam tueretur, Arabes qui per Mesopotamiam erant, inita societate urbem eam adorti oppugnaverunt; et vero cepissent, nisi Constantinus imperatoris frater, misso ab Antiochea satis valido auxilio, eam praeter spem servasset. quem imperator ob hoc facinus domesticum scholarum

πολῆς. προχειρίζεται δὲ καὶ Νικομηδείας ἐπίσκοπος Ἀντώνιος ὁ Πάχης εὐνοῦχος, κατὰ γένος προσήκων τῷ βασιλεῖ, μηδὲν ἄξιον ἔχων ἐπισκόπου, ἀλλὰ βοῦν ἀφωνίας ἐπὶ τῇ γλώσσῃ φέρων. αὐχμοῦ δὲ γενομένου ὡς ἐπὶ μῆνας ὅλους ἓξ μὴ καταρραγῆναι ὑετόν, λιτανείαν ἐποιήσαντο οἱ τοῦ βασιλέως ἀδελφοί, ὁ μὲν Ἰωάννης
D βαστάζων τὸ ἅγιον μανδύλιον, ὁ μέγας δομέστικος τὴν πρὸς Αὔγαρον ἐπιστολὴν τοῦ Χριστοῦ καὶ ὁ πρωτοβεστιάριος τὰ ἅγια σπάργανα· καὶ πεζῇ ὁδεύσαντες ἀπὸ τοῦ μεγάλου παλατίου ἀφίκοντο ἄχρι τοῦ ναοῦ τῆς ὑπεραγίας θεοτόκου τῶν Βλαχερνῶν. ἐποίησε δὲ καὶ ἑτέραν λιτὴν ὁ πατριάρχης σὺν τῷ κλήρῳ. οὐ μόνον δὲ οὐκ ἔβρεξεν, ἀλλὰ καὶ χάλαζα παμμεγέθης καταρραγεῖσα συνέτριψε τὰ δένδρα καὶ τοὺς κεράμους τῆς πόλεως. σιτοδείας δὲ κατασχούσης τὴν πόλιν ἀποστείλας ὁ Ἰωάννης ἐξωνήσατο ἀπὸ Πελοποννήσου καὶ Ἑλλάδος σίτου χιλιάδας ρ', καὶ δι' αὐτῶν τοὺς πολίτας παρεμυθήσατο.

P 740 Ἐν δὲ Σικελίᾳ τῶν δύο ἀδελφῶν, ὡς εἴρηται, στασιαζόντων καὶ τοῦ Ἀπολάφαρ ὑπερισχύοντος, ἕτερος τῶν ἀδελφῶν τὸν τῆς Ἀφρικῆς ἄμερα Οὔμερ εἰς συνεργίαν καλεῖ· καὶ ὃς ὑπισχνεῖται συμμαχήσειν, εἰ κατάσχεσιν ἐν τῇ νήσῳ λάβῃ τινά. προθύμως δὲ τοῦ Σικελοῦ κατανεύσαντος εἰς τοῦτο ἀφικνεῖται, καὶ συμπλακεὶς τῷ Ἀπολάφαρ ἔτι δυνάμεως τῆς μετὰ τοῦ πατρικίου Γεωργίου ὑστερούσης τοῦ Μανιάκη τῆς εἰς συμμαχίαν τούτου πεμφθείσης,

8 πεζοὶ C   13 ἀποστείλας om C   16 ὡς εἴρηται τῶν δύο ἀδελφῶν C   18 ἄρχοντα C

Orientis creavit. idem imperator Antonium quoque Pachen eunuchum sibi genere propinquum Nicomediae episcopum fecit, plane nihil episcopatu dignum habentem, et bovem (quod aiunt) infantiae in lingua gestantem. cum antem siccitas fuisset magna et totis sex mensibus non pluisset, supplicatum est a fratribus imperatoris, gestantibus Ioanne sacrum mandylium sive linteum, magno domestico epistolam Christi ad Augarum, protovestiario Georgio sacras cunarum fascias; peditesque processerunt a magno palatio usque ad fanum deiparae Blachernense. aliud quoque supplicium a patriarcha peractum et clero. sed non tantum non pluit, verum et grando ingens delata arbores comminuit et tegulas domorum urbis. cum autem in urbe fame laboraretur, Ioannes suis dimissis e Peloponneso et Graecia modiorum frumenti 100000 coemit, iisque miseriae civium opem tulit.

In Sicilia duobus, uti dictum est, fratribus dissidentibus, et Apolapharo superante, alter Africae ameram Umerum in auxilium vocat. quod is promisit ea condicione ut sibi aliqua in Sicilia assignaretur possessio. atque hac condicione probata venit, et praelio vicit Apolapharum, quod nondum venerat eo cum auxiliaribus copiis Maniaces. victus ad

τρέπεται τοῦτον κατὰ κράτος. ὁ δὲ πρὸς τὸν ἄρχοντα Λογγιβαρδίας καταφυγὼν Λέοντα τὸν Ὦπον ᾔτει βοήθειαν· καὶ ἣν εἶχε δύναμιν ἐκ τοῦ παρείκοντος συναθροίσας περαιοῦται εἰς Σικελίαν, καὶ πολλάκις συμβαλὼν τῷ τῶν Ἄφρων ἀρχηγῷ καὶ B ὑπερτερήσας ἀνέκοψε τοῦτον τῆς ἀσχέτου ὁρμῆς. εἶτα μαθὼν ὡς οἱ ἀδελφοὶ σπένδονται καὶ μέλλουσιν ἑνωθέντες ἐπιθέσθαι Ῥωμαίοις, διαπεραιοῦται πάλιν εἰς Ἰταλίαν, αἰχμαλώτων Ῥωμαίων ἀμφὶ τὰς ιε΄ χιλιάδας ἐν τοῖς πλοίοις συνεισελθόντων αὐτῷ καὶ ἀπελθόντων εἰς Ἰταλίαν καὶ αὖθις οἴκαδε διαπερασάντων. ἀδείας οὖν δραξάμενος ὁ Καρχηδόνιος ἐπέκειτο τῇ Σικελίᾳ καὶ κατὰ πολλὴν ἄδειαν αὐτὴν ἐκεράϊζε. καὶ τὰ μὲν κατὰ Σικελίαν εἶχεν οὕτως.

Ἐκτόπως δὲ τοῦ Ἰωάννου τοῦ θρόνου τοῦ Κωνσταντινουπόλεως ἐρῶντος, κοινοπραγήσαντες ὁ τῆς Κυζίκου Δημήτριος, Ἀντώνιος ὁ Νικομηδείας, ὁ τῆς Σίδης καὶ Ἀγκύρας οἱ αὐτάδελφοι C σὺν ἄλλοις μητροπολίταις ἐβουλεύσαντο τοῦ θρόνου καταγαγεῖν τὸν Ἀλέξιον καὶ ἀντ' αὐτοῦ τὸν Ἰωάννην τῷ θρόνῳ ἐγκαταστῆσαι. πρὸς οὓς Ἀλέξιος ὁ πατριάρχης μετὰ τοῦ λοιποῦ μέρους τῆς ἐκκλησίας μηνύματα ἐκπέμπει, δηλοῦντα "ἐπειδή, ὥς φατε, οὐ ψήφῳ ἀρχιερέων, ἀλλὰ προστάξει Βασιλείου τοῦ βασιλέως ἐπέβην τοῦ θρόνου ἀκανονίστως, καθαιρεθήτωσαν οὓς ἐχειροτόνησα μητροπολίτας ἐπὶ ἕνδεκα πρὸς τῷ ἡμίσει χρόνους τὴν ἐκκλησίαν ἰθύνας, ἀναθεματισθήτωσαν δὲ καὶ οὓς ἔστεψα τρεῖς βασι- D

9 διασωθέντων C   17 τὸν post αὐτοῦ om C

Leonem Opum Longibardiae praesidem confugit, ab eoque auxilium petit. Leo copiis suis, quantum praesens tempus ferebat, contractis in Siciliam traiecit, ac saepius cum Afro duce inita pugna superior discessit, eiusque vehementes retudit impetus. postea cognito fratres pacem componere et insidiari Romanis, rursus in Italiam traiecit, abductis secum 15 milibus Romanorum captivis, qui deinde domum liberi redierunt. Carthaginensis Umerus metu hostium liberatus, Siciliam secure ac summam per licentiam vexavit.

Interim cum patriarchatus Cpolitani amor absurdus Ioannem imperatoris fratrem cepisset, re communicata episcopi, Demetrius Cyzici, Antonius Nicomediae, Sidae et Ancyrae fratres germani, cum aliis metropolitis consultarunt de Alexio deturbando eique sufficiendo Ioanne. ad eos Alexius et reliqua ecclesiae pars literas dant, hoc significantes "quando, ut vos dicitis, non suffragiis pontificum, sed iussu Basilii imperatoris ego hoc solium contra canones conscendi, agedum quos ego constitui metropolitas iam per 11 annos ac anni semissem ecclesiam gubernans, deponantur; anathema quoque obnuntietur tribus imperatoribus quibus ego coronas imperii imposui. his factis cedo solium ei qui

λεῖς, καὶ ἐξίσταμαι τῷ βουλομένῳ τοῦ θρόνου." ταύτην δεξάμενοι τὴν ἀγγελίαν οἱ περὶ τὸν Δημήτριον, καὶ αἰσχύνης καὶ δέους πλησθέντες (ἦσαν γὰρ οἱ πλείους ὑπ' αὐτοῦ χειροτονηθέντες), ἠσπάσαντο σιωπήν, καὶ λοιπὸν ὁ Ἰωάννης ἐπέσχε τὴν ἐπὶ τῇ κατασχέσει τοῦ θρόνου ὄρεξιν.

Τῷ δὲ ‚ϛφμϛ' ἔτει, ἰνδικτιῶνος ϛ', ἡμέρᾳ Νοεμβρίου β', γέγονε σεισμὸς περὶ ὥραν ι' τῆς ἡμέρας, καὶ διετέλεσεν ἡ γῆ σειομένη ἄχρις ὅλου τοῦ Ἰανουαρίου μηνός. γέγονε δὲ καὶ λιμὸς κατά τε Θρᾴκην καὶ Μακεδονίαν, Στρυμόνα καὶ Θεσσαλονίκην, καὶ μέχρι Θετταλίας. καταβοησάντων δὲ τῶν κληρικῶν Θεσσαλονίκης Θεοφάνους τοῦ μητροπολίτου ὡς ἀποκρατοῦντος τὰς συνήθεις σιτήσεις αὐτῶν, ὁ βασιλεὺς τῇ Θεσσαλονίκῃ ἐνδιατρίβων λόγοις παραινετικοῖς ἐκέχρητο πρὸς αὐτόν, καὶ παρῄνει μὴ ἀποστε-
P 741 ρεῖν τὸν τῆς ἐκκλησίας λαὸν τῶν ἀπὸ νόμου σιτηρεσίων. τοῦ δὲ τραχυνομένου καὶ μὴ ὑπείκοντος, ἔγνω δεῖν ὁ βασιλεὺς ἀπάτῃ περιελθεῖν αὐτὸν καὶ κολάσαι τὴν ἀπληστίαν αὐτοῦ. πέμπει οὖν τινὰ τῶν ὑπηρετούντων αὐτῷ, ἐξαιτῶν ἐκδανεῖσαί οἱ κεντηνάριον ἕν, μέχρις ἂν ἐκ Βυζαντίου χρυσίον διακομισθείη. ὁ δὲ ἐνωμότως ἀπηρνήσατο μὴ ἔχειν πλὴν τριάκοντα λιτρῶν. καὶ τοῦτον μὲν ἐκποδὼν μεθίστησιν ὁ βασιλεύς, ἀποστείλας δὲ καὶ τὰ ταμιεῖα αὐτοῦ διερευνησάμενος εὗρε χρυσίου κεντηνάρια τριάκοντα καὶ τρία· ἐξ ὧν δίδωσι μὲν τοῖς κληρικοῖς τὰ ὀφειλόμενα ἀπὸ πρώτου ἔτους τῆς ἀρχιερωσύνης τοῦ Θεοφάνους ἕως τῆς ἐνεστώσης ὥρας,

5 ὀρμὴν C

vult succedere." hoc accepto nuntio, Demetrius cum sociis metu pudoreque confusi, quod plerique ab ipso erant creati, nihil antiquius silentio et quiete habuerunt; et ipse Ioannes cupiditatem solii patriarchae in posterum dimisit.

Anno mundi 6546, indictione 6, die Novembris 2, terrae motus fuit circa horam diei decimam, duravitque usque ad Ianuarium mensem. fame etiam laboratum est per Thraciam Macedoniam Strymonem Thessalonicam et usque Thessaliam. conquerentibus autem Thessalonicae clericis de Theophane metropolita, quod frumentum iis quod debebat non persolveret, imperator tum Thessalonicae commorans hortatus episcopum est ne clericos iis quae eis legitime debebantur defraudaret. cumque is obstreperet neque obtemperare vellet, statuit imperator eum fraude circumvenire et avaritiam eius compescere. mittit igitur quendam suorum ministrorum, mutuo sibi dari petens unum centenarium, donec sibi aurum Byzantio afferretur. interposito iureiurando negavit episcopus habere se ultra triginta libras. eo submoto imperator thesauros ipsius excussit, invenitque auri centenaria triginta tria. de his persolvit clericis quae a primo Theophanis archiepiscopatus anno in eam

τὰ δὲ λοιπὰ πένησι διανέμει, καὶ τὸν μητροπολίτην ἐξωθεῖ τῆς B
ἐκκλησίας καὶ ἔν τινι κτήματι περιορίζει. ἐφίστησι δὲ Προμηθέα τῇ μητροπόλει, παρ' οὗ καὶ οὗτος σιτηρέσια λαμβάνειν τετύπωτο καὶ καθ' ἑαυτὸν διάγειν.

Παγκρατίου δὲ τοῦ ἐξουσιαστοῦ Ἀβασγίας σφοδρῶς ἐπικειμένου τῷ κατεπάνω Ἰβηρίας τῷ Ἰασίτῃ, ὁ Ἰωάννης μετὰ τῶν ταγμάτων τῆς ἕω πάντων τὸν δομέστικον Κωνσταντῖνον τῶν σχολῶν, τὸν αὐτοῦ ἀδελφόν, ἐκπέμπει, καθυποσχόμενος συνεκπέμψαι τούτῳ καὶ τὸν Δαλασσηνόν, ὡς ἂν ἔχῃ τοῦτον σύμβουλον καὶ παραστάτην ἐν τοῖς πολέμοις. τοῦτο δὲ οὐκ ἐποίησε, καὶ λοιπὸν ἄπρακτος ὁ δομέστικος ὑπενόστησε.

Μέλλοντος δὲ τοῦ Ἰωάννου καθαρσίου μετασχεῖν φαρμά- C
κου, γνοῦσα τοῦτο Ζωὴ ἡ βασιλὶς διά τινος τῶν οἰκειοτάτων αὐτῇ εὐνούχων τοῦ λεγομένου Σγουρίτζη δώροις ὑποφθείρει τὸν ἰατρὸν οὐκ ὀλίγοις, ὑποσχομένη ἐς βίου τε περιφάνειαν ἄξειν αὐτὸν καὶ πλούτου ὑπεροχήν, εἰ κεράσει τῷ φαρμάκῳ καὶ δηλητήριον. παιδαρίου δέ τινος τῶν ὑπηρετουμένων τῷ ἰατρῷ μηνύσαντος τὸ σκευώρημα τῷ Ἰωάννῃ, καὶ τῆς ἐπιβουλῆς ἐλεγχθείσης, ὁ μὲν ἰατρὸς εἰς Ἀντιόχειαν τὴν αὐτοῦ πατρίδα ἐξορίζεται, ὁ δὲ τὸ δηλητήριον συσκευασάμενος Κωνσταντῖνος πρωτοσπαθάριος ὁ Μουκουπέλης ἐξωθεῖται τῆς πόλεως, καὶ ἡ βασιλὶς ἐν ὑποψίαις ἔκειτο μείζοσιν.

7 στρατευμάτων πάντων C   17 ὑπηρετούντων C   19 ἑαυτοῦ C

usque diem debebantur omnia, reliqua inter pauperes dividit, et Theophanem ecclesia abactum in quoddam praedium deportat: episcopatum Prometheo committit, mandatque ut Theophani alimenta praebeat isque privatus vivat.

Cum autem Pancratius Abasgiae dominus vehementer urgeret Iasitam superioris Iberiae principem, Ioannes contra eum emittit Constantinum domesticum scholarum, fratrem suum, cum omnibus Orientalibus copiis, pollicitus ei missurum se Dalassenum consiliarium ac collegam belli gerendi. quod cum non fieret, re infecta domesticus discessit.

Cum autem purgans medicamentum accepturus esset Ioannes, Zoe Augusta certior facta fidelissimi suorum eunuchorum Sguritzae opera medicum non exiguis muneribus corrumpit, pollicita se eum ad vitae summum splendorem et amplissimas divitias elaturam, si medicamento admisceat letale venenum. sed puer quidam medici famulus Ioanni insidias detexit; iisque demonstratis medicus Antiocheam, quae ei fuerat patria, relegatur, Constantinus Mucupela protospatharius, qui venenum miscuerat, urbe eiicitur, et de Augusta eo deteriores auctae suspiciones.

D Ἄρτι δὲ καὶ Γεωργίου πατρικίου τοῦ Μανιάκη τὴν Σικε-
λίαν καταλαβόντος, οἱ ταύτης ἄρχοντες καὶ αὐτάδελφοι σπεισά-
μενοι πρὸς ἀλλήλους ἔσπευδον ἀπελάσαι τοῦτον τῆς νήσου. διὸ
καὶ συμμαχίαν ἐξ Ἀφρικῆς μετεπέμψαντο χιλιάδας πεντήκοντα·
ἧς ἐλθούσης γίνεται συμβολὴ κραταιὰ κατὰ τὰ λεγόμενα Ῥή-
ματα, καὶ τρέπεται κατὰ κράτος τοὺς Καρχηδονίους ὁ Μανιάκης,
τοσούτου γενομένου φόνου ὡς τὸν παραρρέοντα ποταμὸν πλημμυ-
ρῆσαι τῷ αἵματι. μετὰ δὲ ταῦτα εἷλε πόλεις Σικελικὰς ιγʹ, καὶ
κατὰ μικρὸν προϊὼν πᾶσαν ἐχειρώσατο τὴν νῆσον.

Τῷ δὲ ,ϛφμϛʹ ἔτει, ἰνδικτιῶνος ϛʹ, γέγονεν ἐπιβουλὴ κατὰ
τῆς πόλεως Ἐδέσσης· καὶ μικροῦ δεῖν ἑάλω, εἰ μὴ θεὸς διεσώ-
σατο. στρατηγοῦντος γὰρ ἐν αὐτῇ τοῦ πρωτοσπαθαρίου Βαρα-
P 742 σβατζὲ τοῦ Ἴβηρος, ἄρχοντες τῶν Ἀράβων ιβʹ, ἱππεῖς ἔχοντες φʹ
καὶ καμήλους φʹ, κιβώτια φερούσας χίλια ἔνδοθεν ἔχοντα δισχι-
λίους ὁπλίτας, τὴν Ἔδεσσαν κατειλήφασι, φάσκοντες ὡς βασιλέα
ἀπιέναι δῶρα κομίζοντες. ἦν δὲ αὐτοῖς ἡ ὁρμὴ ἔνδον τῆς πόλεως
εἰσαγαγεῖν τὰ κιβώτια καὶ νύκτωρ τοὺς ὁπλίτας ἐκβαλεῖν καὶ κατα-
σχεῖν τὴν πόλιν. ὁ δὲ στρατηγὸς τοὺς μὲν ἄρχοντας φιλοφρόνως
ἐδέξατο καὶ εἱστία, τοὺς δὲ ἱππεῖς καὶ τὴν ἀποσκευὴν ἔξωθεν
διαιτᾶσθαι ἐκέλευσε. πένης δέ τις Ἀρμένιος μεταιτῶν, ἔνθα
ηὐλίζοντο οἱ Σαρακηνοὶ γενόμενος, ἤκουσέ τινος τῶν ἐν τοῖς κι-
βωτίοις (ᾔδει γὰρ καὶ τὴν τῶν Σαρακηνῶν διάλεκτον) διερωτῶν-
B τός τινος ὅποι πάρεισι, καὶ δραμὼν ἀπήγγειλε τῷ στρατηγῷ. ὁ

10 ἐπιβολὴ C 12 βαραβατζὰ C 14 χιλίους C 20 μετ' αὐτῶν C 21 οἱ] γεσάρενος οἱ vel γεκάρενος οἱ C 23 ὅπη P

Ut in Siciliam appulit Georgius Maniaces, qui eam tenebant fratres, pace facta inter se conati sunt eum insula pellere, adscito ex Africa auxilio virorum 50000. conflictum ad locum cui Remata nomen, et victi Carthaginenses, eorumque tanta edita strages ut sanguine profluens inundaret. post haec urbes Siciliae 13 cepit Georgius, paulatimque procedens totam insulam subegit.

Eodem anno, indictione sexta, parum abfuit ne Edessa dolo caperetur, deo ne id fieret impediente. praeerat urbi ei Barasbatzes Iberus protospatharius. accedunt ad eum Arabes primarii viri 12 cum equitibus 500 et totidem camelis arcas portantibus, in quibus duo armatorum milia latebant, seque ad imperatorem munerum offerendorum causa ire aiunt. statuerant vero arcis in urbem illatis noctu milites promere et urbem occupare. Barasbatzes principes comiter accipit et convivium praebet, equites tamen et impedimenta in urbem non admittit. forte quidam Armenius mendicus cum accessisset ubi Saraceni commorabantur, quendam eorum qui in arcis latebant audit ubinam essent quaerentem (nam eorum linguam norat), statimque ad urbis praefectum accur-

δὲ τοὺς ἄρχοντας ἐσθίειν ἐάσας ἐξῆλθε μεθ' ὁπλιτῶν, καὶ διαρρήξας τὰ κιβώτια καὶ τοὺς ὁπλίτας ἔνδον εὑρὼν ἅπαντας ἄρδην ἀπέσφαξε σὺν τοῖς ἱππεῦσι καὶ τοῖς καμηλοκόμοις· εἶτα πρὸς τὴν πόλιν ὑποστρέψας τοὺς μὲν ἕνδεκα τῶν ἀρχόντων ἀπέκτεινεν, ἕνα δὲ τὸν κρείττονα ἄγγελον τῶν γεγονότων ἐπ' οἴκου ἀπέστειλεν, ἀποτεμὼν χεῖρας αὐτῷ καὶ ὦτα καὶ ῥῖνα.

Τῷ δὲ ‚ϛφμζ' ἔτει, ἰνδικτιῶνος ζ', ἐπιτείνων τὸ πρὸς τὸν Δαλασσηνὸν ἔχθος ὁ Ἰωάννης ὑπερορίζει καὶ Θεοφάνην πατρίκιον τὸν ἀδελφὸν αὐτοῦ, καὶ τὸν ἕτερον ἀδελφὸν αὐτοῦ τὸν πατρίκιον Ῥωμανόν, καὶ Ἀδριανὸν τὸν ἀνεψιὸν αὐτοῦ καὶ τοὺς λοιποὺς τοὺς C κατὰ γένος αὐτῷ ἐγγίζοντας· ἔσπευδε γὰρ ἄρδην ἀφανίσαι τὸ γένος αὐτοῦ. ποριμώτατος δὲ ὢν πρὸς ἣν ἄν τις εἴποι κακίαν, πᾶσαν ἐφεῦρεν ὁδὸν ἀδικίας, προσθεὶς ἐπέκεινα τῶν δημοσίων τελεσμάτων διδόναι ἕκαστον τῶν χωρίων ὑπὲρ ἀερικοῦ κατὰ τὴν ποιότητα καὶ ἰσχὺν αὐτῶν, τῷ μὲν νομίσματα τέσσαρα τῷ δὲ ἓξ ἄχρι τῶν εἴκοσι, καὶ ἄλλους πόρους αἰσχροὺς τοῦ κερδαλέου χάριν, οὓς καὶ καταλέγειν αἰσχύνη. ὁ δὲ βασιλεὺς κατατεινόμενος ὑπὸ τοῦ δαίμονος καὶ μὴ εὑρίσκων ἐλευθερίαν, ἔπεμψεν ἐν πᾶσι τοῖς θέμασι καὶ ἐν ταῖς νήσοις τοῖς μὲν πρεσβυτέροις ἀνὰ νομίσματα δύο, τοῖς δὲ μοναχοῖς ἀνὰ νόμισμα ἕν. ἐβάπτιζε δὲ καὶ παῖδας ἀρτιγενεῖς, διδοὺς ἀνὰ νόμισμα ἓν καὶ μιλιαρίσια τέσσαρα. ἀλλ' οὐδὲν τούτων ὤνησεν αὐτόν· μᾶλλον γὰρ ἐπετείνετο τὸ κακόν, συνεπιλαβομένης καὶ D νόσου ὑδρωπικῆς. κατὰ τοῦτον τὸν χρόνον καὶ σεισμοὶ γεγόνασι

6 αὐτοῦ C 8 Θεοφύλακτον C 10 αὐτῶν C 11 ἄρδην om C 15 τὸ C τὸ C 16 λέγειν C

rens id nuntiat. is in convivio relictis principibus cum suis armatis exit, direptisque arcis inventos Saracenos milites ad unum omnes una cum equitibus et agasonibus occidit. inde in urbem reversus de principibus unum praecipuum, reliquis interfectis, manibus auribus ac naso mutilat, domumque rei gestae nuntium eum mittit.

Anno mundi 6547, indictione 7, Ioannes aucto in Dalassenum odio Theophanem quoque patricium, fratrem eius, et alterum eius fratrem patricium Romanum, et patruelem Adrianum reliquosque eius propinquos relegat, totum eius genus cupiens e medio tollere. ut autem erat ad omnem nequitiam callidissimus, ita iniustas conquirendae pecuniae multas inveniebat rationes. nam ultra priora tributa, de quovis praedio aërarii loco dari iussit pro ratione habitus 4 aut 6 et usque ad 20 nomismata, aliosque turpes quaestus reperit, indignos relatu. interim imperator a daemone tortus, cum non inveniret laxationem, in omnes provincias atque insulas misit presbyteris singulis duo nomismata, monachis unum. quin et recens natos infantes baptizabat, in singulos dans nummum unum et quattuor miliarisia. sed nihil horum ei profuit; magisque intendebat se malum, accedente etiam hydrope. eodem tempore terrae

συνεχεῖς καὶ ὄμβρων ἐπίκλυσις σφοδρά. ἐπεκράτησε δὲ καὶ ἔν τισι τῶν θεμάτων τὸ τῆς κυνάγχης νόσημα, ὡς ἀδυνατεῖν τοὺς ζῶντας ἐκφέρειν τοὺς τεθνεῶτας.

Φεβρουαρίου δὲ μηνὸς β', ἰνδικτιῶνος η', ἔτους ,ϛφμη', γέγονε σεισμὸς φρικώδης, καὶ ἔπαθον μὲν καὶ ἄλλοι τόποι καὶ πόλεις, ἐγένετο δὲ ἡ Σμύρνα ἐλεεινὸν θέαμα, καταπεσόντων τῶν καλλίστων οἰκοδομημάτων αὐτῆς καὶ πολλοὺς τῶν οἰκητόρων ἀναλωσάντων.

P 743 Ἐν δὲ Σικελίᾳ ἀναλαβὼν πάλιν ἑαυτὸν ὁ Καρχηδόνιος, καὶ δύναμιν πολλῷ μείζονα τῆς προτέρας ἀθροίσας, ἔρχεται πρὸς Σικελίαν τὸν Μανιάκην ἐκεῖθεν ἐξωθήσων. καὶ στρατοπεδευσάμενος ἔν τινι πεδιάδι ὑπτίᾳ καὶ ἀναπεπταμένῃ (Δραγῖναι ἡ πεδιὰς ἐκαλεῖτο) ἐκαιροσκόπει τὸν πόλεμον. τοῦτο δὲ μαθὼν ὁ Μανιάκης, ἄρας τὰς περὶ αὐτὸν δυνάμεις, ὑπαντιάζει, ἐπισκήψας πρότερον τῷ πατρικίῳ Στεφάνῳ τῷ τοῦ βασιλέως γαμβρῷ, τοῦ στόλου, ὡς εἴπομεν, ἄρχοντι, ἀσφαλῶς τηρεῖν τὴν παράλιον, μή πως πολεμίου κροτηθέντος τραπεὶς ὁ Καρχηδόνιος λάθῃ διαδρὰς καὶ οἴκαδε παλινοστήσῃ. καὶ δὴ συμβαλὼν τρέπεται τοῦτον ἀνὰ κράτος. καὶ
B πίπτει μὲν τῶν Ἄφρων πλῆθος ὑπὲρ τὰς ν' χιλιάδας, αὐτὸς δὲ ὁ τούτων ἄρχων διαδρὰς τὸν κίνδυνον ἔρχεται ἐν τῷ αἰγιαλῷ καὶ κελητίῳ ἐπιβὰς καὶ τὰς τοῦ Στεφάνου λαθὼν φυλακὰς ἀπέδρασε πρὸς τὴν ἰδίαν χώραν. ὅπερ μαθὼν ὁ Μανιάκης ἐν δεινῷ τε

1 ἐπικλύσεις C 5 ἐγένετο C ἄλλαι πόλεις καὶ τόποι C 12 ὑπτίῳ C δραγῆναι C 13 ὁ] καὶ ὁ C 20 εἰς τὸν αἰγιαλὸν C

motus fuere continui et vehementes imbrium inundationes. et in quibusdam provinciis obtinuit anginae caninae morbus, ita ut vivi mortuis efferendis non sufficerent.

Anno 6548, indictione 8, mensis Februarii 2, terribilis fuit terrae motus, et cum alia loca urbesque afflixit, tum Smyrnae fuit miserabile spectaculum, collapsis pulcherrimis eius aedificiis, multis inhabitantium oppressis ruina.

Ceterum dux Carthaginensis resumptis viribus, exercituque multo quam ante maiore contracto, rursum Siciliam petit et Maniacem expellere conatur; castrisque in supina quadam et aperta positis planitie, cui nomen Draginae, de opportunitatibus rei gerendae cogitat. hoc cognito Maniaces suos ei obviam ducit, mandato prius Stephano patricio, sororis imperatoris marito et classis, ut diximus, praefecto, ut diligenter oram maritimam custodiat, ne commissa pugna fugatus Carthaginensis furtim domum possit perfugere. commissa pugna, ingens facta Carthaginensium strages, caesique ultra 50000. dux ipse e praelio elapsus ad littus pervenit, conscensoque lembo custodibus Stephani non animadvertentibus domum ovasit. aegerrime hoc tulit Maniaces, Ste-

ἐποιεῖτο, καὶ τὸν Στέφανον συμμίξαντα τούτῳ ὕβρεσί τε ἀτόποις κατέκλυσε καὶ τὸν σειρομάστην ἀνατείνας ἔπαισεν αὐτὸν κατὰ τῆς κεφαλῆς οὐκ ὀλίγας, ῥᾴθυμον ἀποκαλῶν καὶ ἄνανδρον καὶ τῶν τοῦ βασιλέως προδότην πραγμάτων. ὁ δὲ μὴ ἐνεγκὼν μετρίως τὸν προπηλακισμὸν καὶ τὴν ὕβριν γράμματα πέμπει ταχὺ πρὸς τὸν ὀρφανοτρόφον, μηνύοντα ὡς ἀπόστασιν εἴη μελετῶν ὁ Μανιάκης κατὰ τοῦ βασιλέως. καὶ ὁ μὲν εὐθὺς δέσμιος εἰς τὴν βασιλίδα C εἰσάγεται καὶ καθείργνυται σὺν Βασιλείῳ πατρικίῳ τῷ Θεοδωροκάνῳ, ἡ δὲ πᾶσα τῆς ἀρχῆς ἐξουσία ἐς τὸν Στέφανον μετατίθεται, συνεκπεμφθέντος αὐτῷ καί τινος εὐνούχου Βασιλείου πραιποσίτου τοῦ Πεδιαδίτου· οἵτινες οὐκ ἐν βραχεῖ τὰ πράγματα διεφθάρκασιν, αἰσχροκερδείᾳ καὶ δειλίᾳ καὶ ῥᾳστώνῃ καταπροδόντες τὴν Σικελίαν. ὁ γὰρ Μανιάκης αἱρῶν τὰς τῆς νήσου πόλεις ἀκροπόλεις ἐν αὐταῖς ᾠκοδόμει καὶ φρουροὺς ἐφίστα τοὺς ἱκανούς, ἵνα μὴ οἱ ἐγχώριοι δύναιντ' ἂν ἐξ ἐπιβουλῆς ἀνακτᾶσθαι τὰς πόλεις· τούτου δὲ δεσμίου, ὡς εἴρηται, εἰς τὸ Βυζάντιον ἀναχθέντος, τῆς ὀλιγωρίας καὶ ῥᾳθυμίας τῶν ἀρχόντων καταδραμόντες οἱ ἐγχώριοι, καὶ δύναμιν Καρχηδονίων προσειληφότες, ἐπιτίθενται ταῖς D πόλεσι, καὶ τάς τε ἄκρας κατέσκαψαν τῶν φρουρῶν κρατήσαντες, καὶ τὰς πόλεις πάσας ἐπανεσώσαντο πλὴν Μεσήνης· ταύτην γὰρ ἔλαχε φρουρεῖν ὁ πρωτοσπαθάριος ὁ καὶ τοῦ τάγματος ἄρχων τῶν Ἀρμενιακῶν, Κατακαλὼν ὁ τὴν ἐπωνυμίαν Κεκαυμένος, τριακοσίους ἱππότας ἔχων μεθ' ἑαυτοῦ καὶ πεντακοσίους πεζούς. σπεύ-

11 διεφθάρησαν C 12 τὴν om C 21 ὁ πρωτ. κατακαλὼν καὶ τοῦ τάγματος ἄρχων τῶν ἀρμενιακῶν ὁ τὴν C 23 πεντήκοντα C

phanumque ad se venientem conviciis insectatus est, et seiromasta sublato aliquot in caput eius plagas imposuit, socordem eum appellans et effeminatum ac imperatoris commodorum proditorem. at Stephanus contumeliam hanc non concoquens mox ad Orphanotrophon literas dat, significans Maniacem res novas moliri adversus imperatorem. itaque Maniaces statim captivus adducitur Byzantium, et in carcerem coniicitur cum Basilio patricio Theodorocano. totum autem rei gerendae imperium Stephano mandatur, eique collega mittitur eunuchus quidam Basilius praepositus Pediadites. hi exiguo temporis spatio rem totam pessumdederunt, per rapacitatem ignaviam atque incuriam amissa Sicilia. etenim Maniaces cum urbes Siciliae caperet, arces in iis condiderat easque iustis praesidiis munierat, ne oppidani eas per insidias recipere possent. eo autem in vinculis, ut docuimus, Byzantium abducto, Siculi incuriae ducum Romanorum insultantes, adscito a Carthaginensibus exercitu, expugnatis praesidiis arces ceperunt urbesque omnes excepta Messana recuperarunt. Messanae praeerat Catacalo, cognomine Ambustus, protospatharius et dux Armeniacae legionis, secum habens 300 equites et 500 pedites. Siculi proinde cupientes ne scintillam quidem Romano-

δοντες οὖν οἱ νησιῶται μηδὲ ζώπυρον ὑπολειφθῆναι Ῥωμαϊκῆς δυνάμεως ἐμφωλεῦον τῇ νήσῳ, πάντα τὸν ὅπλον κινῆσαι δυνάμενον ἀθροίσαντες καὶ συμμαχικὸν οὐκ ὀλίγον Καρχηδονίων, ἀπελθόντες ἐν Μεσήνῃ τὴν πόλιν περιεστοίχισαν. τοῦ δὲ κλείσαντος τὰς πύλας ἐπὶ τρεῖς ἡμέρας καὶ μηδένα προπηδᾶν ἐῶντος τῆς τά-
P 744 φρου, ἀλλὰ δόκησιν δειλίας παρεσχηκότος, καταφρονήσαντες οἱ Σαρακηνοὶ ἀδεῶς τε ἐσκεδάννυντο καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐν πότοις καὶ αὐλοῖς καὶ κυμβάλοις ἦσαν, ὡς τάχα τῆς πόλεως ἐς τὴν αὔριον μελλούσης ἁλώσεσθαι. ἡμέρᾳ δὲ τετάρτῃ, καθ' ἣν εἰώθαμεν ἐκτελεῖν τὴν πεντηκοστήν, κατανοήσας ὁ Κεκαυμένος τὴν ἀμέλειαν καὶ ῥᾳθυμίαν τῶν Σαρακηνῶν, καὶ ὅτι ἐν πολλῇ ἀμεριμνίᾳ διάγουσιν οὐδένα λόγον τῶν ἐντὸς τοῦ τείχους ποιούμενοι, τὸν ἑαυτοῦ παραθαρρύνας λαὸν καὶ τὴν ἀναίμακτον τοῖς ἱερεῦσιν ἐπιτελέσαι κελεύσας θυσίαν, καὶ τῶν θείων ἅμα πᾶσι μετεσχηκὼς μυστηρίων, περὶ ὥραν ἀρίστου τὰς τῆς πόλεως πύλας ἀναπετάσας
B προσρήγνυται μετὰ μεγίστης ῥύμης τοῖς ἐναντίοις μεθύουσι καὶ καρηβαροῦσιν, αὐτὸς πρῶτος μετὰ τῶν σὺν αὐτῷ ἐπὶ τὴν σκηνὴν ἐξιππασάμενος Ἀπολάφαρ τοῦ τῆς νήσου ἄρχοντος. καὶ οὗτος μὲν εὐθὺς ἀναιρεῖται, ἀκροσφαλὴς ὑπὸ μέθης ὑπάρχων, διαρρήγνυται δὲ καὶ ἡ αὐτοῦ σκηνή· ἔπιπτον δὲ καὶ οἱ ἄλλοι τῶν Σαρακηνῶν κατὰ τὰς σιωρείας ὑπὸ μέθης σφαλλόμενοι, καὶ τῷ ἀπροσδοκήτῳ τῆς ἐπιθέσεως μηδ' ὅλως πρὸς ἀλκὴν ἀποβλέψαι ἰσχύσαντες. γίνεται οὖν τροπὴ ὅλου τοῦ στρατοπέδου, τῶν Σαρακηνῶν ὑπ' ἀλλήλων συμπατουμένων καὶ ἀναιρουμένων, ὡς πληρωθῆναι

8 πότοις] μέθαις C 10 μεσοπεντηκοστὴν C 23 Σαρακ.] στρατηγῶν P

rum in ea insula relinquere delitescentem, omnibus qui arma ferre possent collectis, et auxiliis Carthaginensium haud exiguis, Messanam obsident. per triduum portas clausas tenuit Catacalo, neque ullum suorum egredi passus est: eoque timiditatis opinionem de se in animis hostium excitavit. ergo Saraceni secure palabant, ac dies noctesque vino fistulis et cymbalis vacabant, itidem proxime insequente die se potituros urbe sperantes. quarta die, qua de more pentecoste celebratur, Ambustus securitatem et socordiam Saracenorum considerans, utque ii nullam eorum quos obsederant rationem ducerent, suorum animos oratione confirmavit. mandatoque sacerdotibus ut rem sacram facerent, postquam ipse cum universis impertitus est sacrosanctis mysteriis, circa horam prandii apertis urbis portis in hostes summo cum impetu irruit, ebrios et crapula gravatos. ipse Ambustus princeps cum suis eques ad tentorium Apolapharis insulae praefecti tendit, eumque vino captum statim interficiunt tentoriumque diripiunt. sed et cumulatim cadunt reliqui Saraceni, et ob ebrietatem titubantes et ob improvisam rem de defensione nihil cogitantes. igitur totis castris fugitur, ducibus Saracenorum se invicem obterentibus atque interficientibus, et campus cadaveribus obte-

νεκρῶν τὸ πεδίον καὶ τὰς ἔγγιστα φάραγγας καὶ τοὺς ποταμούς, ὡς ἐκ τοσούτων μυριάδων ὀλίγους πάνυ ἐν Πανόρμῳ διασωθῆναι. C ἐλήφθη δὲ καὶ τὸ στρατόπεδον ἅπαν, χρυσοῦ καὶ ἀργύρου καὶ μαργάρων γέμον καὶ πολυτελῶν λίθων, οὕς, ὡς λέγεται, μεδίμνοις οἱ στρατιῶται διεμοιράσαντο. καὶ οὕτω μὲν ἡ πᾶσα Σικελία δι' ὀλίγου χειρωθεῖσα παρὰ τοῦ Μανιάκη, ἐν βραχεῖ χρόνῳ ἀμελείᾳ καὶ κακότητι στρατηγῶν γέγονε πάλιν ὑπὸ Σαρακηνούς, μόνης τῆς Μεσήνης περιλειφθείσης καθ' ὃν τρόπον εἰρήκαμεν, τοῦ Στεφάνου καὶ τοῦ Πεδιαδίτου φυγόντων ἐν Λογγιβαρδίᾳ. καὶ τὰ μὲν ἐν Σικελίᾳ ἐφέρετο ταύτῃ.

Ὁ δὲ βασιλεὺς Μιχαὴλ τῇ Θεσσαλονίκῃ ὡς τὰ πολλὰ διέτριβε, προσλιπαρῶν τῷ τάφῳ τοῦ καλλινίκου μάρτυρος Δημητρίου καὶ ἀπαλλαγὴν εὑρέσθαι τῆς νόσου γλιχόμενος. καὶ ἥπτετο D μὲν τῶν πραγμάτων οὐδ' ὁπωστιοῦν, ὅ τι μὴ πᾶσα ἀνάγκη, ἐφέρετο δὲ ἡ διοίκησις καὶ τῶν κοινῶν μεταχείρησις ὑπὸ Ἰωάννου· καὶ οὐδὲν εἶδος βέβηλον καὶ παράνομον ἐπινοίας παρελείφθη ὃ μὴ ἐξεῦρεν εἰς συντριμμὸν καὶ κάκωσιν τῶν ὑπὸ χεῖρα. καταλέγειν δὲ ἕκαστον τούτων ἆθλος Ἡράκλειος. καὶ διέκειντο πάντες ἄνθρωποι ὑπὸ τῆς βαρείας ταύτης τυραννίδος ἀγόμενοι ἐπὶ πολὺ θεοκλυτοῦντες καὶ ἀπαλλαγὴν ἐξαιτούμενοι. ἔσειε δὲ καὶ συνεχῶς ὁ θεός, καὶ δείματα καὶ φόβητρα κατεῖχε τὴν οἰκουμένην, ἐν οὐρανῷ κομητῶν ἐπιτολαί, ἐν ἀέρι ἄνεμοι καὶ ὄμβροι ῥαγδαῖοι,

4 μαργάρων καὶ λίθων γεμῶν πολυτελῶν C ὡς om C 15 ὑπὸ] ὑπὸ τῷ C 16 εἶδος] οὕτω C περιελείφθη C, παρελήφθη P 18 ἡράκλειος ἆθλος C

gitur, ac propinquae convalles ac flumina replentur. denique de tam multis milibus paucissimi Panormum fuga perveniunt. capta sunt castra auro et argento unionibusque et gemmis refertissima, quas dimensos esse modiis milites ferunt. ita Sicilia brevi tempore a Maniace in Romanorum potestatem redacta, exiguo spatio ob ignaviam et incuriam ducum ad Saracenos rediit, sola Messana, quo modo diximus, Romanis servata. ceterum Stephanus et Pediadites ex insula in Longibardiam profugerunt.

Interim Michaelus imperator plerumque Thessalonicae degebat, ad Demetrii martyris sepulchrum commorans, ab eoque morbi profligationem petens; neque ullius negotii, nisi summa compulsus necessitate, curam suscipiebat, omnium et totius rei publicae administratione in Ioannem incumbente. nihil improbarum ac pessimarum fuit artium quod hic homo non excogitaret atque adhiberet ad premendos vexandosque subditos. et quidem omnia eius flagitia referre Herculea fuerit aerumna. per longum tempus attriti hac tyrannide homines auxilium dei identidem et sublevationem poscebant. sed et divinitus continentes terrae concussiones edebantur, ac terribilium ostentorum plenus erat mundus, in caelo cometis, in aëre ventis atque vehementissimis imbribus, in

ἐν γῇ δὲ βρασμοὶ καὶ κλόνοι. ταῦτα δὲ προεμήνυον, οἶμαι, τὴν μέλλουσαν ὅσον οὐδέπω γενέσθαι καταστροφὴν τῶν τυράννων.

P 745 Μαΐῳ δὲ μηνὶ τοῦ ,ϛφμη΄ ἔτους, ἰνδικτιῶνος η΄, ἡ ἀδελφὴ τοῦ βασιλέως Μαρία, μήτηρ δὲ τοῦ Καίσαρος, ἄπεισιν ἐν Ἐφέσῳ εἰς προσκύνησιν τοῦ ἠγαπημένου. καὶ ἐν τῷ διιέναι πολλὰ τῶν παραλόγως πραττομένων μαθοῦσα, ὑποστρέψασα εἰς τὸ Βυζάντιον ἀπήγγειλε πάντα τῷ ἀδελφῷ Ἰωάννῃ, καὶ παρεκάλει ἀναστολήν τινα γενέσθαι τῆς πονηρίας· ὁ δὲ μετὰ γέλωτος αὐτὴν ἀπεπέμψατο, γυναικεῖα φρονεῖν εἰπών, καὶ ἀγνοεῖν ὅσων ἡ πολιτεία δεῖται Ῥωμαίων. ἐν Θεσσαλονίκῃ δέ, ὡς εἴπομεν, τῷ βασιλεῖ διατρίβοντι χρυσίου ὁ Ἰωάννης ἔπεμψε κεντηνάρια δέκα, ὑπὸ B στροβίλων δὲ πνευμάτων ἁρπασθὲν τὸ πλοῖον τοῖς Ἰλλυρικοῖς προσερράγη αἰγιαλοῖς καὶ συνετρίβη· τὸ δὲ χρυσίον ἀφείλετο Στέφανος ὁ καὶ Βοϊσθλάβος, ὁ τῶν Σέρβων ἄρχων, πρὸ μικροῦ τῆς πόλεως ἀποδρὰς καὶ τὸν τόπον τῶν Σέρβων κατεσχηκώς, Θεόφιλον ἐκεῖθεν τὸν Ἐρωτικὸν ἀπελάσας. ὁ δ' Ἰωάννης ὤνιον προτιθέμενος τὰς ἀρχάς, καὶ πᾶσι χαλινὸν ἐνδιδοὺς ἀδικίας, μυρίων συμφορῶν ἐνέπλησε τὴν οἰκουμένην, ἀδεῶς τῶν κριτῶν φορολογούντων τοὺς ἐγχωρίους, καὶ μηδενὸς ἐπιστροφὴν ὅλως τιθεμένου τῶν γινομένων.

Ὁ δὲ βασιλεὺς ἐν Θεσσαλονίκῃ μαθὼν τὴν τοῦ χρυσίου ἀπώλειαν, γράφει τῷ Στεφάνῳ ἐκπέμψαι πρὸς αὐτὸν τὸ ἴδιον καὶ C μὴ θελῆσαι αὐθαίρετον ἀνελέσθαι πόλεμον. τοῦ δὲ μηδεμίαν ποιησαμένου ἐπιστροφήν, στρατὸν ὁ βασιλεὺς ἐκπέμπει κατ' αὐ-

11 χρυσίον C 14 ἀρχηγὸς C 17 ἐνδοὺς C

terra fragoribus ac tremoribus exsistentibus. quae, ut iudico, portendebant statim tyrannos perituros.

Hoc ipso anno, indictione 8, mense Maio, soror imperatoris Maria, Caesaris mater, Ephesum abiit adorandi Ioannis evangelistae causa; et cum in itinere multa vidisset improbe geri, reversa de iis omnibus ad fratrem Ioannem rettulit, hortataque est ut istas nequitias coerceret. quam ille irrisam dimisit, muliebriter sentire aiens, et nescire quam multa ad rem publicam Romanam requirerentur. idem cum ad imperatorem Thessalonicae, ut diximus, degentem auri centenaria decem mitteret, navis turbine venti correpta Illyricis allisa est littoribus et periit: aurum princeps Serborum Stephanus, qui et Boisthlabus, abstulit. is paulo ante ex urbe profugerat, et Serbiam occuparat pulso inde Theophilo Erotico. at enim Ioannes magistratus venales prostituens, ac omni iniustitiae fraena laxans, innumeris calamitatibus orbem terrarum implevit, praefectis impune subditos expilantibus, et nemine prorsus in ea quae agebantur animadvertente.

Imperator autem Thessalonicae de amisso auro certior factus, Stephanum per literas monet ut sibi suum mittat neque ultro belli causam

τοῦ, ἄρχοντα ἐκτομίαν Γεώργιον ἔχοντα τὸν Προβατᾶν. ὁ δὲ τὸν τόπον καταλαβών, καὶ δυσχωρίαις καὶ φάραγξι καὶ δυσβάτοις ἀπερισκέπτως ἐμπεσὼν τόποις, τό τε στράτευμα ὅλον ἀπώλεσε καὶ αὐτὸς δυσχερῶς διεσώθη.

Τούτῳ τῷ ἔτει καὶ ἡ ἀποστασία γέγονε Βουλγαρίας τοῦτον τὸν τρόπον. Πέτρος τις Βούλγαρος, Δελεάνος τὴν προσηγορίαν, δοῦλος Βυζαντίου τινὸς ἀνδρὸς ἀποδρὰς ἐκ τῆς πόλεως ἐπλανᾶτο ἐν Βουλγαρίᾳ, καὶ κατήντησεν ἄχρι Μωράβου καὶ Βελεγράδων (φρούρια δὲ ταῦτα τῆς Παννονίας κατὰ τὴν περαίαν τοῦ Ἴστρου διακείμενα καὶ γειτονοῦντα τῷ κράλῃ Τουρκίας), καὶ υἱὸν ἑαυτὸν ἐφήμιζε Ῥωμανοῦ τοῦ υἱοῦ τοῦ Σαμουήλ, καὶ τὸ γένος ἀνέσειε D τῶν Βουλγάρων, πρὸ ὀλίγου τὸν τράχηλον ὑποβαλὸν τῇ δουλείᾳ καὶ λίαν ὀριγνώμενον ἐλευθερίας. διὸ καὶ πιστεύσαντες τοῖς παρ' αὐτοῦ λεγομένοις βασιλέα τε αὐτὸν ἀναγορεύουσι Βουλγαρίας, καὶ ἄραντες ἐκεῖθεν διά τε Ναϊσσοῦ καὶ τῶν Σκουπίων, τῆς μητροπόλεως Βουλγαρίας, ἵεντο ἀνακηρύττοντες καὶ ἀνευφημοῦντες τοῦτον, καὶ πάντα τὸν παρευρεθέντα Ῥωμαῖον ἀνηλεῶς καὶ ἀπανθρώπως ἀναιροῦντες. ὅπερ μαθὼν Βασίλειος ὁ Συναδηνός, στρατηγὸς Δυρραχίου τυγχάνων, ἄρας τὰς ἐγχωρίους δυνάμεις ἔσπευδεν ἀπαντῆσαι τῷ Δελεάνῳ πρὶν ἢ ἐπὶ μέγα ἀρθῆναι τὸ κακὸν καὶ πυρκαϊὰν ἀναφθῆναι. γενόμενος δὲ κατὰ τὴν λεγομένην Δέβρην, καὶ προσκρούσας κατά τι μετά τινος τῶν ὑποστρατήγων Μιχαὴλ τοῦ Δερμοκαΐτου, διαβάλλεται ἐς βασιλέα ὡς μελετῶν P 746

8 μοράβου καὶ βελαγράδων C 20 ὑπαντῆσαι C 22 δέβριν C 23 ἐς βασιλέα om C

praebeat. hoc cum pro nihilo putaret Stephanus, Georgium Probatam spadonem cum exercitu adversus eum mittit imperator. qui in Servia illapsus inconsiderate in locorum difficultates et invias convalles, toto exercitu amisso aegre evasit.

Hoc ipso anno et Bulgari defecerunt hac occasione. Petrus quidam Bulgarus, cognomento Deleanus, servus cuiusdam Cpolitae, profugus ex urbe Bulgariam pervagando usque ad Morabum et Belegrados pervenit, quae sunt castella Pannoniae trans Istrum sita, Turcicae vicina dicioni; et filium se Romani, nepotem Samueli iactando gentem Bulgaricam concitavit, quae non ita pridem cervices iugo subdiderat ac libertatem magnopere appetebat. quo factum ut fidem homini haberent, eumque regem Bulgariae designarent, et per Naissum ac Scupias primariam Bulgariae urbem eum circumducerent, faustis acclamationibus regem celebrantes, et Romanos in quos incidissent crudeliter interficientes. id ubi comperit Basilius Synademus Dyrrachii praefectus, celeriter eius loci copias in Deleanum duxit, occurrendum ratus priusquam vires hoc incendium sumeret. cum autem ad locum cui Debra nomen pervenisset, et dissensio ei quaedam cum uno tribunorum militum Michaelo Dermocaita orta esset, apud imperatorem falso crimine affectatae

τυραννίδα. καὶ ὁ μὲν εὐθὺς παραλύεται τῆς ἀρχῆς καὶ ἐν Θεσσαλονίκῃ ἀχθεὶς ἐν φυλακῇ βάλλεται, στρατηγεῖν δ' ἀντ' αὐτοῦ προχειρίζεται ὁ Δερμοκαΐτης, ὃς ἀπείρως καὶ φαύλως διοικῶν τὴν ἀρχὴν ἐν βραχεῖ χρόνῳ τὰ πάντα ἀνέτρεψε. πλεονεκτούμενοι γὰρ οἱ ὑπ' αὐτὸν καὶ ἀδικούμενοι, καὶ τοὺς ἑαυτῶν ἵππους καὶ τὰ ἅρματα ἀφαιρούμενοι καὶ ἄλλο πᾶν ὅπερ ἦν αὐτοῖς ἄξιον λόγου, κατεξανίστανται τοῦ στρατηγοῦ. ἀλλ' ὁ μέν, ὡς ᾔσθετο ἐπιβουλευόμενος, νυκτὸς διαλαθὼν ἔφυγεν· οἱ δὲ τῷ ἐκ βασιλέως δέει βαλλόμενοι ἀποστασίαν τε μελετῶσι καί τινα τῶν συνόντων B αὐτοῖς στρατιωτῶν, Τειχομηρὸν τοὔνομα, ἐπ' ἀνδρίᾳ καὶ συνέσει μεμαρτυρημένον, βασιλέα προχειρίζονται Βουλγαρίας. καὶ λοιπὸν γεγόνασι δύο στάσεις Βουλγάρων, ἡ μὲν τὸν Δελεάνον ἀνευφημοῦσα, θατέρα δὲ τὸν Τειχομηρόν. ἀλλ' ὁ Δελεάνος γράμματα φιλικὰ πρὸς τὸν Τειχομηρὸν γράψας καὶ ἐπὶ κοινοπραγίαν καλέσας ἔπεισεν ἐλθεῖν. ἐπεὶ δὲ ἡνώθη τὰ δύο συστήματα τῶν Βουλγάρων, συγκαλεσάμενος ἅπαντας ὁ Δελεάνος παρεκάλει, εἰ μὲν πεπληροφόρηνται ἀπὸ τοῦ Σαμουὴλ ἕλκειν αὐτὸν τὴν σειρὰν καὶ ὑπ' αὐτοῦ αἱροῦνται βασιλεύεσθαι, ἐκποδὼν ποιήσασθαι τὸν Τειχομηρόν, εἰ δ' ἀπότροπον αὐτοῖς τοῦτο, αὐτὸν μὲν ἀποσκευάσασθαι, ἄρχεσθαι δὲ ὑπὸ τοῦ Τειχομηροῦ· "δύο γάρ" φησιν C "ἐριθακοὺς μία λόχμη οὐ τρέφει, οὔτε μία χώρα εὐοδωθήσεται ὑπὸ δύο κυβερνωμένη ἀρχηγῶν." ταῦτα δὲ εἰπόντος αὐτοῦ θόρυβός τε ἤρθη πολύς, καὶ μόνον αὐτὸν βούλονται ἔχειν ἔφασαν αὐτοκράτορα ἀρχηγόν. καὶ ἅμα τῇ βουλῇ λίθους ἄραντες λιθολευ-

8 λαθὼν C   19 ἀπὸ τρόπου C   23 βούλεσθαι?

tyrannidis accusatur, privatusque magistratu Thessalonicam ducitur et in custodiam datur. Dermocaites (hic enim ei succedere iussus fuit) imperite ac male gerens magistratum exiguo tempore omnia vertit. expilati enim ab eo iniuste, suisque equis et curribus spoliati aliisque rebus quas caras habebant omnibus, contra eum insurgunt. atque is insidias sentiens sibi parari noctu effugit. ipsi ergo sibi ab irato imperatore metuentes deficiunt palam, et quendam de militibus prudentiae ac fortitudinis notae, Teichomerum nomine, imperatorem Bulgariae constituunt. duae iam erant Bulgarorum factiones, altera Deleanum, Teichomerum altera regem salutans. ibi Deleanus Teichomerum per literas ad societatem invitatum ad se pertrahit; cumque in unum coiissent copiae, in concionem universis advocatis postulat ut siquidem a se Samuelo prognatum certo crederent ac se regem habere vellent, Teichomerum amoveant: sin id non videretur, se abdicare et regnum Teichomero permittere. ut enim duos erithacos unum arbustum non alit, sic unum regnum feliciter a duobus principibus administrari non posse. haec eo fato grandis exoritur tumultus; vociferatique se soli Deleano regnum deferre, illico lapidibus miserum illum et regno quasi per in-

στοῦσι τὸν ἄθλιον Τειχομηρόν. καὶ ὁ μὲν ὡς ἐν ὀνείρῳ δόξας
ἄρξαι σὺν τῇ ἀρχῇ καταστρέφει καὶ τὴν ζωήν, πᾶσα δὲ ἡ ἐξουσία
μεθίσταται εἰς τὸν Δελεάνον. οὗτος δὲ τὰς δυνάμεις ἄρας ἁπά-
σας ἀπῄει πρὸς Θεσσαλονίκην κατὰ τοῦ βασιλέως. ὅπερ μαθὼν
ἐκεῖνος ἀσυντάκτως ᾤχετο εἰς τὸ Βυζάντιον, καταλιπὼν πᾶσαν τὴν
ἀποσκευὴν καὶ τὴν σκηνὴν καὶ ὅσον χρυσίον ἦν καὶ ἄργυρος καὶ
ὑφάσματα, ἅπερ Μανουὴλ ὁ Ἰβάτζης, ᾠκειωμένος ὢν τῷ βασιλεῖ,
προσταχθεὶς ἀφελέσθαι καὶ ἐπακολουθεῖν, ἀναλαβόμενος προσε- D
χώρησε τῷ Δελεάνῳ μετὰ καί τινος Κοιτωνίτου, ἑνὸς τῶν θαλα-
μηπόλων εὐνούχων.

Γέγονε δὲ καὶ αὐχμὸς κατὰ τοῦτον τὸν χρόνον, ὡς σχεδὸν
ἀποξηρανθῆναι τὰς ἀφθόνους πηγὰς καὶ τοὺς ἀεννάους ποταμούς.
ἐγένετο δὲ καὶ ἐμπρησμὸς ἐν τῇ Ἐξαρτήσει, κατὰ τὴν ϛʹ τοῦ Αὐ-
γούστου μηνός, καὶ ἐνεπρήσθησαν αἱ ἐκεῖσε ἱστάμεναι πᾶσαι
τριήρεις μετὰ τῆς ἑαυτῶν παρασκευῆς.

Ὁ δὲ Δελεάνος ἀποσκευασάμενος, ὡς εἴπομεν, τὸν Τειχό-
μηρον καὶ πάντων τῶν πραγμάτων κύριος καταστὰς γενναίως ἐξη-
γεῖτο τῶν ἔργων. καὶ πρότερον μὲν ἀποστείλας πλῆθος στρατηγὸν
ἔχον τὸν λεγόμενον Καυκάνον εἷλε τὸ Δυρράχιον. ἀπέστειλε δὲ
καὶ στρατιὰν ἑτέραν ἐν Ἑλλάδι, στρατηγουμένην ὑπ' Ἀνθίμου·
ᾗ τινὶ ὑπαντιάσας ὁ Ἀλλακασσεὺς καὶ συμμίξας ἐν Θήβαις τρέπε-
ται, καὶ ἀναιρεῖται πλῆθος τῶν Θηβαίων πολύ. τότε δὴ καὶ τὸ P 747
θέμα τῶν Νικοπολιτῶν, πλὴν Ναυπάκτου, προσερρύη Βουλγά-
ροις δι' αἰτίαν τὴν ῥηθήσεσθαι μέλλουσαν. Βυζάντιος γάρ τις
ἄνθρωπος Ἰωάννης τοὔνομα, Κουτζομύτης τὴν ἐπωνυμίαν, πρά-

19 καυκάρον C   21 ἀλακασσεὺς C

somnium potitum Teichomerum obruunt. Deleanus solus omnem nactus potestatem suas copias ad Thessalonicam contra imperatorem ducit. sed hic incomposito agmine Byzantium abiit, omnibus impedimentis, ac quidquid erat auri argenti ac vestium, relictis. atque ea Manuelus Ibatza imperatoris domesticus secum auferre et sequi iussus, acceptis iis, cum Coetonita quodam eunucho cubiculario ad Deleanum transiit.

Tanta etiam siccitas eo tempore fuit ut inges fontes ac perennes fluvii ferme exaruerint. fuit etiam incendium in Exartesi 6 die Augusti, omnesque ibi stantes triremes cum suis armamentis conflagrarunt.

Ceterum Deleanus gnaviter rem gessit, missoque exercitu duce Caucano Dyrrachium cepit. aliasque in Graeciam copias misit ductore Anthimo, cui apud Thebas obviam factus Allacasseus multis Thebanis occisis pellitur. tunc etiam provincia Nicopolitana, sola excepta Naupacto, ad Bulgaros descivit. etenim Byzantinus quidam Ioannes Cutzo-

κτωρ τῶν ἐκεῖσε δημοσίων φόρων πεμφθεὶς καὶ βαρέως προσενηνεγμένος τοῖς ἐγχωρίοις ἑαυτῷ τε ὄλεθρον προεξένησε καὶ ἀποστάσεως αἴτιος γέγονε τοῖς Νικοπολίταις· μὴ φέροντες γὰρ τὴν αὐτοῦ πλεονεξίαν ἀποστατοῦσι, καὶ αὐτὸν μὲν εἰς μέρη καὶ μέλη κατέτεμον, αὐτοὶ δὲ τὸν βασιλέα δυσφημήσαντες Ῥωμαίων τοῖς Βουλ-
B γάροις προσέθεντο. οὐ τοσοῦτον δὲ διὰ τὸ πρὸς τὸν Δελεάνον φίλτρον ἀφηνίασαν καὶ τὸν Ῥωμαϊκὸν ζυγὸν ἀπέρριψαν ὅσον διὰ τὴν τοῦ ὀρφανοτρόφου ἀπληστίαν καὶ πρὸς τὰς εἰσπράξεις ὑπερβολήν. Βασιλείου γὰρ τοῦ βασιλέως, ὁπηνίκα Βουλγάρους ἐχειρώσατο, μὴ νεοχμῶσαι θελήσαντος ὅλως μηδὲ τὰ πράγματα μετακινῆσαι, ἀλλ' ἐπὶ τῆς αὐτῆς μένειν καταστάσεως καὶ οὕτω διεξάγεσθαι καθώς που ὁ Σαμουὴλ διωρίσατο, καὶ διδόναι τὸν ζεῦγος βοῶν ἔχοντα Βούλγαρον εἰς τὸ κοινὸν σίτου μόδιον ἕνα καὶ κέγχρου τοσοῦτον καὶ οἴνου στάμνον ἕνα, ὁ ὀρφανοτρόφος ἀντὶ τῶν εἰδῶν νομίσματα δίδοσθαι διωρίσατο. ὅπερ μὴ εὐφόρως οἱ ἐγχώριοι φέροντες, εὑρόντες δὲ καὶ καιρὸν εὔκαιρον τὴν τοῦ Δελεάνου ἐπιφάνειαν, τὴν Ῥωμαϊκὴν ἀπεσείσαντο ἡγεμονίαν καὶ πρὸς
C τὸ ἀρχαῖον ἐπανέδραμον ἔθος.

Ἐγένετο δὲ κατὰ τοῦτον τὸν καιρὸν μελέτη τυραννίδος κατὰ τοῦ βασιλέως, ἔξαρχον ἔχουσα Μιχαὴλ τὸν λεγόμενον Κηρουλάριον καὶ Ἰωάννην τὸν Μακρεμβολίτην καὶ ἄλλους οὐκ ὀλίγους τῶν πολιτῶν, οἳ καὶ δημευθέντες ἐξωρίσθησαν. καὶ ἑτέρα δέ τις ἐπισύστασις γέγονε κατὰ Κωνσταντίνου τοῦ μεγάλου δομεστίκου ἐν

4 μέλη καὶ μέρη C 8 ὑπάρξεις C 13 ἓν C 23 ἐν Μεσανάκτοις om C

mytes, missus eo ad exigendum publicum tributum, cum iniquius tractaret incolas, sibi ipsi exitium paravit et ipsis deficiendi occasionem praebuit. est enim ab ipsis ob intolerabilem avaritiam in frusta concisus; et Romanorum imperatorem detestantes, eius iugo excusso, Bulgaris se coniunxerunt, non tam studio Deleani impulsi, quam odio orphanotrophi ob insaturabilem eius in exactionibus avaritiam. nam Basilius quidem imperator, quo tempore subegit Bulgaros, nihil prorsus immutaverat, sed omnia pristina condicione manere permiserat, neque a Samueli exactione aliam instituit. ea autem fuerat ut quicunque Bulgarus iugum boum possidebat, is in publicum conferret unum frumenti, unum milii modium et vini urnam. orphanotrophus ea in pecuniam mutarat. quod moleste ferentes Nicopolitae, oblata occasione Deleani motu, Romano imperio reiecto ad suos gentiles redierunt.

Hoc tempore adversus imperatorem conspiratum est, principibus facinoris Michaelo Cerulario et Ioanne Macrembolita aliisque civium haud paucis. hi relegati, bona eorum publicata. sed et contra Constantinum magnum domesticum res novae Mesanactis tentatae. indicio

Μεσανύκτοις· ἧς μηνυθείσης αὐτῷ Μιχαὴλ μὲν ὁ Γαβρᾶς καὶ Θεοδόσιος ὁ Μεσανύκτης καὶ ἄλλοι πολλοὶ τῶν ταγματικῶν ἀρχόντων ἐκπηροῦνται τοὺς ὀφθαλμούς, Γρηγόριον δὲ πατρίκιον τὸν Ταρωνίτην ἔξαρχον, ὡς ἐλέγετο, καὶ πρωτουργὸν τῆς συστάσεως ὄντα ὠμῇ βύρσῃ βοὸς διὰ παντὸς τοῦ σώματος καλύψας ὁ Κωνσταντῖνος, D καὶ μόνης τῆς ἀναπνοῆς ἔξοδον ἀφεὶς καὶ τῆς ὄψεως, πρὸς τὸν ὀρφανοτρόφον ἀπέστειλε.

Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος θ' τοῦ ‚ςφμθ' ἔτους, Ἀλουσιάνος πατρίκιος καὶ στρατηγὸς Θεοδοσιουπόλεως, ὁ τοῦ Ἀαρὼν δεύτερος υἱός, ἄφνω τῆς πόλεως ἀποδρὰς τῷ Δελεάνῳ προσέρχεται ἐξ αἰτίας τοιαύτης. ἐν Θεοδοσιουπόλει καὶ γὰρ στρατηγῶν οὗτος καὶ ὡς ἄδικος κατηγορηθείς, πρὶν ἢ ἐξετάσει δοθῆναι τὰ κατ' αὐτοῦ λεγόμενα, ἀπῃτήθη παρὰ τοῦ Ἰωάννου χρυσίου λίτρας ν', προσαφῃρέθη δὲ καὶ γυναικεῖον χωρίον, ὅπερ εἶχεν ἐν τῷ Χαρσιανῷ κάλλιστον. δεηθεὶς δὲ περὶ τούτου τοῦ βασιλέως πολλὰ καὶ μὴ τυχὼν ἐπιστροφῆς, πάντοθεν ἀπογνούς, στολὴν λαβὼν Ἀρμενίων καὶ ὡς τάχα θεράπων τοῦ Θεοδωροκάνου Βασιλείου ἐς τὸν βασιλέα ἐς Θεσσαλονίκην ἀπιών, λαθὼν ἅπαντας ἔφυγε καὶ ἐν Ὀστροβῷ διασώζεται, ἐκεῖσε πανσυδὶ τοῦ Δελεάνου P 748 ἐστρατοπεδευμένου τυγχάνοντος. τοῦτον περιχαρῶς δεξάμενος ὁ Δελεάνος (ἐδεδοίκει γὰρ μή πως προστεθῶσιν αὐτῷ μᾶλλον οἱ Βούλγαροι ὡς εἰς βασιλικὸν αἷμα τὴν ἀναφορὰν ἔχοντι) καὶ κοινωνὸν ὡς ἐδόκει τῆς βασιλείας παρειληφώς, στρατιὰν αὐτῷ δίδωσι χιλιάδας τεσσαράκοντα, ἀπελθεῖν κελεύσας καὶ ἐκπολιορκῆσαι

17 βασιλέως C 18 πάντας C 19 πασσυδὶ C 24 ἐκπορθῆσαι C

rei delato, Michaelus Gabras, Theodosius Mesanictes multique alii centuriones excaecati, Georgius autem patricius Taronita, qui auctor facinoris ferebatur, cruda pelle totum corpus obductus, ut soli spiritui exitus et oculi aperti essent, ad orphanotrophum est missus.

Anno mundi 6549, indictione nona, mense Septembri, Alusianus patricius et Theodosiopolis praefectus, secundus Aaronis filius, subito ex urbe profugus ad Deleanum se contulit. cum enim iniustitiae accusatus esset, priusquam de causa cognosceretur, Ioannes ab eo exegerat auri libras 50, ademeratque ei mulierculam elegantissimam, quam in Charsiano habebat. cumque multis apud imperatorem precibus non obtinuisset ut sui haberetur ratio, desperatis suis rebus Armenio habitu sumpto, simulansque se Basilii Theodorocani famulum esse atque Thessalonicam ad imperatorem ire, clam omnibus aufugit, Ostrobumque pervenit, ubi tum cum omni exercitu castra Deleanus habebat. magna hunc cum laetitia accepit Deleanus, metuens ne ad ipsum potius inclinarent Bulgari ut regio sanguine natum: consortem, ut prae se ferebat, imperii adscivit, ac cum exercitu quadraginta milium ad oppugnandam Thes-

Θεσσαλονίκην· ἦρχε δὲ τότε τῆς πόλεως Θεσσαλονίκης ὁ τοῦ βασιλέως ἀνεψιὸς Κωνσταντῖνος πατρίκιος. ὃς ἀπελθὼν καὶ τάφρον περιβαλόμενος ἐπιμελῶς εἴχετο τῆς πολιορκίας. ἐπὶ ἓξ δὲ ἡμέρας
B ἀποπειρασάμενος τῆς πόλεως ἑλεπόλεσι καὶ μηχαναῖς καὶ πάντοθεν ἀποκρουσθεὶς καὶ τοῖς πᾶσιν ἀπειρηκὼς διὰ προσεδρείας ἐδόκει ἀνύσαι τὸ σπουδαζόμενον. μιᾷ δὲ τῶν ἡμερῶν τῷ τάφῳ τοῦ μεγάλου μάρτυρος Δημητρίου προσελθόντες οἱ ἐπιχώριοι, καὶ πάννυχον ἐπιτελέσαντες δέησιν καὶ τῷ μύρῳ τῷ ἐκ τοῦ θείου τάφου βλύζοντι χρησάμενοι, ὡς ἐκ μιᾶς ὁρμῆς ἀναπετάσαντες τὰς πύλας ἐξέρχονται κατὰ τῶν Βουλγάρων. συνῆν δὲ τοῖς Θεσσαλονικεῦσι τὸ τάγμα τῶν μεγαθύμων. ἐξελθόντες δὲ καὶ τῷ ἀπροσδοκήτῳ καταπληξάμενοι τρέπουσι τοὺς Βουλγάρους μηδ' ὅλως πρὸς ἄμυναν ἢ ἀλκὴν στῆναι βουληθέντας, τοῦ μάρτυρος προηγησαμένου τῆς Ῥωμαϊκῆς στρατιᾶς καὶ τὴν πορείαν προοιμιάζοντος, καθὼς
C ἐνωμότως διεβεβαίουν οἱ αἰχμαλωτισθέντες Βούλγαροι, λέγοντες νεανίαν ἔφιππον ὁρᾶν προηγούμενον τῆς Ῥωμαϊκῆς φάλαγγος, ἐξ οὗ πῦρ ἐξαλλόμενον ἐνεπυρπόλει τοὺς ἐναντίους. ἔπεσον οὖν πλείω τῶν ιε' χιλιάδων, δοριάλωτοι δὲ ἐλήφθησαν οὐκ ἐλάττους τούτων. οἱ δὲ λοιποὶ αἰσχίστως σὺν τῷ Ἀλουσιάνῳ εἰς τὸν Δελεάνον διασώζονται.

Τούτῳ τῷ ἔτει, ἐπινεμήσει θ', Ἰουνίου ι', περὶ ὥραν τῆς ἡμέρας κβ' γέγονε σεισμός.

Μετὰ δὲ τὴν τροπὴν ἑνωθέντες ὅ τε Δελεάνος καὶ ὁ Ἀλουσιάνος ὑπενοοῦντο ἀλλήλους, ὁ μὲν διὰ τὴν ἧτταν αἰσχυνόμενος,

8 δεήσεις C 9 χρισάμενοι? 13 προηγουμένου C 21 ια' C 22 ιβ' C

salonicam misit, cui tunc praeerat Constantinus patricius, patruelis imperatoris. eo profectus Alusianus urbem vallo cingit, ac machinis admotis summa industria oppugnat. sed cum per sex dies frustra oppugnasset, undique repulsus, spe expugnandae abiecta, obsidione eam capere statuit. oppidani quadam die ad sepulchrum martyris Demetrii accesserunt, supplicationeque per totam noctem tracta, usique unguento quod ex eo sepulchro scaturit, uno impetu apertis portis in Bulgaros se emiserunt, habentes secum legionem Magnanimorum; hostemque improvisa impressione perterritum in fugam coniecerunt, nemine subsistere aut se defendere auso. ductor Romanae aciei fuit martyr, iterque complanavit; quod Bulgari captivi iuramento confirmarunt, dicentes vidisse se iuvenem equitem, qui Romanae phalangi praeiret, ex quo ignis exsiliens adversos cremaret hostes. cecidere amplius 15 milibus Bulgarorum, captique haud pauciores; reliqui turpissima fuga cum Alusiano ad Deleanum evaserunt.

Hoc ipso anno, die Iunii 10, hora diei 12, terrae motus fuit.

Accepta autem clade coniuncti Deleanus et Alusianus, alter de altero

ὁ δὲ προδοσίαν ὑποπτεύων, καὶ ἐπεβούλευον ἀλλήλοις καιροφυλακοῦντες. σκευασάμενος οὖν ὁ Ἀλουσιάνος μετά τινων οἰκείων D
αὐτοῦ καὶ ἄριστον ποιήσας καὶ εἰς εὐωχίαν καλέσας τὸν Δελεάνον, κραιπαλοῦντα καὶ μεθύοντα κατασχὼν ἀπετύφλωσεν, ὡς μηδ' αἴσθησιν ὅλως τοῖς Βουλγάροις δοθῆναι τοῦ γεγονότος· καὶ φυγὼν ἔρχεται ἐν Μοσυνοπόλει πρὸς τὸν βασιλέα. καὶ τοῦτον μὲν ὁ βασιλεὺς εἰς τὸ Βυζάντιον πρὸς τὸν ὀρφανοτρόφον ἐκπέμπει, ἐς τὸ τῶν μαγίστρων ὕψος ἀναβιβάσας, αὐτὸς δὲ ἄρας ἐκ Μοσυνοπόλεως ἄπεισιν ἐν Θεσσαλονίκῃ. ἐκεῖθεν δὲ διαβὰς εἴσεισιν ἐν Βουλγαρίᾳ, καὶ τὸν Δελεάνον κατασχὼν ἔπεμψεν ἐν Θεσσαλονίκῃ, αὐτὸς δὲ πρὸς τὰ ἐνδότερα γενόμενος — ἔτι γὰρ Μανουὴλ ὁ Ἰβάτζης δέμα ξύλινον κατασκευάσας κατὰ τὸν Πρίλαπον ᾤετο ἀπεῖρξαι προσωτέρω χωρεῖν τὴν βασιλικὴν στρατιὰν καὶ τὰ ἔνδον κατέχειν· ἀλλ' ὁ βασιλεὺς ἐκεῖσε γενόμενος λόγου θᾶττον τό τε ξύλινον τεῖχος διέρρηξε καὶ τὸ σύστημα τῶν Βουλγάρων ἐσκέδασε καὶ τὸν P 749
Ἰβάτζην κατέσχε. καὶ καταστησάμενος πάντα τὰ ἐν Βουλγαρίᾳ, καὶ στρατηγοὺς ἐν τοῖς θέμασι τάξας, εἴσεισιν ἐν τῇ βασιλίδι, ἐπαγόμενος μεθ' ἑαυτοῦ τόν τε Δελεάνον καὶ τὸν Ἰβάτζην. τῇ δὲ κατεχούσῃ τοῦτον νόσῳ ἐντρυχωθείς, καὶ πάντοθεν τῆς οἰκείας ἀπογνοὺς σωτηρίας, ἀποκείρεται μοναχὸς παρὰ τοῦ μοναχοῦ Κοσμᾶ τοῦ Τζιντζουλούκη, ὃς διὰ παντὸς συνῆν αὐτῷ καὶ ἐνουθέτει τὰ δέοντα. Δεκεμβρίου δὲ δεκάτῃ τοῦ ϛφν' ἔτους, ἰνδικτιῶνος ι', θνήσκει ἐν μετανοίᾳ καὶ ἐξομολογήσει, τὴν εἰς τὸν

4 μηδὲ συναίσθησιν C 19 ἰδίας C 21 κόσμου P τζιντζιλουκίου C

sinistra suspicari coeperunt, hic ob rem male gestam pudore affectus, ille proditionem opinans intervenisse. itaque insidias invicem struebant et occasiones quaerebant. tandem Alusianus re cum familiaribus quibusdam suis communicata Deleanum ad convivium invitat, ibique crapula et ebrietate capto oculos eruit, nemine prorsus Bulgarorum id sentiente. ipse Mosynopolin ad imperatorem profugit. hunc imperator ad magistri dignitatem evectum Cpolin ad orphanotrophum amandat. ipse per Thessalonicam in Bulgariam venit, comprehensumque Deleanum Thessalonicam mittit. inde ad interiora pergens septum ligneum, quod Manuelus Ibatza apud Prilapum fecerat, ut copias imperatoris progressu arceret et ipse interiora obtineret, celerrime perrupit, ac Bulgarorum dissipata coitione Ibatzam cepit. rebus deinde Bulgariae constitutis, ac provinciae dato praeside, urbem ingressus est, secum ducens Deleanum et Ibatzam. post morbo suo prorsus confectus, salute corporis omnino desperata, raditur et fit monachus opera Cosmae Tzintzulucae monachi, qui semper cum eo fuit et quantum opus erat praeceptis instruxit. Decembris 10 die, indictione 10, anno mundi 6550, vita excessit, poenitentia acta et peccata sua pie confessus, ac lacrimis suum

βασιλέα Ῥωμανὸν ἁμαρτάδα ἀποκλειόμενος, βασιλεύσας ἐπὶ ἔτη B ζ' καὶ μῆνας η', ἀνὴρ τἆλλα μὲν ἐπιεικὴς καὶ χρηστὸς καὶ εὐλαβῶς δόξας βιοῦν, πλὴν τοῦ εἰς τὸν βασιλέα Ῥωμανὸν ἁμαρτήματος. ἀλλὰ καὶ τοῦτο οἱ πολλοὶ τῷ ὀρφανοτρόφῳ προσάπτουσι.

Τοιούτῳ δὲ τέλει χρησαμένου τοῦ Μιχαὴλ τὸ πᾶν κράτος περιέστη ὡς εἰς κληρονόμον τὴν βασιλίδα Ζωήν. τοιγαροῦν καὶ νεανικώτερον ἥπτετο τῶν πραγμάτων, συνεργοὺς ἔχουσα καὶ συλλήπτορας τοὺς τοῦ πατρὸς εὐνούχους, οὓς ἄνωθεν ὁ λόγος πολλάκις ἀπηριθμήσατο. πλὴν οὐ παρέμεινεν ἐπὶ τοῦ αὐτοῦ φρονήματος, ἀλλ' ἀποβλέψασα πρὸς τὸν ὄγκον τῆς βασιλείας, καὶ C διαγνοῦσα ὡς οὐκ ἄν ποτε καθ' ἑαυτὴν αὐτὴ δυνηθείη ὀρθῶς τὰ κοινὰ διεξάγειν, καὶ ἀλυσιτελὲς νομίσασα τὸ ἀβασίλευτον καὶ ἄναρχον τὴν τηλικαύτην εἶναι ἀρχήν, καὶ δέον εἶναι κρίνασα προχειρίσασθαι βασιλέα τὸν δυνάμενον ἀντιλαμβάνεσθαι τῶν πραγμάτων ἐν ταῖς συμβαινούσαις περιστάσεσι, καὶ ἐπὶ τρεῖς ὅλας ἡμέρας περὶ τούτου διασκοπήσασα, τὸν τοῦ βασιλέως ἀνεψιὸν καὶ ὁμώνυμον, τὸν υἱὸν τοῦ Στεφάνου τοῦ ἐν Σικελίᾳ τὰ πράγματα διαφθείραντος, Καίσαρα ὄντα καὶ δραστήριον δοκοῦντα καὶ περὶ τὰ πράγματα δεξιόν, ὅρκοις πρότερον φρικωδεστάτοις καταλαβοῦσα ὡς κυρίαν αὐτὴν ἕξει διὰ βίου καὶ δέσποιναν καὶ μητέρα, πράττουσαν ἅττα δὴ καὶ κελεύει ποιεῖν, εἰσποιητὸν προσλαμβάνει υἱὸν καὶ βασιλέα Ῥωμαίων ἀναγορεύει, τῷ βασιλικῷ

7 καὶ συλλήπτορας om C 12 διάξειν C 15 τῶν περιστάσεων C 20 κατασφαλίσασα C 21 προσλαμβάνεται C 22 ῥωμαῖον C

in Romanum imperatorem scelus prosecutus. imperavit annos 7, menses 8, vir cetera bonus ac probae vitae, absque illud flagitium fuisset; quod tamen ipsum multi orphanotropho imputant.

Proinde Michaeli obitu summa rerum rediit ad Zoen quasi iure hereditario. quapropter ea initio acrius aliquando rebus se gubernandis dedit, adiutoribus usa paternis eunuchis, quos supra aliquoties commemoravimus. neque tamen id institutum tenuit: sed molem imperii considerans et intelligens se tantis rebus recte tractandis imparem, tum damnosum fore sentiens si absque imperatore tantum relinqueret imperium, simul videns alicui imperium esse committendum, qui dubiis ac periculosis rebus tutari rem publicam posset: integro triduo in eam deliberationem insumpto tandem in filium adoptat et Romanorum imperatorem designat Michaelum imperatoris iam defuncti sororis filium, et Stephani eius qui in Sicilia rem perdidit, iam tum Caesarem, et opinione hominum industrium atque dexteritate aliqua praeditum, neque tamen antequam is se diris ipsum devovisset, nisi eam ad mortem usque pro domina et matre agnosceret, et pro sua voluntate quae fieri vellet aut iuberet ac sineret. hoc pacto illa adopticium filium diade-

ταινιώσασα διαδήματι, πρότερον ἐκποδὼν ποιησαμένη τὸν ὀρφα- D νοτρόφον καὶ ἐς τὸ μοναστήριον τῶν Μονοβατῶν ἐξορίσασα, παραπλησίως καὶ Κωνσταντῖνον τὸν δομέστικον τῶν σχολῶν τῆς ἀρχῆς παραλύσασα καὶ ἐν τοῖς τοῦ Ὀψικίου κτήμασιν αὐτοῦ τῆς ἀψῖδος τοῦτον περιορίσασα, ὡσαύτως καὶ Γεώργιον τὸν πρωτοβεστιάριον ἐν τοῖς κατὰ Παφλαγονίαν αὐτοῦ κτήμασι στείλασα. κατ' αὐτὴν δὲ τὴν ὥραν καθ' ἣν ἀνεδεῖτο τῷ διαδήματι ὁ Μιχαήλ, σκοτώσει καὶ ἰλίγγῳ ληφθεὶς ἐγγὺς ἦλθε τοῦ πεσεῖν. μόλις δ' οὖν ἀνεκαλέσαντο τοῦτον μύροις καὶ ἀρώμασι καὶ λοιποῖς ἄλλοις εὐώδεσιν εἴδεσιν. ἐκλονεῖτο δὲ καὶ ἡ γῆ παρ' ὅλους τοὺς τέσσαρας μῆνας τῆς βασιλείας αὐτοῦ. τέως δὲ στεφθεὶς παρὰ τοῦ P 750 πατριάρχου καὶ βασιλεὺς καταστὰς τιμαῖς καὶ ἀξιώμασι τὴν σύγκλητον καὶ δωρεῶν διανομαῖς τὸ κοινὸν ἀνελάμβανεν. ἐντεύξει δὲ τῇ πρὸς τὴν δέσποιναν καὶ Κωνσταντῖνον τὸν δομέστικον μετακαλεσάμενος τῆς ὑπερορίας καὶ νοβελίσσιμον τιμήσας εἶχε μεθ' ἑαυτοῦ. δόξας δὲ ἐν βεβαίῳ ἑστάναι αἰφνίδιον ἔπεσε. γράμμασι γὰρ τοῦ ὀρφανοτρόφου καὶ συμβουλίαις τοῦ δομεστίκου διαφθαρείς, λεγόντων μὴ πολλάκις πιστεύειν τῇ δεσποίνῃ ἀλλὰ φυλάττεσθαι ταύτην, ἵνα μὴ παραπλήσια πάθῃ τῷ τε θείῳ αὐτοῦ καὶ βασιλεῖ Μιχαὴλ καὶ τῷ πρὸ αὐτοῦ Ῥωμανῷ, γοητείαις, ὡς ἔφασκον, κατεργασθέντι, καὶ συμβουλευόντων, εἰ οἷόν τε, ἐκποδὼν B θέσθαι αὐτὴν καὶ σπεῦσαι μὴ προληφθῆναι, καὶ συνεχεῖς τὰς

8 τὸν om C 9 αὐτὸν ἀνεκαλέσαντο C 16 αἰφνίδιον — 17 ὀρφ. καὶ om C 18 λέγοντος C 19 παραπλησίως P 21 κατεργασθέντα C συμβουλεύοντος C

mate imperatorio redimivit, prius tamen summoto orphanotropho et in monasterium Monobatarum relegato. Constantinum quoque domesticum scholarum magistratu privavit, et in abside, quae eius erat in Opsicio possessio, eum se continere iussit; eodemque modo Georgium quoque protovestiarium in sua bona, quae in Paphlagonia is possidebat, inclusit. qua hora Michaelus diademate est ornatus, oborta vertigine et tenebris parum abfuit quin concideret, vixque est refectus unguentis aromatibus aliisque rebus odoratis. sed et toto tempore quo is imperium tenuit (fuit hoc mensium 4) terrae motus durarunt. enimvero coronatus a patriarcha, et imperator designatus, honorum collatione senatum ac largitionibus populum demeruit. et apud dominam deprecando obtinuit ut Constantinum sibi domesticum liceret ab exsilio revocare; quem et nobilissimi honore decoravit ac secum habuit. cum autem videretur in tuto stare, subito corruit. nam literis orphanotrophi et consiliis domestici corruptum, hortantium ne Augustae nimium fideret, sed caveret ne avunculi Michaeli imperatoris et Romani modo tractaretur, quos illa veneficiis sustulisset, suadentiumque ut eam quacunque ratione e medio tolleret, daretque operam ne antevorteret ipsa,

προσβολὰς περὶ τοῦ αὐτοῦ ποιούμενοι πράγματος ἀναπεῖσαι ἴσχυσαν ἐπιβουλὴν κατ' αὐτῆς μελετῆσαι. ἔδοξεν οὖν ἀποπειραθῆναι τῶν πολιτῶν πρότερον, οἵαν ἔχουσι περὶ αὐτοῦ γνώμην, καὶ εἰ μὲν χρηστὴν διάθεσιν φανῶσι φυλάττοντες εἰς αὐτὸν καὶ φιλίαν ὀρθήν, τότε δὴ καὶ ἐγχειρῆσαι τῇ μελέτῃ, εἰ δὲ τοὐναντίον, ἡσυχίαν ἄγειν. τῇ κυριακῇ οὖν τῇ μετὰ τὸ ἅγιον πάσχα προέλευσιν δημοσίαν κηρύξας ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ, καὶ δι' αὐτῆς ἀποπειραθῆναι κρίνας τῆς γνώμης τῶν πολιτῶν, ἀπῆλθεν ἐστεφανωμένος μετὰ τῆς συγκλήτου, πάσης τῆς πόλεως ἀθροι-
C σθείσης εἰς τὴν θέαν, σκεύη χρύσεα καὶ ἀργύρεα τῶν τὴν λεωφόρον κατοικούντων ἀποκρεμαννύντων καὶ πέπλους καὶ ἄλλα ὑφάσματα χρυσοϋφῆ, κἀν ταῖς εὐφημίαις προτεθυμημένων καὶ αὐτάς, εἰ οἷόν τε, ἐκκενῶσαι τὰς ψυχάς. οἷς δελεασθεὶς ὁ δείλαιος τῷ ἐξ εὐνοίας ὑπολαβεῖν ταῦτα γίνεσθαι, ὑποστρέψας ἐν τῷ μεγάλῳ παλατίῳ τῷ μὲν πατριάρχῃ μηνύει ἀπελθεῖν εἰς τὴν ἐν τῷ Στενῷ μονὴν αὐτοῦ καὶ προσδέχεσθαι αὐτὸν τῇ ἐπαύριον, δοὺς αὐτῷ καὶ χρυσίου λίτρας τέσσαρας διὰ τὴν μέλλουσαν εἰς αὐτὸν γενέσθαι τάχα ὑποδοχήν· νυκτὸς δὲ τὴν βασιλίδα κατασπᾷ τοῦ θρόνου καὶ
D περιορίζει εἰς Πρίγκιπον, ἀποκεῖραι τοῖς ἄγουσι κελεύσας αὐτὴν καὶ διακομίσαι τούτῳ τὰς τρίχας αὐτῆς. καὶ οἱ μὲν πεμφθέντες ἐποίησαν ὡς ἐκελεύσθησαν, ἕωθεν δ' οὗτος ἀναφορὰν γράψας καὶ τῷ τῆς πόλεως ἐπάρχῳ δοὺς ἀναγνῶναι ἐν τῷ τοῦ μεγάλου Κωνσταντίνου φόρῳ τοῖς πολίταις ἐκέλευσεν· ἐδήλου δὲ ἡ ἀνα-

7 δὴ libri

continuis eorum de eadem hac re exhortationibus eo tandem adactus est ut insidias matri Zoae pararet. statuit primo civium animos tentare, ut si eos sibi favere intelligeret ac constanter in se esse propensos, rem aggrederetur, si secus eveniret, omitteret consilium. ergo ad diem qui a paschate proximus est dominicus, populo publicum processum in apostolorum aedem imperat, hoc modo civium in se animos exploraturus. venit ergo coronatus cum senatu omnibus urbanis ad id spectaculum accurrentibus, et iis qui ad viam regiam habitabant, auream et argenteam supellectilem ex aedibus demittentibus ac peplos et auro intextas vestes, inque faustis acclamationibus certatim ipsum etiam animorum suorum sensum effundere cupientibus. iis miser iste inescatus, atque omnia a summa proficisci benevolentia putans, ut primum in magnum est reversus palatium, patriarcham in monasterium ipsius, quod erat in Steno, abire iubet, seque ibi in crastinum exspectare, donatum auri libris 4, quod nimirum ei brevi esset successorem constituturus. noctu Augustam solio deturbat et in Principum relegat, iis qui abducebant mandato ut eam raderent atque ipsi crines afferrent. die facta relationem perscripsit, eamque urbis praefecto publice populo recitandam in Constantini Magni foro mandavit. scripta fuit in hanc

φορὰ ὅτιπερ κακόνους ἡ Ζωὴ περὶ τὴν βασιλείαν μου φανεῖσα ἐξώρισται παρ' ἐμοῦ, συμφρονῶν δὲ ταύτῃ καὶ ὁ Ἀλέξιος ἐξεβλήθη τῆς ἐκκλησίας. ὑμεῖς δὲ ὁ ἐμὸς λαός, εἰ τὴν ἐμὴν εὔνοιαν διατηροίητε πρὸς ἐμέ, μεγάλων τιμῶν καὶ ἀγαθῶν τεύξεσθε καὶ ζωὴν ἄλυπον καὶ καθαρὰν ζήσεσθε. ἀναγνόντος οὖν τοῦ ἐπάρχου τὴν ἀναφορὰν εἰς ἐπήκοον τοῦ λαοῦ, φωνή τις ἐξηκούσθη, μηδενὸς εὑρεθέντος τοῦ κεκραγότος, ὅς ἡμεῖς σταυροπάτην καλαφάτην βασιλέα οὐ θέλομεν, ἀλλὰ τὴν ἀρχέγονον καὶ P 751
κληρονόμον καὶ ἡμετέραν μητέρα Ζωήν. καὶ εὐθὺς ὡς ἐκ μιᾶς φωνῆς ἅπας ὁ λαὸς ἐβόων "ἀνασκαφείη τὰ ὀστᾶ τοῦ καλαφάτου." καὶ ἀναλαβόντες ἕκαστος λίθους καὶ βάθρα καὶ τὰ παρατυχόντα ξύλα τὸν μὲν ἔπαρχον (ἦν δὲ Ἀναστάσιος πατρίκιος ὁ τῷ πατρὶ τῆς Ζωῆς ὑπηρετησάμενος) μικροῦ δεῖν καὶ ἀπέκτειναν, εἰ μὴ φυγῇ χρησάμενος ἐπορίσατο τὴν ἑαυτοῦ σωτηρίαν· αὐτοὶ δὲ εἰς τὴν μεγάλην δραμόντες ἐκκλησίαν — ἔτυχε γὰρ καὶ ὁ πατριάρχης τὴν αὐτοῦ ὑποστροφὴν ὠνησάμενος, καὶ τὸν μὲν βασιλέα ἐδυσφήμει, τὴν δὲ τῆς βασιλίσσης ἐζήτει ἀνακομιδήν· προσέδραμον τοίνυν πάντες οἱ τοῦ πατρὸς αὐτῆς εὐνοῦχοι καὶ Κωνσταντῖνος πατρίκιος ὁ Καβάσιλας καὶ τὸ λοιπὸν ἅπαν πλῆθος τῆς συγκλήτου, B
καὶ κοινῇ συμβουλῇ πέμψαντες ἄγουσι τὴν Θεοδώραν ἀπὸ τοῦ Πετρίου εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ ἐνδύσαντες αὐτὴν ἁλουργίδα βασιλικὴν ἄνασσαν εὐφημοῦσι σὺν Ζωῇ τῇ ταύτης ἀδελφῇ. καὶ ὁρμήσαντες πρὸς τὸ παλάτιον καταγαγεῖν ἠπείγοντο τῶν ἀνα-

21 καὶ — 22 βασιλικὴν om C

sententiam. "Zoen, quam meo imperio malignam esse deprehenderam, relegavi. Alexium cum ea sentientem ecclesia amovi. vos autem, subditi mei, si in benevolentia erga me perstiteritis, magnos honores atque beneficia consequemini, vitamque tutam et placidam degetis." cum audiente populo recitasset haec praefectus, vox quaedam exstitit incerto auctore "nolumus Stauropatam Calaphatam imperatorem habere, sed parere Zoae, cui a maioribus imperium debetur iure hereditario. matri nostrae." statim quasi una voce ab omnibus acclamatum est "effodiantur ossa Calaphatae." et arreptis ut cuique fors offerebat lapidibus subselliis atque lignis, praefectum urbis (erat hic Anastasius patricius, quondam Zoes patris minister) interfecissent, nisi is fuga sibi salutem paravisset. concursum fecere ad magnum templum, quo et patriarcha mercatus aufugiendi licentiam se contulerat et detestabatur imperatorem, restituique Augustam cupiebat. eodem accurrerunt omnes Zoae paterni eunuchi et Constantinus patricius Cabasilas, reliquaque senatorum multitudo; unanimoque consensu miserunt qui Theodoram a Petrio in magnum templum adducerent. ibi eam purpura Augustali indutam Augustam salutarunt cum Zoe sorore; impetuque ad palatium dato Michae-

κτόρων τὸν Μιχαήλ. ὁ δὲ πρὸς τὴν ὀργὴν τοῦ λαοῦ καὶ τὴν κίνησιν ἀποδειλιάσας, εὐθὺς ἀποστείλας ἤγαγε τὴν Ζωὴν ἐν τῷ παλατίῳ, καὶ ἀποδύσας αὐτὴν τὰ μοναχικὰ μετημφίασε βασιλικοῖς περιβλήμασι. προκύψας οὖν ἀπὸ τοῦ ἐν τῷ ἱπποδρομίῳ καθίσμα- C τος, καὶ δημηγορῆσαι πειραθεὶς πρὸς τὸν λαὸν ὅτι τε ἡ βασιλὶς ἤχθη καὶ ὅτι πάντα καλῶς ἔχει αὐτοῖς τὰ κατὰ σκοπόν, οὐ συνεχωρήθη, ὕβρεσί τε πανταχόθεν πλυνόμενος καὶ λίθοις κάτωθεν καὶ τόξοις βαλλόμενος. καὶ λοιπὸν ἀπογνοὺς ἐγνώκει εἰς τὸ μοναστήριον ἀπελθεῖν τῶν Στουδίου καὶ ἀποκείρασθαι. ἀλλ᾽ οὐκ ἀφῆκεν αὐτὸν ὁ δομέστικος τῶν σχολῶν, εἰπὼν μὴ οὕτω ῥᾳδίως καταλιπεῖν τὴν ἀρχὴν καὶ ὑποχωρῆσαι, ἀλλὰ γενναίως ἀντιστῆναι καὶ ἢ πάντως ὑπερισχῦσαι ἢ μεγαλοψύχως καὶ βασιλικῶς ὡς πρέπον ἐστὶν ἀποθανεῖν βασιλέα. ταύτης δὲ τῆς γνώμης ἐπικρατησάσης, τοὺς ἐν τῷ παλατίῳ πάντας ὡς ὁ καιρὸς ἐδίδου καθοπλί- D σας αὐτός, καὶ ὁ νωβελίσσιμος δὲ πάντα τὸν ἑαυτοῦ λαὸν ἀπὸ τοῦ ἰδίου οἴκου μεταπεμψάμενος ἔνοπλον (ἔτυχε δὲ ἐκ Σικελίας ἄρτι ἐλθὼν καὶ ὁ στρατηγὸς Καταχαλὼν ὁ Κεκαυμένος, τὰ ἐκ Μεσήνης εὐαγγέλια κομίσας) γενναίως ἀντείχετο τῶν πραγμάτων. τοῦ δὲ δήμου τριχῇ διαιρεθέντος, καὶ μέρους μὲν ἐν τῷ ἱππικῷ προσβαλόντος, ἑτέρου δὲ κατὰ τὰ ἐξκούβιτα, τοῦ δὲ λοιποῦ κατὰ τὸ τζυκανιστήριον, καὶ οἱ περὶ τὸν βασιλέα εἰς τρία τὴν ἑαυτῶν διελόντες δύναμιν ἠμύνοντο κραταιῶς. καὶ γίνεται φόνος πολὺς τῶν

2 ἀποδειλιάσας om C   ἀποστείλας εὐθὺς C   7 κάντοθεν βαλλόμενος C   10 τῶν σχολῶν om C   15 δὲ om C   19 τριχῶς C   21 τζουκανιστήριον C

lum inde pellere aggressi sunt. hic fremitu populi et motu perterritus, illico misit qui Zoen in palatium adducerent, eique monachae habitu dempto imperatorias vestes induit. tum a cathedra quae in Circo est prospiciens, conatusque ad populum loqui et significare Zoen iam esse restitutam et se ipsorum postulatis assensurum, non obtinuit, omnibus in ipsum convicia lapidesque etiam de inferiori loco et sagittas coniicientibus. itaque re desperata statuit in Studianum monasterium abire et ibi monachus fieri. sed scholarum domesticus id non permisit, non ita facile dicens esse imperio decedendum, sed aut fortiter vincendum in eo defendendo, aut magno animo et ut imperatore dignum est occumbendum. quae sententia cum staret, omnes qui erant in palatio ipse quantum eius tempus ferebat armavit, et nobilissimus omnes suos armatos domo avocavit. et venerat forte tum nuper e Sicilia Catacalo Ambustus, rei ad Messenam feliciter gestae nuntium afferens. hoc imperator fretus praesidio fortiter rem gerere intendit. cum autem populus in tres partes divisus esset, quorum pars e Circo ingruebat, altera ad Excubita, tertia ad Tzycanisterium, imperatorii quoque tripartito vim distribuerunt, multique civium occisi sunt, utpote qui nudi et iner-

πολιτῶν οἷα γυμνῶν καὶ ἀόπλων πρὸς ἐνόπλους ἀγωνιζομένων μετὰ ξύλων καὶ λίθων καὶ τῶν παρατυχόντων εἰδῶν· φασὶ γὰρ ὡς ἀπώλοντο κατὰ ταύτην τὴν ἡμέραν (ἦν δὲ ἡ τρίτη τοῦ ἀντίπασχα) ἄνδρες ἀμφὶ τὰς τρεῖς χιλιάδας. τέλος ἴσχυσαν οἱ πολῖται τῷ πλήθει ὑπερτεροῦντες ἐπικρατέστεροι τῶν τοῦ βασιλέως γενέσθαι. καὶ διαρρήξαντες τὰς πύλας τοῦ παλατίου καὶ εἴσω γενόμενοι τό τε P 752 ἐναποκείμενον ἐν τῷ Σέκτῳ διαρπάζουσι χρυσίον καὶ τὰ λοιπὰ εἴδη, διαρρήσσουσι δὲ καὶ τὰς δημοσίας ἀπογραφάς, καὶ τὸν βασιλέα συλλαβεῖν ἔσπευδον. ὁ δὲ ἐπείπερ ἔγνω κατισχυόμενος, τῷ βασιλικῷ ἐπιβὰς δρόμωνι μετὰ τοῦ νωβελισσίμου καί τινων οἰκειοτάτων αὐτῷ, καταλιπὼν ἐν τῷ παλατίῳ τὴν Ζωήν, ᾤχετο φυγὰς εἰς τὴν μονὴν τῶν Στουδίου τῇ τετράδι πρωΐας, καὶ εὐθὺς ἠμφιάσατο τὸ τῶν μοναχῶν σχῆμα συνάμα τῷ θείῳ αὐτοῦ.

Καὶ ὁ μὲν πόλεμος, ἀρξάμενος ἀπὸ δευτέρας ὥρας τῆς δευ- B τέρας ἡμέρας τοῦ ἀντίπασχα, ἔληξε νυκτὸς τῆς τρίτης ἡμέρας· ἡ δὲ Ζωὴ πάλιν ἐγκρατὴς γενομένη τῆς βασιλείας ἐβούλετο μὲν τὴν αὐτῆς ἀδελφὴν Θεοδώραν παρώσασθαι, ἐκωλύθη δὲ παρὰ τοῦ πλήθους συμβασιλεύειν αὐτῇ καὶ ταύτην αἰτησαμένου. ἔρχεται οὖν καὶ ἡ Θεοδώρα ἀπὸ τῆς μεγάλης ἐξελθοῦσα ἐκκλησίας εἰς τὸ παλάτιον. συναθροισθείσης δὲ καὶ τῆς συγκλήτου, δημηγορήσασα ἡ Ζωὴ πρότερον μὲν πρὸς τὴν σύγκλητον, εἶτα καὶ ἔκ τινος περιωπῆς πρὸς τὸ πλῆθος, αὐτοῖς μὲν εὐχαριστίας ὡς εἰκὸς ἀπέδοτο καὶ εὐχὰς τῆς εἰς αὐτὴν εὐνοίας, τὴν περὶ τοῦ βασιλέως δὲ

7 τοῖς σεκρέτοις C 12 τοῦ C 17 ἑαυτῆς C

mes lapidibus lignis atque aliis id genus rebus correptis contra armatos depugnarent. et aiunt ad tria virorum milia eo die (is fuit tertius antipaschatis dies) occisa fuisse. tandem multitudine imperatorios urbani vicerunt, ac perruptis portis palatium ingressi aurum et quidquid in Secto erat rerum diripuerunt, publicas quoque tributorum tabulas conciderunt, ipsumque imperatorem comprehendere conati sunt. qui ut se superatum vidit, imperatoria celoce cum nobilissimo conscensa aliisque intimis, relicta in palatio Zoa, quarta feria summo mane in Studii monasterium perfugit, et cum ipse tum nobilissimus, monachi habitu se induit.

Hoc modo pugna, quae hora secunda secundae antipaschatis diei coeperat, nocte finita est tertiae diei. at vero Zoe rursus imperium adepta, de sorore Theodora summovenda cum cogitaret, multitudinis voluntati concessit, quae hanc imperii consortem volebat esse. itaque etiam Theodora a magno templo in palatium venit. senatu etiam convocato, Zoe pro concione ad senatum primum, deinde ad populum quoque e loco conspicuo locuta, gratias, ut par erat, eis egit pro sua in ipsam benevolentia, ac bene est precata: tum quid de imperatore fieri

C γνώμην ἐζήτει, τί δεῖ γενέσθαι αὐτόν. καὶ πάντες ὁμοφώνως ἀνέκραγον "αἶρε τὸν παλαμναῖον, ποίησον ἐκ μέσου τὸν ἀλιτήριον· ἀνασκολοπισθήτω, σταυρωθήτω, τυφλωθήτω." ἡ δὲ ὤκνει πρὸς τὴν τιμωρίαν καὶ συμπαθὴς τῷ δυστυχοῦντι ἐγίνετο. ἀλλ' ἡ Θεοδώρα ὀργῆς ὑποπλησθεῖσα καὶ παρρησίας τῷ νεωστὶ προβληθέντι ἐπάρχῳ (ἦν δὲ ὁ Καμπανάρης) κελεύει μετὰ σπουδῆς ἀπελθεῖν καὶ ἐξορύξαι αὐτοῦ τε καὶ τοῦ θείου αὐτοῦ ὀφθαλμούς· ὃς ἐξελθὼν συνεπομένου αὐτῷ καὶ τοῦ δήμου παντὸς ἀπῆλθεν εἰς τὰ Στουδίου. ὁ δὲ Μιχαὴλ καὶ ὁ τούτου θεῖος, ὡς ᾔσθοντο τὴν τοῦ λαοῦ παρουσίαν, ἐν τοῖς ἀδύτοις τοῦ ναοῦ τοῦ προδρόμου κατέφυγον. ἀλλὰ φλεγμαίνων ἔτι τῷ θυμῷ διὰ τοὺς ἀναιρεθέντας ὁ δῆμος εἴσεισι πρὸς βίαν εἰς τὸν θεῖον ναόν, καὶ ἀφαρπάσαντες
D ἐκεῖθεν αὐτοὺς εἷλκον διὰ τῆς ἀγορᾶς ἀπὸ τῶν ποδῶν, καὶ ἄνωθεν τῆς περιβλέπτου μονῆς ἐν τῷ τόπῳ τῷ καλουμένῳ Σίγματι ἀγαγόντες ἀποτυφλοῦσι καὶ ἄμφω, τοῦ Μιχαὴλ πολλὰ καθικετεύσαντος πρότερον τὸν ἑαυτοῦ τυφλωθῆναι θεῖον ὡς πάντων τῶν γενομένων κακῶν καὶ πρωτουργὸν καὶ αἴτιον· ὃ καὶ ἐγένετο. τυφλωθέντες οὖν ἐξορίζονται, ὁ μὲν Μιχαὴλ εἰς τὸ μοναστήριον τῶν Ἐλεγμῶν εἰκάδι πρώτῃ μηνὸς Ἀπριλλίου, ἰνδικτιῶνος ι' τοῦ ϛφν' ἔτους, βασιλεύσας ἐπὶ μῆνας δ' καὶ ἡμέρας ε', οἱ δὲ συγγενεῖς αὐτοῦ πάντες ἄλλος ἀλλαχῇ διεσπάρησαν.

Πάλιν δὲ τῆς ἀρχῆς εἰς τὴν Ζωὴν μετακυλισθείσης, συμβασιλεύουσαν ἔχουσαν, ὡς εἴπομεν, οὐχ ἑκοῦσαν καὶ τὴν ἀδελφὴν

6 καμπανάριος C 14 σίγματα C 20 καὶ οἱ συγγενεῖς δὲ πάντες αὐτοῦ ἄλλος ἀλλαχοῦ C

vellent percontata est. ibi vero omnes una voce exclamare "tollatur scelerosus, auferatur e medio flagitiosus, in palum suffigatur, in crucem agatur, excaecetur." ac Zoe quidem a supplicio abhorrebat et infelicem miserabatur: sed Theodora irae plena, tuncque licentiam nacta, recens creato praefecto urbis (erat is Campanares) mandat ut statim eat Michaelo et Nobilissimo oculos effossum. hunc ad Studianum monasterium euntem universa multitudo est comitata. eorum adventu cognito hi in penetrale fani Ioannis Baptistae confugiunt. sed populus ira etiamnum ardens ob cives interfectos vi eo irrumpit, indeque eos abreptos per forum pedibus trahunt usque ad locum cui Signa nomen, supra Periblepti situm monasterium. ibique utrique oculos eruunt, Michaelo multis precibus deposcente ut de avunculo priore loco sumeretur supplicium, ut qui auctor causaque omnium istorum fuisset malorum; quod et impetravit. oculis amissis relegati sunt, Michaelus in monasterium Elegmorum, 21 die Aprilis, indictione 10 anni supra indicati. imperavit menses 4, dies 5. cognati eius alii alio dispersi sunt.

Imperio Zoae restituto, quae sororem Theodoram, quantumvis invita, consortem habebat, statim et honorum gradibus senatorio ordini

Θεοδώραν, τιμῶν μὲν ἡ σύγκλητος προβιβασμοῖς ἐγεραίρετο καὶ δωρεῶν διανομαῖς τὸ κοινόν, καὶ τὰ πράγματα προμηθείας τῆς P 753 ἐνδεχομένης ἐτύγχανε, γραμμάτων ἁπανταχοῦ καὶ διαταγμάτων ἐκπεμπομένων, ἀπριάτην τε τὰς ἀρχὰς γίνεσθαι καὶ μὴ ὠνίους ὡς πρότερον ὑπισχνουμένων, καὶ πᾶσαν ἀδικίαν ἐκ μέσου διοριζομένων ἐλαύνεσθαι. τούτων δὲ καταστάντων ὡς τοῖς κρατοῦσιν ἐδόκει, ἤχθη καὶ ὁ νωβελίσσιμος Κωνσταντῖνος ἀπὸ τῆς ὑπερορίας, καὶ περὶ τῶν δημοσίων ἀνακρινόμενος χρημάτων, τὰς ἀπειλὰς πτοηθείς, ὑπέδειξεν ἐν τῷ κατὰ τοὺς ἁγίους ἀποστόλους οἴκῳ αὐτοῦ κεκρυμμένα ἔν τινι κινστέρνῃ χρυσίου κεντηνάρια ν' ἐπὶ τρισί. καὶ ταῦτα μὲν διεκομίσθη τῇ βασιλίδι, ἐκεῖνον δ' αὖθις ἡ ὑπερορία ἐδέξατο. προχειρίζεται δὲ ἡ βασιλὶς δομέστικον τῶν σχολῶν B τῆς ἀνατολῆς Νικόλαον πρόεδρον τὸν εὐνοῦχον τοῦ ἰδίου πατρός, καὶ δοῦκα τῆς δύσεως Κωνσταντῖνον πατρίκιον τὸν Καβασίλαν· τὸν δὲ πατρίκιον Γεώργιον τὸν Μανιάκην, ἤδη παρὰ τοῦ Μιχαὴλ φθάσαντα τῆς φρουρᾶς ἀπολυθῆναι, μάγιστρον τιμήσασα στρατηγὸν αὐτοκράτορα τῶν ἐν Ἰταλίᾳ ταγμάτων ἐκπέμπει. καὶ ταῦτα μὲν γέγονεν οὕτως. βουλῆς δὲ προτεθείσης περὶ βασιλέως, καὶ δόξαν τοῖς πᾶσι βασιλέα προχειρισθῆναι καὶ τῇ Ζωῇ νομίμως συναφθῆναι, ἔσπευδε μὲν αὐτὴ Κωνσταντῖνον ἀγαγέσθαι τὸν κατεπάνω, ὃν δὴ καὶ Ἀρτοκλίνην, ἀφ' ἧς ὑπηρεσίας μετεχειρί- C σατο, ἀπεκάλουν· ἦν γὰρ ὁ ἀνὴρ εὐπρεπὴς τὴν ὥραν, ἐλέγετο δὲ καὶ λάθρᾳ τῇ Ζωῇ πλησιάζειν. ἀλλὰ τοῦτον μὲν ἡ σύνοικος

18 παρὰ C   21 ἀργοχλίνην P

et largitionibus et multitudini gratiae sunt actae, ac rei publicae quanta omnino poterat cura gesta. nam in omnes imperii partes literae et edicta dimittebantur, quae et magistratus vendi, quod ante erat factitatum, prohiberent, et omnia iniustitiae genera exterminari iuberent. his ita ex Augustarum sententia constitutis, adductus etiam Nobilissimus ab exsilio. cumque de publicis interrogaretur pecuniis, minis perterritus demonstravit domi suae, quae erat prope fanum apostolorum, abscondita auri centenaria quinquaginta tria in cisterna quadam. ea pecunia Augustabus reddita Nobilissimus in exsilium remissus. deinde Augusta creavit domesticum scholarum Orientis Nicolaum praesidem, eunuchum sui patris, et ducem Occidentis Constantinum patricium Cabasilam. patricium autem Georgium Maniacem, quem iam ante Michaelus e custodia dimiserat, magistri honore ornavit et cum pleno imperio imperatorem exercitui in Italiam misit. secundum haec de imperatore creando cogitatum, placuitque omnibus ut imperator designaretur ac Zoae legitimo coniugio copularetur. ac cupiebat sane ipsa maritum habere Constantinum Catepano, quem et ab officio quod gesserat Artoclinam vocabant, quod et formosus erat et cum Zoa occulte rem habere

φαρμάκοις ἐξάγει τοῦ βίου, οὐκ ἐπειδὴ ἀποστόργως εἶχε πρὸς αὐτόν, ἀλλ' ἐπειδὴ ἔμελλε τούτου ἔτι ζῶσα στερίσκεσθαι. καὶ λοιπὸν ἀστοχήσασα ἡ βασιλὶς τοῦ σκοποῦ, μεταπέμπεται ἀπὸ τῆς ἐξορίας Κωνσταντῖνον τὸν Μονομάχον, παρὰ τοῦ ὀρφανοτρόφου τὴν νῆσον Μιτυλήνην κατακριθέντα οἰκεῖν διὰ τὸ παρὰ πάντων φημίζεσθαι ὡς μέλλει κρατῆσαι τῆς βασιλείας. τοῦτον γάρ, ὁπηνίκα τὸν ἕτερον ἐβουλεύετο Κωνσταντῖνον εἰς τὸν βασίλειον θρόνον
D ἀναγαγεῖν, δικαστὴν Ἑλλήνων προεχειρίσατο· ἐπειδὴ δὲ κἀκεῖνος, ὡς εἴπομεν, κατειργάσθη φαρμάκῳ, ὁ ῥηθεὶς Μονομάχος καὶ τῷ θανόντι ὁμώνυμος πρὸς τρόπου ἐνομίσθη τῇ βασιλίδι. ἤχθη οὖν πρὸς τὸν ἄγχιστα τοῦ Ἀθύρος διακείμενον ναὸν τοῦ ἀρχιστρατήγου τὸν ἐν Δαμοκρανείᾳ· καὶ πεμφθεὶς Στέφανος εἷς ὢν τῶν θαλαμηπόλων εὐνούχων τῆς βασιλίδος ὁ Περγαμηνὸς ἀποδιδύσκει μὲν αὐτὸν τὴν ἰδιωτικὴν στολήν, ἀμφιέννυσι δὲ πορφυρίδα βασιλικήν, καὶ δρόμωνι ἐμβιβάσας ἄγει πρὸς τὰ βασίλεια. ᾧ τινὶ ἀχθέντι συνάπτεται εἰς κοινωνίαν γάμου ἡ βασιλίς, τῆς ἱερολογίας γενομένης παρὰ τοῦ πρώτου τῶν πρεσβυτέρων τῆς νέας, ὃς Στυπῆς ὠνομάζετο, ια' τότε τοῦ Ἰουνίου μηνὸς ἄγοντος, τοῦ ,ϛφν' ἔτους. στέφεται δὲ τῇ ἐπαύριον παρὰ τοῦ πατριάρχου.

P 754 Καὶ ἤδη τῶν σκήπτρων γενόμενος ἐγκρατὴς πάντας μὲν τοὺς συγκλητικοὺς βαθμοῖς ἀξιωμάτων κατὰ τὴν ἑκάστου προεβίβασεν ἀξίαν, καὶ χρυσίου δὲ διανομαῖς τὸ πλῆθος ἐφιλοτιμήσατο. ἐξαπέστειλε δὲ καὶ ἀναφορὰς ἐν πᾶσι τοῖς θέμασι, τήν τε ἀνάρρησιν

2 ζῶντος C   5 κατακριθέντος libri   6 μέλλων C   8 δὲ om C

dicebatur. sed eum uxor veneno necavit, non quod ei infensa esset, sed quod se vivam eo privatum iri intelligebat. Zoe hoc consilio ad irritum relapso Constantinum Monomachum ab exsilio revocat, quem orphanotrophus Mitylenam deportari iusserat, quod omnium rumore perhiberetur imperio potiturus. hunc Zoe, dum adhuc de altero illo Constantino ad imperii culmen evehendo cogitaret, praetorem Graecorum designarat. verum ut is veneno fuit sublatus, quod hic idem nomen gerebat, Augustae commodus visus. ergo adductus est ad templum principis exercituum, quod in Damocranea est Athyro proximum; missusque Stephanus Pergamenus, unus de cubiculariis Augustarum eunuchis, qui eum privato habitu exutum imperatoria amiciret purpura et celoci impositum in palatium adduceret. adducto Augusta Zoe nupsit, consecrante matrimonium primo Novae Romae presbytero, cui Stypes erat nomen, die Iunii undecima anni eius quem supra indicavimus. postridie coronatus est a patriarcha.

Monomachus occepto imperio et senatorios viros, prout cuiusque dignitas ferebat, ad sublimiores evexit honores, et pecuniae distributione suam in populum liberalitatem declaravit. emisit etiam decreta per omnes provincias, quae et ipsum esse imperatorem factum indica-

αὐτοῦ δηλούσας, καὶ ὑπισχνουμένας παντὸς μὲν ἀγαθοῦ βλύσιν καὶ παῤῥησίαν πάσης δὲ κακίας ἀποτομήν. μετεβίβασε δὲ καὶ Ἰωάννην τὸν ὀρφανοτρόφον μετὰ πάντων ὧν εἶχεν ἀπὸ τῆς μονῆς τῶν Μονοβατῶν εἰς τὴν νῆσον Λέσβον, καὶ Μιχαὴλ τὸν πρὸ τοῦ βασιλέα εἰς Χίον, καὶ Κωνσταντῖνον τὸν νωβελίσσιμον εἰς Σάμον. καὶ ταῦτα μὲν ἐπράχθη ἐν προοιμίοις τῷ Μονομάχῳ, κατὰ τὴν ι' ἰνδικτιῶνα· κατὰ δὲ τὴν ϛ' τοῦ Ὀκτωβρίου μηνός, τῆς ια' ἰνδικτιῶνος, B τοῦ ,ϛφνα' ἔτους, ἐφάνη κομήτης ἀπὸ τῆς ἕω πρὸς τὴν δύσιν ποιούμενος τὴν πορείαν, καὶ ὡρᾶτο λάμπων παρ' ὅλον τοῦτον τὸν μῆνα. προεμήνυε δ' οὗτος τὰς μελλούσας ἐπισυμβήσεσθαι κοσμικὰς συμφοράς. Στεφάνου γὰρ τοῦ καὶ Βοϊσθλάβου, ὥσπερ ἔμπροσθεν ἐῤῥήθη, ἀποδράντος ἀπὸ τοῦ Βυζαντίου καὶ τὰ Ἰλλυρικὰ κατασχόντος ὄρη, καὶ Τριβαλλοὺς καὶ Σέρβους καὶ τὰ πρόσοικα γένη καὶ Ῥωμαίοις ὑπήκοα κατατρέχοντος καὶ ληϊζομένου, μὴ φέρων ὁ Μονομάχος τὰς ἐκείνου καταδρομὰς τῷ τότε ἄρχοντι τοῦ Δυῤῥαχίου (ἦν δὲ Μιχαὴλ πατρίκιος, ὁ Ἀναστασίου τοῦ λογοθέτου υἱὸς) γράμμασιν ἐγκελεύεται τὸν ὑπ' αὐτὸν ἀθροῖσαι C τοῦ Δυῤῥαχίου λαὸν στρατιωτικόν, ἔτι δὲ καὶ τὰς στρατιὰς τῶν ἐγγιζόντων τούτῳ θεμάτων καὶ αὐτῷ ὑποκειμένων, καὶ συνάμα τοῖς ὑποστρατηγοῖς εἰς Τριβαλλοὺς ἀπελθεῖν καὶ καταπολεμῆσαι τὸν Στέφανον. ὁ δὲ πολεμικῆς ἐπιστήμης ἀπέχων μακρὰν οἷα σκιατραφὴς ἄνθρωπος καὶ εὐπαθείαις ἐντεθραμμένος, ἀφυῶς καὶ ἀτέχνως ἐπιχειρήσας τῷ ἔργῳ μεγάλης αἴτιος ἀτυχίας

12 ἐκ C   16 τοῦ] τοῖς C   18 λαὸν στρ.] στρατὸν C
20 τριβολοὺς C

rent, et promitterent fore ut sub ipso omnia honesta vigerent omniaque flagitia exscinderentur. Ioannem quoque orphanotrophum cum omnibus quae ipsius erant, a Monobatarum monasterio in Lesbum, et Michaelum recens imperio privatum in Chium, Constantinumque Nobilissimum in Samum deportavit. hoc usus exordio Monomachus indictione 10. sexta porro Octobris die, indictione 11, anno mundi 6551, cometa apparuit, ab oriente ad occasum proficiscens, totoque illo mense fulsit. is portendebat calamitates mundo eventuras. cum enim Stephanus, qui et Boisthlabus, fuga, ut ante docuimus, ex urbe elapsus Illyricos occupasset montes, ac Triballos et Servos indeque viciniam Romanis subditam populationibus vexaret, Monomachus earum grassationum impatiens Michaelo patricio Anastasii logothetae filio, tum Dyrrachii praefecto, mandat per literas ut collectis et suis et aliis militibus, quotquot in vicinis ac Romanis subditis provinciis dispositi erant, una cum ordinum ductoribus in Triballos proficiscatur et Stephanum debellet. is vero Michaelus rei bellicae ignarissimus, quippe in umbra et inter delicias educatus, inepte et inscite rem aggressus magnam rei Romanae

τῷ Ῥωμαίων ἐγένετο πολιτεύματι. ἀθροίσας γὰρ ὡς προσετέτακτο δυνάμεις, οὔσας περὶ τὰς ἑξήκοντα χιλιάδας, εἴσεισιν εἰς D Τριβαλλούς, διοδεύσας ὁδοὺς ἀνάντεις καὶ τραχείας καὶ ἀποκρήμνους καὶ στενοχώρους ὡς μὴ ἐν ταὐτῷ δύνασθαι δύο ἱππότας βαδίζειν, ἐνδόντων ἐξεπίτηδες, ὥς φασι, καὶ τῶν Σέρβων καὶ συγχωρησάντων τὴν εἴσοδον, μήτε τῆς ὑποστροφῆς φροντίσας μήτε φυλακὴν ἐπιστήσας ἀξιόμαχον ταῖς στενοχωρίαις. ἐκεῖνος μὲν οὖν εἰσελθὼν ἐδῄου τὰς πεδιάδας καὶ ἐπυρπόλει, οἱ δὲ Σέρβοι καταλαβόντες ἐφύλαττον τὰ στενὰ καὶ ἀπόκρημνα τῆς τρίβου, καὶ προσέμενον τὴν ὑποστροφήν. ὡς δὲ ἅλις τῷ Μιχαὴλ ἐδόκει τὰ τῆς λεηλασίας, καὶ λείαν πολλὴν καὶ αἰχμαλωσίαν περιεβάλετο, καὶ καιρὸς ἐφάνη ἀναζυγῆς, κἀν ταῖς στενοχωρίαις ὁδοιποροῦντες ἐγένοντο, τότε δὴ ἀφ' ὕψους οἱ πολέμιοι χέρμασί τε βάλλοντες καὶ τόξοις καὶ παντοίοις ἑκηβόλοις ὀργάνοις καὶ λίθους ὑπερμεγέθεις κυλίοντες ἀνῄρουν, τῶν περὶ τὸν Μιχαὴλ μήτε χερσὶ μήθ' ὅπλοις χρήσασθαι δυναμένων, μήτ' ἀρετῆς ὅλως ἐπιδείξασθαι P 755 ἔργον. καὶ οἱ μὲν αὐτόθι βαλλόμενοι ἔπιπτον, οἱ δὲ κατεκρημνίζοντο καὶ ἐλεεινῶς ἀνηλίσκοντο, ὡς πληρωθῆναι νεκρῶν τὰς παρακειμένας φάραγγας καὶ τοὺς ῥύακας καὶ βατὰς γενέσθαι τοῖς διώκουσιν. ἔπεσον οὖν περί που τὰς μ' χιλιάδας, ἀνῃρέθησαν δὲ καὶ στρατηγοὶ ἑπτά. οἱ δὲ λοιποὶ ἐν ταῖς λόχμαις καὶ ταῖς νάπαις καὶ ταῖς συναγκείαις κρυβέντες τῶν ὀρέων, καὶ τοὺς τῶν ἐναντίων διαδράντες ὀφθαλμούς, καὶ διὰ τῶν κορυφῶν τούτων ἀναρριχώμενοι, νυκτὸς διεσώθησαν· πεζοὶ καὶ γυμνοὶ καὶ τοῖς ὁρῶσι θέαμα

2 δυν. ὡς φασὶν οὔσας C 3 τριβολὸν C 10 ἐπιστροφήν C 13 χερμάδας C 19 τὰς C

calamitatem invexit. contractis enim ut iussus erat copiis (ad sexaginta milia militum eae continebant) in Triballos duxit itineribus acclivibus asperis salebrosis ac ita angustis ut ne bini quidem simul ire equites possent, Servis, ut fertur, dedita opera cedentibus ac intrare eum sinentibus, neque de reditu solicitum neque iusto praesidio angustias occupantem. ita ingressus campestria direptionibus incendiisque vastabat. at Servi fauces itinerum ac praerupta insidere et reditum eius praestolari. Michaelus ut satis praedae captivorumque partum tempusque domum reducendi putavit, et in reditu in angustias pervenit, ibi vero Servi de sublimioribus locis Romanos saxis lapidibus sagittis omnisque generis missilibus impetere, neque armis neque manibus uti valentes, aut ullo modo rem gerere. ita alii missilibus prosterni, alii per praecipitia devolvi, miserabili clade, adeo ut adiacentes convalles atque cavitates cadaveribus impletae persequentibus perviae essent. perierunt ad 40 milia et 7 duces: reliqui per saltus ac silvas montium dissipati et conspectui hostium subducti in cacumina evaserunt,

ἐλεεινὸν καὶ θρήνων ἄξιον. διεσώθη δὲ μετ᾽ αὐτῶν καὶ ὁ Μιχαήλ, τὴν ἴσην καὶ αὐτὸς περικείμενος τύχην.

Γεώργιος δὲ μάγιστρος ὁ Μανιάκης ἐν Ἰταλίᾳ, ὡς εἴρηται, B παρὰ Ζωῆς τῆς βασιλίδος πεμφθεὶς ἐφ᾽ ᾧ καταστήσασθαι τὰ ἐκεῖ (ἐνόσει γὰρ τὰ πάντα καὶ κακῶς ἐφέρετο ἀπειρίᾳ καὶ φαυλότητι ἀρχηγῶν), πρὸς ἀποστασίαν ἀπεῖδεν. ἄξιον δὲ εἰπεῖν ἐπιδραμόντας καὶ τὰς αἰτίας εἰς ἀκριβῆ γνῶσιν τῶν τῷ βιβλίῳ ἐντυγχανόντων. ὅτε γὰρ οὗτος πρῶτον εἰς Ἰταλίαν ἐπέμφθη παρὰ τοῦ βασιλέως Μιχαὴλ συμμαχήσων Ἀπολάφαρ Μαχοῦμετ τῷ τῆς Σικελίας ἄρχοντι πολεμουμένῳ παρὰ τοῦ οἰκείου ἀδελφοῦ καὶ τῶν Ἄφρων, ἔτυχε προσεταιρισάμενος καὶ Φράγγους πεντακοσίους ἀπὸ τῶν πέραν τῶν Ἄλπεων Γαλλιῶν μεταπεμφθέντας καὶ ἀρχηγὸν ἔχοντας Ἀρδουῖνον τὴν κλῆσιν, χώρας τινὸς ἄρχοντα καὶ ὑπὸ μηδενὸς ἀγόμενον, μεθ᾽ ὧν τὰ τῶν Σαρακηνῶν εἰργάσατο τρό- C παια. ἐπεὶ δὲ οὗτος συκοφαντηθεὶς παρελύθη τῆς ἀρχῆς καὶ εἰς τὴν πόλιν εἰσαχθεὶς καθείρχθη, καὶ ἄρχειν ἀντ᾽ αὐτοῦ τῆς Ἰταλίας ἐπέμφθη Μιχαὴλ πρωτοσπαθάριος ὁ Δοκειανός, ἀνεπιτήδειος ἄνθρωπος καὶ πρὸς μεταχείρησιν πραγμάτων οὐκ εὐφυής, οὐκ ἐδεήθη χρόνου συγχέαι καὶ διαφθεῖραι τὰ πάντα. μὴ παρέχων γὰρ κατὰ καιρὸν τοῖς Φράγγοις τὸ αὐτοῖς παρεχόμενον ἐφ᾽ ἕκαστον μῆνα σιτηρέσιον, μᾶλλον δέ, ὥς φασι, καὶ τὸν ἡγεμόνα τούτων, ἀφιγμένον ὡς αὐτὸν ἐφ᾽ ᾧ παρακαλέσαι ἠπίως χρῆσθαι τοῖς στρατιώταις καὶ μὴ ἀποστερεῖν τούτους τοῦ τῶν πόνων μι-

1 οἰκτρὸν καὶ ἐλεεινὸν καὶ C 3 ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις C 7 εἰς — ἐντυγχανόντων add C 16 τῆς Ἰταλίας om C

noctuque ad sua pervenerunt, miserandum ac lacrimabile spectaculum. inter hos fuit etiam ipse Michaelus simili usus fortuna.

At in Italiam, ut demonstravimus, missus a Zoa Georgius Maniaces magister, ut res ibi ducum ignavia labefactatas constitueret, tyrannidem affectavit. estque operae pretium huius facinoris causas perstringere. quo tempore ab imperatore Michaelo in Italiam missus fuerat Maniaces, ut Apolaphari Muchumeto Siciliae principi a fratre suo et Afris oppugnato auxilium ferret, socios sibi adsciverat 500 Francos, e Gallia transalpina evocatos, duce Arduino, cuiusdam regionis domino nemini subdito. his sociis sua de Saracenis statuerat tropaea. postquam vero Maniaces per calumniam imperio privatus ac Byzantium in carcerem abductus fuit, missusque ei successor Michaelus protospatharius Doceanus, homo ineptus, nulla mora interposita periit res Romana. nam hic cum Francis non praebuisset menstrua quae accipere solebant stipendia, earumque insuper ducem, qui ad ipsum venerat hortabaturque ut benigne milites tractaret neque eos mercede laborum fraudaret,

D σθοῦ, ὑβρίσας καὶ μαστιγώσας ἀτίμως, ἠνάγκασε τοὺς ἀνθρώπους ἀποστατῆσαι. ὧν ὅπλα κεκινηκότων δέον τὰς Ῥωμαϊκὰς ἁπάσας ἀθροῖσαι δυνάμεις καὶ τούτοις προσμῖξαι, ὁ δὲ τοῦτο οὐκ ἐποίησεν, ἀλλ' ἓν εἰληφὼς τάγμα τὸ τοῦ Ὀψικίου καὶ μέρος τῶν Θρᾳκησίων, καὶ συμβαλὼν αὐτοῖς ἐν Κάνναις περὶ τὸν Ἄμφιδον ποταμόν, ἔνθα καὶ κατὰ τοὺς πάλαι χρόνους Ἀννίβας τὰς πολλὰς τῶν Ῥωμαϊκῶν στρατευμάτων κατέκοψε μυριάδας, ἡττήθη καὶ τὸ πλέον ἀπέβαλε τῆς στρατιᾶς, αἴσχιστως καὶ αὐτὸς ἐν Κάνναις διασωθείς. οὕτω δὲ πληγεὶς οὐδὲ μετὰ τὴν πληγὴν κατὰ τὸν ἐν παροιμίαις ἁλιέα νοῦν ἔσχεν, οὐδ' ὀχυρώσας ἑαυτὸν πάσῃ τῇ στρατιᾷ προσέβαλε τοῖς ἐχθροῖς, ἀλλ' ὑπὸ θράσους, ὡς ἔοικε, στρατηγούμενος αὐτούς τε τοὺς ἡττηθέντας πάλιν ἀναλαβὼν καὶ Πισσίδας καὶ Λυκάονας, οἵπερ ἀναπληροῦσι τὸ τάγμα τῶν φοιδεράτων, περὶ τὰς λεγομένας Ὥρας προσρήγνυται τοῖς ἐχθροῖς καὶ τρέπεται αὖθις κατὰ κράτος, προσεταιρισαμένων τῶν Φράγγων
P 756 καὶ ἄλλο πλῆθος οὐκ ὀλίγον ἀπὸ τῶν Ἰταλῶν τῶν περὶ τὸν Πάδον τὸν ποταμὸν καὶ τὰς ὑπωρείας οἰκούντων τῶν Ἄλπεων. τοῦτο δὲ πυθόμενος ὁ βασιλεὺς Μιχαὴλ τοῦτον μὲν μετέστησε τῆς ἀρχῆς, ἔπεμψε δὲ τὸν Βοϊωάννην, δοκοῦντα πρακτικὸν ἄνδρα εἶναι καὶ ἐν πολέμοις εὐδόκιμον, καὶ εἰς ἐκεῖνον ἀναφέροντα τὴν τοῦ γένους ἀναφορὰν τὸν ἐπὶ Βασιλείου τοῦ βασιλέως ἐν Ἰταλίᾳ πεμφθέντα Βοϊωάννην, ὃς πᾶσαν τὴν Ἰταλίαν μέχρι Ῥώμης τότε τῷ βασιλεῖ παρεστήσατο. ἀλλὰ καὶ οὗτος ἀπελθὼν κατὰ χώραν καὶ νεαλῆ καὶ ἀκμαίαν δύναμιν μὴ λαβών, ἀλλ' ἀναγκασθεὶς μετὰ τῶν

3 συμμῖξαι C   7 ῥωμαίων, omisso στρατευμάτων, C

per contumeliam flagris (ita enim fertur) cecidisset, coegit Francos a se desciscere. cumque ii arma movissent, et ipse cum omnibus Romanis copiis eos deberet adoriri, unica Opsiciana legione et parte Thracensium stipatus, cum iis apud Cannas prope Aufidum fluvium, quo loco quondam permulta Romanorum milia occidit Annibal, conflixit, victusque amissa maiore exercitus parte Cannas turpiter evasit. hac accepta clade, ne ictus quidem, quod est de piscatore proverbium, sapuit, neque omnibus copiis munitus hostem petiit, sed temeritate nimirum ductus eos ipsos qui victi fuerant collegit; adiunctisque Pisidis et Lycaonibus qui foederatorum legionem implent, Francos, quibus alia haud exigua auxilia ab Italis circa Padum flumen et ad Alpium radices habitantibus accesserant, apud Horas (id loci nomen est) adortus magna rursum pugna victus est. Michaelus imperator his cognitis imperium Doceano abrogat, mittitque pro eo in Italiam Boioannem, qui strenuus et bello egregius videbatur, et ab eo Boioanne ducebat genus qui a Basilio imperatore in Italiam missus totam Italiam ad Romam usque in potestatem eius redegerat. verum is quoque cum eo venisset, et novum exercitum non haberet sed iam ante victos cogeretur in hostem

προηττημένων συμβαλεῖν τοῖς ἐχθροῖς κατὰ τὴν Μονόπολιν ἤδη B κραταιωθεῖσι καὶ τῆς χώρας ὡς ἰδίας ἀντεχομένοις, ἡττηθεὶς ἑάλω, καὶ ὁ σὺν αὐτῷ στρατός, ὅσοι μὴ σιδήρου γεγόνασι παρανάλωμα, ἄλλος ἀλλαχοῦ διεσκεδάσθησαν, διασωθέντες ἐν τοῖς ἔτι τὰ Ῥωμαίων φρονοῦσι φρουρίοις. καὶ λοιπὸν οἱ Φράγγοι τῆς Ἰταλίας ὡς δορυκτήτου ἀντεποιοῦντο κτήματος, τῶν ἐγχωρίων ὧν μὲν ἑκουσίως ὧν δὲ βίᾳ καὶ ἀνάγκῃ προσχωρούντων αὐτοῖς, πλὴν Βρεντησίου καὶ Ἱδροῦντος καὶ Τάραντός τε καὶ Βάρεως· αὗται γὰρ αἱ τέσσαρες πόλεις παρέμειναν πίστιν Ῥωμαίοις φυλάττουσαι. Μιχαὴλ δὲ τοῦ βασιλέως ἀποθανόντος καὶ τοῦ μετ' αὐτὸν ἐξωσθέντος τῆς βασιλείας, ὁ Μανιάκης, ὡς ἄνωθεν C ἐρρέθη, πεμφθεὶς εἰς Ἰταλίαν παρὰ τῆς Ζωῆς, εἰ καὶ μὴ δύναμιν ἀξιόχρεων εἶχεν, ὅμως μετὰ τῆς παρούσης στρατηγικαῖς μηχαναῖς χρησάμενος ἐκδιῶξαι ἴσχυσε τοὺς Φράγγους τῆς Ἰταλίας περὶ Καπύην καὶ Βενεβενδὸν καὶ Νεάπολιν, καὶ μετρίαν κατάστασιν καὶ γαλήνην παρέσχε τοῖς πράγμασι. οὗτος ὁ Μανιάκης κατὰ τὸ θέμα τῶν ἀνατολικῶν τὰς οἰκήσεις ἔχων καὶ Ῥωμανῷ τῷ Σκληρῷ γειτονῶν, διαφερόμενος πρὸς αὐτὸν πολλάκις ἐπεχείρησεν ἀνελεῖν τοῦτον, εἰ μὴ φυγῇ τὴν ἑαυτοῦ ἐπορίσατο σωτηρίαν. ἐπεὶ δὲ τὰ Ῥωμαίων σκῆπτρα ἐς Κωνσταντῖνον ἦλθε τὸν Μονομάχον καὶ ὁ Σκληρὸς ἐπὶ μέγα τύχης ἦρτο (ἐπαλλακεύετο γὰρ τῷ Μονομάχῳ D ἡ τοῦ Σκληροῦ ἀδελφή) μάγιστρος τιμηθεὶς καὶ πρωτοστράτωρ, τῶν εἰς αὐτὸν μεμνημένος τοῦ Γεωργίου καταδρομῶν, καταχρώ-

8 βρενδισίου C 9 πίστεις C 12 εἴρηται C 16 περὶ C
21 ἐπαλλ. — 22 ἀδελφή om C

ducere, qui regionem eam obtinebat ac ut propriam tutabatur, victus apud Monopolin in potestatem hostium vivus pervenit, iis quos ferrum non absumpserat, alio alias dissipatis in castella quae Romanis adhuc favebant. exinde Franci Italiam ut bello partam sibi vindicavere, incolis qua ultro se dedentibus qua vi subactis. quattuor tantum urbes in Romanorum fide permanserunt, Brundusium, Hidrus, Tarentum et Baris. Michaelo imperatore mortuo et Calaphata eius successore exturbato missus in Italiam, ut diximus, Maniaces, quanquam non esset satis iustis copiis instructus, artibus tamen imperatoriis tantum confecit, ut et Francos Italia pelleret apud Capuam Beneventum ac Neapolin, et res mediocri in quiete ac securitate constitueret. habebat hic Maniaces in provinciis Orientalibus possessiones, et vicinum Romanum Durum, cum quo exercuerat inimicitias; et eum aliquoties, nisi fuga sibi cavisset, interfecturus fuerat. postquam vero imperio Romano potitus est Monomachus, Durus quoque ad summam evectus fortunam (nam ab imperatore, qui sorore eius pro pellice utebatur, magister et protostrator factus erat) iniuriarum Maniacis memor, abusus sua po-

μενος τῇ ἐξουσίᾳ καὶ τὴν ἀπουσίαν κατατρέχων τοῦ Μανιάκη, τά τε ἀνήκοντα αὐτῷ ἐδῄου καὶ ἔκειρε χωρία καὶ εἰς τὴν τούτου κοίτην ἀνέδην ἐξύβρισεν. ὅπερ ἐκεῖνος ἐν Ἰταλίᾳ πυνθανόμενος ἤσχαλλε καὶ διεπρίετο τῷ θυμῷ. ἄρτι δὲ καὶ σπουδῇ τοῦ Ῥωμανοῦ παραλυθεὶς τῆς ἀρχῆς καὶ τοῖς πᾶσιν ἀπεγνωκὼς (ᾔδει γὰρ ὡς οὐκ εἰς χρηστὸν αὐτῷ τέλος ἡ εἰς τὸ Βυζάντιον ἄφιξις τελευτήσει), τὰς ἐν Ἰταλίᾳ δυνάμεις ἀνασείσας καὶ διαφθείρας, διψώντων τῶν στρατιωτῶν τὰς οἰκείας ἰδεῖν πατρίδας, ὅπλα κατὰ τοῦ βασιλέως κινεῖ. καὶ τὸν μὲν πεμφθέντα διάδοχον αὐτοῦ (ἦν
P 757 *δὲ ὁ πρωτοσπαθάριος Πάρδος, ἀνὴρ Βυζάντιος, καὶ δι' ἄλλο μὲν οὐδὲν ἀγαθόν, ὅτι δὲ γνώριμος ἦν τῷ βασιλεῖ, τηλικαύτης χώρας ἄρχειν πεμφθεὶς) ἀναιρεῖ, αὐτὸς δὲ αὐτῷ διάδημα περιθεὶς καὶ τὰ τῆς βασιλείας παράσημα ἀναλαβὼν ἀναγορεύεται βασιλεύς, καὶ πλοίοις ἐμβιβάσας τὰς δυνάμεις περαιοῦται ἐν Βουλγαρίᾳ. τοῦτο μαθὼν ὁ βασιλεὺς εἰς ταραχὴν οὐ τὴν τυχοῦσαν ἐνέπεσε· καὶ γράμματα μὲν πρὸς αὐτὸν ἐκπέμπει παντὸς ἀπολύοντα φόβου τοῦτον καὶ τοὺς σὺν αὐτῷ, παρακαλοῦντά τε ἀποθέσθαι τὰ ὅπλα, καὶ ὑπισχνούμενος πᾶσαν εὐεργεσίαν· ἐπεὶ δὲ ἐκεῖνος ἄτεγκτος ἦν καὶ οὐ μεθίετο τοῦ σκοποῦ, ἀγηοχὼς καὶ αὐ-*
B *τὸς ἃς εἶχε δυνάμεις, καὶ στρατηγὸν αὐταῖς ἐπιστήσας αὐτοκράτορα τὸν Σεβαστοφόρον Στέφανον τὸν ἐν Δαμοκρανείᾳ τὰ τῆς βασιλείας εὐαγγέλια τούτῳ διακομίσαντα, ἐκπέμπει κατὰ τοῦ ἀποστάτου. καὶ συναντῶσι τὰ στρατεύματα κατὰ τὸν λεγόμενον Ὀστροβὸν ἐν τῷ Μαρμαρίῳ, καὶ συμπλοκῆς γενομένης τρέπονται*

3 πυθόμενος C 6 αὔξησις C 21 δαμοκρανία C

tentia et Maniacis absentia, dicioni eius multa intulit damna et thalamum eius licenter polluit. de quibus Maniaces in Italia factus certior, magnas animo molestias irasque agitabat. cumque opera Romani insuper factum esset ut magistratus ipsi abrogaretur, deploratis prorsus rebus (intelligebat enim reditum in urbem non bene sibi cessurum), concitatis atque corruptis Italicis copiis, cum iam desiderio in patriam redeundi milites arderent, arma contra imperatorem movet. missum ergo sibi successorem Pardum protospatharium, hominem Byzantinum, neque ullam ob praestantiam, sed quia notus erat imperatori, tantae provinciae praefectum, interfecit. ipse diademate et reliquis imperii sumptis insignibus imperator salutatur, exercituque in naves imposito in Bulgariam traiicit. imperator postquam de hoc rescivit, non leviter perturbatus, literas ad eum mittit, in quibus ipsi et quos secum habebat impunitatem et multa beneficia pollicetur. cum autem a proposito ille non dimoveretur, ipse quoque suas copias contrahit, et duce eas Stephano Sebastophoro (id est Augustifero), qui ipsi ad Damocraneam laetum delati imperii nuntium attulerat, contra perduellem mittit. concurrerunt adversi exercitus apud Ostrobum in Marmario, fusaeque Ste-

οἱ περὶ τὸν Στέφανον, αὐτοῦ τοῦ Μανιάκη προηγουμένου καὶ τὰς φάλαγγας διακόπτοντος. καὶ αὐτὸν ὡς βασιλέα εὐφήμουν. ἐν ὅσῳ δὲ ταῦτα ἐγίνετο, αἰφνιδίως ἐκ τοῦ ἵππου πεσὼν οὗτος ἀπέθανε, μηδενὸς φανέντος τοῦ τοῦτον τρώσαντος· εὑρέθη γὰρ ἔχων κατὰ τοῦ στήθους καιρίαν πληγήν. τούτου δὲ γνωσθέντος τῷ ἐναντίῳ στρατεύματι, ἀποτέμνεται μὲν ἡ κεφαλὴ τοῦ Γεωργίου, C συλλαμβάνονται δὲ καὶ πάντες οἱ αὐτῷ συναράμενοι, ἅμα τῇ πτώσει τοῦ ἀρχηγοῦ τὰ ὅπλα ῥίψαντες καὶ ἑαυτοὺς ἐγχειρίσαντες. καὶ τῷ μὲν βασιλεῖ ἄγγελος ἐπέμφθη κομίζων τὰ εὐαγγέλια τῆς νίκης, εἴσεισι δὲ μεθ' ἡμέρας τινὰς καὶ ὁ Στέφανος τὴν κεφαλὴν ἄγων τοῦ Μανιάκη καὶ τοὺς κρατηθέντας ἐν τῷ πολέμῳ· καὶ διὰ μέσης τῆς πλατείας θριαμβεύσας προηγουμένης τῆς κεφαλῆς ἄνωθεν δόρατος, καὶ τῶν ἀποστατῶν ὄνοις ἐποχουμένων, αὐτὸς ὄπισθεν εἵπετο, ἵππῳ λευκῷ ἐφεζόμενος. καὶ τὰ μὲν περὶ τὸν Μανιάκην τοιοῦτον εἴληφε τέλος.

Γέγονε δέ τις καὶ ἄλλη ἀποστασία ἐν Κύπρῳ κατὰ τοῦτον D τὸν χρόνον, πρωτουργὸν ἔχουσα Θεόφιλον τὸν Ἐρωτικόν· οὗτος γὰρ τῆς νήσου στρατηγῶν καὶ νεωτέρων ἀεὶ πραγμάτων ἐφιέμενος, ἐπείπερ ἐπύθετο τὴν τοῦ Καλαφάτου καταστροφὴν καὶ τὴν κατασχοῦσαν τὰ πράγματα σύγχυσιν, καιρὸν εὔθετον εὑρεῖν οἰηθεὶς πρὸς τὸ σπουδαζόμενον, τότε τὸ ἔθνος ἅπαν τῶν Κυπρίων ἀνάπτει, καὶ τὸν δικαστὴν καὶ πράκτορα τῶν δημοσίων φόρων τὸν πρωτοσπαθάριον Θεοφύλακτον ἀνελεῖν παρασκευάζει, ἔγκλημα τούτῳ ἐπενεγκὼν ὡς βαρείας τὰς τῶν συντελειῶν ποιουμένῳ εἰσπράξεις. ἀλλὰ πρὸς τοῦτον οὐκ ἐδέησε τῷ Μονομάχῳ μακροτέρας

25 μακροῦ χρόνου C

phani copiae sunt, ipso Maniace primos ducente et hostium ordines disiiciente. iamque universi eum imperatorem faustis ominibus salutabant, cum subito equo delapsus exspirat, non exstante vulneris auctore, quod in pectore letale acceperat. quod simulatque innotuit imperatoriis, caput Maniaci amputatur; et qui ab ipsius partibus steterant, amisso duce, abiectis armis deditionem fecerunt. confestim ad imperatorem nuntius victoriae mittitur. aliquot diebus post Stephanus in urbem redit, afferens caput Maniaci et bello victos, quos in triumpho duxit per mediam plateam, asinis insidentes, praelato in hasta capite Maniacis; et ipse albo equo vehens pompam est subsecutus.

Sub idem tempus Theophilus Eroticus Cypri praetor, homo semper novandarum rerum cupidus, cognito Calaphatis exitu et rerum confusione, opportunum se tempus nactum ratus sui instituti conficiendi, totum Cyprium populum concitat, instigatque ad necem Theophylacti protospatharii iudicis ac publici tributi exactoris, sub praetextu nimii ab eo in exigendo adhibiti rigoris. ad hunc opprimendum nihil opus fuit Mo-

τριβῆς· χειροῦται γὰρ αὐτὸν ἐκπεμφθεὶς ὁ [τε] τοῦ στόλου κατάρχων Κωνσταντῖνος πατρίκιος ὁ Χαγέ, τὸ ἔθνος ἅπαν τῶν Κυπρίων ὑποποιησάμενος, καὶ εἰς βασιλέα ἄγει. ἀχθέντα δὲ θῆλυν ὁ βασιλεὺς ἐνδύσας στολὴν καὶ ἐν τῷ ἱππικῷ ἱπποδρομίας ἀγομένης θριαμβεύσας καὶ τῶν ὑπαρχόντων ψιλώσας ἀπέλυσε.

P 758 Τῇ δὲ κ' τοῦ Φεβρουαρίου μηνός, τῆς ια' ἰνδικτιῶνος, κατέλυσε τὴν ζωὴν Ἀλέξιος ὁ πατριάρχης, καὶ ἀνάγεται εἰς τὸν αὐτοῦ θρόνον Μιχαὴλ ὁ Κηρουλάριος, κατὰ τὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ, μοναχὸς ὢν ἐξ οὗπερ ὁ ὀρφανοτρόφος αὐτὸν διὰ τὴν ἐπιβουλὴν ἐξώρισε. προσαγγέλλεται δὲ τῷ βασιλεῖ καὶ χρυσίον ἀποτεθησαυρισμένον ἐν τῇ τοῦ Ἀλεξίου μονῇ, καὶ πέμψας ἀναλαμβάνεται τοῦτο, εἰς κεντηνάρια ποσούμενον κε'. Μαΐου δὲ δευτέρας, τῆς αὐτῆς ἰνδικτιῶνος, ἐκτυφλοῦται καὶ ὁ ὀρφανοτρόφος ἐν τῷ λεγομένῳ χωρίῳ τῶν Μαρυκάτου, ὡς μέν τινες B φασίν, ὑπὸ Θεοδώρας ἄκοντος τοῦ βασιλέως, ὡς δὲ ὁ τῶν πολλῶν κρατεῖ λόγος, παρ' αὐτοῦ τούτου ἐγκοτῶντος αὐτῷ διὰ τὰς ὑπερορίας, καὶ τῇ ιγ' τοῦ αὐτοῦ μηνὸς ἀποθνήσκει. Ἰουλίῳ δὲ μηνὶ τῆς αὐτῆς ἰνδικτιῶνος κατηγορήθη καὶ Στέφανος ὁ σεβαστοφόρος ὡς ἐπιβουλεύων τῷ βασιλεῖ καὶ βασιλέα βουλόμενος ποιῆσαι Λέοντα πατρίκιον καὶ στρατηγὸν Μελιτηνῆς, τὸν υἱὸν τοῦ Λαμπροῦ· καὶ ὁ μὲν Στέφανος τῶν ὑπαρχόντων γυμνωθεὶς καὶ μοναχὸς ἀποκαρεὶς ἐξωρίσθη, ὁ δὲ Λαμπρὸς ἀπηνῶς ἐτασθεὶς καὶ τὰς ὄψεις πηρωθεὶς καὶ διὰ τῆς ἀγορᾶς πομπευθεὶς μετὰ μικρὸν ἀπέθανεν.

3 ἐς C 13 ἐκτυφλώττεται C 14 μαρυκάτων C

nomacho longiore mora. nam classis ductor Constantinus Chages patricius Cypriis universis subactis eum cepit, et ad imperatorem adduxit. adductum imperator stola muliebri induit, et ludis equestribus in Circo in triumpho duxit, spoliatumque suis facultatibus dimisit.

Vigesima die Februarii, indictione 11, Alexius patriarcha rebus humanis excedit. ei sufficitur die annuntiationi festo Michaelus Cerularius, qui vixerat monachus ex quo eum orphanotrophus ob paratas insidias relegaverat. indicatur etiam imperatori thesaurus auri reconditus in Alexii mansione, quem missis famulis recepit, ad centenaria viginti quinque. eadem indictione, postridie kalendas Maias, oculi effodiuntur orphanotropho in loco cui nomen Marycatis. alii id inscio imperatore aiunt factum fuisse iussu Theodorae: plerique omnes ipsius monachi mandato, ei ob relegationem irato. mortuus est decima tertia die eiusdem mensis. Iulio mense Stephanus Sebastophorus delatus est, quod insidiatus esset imperatori volueritque imperium in Leonem patricium transferre et Melitenae praefectum constituere filium Lampri. ac Stephanus quidem opibus suis multatus et monasticam vivere iussus et relegatus est. Lamprus crudeliter tortus et per forum ludibrii causa in pompa ductus atque oculis orbatus paulo post vita excessit.

Ἐγένετο δὲ καὶ κατὰ τὸν Ἰούνιον μῆνα τῆς αὐτῆς ἐπινεμήσεως καὶ ἡ τοῦ ἔθνους τῶν Ῥῶς κίνησις κατὰ τῆς βασιλίδος. οὗτοι C γὰρ κοινοπραγοῦντες μέχρι τοῦδε Ῥωμαίοις καὶ εἰρηνεύοντες μετ' αὐτῶν, ἀδεῶς τε ἀλλήλοις ἐπεμίγνυντο καὶ ἐμπόρους ἐς ἀλλήλους ἔπεμπον. κατὰ δὲ τοῦτον τὸν χρόνον φιλονεικίας γενομένης ἐν Βυζαντίῳ μετά τινων ἐμπόρων Σκυθῶν, συμπληγάδος τε ἐξ αὐτοῦ ἐπακολουθησάσης καί τινος Σκύθου φονευθέντος ἐπιφανοῦς, ὁ τότε κατάρχων τοῦ γένους τούτων Βλαδιμηρός, ἀνὴρ ὁρμητίας καὶ τὰ πολλὰ τῷ θυμῷ χαριζόμενος, πυθόμενος τὸ συμβὰν καὶ δεινοπαθήσας καὶ μὴ δοὺς ἀναβολὴν ἢ καιρὸν τῷ κινήματι, τῶν ὑπ' αὐτὸν ἀγείρας ὅσον μάχιμον, προσεταιρισάμενος δὲ καὶ συμ- D μαχικὸν οὐκ ὀλίγον ἀπὸ τῶν κατοικούντων ἐν ταῖς προσαρκτίοις τοῦ Ὠκεανοῦ νήσοις ἐθνῶν, καὶ πλῆθος ἀθροίσας, ὥς φασι, περὶ τὰς ἑκατὸν χιλιάδας, καὶ πλοίοις ἐγχωρίοις τοῖς λεγομένοις μονοξύλοις ἐμβαλὼν κατὰ τῆς πόλεως ἐξορμᾷ. τοῦτο μαθὼν ὁ βασιλεὺς πέμπει μὲν πρεσβευτάς, ἐξαιτῶν καταθέσθαι τὰ ὅπλα καὶ ὑπισχνούμενος ἐξιάσασθαι εἴ τι δὴ καὶ γέγονεν ἄτοπον, καὶ μὴ διὰ μικρὸν ἐθελῆσαι πρᾶγμα τὴν ἐκ μακροῦ παγιωθεῖσαν διαλῦσαι εἰρήνην καὶ τὰ ἔθνη κατ' ἀλλήλων ἀνάψαι· ἐπεὶ δὲ δεξάμενος αὐτὸς τὰ γράμματα τούς τε πρέσβεις ἀτίμως ἐδίωξε καὶ ὑπερηφάνους καὶ σοβαρὰς ἀπέδωκεν ἀπολογίας, ἀπεγνωκὼς ὁ βασιλεὺς τὴν εἰρήνην καὶ αὐτὸς ὡς ἐνῆν ἀντιπαρετάττετο. καὶ τοὺς P 759 μὲν ἐνδημοῦντας τῇ βασιλίδι ἐμπόρους τῶν Σκυθῶν, ἔτι δὲ καὶ

4 τε om C   ἐπ' C   8 ἀνὴρ — 9 χαριζόμενος om C   10 τῶν] τὸν C

Hac ipsa indictione, mense Iunio, Rossica gens contra Romanum imperium insurrexit. hactenus pacem amicitiamque cum Romanis Rossi coluerant, liberaque in vicem fuerant commercia, et mercatores ultro citroque commearant. tunc vero in urbe orta rixa cum quibusdam Scythicis negotiatoribus, res ad manus venit, et est quidam de nobilioribus Scythis interfectus. proinde eius gentis regulus Bladimerus, homo iracundus atque animo inquieto, casum hunc sibi annuntiatum aegerrime ferens, nulla interposita mora, ad arma vocatis subditis quotquot bello habiles erant, copiisque auxiliaribus adscitis haud exiguis a nationibus quae Oceani insulas septentrionales inhabitabant, collecta ad hominum, ut ferunt, 100000 multitudine, eam usitatis apud ipsos navigiis (lintres nos vocamus, unica arbore cavata factos) imponit, et adversus urbem tendit. imperator eius conatu intellecto, legatis missis petit ut ab armis discedat, pollicitus se quidquid peccatum esset compensaturum, modo ne ipse levi de causa tot iam per annos coalitam pacem rumperet gentesque bello committeret. cum autem barbarus literis acceptis legatos ignominiose proturbaret, responsis superbis datis, imperator desperata pace ipse quoque se pro viribus bello parat. Scythicos negotiatores in urbe

τοὺς κατὰ συμμαχίαν παρόντας διασκορπίσας ἐν τοῖς θέμασι, καὶ ἀσφαλισάμενος ἵνα μὴ καὶ ἀπὸ τῶν ἔνδον ἐπιβουλή τις ἀνεγερθῇ, ὡς ὁ καιρὸς ἐδίδου καὶ τὸ τοῦ ἔργου ὀξύρροπον, τάς τε βασιλικὰς ἐξαρτύσας τριήρεις καὶ ἄλλας οὐκ ὀλίγας ἀπὸ τῶν εὐσταλῶν καὶ κούφων, καὶ λαοῦ πληρώσας ἀπὸ τῶν παρατυχόντων ἐν Βυζαντίῳ τότε στρατιωτῶν, καὶ αὐτὸς οὗτος τῷ βασιλικῷ ἐπιβὰς δρόμωνι ἔξεισι καὶ τοῖς Σκύθαις ὑπαντιάζει κατὰ τὸ τοῦ Πόντου στόμα ἐν
B τῷ λεγομένῳ ναυλοχοῦσι Φάρῳ, παρεπομένην ἔχων διὰ τῆς ξηρᾶς καὶ ἱππικὴν στρατιὰν οὐκ ὀλίγην. ἐπεὶ δὲ ἀντιμέτωποι ἔστησαν αἱ δυνάμεις, ἔργου μὲν οὐδέτερον μέρος ἥπτετο· οἵ τε γὰρ Σκύθαι ἐπὶ τοῦ λιμένος ἔνθα προσώρμουν ἑστῶτες ἡσυχίαν ἦγον, καὶ ὁ βασιλεὺς τὴν ἐκείνων προσμένων κίνησιν ἐκαρτέρει. ἐπεὶ δὲ ὁ καιρὸς ἐτρίβετο καὶ ἡ ὥρα ἦν πρὸς ὀψέ, πρέσβεις ὁ βασιλεὺς πάλιν ἐκπέμπει περὶ εἰρήνης, καὶ πάλιν ἀτίμως ἀποπέμπει τούτους ὁ βάρβαρος, μηνύσας, εἰ βούλεται τῷ βασιλεῖ καταθέσθαι τὰ ὅπλα, δοῦναι παντὶ τῷ ἑπομένῳ αὐτῷ στρατῷ ἀνὰ χρυσίου λίτρας τρεῖς. ἀμηχάνου δὲ φανείσης τῆς ἀποκρίσεως ἔγνω δεῖν ἔργου ἔχεσθαι. ὡς δ' ἐκεῖνοι ἀτρέμας εἶχον, μεταστειλάμενος ὁ βασι-
C λεὺς τὸν μάγιστρον Βασίλειον τὸν Θεοδωροκάνον τρεῖς εἰληφέναι προστάττει τριήρεις δρομάδας καὶ ἀπελθεῖν καὶ ἀποπειράσασθαι τῶν Σκυθῶν, εἴπερ δυνηθείη ἀκροβολιζόμενος πρὸς πόλεμον αὐτοὺς ἐπισπάσασθαι. ὁ δὲ τὰς τριήρεις εἰληφὼς καὶ πρὸς τοὺς Σκύθας γενόμενος οὐ δι' ἀκροβολισμοῦ τῆς αὐτῶν ἀπεπειρᾶτο γνώμης, ἀλλ' εἰς μέσους ἑαυτὸν ὠθήσας ἑπτὰ μὲν σκάφη τῷ

1 διασκεδάσας C   13 πρὸς om C

degentes, nec non qui ut socii aderant, per provincias in custodiam dividit, ne quae ab ipsis domi essent metuendae insidiae. tum adornatis, quantum eius praeceps occasio rei ferebat, imperatoriis triremibus aliisque levibus navigiis, et impositis in eas qui e militibus ea tempestate Byzantii agentibus legi poterant classiariis, ipse quoque conscensa celoce sua barbaris occurrit in faucibus maris ad Pharum stationem habentibus, iuxta per continentem comitante equitatu haud exiguo. instructa utrinque ad pugnam classe neutra pars praelium incipiebat, Scythis intra occupatum portum se continentibus, et Romanis eorum motum exspectantibus. cum tempus tereretur et ad vesperam dies inclinaret, rursum legatos de pace mittit imperator, eosque rursum contumeliose barbarus reiicit, non aliter se arma depositurum significans quam acceptis in singula suorum classiariorum capita tribus auri libris. quod responsum cum videret summe absurdum, imperator pugna decernendum statuit. barbarisque etiamnum quiescentibus, vocato ad se magistro Basilio Theodorocano mandat ut cum tribus velocibus triremibus levi pugna Scythas tentet atque ad praelium provocet. Basilius acceptis triremibus non levi praelio eorum animos explorat, sed in me-

σκευαστῷ καταφλέγει πυρί, τρία δὲ αὔτανδρα καταποντίζει. χει-
ροῦται δὲ καὶ ἓν αὐτὸς εἰσπηδήσας εἰς αὐτό, καὶ τῶν ἔνδον οὓς
μὲν ἀποσφάξας οὓς δὲ καὶ τροπωσάμενος, τὴν τόλμην καταπλα-
γέντας αὐτοῦ. οἱ δὲ Σκύθαι καὶ τὸν βασιλέα ἤδη ὁρῶντες ἐρχό-
μενον σὺν παντὶ τῷ στόλῳ, καὶ λογισάμενοι, ὅπερ ἦν εἰκός, εἰ D
τοιαῦτα πεπόνθασι τρισὶ τριήρεσιν ἀντιστάντες πολεμούσαις, τί
ἂν πάθοιεν βιαζόμενοι παντὶ τῷ στόλῳ συμπλέκεσθαι, ἀπέβλεψαν
πρὸς φυγήν, καὶ εἰς τόπον ἀπορριφέντες σκοπέλους ἔχοντα καὶ
πέτρας ὑφάλους τὰ πλείω τῶν σκαφῶν ἀπεβάλοντο, ἐπιτιθεμένων
τούτοις ἀπὸ τῆς ξηρᾶς καὶ τῶν παραπορευομένων στρατιωτῶν καὶ
ἀπολλύντων αὐτούς, ὡς εὑρεθῆναι μετὰ ταῦτα νεκροὺς ἐρριμμέ-
νους ἐν τοῖς αἰγιαλοῖς ἀμφὶ τὰς ιε' χιλιάδας. ὁ μὲν οὖν βασιλεὺς
μετὰ τὴν τῶν Σκυθῶν ἧτταν ἐφ' ὅλας δύο προσμείνας ἡμέρας,
κατὰ τὴν τρίτην ὑπέστρεψεν εἰς τὴν βασιλίδα, δύο τάγματα κατα-
λιπὼν καὶ τὰς λεγομένας ἑταιρείας, ὑφ' ἡγεμόνι ταττόμενα Νι-
κολάῳ τῷ παρακοιμωμένῳ καὶ Βασιλείῳ μαγίστρῳ τῷ Θεοδωρο- P 760
κάνῳ, ἐφ' ᾧ τοὺς αἰγιαλοὺς ἐπισκοπεῖν καὶ παρατρέχειν καὶ
φυλάττεσθαι, μή τις ἀπόβασις γένηται τῶν βαρβάρων, τὸν δὲ
πάντα στόλον κατὰ τὸν Φάρον προσμένειν κελεύσας. καὶ ὁ μὲν
βασιλεὺς ταῦτα διαπραξάμενος εἰσῆλθεν εἰς τὸ Βυζάντιον, οἱ
περὶ τὸν παρακοιμώμενον δὲ καὶ τὸν Θεοδωροκάνον τοὺς αἰγια-
λοὺς περιιόντες, ἔνθα μετὰ τὴν τροπὴν ἐξεβράσθη τὰ σώματα
τῶν βαρβάρων, πολλῆς λείας καὶ σκύλων ἐγένοντο κύριοι. καὶ
τριήρεις δὲ τέσσαρες ἐπὶ εἴκοσι τοῦ λοιποῦ διαιρεθεῖσαι στόλου

4 ἐρχόμενον βλέποντες P   8 τόπους C   ἔχοντας C

dios hostes invectus septem naves artificioso igne cremat, tres cum ipsis vectoribus demergit, unaque potitur, in eam insiliens et classiarios partim caedens partim audacia ipsius perterritos fugans. Scythae cum universa classe accedere imperatorem videntes, atque id quod res erat cogitantes, cum ne trium quidem triremium sustinuissent impetum, quid eventurum esset si cum tota classe confligendum foret, fugam faciunt, et se in locum immittentes saxa ac scopulos sub mari delitescentes habentem plerasque naves perdunt. sed et milites e continenti eos invadunt, magnamque stragem edunt. sane cadaverum hostilium in littore inventa sunt postmodo quindecim circiter milia. superatis hoc pacto Scythis, imperator totum biduum ibi locorum commoratus tertio die Byzantium rediit, duabus legionibus et quas vocant sodalitates relictis, ducibus Nicolao cubiculario et magistro Basilio Theodorocano mandato ut oram maritimam custodirent, neque exscensionem facere barbaros paterentur, utque tota classis apud Pharum in statione esset. hi littora ut iussi erant circumeuntes, qua cadavera barbarorum aestus eiecerat, ingenti praeda ac spoliis potiti sunt. verum 24 triremes Romanae,

εἵποντο φεύγουσι τοῖς βαρβάροις· ἔν τινι δὲ κόλπῳ ναυλοχούντων
B αὐτῶν παρῆλθον αὗται διώκουσαι. καὶ γνόντες οἱ Σκύθαι τὴν
ὀλιγότητα, καὶ ἀκριβῶς καταλαβόντες ὡς οὐ πλείους τῶν φαινο-
μένων εἰσίν, ὑπερκερώσεις ποιησάμενοι ἀπὸ τοῦ ἔνθεν κἀκεῖθεν
ἀκρωτηρίου καὶ συντόνῳ τῇ εἰρεσίᾳ χρώμενοι ἔσπευδον ἐγκολπώ-
σασθαι τοὺς ἐναντίους. οἱ δὲ Ῥωμαῖοι ἐκ τῆς προτέρας κωπηλα-
σίας καὶ τοῦ διωγμοῦ κατάκοποι ὄντες, καὶ πρὸς τὸ πλῆθος τῶν
βαρβαρικῶν σκαφῶν ἀποδειλιάσαντες, ἔκλιναν πρὸς φυγήν. ἐπεὶ
δὲ ἔφθασαν τὰ τῶν βαρβάρων σκάφη στεφανώσαντα τὸ στόμα
κατασχεῖν τοῦ κόλπου καὶ ἄπορος ἦν ἡ πρὸς τὸ πέλαγος διέξοδος,
C Κωνσταντῖνος μὲν πατρίκιος ὁ Καβαλλούριος, στρατηγὸς ὢν τῶν
Κιβυρραιωτῶν, γενναίως ἔστη πρὸς πόλεμον μετὰ τῆς ἑαυτοῦ
τριήρους καὶ λοιπῶν δέκα, καὶ εὐρώστως μαχόμενος κατεκόπη,
ἐλήφθησαν δὲ καὶ τέσσαρες τριήρεις αὔτανδροι σὺν τῇ ναυαρχίδι,
καὶ πάντες οἱ ἐν αὐταῖς ἀπεσφάγησαν, τὰ δὲ λοιπὰ Ῥωμαϊκὰ
πλοῖα ἐν βράχεσι καὶ ἀκταῖς καὶ σκοπέλοις ἀπερρίφησαν· ὧν συν-
τριβέντων οἱ μὲν τῶν ἐν αὐταῖς ὑποβρύχιοι γεγόνασι τῇ θαλάσσῃ,
ἄλλοι δὲ ἑάλωσαν ὑπὸ τῶν βαρβάρων καὶ μαχαίρᾳ παρεδόθησαν
καὶ δουλείᾳ, οἱ δὲ διασωθέντες πεζοὶ καὶ γυμνοὶ εἰς τὸ οἰκεῖον
στρατόπεδον ἀνεσώθησαν. οἱ δὲ Σκύθαι ὡς οὐκ εἰς ἔργον ἐχώρει
D αὐτοῖς τὰ τῶν ἐλπίδων, τῆς ἐπ' οἴκου πορείας ἐμνήσθησαν. ὑπο-
στρέφουσι δὲ τούτοις διά τε γῆς καὶ θαλάσσης (οὐδὲ γὰρ ἐξήρ-
κουν τοῖς πᾶσι τὰ σκάφη, τὰ μὲν ὑπὸ τῆς προηγησαμένης ναυαρ-
χίας καταποντισθέντα τε καὶ ληφθέντα, τὰ δὲ ὑπὸ κλύδωνος καὶ

1 κόλπῳ] τόπῳ, omissis ναυλοχούντων αὐτῶν, C

avulsae ab reliqua classe, fugientes barbaros insecutae eosque praetervectae sunt, cum ii in quendam portum naves subduxissent. Scythae ergo paucitate hostilium navium cognita, compertoque non plures esse quam visae erant, a promontoriis ab utraque parte sitis cornua extenderunt, et contenta usi remigatione circumvenire eas coeperunt. Romani priore labore remigandi insequendique defatigati, et multitudine hostilium navium perterriti, ad fugam inclinarunt. cum autem barbaricae naves fauces sinus circumdedissent et in altum exire non daretur, Constantinus patricius Caballurius Cibyrraeotarum dux, cum sua et aliis 10 triremibus fortiter in hostem pugnans, concisus est. captae a barbaris quattuor triremes cum ipsis vectoribus, ipsaque etiam praetoria navis. homines in iis omnes interfecti. reliquae Romanorum naves in brevia, littora incommoda et saxa eiectae ac contritae sunt. classiarii alii in aqua perierunt, alii a barbaris vel trucidati vel captivi abducti sunt. superstites nudi pedites que ad suorum stationem redierunt. Scythae, cum praeter spem ipsis institutum cecidisset, domum versus iter instituerunt. cum non mari modo sed terra etiam redirent (neque enim tantae multitudini satis erat navium, cum praelio multae essent demer-

τρικυμίας θλασθέντα, καὶ διὰ τοῦτο οἱ πλείους πεζῇ τὴν ὁδοιπορίαν ἐποιοῦντο) συναντήσας Καταλαλὼν Βέστης ὁ κεκαυμένος, ἄρχων ὢν τῶν περὶ τὸν Ἴστρον πόλεων καὶ χωρίων, κατὰ τὸν αἰγιαλὸν τῆς λεγομένης Βάρνας, καὶ συμβαλὼν ἐτρέψατο, καὶ ἀπέκτεινε μὲν πολλούς, ὀκτακοσίους δὲ ζωγρίας λαβὼν πεπεδημένους ἐκπέμπει τῷ βασιλεῖ. οὗτος γὰρ ὁ ἀνὴρ καὶ ὅτε πρώτως τῶν οἰκείων ἠθῶν ἀπαναστάντες οἱ Σκύθαι πρὸς τὴν βασιλίδα ἠπείγοντο καὶ ἐς τὴν λαχοῦσαν αὐτὸν ἀρχὴν ἀποβάντες προνομὰς ἐποιοῦντο, τὸν ἀμφ' αὐτὸν ἀθροίσας λαὸν προσέρραξε τούτοις, καὶ γενναίως ἀγωνισάμενος ἐτρέψατό τε κατὰ κράτος καὶ εἰς τὰ οἰκεῖα σκάφη φυγεῖν ἠνάγκασε· καὶ πάλιν δὲ τὰ ἀγχίαλα τῆς ὑπ' P 761 αὐτὸν ἀρχῆς φυλάττων χωρία, καὶ προσμένων τὸ τέλος, ὑποστρέφοντας δεξάμενος καὶ καρτερῶς ὑποστὰς εἰργάσατο τὰ εἰρημένα.

Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος ιβ', ἔτους ,ϛφνβ', ἔπνευσεν ἄνεμος σφοδρός, ὡς διαφθαρῆναι σχεδὸν τοὺς τῶν ἀμπέλων καρπούς. κατὰ τοῦτον τὸν χρόνον ἑορτῆς ἀγομένης τῶν ἁγίων μ' μαρτύρων, ἐν τῇ θ' τοῦ Μαρτίου μηνός, μέλλων ὁ βασιλεὺς εἰς

6 πρῶτον C 15 ιβ'] ι' margo P 16 σφοδρῶς C 17 post καρπούς C: *Μιχαὴλ δὲ ὁ πατριάρχης ἅμα τῷ χειροτονηθῆναι τὸν πάπα Ῥώμης τῶν διπτύχων ἐξέβαλε, τὸ τῶν ἀζύμων ζήτημα ἐπενεγκὼν αὐτῷ τῆς ἐκβολῆς αἴτιον. συνήργει δὲ τούτῳ Πέτρος τε ὁ Ἀντιοχείας πατριάρχης καὶ Λέων ὁ Βουλγαρίας ἀρχιεπίσκοπος καὶ τὸ τῆς ἐκκλησίας ἅπαν ἐλλογιμώτερον. προσκρούων δὲ καὶ πρὸς τὸν τηνικαῦτα τῆς μονῆς τοῦ Στουδίου ἡγούμενον Μιχαήλ, ᾧ Μερμέντουλος τὸ ἐπώνυμον, τοῦ ἐπ' ἐκκλησίας ἀναγινωσκομένου συνοδικοῦ τὸν ἐν ἁγίοις Θεόδωρον τὸν Στουδίτην ἐξέβαλε. μὴ ἐνεγκὼν δὲ ὁ Μερμέντουλος τὸ γεγονός, τῷ βασιλεῖ προσελθὼν τοῦτο αὐτῷ διανήγγειλε. διὸ προστάξει βασιλικῇ ἀνεγνώσθη τὸ συνοδικὸν τῇ κυριακῇ τῆς Σαμαρείτιδος· καὶ τὰ μὲν ἄλλα πάντα κατὰ τὸ ἔθος ἀνεγνώσθησαν, τὸ δὲ τοῦ μεγάλου Θεοδώρου ὄνομα ὁ πατριάρχης ἀναστὰς ἐξεφώνησε μεγάλῃ καὶ διατόρῳ φωνῇ. καὶ οὕτω κατευνάσθη ἡ περὶ τούτου τῶν τε μοναχῶν καὶ τοῦ Μερμεντούλου στάσις.*

sae, multae captae, multae naufragio periissent), in Catacalonem Bestam Ambustum tunc Istro vicinae regioni praefectum inciderunt in ora maris apud Barnam, fusique sunt et magna clade affecti. octingentos eorum vivos in compedibus ad imperatorem misit. is Ambustus, et cum primum Scythae ad Cpolin tenderent inque ipsius provinciam egressi pabularentur, militibus suis collectis fortiter invaserat, pulsosque ad sua confugere navigia coegerat. et tunc iterum oram suae provinciae maritimam custodiens, exituique intentus, hoc facinus edidit.

Anno mundi 6552, indictione 12, mense Septembri, vehemens flavit ventus, quo fructus vinearum pene perierunt. eo ipso anno, nona die Martii, quae festa est memoriae divorum quadraginta martyrum,

προσκύνησιν ἀπελθεῖν τῶν ἁγίων δημοσίᾳ προόδῳ κατεστασιάσθη παρὰ τοῦ δήμου. ἐξελθόντος γὰρ τούτου πεζῇ μετὰ πολλῆς B δορυφορίας ἀπὸ τοῦ παλατίου καὶ εὐφημίας, καὶ τὸν ἐν τῇ Χαλκῇ καταλαβόντος ναὸν τοῦ σωτῆρος, καὶ μέλλοντος ἐκεῖθεν ἐξιππάσασθαι καὶ πρὸς τὸν τῶν μαρτύρων ἀφικέσθαι σηκόν, ἐξαίφνης ἐξηχήθη φωνὴ ἀπὸ μέσου τοῦ πλήθους "ἡμεῖς τὴν Σκλήραιναν βασίλισσαν οὐ θέλομεν, οὐδὲ δι᾽ αὐτὴν αἱ μάνναι ἡμῶν αἱ πορφυρογέννητοι Ζωή τε καὶ Θεοδώρα θανοῦνται." καὶ εὐθὺς συνεχύθη τὰ πάντα, καὶ ταραχὴ κατέσχε τὸ πλῆθος, καὶ ἐζήτουν τὸν βασιλέα διαχειρίσασθαι. καὶ εἰ μὴ τάχιον αἱ βασιλίδες προκύψασαι ἄνωθεν κατεστόρεσαν τὸ πλῆθος, ἀπολώλεισαν ἂν οὐκ ὀλίγοι, ἴσως δὲ καὶ αὐτὸς ὁ βασιλεύς. κατευνασθείσης δὲ τῆς ταραχῆς ὑπέστρεψεν εἰς τὰ βασίλεια, τὴν εἰς τοὺς μάρτυρας ἄφιξιν παραιτησάμενος.

C Ἰνδικτιῶνος δὲ ιγ' ὁ κατὰ τοῦ Ἀνίου ἀρχὴν ἐλάμβανε πόλεμος. ἀλλὰ ῥητέον ἄνωθεν πῶς καὶ διὰ τίνα τρόπον ἡσυχίαν ἄγοντι τῷ τοῦ Ἀνίου τοπάρχῃ καὶ μηδὲν ἀπαίσιον διαπραττομένῳ Κωνσταντῖνος ὁ βασιλεὺς πολεμεῖν ἐπεχείρησεν. ὅτε Γεώργιος ὁ Ἀβασ-

5 τὸν om C 6 ἀπὸ μέσου τοῦ πλήθους om C 11 ἀπωλώλεισαν C 13 εἰς τὰ] ἐς τὰ C 14 post παραιτησάμενος C: παλλακευομένης γὰρ τῆς θυγατρὸς τοῦ Σκληροῦ τῷ βασιλεῖ, οὐκ ὀλίγος ἦν ὁ γογγυσμὸς τοῦ τε δήμου καὶ τῆς συγκλήτου καὶ τῶν ἀδελφῶν καὶ δεσποινῶν· ὃν καὶ ὁ τηνικαῦτα ἐν μοναχοῖς διαπρέπων ὁ οὕτω Στηθάτος λεγόμενος ἐκώλυε μέν, ἤνυε δὲ οὐδέν. πάντῃ γὰρ ἥττητο τῆς ὥρας αὐτῆς ὁ βασιλεύς. ἦν δὲ ὁ Στηθάτος οὗτος ἀρετῆς εἰς ἄκρον ἐπιμελούμενος καὶ νηστείᾳ καὶ σκληραγωγίᾳ καὶ πάσῃ ἄλλῃ ἀρετῇ ἐκτήκων τὸ σῶμα ἑαυτοῦ, ὡς καί ποτε τεσσαράκοντα ἡμέρας ἄσιτος διατελέσαι, μηδενὸς τὸ παράπαν ἐν τῷ μέσῳ γευσάμενος. 18 τῶν ἰβήρων C, τῶν βουλγάρων margo

imperator ut iis supplicaret publice processurus, seditione populi interceptus est. cum enim pedes magno satellitum cum comitatu et faustis acclamationibus a palatio usque ad fanum servatoris in Chalce processisset, indeque equo ad martyrum aedem vehi vellet, subito vox e medio multitudinis exaudita est "nolumus Scleraenam" (sic Romani Duri soror vocabatur, Monomachi concubina) "esse imperatricem, neque propter eam dominas nostras porphyrogennetas Zoen ac Theodoram mori." atque illico omnia confusionis ac tumultus plena, et imperatorem turba ad necem deposcit. quodnisi celeriter Augustae de sublimi prospicientes multitudinem placassent, plurimi haud dubie atque ipse forsitan imperator perituri fuerant. sedato autem motu imperator, omissa ad martyres processione, in palatium se recepit.

Indictione 13 bellum de Anio coepit. sed exponendum est cur et qua ratione Anii principi quiescenti, nullaque ab eo orta iniuria, imperator bellum intulerit. Georgius Abasgorum princeps bellum adversus

γῶν ἀρχηγὸς ὅπλα κατὰ Ῥωμαίων ἐκίνησε, συμμαχῶν ἦν αὐτῷ καὶ Ἰωβανεσίκης ὁ τῆς τοῦ Ἀνίου κυριεύων χώρας. ἐπεὶ δέ, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, Βασίλειος ὁ βασιλεὺς ἀνελθὼν ἐν Ἰβηρίᾳ παρατάξεσιν ἠγωνίσατο κατὰ τοῦ Γεωργίου καὶ τοῦτον ἐτρέψατο καὶ συνέτριψε, φοβηθεὶς ὁ Ἰωβανεσίκης μή πως ὁ βασιλεὺς μηνιῶν διὰ D τὴν συμμαχίαν ἀνήκεστόν τι ἐς αὐτὸν διαπράξηται, τὰς κλεῖς τῆς πόλεως εἰληφὼς αὐτομολεῖ πρὸς τὸν βασιλέα καὶ ἑαυτὸν ἐγχειρίζει ἐθελοντὴς καὶ τὰς κλεῖς παραδίδωσιν. ὁ δὲ τῆς συνέσεως τοῦτον ἀποδεξάμενος μάγιστρόν τε τιμᾷ καὶ ἄρχοντα διὰ βίου τοῦ Ἀνίου καὶ τῆς λεγομένης μεγάλης Ἀρμενίας προβάλλεται, ἔγγραφον ἀπαιτήσας ἀπ' αὐτοῦ γραμματεῖον ὡς μετὰ τὴν αὐτοῦ τελευτὴν ἐπανήξει πᾶσα ἡ τοιαύτη ἀρχὴ εἰς τὸ δίκαιον αὐτοῦ καὶ μέρος ἔσεται τῆς Ῥωμαϊκῆς. ἐγένετο ταῦτα. καὶ θνήσκει μὲν ὁ βασιλεύς, θνήσκει δὲ μετὰ χρόνους ἱκανοὺς καὶ ὁ Ἰωβανεσίκης· καὶ θανόντος αὐτοῦ Κακίκιος ὁ τούτου υἱὸς διαδεξάμενος τὴν ἀρχὴν εἰρήνην μὲν διετήρει πρὸς Ῥωμαίους καὶ ὁμαιχμίαν, κατεῖχε μέντοι τὴν πατρῴαν ἀρχήν, καὶ ἀποδοῦναι Ῥωμαίοις οὐκ ἤθελεν, ὡς P 762 τὸ πατρικὸν ἐβούλετο γραμματεῖον. εὑρὼν οὖν ἐν τοῖς ἀνακτόροις τὸ γραμματεῖον ὁ Μονομάχος ἀπῄτει καὶ τὸ Ἀνίον καὶ τὴν πᾶσαν μεγάλην Ἀρμενίαν ὡς Βασιλείου τοῦ βασιλέως διάδοχος. τοῦ δὲ δοῦλον μὲν ἑαυτὸν ἀνομολογοῦντος Ῥωμαίων, ἀποστῆναι δὲ τῆς πατρῴας ἀρχῆς μὴ ἐθέλοντος, πολεμητέον ἐδόκει τῷ βασιλεῖ. καὶ δὴ στρατὸν ἀγείρας καὶ Μιχαὴλ βέστῃ τῷ Ἰασίτῃ

6 εἰς C   9 τε τοῦτον τιμᾷ C   τοῦ om C   12 ἐς τὰ δίκαια C   13 τῆς τῶν ῥωμαίων ἀρχῆς C   βασίλειος C   16 πρὸς τοὺς ῥωμ. C   21 ῥωμαίων om C, ῥωμαίων — 22 ἐθέλοντος om Xylandri codex

Romanos movens socium eius habuerat Iobanesicam Anii dominum. verum ubi Basilius imperator in Iberiam cum exercitu profectus Georgium praelio fregit, Iobanesices metuens ne ob belli societatem iratus imperator durius de se statueret, cum clavibus urbis ad eum transfugerat, seque et claves ei ultro dediderat. quam eius calliditatem approbans Basilius, magistri honore ornatum Anii et Armeniae quae magna dicitur praefectum eum usque ad vitae eius exitum constituerat, scripta cautione professum mortuo ipso eam praefecturam ad suum dominum redituram partemque Romanae dicionis futuram. mortuo Basilio atque multis post annis Iobanesica, filius huius Cacicius occupata praefectura pacem societatemque cum Romanis servavit, paternam interim dicionem retinens Romanis, quod scriptum iubebat, nequaquam reddidit. Monomachus pacti formula in archivo reperta, Anium universamque magnam Armeniam ut Basilii heres reposcit. cumque Cacicius servum quidem se profiteretur bello suas res repetere imperator statuit. proinde collectum exercitum Michaelo Bestae Iasitae, qui iam tum praefectus Ibe-

ἐγχειρίσας, ἄρχοντι φθάσαντι προβληθῆναι τῆς Ἰβηρίας, πολεμεῖν ἐπεσκόπει τῷ Κακικίῳ· ὁ δὲ ἀπελθών, καθ' ὅσον οἷόν τ' ἦν, ἔσπευδεν ἐκπληροῦν τὰ προστεταγμένα. ὅπερ γνοὺς ὁ Κακίκιος,
B καὶ ὅτι ἀντὶ φίλου καὶ συμμάχου πολέμιος κέκριται, καὶ αὐτὸς τὰς αὐτοῦ δυνάμεις ἀγηοχὼς κατὰ τὸ ἐγχωροῦν αὐτῷ τοὺς ἐπιόντας ἠμύνετο. κακῶς δὲ φερομένων τῶν πραγμάτων τῷ Ἰασίτῃ, πέμπεται καὶ ὁ Νικόλαος πρόεδρος ὁ δομέστικος τῶν σχολῶν, ὁ τοῦ βασιλέως Κωνσταντίνου παρακοιμώμενος, μετὰ βαρείας χειρός, ὥστε τῷ πλήθει καὶ τῇ δυνάμει καταγωνίσασθαι τὸν Κακίκιον. στέλλονται δὲ γράμματα τοῦ βασιλέως πρὸς Ἀπλησφάρην τὸν ἄρχοντα τοῦ Τιβίου καὶ τῆς περὶ τὸν Ἀράξην ποταμὸν Περσαρμενίας, παρακαλοῦντα τοῦτον κατὰ τὸ δυνατὸν δῃοῦν τὴν με-
C γάλην Ἀρμενίαν καὶ τὴν ὑποκειμένην χώραν τῷ Κακικίῳ. ἀπελθὼν οὖν ὁ Νικόλαος ἐκεῖνος μὲν ἔργου εἴχετο, τὰ δὲ γράμματα πέμπει πρὸς τὸν Ἀπλησφάρην, γράψας καὶ αὐτὸς καὶ παροτρύνας καὶ δώροις καὶ ὑποσχέσεσιν ἐρεθίσας ἐνεργοὺς θέσθαι τὰς βουλήσεις τοῦ βασιλέως. ὁ δὲ τὰ γράμματα δεξάμενος ἀμείβεται ἐπιτελῆ ποιῆσαι τὰ κεκελευσμένα, εἰ γράμμα πεμφθείη τούτῳ βασιλικὸν ἀσφάλειαν παρέχον αὐτῷ πάντα ἔχειν ἐν βεβαίῳ δεσποτικῶς
D τὰ φρούρια καὶ χωρία ὅσαπερ ἰσχύσειε νόμῳ πολέμου κτήσασθαι ἀπὸ τῶν διαφερόντων τῷ Κακικίῳ. ἐδέξατο τὸν λόγον ὁ βασιλεύς, καὶ χρυσοβούλλοις γραφαῖς ἐπιβεβαιοῖ ὅσα ὁ Ἀπλησφάρης ᾐτήσατο· καὶ δεξάμενος οὗτος τὸ γράμμα ἔργου ἥπτετο, καὶ

1 ἄρχοντα φήσαντα C 5 αὐτῷ om C 23 τὰ γράμματα C

riae erat designatus, tradit, mandatque ut Cacicio bellum faciat. atque is in provinciam profectus mandata imperatoris pro virili exsequitur. Cacicius se pro amico et socio Romanorum hostem iudicatum sentiens, ipse etiam suis contractis copiis, se quantum res ferebant tueri intendit. cum autem res Iasitae male succederent, mittitur etiam Nicolaus praeses scholarum domesticus, accubitor quondam Constantini imperatoris, cum grandi exercitu, ut vel multitudine opprimeretur Cacicius. mittit etiam literas imperator ad Aplespharium Tibii et quae circa Araxen fluvium est Persarmeniae praefectum, hortaturque eum ut, quantum possit, magnam Armeniam et dicionem Cacicii infestet. Nicolaus ubi in provinciam pervenit, statim se rei gerendae dat, literasque imperatoris ad Aplespharium mittit, ipse una scribens, eumque donis et pollicitationibus instigans ut imperatoris voluntati morem gerat. rescribit is ea condicione se id facturum, si imperator literis ad se missis paciscatur se ipsi omnium quaecunque ipse Cacicio belli iure eripuisset firmam possessionem ac dominium concedere. hanc condicionem imperator probavit, aureaque bulla id postulatum Aplespharii ratum se habere testatus est. qua accepta Aplespharius statim rem aggressus mul-

πολλὰ τῶν τοῦ Κακικίου ἐκπολιορκήσας κατέσχεν ὀχυρώματα καὶ χωρία. ὁ δὲ Κακίκιος ὑπό τε τῆς Ῥωμαϊκῆς δυνάμεως πολεμούμενος ὑπό τε τοῦ ἄρχοντος τοῦ Τιβίου ληλατούμενος, καὶ τοῖς πᾶσιν ἀπεγνωκώς, σπένδεται πρὸς τὸν παρακοιμώμενον καὶ προσχωρεῖ τῷ βασιλεῖ δι' αὐτοῦ, παραδοὺς τὴν πόλιν. καὶ ὁ μὲν ἐς τὸν βασιλέα ἐλθὼν καὶ μάγιστρος τιμηθείς, καὶ χωρία πολυπρόσοδα κατά τε Καππαδοκίαν καὶ τὸν Χαρσιανὸν καὶ τὸν Λικανδρὸν εἰληφώς, εἰρηνικὸν καὶ ἀτάραχον τὸν ἀπὸ τοῦδε ἔζησε βίον· ὁ δὲ Μονομάχος τὰ ἐκπολιορκηθέντα φρούρια παρὰ τοῦ Τιβιώτου καὶ χωρία ὡς μέρη τοῦ Ἀνίου ἐπιζητῶν, ἐπεὶ ἑκών γε ἐκεῖνος οὐ P 763 μεθίετο τούτων ἀλλ' ἀντείχετο τῆς χρυσοβούλλου γραφῆς, ἀναιρεῖται πόλεμον πρὸς αὐτόν, καὶ πάλιν προστάττει τῷ παρακοιμωμένῳ μετά τε τῆς Ῥωμαϊκῆς χειρὸς τοῦ τε Ἰβηρικοῦ στρατοῦ καὶ τῆς ἐν τῇ μεγάλῃ Ἀρμενίᾳ δυνάμεως, ἧς κατῆρχεν ὁ Ἀνιώτης, τῷ Ἀπλησφάρῃ πολεμεῖν. πάσας οὖν οὗτος ἠθροικὼς τὰς δυνάμεις, καὶ ἄρχοντα αὐταῖς ἐπιστήσας Μιχαὴλ τὸν βεστάρχην τὸν Ἰασίτην καὶ τὸν ἑαυτοῦ δοῦλον Κωνσταντῖνον μάγιστρον τὸν Ἀλανόν, κατὰ τοῦ Τιβίου ἐκπέμπει. ὁ δὲ Ἀπλησφάρης στρατηγικώτατος ἄνθρωπος ὤν, εἴπερ τις ἄλλος, καὶ ἔργα πολεμικὰ καὶ βουλὰς ἐχθρῶν διασκεδάσαι δυνάμενος, πρὸς μὲν τὴν Ῥωμαϊκὴν B δύναμιν εἰδὼς ἑαυτὸν μὴ ἀξιόχρεων οὐκ ἀντιπαρετάξατο, εἴσω δὲ τειχῶν συγκλείσας ἑαυτὸν καὶ τὸν παραρρέοντα μετοχετεύσας ποταμόν, καὶ πᾶσαν ἐπικλύσας τὴν πεδιάδα καὶ ἀποτελματώσας πηλώδη τε οὖσαν καὶ τεναγώδη, προσέμενε τὴν ἔλευσιν τῶν

1 ἐκπληρώσας C 8 ἔζη C 14 κατεῖχεν C 20 ἐθνῶν C
21 ἀξιόμαχον C

tas Cacicii arces ac munitiones expugnatas occupavit. Cacicius a Romanis oppugnatus copiis et a Tibiano praefecto infestatus, rebus desperatis, cum Nicolao pacem facit, per eumque se et urbem imperatori dedit. ad quem profectus, ab eoque magisterii dignitate decoratus amplissimisque in Cappadocia ad Charsianumque et Licandrum praediis donatus, vitam exinde pacatam ac tranquillam egit. Monomachus capta a Tibii praefecto castella et oppida ut partem Aniacae dicionis reposcens, cum ea Aplesphares sponte non dimitteret sed aurea bulla niteretur, Nicolao praecipit ut cum Romano et Iberico exercitu et copiis Armeniae magnae, quas Cacicius duxerat, bellum ei faciat. Nicolaus contractis omnibus copiis Bestarcham Iasitam iis praeficit et suum servum Constantinum magistrum Alanum, eosque ad oppugnandum Tibium mittit. erat Aplesphares homo, ut quisquam alius, bellicarum artium peritissimus, gnarus rei gerendae et consilia hostium eludere callidus. is cum se pugnae cum Romanis copiis committendae imparem sentiret, intra muros se continet, amnemque alluentem avertit, ita ut omnem urbi vicinam planitiem is inundaret stagnoque et coeno paludis morem

ἐναντίων, παρασπείρας ἐν τοῖς κύκλωθεν τῆς πόλεως οὖσιν ἀμπε-
λῶσι τοξότας πεζούς, καὶ κρύπτεσθαι καὶ προσμένειν κελεύσας,
ἄχρις ἂν αὐτὸς τῇ σάλπιγγι ἐπισημήνηται τὸ ἐνυάλιον. οἱ δὲ τῶν
Ῥωμαίων ἄρχοντες τόν τε εἰς τὴν πόλιν συγκλεισμὸν καὶ τὴν τῆς
πεδιάδος ἐπίκλυσιν δειλίας ἔργον καὶ ἀπογνώσεως κρίναντες, ἄτα-
C κτοι καὶ σποράδην ἄλλοι μὲν τοὺς ἵππους ἀποβάντες, ἄλλοι δὲ καὶ
ἔφιπποι, ὥς πῃ ἕκαστος ἐβούλετο, πρὸς τὴν πόλιν ἔτρεχον ὡς
αὐτοβοεὶ ταύτην αἱρήσοντες. ἐπεὶ δὲ ἔνδον ἐγένοντο τῶν ἐν μέσῳ
τῶν ἀμπελώνων ὁδῶν καὶ ἄχρι τῆς πόλεως ἔφθασαν, τότε δὴ τῇ
σάλπιγγι σημήνας ὁ Ἀπλησφάρης ἔργου ἐκέλευσεν ἔχεσθαι, καὶ
ἐξαναστάντες ἀπὸ τῶν λόχων οἱ πεζοὶ οἱ μὲν τόξοις οἱ δὲ λίθοις
ἔβαλλον, ἄλλοι δὲ ἐτίτρωσκον ἀπὸ τῶν θριγγῶν, τῶν Ῥωμαίων
κωλυομένων ὑπὸ τούτων τοὺς πολεμίους ἀμύνασθαι. γίνεται οὖν
τροπὴ μεγάλη, καὶ σφάζεται Ῥωμαίων ἀπείρων πλῆθος, φυγεῖν
D μὴ δυναμένων τῶν ἵππων, ἀλλ' ἐμπιπτόντων εἰς τὸν πηλὸν καὶ
τὰ τέλματα. μόλις οὖν σωθεὶς ὁ Ἰασίτης σὺν τῷ Κωνσταντίνῳ
ἐν τῷ Ἀνίῳ αὐτάγγελοι τῆς συμφορᾶς τῷ Νικολάῳ γεγόνασιν.
ἀγγελθέντος δὲ τοῦ συμβάντος ἀτυχήματος τῷ βασιλεῖ, ὁ μὲν
Νικόλαος καὶ ὁ Ἰασίτης ἀφαιροῦνται τὰς ἀρχάς, προχειρίζονται
δὲ ἀντὶ μὲν τοῦ Ἰασίτου δοὺξ Ἰβηρίας ὁ Κεκαυμένος, ἀντὶ δὲ τοῦ
Νικολάου στρατηγὸς αὐτοκράτωρ Κωνσταντῖνος ὁ τῆς μεγάλης
ἑταιρείας ἄρχων, εὐνοῦχος ἄνθρωπος, ἐκ Σαρακηνῶν ἕλκων τὸ
γένος καὶ τῷ βασιλεῖ ὑπηρετήσας πρὸ τῆς βασιλείας καὶ πίστιν

5 ἄπρακτοι C 13 ἀμύνεσθαι C 14 ἀπείρων om C. malim ἄπειρον 16 διασωθεὶς C 23 ὑπηρετῆσαι C

oppleret; et in vineis quae circum urbem in orbem erant sitae, sagittarios pedites abdit; et exspectare signum quod ipse tuba daturus esset iubet: ita instructus adventum hostium operitur. Romanorum autem ductores prae metu ac desperatione rerum urbi se inclusisse et campum aqua opplevisse Aplespharem opinati, promiscue et nullo ordine, alii equites alii ab equis digressi, ut cuique placebat, ad urbem occurrunt, primo scilicet aggressu eam capturi. ubi in vias pervenere quae per medias ducebant vineas, iamque urbi subiverunt, classicum Aplesphares canit. et pedites ex insidiis coorti alii sagittis alii saxis Romanos impetunt, alii desuper de septis vinearum vulnerant, cum quidem Romanis sui defendendi omnis esset erepta facultas. ingens tum clades accepta, et Romanorum innumerabilis caesa multitudo, cum equi fugere non possent limo et lacunis impediti. aegre elapsi Iasites et Constantinus Anium pervenerunt, Nicolaoque calamitatis nuntii fuerunt. de qua clade certior factus imperator Nicolao et Iasitae abrogat magistratum, loco Iasitae ducem Iberiae facit Ambustum, pro Nicolao imperatorem exercituum creat Constantinum magnae sodalitatis principem, eunuchum, a Saracenis oriundum, sibi fidum hominem, et cuius opera etiam ante-

τηρῶν ἐς αὐτόν· οἳ δὴ καὶ κατὰ χώραν γενόμενοι καὶ τὰς δυνάμεις συνηθροικότες ἔργου εἴχοντο. καὶ τῇ μὲν πόλει τοῦ Τιβίου, ἥτις ἦν τοῦ παντὸς ἔθνους μητρόπολις, προσβαλεῖν οὐκ ἠθέλησαν, ἀποπειρῶνται δὲ τῶν λοιπῶν φρουρίων τῶν ὅσα τῷ Ἀνίῳ ὑπό- P 764
κειται. καὶ αἱροῦσι μὲν τὴν ἁγίαν Μαρίαν καὶ τὸ λεγόμενον Ἀμπίερ καὶ τὸν ἅγιον Γρηγόριον, λίαν ἐρυμνὰ καὶ ἀπόκρημνα ὀχυρώματι, τοῦ Ἀπλησφάρη πολλάκις ἐπιχειρήσαντος βοηθῆσαι αὐτοῖς πολιορκουμένοις, καὶ τοσαυτάκις ἡττηθέντος. ἔρχονται δὲ καὶ ἐπὶ τὸ φρούριον τὸ καλούμενον Χελιδόνιον, ἐπὶ βουνοῦ τε ἀποκρήμνου ἱδρυμένον καὶ οὐ πόρρω κείμενον τοῦ Τιβίου· καὶ κυκλωσάμενοι τοῦτο τάφροις καὶ χάραξι διὰ προσεδρείας ἠπείγοντο παραστήσασθαι· καὶ γὰρ δὴ καὶ ἐσπάνιζον τῶν ἀναγκαίων οἱ εἴσω τοῦ τείχους, μὴ φθάσαντες εἰσκομίσασθαι τὰ ἐπιτήδεια διὰ τὸ B
τῆς προσβολῆς ὀξύρροπον. καὶ παρεστήσαντο ἂν καὶ τοῦτο, εἰ μὴ αἰφνιδίως ἡ τοῦ πατρικίου Λέοντος τοῦ Τορνικίου ἐξ ἑσπέρας ἀνήφθη ἀποστασία. οὗτος γὰρ στρατηγῶν ἐν Ἰβηρίᾳ καὶ διαβληθεὶς ὡς τυραννιῶν τῆς τε ἀρχῆς παραστέλλεται καὶ μοναχὸς ἀποκείρεται καὶ εἰς τὴν πόλιν ἀχθεὶς οἴκοι μένειν ἐν Ἀδριανουπόλει προστάττεται. μὴ ἐνεγκὼν δὲ εὐφόρως τὰ εἰς αὐτὸν γεγονότα ἄτιμα, λάθρᾳ καὶ κατὰ μικρὸν τοὺς ἐν Ἀδριανουπόλει πρότερον ὑποποιεῖται στρατηγούς, ὁπόσοι ἔτυχον ὄντες παρεωραμένοι καὶ ἄπρακτοι· διὰ δὲ τούτων καὶ τῶν αὐτοῦ συγγενῶν ὑποφθείρας καὶ τοὺς ὅσοι τῶν Μακεδονικῶν ἦρχον ταγμάτων καὶ

4 ὑπέκειντο C 10 ἀκρήμνου C 13 τοῦ om C 15 τορνίκη C ἐξ ἑσπέρας om C 17 παραλύεται C

quam ad imperium eveheretur usus fuerat. hi autem provinciam ingressi collectisque exercitibus ad rem gerendam conversi, urbem Tibium, quae erat eius gentis metropolis, oppugnare incommodum rati, reliqua ad Anium pertinentia castella tentant, capiuntque sanctam Mariam, Ampierum, sanctum Gregorium, admodum munitas et praeruptis impositas saxis arces, Aplesphario saepe opem iis dum oppugnarentur ferre conato, semperque victo. inde ad castellum Chelidonium veniunt, situm in praecipiti colle haud longe a Tibio. id cum vallo fossaque circumvenissent, obsidione capere intendunt, quod iam praesidiarios res ad victum necessariae destituebant, subita obsidione praeventos ne earum copiam importarent. fuissentque eo potiti, nisi in Occidente repente patricii Leonis Tornicii exarsisset defectio. is Leo cum Iberiam gubernaret affectatae tyrannidem accusatus, magistratu spoliatus rasusque vitam monasticam agere iussus erat. non mediocriter autem ferens contumeliam, occulte ac paulatim duces qui Adrianopoli erant corrupit, qui et ipsi contemptim ab imperatore habiti otio torpebant. horum deinde et suorum necessariorum opera milites quoque sibi conciliat, qui otiosi

Θρᾳκικῶν, καὶ τοὺς ὅσοι ἐσχόλαζον στρατιώτας καὶ τοὺς ὅσοι
ταῖς λεηλασίαις καὶ ταῖς διαρπαγαῖς ἔχαιρον, καὶ χεῖρα ἱκανὴν
C συστησάμενος, ἀναγορεύεται βασιλεύς, καὶ ἅπαντα τὸν ὑπ' αὐ-
τὸν ἀγείρας λαὸν ὀξὺς ἐπιφαίνεται τῇ βασιλίδι, τοῦ βασιλέως
μήτε ἱκανὸν λαὸν ἔχοντος πρὸς ἀντιπαράταξιν μήτε πιστεύοντος
τοῖς πολίταις ὡς εὔνοιαν καὶ πίστιν φυλάξουσιν ἐς αὐτόν. καὶ
διὰ τοῦτο ἄγγελος ἐς τὸν Κωνσταντῖνον ἐν Ἰβηρίᾳ πέμπεται δημο-
σίοις ἔποχος ἵπποις μετὰ γραμμάτων βασιλικῶν κελευόντων τῶν
ἐν χερσὶν ἀφέμενον ἔργων ἀφικέσθαι ὡς τάχος μετὰ τῶν δυνάμεων
ἐς τὴν βασιλίδα. δεξάμενος δ' οὗτος τὰ γράμματα, καίτοι ἐν
χερσὶν ἔχων τὸ φρούριον, λύει μὲν τὴν πολιορκίαν, σπένδεται δὲ
τῷ Ἀπλησφάρῃ, ἀσφαλισάμενος αὐτὸν ἀραῖς καὶ ὅρκοις ὡς εὔ-
D νοιαν διαφυλάξει τῷ βασιλεῖ καὶ οὐδέποτε μελετήσει φαῦλον κατὰ
Ῥωμαίων. οὕτω δὲ πράξας καὶ τὰς δυνάμεις ἀναλαβὼν σπου-
δαίως ἠπείγετο πρὸς τὴν βασιλίδα. καὶ τὸ μὲν Χελιδόνιον τοῦτον
τὸν τρόπον διαδιδράσκει τὴν ἅλωσιν· ὁ δὲ Κωνσταντῖνος μετὰ
τῶν ἑῴων ταγμάτων καὶ παντὸς τοῦ στρατοῦ κατελθὼν αὐτὸς μὲν
εἴσεισιν εἰς τὴν βασιλίδα, τὸ δὲ πλῆθος ἅπαν περαιοῦται προστά-
ξει τοῦ βασιλέως εἰς Θρᾴκην, τὸ μὲν κατὰ τὴν ἀντίπορθμον τῇ
βασιλίδι Χρυσόπολιν, τὸ δὲ κατὰ τὴν ἐν τῷ Ἑλλησπόντῳ Ἄβυδον.
ἀλλὰ τοῦτο μὲν ὕστερον· πρὶν ἢ δὲ τὰς δυνάμεις ἐλθεῖν, ὁ Τορ-
νίκιος κατὰ τὸν Σεπτέμβριον μῆνα, τῆς α' ἐπινεμήσεως, βασι-

1 Θρακικῆς C 2 ταῖς ante διαρπ. om C 6 φυλάξουσιν εὔνοιαν καὶ πίστιν C 9 ἀφέμενον] ἀμελήσαντες C 11 χερσὶν C 20 τὴν τοῦ ἑλλησπόντου C

degebant, et quotquot praedis ac direptionibus delectabantur. contractaque magna manu, imperator salutatus cum omnibus suis copiis actutum ad urbem proficiscitur. imperator, qui neque ad resistendum satis habebat in promptu militum, neque civium erga se fidei ac benevolentiae se committere audebat, in Iberiam nuntium equis dispositis mittit ad Constantinum, omissis quae in manibus erant, celerrime ad Cpolin cum exercitu venire iubens. is acceptis literis, quanquam iamiam potiturus Chelidonio videbatur, soluta obsidione cum Aplespharo pacem foedusque componit, iurato et diris etiam ni promissa impleret imprecationibus se devovente, se in fide imperatoris permansurum neque quicquam contra Romanos moliturum. his ita actis, ad urbem cum exercitu festinat. hoc modo Chelidonium liberatum. ipse cum Orientales legiones totumque exercitum adduxisset, iussu imperatoris urbem intravit, exercitus parte in Thraciam transportata, ad Chrysopolin, quae mari interfluente Cpoli opposita est, alia ad Abydum quae in Hellesponto. verum haec postea temporis acta. Tornicius ante Constantini adventum mense Septembri, indictione prima, imperator, ut diximus, salu-

λεύς, ὡς ἐλέχθη, ἀναρρηθεὶς θᾶττον ἢ λόγος τὴν βασιλίδα καταλαμβάνει, ἐλπίζων αὐτοβοεὶ ταύτην αἱρήσειν διὰ τὸ μὴ εὐπορεῖν P 765 τὸν βασιλέα δυνάμεων. καὶ χάρακα πηξάμενος καταντικρὺ τῶν Βλαχερνῶν, ἔγγιστα τῆς μονῆς τῶν ἁγίων Ἀναργύρων, πρῶτον λόγοις καὶ ὑποσχέσεσιν ἀπεπειρᾶτο τῶν πολιτῶν, μηδενὸς δὲ προσέχοντος αὐτῷ ἤδη καὶ ἔργου ἥπτετο. καὶ αὐτὸς δὲ ὁ βασιλεὺς διά τε τῶν πολιτῶν καὶ τῶν παρευρεθέντων κατὰ τύχην στρατιωτῶν ἀντιπαρετάττετο, τοὺς μὲν πολίτας καὶ τὸν δῆμον τάξας ἐπὶ τοῦ τείχους· τοὺς δὲ παρατυχόντας στρατιώτας καὶ ἄλλους τινὰς ὅσους οἱ τῆς συγκλήτου ἄρχοντες κελεύσει τούτου καθώπλισαν, μὴ πλέον τῶν χιλίων ὄντας, ἐξαγαγὼν τοῦ τείχους B διὰ τῶν ἐν Βλαχέρναις πυλῶν ἀντιμετώπους ἔστησε τῷ τυράννῳ, τάφρον τινὰ προστησάμενος εἰς κώλυμα τῶν ἐπιόντων, δέον εἴσω πυλῶν ἐπέχειν καὶ ἀπὸ τῶν τειχῶν τοὺς ἐπιόντας ἀμύνεσθαι, πολλὰ τοῦ μαγίστρου Ἀργυροῦ τοῦ Ἰταλοῦ ποτνιωμένου καὶ παρακαλοῦντος εἴσω μένειν καὶ μὴ ἐξάλλεσθαι, καὶ μὴ θέλειν λαῷ συμπλέκεσθαι μαινομένῳ καὶ ὀργῶντι καὶ στρατιωτικαῖς μελέταις ἐνηθλημένῳ μετὰ στρατιωτῶν ὀλιγοστῶν καὶ λαοῦ νεαλοῦς καὶ ἀπειροπολέμου. ἀλλὰ ταῦτα λέγων οὐκ ἔπειθεν· ἀντέκειτο γὰρ Κωνσταντῖνος ὁ τὴν ἐπωνυμίαν Λειχούδης, τὰ πρῶτα τότε παρὰ βασιλέως φέρων καὶ μέγα παρὰ τούτῳ δυνάμενος καὶ τῆς βουλῆς ταύτης C ὑπάρχων πατήρ. ἐξελθόντων δὲ τούτων περὶ δείλην ὀψίαν, ὡς ἔγνω ὁ τύραννος, τὰς ἀμφ' αὐτὸν καθοπλίσας δυνάμεις ἔπεισι μετὰ ῥύμης μεγάλης, καὶ θᾶττον ἢ λόγος τὴν τάφρον διατεμὼν

1 ἐρρέθη C 4 τῆς μονῆς om C 18 νεοσυνάκτου margo C

tatus, dicto citius Cpolin obsidet, sperans se statim ea potiturum, quod sciebat imperatorem militibus destitui. igitur castris proxime monasterium Anargyrorum e regione Blachernarum fixis, primum verbis ac pollicitationibus animos civium tentat, deinde nemine audiente ipsum vim parat. sed et imperator cives populumque armat, iisque murorum defensionem committit; et milites qui tum aderant aliosque ipsius iussu a principibus senatus armatos, qui ultra mille non erant, per portam Blachernensem educit atque adversos hosti constituit, vallo tantummodo interposito, quod impetum irruentium hostium remoraretur. atqui intra portas se continere et de muris repellere adorientes praestabat; et magister Argyrus Italus vehementer quiritabatur, ac imperatorem hortabatur ne se extra portas emitteret, neve cum favente multitudine et bellicis laboribus adsueta congrederetur, ipse stipatus exigua manu tironum belli que imperitorum hominum. ne quid tamen obtineret, Constantinus Leichudes effecit, auctor alterius consilii et in summa apud imperatorem auctoritate. imperatore cum suis sub vesperam egresso, perduellis suos armat et in imperatorios magno cum impetu irruit, oculi-

τρέπεται τοὺς ἔνδον, ὧν οἱ μὲν ἁλίσκονται, οἱ δὲ φεύγοντες εἰς τὴν τῆς πόλεως τάφρον κατέπιπτον καὶ οἰκτρῶς ἀπώλοντο. ἔφευγον δὲ καὶ ἀπὸ τοῦ τείχους κρημνιζόμενοι οἱ πολῖται, παραπλησίως καὶ οἱ πυλωροὶ τῶν ἐν Βλαχέρναις τειχῶν τὰς πύλας ἀναπετάσαντες. καὶ εἰ μὴ τύχη τις ἔσφηλε τῷ Τορνικίῳ τὰ πράγματα, εἰσῆλθεν ἂν ἀμογητὶ καὶ κύριος τῶν ἁπάντων ἐγένετο. ἄρτι δὲ
D διώξας ἄχρι τῆς παρὰ τῷ τείχει τάφρου ἐπέσχε τὸν διωγμόν, καὶ πάλιν ἀναθαρρήσαντες οἱ περὶ τὸν βασιλέα τάς τε πύλας κατέσχον καὶ τῆς φυλακῆς ἐπεμελήθησαν τῶν τειχῶν. τότε δὲ καὶ ὁ βασιλεὺς μικροῦ ἂν ἀπολώλει διὰ τόξου βληθείς, εἰ μὴ θεὸς προφανῶς διεσώσατο, τοῦ οἰστοῦ ἐνεχθέντος εἴς τινος θεράποντος κάλυμμα στροβιλοειδὲς κεφαλῆς, ὅπερ καὶ τὸν ἔχοντα καὶ τὸν βασιλέα διεσώσατο. τοῦτον δὲ τὸν τρόπον ἐγγὺς τοῦ ἁλῶναι ἡ πόλις ἐλθοῦσα διεσώθη. ὁ δὲ ἀποστάτης ἐπί τινας ἡμέρας προσμείνας ἐν τῷ στρατοπέδῳ, ἐπειδὴ οἱ περὶ αὐτὸν κατὰ μικρὸν ὑπορρυέντες ηὐτομόλουν τῷ βασιλεῖ, πτοηθεὶς μή πως οἱ πάντες καταλιπόντες αὐτὸν οἰχήσονται ἢ καὶ κατασχόντες παραδῶσι τῷ βασιλεῖ, ἀναστὰς ἐκεῖθεν ὑπέστρεψεν ἐν Ἀρκαδιουπόλει. καὶ
P 766 αὐτὸς μὲν σὺν Ἰωάννῃ τῷ Βατάτζῃ παρεμβολὴν πηξάμενος ἐκεῖσε προσέμενε, Θεόδωρον δὲ τὸν τὴν ἐπωνυμίαν Στραβομύτην καὶ τὸν λεγόμενον Πολὺν καὶ Μαριανὸν τὸν Βρανᾶν, ταγμάτων ἄρχοντας δυτικῶν, καθ' αἵματος κοινωνίαν αὐτῷ ἐγγίζοντας, πολιορκῆσαι ἐκπέμπει τὴν Ῥαιδεστόν· ἔτυχον γὰρ αἱ μὲν ἄλλαι Μα-

11 ἰοστοῦ C, βέλους margo 15 τῇ στρατοπεδείᾳ C 22 εἰς πολιορκίαν ἐκπέμπει τῆς πόλεως Ῥαιδέστου C

que momento perrumpens vallum eos pellit. horum alii capti sunt, alii fugientes in fossam urbi circumdatam inciderunt et misere perierunt. sed et cives de muris praecipiti fuga se proripuerunt. profugere etiam portarum Blachernensium custodes, non obiectis portarum valvis. quodnisi Tornicius fato fuisset impeditus, poterat absque ullo labore in urbem penetrare ac imperium occupare. nunc ille cum usque ad fossam muro contiguam pervenisset, ab insequendo destitit. hoc animum imperatoriis reddidit, ut et portas occuparent et murorum defensionem susciperent. haud dubie tunc deus imperatorem servavit, ne sagitta interficeretur, quae in ipsum emissa in rotundum cuiusdam famuli capitis tegmen est delata, quod et huic et imperatori salutare fuit. ad hunc ergo modum urbs proxima periculo, ab hoste tamen capta non est. Tornicius cum per aliquot dies in castris haesisset et ab ipso paulatim ad imperatorem deficeretur, veritus ne vel universi ab ipso transirent vel etiam comprehensum imperatori traderent, castris motis Arcadiopolin retro abiit, ibique cum Ioanne Batatza castra posuit, Theodoro Strabomyta, Polye Marianoque Brana, Occidentalium legionum ducibus et sibi sanguine propinquis, ad Raedestum oppugnandam missis; quae

κεδονικαὶ καὶ Θρᾳκικαὶ πόλεις προσχωρήσασαι τούτῳ, αὕτη δὲ μόνη εὔνοιαν ἐτήρει τῷ βασιλεῖ σπουδῇ τοῦ ταύτης ἀρχιερέως καί τινος ἐγχωρίου δυνάστου τοῦ λεγομένου Βατάτζη, συγγενοῦς ὄντος τοῦ Τορνικίου. ὡς δ' ἀπελθόντες ἐκεῖνοι καὶ χρονοτριβοῦντες οὐδὲν ἤνυον, ἄρας καὶ αὐτὸς ἄπεισιν ἐκεῖσε μετὰ παντὸς τοῦ στρατοῦ, καὶ πᾶσαν προσβολὴν καὶ μηχανὴν ἐπαγαγὼν τῇ πόλει B καὶ πάντοθεν ἀποκρουσθεὶς εὐψύχως τῶν ἔνδον ἀποκρουομένων τὰς μηχανὰς ὑπέστρεψε πάλιν ἐν Ἀρκαδιουπόλει, λύσας τὴν πολιορκίαν. ἄρτι δὲ καὶ τῶν ἑῴων στρατευμάτων διαπεραιωθέντων ἔκ τε Χρυσουπόλεως καὶ Ἀβύδου πρὸς Θρᾴκην, στρατηγὸν ἐπιστήσας αὐτοῖς ὁ βασιλεὺς Μιχαὴλ μάγιστρον τὸν Ἰασίτην πέμπει κατὰ τῶν ἀποστατῶν. ἀθροίσας δ' οὗτος ὑφ' ἓν τὰς δυνάμεις καὶ παραστρατοπεδεύσας τοῖς ἀποστάταις μάχης μὲν οὐκ ἦρχεν, ἐκήδετο δὲ μᾶλλον τῶν ἀνηκόντων χωρίων τοῖς ἀποστάταις, καὶ τοῖς ἁλισκομένοις φιλανθρώπως ἐφέρετο, καὶ γράμματα λαθραίως C ἔπεμπε πρὸς αὐτοὺς ἀμνηστίαν ἐπαγγελλόμενος κακῶν καὶ ἀγαθῶν δαψίλειαν. ἐπεὶ δὲ καὶ ὁ χειμὼν ἐπέστη καὶ τῶν ἀναγκαίων ἐσπάνιζον αὐτοί τε οἱ ἀποστάται καὶ τὰ ὑποζύγια καὶ οἱ ἵπποι, μὴ δυνάμενοι πρός τε τὸ ψῦχος καὶ τὸν λιμὸν καὶ τοὺς ἐναντίους ἀντικαθίστασθαι, κατὰ μικρὸν προσερρύϊσκοντο τῷ μαγίστρῳ. καὶ μέχρι μὲν τῶν ἀφανῶν ἦν αὐτομολία καὶ οὐχ ἐπισήμων, ἐκαρτέρει καὶ ταῖς ἐλπίσιν ἐτρέφετο· ἐπεὶ δὲ Μαριανὸς ὁ Βρανᾶς καὶ Πολὺς καὶ Θεόδωρος ὁ Στραβομύτης καὶ οἱ ἐκ τοῦ γένους τοῦ Γλαβᾶ καὶ

4 τορνίκη C 12 τοῦ ἀποστάτου C 13 περιστρατοπαιδεύσας C 15 προσεφέρετο C 22 καὶ ὁ πολὺς P 23 καὶ ante οἱ om C

urbs cum reliquae omnes Macedonicae atque Thracicae urbes Tornicio accessissent, fidem una servabat opera episcopi et cuiusdam in ea urbe summa potentia praediti Batatzae, qui et ipse consanguineus erat Tornicii. hi cum nihil efficerent aliquanto in eius oppidi oppugnatione tracto tempore, ipse etiam Tornicius eo cunctas suas ducit copias. cumque omni oppugnasset conatu et machinarum omne genus adhibuisset, oppidanis fortiter defendentibus profligatus, soluto obsidio Arcadiopolin rediit. interim Monomachus Orientales exercitus, qui iam a Chrysopoli et Abydo in Thraciam traiecerant, duce iis praefecto Michaelo Iasita magistro emittit in rebelles. hic contractis omnibus in unum copiis castra hostibus opponit, pugnaque abstinens operam dat ne eorum praedia maleficium patiantur, captosque humaniter tractat, reliquis per literas occulte missas veniam delicti et omnium bonorum copiam promittens. iam et hiems appetebat, et perduelles, cum et ipsi et eorum iumenta alimentis destituerentur, quia frigus famem hostemque simul sustinere non poterant, paulatim ad magistrum desciverunt. Tornicius vero, quamdiu obscuri tantum deficiebant, utcunque duravit et spem fovit. cum autem Marianus Branas, Polys, Theodorus Strabomyta

προσκύνησιν ἀπελθεῖν τῶν ἁγίων δημοσίᾳ προόδῳ κατεστασιάσθη παρὰ τοῦ δήμου. ἐξελθόντος γὰρ τούτου πεζῇ μετὰ πολλῆς δορυ- B φορίας ἀπὸ τοῦ παλατίου καὶ εὐφημίας, καὶ τὸν ἐν τῇ Χαλκῇ καταλαβόντος ναὸν τοῦ σωτῆρος, καὶ μέλλοντος ἐκεῖθεν ἐξιππάσασθαι καὶ πρὸς τὸν τῶν μαρτύρων ἀφικέσθαι σηκόν, ἐξαίφνης ἐξηχήθη φωνὴ ἀπὸ μέσου τοῦ πλήθους "ἡμεῖς τὴν Σκλήραιναν βασίλισσαν οὐ θέλομεν, οὐδὲ δι' αὐτὴν αἱ μάνναι ἡμῶν αἱ πορφυρογέννητοι Ζωή τε καὶ Θεοδώρα θανοῦνται." καὶ εὐθὺς συνεχύθη τὰ πάντα, καὶ ταραχὴ κατέσχε τὸ πλῆθος, καὶ ἐζήτουν τὸν βασιλέα διαχειρίσασθαι. καὶ εἰ μὴ τάχιον αἱ βασιλίδες προκύψασαι ἄνωθεν κατεστόρεσαν τὸ πλῆθος, ἀπολώλεισαν ἂν οὐκ ὀλίγοι, ἴσως δὲ καὶ αὐτὸς ὁ βασιλεύς. κατευνασθείσης δὲ τῆς ταραχῆς ὑπέστρεψεν εἰς τὰ βασίλεια, τὴν εἰς τοὺς μάρτυρας ἄφιξιν παραιτησάμενος.

C Ἰνδικτιῶνος δὲ ιγ' ὁ κατὰ τοῦ Ἀνίου ἀρχὴν ἐλάμβανε πόλεμος. ἀλλὰ ῥητέον ἄνωθεν πῶς καὶ διὰ τίνα τρόπον ἡσυχίαν ἄγοντι τῷ τοῦ Ἀνίου τοπάρχῃ καὶ μηδὲν ἀπαίσιον διαπραττομένῳ Κωνσταντῖνος ὁ βασιλεὺς πολεμεῖν ἐπεχείρησεν. ὅτε Γεώργιος ὁ Ἀβασ-

5 τὸν om C 6 ἀπὸ μέσου τοῦ πλήθους om C 11 ἀπωλώλεισαν C 13 εἰς τὰ] ἐς τὰ C 14 post παραιτησάμενος C: παλλακευομένης γὰρ τῆς θυγατρὸς τοῦ Σκληροῦ τῷ βασιλεῖ, οὐκ ὀλίγος ἦν ὁ γογγυσμὸς τοῦ τε δήμου καὶ τῆς συγκλήτου καὶ τῶν ἀδελφῶν καὶ δεσποινῶν· ὃν καὶ ὁ τηνικαῦτα ἐν μοναχοῖς διαπρέπων ὁ οὕτω Στηθάτος λεγόμενος ἐκώλυε μέν, ἤνυε δὲ οὐδέν. πάντῃ γὰρ ἥττητο τῆς ὥρας αὐτῆς ὁ βασιλεύς. ἦν δὲ ὁ Στηθάτος οὗτος ἀρετῆς εἰς ἄκρον ἐπιμελούμενος καὶ νηστείᾳ καὶ σκληραγωγίᾳ καὶ πάσῃ ἄλλῃ ἀρετῇ ἐκτήκων τὸ σῶμα ἑαυτοῦ, ὡς καί ποτε τεσσαράκοντα ἡμέρας ἄσιτος διατελέσαι, μηδενὸς τὸ παράπαν ἐν τῷ μέσῳ γευσάμενος. 18 τῶν ἰβήρων C, τῶν βουλγάρων margo

imperator ut iis supplicaret publice processurus, seditione populi interceptus est. cum enim pedes magno satellitum cum comitatu et faustis acclamationibus a palatio usque ad fanum servatoris in Chalce processisset, indeque equo ad martyrum aedem vehi vellet, subito vox e medio multitudinis exaudita est "nolumus Scleraenam" (sic Romani Duri soror vocabatur, Monomachi concubina) "esse imperatricem, neque propter eam dominas nostras porphyrogennetas Zoen ac Theodoram mori." atque illico omnia confusionis ac tumultus plena, et imperatorem turba ad necem deposcit. quodnisi celeriter Augustae de sublimi prospicientes multitudinem placassent, plurimi haud dubie atque ipse forsitan imperator perituri fuerant. sedato autem motu imperator, omissa ad martyres processione, in palatium se recepit.

Indictione 13 bellum de Anio coepit. sed exponendum est cur et qua ratione Anii principi quiescenti, nullaque ab eo orta iniuria, imperator bellum intulerit. Georgius Abasgorum princeps bellum adversus

γῶν ἀρχηγὸς ὅπλα κατὰ Ῥωμαίων ἐκίνησε, συμμαχῶν ἦν αὐτῷ καὶ Ἰωβανεσίκης ὁ τῆς τοῦ Ἀνίου κυριεύων χώρας. ἐπεὶ δέ, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, Βασίλειος ὁ βασιλεὺς ἀνελθὼν ἐν Ἰβηρίᾳ παρατάξεσιν ἠγωνίσατο κατὰ τοῦ Γεωργίου καὶ τοῦτον ἐτρέψατο καὶ συνέτριψε, φοβηθεὶς ὁ Ἰωβανεσίκης μή πως ὁ βασιλεὺς μηνιῶν διὰ D
τὴν συμμαχίαν ἀνήκεστόν τι ἐς αὐτὸν διαπράξηται, τὰς κλεῖς τῆς πόλεως εἰληφὼς αὐτομολεῖ πρὸς τὸν βασιλέα καὶ ἑαυτὸν ἐγχειρίζει ἐθελοντὴς καὶ τὰς κλεῖς παραδίδωσιν. ὁ δὲ τῆς συνέσεως τοῦτον ἀποδεξάμενος μάγιστρόν τε τιμᾷ καὶ ἄρχοντα διὰ βίου τοῦ Ἀνίου καὶ τῆς λεγομένης μεγάλης Ἀρμενίας προβάλλεται, ἔγγραφον ἀπαιτήσας ἀπ' αὐτοῦ γραμματεῖον ὡς μετὰ τὴν αὐτοῦ τελευτὴν ἐπανήξει πᾶσα ἡ τοιαύτη ἀρχὴ εἰς τὸ δίκαιον αὐτοῦ καὶ μέρος ἔσεται τῆς Ῥωμαϊκῆς. ἐγένετο ταῦτα. καὶ θνήσκει μὲν ὁ βασιλεύς, θνήσκει δὲ μετὰ χρόνους ἱκανοὺς καὶ ὁ Ἰωβανεσίκης· καὶ θανόντος αὐτοῦ Κακίκιος ὁ τούτου υἱὸς διαδεξάμενος τὴν ἀρχὴν εἰρήνην μὲν διετήρει πρὸς Ῥωμαίους καὶ ὁμαιχμίαν, κατεῖχε μέντοι τὴν πατρῴαν ἀρχήν, καὶ ἀποδοῦναι Ῥωμαίοις οὐκ ἤθελεν, ὡς P 762
τὸ πατρικὸν ἐβούλετο γραμματεῖον. εὑρὼν οὖν ἐν τοῖς ἀνακτόροις τὸ γραμματεῖον ὁ Μονομάχος ἀπῄτει καὶ τὸ Ἀνίον καὶ τὴν πᾶσαν μεγάλην Ἀρμενίαν ὡς Βασιλείου τοῦ βασιλέως διάδοχος. τοῦ δὲ δοῦλον μὲν ἑαυτὸν ἀνομολογοῦντος Ῥωμαίων, ἀποστῆναι δὲ τῆς πατρῴας ἀρχῆς μὴ ἐθέλοντος, πολεμητέον ἐδόκει τῷ βασιλεῖ. καὶ δὴ στρατὸν ἀγείρας καὶ Μιχαὴλ βέστῃ τῷ Ἰασίτῃ

6 εἰς C 9 τε τοῦτον τιμᾷ C τοῦ om C 12 ἐς τὰ δίκαια C 13 τῆς τῶν ῥωμαίων ἀρχῆς C βασίλειος C 16 πρὸς τοὺς ῥωμ. C 21 ῥωμαίων om C, ῥωμαίων — 22 ἐθέλοντος om Xylandri codex

Romanos movens socium eius habuerat Iobanesicam Anii dominum. verum ubi Basilius imperator in Iberiam cum exercitu profectus Georgium praelio fregit, Iobanesices metuens ne ob belli societatem iratus imperator durius de se statueret, cum clavibus urbis ad eum transfugerat, seque et claves ei ultro dediderat. quam eius calliditatem approbans Basilius, magistri honore ornatum Anii et Armeniae quae magna dicitur praefectum cum usque ad vitae eius exitum constituerat, scripta cautione professum mortuo ipso eam praefecturam ad suum dominum redituram partemque Romanae dicionis futuram. mortuo Basilio atque multis post annis Iobanesica, filius huius Cacicius occupata praefectura pacem societatemque cum Romanis servavit, paternam interim dicionem retinens Romanis, quod scriptum iubebat, nequaquam reddidit. Monomachus pacti formula in archivo reperta, Anium universamque magnam Armeniam ut Basilii heres reposcit. cumque Cacicius servum quidem se profiteretur bello suas res repetere imperator statuit. proinde collectum exercitum Michaelo Bestae Iasitae, qui iam tum praefectus Ibe-

ἐγχειρίσας, ἄρχοντι φθάσαντι προβληθῆναι τῆς Ἰβηρίας, πολεμεῖν ἐπεσκόπει τῷ Κακικίῳ· ὁ δὲ ἀπελθών, καθ' ὅσον οἷόν τ' ἦν, ἔσπευδεν ἐκπληροῦν τὰ προστεταγμένα. ὅπερ γνοὺς ὁ Κακίκιος,
B καὶ ὅτι ἀντὶ φίλου καὶ συμμάχου πολέμιος κέκριται, καὶ αὐτὸς τὰς αὐτοῦ δυνάμεις ἀγηοχὼς κατὰ τὸ ἐγχωροῦν αὐτῷ τοὺς ἐπιόντας ἠμύνετο. κακῶς δὲ φερομένων τῶν πραγμάτων τῷ Ἰασίτῃ, πέμπεται καὶ ὁ Νικόλαος πρόεδρος ὁ δομέστικος τῶν σχολῶν, ὁ τοῦ βασιλέως Κωνσταντίνου παρακοιμώμενος, μετὰ βαρείας χειρός, ὥστε τῷ πλήθει καὶ τῇ δυνάμει καταγωνίσασθαι τὸν Κακίκιον. στέλλονται δὲ γράμματα τοῦ βασιλέως πρὸς Ἀπλησφάρην τὸν ἄρχοντα τοῦ Τιβίου καὶ τῆς περὶ τὸν Ἀράξην ποταμὸν Περσαρμενίας, παρακαλοῦντα τοῦτον κατὰ τὸ δυνατὸν δῃοῦν τὴν με-
C γάλην Ἀρμενίαν καὶ τὴν ὑποκειμένην χώραν τῷ Κακικίῳ. ἀπελθὼν οὖν ὁ Νικόλαος ἐκεῖνος μὲν ἔργου εἴχετο, τὰ δὲ γράμματα πέμπει πρὸς τὸν Ἀπλησφάρην, γράψας καὶ αὐτὸς καὶ παροτρύνας καὶ δώροις καὶ ὑποσχέσεσιν ἐρεθίσας ἐνεργοὺς θέσθαι τὰς βουλήσεις τοῦ βασιλέως. ὁ δὲ τὰ γράμματα δεξάμενος ἀμείβεται ἐπιτελῆ ποιῆσαι τὰ κεκελευσμένα, εἰ γράμμα πεμφθείη τούτῳ βασιλικὸν ἀσφάλειαν παρέχον αὐτῷ πάντα ἔχειν ἐν βεβαίῳ δεσποτικῶς
D τὰ φρούρια καὶ χωρία ὅσαπερ ἰσχύσειε νόμῳ πολέμου κτήσασθαι ἀπὸ τῶν διαφερόντων τῷ Κακικίῳ. ἐδέξατο τὸν λόγον ὁ βασιλεύς, καὶ χρυσοβούλλοις γραφαῖς ἐπιβεβαιοῖ ὅσα ὁ Ἀπλησφάρης ᾐτήσατο· καὶ δεξάμενος οὗτος τὸ γράμμα ἔργου ἥπτετο, καὶ

1 ἄρχοντα φήσαντα C   5 αὐτῷ om C   23 τὰ γράμματα C

riae erat designatus, tradit, mandatque ut Cacicio bellum faciat. atque is in provinciam profectus mandata imperatoris pro virili exsequitur. Cacicius se pro amico et socio Romanorum hostem iudicatum sentiens, ipse etiam suis contractis copiis, se quantum res ferebant tueri intendit. cum autem res Iasitae male succederent, mittitur etiam Nicolaus praeses scholarum domesticus, accubitor quondam Constantini imperatoris, cum grandi exercitu, ut vel multitudine opprimeretur Cacicius. mittit etiam literas imperator ad Aplespharium Tibii et quae circa Araxen fluvium est Persarmeniae praefectum, hortaturque eum ut, quantum possit, magnam Armeniam et dicionem Cacicii infestet. Nicolaus ubi in provinciam pervenit, statim se rei gerendae dat, literasque imperatoris ad Aplespharium mittit, ipse una scribens, eumque donis et pollicitationibus instigans ut imperatoris voluntati morem gerat. rescribit is ea condicione se id facturum, si imperator literis ad se missis paciscatur se ipsi omnium quaecunque ipse Cacicio belli iure eripuisset firmam possessionem ac dominium concedere. hanc condicionem imperator probavit, aureaque bulla id postulatum Aplespharii ratum se habere testatus est. qua accepta Aplespharius statim rem aggressus mul-

πολλὰ τῶν τοῦ Κακικίου ἐκπολιορκήσας κατέσχεν ὀχυρώματα καὶ χωρία. ὁ δὲ Κακίκιος ὑπό τε τῆς Ῥωμαϊκῆς δυνάμεως πολεμούμενος ὑπό τε τοῦ ἄρχοντος τοῦ Τιβίου λεηλατούμενος, καὶ τοῖς πᾶσιν ἀπεγνωκώς, σπένδεται πρὸς τὸν παρακοιμώμενον καὶ προσχωρεῖ τῷ βασιλεῖ δι' αὐτοῦ, παραδοὺς τὴν πόλιν. καὶ ὁ μὲν ἐς τὸν βασιλέα ἐλθὼν καὶ μάγιστρος τιμηθείς, καὶ χωρία πολυπρόσοδα κατά τε Καππαδοκίαν καὶ τὸν Χαρσιανὸν καὶ τὸν Λικανδρὸν εἰληφώς, εἰρηνικὸν καὶ ἀτάραχον τὸν ἀπὸ τοῦδε ἔζησε βίον· ὁ δὲ Μονομάχος τὰ ἐκπολιορκηθέντα φρούρια παρὰ τοῦ Τιβιώτου καὶ χωρία ὡς μέρη τοῦ Ἀνίου ἐπιζητῶν, ἐπεὶ ἑκὼν γε ἐκεῖνος οὐ P 763 μεθίετο τούτων ἀλλ' ἀντείχετο τῆς χρυσοβούλλου γραφῆς, ἀναιρεῖται πόλεμον πρὸς αὐτόν, καὶ πάλιν προστάττει τῷ παρακοιμωμένῳ μετά τε τῆς Ῥωμαϊκῆς χειρὸς τοῦ τε Ἰβηρικοῦ στρατοῦ καὶ τῆς ἐν τῇ μεγάλῃ Ἀρμενίᾳ δυνάμεως, ἧς κατῆρχεν ὁ Ἀνιώτης, τῷ Ἀπλησφάρῃ πολεμεῖν. πάσας οὖν οὗτος ἠθροικὼς τὰς δυνάμεις, καὶ ἄρχοντα αὐταῖς ἐπιστήσας Μιχαὴλ τὸν βεστάρχην τὸν Ἰασίτην καὶ τὸν ἑαυτοῦ δοῦλον Κωνσταντῖνον μάγιστρον τὸν Ἀλανόν, κατὰ τοῦ Τιβίου ἐκπέμπει. ὁ δὲ Ἀπλησφάρης στρατηγικώτατος ἄνθρωπος ὤν, εἴπερ τις ἄλλος, καὶ ἔργα πολεμικὰ καὶ βουλὰς ἐχθρῶν διασκεδάσαι δυνάμενος, πρὸς μὲν τὴν Ῥωμαϊκὴν B δύναμιν εἰδὼς ἑαυτὸν μὴ ἀξιόχρεων οὐκ ἀντιπαρετάξατο, εἴσω δὲ τειχῶν συγκλείσας ἑαυτὸν καὶ τὸν παραρρέοντα μετοχετεύσας ποταμόν, καὶ πᾶσαν ἐπικλύσας τὴν πεδιάδα καὶ ἀποτελματώσας πηλώδη τε οὖσαν καὶ τεναγώδη, προσέμενε τὴν ἐπέλευσιν τῶν

1 ἐκπληρώσας C 8 ἔζη C 14 κατεῖχεν C 20 ἐθνῶν C
21 ἀξιόμαχον C

tas Cacicii arces ac munitiones expugnatas occupavit. Cacicius a Romanis oppugnatus copiis et a Tibiano praefecto infestatus, rebus desperatis, cum Nicolao pacem facit, per eumque se et urbem imperatori dedit. ad quem profectus, ab eoque magisterii dignitate decoratus amplissimisque in Cappadocia ad Charsianumque et Licandrum praediis donatus, vitam exinde pacatam ac tranquillam egit. Monomachus capta a Tibii praefecto castella et oppida ut partem Aniacae dicionis reposcens, cum ea Aplesphares sponte non dimitteret sed aurea bulla niteretur, Nicolao praecipit ut cum Romano et Iberico exercitu et copiis Armeniae magnae, quas Cacicius duxerat, bellum ei faciat. Nicolaus contractis omnibus copiis Bestarcham Iasitam iis praeficit et suum servum Constantinum magistrum Alanum, eosque ad oppugnandum Tibium mittit. erat Aplesphares homo, ut quisquam alius, bellicarum artium peritissimus, gnarus rei gerendae et consilia hostium eludere callidus. is cum se pugnae cum Romanis copiis committendae imparem sentiret, intra muros se continet, amnemque alluentem avertit, ita ut omnem urbi vicinam planitiem is inundaret stagnoque et coeno paludis morem

ἐναντίων, παρασπείρας ἐν τοῖς κύκλωθεν τῆς πόλεως οὖσιν ἀμπελῶσι τοξότας πεζούς, καὶ κρύπτεσθαι καὶ προσμένειν κελεύσας, ἄχρις ἂν αὐτὸς τῇ σάλπιγγι ἐπισημήνηται τὸ ἐνυάλιον. οἱ δὲ τῶν Ῥωμαίων ἄρχοντες τόν τε εἰς τὴν πόλιν συγκλεισμὸν καὶ τὴν τῆς πεδιάδος ἐπίκλυσιν δειλίας ἔργον καὶ ἀπογνώσεως κρίναντες, ἄτα-
C κτοι καὶ σποράδην ἄλλοι μὲν τοὺς ἵππους ἀποβάντες, ἄλλοι δὲ καὶ ἔφιπποι, ὥς πῃ ἕκαστος ἐβούλετο, πρὸς τὴν πόλιν ἔτρεχον ὡς αὐτοβοεὶ ταύτην αἱρήσοντες. ἐπεὶ δὲ ἔνδον ἐγένοντο τῶν ἐν μέσῳ τῶν ἀμπελώνων ὁδῶν καὶ ἄχρι τῆς πόλεως ἔφθασαν, τότε δὴ τῇ σάλπιγγι σημήνας ὁ Ἀπλησφάρης ἔργου ἐκέλευσεν ἔχεσθαι, καὶ ἐξαναστάντες ἀπὸ τῶν λόχων οἱ πεζοὶ οἱ μὲν τόξοις οἱ δὲ λίθοις ἔβαλλον, ἄλλοι δὲ ἐτίτρωσκον ἀπὸ τῶν θριγγῶν, τῶν Ῥωμαίων κωλυομένων ὑπὸ τούτων τοὺς πολεμίους ἀμύνασθαι. γίνεται οὖν τροπὴ μεγάλη, καὶ σφάζεται Ῥωμαίων ἀπείρων πλῆθος, φυγεῖν
D μὴ δυναμένων τῶν ἵππων, ἀλλ' ἐμπιπτόντων εἰς τὸν πηλὸν καὶ τὰ τέλματα. μόλις οὖν σωθεὶς ὁ Ἰασίτης σὺν τῷ Κωνσταντίνῳ ἐν τῷ Ἀνίῳ αὐτάγγελοι τῆς συμφορᾶς τῷ Νικολάῳ γεγόνασιν. ἀγγελθέντος δὲ τοῦ συμβάντος ἀτυχήματος τῷ βασιλεῖ, ὁ μὲν Νικόλαος καὶ ὁ Ἰασίτης ἀφαιροῦνται τὰς ἀρχάς, προχειρίζονται δὲ ἀντὶ μὲν τοῦ Ἰασίτου δοὺξ Ἰβηρίας ὁ Κεκαυμένος, ἀντὶ δὲ τοῦ Νικολάου στρατηγὸς αὐτοκράτωρ Κωνσταντῖνος ὁ τῆς μεγάλης ἑταιρείας ἄρχων, εὐνοῦχος ἄνθρωπος, ἐκ Σαρακηνῶν ἕλκων τὸ γένος καὶ τῷ βασιλεῖ ὑπηρετήσας πρὸ τῆς βασιλείας καὶ πίστιν

5 ἄπρακτοι C 13 ἀμύνεσθαι C 14 ἀπείρων om C. malim ἄπειρον 16 διασωθεὶς C 23 ὑπηρετῆσαι C

oppleret; et in vineis quae circum urbem in orbem erant sitae, sagittarios pedites abdit; et exspectare signum quod ipse tuba daturus esset iubet: ita instructus adventum hostium operitur. Romanorum autem ductores prae metu ac desperatione rerum urbi se inclusisse et campum aqua opplevisse Aplespharem opinati, promiscue et nullo ordine, alii equites alii ab equis digressi, ut cuique placebat, ad urbem occurrunt, primo scilicet aggressu eam capturi. ubi in vias pervenere quae per medias ducebant vineas, iamque urbi subiverunt, classicum Aplesphares canit. et pedites ex insidiis coorti alii sagittis alii saxis Romanos impetunt, alii desuper de septis vinearum vulnerant, cum quidem Romanis sui defendendi omnis esset erepta facultas. ingens tum clades accepta, et Romanorum innumerabilis caesa multitudo, cum equi fugere non possent limo et lacunis impediti. aegre elapsi Iasites et Constantinus Anium pervenerunt, Nicolaoque calamitatis nuntii fuerunt. de qua clade certior factus imperator Nicolao et Iasitae abrogat magistratum, loco Iasitae ducem Iberiae facit Ambustum, pro Nicolao imperatorem exercituum creat Constantinum magnae sodalitatis principem, eunuchum, a Saracenis oriundum, sibi fidum hominem, et cuius opera etiam ante-

τηρῶν ἐς αὐτόν· οἳ δὴ καὶ κατὰ χώραν γενόμενοι καὶ τὰς δυνάμεις συνηθροικότες ἔργου εἴχοντο. καὶ τῇ μὲν πόλει τοῦ Τιβίου, ἥτις ἦν τοῦ παντὸς ἔθνους μητρόπολις, προσβαλεῖν οὐκ ἠθέλησαν, ἀποπειρῶνται δὲ τῶν λοιπῶν φρουρίων τῶν ὅσα τῷ Ἀνίῳ ὑπό- P 764
κειται. καὶ αἱροῦσι μὲν τὴν ἁγίαν Μαρίαν καὶ τὸ λεγόμενον Ἀμπίερ καὶ τὸν ἅγιον Γρηγόριον, λίαν ἐρυμνὰ καὶ ἀπόκρημνα ὀχυρώματι, τοῦ Ἀπλησφάρη πολλάκις ἐπιχειρήσαντος βοηθῆσαι αὐτοῖς πολιορκουμένοις, καὶ τοσαυτάκις ἡττηθέντος. ἔρχονται δὲ καὶ ἐπὶ τὸ φρούριον τὸ καλούμενον Χελιδόνιον, ἐπὶ βουνοῦ τε ἀποκρήμνου ἱδρυμένον καὶ οὐ πόρρω κείμενον τοῦ Τιβίου· καὶ κυκλωσάμενοι τοῦτο τάφροις καὶ χάραξι διὰ προσεδρείας ἠπείγοντο παραστήσασθαι· καὶ γὰρ δὴ καὶ ἐσπάνιζον τῶν ἀναγκαίων οἱ εἴσω τοῦ τείχους, μὴ φθάσαντες εἰσκομίσασθαι τὰ ἐπιτήδεια διὰ τὸ B
τῆς προσβολῆς ὀξύρροπον. καὶ παρεστήσαντο ἂν καὶ τοῦτο, εἰ μὴ αἰφνιδίως ἡ τοῦ πατρικίου Λέοντος τοῦ Τορνικίου ἐξ ἑσπέρας ἀνήφθη ἀποστασία. οὗτος γὰρ στρατηγῶν ἐν Ἰβηρίᾳ καὶ διαβληθεὶς ὡς τυραννιῶν τῆς τε ἀρχῆς παραστέλλεται καὶ μοναχὸς ἀποκείρεται καὶ εἰς τὴν πόλιν ἀχθεὶς οἴκοι μένειν ἐν Ἀδριανουπόλει προστάττεται. μὴ ἐνεγκὼν δὲ εὐφόρως τὰ εἰς αὐτὸν γεγονότα ἀτιμωρά, λάθρᾳ καὶ κατὰ μικρὸν τοὺς ἐν Ἀδριανουπόλει πρότερον ὑποποιεῖται στρατηγούς, ὁπόσοι ἔτυχον ὄντες παρεωραμένοι καὶ ἄπρακτοι· διὰ δὲ τούτων καὶ τῶν αὐτοῦ συγγενῶν ὑποφθείρας καὶ τοὺς ὅσοι τῶν Μακεδονικῶν ἦρχον ταγμάτων καὶ

4 ὑπέκειντο C 10 ἀκρήμνου C 13 τοῦ om C 15 τορνίκη C ἐξ ἑσπέρας om C 17 παραλύεται C

quam ad imperium eveheretur usus fuerat. hi autem provinciam ingressi collectisque exercitibus ad rem gerendam conversi, urbem Tibium, quae erat eius gentis metropolis, oppugnare incommodum rati, reliqua ad Anium pertinentia castella tentant, capiuntque sanctam Mariam, Ampierum, sanctum Gregorium, admodum munitas et praeruptis impositas saxis arces, Aplesphario saepe opem iis dum oppugnarentur ferre conato, semperque victo. inde ad castellum Chelidonium veniunt, situm in praecipiti colle haud longe a Tibio. id cum vallo fossaque circumvenissent, obsidione capere intendunt, quod iam praesidiarios res ad victum necessariae destituebant, subita obsidione praeventos ne earum copiam importarent. fuissentque eo potiti, nisi in Occidente repente patricii Leonis Tornicii exarsisset defectio. is Leo cum Iberiam gubernaret affectatae tyrannidem accusatus, magistratu spoliatus rasusque vitam monasticam agere iussus erat. non mediocriter autem ferens contumeliam, occulte ac paulatim duces qui Adrianopoli erant corrupit, qui et ipsi contemptim ab imperatore habiti otio torpebant. horum deinde et suorum necessariorum opera milites quoque sibi conciliat, qui otiosi

Θρακικῶν, καὶ τοὺς ὅσοι ἐσχόλαζον στρατιώτας καὶ τοὺς ὅσοι ταῖς λεηλασίαις καὶ ταῖς διαρπαγαῖς ἔχαιρον, καὶ χεῖρα ἱκανὴν C συστησάμενος, ἀναγορεύεται βασιλεύς, καὶ ἅπαντα τὸν ὑπ' αὐτὸν ἀγείρας λαὸν ὀξὺς ἐπιφαίνεται τῇ βασιλίδι, τοῦ βασιλέως μήτε ἱκανὸν λαὸν ἔχοντος πρὸς ἀντιπαράταξιν μήτε πιστεύοντος τοῖς πολίταις ὡς εὔνοιαν καὶ πίστιν φυλάξουσιν ἐς αὐτόν. καὶ διὰ τοῦτο ἄγγελος ἐς τὸν Κωνσταντῖνον ἐν Ἰβηρίᾳ πέμπεται δημοσίοις ἔποχος ἵπποις μετὰ γραμμάτων βασιλικῶν κελευόντων τῶν ἐν χερσὶν ἀφέμενον ἔργων ἀφικέσθαι ὡς τάχος μετὰ τῶν δυνάμεων ἐς τὴν βασιλίδα. δεξάμενος δ' οὗτος τὰ γράμματα, καίτοι ἐν χερσὶν ἔχων τὸ φρούριον, λύει μὲν τὴν πολιορκίαν, σπένδεται δὲ τῷ Ἀπλησφάρῃ, ἀσφαλισάμενος αὐτὸν ἀραῖς καὶ ὅρκοις ὡς εὔD νοιαν διαφυλάξει τῷ βασιλεῖ καὶ οὐδέποτε μελετήσει φαῦλον κατὰ Ῥωμαίων. οὕτω δὲ πράξας καὶ τὰς δυνάμεις ἀναλαβὼν σπουδαίως ἠπείγετο πρὸς τὴν βασιλίδα. καὶ τὸ μὲν Χελιδόνιον τοῦτον τὸν τρόπον διαδιδράσκει τὴν ἅλωσιν· ὁ δὲ Κωνσταντῖνος μετὰ τῶν ἑῴων ταγμάτων καὶ παντὸς τοῦ στρατοῦ κατελθὼν αὐτὸς μὲν εἴσεισιν εἰς τὴν βασιλίδα, τὸ δὲ πλῆθος ἅπαν περαιοῦται προστάξει τοῦ βασιλέως εἰς Θρᾴκην, τὸ μὲν κατὰ τὴν ἀντίπορθμον τῇ βασιλίδι Χρυσόπολιν, τὸ δὲ κατὰ τὴν ἐν τῷ Ἑλλησπόντῳ Ἄβυδον. ἀλλὰ τοῦτο μὲν ὕστερον· πρὶν ἢ δὲ τὰς δυνάμεις ἐλθεῖν, ὁ Τορνίκιος κατὰ τὸν Σεπτέμβριον μῆνα, τῆς α' ἐπινεμήσεως, βασι-

1 Θρακικῆς C 2 ταῖς ante διαρπ. om C 6 φυλάξουσιν εὔνοιαν καὶ πίστιν C 9 ἀφέμενον] ἀμελήσαντες C 11 χερσὶν C 20 τὴν τοῦ ἑλλησπόντου C

degebant, et quotquot praedis ac direptionibus delectabantur. contractaque magna manu, imperator salutatus cum omnibus suis copiis actutum ad urbem proficiscitur. imperator, qui neque ad resistendum satis habebat in promptu militum, neque civium erga se fidei ac benevolentiae se committere audebat, in Iberiam nuntium equis dispositis mittit ad Constantinum, omissis quae in manibus erant, celerrime ad Cpolin cum exercitu venire iubens. is acceptis literis, quanquam iamiam potiturus Chelidonio videbatur, soluta obsidione cum Aplespharo pacem foedusque componit, iurato et diris etiam ni promissa impleret imprecationibus se devovente, se in fide imperatoris permansurum neque quicquam contra Romanos moliturum. his ita actis, ad urbem cum exercitu festinat. hoc modo Chelidonium liberatum. ipse cum Orientales legiones totumque exercitum adduxisset, iussu imperatoris urbem intravit, exercitus parte in Thraciam transportata, ad Chrysopolin, quae mari interfluente Cpoli opposita est, alia ad Abydum quae in Hellesponto. verum haec postea temporis acta. Tornicius ante Constantini adventum mense Septembri, indictione prima, imperator, ut diximus, salu-

λεύς, ὡς ἐλέχθη, ἀναρρηθεὶς θᾶττον ἢ λόγος τὴν βασιλίδα κατα-
λαμβάνει, ἐλπίζων αὐτοβοεὶ ταύτην αἱρήσειν διὰ τὸ μὴ εὐπορεῖν P 765
τὸν βασιλέα δυνάμεων. καὶ χάρακα πηξάμενος καταντικρὺ τῶν
Βλαχερνῶν, ἔγγιστα τῆς μονῆς τῶν ἁγίων Ἀναργύρων, πρῶτον
λόγοις καὶ ὑποσχέσεσιν ἀπεπειρᾶτο τῶν πολιτῶν, μηδενὸς δὲ
προσέχοντος αὐτῷ ἤδη καὶ ἔργου ἥπτετο. καὶ αὐτὸς δὲ ὁ βα-
σιλεὺς διά τε τῶν πολιτῶν καὶ τῶν παρευρεθέντων κατὰ τύχην
στρατιωτῶν ἀντιπαρετάττετο, τοὺς μὲν πολίτας καὶ τὸν δῆμον
τάξας ἐπὶ τοῦ τείχους· τοὺς δὲ παρατυχόντας στρατιώτας καὶ
ἄλλους τινὰς ὅσους οἱ τῆς συγκλήτου ἄρχοντες κελεύσει τούτου
καθώπλισαν, μὴ πλέον τῶν χιλίων ὄντας, ἐξαγαγὼν τοῦ τείχους B
διὰ τῶν ἐν Βλαχέρναις πυλῶν ἀντιμετώπους ἔστησε τῷ τυράννῳ,
τάφρον τινὰ προστησάμενος εἰς κώλυμα τῶν ἐπιόντων, δέον εἴσω
πυλῶν ἐπέχειν καὶ ἀπὸ τῶν τειχῶν τοὺς ἐπιόντας ἀμύνεσθαι, πολλὰ
τοῦ μαγίστρου Ἀργυροῦ τοῦ Ἰταλοῦ ποτνιωμένου καὶ παρακαλοῦν-
τος εἴσω μένειν καὶ μὴ ἐξάλλεσθαι, καὶ μὴ θέλειν λαῷ συμπλέκε-
σθαι μαινομένῳ καὶ ὀργῶντι καὶ στρατιωτικαῖς μελέταις ἐνηθλη-
μένῳ μετὰ στρατιωτῶν ὀλιγοστῶν καὶ λαοῦ νεαλοῦς καὶ ἀπειροπο-
λέμου. ἀλλὰ ταῦτα λέγων οὐκ ἔπειθεν· ἀντέκειτο γὰρ Κωνσταν-
τῖνος ὁ τὴν ἐπωνυμίαν Λειχούδης, τὰ πρῶτα τότε παρὰ βασιλέως
φέρων καὶ μέγα παρὰ τούτῳ δυνάμενος καὶ τῆς βουλῆς ταύτης C
ὑπάρχων πατήρ. ἐξελθόντων δὲ τούτων περὶ δείλην ὀψίαν, ὡς
ἔγνω ὁ τύραννος, τὰς ἀμφ' αὐτὸν καθοπλίσας δυνάμεις ἔπεισι
μετὰ ῥύμης μεγάλης, καὶ θᾶττον ἢ λόγος τὴν τάφρον διατεμὼν

1 ἐρρέθη C   4 τῆς μονῆς om C   18 νεοσυνάκτου margo C

tatus, dicto citius Cpolin obsidet, sperans se statim ea potiturum, quod sciebat imperatorem militibus destitui. igitur castris proxime monasterium Anargyrorum e regione Blachernarum fixis, primum verbis ac pollicitationibus animos civium tentat, deinde nemine audiente ipsum vim parat. sed et imperator cives populumque armat, iisque murorum defensionem committit; et milites qui tum aderant aliosque ipsius iussu a principibus senatus armatos, qui ultra mille non erant, per portam Blachernensem educit atque adversos hosti constituit, vallo tantummodo interposito, quod impetum irruentium hostium remoraretur. atqui intra portas se continere et de muris repellere adorientes praestabat; et magister Argyrus Italus vehementer quiritabatur, ac imperatorem hortabatur ne se extra portas emitteret, neve cum favente multitudine et bellicis laboribus adsueta congrederetur, ipse stipatus exigua manu tironum bellique imperitorum hominum. ne quid tamen obtineret, Constantinus Leichudes effecit, auctor alterius consilii et in summa apud imperatorem auctoritate. imperatore cum suis sub vesperam egresso, perduellis suos armat et in imperatorios magno cum impetu irruit, oculi-

τρέπεται τοὺς ἔνδον, ὧν οἱ μὲν ἁλίσκονται, οἱ δὲ φεύγοντες εἰς
τὴν τῆς πόλεως τάφρον κατέπιπτον καὶ οἰκτρῶς ἀπώλοντο. ἔφευ-
γον δὲ καὶ ἀπὸ τοῦ τείχους κρημνιζόμενοι οἱ πολῖται, παραπλη-
σίως καὶ οἱ πυλωροὶ τῶν ἐν Βλαχέρναις τειχῶν τὰς πύλας ἀναπε-
τάσαντες. καὶ εἰ μὴ τύχη τις ἔσφηλε τῷ Τορνικίῳ τὰ πράγματα,
εἰσῆλθεν ἂν ἀμογητὶ καὶ κύριος τῶν ἁπάντων ἐγένετο. ἄρτι δὲ
D διώξας ἄχρι τῆς παρὰ τῷ τείχει τάφρου ἐπέσχε τὸν διωγμόν, καὶ
πάλιν ἀναθαρρήσαντες οἱ περὶ τὸν βασιλέα τάς τε πύλας κατέσχον
καὶ τῆς φυλακῆς ἐπεμελήθησαν τῶν τειχῶν. τότε δὲ καὶ ὁ βασι-
λεὺς μικροῦ ἂν ἀπολώλει διὰ τόξου βληθείς, εἰ μὴ θεὸς προφα-
νῶς διεσώσατο, τοῦ οἰστοῦ ἐνεχθέντος εἴς τινος θεράποντος κά-
λυμμα στροβιλοειδὲς κεφαλῆς, ὅπερ καὶ τὸν ἔχοντα καὶ τὸν βα-
σιλέα διεσώσατο. τοῦτον δὲ τὸν τρόπον ἐγγὺς τοῦ ἁλῶναι ἡ πό-
λις ἐλθοῦσα διεσώθη. ὁ δὲ ἀποστάτης ἐπί τινας ἡμέρας προσ-
μείνας ἐν τῷ στρατοπέδῳ, ἐπειδὴ οἱ περὶ αὐτὸν κατὰ μικρὸν
ὑπορρυέντες ηὐτομόλουν τῷ βασιλεῖ, πτοηθεὶς μή πως οἱ πάντες
καταλιπόντες αὐτὸν οἰχήσονται ἢ καὶ κατασχόντες παραδῶσι τῷ
βασιλεῖ, ἀναστὰς ἐκεῖθεν ὑπέστρεψεν ἐν Ἀρκαδιουπόλει. καὶ
P 766 αὐτὸς μὲν σὺν Ἰωάννῃ τῷ Βατάτζῃ παρεμβολὴν πηξάμενος ἐκεῖσε
προσέμενε, Θεόδωρον δὲ τὸν τὴν ἐπωνυμίαν Στριφνομύτην καὶ
τὸν λεγόμενον Πολὺν καὶ Μαριανὸν τὸν Βρυνᾶν, ταγμάτων ἄρ-
χοντας δυτικῶν, καθ' αἵματος κοινωνίαν αὐτῷ ἐγγίζοντας, πο-
λιορκῆσαι ἐκπέμπει τὴν Ῥαιδεστόν· ἔτυχον γὰρ αἱ μὲν ἄλλαι Μα-

11 ἰοστοῦ C, βέλους margo 15 τῇ στρατοπεδείᾳ C 22 εἰς πολιορκίαν ἐκπέμπει τῆς πόλεως Ῥαιδέστου C

que momento perrumpens vallum eos pellit. horum alii capti sunt, alii fugientes in fossam urbi circumdatam inciderunt et misere perierunt. sed et cives de muris praecipiti fuga se proripuerunt. profugere etiam portarum Blachernensium custodes, non obiectis portarum valvis. quodnisi Tornicius fato fuisset impeditus, poterat absque ullo labore in urbem penetrare ac imperium occupare. nunc ille cum usque ad fossam muro contiguam pervenisset, ab insequendo destitit. hoc animum imperatoriis reddidit, ut et portas occuparent et murorum defensionem susciperent. haud dubie tunc deus imperatorem servavit, ne sagitta interficeretur, quae in ipsum emissa in rotundum cuiusdam famuli capitis tegmen est delata, quod et huic et imperatori salutare fuit. ad hunc ergo modum urbs proxima periculo, ab hoste tamen capta non est. Tornicius cum per aliquot dies in castris haesisset et ab ipso paulatim ad imperatorem deficeretur, veritus ne vel universi ab ipso transirent vel etiam comprehensum imperatori traderent, castris motis Arcadiopolin retro abiit, ibique cum Ioanne Batatza castra posuit, Theodoro Strabomyta, Polye Marianoque Brana, Occidentalium legionum ducibus et sibi sanguine propinquis, ad Raedestum oppugnandam missis; quae

κεδονικαὶ καὶ Θρᾳκικαὶ πόλεις προσχωρήσασαι τούτῳ, αὕτη δὲ μόνη εὔνοιαν ἐτήρει τῷ βασιλεῖ σπουδῇ τοῦ ταύτης ἀρχιερέως καί τινος ἐγχωρίου δυνάστου τοῦ λεγομένου Βατάτζη, συγγενοῦς ὄντος τοῦ Τορνικίου. ὡς δ' ἀπελθόντες ἐκεῖνοι καὶ χρονοτριβοῦντες οὐδὲν ἤνυον, ἄρας καὶ αὐτὸς ἄπεισιν ἐκεῖσε μετὰ παντὸς τοῦ στρατοῦ, καὶ πᾶσαν προσβολὴν καὶ μηχανὴν ἐπαγαγὼν τῇ πόλει B καὶ πάντοθεν ἀποκρουσθεὶς εὐψύχως τῶν ἔνδον ἀποκρουομένων τὰς μηχανὰς ὑπέστρεψε πάλιν ἐν Ἀρκαδιουπόλει, λύσας τὴν πολιορκίαν. ἄρτι δὲ καὶ τῶν ἑῴων στρατευμάτων διαπεραιωθέντων ἔκ τε Χρυσουπόλεως καὶ Ἀβύδου πρὸς Θρᾴκην, στρατηγὸν ἐπιστήσας αὐτοῖς ὁ βασιλεὺς Μιχαὴλ μάγιστρον τὸν Ἰασίτην πέμπει κατὰ τῶν ἀποστατῶν. ἀθροίσας δ' οὗτος ὑφ' ἓν τὰς δυνάμεις καὶ παραστρατοπεδεύσας τοῖς ἀποστάταις μάχης μὲν οὐκ ἦρχεν, ἐκήδετο δὲ μᾶλλον τῶν ἀνηκόντων χωρίων τοῖς ἀποστάταις, καὶ τοῖς ἁλισκομένοις φιλανθρώπως ἐφέρετο, καὶ γράμματα λαθραίως C ἔπεμπε πρὸς αὐτοὺς ἀμνηστίαν ἐπαγγελλόμενος κακῶν καὶ ἀγαθῶν δαψίλειαν. ἐπεὶ δὲ καὶ ὁ χειμὼν ἐπέστη καὶ τῶν ἀναγκαίων ἐσπάνιζον αὐτοί τε οἱ ἀποστάται καὶ τὰ ὑποζύγια καὶ οἱ ἵπποι, μὴ δυνάμενοι πρός τε τὸ ψῦχος καὶ τὸν λιμὸν καὶ τοὺς ἐναντίους ἀντικαθίστασθαι, κατὰ μικρὸν προσερρυΐσκοντο τῷ μαγίστρῳ. καὶ μέχρι μὲν τῶν ἀφανῶν ἦν αὐτομολία καὶ οὐκ ἐπισήμων, ἐκαρτέρει καὶ ταῖς ἐλπίσιν ἐτρέφετο· ἐπεὶ δὲ Μαριανὸς ὁ Βρανᾶς καὶ Πολὺς καὶ Θεόδωρος ὁ Στραβομύτης καὶ οἱ ἐκ τοῦ γένους τοῦ Γλαβᾶ καί

4 τορνίκη C 12 τοῦ ἀποστάτου C 13 περιστρατοπαιδεύσας C 15 προσεφέρετο C 22 καὶ ὁ πολὺς P 23 καὶ ante οἱ om C

urbs cum reliquae omnes Macedonicae atque Thracicae urbes Tornicio accessissent, fidem una servabat opera episcopi et cuiusdam in ea urbe summa potentia praediti Batatzae, qui et ipse consanguineus erat Tornicii. hi cum nihil efficerent aliquanto in eius oppidi oppugnatione tracto tempore, ipse etiam Tornicius eo cunctas suas ducit copias. cumque omni oppugnasset conatu et machinarum omne genus adhibuisset, oppidanis fortiter defendentibus profligatus, soluto obsidio Arcadiopolin rediit. interim Monomachus Orientales exercitus, qui iam a Chrysopoli et Abydo in Thraciam traiecerant, duce iis praefecto Michaele Iasita magistro emittit in rebelles. hic contractis omnibus in unum copiis castra hostibus opponit, pugnaque abstinens operam dat ne eorum praedia maleficium patiantur, captosque humaniter tractat, reliquis per literas occulte missas veniam delicti et omnium bonorum copiam promittens. iam et hiems appetebat, et perduelles, cum et ipsi et eorum iumenta alimentis destituerentur, quia frigus famem hostemque simul sustinere non poterant, paulatim ad magistrum desciverunt. Tornicius vero, quamdiu obscuri tantum deficiebant, utcunque duravit et spem fovit. cum autem Marianus Branas, Polys, Theodorus Strabomyta

τινες ἄλλοι τῶν ἐπισήμων ἀθρόοι καταλιπόντες αὐτὸν προσερρύη-
D σαν τῷ Ἰασίτῃ, φυγὼν μετὰ Ἰωάννου τοῦ Βατάτζη, ὃς δὴ μετ' αὐτὸν ἐν τῷ στρατοπέδῳ τῶν ἀποστατῶν ἐτάττετο, ἐπείπερ ἄφυκτα ἦν, ἔν τινι κατέφυγεν ἐκκλησίᾳ, καὶ ἡ ἐπισύστασις τῶν ἀποστατῶν ἐσκεδάσθη. καὶ τούτους μὲν ὁ Ἰασίτης πέμψας κατέσχε καὶ πρὸς τὸν βασιλέα πεπεδημένους εἰσάγει, τοῦ δὲ στρατοῦ ἕκαστος εἰς τὴν ἑαυτοῦ ἐπανῆλθε πατρίδα κελεύσει τοῦ βασιλέως. καὶ ὁ μὲν Τορνίκιος καὶ ὁ Βατάτζης ἀποτυφλοῦνται κατὰ τὴν ἑσπέραν τῆς ἑορτῆς τῆς τοῦ Χριστοῦ γεννήσεως, δημεύονται δὲ καὶ ὁπόσοι παρέμειναν ἕως τέλους εὖνοι τῷ τυραννήσαντι, ἀτίμως πρότερον περιαχθέντες διὰ τῆς ἀγορᾶς καὶ ἐξορίᾳ παραπεμφθέντες. καὶ ἡ μὲν ἀποστασία τοιοῦτον ἔσχε τὸ τέλος, ἄρχεται δὲ λοιπὸν τὰ ἀπὸ τῶν Τούρκων κακά. τίνες δὲ οἱ Τοῦρκοι, καὶ τίνα τρόπον ἤρξαντο πολεμεῖν Ῥωμαίοις, ἄνωθεν ἀναλαβὼν διηγήσομαι.

P 767 Τὸ τῶν Τούρκων ἔθνος γένος μέν ἐστιν Οὐννικόν, οἰκεῖ δὲ τὰ προσάρκτια τῶν Καυκασίων ὀρῶν πολυάνθρωπόν τε ὂν καὶ αὐτόνομον καὶ ὑπ' οὐδενὸς ἔθνους ποτὲ δουλωθέν. τῆς δὲ τῶν Περσῶν ἀρχῆς εἰς Σαρακηνοὺς διαλυθείσης, καὶ τῆς τῶν Σαρακηνῶν ἐπικρατείας μὴ μόνον Περσίδος καὶ Μηδίας καὶ Βαβυλῶνος καὶ Ἀσσυρίων κυριευούσης, ἤδη δὲ καὶ Αἰγύπτου καὶ Λιβύης καὶ μέρους οὐκ ὀλίγου τῆς Εὐρώπης, ἐπείπερ ἔτυχον ἐν διαφόροις καιροῖς ἀλλήλων καταστασιάσαντες καὶ ἡ μία καὶ μεγίστη ἀρχὴ αὕτη εἰς πολλὰ διῃρέθη μέρη, καὶ ἄλλον μὲν ἀρχηγὸν εἶχεν ἡ

et Glabana familia aliique illustres ipso deserto confertim ad Iasitam transiverunt, fugam ipse cum Ioanne Batatza, qui ab eo inter rebelles erat dignatione proximus, paravit. cumque evadendi non suppeteret facultas, in templum quoddam se recepere. sic agmen perduellium est dissipatum. Iasita eos missis famulis cepit et vinctos ad imperatorem abduxit: milites iussu imperatoris in suam quisque patriam discesserunt. Tornicio et Batatzae oculi effossi pridie natalitiorum Christi. eorum qui in benevolentia perduellis perstiterant bona publicata, prius ignominiose per forum circumductorum ac deinde relegatorum. hunc finem ille habuit motus. iam quas a Turcis acceperimus calamitates referam, si prius quinam fuerint Turci, et qua occasione bellum contra Romanos gerere coeperint, expedivero.

Turcorum gens Unnica fuit, habitans ad Caucasi montis partes septentrionales, populosissima et libera nulliusque unquam nationis dominium experta. postquam Saraceni Persarum regno everso non Persidem modo Mediam Babylonem et Assyriam, sed et Aegyptum et Libyam et Europae non exiguam partem subegerunt, ipsi inter se coeperunt diversis temporibus varie dissentire. ita unicum Saracenorum idque maximum imperium in multas est divisum partes, ut alius Hispaniae iam,

Ἰσπανία, ἄλλον δὲ ἡ Λιβύη, ἄλλον δὲ ἡ Αἴγυπτος, ἄλλον δὲ ἡ B Βαβυλών, ἕτερον δὲ ἡ Περσίς, καὶ πρὸς ἀλλήλους μὲν οὐχ ὡμονόουν, μᾶλλον μὲν οὖν καὶ προσεπολέμουν οἱ γειτονοῦντες, ἀρχηγὸς Περσίδος καὶ Χωρασμίων καὶ Ὠρητανῶν καὶ Μηδίας ὑπάρχων Μουχοῦμετ κατὰ τοὺς χρόνους Βασιλείου τοῦ βασιλέως, ὁ τοῦ Ἰμβραήλ, καὶ πολεμῶν Ἰνδοῖς καὶ Βαβυλωνίοις καὶ κακῶς ἐν τῷ πολέμῳ φερόμενος, ἔγνω δεῖν πρὸς τὸν ἄρχοντα Τουρκίας πρεσβεύσασθαι καὶ συμμαχίαν ἐκεῖθεν αἰτήσασθαι. πέμπει γοῦν πρέσβεις πρὸς αὐτὸν καὶ δῶρα πολυτελῆ, καὶ πεμφθῆναί οἱ ἐξαιτεῖ συμμάχους τὸν ἀριθμὸν τρισχιλίους. ὁ δὲ δεξάμενος ἀσμενέστατα τὴν πρεσβείαν καὶ τοῖς πεμφθεῖσι δώροις ἡσθεὶς ἐκπέμπει πρὸς αὐτὸν τοὺς τρισχιλίους, ἀρχηγὸν ἔχοντας Τραγολιπάκην Μου- C χάλετ τὸν υἱὸν Μιχαήλ, ἅμα καὶ ἐλπίσας ὡς εἴπερ οὗτοι δυνηθεῖεν ἀποκρούσασθαι τοὺς ἐπεμβαίνοντας τοῖς Σαρακηνοῖς, ῥᾷστά τε τὴν τοῦ Ἀράξιδος ποταμοῦ γέφυραν τὴν κωλύουσαν Τούρκους ἐς Περσίδα ἰέναι ἅτε πεπυργωμένην οὖσαν ἔνθεν κἀκεῖθεν καὶ φρουροῖς πάντοθεν φυλαττομένην βατὴν θήσουσι περιελόντες τὰς φρουράς, καὶ ὑποχείριον αὐτῷ ποιήσουσι τὴν τῶν Περσῶν χώραν. ἀφικομένων τοίνυν τῶν μισθοφόρων, αὐτούς τε ἀναλαβόμενος ὁ Μουχοῦμετ καὶ τὰς ἑαυτοῦ δυνάμεις προσβάλλει τῷ τῶν Ἀράβων ἄρχοντι Πισασιρίῳ, καὶ ῥᾷον αὐτὸν τρέπεται, μὴ ὑποστάντων D τὰς τῶν τόξων βολὰς τῶν Ἀράβων. ὑποστρέψας δὲ εἰς τὴν ἑαυ-

1 ἄλλον δὲ ἡ Αἴγ. — 2 Βαβυλὼν om C · 5 ὁ μουχ. C 8 διαπρεσβεύσασθαι C 12 ταυροκίλη καμουκάλετ C 13 τὸν om C 16 ἐς τὴν περσίδα C ἅτε] οὕτω C

alius Africae, alius Aegypti, alius Babylonis, alius Persidis esset princeps. tantum vero abfuit his ut inter se convenirct, ut inter vicinos etiam bella fuerint intestina. proinde Persidis Chorasmiorum Orctanorum et Mediae princeps Muchumetus, Imbraeli filius, Basilio imperii Romani clavum tenente, cum in bello quod adversus Indos atque Babylonios gerebat, rebus uteretur adversis, ex usu fore iudicavit, si missis ad Turcorum principem legatis auxilium peteret. mittit ergo ad eum legatos cum donis pretiosis, postulatque sibi auxilio mitti tria virorum milia. Turcus et allata dona gratissima habuit, et legati admodum comprobata petitione mittit ad Muchumetum tria, ut petiverat, milia, duce Tragolipace Mucaleto, Miceeli filio. enimvero hoc sperabat, si reprimere sui potuissent eos a quibus Saraceni invadebantur, facillime eos effecturos ut pons quo constratus Araxes erat, et qui ab utroque latere turribus excitatis ac praesidiis impositis munitus Turcis inaccessam Persidem faciebat, praesidiariis pulsis pervius Turcis postmodo fieret, itaque Persidis occupandae sibi occasio daretur. Turcis mercenariis Muchumetus acceptis, iisque cum suo exercitu coniunctis, cum Arabum principe Pisasirio confligit, eumque nullo negotio superat, sagittarum coniectum non ferentibus Arabibus. domum a victoria rever-

τοῦ ἠπείγετο καὶ πρὸς τοὺς πολεμοῦντας Ἰνδοὺς διαγωνίσασθαι μετ᾽ αὐτῶν. ἐκείνων δὲ ἐξαιτουμένων εἰς τὴν ἑαυτῶν ὑποστρέψαι συγχωρηθῆναι, ἀνεθείσης αὐτοῖς τῆς ἐν τῇ γεφύρᾳ φυλακῆς τοῦ Ἀράξιδος, ἐπείπερ ἐκεῖνος ἐνέκειτο καὶ βίαν ἐπενεγκεῖν ἐβούλετο, δείσαντες οὗτοι μὴ καὶ πάθωσί τι δεινόν, ἀποστατοῦσι. καὶ τὴν Καρβωνῖτιν ὑποδύντες ἔρημον διὰ τὸ μὴ θαρρεῖν ὀλίγους πρὸς τοσαύτας ἀντιπαρατάξασθαι μυριάδας, ἐκεῖθεν ἐκδρομὰς ποιούμενοι ἐδῄουν καὶ ἔφερον τὰ Σαρακηνῶν. δυσανασχετήσας οὖν ὁ Μουχοῦμετ ἐπὶ τοῖς γινομένοις, στρατὸν ἀθροίσας ἀμφὶ τὰς κ᾽
P 768 *χιλιάδας ἐκπέμπει κατὰ τῶν Τούρκων, ἐπιστήσας αὐτοῖς δέκα στρατηγοὺς ἀπὸ τῶν εὐγενεστάτων καὶ συνετωτάτων καὶ ἐπ᾽ ἀνδρίᾳ μεμαρτυρημένων Σαρακηνῶν. ἄραντες οὖν οὗτοι ἀπήρχοντο πρὸς τὸν πόλεμον. καὶ εἰσελθεῖν μὲν εἰς τὴν ἔρημον διὰ τὴν τοῦ ὕδατος καὶ τῶν τροφῶν ἔνδειαν ἀλυσιτελὲς ἐλογίζοντο, ἔγγιστα δὲ τοῦ στόματος τῆς ἐρήμου στρατοπεδεύσαντες διεσκοποῦντο τὸ ποιητέον. ὁ δὲ Ταγγρολίπηξ ἐς τὸ βάθος αὐλιζόμενος τῆς ἐρήμου, ἐπείπερ ἔμαθε τὴν κατ᾽ αὐτοῦ ἐκστρατείαν, ὁ τῶν Τούρκων ἀρχηγός, κοινολογησάμενος τοῖς μετ᾽ αὐτοῦ καὶ ἐπιθέσθαι νυκτὸς τοῖς Σαρακηνοῖς καὶ Πέρσαις συμφέρον εἶναι νομίσας, ταχυπορίᾳ χρησάμενος ἐν δυσὶν ἡμέραις ἐπιτίθεται τῇ τρίτῃ νυκτὸς αὐτοῖς*
B *ἀμερίμνως σκηνουμένοις καὶ μηδὲν προσδεχομένοις κακόν. καὶ τούτους μὲν θᾶττον τρέπεται λόγου, αὐτὸς δὲ ἁρμάτων καὶ ἵππων καὶ χρημάτων κυριεύσας πολλῶν οὐκέτι λοιπὸν ὡς φυγὰς καὶ λη-*

4 *ἐβουλεύετο* C 13 *τὴν σπάνιν τοῦ* C 15 *στρατοπ.* — 16 *ἐρήμου* om codex Xylandri 16 *τραγγολίπηξ* C 17 *ὁ τῶν Τούρκων ἀρχηγός* om C 19 *ταχυπορίαν* C 22 *ἵππον* C

sus, eosdem Turcos voluit etiam in pugnam contra Indos, a quibus oppugnabatur, sibi adesse. cumque petentibus ut domum sibi redire liceret et praesidium ab Araxis ponte abduceretur, vim etiam intentaret, Turci veriti maiora pericula ab eo defecerunt, et in Carbonitidem solitudinem (neque enim tam pauci adversus tam multa depugnare audebant milia) se subduxerunt, indeque identidem erumpentes Saracenorum dicionem populati sunt. iniquissime id ferens Muchumetus, ad 20 hominum milia adversum Turcos mittit, decem nobilissimos notaeque fortitudinis ac prudentiae duces Saracenos exercitui praeficiens. hi ad bellum profecti, intrare in desertum ob aquae et alimentorum inopiam iudicantes incommodum, proxime aditum solitudinis Turcorum dux de adventu Saracenorum factus certior, re cum suis communicata, subito adoriri Saracenos ac Persas statuit; biduoque magnis confectis spatiis, tertia nocte eos secure in tentoriis agentes nihilque mali exspectantes invadit atque illico profligat. ibi curribus equis pecuniaque plurima potitus, non iam ut fugitivus latrocinia exercere, sed palam exinde in

στῆς κρυφίους ἐποιεῖτο τὰς ἐπιθέσεις, ἀλλὰ φανερῶς ἀντεποιεῖτο τῶν ὑπαίθρων, προσρυϊσκομένων αὐτῷ καὶ τῶν ὅσοι διὰ κακουργίας τότε ἐδεδίεσαν θάνατον, καὶ δούλων καὶ τῶν χαιρόντων ταῖς ἁρπαγαῖς, ὡς ἐν βραχεῖ τῷ χρόνῳ δύναμιν περὶ αὐτὸν ἀθροισθῆναι μεγίστην, περί που τὰς ν' χιλιάδας. καὶ τὰ μὲν κατ' ἐκεῖνον ἐφέρετο τῇδε· ὁ δὲ Μουχοῦμετ μὴ ἐνεγκὼν μετρίως τὴν γενομένην τροπὴν ἀλλὰ βαρυθυμήσας τοὺς μὲν δέκα στρατηγοὺς ἀπετύ- C φλωσε, τοὺς δὲ διαφυγόντας στρατιώτας τὸν κίνδυνον θριαμβεύσειν ἠπείλησε γυναικείους περιβεβλημένους στολάς, αὐτὸς δὲ πρὸς ἀντιπαράταξιν καθωπλίζετο. οἱ δὲ προηττηθέντες στρατιῶται μαθόντες τὰς ἀπειλὰς προσχωροῦσι τῷ Ταγγρολίπηκι. τοσαύτης οὖν προσγενομένης αὐτῷ καὶ τηλικαύτης δυνάμεως, ἀγείρας ἅπαντα τὸν στρατὸν ἠπείγετο πρὸς τὸν Μουχοῦμετ, καθολικῇ μάχῃ σπεύδων κρῖναι τὰ πράγματα. ἀλλὰ καὶ ἐκεῖνος καὶ Σαρακηνοὺς καθοπλίσας καὶ Πέρσας καὶ Καβείρους καὶ Ἄραβας, καὶ στρατὸν συστησάμενος περί που τὰς πεντακοσίας χιλιάδας καὶ ἐλέφαντας πυργοφόρους ἑκατόν, καὶ πάντας τούτους ἀναλαβών, D ὑπαντιάζει κατὰ τὸ λεγόμενον Ἀσπαχᾶν. καὶ γενομένης μάχης φοβερωτάτης ἔπεσον μὲν ἐξ ἀμφοτέρων πολλοί, πίπτει δὲ καὶ αὐτὸς ὁ Μουχοῦμετ· ἐξιππαζόμενος γὰρ ἀτάκτως ἔνθεν κἀκεῖθεν καὶ τὸν οἰκεῖον παραθαρρύνων λαόν, τοῦ ἵππου συμπεσόντος αὐτῷ ἐκτραχηλισθεὶς ἀπέθανε. τούτου δὲ πεσόντος τὸ σὺν αὐτῷ πλῆθος ὡμονόησε τοῖς ἐναντίοις, καὶ ὁ Ταγγρολίπηξ ὑπὸ πάντων ἀναγορεύεται βασιλεὺς τῆς Περσίδος. ἀναρρηθεὶς δὲ πέμψας

1 ἀλλὰ φανερῶς om C 7 ἀλλὰ om C 8 δημεύσειν C 9 γυναικείας C. 10 καθωπλίσθη C 14 καὶ ante Σαρακηνοὺς om C

aperto castra habere. et confluebant ad eum qui ob maleficia supplicium metuebant, servi atque alii rapto vivere gaudentes. denique brevi tempore copiae ipsius usque ad 50000 excreverunt. at Muchumetus ob cladem acceptam iratus decem istos ductores luminibus orbat, et qui evaserant milites, eos se muliebri indutos vestitu in triumpho ducturum minatur. ipse ad bellum gerendum accingitur. milites autem qui antea victi a Turcis fuerant, minis perceptis, ad Tangrolipacem transeunt. is tanta accessione auctus cum omnibus suis copiis in Muchumetum it, ut collatis signis iusto praelio rem decernat. et Muchumetus armatis Saracenis Persis Caberis et Arabibus, exercitu quingentorum circiter milium contracto ac centum turrigeris elephantis, hosti apud locum cui Aspachan nomen occurrit. ibi atroci conserta pugna multisque utrinque cadentibus, ipse etiam Muchumetus, dum hinc inde incautius obequitat suosque verbis animat, equo collapso cervices frangit ac moritur. mortuo ipso exercitus cum Turcis conspirat, et omnium voluntate Tangrolipaces Persiae rex declaratur. regno occepto statim Turcis aditum in

καθαιρεῖ τὴν ἐν τῇ γεφύρᾳ τοῦ Ἀράξιδος φυλακήν, καὶ ἄνετον δίδωσι τῷ βουλομένῳ τῶν Τούρκων τὴν ἐς τὴν Περσίδα πορείαν. ἀπολυθέντες δὲ οὗτοι εἰσέδραμον παμπληθεί, πλὴν τῶν ὅσοι τῆς ἑαυτῶν ἀντεποιοῦντο πατρίδος, καὶ καθελόντες Πέρσας καὶ Σαρακηνοὺς αὐτοὶ κύριοι τῆς Περσίδος ἐγένοντο, τὸν Ταγγρολίπηκα σουλτάνον ὀνομάσαντες, τουτέστι παντοκράτορα καὶ βασιλέα βασιλέων· ὃς πάσας τὰς ἀρχὰς τοὺς ἐγχωρίους ἀφελόμενος εἰς P 769 Τούρκους μετήνεγκε καὶ τὴν Περσίδα πᾶσαν πρὸς αὐτοὺς διένειμεν, ἐς τὸ παντελὲς κατασπάσας καὶ ταπεινώσας τοὺς ἐγχωρίους.

Ὡς δὲ καλῶς ἔχειν ἐδόκει τούτῳ τὰ πράγματα, πρότερον μὲν τοῖς ὁμόροις δυνάσταις ἤρξατο πολεμεῖν, καὶ πρὸς μὲν τὸν Πισσασίριον τῆς Βαβυλῶνος ἄρχοντα αὐτὸς δι' ἑαυτοῦ παρετάξατο, καὶ διαφόροις μάχαις τοῦτον ἡττήσας καὶ ἀνελὼν κύριος καὶ τῆς Βαβυλωνίων χώρας ἐγένετο, πρὸς δὲ Καρβέσιον τὸν τῶν Ἀράβων ἀρχηγὸν Κουτλουμοῦς ἐκπέμπει, υἱὸν ὄντα τοῦ ἀδελφοῦ B τοῦ οἰκείου πατρός, χεῖρα βαρεῖαν δοὺς αὐτῷ· ὃς ἀπελθὼν καὶ τοῖς Ἄραψι συμβαλὼν ἡττήθη καὶ αἴσχιστα ἔφυγεν. ὑποστρέφων δὲ ἀπὸ τῆς τροπῆς, καὶ μέλλων διοδεύειν ἀπὸ τῆς Μηδίας ἤτοι τοῦ Βαασπρακὰν (ἦρχε δὲ τότε τῆς τοιαύτης χώρας ἐκ βασιλέως πεμφθεὶς Στέφανος πατρίκιος ὁ Κωνσταντίνου τοῦ παραδυναστεύοντος τῷ βασιλεῖ τῆς Λειχουδίας υἱός) στέλλει πρὸς αὐτὸν πρεσβευτάς, ἀξιῶν συγχωρηθῆναι διελθεῖν ἀκωλύτως, ὑπισχνού-

4 καὶ καθελόντες] κακοθελόντες C 15 καρβέσην C 16 κουτλουβοὺς C

Persidem aperit; atque hi confertim eo se contulerunt, exceptis quos patriae amor detinebat, oppressisque Persis ac Saracenis suam fecerunt Persidem, ac Tangrolipaci nomen sultani imposuerunt, qua voce summus imperator ac rex regum notatur. is omnes magistratus ab incolis in suos transtulit, interque hos universam divisit Persidem, prorsus conculcatis indigenis.

Secundum haec sultanus regno, ut videbatur, praeclare constituto, bello petere finitimos regulos instituit. factaque in Pissasirium Babylonis ducem expeditione, diversis praeliis eum vincit atque interficit, et hoc modo Babylonica dicione potitur. inde adversus Carbesium Arabum principem emittit magno cum exercitu Cutlumusum, patris sui fratre natum. is commisso cum Arabibus praelio superatus turpiter fugit. cumque in reditu esset per Mediam (hodie Baaspracan appellatur) iter facturus, ad eius praefectum (is erat ab imperatore Romanorum eo missus, Stephanus patricius, Constantini, qui una cum imperatore administrabat rem publicam Leichudiae filius) missis legatis liberum sibi transitum permitti petit, iureiurando gravissimo interposito pollicitus se

μενος μεθ' ὅρκων φρικωδεστάτων ἄψαυστον καὶ ἀσινῆ διατηρῆσαι τὴν χώραν. ὁ δὲ τοὺς πρέσβεις δεξάμενος καὶ τὴν παράκλησιν δειλίαν εἶναι ὑποτοπάσας, τὸν ἐγχώριον ἀθροίσας στρατὸν ὡς εἰς πόλεμον ὑπαντιάζει τοῖς Τούρκοις. ὁ δὲ Κουτλουμοῦς περιαλγὴς μὲν ἐπὶ τοῖς πραττομένοις ἐγένετο (ἦν γὰρ ὁ κατ' αὐτὸν λαὸς C ἅπας, ὡς ἐκ τροπῆς ἐπανήκων, πεζὸς καὶ ἄοπλος), ὅμως δὲ καὶ ἄκων ἠναγκάσθη ἀντιπαρατάξασθαι. καὶ συμβολῆς γενομένης τρέπονται οἱ περὶ τὸν Στέφανον, ἁλίσκεται δὲ καὶ αὐτὸς αἰχμάλωτος σὺν ἄλλοις πολλοῖς. καὶ τοῦτον μὲν διερχόμενος κατὰ τὸ Ταβρέζιον ἀπεμπολεῖ τῷ τοπάρχῃ τῆς χώρας, αὐτὸς δὲ πρὸς τὸν σουλτάνον ἐπανελθὼν καὶ περὶ τῆς τροπῆς ἀπολογούμενος μετετίθει τὰς αἰτίας εἰς ἄλλους, καὶ ἐπηγγέλλετο, εἰ αὖθις δύναμιν λαβὼν ἐκστρατεύσει κατὰ τοῦ Καρβεσίου, ῥᾷον αὐτῷ παραστήσειν τὴν Ἀραβίαν. ὡς ἐν παρόδῳ δὲ ἀφηγεῖτο καὶ περὶ τοῦ Βαασπρακάν, ὡς εἴη μὲν χώρα πάμφορος, κατέχεται δὲ ὑπὸ γυναικῶν, τοὺς πεπολεμηκότας πρὸς αὐτὸν στρατιώτας ὑπαινιττόμενος. D ἀλλ' ἐκεῖνον μὲν ὁ σουλτάνος κατασχεῖν ἐμελέτα διὰ τὸ αἶσχος μηνίσας τῆς ἥττης καὶ ἀποκτεῖναι, πρὸς δὲ Ῥωμαίους ὅπλα κινῆσαι ἀπεδειλία, δεδιὼς καὶ φρίττων ἐκ μόνης τῆς φήμης τὰ τῶν προηγησαμένων τριῶν βασιλέων ἀνδραγαθήματα, Νικηφόρου Ἰωάννου καὶ Βασιλείου, καὶ ὑποπτεύων τὴν αὐτὴν ἀρετὴν ἔτι καὶ δύναμιν προσεῖναι Ῥωμαίοις. ὅμως ἀμφίρροπος ἦν καὶ διχογνώμων, καὶ ἐμελέτα τὸ ποιητέον. Κουτλουμοῦς δὲ γνοὺς

6 ἐπανῆκον C   ἄνοπλος C   7 συμπλοκῆς C   13 καρβέσσου C   15 βασπρακᾶν C

suosque absque omni maleficio transituros. at Stephanus eam petitionem a timiditate profectam opinatus, exercitu suae provinciae collecto, in Turcos tanquam hostes ducit. gravissimum ea res dolorem Cutlumuso attulit, quippe cuius exercitus omnis, utpote ab adverso praelio rediens, pedester inermisque esset. coactus tamen conflixit, victoriamque obtinuit, capto cum multis aliis etiam ipso Stephano; quem et in reditu apud Tabrezium loci eius domino vendidit. ceterum ad sultanum reversus Cutlumusus de accepta clade se purgat, culpa in alios collata, polliceturque si rursum cum copiis adversus Carbesium mittatur, facile se Arabiam subacturum. obiter etiam de Baaspracania refert, regionem esse fertilissimam et a mulieribus teneri, sic oblique notans milites, cum quibus dimicarat. verum sultanus ei ob dedecus amissae victoriae iratus de comprehendendo occidendoque homine cogitabat. adversus autem Romanos arma movere formidabat, ipso nomine rerum praeclare a tribus imperatoribus Nicephoro Tzimisca et Basilio gestarum perterritus, suspicansque eandem esse etiamnum virtutem Romanorum atque potentiam. dubitabat tamen incertusque animi deliberabat quid agendum

τὴν ἐπιβουλὴν φεύγει μετὰ τῶν σὺν αὐτῷ, καὶ πόλιν ὀχυρωτάτην κατασχὼν ἐν Χωρασμίοις κειμένην, ἥτις Πάσαρ ὠνόμασται, ἀντίπαλος γίνεται τῷ σουλτάνῳ. ὁ δὲ τὸ νῦν ἔχον πρὸς τοῦτον μὲν
P 770 διαπολεμεῖν οὐκ ἐδοκίμασε, πάσας δὲ τὰς ἑαυτοῦ δυνάμεις ἀθροίσας ἄπεισι κατὰ τῶν Ἀράβων, καὶ μάχης γενομένης πάλιν τρέπεται καὶ αὐτός. ἐπανελθὼν δὲ ἀπὸ τῆς τροπῆς, καὶ μὴ φέρων τὴν αἰσχύνην καὶ τὸ ἀπὸ τοῦ Κουτλουμοῦς ὄνειδος, αὐτὸς μὲν τὸ πλεῖστον πλῆθος ἀναλαβὼν ἄπεισιν εἰς τὸ Πάσαρ, καὶ διετέλεσε προσπολεμῶν μέχρι πολλοῦ τῷ οἰκείῳ ἀνεψιῷ, τῇ ὀχυρότητι τῆς πόλεως θαρροῦντι καὶ πολλάκις ἀναπεταννύντι τὰς πύλας καὶ ἐξερχομένῳ καὶ οὐ μικρῶς τοὺς περὶ τὸν σουλτάνον βλάπτοντι. κατὰ δὲ Ῥωμαίων δύναμιν ἐκπέμπει ἑτέραν, ἀμφὶ τὰς κʹ χιλιάδας, στρατηγὸν ἐπιστήσας αὐτῇ ἀδελφόπαιδα Ἀσὰν τὸν λεγόμενον
B κωφόν, ἐπισκήψας τὴν ταχίστην ἀφικέσθαι καὶ εἰ προχωροίη προσκτήσασθαι αὐτῷ τὴν Μηδίαν. καὶ ταῦτα μὲν ἐπράττετο ἐν Περσίδι.

Παγκράτιος δὲ ὁ τῆς Ἰβηρίας ἀρχηγός, ἀκόλαστος ἄνθρωπος, ἐς τοῦ Λιπαρίτου τὴν κοίτην ἐξυβρίσας (ἦν δὲ ὁ Λιπαρίτης υἱὸς τοῦ ἐπὶ τοῦ βασιλέως Βασιλείου ἐν τῷ πρὸς τὸν Γεώργιον πολέμῳ ἀναιρεθέντος Ὁρατίου τοῦ Λιπαρίτου, ἐπὶ συνέσει τε καὶ ἀνδρίᾳ βεβοημένος καὶ μεγάλα μετὰ τὸν Παγκράτιον δυνάμενος ἐν τοῖς Ἴβηρσιν) ἠνάγκασε τοῦτον ἐπὶ τῷ γεγονότι δεινοπαθήσαντα ὅπλα κατ' αὐτοῦ κινῆσαι. καὶ πολέμῳ τοῦτον τρεψάμενος
C εἰς τὰ Καυκάσια καὶ τὴν ἔνδον ἀπελαύνει Ἀβασγίαν, ἐν τοῖς βα-

2 καταλαβὼν C 3 τὸ] τὸν C 5 τῶν om C

foret. sed Cutlumusus insidias sentiens cum suis fugit; urbemque in Chorasmiis sitam, cui Pasar nomen, munitissimam occupans sultano adversatur. sultanus in praesentia eo omisso cum omnibus suis copiis contra Arabes proficiscitur, et ab iis ipse quoque profligatur. reversus domum, dedecorisque et opprobriorum Cutlumusi impatiens, maxima cum parte exercitus Pasarem obsidet, ac diu sane patruelem suum oppugnat, fretum loci munitione et saepe eruptione facta sultano haud levia damna dantem. alium autem exercitum emittit, circiter viginti milium, contra Romanos, duce fratris sui filio Asane cognomine Surdo, mandatque ei ut celerrime pergat et rebus succedentibus Mediam subigat. haec ita tum in Perside acta.

Pancratius porro Iberiae regulus, homo impudicus, uxorem Liparitae violavit. erat is Liparites Horatii Liparitae filius, eius qui bello Basilii imperatoris in Georgium Abasgorum ducem occisus fuit, homo fortitudine et prudentia nobilis, magnaeque post Pancratium inter Iberos potentiae. hic ergo iniuriae atrocitate concitatus arma contra Pancratium sumit, victumque praelio ad Caucasum et in interiorem Abasgiam

σιλείοις τε γενόμενος τῇ ἑαυτοῦ μίγνυται πρὸς βίαν δεσποίνῃ, τῇ μητρὶ τοῦ Παγκρατίου, καὶ τῶν ὅλων τῆς Ἰβηρίας πραγμάτων κύριος γίνεται. γράμματά τε εἰς τὸν βασιλέα πέμψας φίλος καὶ σύμμαχος ἐξαιτεῖ γενέσθαι Ῥωμαίων· οὗ τὴν πρεσβείαν δεξάμενος οὗτος κοινοπραγεῖται μετ' αὐτοῦ. μετὰ δέ τινα χρόνον καὶ ὁ Παγκράτιος διὰ τοῦ Φάσιδος ποταμοῦ καὶ Σουάνων καὶ Κόλχων ὁδοιπορήσας ἔρχεται εἰς Τραπεζοῦντα, κἀκεῖθεν ἀγγέλους ἐκπέμπει πρὸς βασιλέα, δηλῶν ὡς ἔφεσιν ἔχει εἰσελθεῖν ἐν τῇ βασιλίδι καὶ αὐτῷ ἐντυχεῖν. προσταχθεὶς οὖν εἴσεισι, καὶ τῷ βασιλεῖ ἐν- D τυχὼν πρῶτον μὲν ὀνειδίζει πολλὰ ὅτιπερ βασιλεὺς ὢν καὶ πρὸς ἀρχηγὸν οὐ μικρᾶς χώρας τῆς Ἀβασγίας σπονδὰς ἔχων ταύτας μὲν ἠθέτησε, προσέθετο δὲ ἀνδρὶ ἰδιώτῃ καὶ δούλῳ ἀποστάτῃ, ἔπειτα καὶ καταλλάξαι ἀλλήλους παρακαλεῖ. ὃ δὴ καὶ γέγονε τῇ σπουδῇ τοῦ βασιλέως, σπεισαμένων ἀλλήλοις ὥστε τὸν μὲν Παγκράτιον κύριον εἶναι καὶ ἀρχηγὸν πάσης τῆς Ἰβηρίας καὶ Ἀβασγίας, αὐτὸν δὲ μέρους ἄρχοντα τῆς Μεσχίας διὰ βίου κύριον ἐκεῖνον ἔχειν καὶ βασιλέα. καὶ τὰ μὲν κατὰ τὴν Ἀβασγίαν κατήντησεν εἰς τοῦτο.

Ἀσὰν δὲ ὁ κατὰ Ῥωμαίων πεμφθεὶς παρὰ τοῦ σουλτάνου, παρελθὼν τὸ Ταβρέζιον καὶ τὸ λεγόμενον Τεφλὶς ἦλθεν εἰς Βαασπρακανίαν, πάντα κείρων καὶ πυρπολῶν καὶ τοὺς προσπίπτοντας ἀναιρῶν, καὶ μηδὲ τῆς παιδικῆς φειδόμενος ἡλικίας. ὁ δὲ τῆς χώρας ἄρχων Ἀαρὼν βέστης, ὁ τοῦ Βλαδισθλάβου P 771

5 κοινοπραγεῖ C 16 βεσχίας C 23 βέστης om C

compellit. ipse regia occupata dominam suam Pancratii matrem vi stuprat, totaque Iberia potitur. inde missis ad imperatorem literis in amicitiam societatemque Romanorum recipi postulat; idque ab imperatore impetrat. aliquanto post Pancratius per Phasidem fluvium Suanos et Colchos iter faciens Trapezuntem pervenit, indeque missis nuntiis imperatori significat cupere se Byzantium ire et cum ipso colloqui. quod ubi permissum fuit, congressus cum imperatore multis ei verbis exprobrat, quod sceptrum ipse gerens foedus, quod ei cum Abasgiae dicionis haud exiguae regulo fuerat, violasset, et cum privato ac servo perduelli coivisset societatem. simul petit ut inter se et Liparitam transigat. atque hoc imperator confecit, pactumque est ut Pancratius omnem Iberiam atque Abasgiam obtineat, Liparita autem parti Meschiae per omnem vitam praesit ac Pancratium dominum regemque suum agnoscat. hunc quidem exitum res Abasgica habuit.

Asan vero a sultano adversus Romanos missus, ultra Tabrezium et Tephlidem profectus in Baaspracaniam venit, proxima quaeque populando atque incendio vastans, et obvios trucidans, ne puerili quidem parcens aetati. praeerat tum Baaspracaniae Aaron Besta Bladisthlabi

υἱὸς καὶ τοῦ Προυσιάνου ἀδελφός, μὴ ἀξιόμαχον εἰδὼς ἑαυτὸν μηδὲ δυνάμενον ἀντιστῆναι πρὸς τοσαύτην Τούρκων πληθύν, γράμματα ἐκπέμπει πρὸς τὸν βέστην κατακαλῶν τὸν Κεκαυμένον τὸν Ἀνίου καὶ τῆς Ἰβηρίας κατάρχοντα, καὶ ὁπόση δύναμις παρακαλεῖ βοηθεῖν. ὁ δὲ τὰ γράμματα δεξάμενος, καὶ θᾶττον ἢ λόγος τὸν ἀμφ' αὐτὸν ἀγείρας λαόν, ἄπεισι διὰ ταχέων καὶ ἑνοῦται τῷ Ἀαρών. καὶ συμβουλῆς προτεθείσης πότερον νυκτομαχίᾳ χρηστέον ἢ φανερὰν μάχην ἀναδεκτέον, πρὸς οὐδέτερον ὁ Κεκαυμένος κατένευεν, ἐγνώκει δὲ τρόπον ἄλλον καταστρατηγῆσαι τοὺς
B ἐχθρούς· συνεβούλευε γὰρ τὴν παρεμβολὴν καταλιπόντας ὡς εἶχε μετὰ τῶν σκηνῶν καὶ τῶν ὑποζυγίων καὶ τῆς ἄλλης ἀποσκευῆς, λόχους νυκτὸς ἐν ἐπικαιροτάτοις στῆσαι χωρίοις, κἀπειδὰν οἱ Τοῦρκοι ἀφίκωνται καὶ ἔρημον ἀνδρῶν εὑρόντες τὸν χάρακα πρὸς διαρπαγὰς τῶν ἔνδον χωρήσωσι, τότε δὴ τῆς ἐνέδρας ἀναστάντας ἐπιθέσθαι αὐτοῖς. καί γε οὐ διεψεύσθη τοῦ σκοποῦ. ἕωθεν γὰρ ὁ Ἀσὰν ἀναστὰς ἐκ τῆς οἰκείας παρεμβολῆς κατὰ τὸν Στράγναν κειμένης ποταμὸν ἄπεισιν ὡς πρὸς πόλεμον· ὡς δὲ οὐδεὶς ὑπήντα, ἐπλησίασε δὲ καὶ τῷ χάρακι τῶν Ῥωμαίων, καὶ οὔτε φυλακὴν εἶχεν οὔτε φωνὴ ἐξηκούετο, ἀλλὰ κενὸς ἦν πάσης δυνάμεως,
C τότε δὴ φυγεῖν ὑπονοήσας τοὺς Ῥωμαίους ῥήγνυσί τε διὰ πολλῶν τόπων τὴν παρεμβολὴν καὶ διαρπαγὴν ποιεῖσθαι τῶν λαφύρων κελεύει. οἱ δὲ Ῥωμαῖοι περὶ δείλην ὀψίαν ἀναστάντες τῶν λόχων, ἀσυντάκτοις συντεταγμένοι προσρήγνυνται τοῖς Τούρκοις, καὶ

2 δύναμιν τούρκων C 6 στρατόν C 10 συνεβούλευσε C 17 κείμενον P, κειμένην C

filius Prusiani frater. qui cum sibi non satis esse ad tantam Turcorum multitudinem sustinendam virium sentiret, Catacalonem Bestam Ambustum Anii atque Iberiae praefectum literis missis hortatur ut sibi suppetias quamprimum ferat. Ambustus literis acceptis dicto citius suos excitat, cumque iis ad Aaronem se confert. coniunctis copiis cum deliberaretur nocturnone an aperto praelio cum Turcis esset pugnandum, neutrum Catacaloni probatum est, sed alia arte hostes circumveniendos duxit. castra, inque iis tentoria, ut erant, ac iumenta et impedimenta omnia relinqui voluit, et insidias per noctem opportunissimis locis poni: tum Turcis advenientibus, et castrorum hominibus vacuerum direptioni intentis, prorumpendum ex insidiis et in eos faciendum impetum. neque id eum consilium fefellit. mane enim Asan e castris suis secundum Stragnam fluvium tanquam ad pugnam proficiscitur, cumque occurreret nemo, ubi ad castra Romanorum pervenit, ibique neque vox ulla audita est neque custos ullus visus, sed omnia in sua esse potestate putavit Romanosque fugisse credidit, multis locis castra perrumpit diripique praedam iubet. at Romani sub vesperam ex insidiis progressi composito agmine dissipatos Turcos adoriuntur, primoque congressu fundunt,

παραχρῆμα τρέπουσι τὸ ἀνυπόστατον μὴ ἐνεγκόντας τῆς Ῥωμαϊκῆς ὁρμῆς. πίπτει μὲν οὖν πρῶτος ὁ Ἀσὰν ἐν τοῖς πρώτοις ἀγωνιζόμενος, πίπτει δὲ καὶ ὅσον ἄλκιμον τοῦ στρατοῦ. οἱ δὲ περισωθέντες λίαν ὀλίγοι καὶ γυμνοὶ διὰ τῶν ὀρέων ἐς τὰς τῶν Περσαρμενίων διασώζονται πόλεις.

Ὁ δὲ σουλτάνος διὰ τῶν ἀποδράντων μεμαθηκὼς τὸ συμβὰν ἀτύχημα εἰς μεγάλην ἐνέπεσεν ἀγωνίαν, καὶ ἐν σπουδῇ ἐποιεῖτο ὅπως ἂν τὴν γενομένην ἐπανορθώσηται ἀκληρίαν. καὶ δὴ λαὸν D ἐπίλεκτον συστησάμενος ἔκ τε Τούρκων καὶ Καβείρων καὶ Λιμνιτῶν περὶ τὰς ρ' χιλιάδας, καὶ Ἀβραμίῳ Ἀλεὶμ τῷ ἑτεροθαλεῖ ἀδελφῷ αὐτοῦ παραδοὺς ταύτας, κατὰ Ῥωμαίων ἐκπέμπει. ἀγγελθείσης δὲ τῆς ἐφόδου, ἑνωθέντες πάλιν οἱ ἄνωθεν ῥηθέντες ἄρχοντες τῶν στρατευμάτων βουλὴν προετίθεσαν καὶ διεσκοποῦντο τὸ πρακτέον. καὶ τῷ μὲν Κεκαυμένῳ ἐδόκει μετὰ τῆς παρούσης δυνάμεως ὑπαντῆσαι τοῖς Τούρκοις ἔξωθεν τῶν Ῥωμαϊκῶν ὁρίων, κἀκεῖσε διαγωνίσασθαι, ἔτι τῶν πλειόνων ἀντιπάλων ἀνίππων ὄντων καὶ τῆς ἄλλης δυνάμεως κεκμηκυίας ἀπὸ τῆς πλείστης ὁδοιπορίας, ἐπιλελοιπότων δὲ καὶ σιδηρίων τοῖς Τούρκοις, οἷς τὰς χηλὰς τῶν ζώων εἰώθασι περιστέλλειν, ἐπηρμένων δὲ καὶ τῶν P 772 Ῥωμαίων καὶ θαρραλέων ὄντων ἀπὸ τῆς προηγησαμένης νίκης, καὶ προθυμουμένων συμμῖξαι τοῖς πολεμίοις. τοὐναντίον δὲ ὁ Ἀαρὼν ἀπεφαίνετο, ἐπέχων τὰς δυνάμεις, λέγων ὀχυρῶσαί τε τὰς πόλεις καὶ τὰ φρούρια καὶ εἴσω τειχῶν συγκλεῖσαι τὰ πάντα, μηνῦσαί τε τῷ βασιλεῖ καὶ μὴ ἄνευ γνώμης ἐκείνου μετὰ δυνά-

9 διλιμνιτῶν C, Σαβήρων καὶ Διλιμνιτῶν Golius (ad Alfergani elementa astronomica p. 205 ed. Amstelod. 1669) auctore Agathia 4 17 et 18 monuit Wilkenus. 18 σιδήρων P 22 ἐπέχειν C

vehementiam sui impetus non subsistentes. cadit inter primos pugnans Asan, et quidquid in eo exercitu forte fuit obtruncatur. reliqui, pauci admodum ii atque nudi, per montes in Persarmeniae urbes evadunt.

Ab his de accepta clade edoctus sultanus in magnam devenit solicitudinem. ut autem hanc calamitatem resarciret, e Turcis Caberis et Limnitis delectum exercitum ad 100000 conducit, eumque duce Abramio Alimo, fratre ex altero parente suo, contra Romanos mittit. nuntiato barbarorum adventu, Aaron et Ambustus unitis rursum exercitibus quid agendum sit consultant. sententia Catacalonis erat cum praesentibus occurrendum Turcis esse extra Romanos fines, ibique decertandum, cum adhuc maior hostium pars equis careret, et reliqui etiam longo itinere essent defatigati, soleisque ferreis Turci carerent quibus ungulae armantur, Romani autem recenti victoria elati alacres essent, pugnamque expeterent. contra Aaron pronuntiabat continendum exercitum, urbesque et castella muniendum atque omnia muris includendum: de re ad

μεως μικρᾶς πρὸς τοσοῦτον πλῆθος πολεμῆσαι βαρβάρων. οὕτω δὲ τῶν στρατηγῶν ἀποφηναμένων ἐνίκησεν ἡ τοῦ Ἀαρὼν γνώμη. καὶ αὐτοὶ μὲν μετὰ τῆς στρατιᾶς ἀπελθόντες ἐν Ἰβηρίᾳ κατά τινα πεδιάδα ἐγχωρίως Ὀσούρτρου λεγομένην ἔμενον ἡσυχάζοντες ἐν τοῖς ὑπαίθροις, πάντα πρότερον τὸν ἀγρότην λαὸν καὶ γυναῖκας B καὶ παῖδας καὶ πᾶν ὅ τι τίμιον συγκλείσαντες ἐν τοῖς ὀχυρώμασιν· ἔγραψαν δὲ καὶ τῷ βασιλεῖ διὰ ταχυδρόμου, δηλοποιήσαντες τὴν τῶν ἐναντίων ἐπέλευσιν. δεξάμενος οὖν οὗτος τὰ γράμματα ἐκείνοις μὲν ἐπέχειν ἐκέλευεν, ἕως ἂν ὁ Λιπαρίτης μετὰ τῆς τῶν Ἰβήρων δυνάμεως ἐλθὼν τοῖς Ῥωμαϊκοῖς ἑνωθῇ στρατεύμασι· πέμπει δὲ πρὸς ἐκεῖνον γράμματα διοριζόμενα τὴν ταχίστην, εἴπερ σύμμαχον ἑαυτὸν καὶ φίλον κρίνει Ῥωμαίων, ἀνειληφότα πάντα τὸν περὶ αὐτὸν λαὸν ἀφικέσθαι καὶ συμμῖξαι τοῖς στρατηγοῖς τῶν C Ῥωμαίων καὶ μετ' αὐτῶν διαπολεμῆσαι πρὸς τοὺς βαρβάρους. οἱ μὲν οὖν στρατηγοὶ τὰ γράμματα δεξάμενοι ἠρέμουν ὡς ἐκελεύσθησαν, καὶ τὴν τοῦ Λιπαρίτου προσέμενον ἄφιξιν, ἐκεῖνος δὲ τὸ βασιλικὸν δεξάμενος πρόσταγμα τὸν ἑαυτοῦ μετὰ σχολῆς ἤθροισε καὶ καθώπλιζε λαόν. ἐν ὅσῳ δὲ οὗτος τὰς οἰκείας συνεκρότει δυνάμεις καὶ ὁ χρόνος ἐτρίβετο, ὁ Ἀβράμιος τὴν Βαασπρακανίαν καταλαβών, καὶ μαθὼν ὅτι περ οἱ Ῥωμαῖοι ἐνταῦθα συνειλεγμένοι ὄντες καὶ τὴν αὐτοῦ μαθόντες ἐπέλευσιν ὑπενόστησαν εἰς Ἰβηρίαν, δειλίαν, ὅπερ ἦν εἰκός, τὸ πρᾶγμα ὑπονοήσας, παρ' οὐδὲν θέμενος καὶ λείαν καὶ λαφυραγωγίαν ἐδίωκεν ὄπισθεν αὐτῶν, ἐπειγόμενος συρράξαι τοῖς παροῦσι πρὸ

4 ούρτροὺ C   8 ἀπέλευσιν P

Imperatorem referendum, neque eius iniussu contra tantam multitudinem tam parvis copiis dimicandum. haec sententia vicit. et profecti in Iberiam, in planitie quadam, quae incolarum sermone Osurtru dicitur, castris sub dio positis quieverunt, omni prius agresti turba, mulieribus pueris ac quae pretiosa haberent, in munitiones inclusis. et imperatorem cursori traditis literis de adventu hostium certiorem fecerunt. imperator literis lectis, ducibus istis mandat uti se contineant, donec Liparites cum Ibericis copiis ad ipsos perveniat. et Lipariten per literas hortatur ut siquidem socius sit amicusque Romanorum, absque ulla mora cum omnibus suis copiis se ducibus Romanis adiungat. duces acceptis literis quieverunt, uti erant iussi, et Lipariten exspectarunt. atque is imperatoris mandato percepto suos per otium collegit atque armavit. dum id fit ac tempus teritur, interim Abramius in Baaspracaniam venit; cognitoque Romanos, qui ibi fuerant collecti, suo adventu intellecto in Iberiam recessisse, prae metu id ab iis factum, quod erat probabile, ratus, posthabitis direptionibus eos est insecutus, cupiens praelio con-

τοῦ καὶ ἑτέραν συναθροισθῆναι δύναμιν. ὅπερ μαθόντες οἱ
στρατηγοὶ τῶν Ῥωμαίων, καὶ πτοηθέντες μή πως ἀναγκασθῶσι
καὶ ἄκοντες πολεμῆσαι πρὸ τοῦ τὸν Λιπαρίτην καταλαβεῖν, ὑπο- D
δύντες τινὰ δυσχωρίαν ἀπόκρημνον καὶ φάραγξι πάντοθεν κυκλου-
μένην ἡσύχαζον, γράψαντες πρὸς τὸν Λιπαρίτην ἥκειν καὶ μὴ
βραδύνειν. ὁ δὲ Ἀβράμιος τῆς Ῥωμαϊκῆς ἠστοχηκὼς στρατιᾶς
ἔρχεται εἰς τὸ λεγόμενον Ἄρτζε. κωμόπολις δὲ τὸ Ἄρτζέ μυρίαν-
δρος καὶ πολὺν πλοῦτον ἔχουσα· ᾤκουν γὰρ ἐν αὐτῇ ἰθαγενεῖς τε
ἔμποροι καὶ Σύρων καὶ Ἀρμενίων καὶ ἄλλων ἐθνῶν πληθὺς οὐκ
ὀλίγη· οἵτινες τῇ οἰκείᾳ θαρροῦντες πληθύϊ οὐ κατεδέξαντο εἴσω
τείχους γενέσθαι, καὶ ταῦτα τῆς Θεοδοσιουπόλεως ἐκ γειτόνων
κειμένης, μεγίστης πόλεως καὶ τεῖχος ἐχούσης ἰσχυρὸν καὶ ἀνά-
λωτον, πολλὰ τοῦ Κεκαυμένου διὰ γραμμάτων καὶ ἀπειλήσαντος
καὶ παρακαλέσαντος. καταλαβόντων οὖν τῶν Τούρκων καὶ ἁπτο-
μένων ἔργου, οἱ ἐν τῷ Ἄρτζε τὰς διόδους συγκλείσαντες καὶ ἐπὶ
τῶν δωμάτων ἀναβάντες λίθοις καὶ ξύλοις καὶ τόξοις τοὺς ἐπιόν- P 773
τας ἠμύνοντο. καὶ διετέλεσαν μαχόμενοι ἐφ' ὅλας ἡμέρας ἕξ.
ἀγγελθέντος δὲ τούτου τοῖς στρατηγοῖς, ὁ Κεκαυμένος πολὺς ἦν
ἐγκείμενος καὶ παρακαλῶν ἀπελθεῖν καὶ συμβαλεῖν τοῖς Τούρκοις
τὸν νοῦν ἔχουσι πρὸς τῇ πολιορκίᾳ, καὶ μὴ καθῆσθαι τηνάλλως
καὶ τρίβειν τὸν χρόνον, τὴν συχνὴν προσμένοντας ἐπικουρίαν τὸν
Λιπαρίτην, καὶ τὸν ἐπιτήδειον παρατρέχοντα βλέπειν καιρόν, οὗ
τυχεῖν πάλιν οὐ ῥᾴδιον. ἀντιπίπτοντος δὲ τοῦ Ἀαρών, καὶ μηδέν
τι διαπράξασθαι λέγοντος παρὰ τὸ βασιλικὸν βούλημα, ἡσυχίαν

gredi priusquam aliae conducerentur copiae. certiores hac de re facti duces imperatoris, ac veriti ne vel inviti cogerentur ante Liparitae adventum pugnare, subduxerunt se in locum quendam aditu difficilem, praecipitiis undique et convallibus cinctum, atque ibi quieverunt, et ad Lipariten scripserunt ut absque cunctatione veniat. Abramius Romanum exercitum non assecutus ad Artze venit. pagus erat is ingens ac multorum milium capax, magnaeque eo continebantur divitiae. habitabant enim ibi cum indigenae mercatores, tum Syrorum Armeniorum et aliis ex nationibus multitudo haud modica. atque ii numero freti intra muros se recipere noluerunt, cum quidem proxima esset Theodosiopolis urbs magna et muro cincta inexpugnabili. Turcis eum pagum aggressis, Artzeni occlusis viis tecta conscenderunt, deque iis saxa ligna et iacula in oppugnantes torserunt. ita totos sex dies pugnatum est. rei nuntio ad Romanos allato, Ambustus multus erat in urgendo atque exhortando ut iretur ac cum Turcis oppugnationi intentis manus consereretur, neque tempus inutiliter tereretur desidendo et ficulnum illud praesidium Lipariten exspectando, eamque occasionem negligendo interim, qualem deinde haud facile essent adepturi. repugnante tamen Aarone, nihilque se praeter imperatoris mandatum acturum affirmante, ipse etiam quievit.

καὶ αὐτὸς ἦγεν. Ἀβράμιος δὲ μὴ κατὰ σκοπὸν χωρούντων αὐτῷ
B τῶν πραγμάτων, μὴ δυνάμενος πολιορκίᾳ τὴν κωμόπολιν παραστήσασθαι, ὑπεριδὼν καὶ πλούτου καὶ λείας πῦρ ἐνεῖναι τοῖς δώμασιν ἐγκελεύεται, καὶ εὐθὺς οἱ Τοῦρκοι δαλοὺς αἴροντες καὶ ὕλην εὐπρηστον ἐξάπτοντες ἐρρίπτουν ἐν τοῖς δώμασιν· ἀναφθέντος δὲ τοῦ πυρὸς πανταχόθεν καὶ πυρκαϊᾶς μεγίστης ἀνεγερθείσης, οἱ Ἀρτζηνοὶ πρός τε τὸ πῦρ πρός τε τὰς ἐκ τῶν τόξων βολὰς μὴ δυνηθέντες ἀντέχειν ἐνέκλιναν εἰς φυγήν. καὶ λέγεται ἀπολέσθαι περὶ τὰς ρν' χιλιάδας ἀνδρῶν, τῶν μὲν μαχαίρας τῶν δὲ πυρὸς παρανάλωμα γεγονότων· οὗτοι γὰρ ἐπεὶ κατισχυμένοι ἔγνωσαν ἀποσφάττεσθαι, γυναῖκάς τε καὶ τέκνα ἑαυτῶν εἰς τὸ πῦρ ἀπερ-
C ρίπτουν. οὕτω τοῦ Ἄρτζε ληφθέντος, πολὺ χρυσίον εὑρὼν ὁ Ἀβράμιος καὶ ὅπλα καὶ ἄλλα τινὰ χρειώδη, ὁπόσα μὴ τῷ πυρὶ κατέστησαν ἄχρηστα, περιβαλόμενος δὲ καὶ ἵππον οὐκ ὀλίγην καὶ ὑποζύγια, καὶ τὸν ἑαυτοῦ λαὸν καθοπλίσας ὡς ἔδει, ὑπέστρεψεν ἀναζητῶν τὴν Ῥωμαϊκὴν δύναμιν.

Αὕτη δὲ καταλαβόντος ἤδη καὶ τοῦ Λιπαρίτου καταβᾶσα ἀπὸ τοῦ ῥηθέντος ὀχυρώματος ἔκειτο ἐν τῇ πεδιάδι κατὰ τοὺς πρόποδας τοῦ βουνοῦ ἔνθα περ ἵδρυται τὸ Καπετροῦ φρούριον. ἐρχομένων οὖν τῶν Τούρκων σποράδην, συνεβούλευε πάλιν ὁ Κε-
D καυμένος συμβαλεῖν αὐτοῖς διεσπαρμένοις οὖσι καὶ ἀσυντάκτοις ἔτι. ἀλλ' ὁ Λιπαρίτης οὐκ ἤθελε διὰ τὴν ἡμέραν· ἦν γὰρ σάββατον, ιη' ἄγοντος τοῦ Σεπτεμβρίου μηνός, τῆς β' ἐπινεμήσεως,

5 ἀνημμένου C 8 ἀπολέσθαι om C 10 κατησχημένοι C
13 post χρειώδη P σιδήρια

Abramius non ex animi sententia succedente negotio, cum vicum expugnare non posset, opibus praedaque spretis ignem domibus iniici iubet. statim Turci faces materiamque ignis capacem in domos coniiciunt; et coorto undique incendio, Artzeni cum igni simul et hostibus resistere non possent, ad fugam inclinant. ferunt periisse ibi hominum ad centum quadraginta milia, partim ferro caesorum partim igni absumptorum. cum enim capto vico de salute desperarent, multi se uxores liberosque suos in ignem coniecerunt. Artze ad hunc modum potitus Alimus auri plurimum et aliqua utilia ferramenta invenit, quae ignis non corruperat. equos item multos et alia iumenta adeptus est; armatoque ut par erat suo exercitu, abduxit inde, Romanum quaerens exercitum.

Romani autem, cum iam Liparites ad eos venisset, a dicta munitione descenderant in planitiem, ad radices collis cui Capetrum castellum est impositum. adventantibus ergo Turcis dissipato agmine, rursum consuluit Ambustus ut in dispersos et nullis adhuc ordinibus instructis vagantes fieret impetus: sed Liparites a pugna abhorrebat, quod sabbatum inter dies atros atque infaustos haberet. erat autem tum sabbatum dies decima octava Septembris, indictione secunda. sed Abra-

ἐν ταῖς ἀποφράσι δὲ τῶν ἡμερῶν τῷ Λιπαρίτῃ τὸ σάββατον ἐνομίζετο, ὅπερ ἀποτροπιαζόμενος ἀνεδύετο πολεμεῖν. καὶ τὰ μὲν τῶν Ῥωμαίων ἐν τούτοις, ὁ δὲ Ἀβράμιος διὰ τῶν προδρόμων μαθὼν ὅποι τε οἱ Ῥωμαῖοι ηὐλίζοντο καὶ ὅτι ἠρεμοῦσι, συντάξας τὰς ἑαυτοῦ δυνάμεις ἤρχετο συντεταγμένος πρὸς μάχην. τοῦτο δὲ καὶ ἡ ἀντίπαλος δύναμις ἰδοῦσα ἀκουσίως καὶ αὐτὴ ἀντιπαρετάττετο, τὸ μὲν δεξιὸν ἔχοντος κέρας τοῦ Κεκαυμένου, τοῦ δὲ Ἀαρὼν τὸ εὐώνυμον, ἐν τοῖς μέσοις δὲ ὁ Λιπαρίτης ἐτάττετο. ἦν δὲ καὶ ἡ ὥρα περὶ βουλυτόν. τῷ μὲν οὖν Κεκαυμένῳ ἀντιμέτωπος ἦν ὁ Ἀβράμιος, τῷ δ' Ἀαρὼν Χωροσανίτης ἕτερος στρατηγός, καταντικρὺ δὲ τοῦ Λιπαρίτου Ἀσπὰμ Σελάριος ὁ τοῦ Ἀβραμίου ἑτεροθαλὴς ἀδελφός. συμπλοκῆς δὲ γενομένης ὁ μὲν P 774
Κεκαυμένος καὶ ὁ Ἀαρὼν τὰ κατ' αὐτοὺς ἐτρέψαντο κέρατα καὶ μέχρι φωνῆς ἀλεκτρυόνων ἐδίωκον, ὁ δὲ Λιπαρίτης, πεσόντος αὐτῷ τοῦ ἀνεψιοῦ δεινοπαθήσας καὶ μεθ' ὁρμῆς βιαίας ἐλάσας, τοῦ ἵππου αὐτοῦ τρωθέντος καὶ πεσόντος ἁλίσκεται. καὶ ὁ μὲν ἦν ἐν τούτοις, οἱ δὲ Ῥωμαῖοι παυθέντες ἐκ τῆς διώξεως καὶ τῶν ἵππων ἀποβάντες καὶ τῷ θεῷ δόντες ὕμνους ἐπινικίους, ἐν μιᾷ φωνῇ βοήσαντες τὸ τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν, προσέμενον τὸν Λιπαρίτην, ἐλπίζοντες καὶ αὐτὸν διώκειν ὄπισθεν τῶν ἐχθρῶν. ἐπεὶ δὲ ἐφαίνετο οὐδαμοῦ, ἐν ἀμηχανίᾳ ἦσαν, δια- B
ποροῦντες ὅ τι καὶ γένοιτο. οὕτω δὲ διαπορουμένοις αὐτοῖς ἔρχεταί τις στρατιώτης τῶν ὑπ' ἐκείνῳ ταττομένων, καὶ μηνύει τοῖς στρατηγοῖς τὴν ἐκείνου τροπὴν καὶ τὴν ἅλωσιν, καὶ ὅπως ὁ Ἀβρά-

10 χωροσάντις C 11 ἀσκὰν σαλάριος C 24 καὶ τὴν ἅλ.] καὶ κατάσχεσιν C

mius ex praecursoribus intelligens quo loco Romani castra haberent utque quiescerent, composito ad pugnam agmine ad eos accessit. quod Romani videntes ipsi quoque inviti ordines instruxerunt. dextro cornui Ambustus, laevo Aaron praefectus: Liparites mediam ducebat aciem. Ambusto oppositus erat Abramius, Aaroni alter ducum Turcicorum Chorosanites, Liparitae Aspam Selarius, Abramii ex altero duntaxat parentum frater. praelium initum est solis iam imminente occasu; et cum Ambustus tum Aaron uterque sibi oppositos hostes fuderunt, atque usque ad galli cantum persecuti sunt. Liparites autem patruelem suum occubuisse aegre ferens, dum impetum vehementiorem dat, equo suo occiso capitur. Romani a persecutione reversi ab equis descendunt, unaque voce deo pro victoria agunt gratias, et cantant "quis deus ita magnus atque deus noster?" Liparitamque exspectant, quem et ipsum putant insequendis hostibus se dedisse. cum autem nullus compareret, solicitudo eos incessit, incertos quidnam ei evenisset. haerentibus eis venit quidam qui sub Liparita tum militaverat, cumque victum et ca-

μιος ἐκ τῆς φυγῆς ἐπανελθὼν καὶ τῷ οἰκείῳ ἑνωθεὶς ἀδελφῷ (ὁ γὰρ Ἀσὰν ἔπεσεν ἐν τῷ πολέμῳ) ἀναλαβόντες τὸν Λιπαρίτην καὶ τοὺς ἁλόντας τῶν Ἰβήρων ὑπενόστησαν εἰς τὸ λεγόμενον Καστροκώμιον, σπουδαίαν τὴν ὁδοιπορίαν ποιούμενοι. ἀπεπάγησαν πρὸς τὴν ἀκοὴν οἱ ἄρχοντες τοῦ στρατοῦ. ὅμως διανυκτερεύσαντες ἄγρυπνοι, ἐπείπερ ἡμέρα ἐπέλαμψε καὶ βουλὴ προετέθη
C καὶ τοῖς πᾶσι συμφέρον ἐνομίσθη ἕκαστον οἴκαδε ἀπελθεῖν, ὁ μὲν Ἀαρὼν τὸν οἰκεῖον ἀνειληφὼς λαὸν ἄπεισιν εἰς τὸ Ἴβαν (μητρόπολις δὲ αὕτη τοῦ Βαασπρακάν), ὁ δὲ Κεκαυμένος μετὰ τῶν ἰδίων ἐπανῆλθεν εἰς τὸ Ἀνίον. ὁ δὲ Ἀβράμιος τῇ τοῦ Λιπαρίτου ἀρκεσθεὶς ἁλώσει, καὶ ὀλβιώτερον ἑαυτὸν κρίνας παντὸς ἀνθρώπου διὰ τὸ παρὸν εὐτύχημα, μηδὲν ἕτερον πολυπραγμονήσας, ἀλλ' ἐπιτείνας τὴν ὁδοιπορίαν, διὰ πέντε ἡμερῶν παραγίνεται εἰς τὸ λεγόμενον Ῥέ, κἀκεῖθεν ἄπεισιν εἰς τὸν σουλτάνον προπέμψας τὰ εὐαγγέλια καὶ τὴν τοῦ Λιπαρίτου μηνύσας κατάσχεσιν. ὁ δὲ
D τῷ δοκεῖν μὲν ηὐφράνθη καὶ ἠγαλλιάσατο ἐπὶ τῇ ἁλώσει τοῦ Λιπαρίτου, ἐφθόνησε δὲ τῷ ἀδελφῷ τοιούτου καταξιωθέντι τοῦ εὐτυχήματος, καὶ διὰ παντὸς ἐμελέτα καὶ πρόφασιν ἐζήτει τοῦτον ποιήσασθαι ἐκποδών.

Τὸν μὲν οὖν Λιπαρίτην, ὡς ἐπύθετο τὴν τούτου κατάσχεσιν ὁ βασιλεύς, ὅλος ἐγένετο ἀναρρύσασθαι, καὶ δῶρα πολυτελῆ καὶ λύτρα πέμψας τῷ σουλτάνῳ διὰ Γεωργίου τοῦ λεγομένου Δρόσου (ὑπογραμματεὺς δὲ ἦν ὁ Δρόσος τοῦ Ἀαρὼν) ἐξαιτεῖται τὴν ἐλευθερίαν καὶ σπονδὰς εἰρήνης. ὁ δὲ σουλτάνος τὰς πρε-

6 ὑπέλαμψε C 17 τοῦ ante τοιούτου C 23 ἐζητεῖτο C

ptum nuntiat; atque Abramius a fuga reversus et cum suo coniunctus fratre germano (nam Asan in pugna ceciderat) accelerato itinere, abducto secum Liparita et captivis Iberis, redierint Castrocomium. duces Romani ad eum obstupuerunt nuntium, nocteque ea insomni exacta, orta luce consultarunt quid potissimum agerent; placuitque domum reverti. itaque Aaron cum suo exercitu Ibanem rediit, quae est Baaspracaniae metropolis: Catacalon suos Anium reduxit. ceterum Abramius Liparita capto contentus, et huius successus causa hominum sese felicissimum deputans, omnibus aliis curis omissis, magnis itineribus ad Re quinque dierum spatio pervenit; atque inde discedens rei feliciter gestae nuntios ad sultanum mittit, Liparitam captum indicantes. sultanus simulata laetitia ob captum tantum virum, interim tantam fratri rei gerendae felicitatem invidens, assidue de eo tollendo cogitavit ansamque captavit.

Imperator Liparitam captum esse audiens totus in hoc fuit ut eum liberaret. misso itaque ad sultanum Georgio Droso, scriba Aaronis, cum muneribus pro redimendo eo pretiosis, simul et hunc sibi reddi et pacem componi postulat. sultanus acceptis legatis, ut magnificus vide-

σβείας δεξάμενος, καὶ μεγαλοπρεπὴς θέλων εἶναι βασιλεὺς μᾶλλον ἢ κάπηλος ἀνελεύθερος, ἀποδίδωσι τοῦτον δῶρον τῷ βασιλεῖ, λαβὼν μὲν τὰ λύτρα, πάντα δὲ τῷ Λιπαρίτῃ παρεσχηκώς, καὶ μεμνῆσθαι τῆς παρούσης ἡμέρας διὰ παντὸς παρεγγυησάμενος, καὶ μηδέποτε ὅπλα θελῆσαι τὸ ἀπὸ τοῦδε κινῆσαι κατὰ τῶν Τούρκων. ἀνεπλήρωσε δ' αὐτῷ τὴν πρὸς τὸν βασιλέα πρεσβείαν P 775 ὁ λεγόμενος παρ' αὐτοῖς σέριφος· δύναται δὲ τοῦτο τὸ ὄνομα πρὸς τὸν παρ' αὐτοῖς χαλυφᾶν, ὅπερ ὁ παρ' ἡμῖν σύγκελλος πρὸς τὸν πατριάρχην πάλαι ἐδύνατο· ἐκείνου γὰρ ἀποθανόντος αὐτὸς εὐθὺς εἰς τὸν τούτου θρόνον ἐγκαθίδρυται. οὗτος τοίνυν ὁ σέριφος εἰσελθὼν ἐν τῇ βασιλίδι καὶ ἐς πρόσωπον ἐλθὼν τῷ βασιλεῖ καὶ ὁμιλίαν, πολλά τε μεγαλαυχήσας καὶ φρυαξάμενος, καὶ τελευταῖον ὑπόφορον θέσθαι σπεύσας τὴν Ῥωμαίων τῷ ἑαυτοῦ σουλτάνῳ, ἐπεὶ μὴ εὗρε τὸν βασιλέα ἐπικλινῆ, ἄπρακτος ὑπεχώρησε πρὸς τὸν πέμψαντα. καὶ ὁ βασιλεὺς τὸ ἀπ' ἐκείνου ἐκδεχόμενος πόλεμον ἀπὸ τοῦ σουλτάνου, καθ' ὅσον οἷόν τε ἦν, B τὰ ὁμοροῦντα τῇ Περσῶν γῇ πέμψας κατησφαλίσατο. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, καὶ ἡ τῶν Πατζινάκων ἐπισυνέβη κίνησις· πῶς δὲ καὶ τίνα τρόπον, λεκτέον.

Τὸ ἔθνος τῶν Πατζινάκων Σκυθικὸν ὑπάρχον, ἀπὸ τῶν λεγομένων βασιλείων Σκυθῶν, μέγα τέ ἐστι καὶ πολυάνθρωπον, πρὸς ὃ οὐδὲ ἓν αὐτὸ καθ' ἑαυτὸ Σκυθικὸν γένος ἀντιστῆναι δύναται. διῄρηται δὲ εἰς τρισκαίδεκα γενεάς, αἵτινες καλοῦνται μὲν πᾶσαι τῷ κοινῷ ὀνόματι, ἔχουσι δὲ ἑκάστη καὶ ἴδιον ἀπὸ τοῦ αὐ- C

10 τούτου] ἐκείνου C   11 ἄσωπον C

retur potius rex quam qui bellum cauponaretur, pro dono imperatori mittit Liparitam; et quae eius redimendi causa imperator miserat, accipit quidem, sed omnibus iis Liparitam donat, hortatus ut eius in posterum diei memoriam coleret, neque contra Turcas porro arma sumeret. legatus sultani fuit ad imperatorem is quem ipsi Seriphum vocant; cuius ea est ad ipsorum Chaliphan ratio, quae antiquitus syncelli ad patriarcham: huic enim mortuo ille statim succedebat. is ergo Seriphus Byzantium profectus et ad colloquium imperatoris admissus, cum multa alia superbe ac iactanter dixit, tum id quoque postulavit ut Romani se stipendiarios sultano facerent. et cum videret imperatorem eo nequaquam inclinare, re infecta domum rediit. exinde a sultano bellum exspectans Monomachus operam dedit ut quae finitima erant Persarum regno communiret. interea temporis Patzinacae etiam se commoverunt. ea res hoc modo acta.

Patzinacarum gens Scythica est, eorum Scytharum qui regii dicuntur, magna et populosa, et cui nulla alia gens Scythica resistere sola possit. dividitur autem in tredecim tribus, quae ut universae commune Patzinacarum nomen usurpant, ita quaevis a suo generis principe

τῆς προγόνου καὶ ἀρχηγοῦ τὴν προσηγορίαν κληρωσαμένη. νέμονται δὲ τὰς πέραν Ἴστρου ἀπὸ τοῦ Βορυσθένους ποταμοῦ καὶ μέχρι Παννονίας ἡπλωμένας πεδιάδας, νομάδες τε ὄντες καὶ τὸν σκηνίτην διὰ παντὸς ἀσπαζόμενοι βίον. τούτου τοῦ γένους ἀρχηγὸς ἦν τῷ τότε Τυρὰχ ὁ τοῦ Κιλτὲρ υἱός, εὐγενείας ἥκων ἐς τὸ ἀκρότατον, ἀμβλὺς δὲ ἄλλως καὶ τὴν ἡσυχίαν φιλῶν. ἦν δὲ καὶ ἄλλος τις ἐν τῷ ἔθνει τὴν κλῆσιν Κεγένης, υἱὸς τοῦ Βαλτζάρ, τὸ μὲν γένος ἄσημος καὶ σχεδὸν ἀνώνυμος, περὶ δὲ τὰ πολεμικὰ καὶ τὰς στρατηγίας κάρτα δραστηριώτατος, ὃς καὶ πολλάκις ἐπιόντας
D κατὰ τῶν Πατζινάκων τοὺς Οὔζους (γένος δὲ Οὐννικὸν οἱ Οὖζοι) ὑποστὰς ἐτρέψατο καὶ ἀπώσατο, τοῦ Τυρὰχ οὐχ ὅπως ἀντεπεξελθεῖν μὴ θαρρήσαντος, ἀλλὰ καὶ καταδύντος εἰς τὰ παρὰ τῷ Ἴστρῳ ἕλη καὶ τὰς λίμνας. τὸν μὲν οὖν Τυρὰχ οἱ Πατζινάκαι ἐτίμων διὰ τὸ γένος, τὸν δὲ Κεγένη ἠσπάζοντο διαφερόντως διὰ τὸ τῆς ἀνδρίας ὑπερβάλλον καὶ τὴν ἐν τοῖς πολέμοις δεινότητα. ἅπερ ἀκούων καὶ βλέπων ὁ Τυρὰχ ἐδάκνετο τὴν ψυχήν, δεδιὼς περὶ τῆς ἀρχῆς, καὶ τρόπον ἐζήτει ὅπως ἂν τὸν Κεγένην ἀποσκευάσηται. ἐφίστησιν οὖν αὐτῷ λόχους πολλάκις, ἐγίνοντο δὲ πάντες ἀργοί. ἐπεὶ δὲ πολλάκις ἐπιχειρήσας κρυφίως ἠστόχησεν, ἔγνω δεῖν μὴ διαμέλλειν ἀλλ' ἐπιχειρεῖν φανερῶς. διὸ καὶ πλῆθος πέμψας καταλαβεῖν ἐκέλευσε τὸν ἄνδρα καὶ ἀνελεῖν. ὁ δὲ προγνοὺς τὴν ἐπιβουλὴν φυγὰς πρὸς τὰ ἕλη γίνεται τοῦ Βορυσθένους,
P 776 καὶ οὕτω διαφυγγάνει τὸν ὄλεθρον. ἐκεῖθεν δὲ κρυπτόμενος καὶ

2 Βορυσθένους om in lacuna C 5 βιλτὰρ C 6 ἄλλως — δὲ καὶ om C 18 ἐγένοντο C 21 ἐκέλευε C

atque auctore peculiarem sortita est appellationem. incolunt trans Istrum planities a Borysthene fluvio ad Pannoniam usque porrectas, incertis errantes sedibus semperque in tabernaculis degentes. huic genti tunc praeerat Tyrachus Kilteri filius homo nobilissimus, ceteroqui segnis et quietis amans. erat in eadem gente etiam alius quidam Kegenes nomine, Baltzaris filius genere obscurissimo nullisque natalibus, sed bello ducendisque cohortibus longe praestantissimus: nam saepius Uzos (gens ea Unnica est) irruentes subsistens profligarat, Tyracho non modo contra eos exire non auso, sed etiam in lacus ac paludes Istro vicinas se subducente. itaque Tyrachum quidem Patzinacae ob generis nobilitatem venerabantur, Kegenem tamen mirifice amplectebantur ob fortitudinem insignem inque gerendis bellis strenuitatem. haec vero Tyrachi, videntis ista atque inaudientis, animum mordebant, de imperio suo solliciti, ita sane ut de tollendo Kegene cogitaret. cui cum saepe occultas tendens insidias nihil proficeret, tandem aperte eum adoriri statuit, missaque turba hominem corripi interficique iubet. sed Kegenes insidiis praecognitis ad paludes Borysthenicas profugit, itaque exitium evitavit.

λάθρᾳ πέμπων μηνύματα πρός τε τοὺς ἑαυτοῦ συγγενεῖς καὶ τὴν φυλήν, ἠδυνήθη τήν τε ἰδίαν γενεὰν ἀποστῆσαι τῆς τοῦ βασιλέως εὐνοίας (ἦν δὲ ἡ Βελεμαρνὶς) καὶ πρὸς ταύτῃ καὶ ἄλλην τὴν Παγουμανίδα· καὶ δύναμιν προσλαβόμενος ἀντιπαρατάττεται μετὰ τῶν δύο γενεῶν πρὸς τὸν Τυρὰχ τὰς ια' ἔχοντα. καὶ ἐπὶ πολλὰς μὲν ἀντισχὼν ὥρας, ὅμως ὑπὸ τοῦ πλήθους καταπονηθεὶς τρέπεται. περιπλανώμενος δὲ ἐν τοῖς ἕλεσι καὶ σωτηρίαν ζητῶν μίαν ἔγνω ἑαυτοῦ τε καὶ τῶν σὺν αὐτῷ, τὴν εἰς τὸν βασιλέα τῶν Ῥωμαίων καταφυγήν. διὸ καὶ πρὸς τὸ Δορόστολον ἀφικόμενος, καὶ ἔν τινι ποταμίᾳ νησῖδι περικλείσας ἑαυτὸν διὰ τὸ ἀνε- B πιβούλευτον μετὰ τῶν σὺν αὐτῷ (ἦσαν δὲ ἀμφὶ τὰς κ' χιλιάδας), διαμηνύεται τῷ τῆς χώρας ἄρχοντι (ἦν δὲ Μιχαὴλ ὁ τοῦ Ἀναστασίου υἱὸς) καὶ γνωρίζει ὅστις τε εἴη καὶ οἵας διαδιδράσκων τύχας ἀφῖκται, καὶ ὅτι αὐτόμολος βούλεται γενέσθαι τῷ βασιλεῖ, ὑπισχνούμενος δὲ καὶ εἰ προσδεχθείη, εἰς μεγάλην ὄνησιν ἔσεσθαι τοῖς τούτου πράγμασιν. ὁ δὲ τὰ μηνύματα λόγου θᾶττον πρὸς τὸν βασιλέα διαπορθμεύσας διὰ ταχέων κελεύεται τὸν ἄνδρα μετὰ τῶν συνόντων αὐτῷ προσδέξασθαι, καὶ τούτοις μὲν τὰ ἐπιτήδεια χορηγεῖν, αὐτὸν δὲ ἐνδόξως ἐς τὸ Βυζάντιον πεπομφέναι. καὶ ὁ μὲν ὡς ἐκελεύσθη διεπράξατο, ὁ δὲ Κεγένης εἰς τὴν βασιλίδα φοι- C τήσας καὶ ἐς λόγους ἐλθὼν τῷ βασιλεῖ φιλοφρόνως τε καὶ μεγαλοπρεπῶς ὑπεδέχθη, καὶ ὑποσχόμενος αὐτός τε τὸ ἅγιον δέξασθαι βάπτισμα, παραπεῖσαι δὲ καὶ τοὺς συνόντας αὐτῷ τοῦτο ποιῆσαι,

1 λαθραῖα πέμψας C 17 διαπεμψάμενος C 19 οὗτοι μὲν ὡς ἐκελεύσθησαν διεπράξαντο C

ibi occultatus, clam ad cognatos tribumque missis internuntiis, effecit ut et haec a rege descisceret (vocabatur Belemarnis tribus) et alia etiam nomine Pagumanis. exinde contractis copiis cum duabus tribubus adversus Tyrachum, cui 11 tribus aderant, pugnam init. cumque per aliquot horas durasset, tandem multitudine oppressus fugatur. vagans inde circum paludes, ac salutem quaerens sibi suisque, unam hanc invenit rationem, si ad Romanum imperatorem transfugeret. itaque profectus Dorostolum, quo tutus ab insidiis esset, se et suos, qui erant ad 20 milia, in insulam quandam fluvii exiguam includit, regionisque praefecto (is erat Michaelus Anastasii filius) significat quis esset et qua fortuna actus huc venisset; et se cupere in fidem imperatoris concedere, receptumque se rebus huius magnopere commodaturum pollicetur. praefectus cum extemplo rem ad imperatorem detulisset, ab eo iubetur statim Kegenem cum suo comitatu accipere, atque huic quidem necessaria praebere, ipsum autem Kegenem honorifice Byzantium mittere. qui ut eo venit, benigne est splendideque exceptus, ac cum imperatore collocutus, se sanctum baptismum admissurum popularibusque idem ut faciant persuasurum promittens, ab imperatore patricio honore

εἰς πατρικιότητά τε ἀνήχθη, καὶ φρούρια τρία ἀπὸ τῶν ἐν ταῖς ὄχθαις ἱδρυμένων τοῦ Ἴστρου εἰλήφει καὶ γῆς πολλὰ στάδια, καὶ τοῦ λοιποῦ τοῖς φίλοις ἐνεγράφη καὶ συμμάχοις Ῥωμαίων. τὸ πλέον δ' ὅτι καὶ ὡς ὑπέσχετο ἀνεδέξατο τὸ ἅγιον βάπτισμα αὐτός τε καὶ οἱ σὺν αὐτῷ, Εὐθυμίου τινὸς εὐλαβοῦς μοναχοῦ πεμφθέντος, τοῦ τὰ τοῦ θείου λουτροῦ παρὰ τῷ Ἴστρῳ ποταμῷ ἐκτελέ-
D σαντος καὶ πᾶσι μεταδόντος τοῦ ἁγίου βαπτίσματος.

Γενόμενος δὲ ἐν τῷ ἀσφαλεῖ, καὶ τὰς αἰφνιδίους ἐφόδους ἀσφαλισάμενος, πρὸς ἄμυναν ἐτράπετο τοῦ ἐχθροῦ, καὶ περαιούμενος τὸν Ἴστρον νῦν μὲν σὺν χιλίοις, εἶτα σὺν δισχιλίοις καὶ αὖ σὺν πλείοσιν ἢ ἐλάττοσι, καὶ ἐξ ἐφόδου προσπίπτων, τὰ μέγιστα ἐκάκου καὶ ἐλυμαίνετο τοὺς περὶ τὸν Τυρὰχ Πατζινάκας, ἄνδρας μὲν τοὺς προσπίπτοντας ἀναιρῶν, γύναια δὲ καὶ παῖδας ἀνδραποδιζόμενος καὶ πωλῶν τοῖς Ῥωμαίοις. ταύτας δὲ τὰς λαθραίας ἐπιθέσεις τοῦ Κεγένους μὴ φέρων ὁ Τυρὰχ διαπρεσβεύεται πρὸς τὸν βασιλέα, μηνύσας ὡς ἔδει τὸν μέγαν βασιλέα, σπονδὰς ἔχοντα
P 777 μετὰ τοῦ γένους τῶν Πατζινάκων, μηδὲ προσδέξασθαι ὅλως τὸν ἀποστάτην αὐτῶν, ἐπεὶ δὲ προσεδέξατο, κωλύειν μὴ διαπερᾶν καὶ τοὺς ὑποσπόνδους λυμαίνεσθαι· ἢ οὖν κωλυθήτω ὁ ἀνὴρ τὰ τοιαῦτα πράττειν, ἢ μηδεμιᾶς τυχέτω συμμαχίας, ἢ γινωσκέτω ὁ βασιλεὺς ὡς καθ' ἑαυτοῦ τε καὶ τῆς ἑαυτοῦ χώρας ἐφέλκεται βαρύτατον πόλεμον. καὶ ταῦτα μὲν τὰ μηνύματα τοῦ Τυράχ,

3 ἀνεγράφη C 9 ἐτρέπετο C 15 διαπρεσβεύεται πρὸς τὸν βασιλέα om C 21 τῆς ἑαυτοῦ] τῆς αὐτοῦ C 22 βιαιότατον C

ornatur; eique tres arces assignantur de iis quae ad ripam sunt Istri, multaque agri iugera; atque adeo in numerum amicorum sociorumque PR adscribitur, eam praecipue ob causam quod, uti pollicitus fuerat, et ipse baptizari voluit et qui cum ipso erant. eaque in re usi sunt religiosi cuiusdam monachi Euthymii opera, ad ipsos missi, qui ad Istrum amnem eius sacramenti ceremonias administravit universosque baptizavit.

Rebus in tuto constitutis Kegenes, cum iam contra subditos hostium impetus se munivisset, ad ulciscendum hostem se confert, Istroque transmisso nunc cum milibus alias cum duobus milibus, et aliquando pluribus aliquando paucioribus ductis, impressionibus subitaneis Patzinacas Tyrachios graviter afflixit, viros, in quos incidisset, occidens, mulieres autem et pueros in servitutem abducens ac Romanis vendens. Tyrachus clandestinas has Kegenis impressiones non ferens ad imperatorem mittit legates, qui haec proponerent. imperatorem Romanum, cui cum gente Patzinacarum foedus esset, omnino non debuisse recipere eum qui ab ipsis descivisset; aut saltem recepto interdicere, ne Istro traiecto amicos PR laederet. proinde aut Kegenis compesceret excursiones, aut auxilium ei non praebeat. si secus faceret, sciret se

ὁ δὲ βασιλεὺς τὰς ἀγγελίας δεξάμενος πρὸς ταύτας μὲν καὶ ἐπεκάγχασεν, εἰ διὰ Πατζινάκου ἀπειλὰς προδότης γένοιτο τοῦ εἰς αὐτὸν προσφυγόντος, καὶ κωλύειν τοῦ μὴ κακοῦν τοὺς κακώσαντας, τοὺς δὲ πρεσβευτὰς ἀπράκτους ἐξέπεμψε. γράμματα δὲ πρός τε Μιχαὴλ τὸν ἄρχοντα τῶν παριστρίων πόλεων, ἔτι δὲ καὶ B πρὸς αὐτὸν τὸν Κεγένην ἐκπέμπει, φυλάττειν ἀκριβῶς τὰς ὄχθας τοῦ ποταμοῦ· εἰ δέ τις ἐπίῃ βαρεῖα δύναμις, γράμμασι μηνύειν, ἵνα καὶ ἀπὸ τῶν δυτικῶν ταγμάτων ἐκπεμπόμενά τινα σὺν αὐτοῖς εἴργωσι τοῖς Πατζινάκαις τὴν τοῦ ποταμοῦ διάβασιν. ἔπεμψε δὲ καὶ τριήρεις ἑκατόν, ἐπισκήψας παραπλεῖν τὸν Ἴστρον καὶ πειρωμένους διακωλύειν τοὺς Πατζινάκας περᾶν. ἐπανηκόντων δ' ἀπράκτων τῶν αὐτοῦ πρέσβεων, ὁ Τυρὰχ ἐχαλέπαινε καὶ ὠργίζετο καὶ θᾶττον ηὔχετο καταλαβεῖν τὸν χειμῶνα. ἤδη δὲ τῆς φθινοπωρινῆς ληγούσης ὥρας καὶ τοῦ χειμῶνος ἐπιστάντος, τοῦ ἡλίου ὄντος ἐπὶ τὸν αἰγοκέρωτα, ἄνεμος ἔπνευσεν ἀπαρκτίας πο- C λύς, ὡς ἀποκρυσταλλωθῆναι μέχρι πεντεκαίδεκα πήχεων ἐς βάθος τὸν ποταμόν. πάσης οὖν φυλακῆς σχολασάσης, δραξάμενος ἀδείας ἧς ἐπιτυχεῖν ηὔχετο ὁ Τυρὰχ διαπερᾷ τὸν Ἴστρον μετὰ πάντων τῶν Πατζινάκων, ὄντων, ὡς ἐλέγετο, χιλιάδων ὀκτακοσίων, καὶ ἐς τὴν περαίαν ἱδρύετο, κείρων καὶ ἀφανίζων τὰ παραπίπτοντα. γράμματα δὲ πρὸς τὸν βασιλέα ἐστέλλετο βοηθεῖν δεόμενα τὴν ταχίστην. ὁ δὲ μηδ' ὅλα τὰ γράμματα ἀναγνοὺς τῷ δουκὶ Ἀδρια-

3 κωλύοι? τοῦ] τοὺς C 7 ἐπίοι C 9 πατζινάκοις C 11 πατζινάκους C 12 ἑαυτοῦ C 15 περὶ C 20 ἱδρύεται C

gravissimum contra se ac suos bellum concitare. auditis imperator his postulatis cachinnum sustulit, quod ludibrium putaret, si ob Patzinacae minas prodere cogeretur eum qui in fidem ipsius confugisset, aut eum ab ulciscenda iniuria abstinere. legatosque re infecta dimittit. simul literas ad Michaelum dat, urbium Istro adiacentium praefectum, et ad Kegenum; iisque iniungit ut ripas Istri accurate custodiant, ac si quis gravis exercitus appetat, id sibi per literas indicent, ut de Occidentalibus etiam legionibus mittere possit qui ipsis coniuncti Patzinacas transitu Istri prohibeant. mittit etiam triremes centum, quae Istri ripas legant et Patzinacas traiectu arceant. cum legati irrita spe rediissent, Tyrachus indignabatur ac fremebat, hiemisque adventum exoptabat. sub finem auctumni, ac hieme ineunte, cum iam sol ad Capricornum appulisset, ventus aparctias copiosus flavit Isterque in glaciem quindecim cubitos altam congelavit. otiosa itaque omni custodia optatam Tyrachus nactus licentiam, Istrum cum omnibus Patzinacis, quorum multitudo octingentorum censebatur milium, transgressus, in ulteriorem se effudit dicionem, diripiens atque delens in quae incidebat omnia. mittuntur ergo ad imperatorem literae, quibus ad ferendam quamprimum opem incitabatur. is vixdum perlectis literis ad Adriano-

νουπόλεως γράφει (ἦν δὲ Κωνσταντῖνος μάγιστρος ὁ Ἀριανίτης) D τὰς Μακεδονικὰς εἰληφότι δυνάμεις, ἔτι δὲ καὶ πρὸς Βασίλειον Μοναχὸν τὸν ἡγεμόνα τῆς Βουλγαρίας τὴν Βουλγαρικὴν εἰληφότα χεῖρα ἀφικέσθαι καὶ ἑνωθῆναι τῷ Μιχαὴλ καὶ τῷ Κεγένῃ καὶ μετ' αὐτῶν πρὸς τοὺς Πατζινάκας διαγωνίσασθαι. ὧν κατὰ τὸ βασιλικὸν ποιησάντων ἐπίταγμα καὶ πάντων ὑφ' ἓν γενομένων, ἀναλαβὼν ὁ Κεγένης τὰς Ῥωμαϊκὰς φάλαγγας ἐν τοῖς ὑπαίθροις στρατοπεδεύεται, καὶ καθ' ἑκάστην ἐπιὼν ἐξ ἐφόδου οὐ μικρὰ τοὺς Πατζινάκας ἐλύπει. τούτοις γὰρ ἅμα τῇ τοῦ ποταμοῦ διαβάσει ἀφθονίαν ζῴων εὑροῦσι πολλὴν καὶ οἴνου καὶ τῶν ἐκ μέλιτος κατασκευαζομένων πομάτων, ὧν οὐδὲ ἀκοὴν ἔσχον πώποτε, καὶ ἀνέδην τῶν τοιούτων ἐμφορουμένοις νόσος ἐσπίπτει κοιλιακὴν διάθεσιν ἔχουσα, καὶ ἀπώλλυντο ἑκάστης ἡμέρας ἀναρίθμητα πλήθη. P 778 ὅπερ πυθόμενος ὁ Κεγένης διά τινος αὐτομόλου, καὶ καιρὸν ἐπιτήδειον κρίνας τοῦτον εἶναι τοῖς ἐχθροῖς ἐπιθήσεσθαι, ὁπότε καὶ χειμῶνι καὶ νόσῳ πιέζονται, ἀναπείσας καὶ τοὺς Ῥωμαίους ὀκνοῦντας καὶ δεδιότας πρὸς τοσαύτας ἀντιπαρατάττεσθαι μυριάδας, προσρήγνυται τοῖς ἐχθροῖς. οἱ δὲ τὴν ὀξεῖαν ἔλευσιν ἐκπλαγέντες καὶ πρὸς τὸν πόλεμον ἀποδειλιάσαντες, ῥίψαντες τὰ ὅπλα αὐτός τε ὁ Τυρὰχ καὶ πάντες οἱ ἄρχοντες καὶ τὸ λοιπὸν πλῆθος ἑαυτοὺς ἐγχειρίζουσιν. ὁ μὲν οὖν Κεγένης συνεβούλευε καὶ διεμαρτύρατο πάντας ἡβηδὸν ἀποσφάξαι, ἔλεγε δὲ καὶ παροιμίαν βάρβαρον μὲν B νοῦν δὲ πολὺν ἔχουσαν, ὡς ἔτι χειμῶνος ὄντος δεῖ τὸν ὄφιν ἀπο-

8 ἐπὶ τῶν C 9 πατζινάκους C 11 πομάτων om C

polis ducem Constantinum magistrum Arianitam scribit, ut Macedonicis cum copiis, et ad Basilium Monachum Bulgariae ducem, ut cum Bulgarico exercitu Michaelo ac Kegeni se coniungant et contra Patzinacas depugnent. iique iussa statim sunt exsecuti. coniunctis omnibus Romanorum copiis Kegenes eas eduxit, castrisque sub dio positis, quotidianis incursionibus Patzinacas haud leviter vexavit. ii amne traiecto in pecudum vini et potus e melle confecti maximam inciderant copiam, ne auditu quidem antea ipsis noti. quibus cum affatim fruerentur, morbus eos coeliacus invasit, et quotidie moriebantur innumeri. de quo certior a transfuga quodam factus Kegenes, idque invadendi hostis opportunum tempus ratus, quo et hieme et morbo premebantur, pertractis in suam sententiam etiam Romanis, tergiversantibus nonnihil et contra tantam multitudinem pugnare metuentibus, in Patzinacas impetum dat. qui celeritate irruentium hostium perterriti et pugnam reformidantes abiectis armis sese Romanis dedunt, cum Tyrachus ipse et ceteri principes, tum reliqua etiam turba. consulebat Kegenes, atque etiam obtestabatur uti ad unum omnes occiderentur hostes. et adagium afferebat, barbarum quidem, sed valde argutum, anguem hieme esse necandum,

κτεῖναι, ὁπηνίκα τὴν κέρκον κινεῖν οὐ δύναται· ὑπὸ ἡλίου γὰρ θαλφθεὶς κόπους ἡμῖν παρέξει καὶ πράγματα. τοῦτο δὲ τοῖς ἄρχουσιν οὐκ ἐδόκει Ῥωμαίων, ἀλλὰ βαρβαρικὸν τὸ ἔργον καὶ ἀνόσιον ἐνομίζετο καὶ Ῥωμαϊκῆς ἀνάξιον ἡμερότητος. μᾶλλον μὲν οὖν συμφέρον ἐνόμιζον διασκεδάσαι τούτους ἐν ταῖς ἐρήμοις τῆς Βουλγαρίας πεδιάσι καὶ ἄλλους ἀλλαχοῦ ἐγκατοικίσαι καὶ φόρους αὐτοῖς ἐπιθεῖναι· ἔσεσθαι γὰρ οὐκ εὐαρίθμητον τὸν ἀπὸ τῶν τοιούτων δασμόν· εἰ δεήσει δὲ τῷ βασιλεῖ καὶ στρατοῦ πρός τε τοὺς Τούρκους καὶ πρὸς ἄλλα ἑτερόφυλα γένη, καθοπλίζειν ἀπ' C αὐτῶν. πολλῶν οὖν λόγων ῥηθέντων ἐνίκησεν ἡ τῶν Ῥωμαίων γνώμη· καὶ ὁ μὲν Κεγένης ὅσους ἔλαβε ζωγρίας, πλὴν ὧν ἀπημπόληκε, τοὺς πάντας ἀποσφάξας ὑπενόστησεν οἴκαδε, τὰς δὲ τῶν Πατζινάκων μυριάδας ὁ τῆς Βουλγαρίας παραλαβὼν ἄρχων Βασίλειος ὁ Μοναχὸς ἐγκαθιδρύει ἀνά τε τὰς πεδιάδας τῆς Σαρδικῆς, τῆς Ναϊσοῦ καὶ Εὐτζαπέλου διασπείρας πάντας καὶ πᾶν ὅπλον ἀφελόμενος διὰ τὸ ἀνεπιβούλευτον. ὁ δὲ Τυρὰχ καὶ σὺν αὐτῷ ἄνδρες ἑκατὸν καὶ τεσσαράκοντα ἄγονται εἰς τὸν βασιλέα· οὓς φιλοφρόνως οὗτος ἀποδεξάμενος καὶ βαπτίσας καὶ μεγίστοις ἀξιώμασιν ἐπάρας ἐν εὐπαθείαις κατεῖχεν.

Ὁ δὲ σουλτάνος τὴν τῶν αὐτοῦ πρέσβεων ἄπρακτον ὑποστροφὴν D μὴ φέρων, τὰς ἐν Περσίδι πάσας δυνάμεις καὶ τὰς Βαβυλωνίους ὑφ' ἓν ἀθροίσας εἰσβολὴν ποιεῖται κατὰ Ῥωμαίων. τοῦτο δὲ προακηκοὼς ὁ Μονομάχος ἔσπευδε μὲν καὶ διὰ τῶν οἰκείων δυνάμεων ἀντιπαράταξιν στῆσαι τῷ πολεμίῳ, ὥπλισε δὲ

15 εὐσαπόλεως C   16 καὶ οἱ σὺν C

cum non potest caudam movere, ne solis calore refectus molestiam laboremque ipsis creet. Romanis ductoribus id non probabatur, facinus hoc barbaricum fore et impium ac a Romana clementia alienum censentibus. potius eos per desertas Bulgariae planities dispergendos, atque hinc inde dissipatis tributum imponendum. hoc modo et ingentem ab iis reditum rei Romanae accessurum, et cum imperator militibus opus esset habiturus adversus Turcos aut alios barbaros, tunc eos armari posse. re diu disputata vicit tandem Romanorum sententia. sed Kegenes occisis quotquot ceperat Patzinacis, nisi quos vendidit, domum est reversus. ceteram eorum multitudinem Bulgariae praefectus Basilius Monachus per campestria Sardicae Naisi et Eutzapeli distribuit, omnibus ademptis armis, ne quid moliri possent. Tyrachus et cum eo centum quadraginta viri ad imperatorem abducti sunt; atque ab hoc benigne accepti, baptizati maximisque honoribus affecti, vitam ibi iucundam egerunt.

At vero sultanus ob irritam legationem iratus, contractis e Perside et Babylonia copiis, bellum in Romanos movet. id cum auditu praecepisset Monomachus, cum suas copias opponere hosti statuit, tum

καὶ ἀπὸ τῶν Πατζινάκων χιλιάδας ιε'. καὶ ἡγεμόνας τέσσαρας
ἀπὸ τῶν ἐν Κωνσταντινουπόλει Πατζινάκων αὐτοῖς ἐπιστήσας,
τὸν Σουλτζοῦν, τὸν Σελτέ, τὸν Καραμᾶν καὶ τὸν Καταλείμ,
δώροις τε φιλοτιμησάμενος οὐ μικροῖς, καὶ ἅρματα κάλλιστα
δοὺς καὶ ἵππους διαπρεπεῖς, περαιοῖ ἐν Χρυσοπόλει, δοὺς αὐ-
τοῖς ὁδηγὸν τὸν ἀπάξαι μέλλοντα τούτους εἰς Ἰβηρίαν Κωνσταν-
P 779 τῖνον τὸν πατρίκιον, ᾧ Ἀδροβάλανος τὸ ἐπώνυμον. περαιωθέν-
τες δὲ οὗτοι καὶ τοὺς ἵππους ἀναβάντες καὶ τῆς πρὸς ἀνατολὴν
φερούσης ἁψάμενοι καὶ προελθόντες ἄχρι μιλίων τινῶν καὶ τῷ
λεγομένῳ Δαματρυῒ προσεγγίσαντες ἐπέσχον τὴν πορείαν, καὶ
στάντες ἐπὶ τῆς ὁδοῦ συμβουλὴν προετίθεσαν, ἥτις παρ' αὐτοῖς
κομέντον ὠνόμασται. τισὶ μὲν οὖν ἐδόκει πορευτέα εἶναι καὶ μὴ
ἀντιβαίνειν ἐπὶ τῆς χώρας τοῦ βασιλέως τοῖς βασιλικοῖς προστά-
γμασι, τοῦ τε λοιποῦ ἔθνους κεχωρισμένοις καὶ μήτε καθ' ἑαυ-
τοὺς ὑποστῆναι δυναμένοις τὴν Ῥωμαϊκὴν δύναμιν μήτε ὁρμητή-
ριον ἔχουσι πρὸς τὰ τῆς τύχης ἀβούλητα· ἄλλοις πάλιν ἐδόκει,
B κατασχοῦσιν ὄρη τινὰ τῆς Βιθυνίας, ἐν τούτοις παραμένειν καὶ
τοὺς ἐπιόντας ἀμύνασθαι, ἀνελθεῖν δὲ μηδαμῶς εἰς Ἰβηρίαν, ἐς
χώραν μακρὰν καὶ ἀλλόκοτον, ἔνθα μέλλουσιν ἕξειν πολεμίους οὐ
μόνον τοὺς ἐχθροὺς Ῥωμαίων ἀλλὰ καὶ αὐτοὺς τοὺς Ῥωμαίους.
ὁ Καταλεὶμ δὲ μόνος γνώμην ἐδίδου ὑποστρέψαι καὶ ἑνωθῆναι
τοῖς συγγενέσιν. εἰπόντος δέ τινος "καὶ πῶς ἂν ἔσεται περατὴ
ἡ θάλασσα;" μηδὲν πλέον εἰπὼν ἕπεσθαί οἱ κελεύει. τὸν μὲν

6 ἐς C 7 τὸν πατρίκιον κωνσταντῖνον τὸν ἀδραβάλανον C 9 μιλίων τινῶν] Μελιτηνῆς P 10 δαμάτρυϊ C 18 εἰς Ἰβηρίαν om C 23 εἰπὼν om C

quindecim milia Patzinacarum armat; iisque duces quattuor de Patzinacis Byzantii degentibus praeficit, Sultzunium Seltzen Caraman et Cataleimum, donatosque haud vulgariter et armis pulcherrimis ornatos Chrysopolin transmittit, addito qui eos in Iberiam duceret Constantino patricio Adrobalano. mari traiecto Patzinacae cum equos conscendissent et iter in Orientem ingressi usque ad Melitenam pervenissent, ubi ad Damatryn appropinquavere, subsistunt et deliberationem (ipsi commentum vocant) instituunt. erant qui procedendum putarent neque mandatis imperatoris in ipsius dicione repugnandum, cum et avulsi a suis essent, neque soli Romanorum possent resistere viribus, neque haberent arcem in quam se, si quid praeter institutum forte eveniret, reciperent. aliis videbatur occupandos esse aliquos Bithyniae montes in iisque manendum, et si quis adoriretur, defendendum: non autem intrandum in Iberiam, regionem remotam atque alienam, atque ubi non hostes modo Romanorum, sed ipsos etiam Romanos hostes essent habituri. solus Catalimus suasit revertendum esse et se cum popularibus coniungendum. et quodam percontante quanam ratione mare transiri posset, nihil aliud dixit quam quod se iussit sequi. ergo Adrobalanum

οὖν Ἀδροβάλανον ὁρμήσαντες ἀποκτεῖναι οὐκ ἴσχυσαν (φυγὼν γὰρ διεσώθη ἔν τινι τριωρόφῳ ὑπερῴῳ τῶν ἐν τῷ Δαματρύϊ παλατίων), τῷ Καταλεὶμ δὲ ἑπόμενοι κατήρχοντο πρὸς τὴν θάλασσαν, C οὐκ ἐλπίζοντες τάχα πλοῖα ἔχειν αὐτὸν ηὐτρεπισμένα τὰ ῥᾳδίαν τούτοις μέλλοντα ποιῆσαι τὴν τῆς θαλάσσης περαίωσιν, ἀλλὰ διαπορεῦντες καὶ μαθεῖν ἐθέλοντες τίς ὁ τρόπος τῆς διαβάσεως. ἐπεὶ δὲ ἐν τῷ αἰγιαλῷ ἐγένοντο, μηδὲν πλέον εἰπὼν ὁ Καταλεὶμ ἀλλ' ἢ μόνον "ἑπέσθω ὁ βουλόμενος αὐτόν τε περιεῖναι καὶ πάντας τοὺς Πατζινάκας" τὸν ἵππον μυωπίσας εἴσεισιν εἰς τὴν θάλασσαν. τοῦτο καὶ ἄλλος ἰδὼν ἐποίησε, καὶ ἐπ' ἐκείνῳ ἄλλος, καὶ εὐθὺς τὸ πλῆθος ἅπαν· καὶ διανηξάμενοι περαιοῦνται κατὰ D τὸν ἅγιον Ταράσιον, οἱ μὲν αὐτοῖς ἅρμασιν, οἱ δὲ πρότερον τὰ ἅρματα ἀπορρίψαντες. καὶ περαιωθέντες καὶ τὴν πορείαν ἐπιτείναντες ἴσχυσαν διασωθῆναι πρὸς τοὺς οἰκείους κατὰ τὴν Τριαδίτζαν, μηδενὸς ἀντιστῆναι ἢ κωλῦσαι τολμήσαντος· τὸ γὰρ αἰφνίδιον τῆς ἐφόδου εὔκολον αὐτοῖς τὴν πορείαν εἰργάσατο. ἑνωθέντες οὖν τοῖς ἐν Τριαδίτζῃ Πατζινάκαις διακηρυκεύονται καὶ πρὸς τοὺς ἐν ταῖς ἄλλαις χώραις καθιδρυμένους. γενόμενοι οὖν οἱ πάντες ἄθροισμα ἕν, καὶ ἀνθ' ὅπλων ἀξίνας γεωργικὰς καὶ δρέπανα καὶ ἄλλα σιδήρια λαμβάνοντες ἀπὸ τῶν ἀγρῶν καθοπλίζονται, καὶ ἐν Φιλιππουπόλει γενόμενοι καὶ τὸν Αἷμον διαβάντες τὸ μὲν πλῆθος ἅπαν περὶ τὸν λεγόμενον Ὄσμον ποταμὸν κατεσκήνωσεν ἐν τῇ παριστρίῳ πεδιάδι, μόνος δὲ ὁ Σελτὲ ἐν τῷ Λοβιτζῷ

13 καὶ περαιωθέντες om C 15 πολεμῆσαι C 17 πατζινάκοις C 20 ἄλλα γεωργικὰ σιδ. C καθοπλίζοντο C 23 παριστρία C

interficere frustra conati (effugit enim in quoddam apud Damatryn palatiorum solarium tribus fastigiis tectum) Catalimum sequuntur ad mare, non quidem sperantes eum navigia habere parata quibus mare traiicerent, sed haesitantes, ac videre cupientes quaenam esset futura traiiciendi ratio. ut ad litus ventum est, Catalimus hoc unum fatus "qui se ipsum et universos Patzinacas vult esse salvos, me sequatur," equo calcaribus incitato mare est ingressus. quod alius rursumque alius imitatus, et tandem omnis Patzinacarum multitudo secuta est, quidam ut erant armati, alii abiectis armis. mare ergo tranant, et ad sanctum Tarasium in oppositum litus evadunt, et magnis itineribus ad suos apud Triaditzam perveniunt, nemine obstare aut eos prohibere auso, cum subitus adventus ipsis transitum expediret. coniuncti cum Patzinacis qui apud Triaditzam agebant, eos quoque qui aliis in regionibus morabantur solicitant. postquam universi in unum sunt collecti, correptis securibus ruralibus falcibusque et aliis ferramentis rusticis se armant, Philippopolinque profecti et Aemum transgressi ad flumen Osmum in campis Istro propinquis castra ponunt: solus Seltes in Lobitzo substi-

P 780 προσμείνας διανεπαύετο. ἄρτι δὲ καὶ τὰς Μακεδονικὰς ἀθροίσας δυνάμεις ὁ Ἀριανίτης καταδιώκει ὄπισθεν αὐτῶν. καὶ καταλαβὼν ἐν τῷ Λοβιτζῷ τὸν Σελτὲ κατεσκηνωμένον, τοῦτον μὲν κρατῆσαι οὐχ ἴσχυσεν (ἔφθασε γὰρ διαδράς), τὴν δὲ πᾶσαν αὐτοῦ στρατοπεδείαν κατασχὼν ὑπέστρεψε. καὶ τὰ μὲν τῆς ἑσπέρας τοῦτον ἔσχε τὸν τρόπον.

Ὁ δὲ σουλτάνος, ὡς εἴπομεν, βαρυθυμήσας διὰ τὴν τῶν αὐτοῦ καταφρόνησιν πρέσβεων καὶ τὴν τῶν θελημάτων ἀστοχίαν, ἄρας μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως ἔξεισι κατὰ τῆς ὑπηκόου Ῥωμαίοις· καὶ κατελθὼν ἄχρι τοῦ λεγομένου Κωμιοῦ, καὶ μηδὲν B ὅ τι καὶ λόγου ἄξιον διαπράξασθαι δυνηθεὶς (ἔφθασαν γὰρ οἱ τῆς χώρας προασφαλίσασθαι ἑαυτούς τε καὶ τὰ αὐτοῖς ἀναγκαιότατα ἐν τοῖς φρουρίοις· γέμει δὲ ἡ Ἰβηρία φρουρίων ἐρυμνοτάτων), προσωτέρω δὲ προβῆναι μὴ θαρρήσας τῷ πυθέσθαι τὰς Ῥωμαϊκὰς ἐν Καισαρείᾳ δυνάμεις ἀθροίζεσθαι, ὑπέστρεψε τῷ θυμῷ φλεγμαίνων καὶ μέγα τι ζητῶν κατεργάζεσθαι. γενόμενος δὲ κατὰ τὸ Βαασπρακάν, καὶ παραπλησίως κἀκεῖ τὰ πάντα τειχήρη εὑρών, ἐπέβαλε ταῖς πολιορκίαις, καὶ ἀπεπειράσατο πρότερον τοῦ λεγομένου Μαντζικίερτε· πόλις δὲ τὸ Μαντζικίερτε ἐν γῇ ὁμαλῇ μὲν κειμένη, τείχεσι δὲ τρισὶ στεφανουμένη καὶ ὕδασι πολ-C λοῖς ἔνδον κατάρρυτος πηγιμαίοις· τότε δὲ καὶ ἔτυχεν ἀφθόνως εἰσκομίσασα τὰ ἀναγκαῖα. ταύτην οἰηθεὶς ὁ σουλτάνος ῥᾳδίως ἐκπολιορκῆσαι τῷ ἐν εὐεπιβουλεύτῳ ἱδρύσθαι τύπῳ, χάρακα πηξάμενος ἔγγιστα ἐπεχείρει πολιορκεῖν, καὶ διέμεινεν ἐπὶ τριά-

3 λοβιτζᾷ C 19 τῇ C 23 ἐπιβουλεύτω C

terat. interim Arianita Macedonicis exercitibus contractis eos a tergo insequitur, cumque Seltes Lobitzo aufugisset, castris eius potitus domum revertitur.

Dum haec in Occidente geruntur, sultanus ob contemptos suos legatos et consiliorum adversos eventus fremens cum omnibus suis copiis in Romanam dicionem intrat. cum vero usque ad Comium pervenisset, nihilque memorabile agere potuisset, quod incolae se et res necessarias castellis, qualia per Iberiam et plurima sunt et munitissima, mature incluserant, ulterius progredi non ausus, quia Romanas copias audiebat Caesareae colligi, rediit ira flagrans magnumque aliquod facinus edere cupiens. postquam in Baaspracaniam venit atque ibi etiam omnia muris defendi vidit, animum ad oppugnationes appellit, ac primo omnium Mantzikierte aggreditur. urbs est Mantzikierte in planitie posita, triplici muro circumdata multisque intus fontibus irrigua: tum quoque rerum necessariarum invexerant oppidani copiam. hanc urbem se, quod locus eam adortu facilem faceret, non magno expugnaturum ratus negotio sultanus, vallo proxime defixo omnis generis machinis tentat, ac

κοντα ἡμέρας ταύτην ἀνενδότως πολιορκῶν, ποικίλαις ἑλεπόλεσι χρώμενος καὶ παντοίοις εἴδεσι μηχανημάτων. εὐρώστως δὲ τῶν ἔνδον ἀποκρουομένων τὰς προσβολὰς ἐμπειρίᾳ καὶ συνέσει τοῦ στρατηγοῦ (ἦν δὲ Βασίλειος πατρίκιος ὁ ἀπὸ Κάπης), ἐπείπερ ἔγνω ἀδυνάτοις ἐπιχειρῶν, ἐβουλεύσατο λῦσαι τὴν πολιορκίαν καὶ ὑποστρέψαι. ἀνέκοψε δὲ τῆς ὁρμῆς αὐτὸν Ἀλκὰν ὁ τῶν D Χωρασμίων ἡγεμών, αἰτησάμενος μίαν ἔτι προσμεῖναι ἡμέραν καὶ αὐτῷ ἐπιτρέψαι τὸν κατὰ τῆς πόλεως πόλεμον. ἡσθεὶς δὲ τῷ αἰτήματι ἐπέσχε τὴν ἀναζυγήν. ἕωθεν οὖν ὁ Ἀλκὰν τὸν ἀμφ' αὐτὸν ἀθροίσας ἅπαντα λαόν, καὶ θεωρὸν ἐπί τινος γεωλόφου κατὰ τὴν ἑῴαν στήσας πύλην τὸν σουλτάνον αὐτὸν καὶ τοὺς ὅσοι τῶν Τούρκων ἦσαν ἐπισημότατοι, τὰς ἑλεπόλεις λαβὼν ἄπεισιν εἰς τὴν εἰρημένην πύλην· ἐκεῖσε γὰρ ἐδόκει τὰ τείχη τῆς πόλεως ταπεινότερά τε καὶ ἀσθενέστερα, καὶ ὁ τόπος ἀνάστημα ἔχων καὶ τῇ πολιορκίᾳ προσβοηθῶν, ἄνωθεν διδοὺς βάλλεσθαι τοὺς εἴσω τοῦ τείχους ὑπὸ τῶν ἔξω. διελὼν οὖν διχῇ τὴν δύναμιν, καὶ τὴν μὲν στήσας ἐπὶ τοῦ ἀναστήματος ἐπιμόνῳ χρῆσθαι κελεύει τῇ τοξείᾳ, αὐτὸς δὲ σκηνὰς ἐκ λύγων ἔχων πεπλεγμένας, βοείαις βύρσαις ἄνωθεν ἐσκεπασμένας καὶ τροχοὺς ἐχούσας ὑπὸ τὰς τῶν βασταζόντων κιόνων βάσεις (λέσσας τὰς τοιαύτας κατονομάζουσι P 781 μηχανάς), λαοῦ πλήσας δικέλλας φέροντος καὶ σκαπάνας καὶ ἄλλα γεωργικὰ ὄργανα, ᾤετο κατὰ μικρὸν ὑπωθεῖν τὰς σκηνὰς καὶ τοῖς τείχεσι προσαρμόσαι καὶ οὕτως ὑπορύττειν ἀνέτως καὶ

16 δίχα C   18 ἔχεν C   βοείαις βύρσαις ἄνωθεν ἐσκεπασμένας om C   19 τροχὰς C

per triginta dies absque ulla intermissione oppugnat. praeerat ei urbi Basilius patricius a Capa, homo prudens ac peritus. eius industria factum ut qui in urbe erant, oppugnantes fortiter repellerent. iam de re quam frustra sibi videbatur conatus omittenda et obsidione solvenda cogitantem sultanum Alcan Chorasmiorum dux rogat, ut adhuc unum diem perseveret sibique oppugnationem mandet. quod perlibenter concessit sultanus. prima luce Alcan omnibus suis collectis sultanum et illustrissimos Turcarum in tumulo quodam iuxta portam orientalem spectandi causa collocat, atque ipse ad eam portam cum machinis subit. videbatur enim eo loco murus urbis humilior ac infirmior, locusque oppositus aliquanto editior oppugnationem adiuvare, quia intra muros qui essent, desuper telis impeti ab oppugnantibus possent. ergo in duas partes exercitum suum dividit, quarum una editiore illo loco staret continenterque sagittas eiacularetur: alteram ligonibus bidentibus aliisque rusticis instrumentis arma tam lesas (tabernaculi genus est lesa, ex viminibus contextum ac superne corio bubulo inductum, quod a columnis sustinetur, quarum basibus rotae sunt subiectae) subire, easque paulatim impellere, muroque sub iis succedere et tutos isto tegmine funda-

ἀδεῶς τὰ θεμέλια, πιστεύσας ὡς οὐδεὶς προκύψαι τοῦ τείχους συγχωρηθήσεται ὑπὸ τοῦ πλήθους τῶν βελῶν· καὶ τοῦτον ἐφαντάζετο τὸν τρόπον παραλήψεσθαι τὴν πόλιν. ταῦτα δὲ βλέπων ἀπὸ τοῦ τείχους ὁ Ἀποκάπης τοῖς μὲν τειχοφυλακοῦσιν ἀτρεμεῖν καὶ μηδένα προκύπτειν διεκελεύετο, μόνον δὲ λίθους χειροπληθεῖς
B ἔχειν ηὐτρεπισμένους καὶ τόξα καὶ ἄλλα ἑκηβόλα ὄργανα, καὶ προσμένειν τὸ ἐξ αὐτοῦ σύνθημα (ἦν δὲ τὸ Χριστὲ βοήθει), οὗ δοθέντος ἔργου ἔχεσθαι· εἶχε δὲ παρ' ἑαυτῷ καὶ δοκοὺς μεγίστας, κατὰ τὴν βάσιν ὀξείας. καὶ ὁ μὲν διετάττετο ὧδε, ὁ δὲ Ἀλκὰν τῶν ἐκτὸς Τούρκων χαλαζηδὸν ἐκπεμπόντων τὰ βέλη καὶ τοὺς εἴσω τείχους ἀνακόπτειν δοκούντων, κατ' ὀλίγον ὑπωθῶν τὰς λέσσας προσήρειδε τῷ τείχει. ἐπεὶ δὲ ἔφθασαν αἱ σκηναὶ προσεγγίσαι καὶ ἐδόκει ἀδύνατος αὐταῖς εἶναι ἡ εἰς τοὐπίσω ἀναστροφή, αἰφνίδιον τοῦ Ἀποκάπη τὸ σύνθημα δόντος οἵ τε ἐπὶ τῶν δοκῶν τεταγμένοι τὰς δοκοὺς ἠφίεσαν κατὰ τῶν σκηνῶν καὶ οἱ λοιποὶ τόξοις καὶ λίθοις ἔβαλλον. τότε δὴ οὖν ἡ τὸν Ἀλκὰν
C ἔχουσα σκηνὴ πολλαῖς περιπαρεῖσα κατὰ τὴν στέγην δοκοῖς ἀνετράπη ὑπὸ τοῦ βάρους τούτων περιτραπεῖσα· ἧς περιτραπείσης οἱ ἔνδον ταύτης ἀπογυμνωθέντες ἐβάλλοντο πάντοθεν λίθοις καὶ τόξοις, μηδενὸς ἐπαμῦναι τούτοις ἰσχύοντος. καὶ οἱ μὲν ἄλλοι πάντες ἔπεσον ἐκεῖσε, ἐλήφθη δὲ ὁ Ἀλκὰν ζωγρίας, γνώριμος ἀπὸ τῆς λαμπρότητος τῶν ὅπλων ὑπάρχων· δύο γάρ τινες καλοὶ κἀγαθοὶ νεανίαι προπηδήσαντες τῶν πυλῶν τῆς πόλεως καὶ τῶν τριχῶν τούτου δραξάμενοι σύροντες εἰσήγαγον εἰς τὴν πόλιν. καὶ

5 διεγκελεύεται C   9 ὀξεῖς libri

menta omni vi subruere iubet, animi certus ob sagittarum nimbum neminem ausurum de muro prospicere, atque ita se urbem expugnaturum somnians. haec de muro cernens Basilius iis quibus murorum defendendorum munus incumbebat, mandat ut se contineant, neque quisquam se exserat, sed in promptu habeant grandia saxa, sagittas aliaque missilia, et exspectent signum quo dato (erat autem tessara "Christe iuva") rem gerant. et habebat ad rem hanc paratas trabes maximas inferne acutas. interim Alcan, cum Turci grandinis in morem emissis sagittis propugnatores viderentur abegisse, paulatim lesas muro admovet. quae cum ita accessissent ut iam retro abire nullo modo posse viderentur, subito dato a Basilio signo ii quibus negotium erat commissum trabes lesis iniiciunt, alii missilibus et lapidibus impetunt. itaque lesa qua ipse Alcan tegebatur, pondere impactorum subversa tectos nudavit; qui undique lapidibus et sagittis impetiti, cum opem ferre nemo posset, omnes perierunt. Alcanem splendore armorum agnitum fortes duo iuvenes porta urbis exsilientes crinibus comprehensum in urbem pertra-

τούτου μὲν εὐθὺς τὴν κεφαλὴν ἀποτεμὼν ὁ Βασίλειος ἀκοντίζει τοῖς Τούρκοις, ὁ δὲ σουλτάνος περιαλγήσας τῷ πάθει λύει τὴν πολιορκίαν καὶ ἀναζεύγνυσι, πλασάμενος ἀναγκαῖά τινα πράγματα D
κατεπείγειν αὐτὸν οἴκαδε ὑποστρέφειν, ἀπειλῶν εἰς τοὐπιὸν ἔαρ μετὰ μείζονος κατὰ τῶν Ῥωμαίων ἐπιστρατεῦσαι δυνάμεως.

Περὶ ἧς φροντίζων ὁ Μονομάχος, ἔτι δὲ καὶ τὸν Ἀπλησφάρην τὸν τοῦ Τιβίου ἄρχοντα τὰς ἐπὶ Κωνσταντίνου σπονδὰς διαλύσαντα καὶ τὰ τῶν Ῥωμαίων κακοῦντα ἀμυνόμενος, τὰ ἑῷα τάγματα πάντα ἀθροίσας καὶ ἡγεμονεύειν τάξας αὐτῶν Νικηφόρον τινὰ εὐνοῦχον, ἱερέα μὲν τυγχάνοντα πρότερον καὶ τῷ βασιλεῖ ὑπηρετοῦντα ἰδιωτεύοντι, διὰ κοσμικὴν δὲ περιφάνειαν καὶ δόξαν ἀπωσάμενον τὴν ἱερωσύνην, ῥαίκτωρα τοῦτον τιμήσας καὶ στρατοπεδάρχην ὀνομάσας εἰς τὴν ἑῴαν ἐκπέμπει, οὐκ ἐπειδὴ δραστήριος ἦν καὶ ἐνεργὸς τὰ πολεμικά, ἀλλ' ἐπειδὴ εὔνοιαν ἐτήρει τῷ βασιλεῖ. οὗτος ἀνελθὼν μετὰ τοῦ στρατοῦ ἄχρι τῆς λεγομένης P 782
σιδηρᾶς γεφύρας καὶ τοῦ Καντζακίου Τούρκοις μὲν οὐκ ἐνέτυχεν (ἐν τῇ πεδιάδι γὰρ τῆς Περσαρμενίας στρατοπεδεύοντες μετὰ Ἀβιμέλεχ τινὸς στρατηγοῦ, ἀδελφοῦ τοῦ Κουτλουμοῦς, καὶ πυθόμενοι τὴν τῶν Ῥωμαίων βαρεῖαν ἔφοδον, μὴ στέρξαι τὴν ἐπέλευσιν τολμήσαντες ὑπενόστησαν οἴκαδε), ὁ δὲ Ῥωμαϊκὸς στρατὸς τὸν Ἀπλησφάρην εἴσω τοῦ τείχους συγκλείσαντες, καὶ τὴν περίχωρον πᾶσαν λῃϊσάμενοι, ἔπεισαν καὶ ἄκοντα ἀνανεώσασθαι τὰς σπονδὰς

16 καντζακίου C 19 στέξαι? 21 τοῦ om C

xerunt; cui statim caput amputavit Basilius, idque in Turcos est iaculatus. sultanus gravissimo dolore ob eam cladem percepto castra movet, fingens se necessariis quibusdam rebus urgentibus domum avocari, minatusque insequenti vere se maioribus cum copiis in Romanos expeditionem facturum.

Qua de re imperator solicitus, simul et de Aplesphare, qui violato quod cum Constantino pepigerat foedere Romanam dicionem infestabat, ulciscendo cogitans, omnes in unum contrahit orientales copias, iisque praeficit Nicephorum quendam eunuchum, qui aliquando sacerdos Monomacho adhuc privato inserviverat et splendoris ac gloriae profanae studio sacerdotium eiuraverat. hunc ergo rectoris titulo decoratum et castrorum praefecti in Orientem mittit, non quod is homo strenuus esset aut bellica re industrius, sed quia imperatori erat fidelis. is Nicephorus cum exercitu usque ad pontes ferreos (loci hoc nomen) et Cantzacium progressus in Turcos quidem non incidit: hi enim in planitie Persarmeniae castra metati, duce Abimelecho Cutlumusi fratre, cum de Romanorum gravi expeditione nuntium accepissent, non ausi eorum adventum exspectare domum abierant. Aplesphare autem intra muros compulso viciniam depopulatur, adigitque cum ut vel invitus foedus re-

καὶ ὅμηρον δοῦναι Ἀρτασύραν τὸν υἱὸν Φατλοὺμ τοῦ οἰκείου ἀδελ- B φοῦ τοῦ τῆς Καντζακηνῶν κατάρχοντος γῆς· ὃν εἰληφὼς ὁ Νικηφόρος ἐπάνεισι πρὸς τὴν πόλιν.

Οἱ Πατζινάκαι δὲ τὸν Αἷμον, ὡς εἴπομεν, διαβάντες, καὶ τὴν μεταξὺ τούτου καὶ τοῦ Ἴστρου κατασκοπήσαντες πεδιάδα τὴν διήκουσαν μέχρι θαλάσσης, καὶ τόπον εὑρόντες νάπας καὶ ἄλση ἔχοντα καὶ λόχμας παντοδαπὰς καὶ ὕδωρ καὶ νομὰς (Ἑκατὸν βουνοὺς τὸν τόπον ὀνομάζουσιν οἱ ἐγχώριοι), ἐκεῖσε ἐγκαθιδρύονται, καὶ ἐκδρομὰς αὐτόθεν ποιούμενοι οὐ μικρὰ τὴν ὑπὸ Ῥωμαίους ἐλύπουν. ὁ δὲ βασιλεὺς μεταπέμπεται τὸν Κεγένην ἐπὶ συμβουλῇ εἰς τὴν βασιλίδα· καὶ ὃς εἴσεισιν εὐθὺς μετὰ παντὸς τοῦ οἰκείου C στρατοῦ, καὶ κατασκηνοῖ κατὰ τὴν ἀφωρισμένην πεδιάδα Βυζαντίοις εἰς πεδίαν (Μαΐτας ὁ τόπος κατονομάζεται) σὺν ἅπαντι τῷ στρατῷ. μήπω δὲ ἐντυχὼν τῷ βασιλεῖ, μηδ' ὅτου μετεκλήθη χάριν μαθών, ἐπιβουλεύεται ταύτῃ τῇ νυκτὶ ὑπὸ Πατζινάκων τριῶν μετὰ ξιφῶν ἐπελθόντων κοιμωμένῳ καὶ πληγὰς ἐπενεγκόντων αὐτῷ, μὴ μέντοι καιρίας· γνωσθέντες γὰρ εὐθὺς ὑπὸ τῶν σωματοφυλακούντων τάς τε πληγὰς ἀσθενεῖς ἐπιφέρουσι, καὶ πρὸς φυγὴν ὁρμήσαντες βοηδρομήσαντος τοῦ πλήθους μετὰ Βαλτζὰρ υἱοῦ τοῦ Κεγένους ἁλίσκονται. ἕωθεν οὖν ὁ Βαλτζὰρ ἐφ' ἁμά- D ξης τετρατρόχου τὸν ἑαυτοῦ πατέρα θείς, καὶ τοὺς ἐπιβουλεύσαντας ὄπισθεν τῆς ἁμάξης ἕλκων πεπεδημένους (οὐδὲν γὰρ εἰς αὐτοὺς διαπράξασθαι πλέον ἐτόλμησεν ἐπιβοωμένους τὸν βασιλέα),

13 μαΐτὰς C   17 ἀπὸ libri   19 βουλτζὰρ C

novet, obsidemque det Artasyram filium Phatlumi fratris sui, Cantzacenae regionis principis. cum hoc Nicephorus in urbem rediit.

Patzinacae autem Aemo, ut ostendimus, superato planitiem quae inter hunc et Istrum interiacet ad mare usque porrecta speculati, cum invenissent locum ibi saltus et lucos omnisque generis silvas et aquam ac pascua habentem (incolae locum Centum colles appellabant) in eo consederunt, atque inde factis excursionibus subditos Romanorum non leviter vexarunt. ergo Kegenes consultandi causa ab imperatore evocatus cum omnibus suis copiis ad urbem accedit, et castra facit in campo Byzantiis designato, cui loco Maitas nomen est. nondum autem cum imperatore congressus, neque cur esset vocatus sciens, hac ipsa nocte insidiis Patzinacarum trium petitur, qui strictis ensibus irruentes dormienti vulnera imponunt, non tamen letalia. nam a satellitibus statim cogniti ictus languidiores inferunt; et fugae se dantes accurrente opitulatum multitudine cum Baltzaro Kegenis filio capiuntur. mane Baltzar currui quattuor habenti rotas imponit patrem, et percussores post cum vinctos trahit (nihil enim amplius statuere de eis audebat, quod imperatorem appellassent), et omni suo cum exercitu equestri pe-

ἅμα παντὶ ἐφίππῳ τῷ στρατῷ, αὐτὸς πεζὸς σὺν τῷ ἀδελφῷ Γουλίνῳ ἑπόμενος τῇ ἁμάξῃ ὑπὸ δυοῖν ἑλκομένῃ ἵππων, ἔρχεται πρὸς τὸν βασιλέα. καὶ κατὰ τὸ ἱπποδρόμιον γενόμενος ταύτην μὲν ἵστησιν ἐκεῖσε, αὐτὸς δὲ εἴσεισι πρὸς τὸν βασιλέα, τῆς φήμης προδραμούσης καὶ προοδοποιησάσης αὐτῷ τὴν εἴσοδον. ὃν εἰσαχθέντα ὁ βασιλεὺς ἐπήρετο διὰ τί μὴ εὐθὺς τιμωρὸς ἐγένετο τῶν τοῦ πατρὸς φονέων· τοῦ δὲ φήσαντος ὅτιπερ τὸ σὸν ἐπεκαλοῦντο συνεχῶς ὄνομα, εἰς ὑποψίας ἀτόπους ἐνέπεσεν ὁ βασιλεύς, καὶ λόγου θᾶττον ἐκπέμψας ἄγει τοὺς δεσμίους πρὸς ἑαυτόν, καὶ τὴν αἰτίαν ἐπυνθάνετο δι' ἥνπερ ἐπεχείρησαν τὸν πατρίκιον ἀνελεῖν. τῶν δὲ φησάντων ὅτιπερ κακόνους ἦν τῇ βασιλείᾳ σου καὶ τῇ πό- P 783
λει, ὄρθρου μελετῶν εἰσελθεῖν καὶ πάντας μὲν κατασφάξαι τοὺς ἔνδον, λαφυραγωγῆσαι δὲ καὶ τὴν πόλιν καὶ πρὸς τοὺς Πατζινάκας ἐπαναδραμεῖν, δέον ἐξετάσαι τὰ λεχθέντα καὶ εὑρεῖν τὴν ἀλήθειαν, ὁ δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, ἀλλ' ἀδεσπότοις πιστεύσας συκοφαντίαις καὶ ἀσυστάτοις τὸν μὲν Κεγένην ἄγει πρὸς τὰ βασίλεια καὶ ἐν προσχήματι τάχα θεραπείας καὶ ἰατρείας ἐν τῇ ἐλεφαντίνῃ καθείργνυσι, τοὺς δὲ τούτου υἱοὺς ἐν ἑτέρῳ καὶ ἑτέρῳ τόπῳ διίστησιν ἀπ' αὐτοῦ. τὸ δὲ πλῆθος τῶν Πατζινάκων βρώμασι καὶ πόμασι παντοίοις πρὸς τὸ δοκεῖν εὐνοεῖν ἀνελάμβανε, B
σπεύδων, εἰ οἷόν τε, τῶν ἁρμάτων τούτους ἀπογυμνῶσαι καὶ τῶν ἵππων καὶ κατασχεῖν καὶ φρουρῆσαι, τοὺς ἐπιθεμένους τῷ φόνῳ ἀνέτως καὶ ἐλευθερίως, ὅπῃ καὶ ὡς βούλονται, διάγειν κελεύσας.

8 ἐνέπιπτεν C 10 περ om C 13 ἡβηδὸν ante τοὺς margo P 19 διαστήσας C

des ipse cum fratre Gulino currum a duobus tractum equis sequens urbem intrat; cumque ad Circum pervenisset, currum ibi sistens ad imperatorem se confert, quo iam ante fama praecurrerat ipsique aditum fecerat. admissum imperator percontatur cur non illico patris percussores supplicio affecerit. respondet "quia te identidem nominatim invocabant." hinc absurdae obortae Monomacho suspiciones, ac dicto citius missi qui vinctos istos adducerent, causamque exquirit qua ad necem Kegenis patricii fuerint impulsi. illi hanc proferunt, infidum imperio Romano fuisse Kegenem atque urbi, et in animo habuisse prima luce urbem ingredi, trucidatisque omnibus qui intus essent eam diripere, atque ad Patzinacas reverti. hic imperator cum inquirere in dicta et veritatem perscrutari debebat, omissa ea cura fidem incertis et male cohaerentibus calumniis deferens, Kegenem in palatium introductum sub curationis ac medicinae specie in Elephantina includit, filios eius a se invicem divulsos diversis locis collocat, simulataque benevolentia, multitudinem Patzinacarum recreans cibi ac potus omni genere, id quaerit ut si qua fieri possit ratione, armis eos equisque nudatos in custodiam dedat. percussoribus, ubicunque vellent libere degendi facultatem con-

καὶ ἐδόκει μὲν ταῦτα διαπραξάμενος λανθάνειν, ἀλλὰ τὸν δῆμον οὐκ ἔλαθε τῶν Πατζινάκων. τήν τε γὰρ τοῦ αὐτῶν καθηγεμόνος κατάσχεσιν καὶ τὴν τῶν ἐκείνου υἱῶν διάζευξιν οὐ χρηστὸν οἰωνὸν ἐλογίζοντο, καὶ σημεῖον κακονοίας προφανὲς ἐνόμιζον τὴν τῶν ἐπιβούλων ἐλευθερίαν. διὸ καὶ τὰ μὲν πεμφθέντα ἐδέξαντο μετ' εὐχαριστίας, καὶ τὸν βασιλέα εὐφήμησαν, καὶ δι' ὧν C ἐποίουν ἀποδεχομένοις ἐῴκεισαν τὰ πραχθέντα· νυκτὸς δὲ ἐπιγενομένης, μηδενὸς ὑποτοπάσαντος ἄραντες ἐκ τῆς παρεμβολῆς καὶ συντόνῳ δι' ὅλης νυκτὸς χρησάμενοι τῇ ὁδοιπορίᾳ, τριταῖοι τὸν Αἷμον διαβάντες ἑνοῦνται καὶ αὐτοὶ τῷ πλήθει τῶν Πατζινάκων. γενόμενοι γοῦν ἅπαντες ὑφ' ἕν, ἤδη δὲ καὶ ὅπλων ἀποχρώντως ηὐπορηκότες διαπερῶσι τὸν Αἷμον, καὶ παρεμβολὴν μὲν πηγνύουσι κατὰ τὴν Αὐλὴν (φρούριον δὲ ἡ Αὐλὴ κατὰ τὰς ὑπωρείας [κειμένη] τοῦ Αἵμου καὶ οὐ πάνυ πόρρω κείμενον Ἀδριανουπόλεως) καὶ πρὸς λεηλασίαν καὶ λείαν τρέπονται.

D Ὅπερ μαθὼν ὁ τῆς δύσεως ἄρχων Κωνσταντῖνος μάγιστρος ὁ Ἀριανίτης, καὶ αὐτὸς παρεσκευασμένας ἔχων τὰς ἀμφ' αὐτὸν δυνάμεις, ἄρας ἐξ Ἀδριανουπόλεως ἔρχεται κατ' αὐτῶν. καὶ σποράσι μὲν τισιν ἐν τῷ ἀπιέναι περιτυχὼν εὐτύχησεν· εἶτα καὶ παρὰ τὸ λεγόμενον Δάμπολιν φρούριον συναντήσας τῷ πλήθει καὶ προσβαλὼν ἡττᾶται, πεσόντων ἐν τῷ πολέμῳ Μακεδόνων καὶ Θρᾳκῶν οὐκ ὀλίγων, ἀναιρεθέντων δὲ καὶ Θεοδώρου τοῦ Στρα-

11 ἀποχρώντων εὐπορηκότων C 17 ἀρριανίτης C 22 στραβορ ὑ^{τ} C

cedit. et putabat sane non animadverti quid ageret: sed Patzinacas tamen minime fefellit. nam nihil boni significari eo indicabant quod ducem ipsorum detinebat ac quod filios eius disiunxerat; et libertatem percussoribus permissam pro aperto malevolentiae signo habebant. itaque ea quae mittebantur ab imperatore actis gratiis et fausta ei precantes accipiebant, prorsusque prae se ferebant omnia sibi probari. sed nocte facta, nemine suspicante, e castris discesserunt, ac continenter per totam noctem facto itinere, tertio die Aemum transgressi reliquis se coniunxerunt Patzinacis. cum omnes in unum coivissent, iamque etiam armorum satis magnam parassent copiam, Aemum transeunt, castrisque ad Aulam (id est castellum in processu montis Aemi, haud longe Adrianopoli situm) factis praedis agendis se dant.

Quod ubi cognovit dux Occidentis Constantinus magister Arianites, ipse quoque instructum exercitum Adrianopoli contra eos educit; et primo quidem in quosdam palantes incidens rem feliciter gerit, sed ad castellum deinde Dampolim occurrens multitudini hostium vincitur, multis Macedonibus ac Thracibus amissis. ceciderunt etiam Theodorus

βομύτου καὶ τοῦ Πολῦ, ἀνδρῶν ἐκ γένους λαμπροῦ καὶ ἐπισήμων γενομένων ἐκ τῆς εἰς τὸν Τορνίκιον ἀπιστίας. ὁ μὲν οὖν μάγιστρος ὑπέστρεψεν ἐν Ἀδριανουπόλει, τῷ βασιλεῖ δὲ διὰ γραμμάτων ἄγγελος τοῦ ἀτυχήματος γίνεται, δηλοῖ δὲ καὶ ὡς δεῖ στρατοῦ νεαλοῦς· μετὰ γὰρ τῶν παρόντων ἀδύνατον ἀντιπαρατάξασθαι πρὸς τοσαύτην πληθὺν ἤδη τὰ νῶτα τρεψάντων. ὁ δὲ βασιλεὺς P 784 καὶ πρὸ τῶν ἐκείνου γραμμάτων τὸ συμβὰν μὴ ἀγνοήσας, τὸν μὲν Τυρὰχ καὶ τοὺς ἐν τῇ πόλει κατεχομένους ἄρχοντας τῶν Πατζινάκων δωρεαῖς καὶ χάρισιν ὑποποιησάμενος ὑποσχομένους μεθ' ὅρκων ἐξημερῶσαι τὸ γένος ἐκπέμπει, γράμμασι δὲ αὐτὸς τὰ ἑῷα ἅπαντα μεταπέμπεται τάγματα. ὧν ἐλθόντων καὶ διὰ τῆς Ἀβύδου περαιωθέντων καὶ Χρυσοπόλεως στρατηγὸν αὐτοκράτορα χειροτονήσας τὸν ῥαίκτωρα Νικηφόρον ἐκπέμπει κατὰ τῶν Πατζινάκων. συνεξέπεμψε δὲ αὐτῷ καὶ Κατακαλὼν τὸν Κεκαυμένον, στρατηλάτην τῆς ἀνατολῆς προβαλόμενος, καὶ Ἐρβέβιον τὸν B Φραγγόπωλον, ἄρχοντα τῷ τότε τῶν ὁμοεθνῶν, κελεύσας συνεῖναι τῷ ῥαίκτωρι καὶ τῆς αὐτοῦ γνώμης ἔχεσθαι καὶ τοῖς ἐκείνου προστάγμασι καὶ θελήμασιν ἕπεσθαι. ὃς ἀναλαβὼν τὰς δυνάμεις καὶ τὸν Αἷμον διαπεραιωθεὶς διὰ τῆς λεγομένης Σιδηρᾶς ἀπῄει κατὰ τῶν Πατζινάκων, ἐλθὼν δὲ κατεσκήνωσεν ἔν τινι χώρῳ οὐ μακρὰν ἀπέχοντι τῶν Ἑκατὸν βουνῶν, τῷ λεγομένῳ Διακενέ. κἀκεῖσε χάρακα πηξάμενος ὀχυρὸν τῇ ἐπαύριον ἐμελέτα τὴν μὲν ἀποσκευὴν ἐκεῖσε λιπεῖν καὶ τὰ περιττὰ τοῦ στρατοῦ, αὐτὸς δὲ εὔ-

11 δόγματα C 23 λιπὼν C

Strabomyta et Polys, illustri loco nati et ob violatam Tornicio fidem illustres. magister Adrianopolin reversus per literas imperatorem de accepta clade docet, monetque novo esse opus exercitu: nam cum praesentibus copiis adversus tam numerosum hostium exercitum, cui eae iam terga obvertissent, nullo modo rem geri posse. iam antequam literas acciperet imperator, de iactura ea resciverat. is Tyrachum et reliquos Patzinacarum principes, qui in urbe detinebantur, donis ac beneficiis suos facit, iuratosque se gentem suam placaturos emittit. literis porro missis omnes orientales evocat legiones. cui cum ab Abydo et Chrysopoli traiecissent, imperatorem eis praefecit Nicephorum rectorem, et contra Patzinacas emittit, simulque Catacalonem Orientis ducem designatum et Erbebium Francopullum, popularium tunc suorum ducem, adesse eos rectori eiusque obtemperare sententiae et mandatis iubens. is exercitum trans Aemum per locum cui Ferrea nomen traducit, pergensque adversus Patzinacas, in loco quodam non procul a Centum Collibus sito (Diacene is appellabatur) castra facit valloque munit. cogitabat autem postridie relictis ibi impedimentis, et quaecunque in exercitu erant supervacanea, cum expedito exercitu ad hostem

ζωνος ἀπελθεῖν καὶ συμμῖξαι τοῖς ἐναντίοις. ᾤετο γὰρ αὐτοβοεὶ C ἀφρόνως τούτους αἱρήσειν, καὶ ἐδεδίει καὶ φροντίδα ἐτίθετο μή τις λαθὼν διαδράσειε, καὶ οὐκ αὐτὸς μόνος ἀλλὰ καὶ ὁ σύμπας στρατός· ἐπεφέροντο γὰρ καὶ καλώδια καὶ λώρους πρὸς τὸ δεσμεῖν τοὺς ἁλισκομένους. τοῦτο δὲ ἐδίδου τούτοις ὑπονοεῖν τὸ κατ' ἀρχὰς ἐπιγενόμενον εἰς αὐτοὺς ἐπὶ τοῦ Κεγένους πτῶμα. ἀμέλει καὶ συναίσθησιν λαβόντων τῶν Πατζινάκων τῆς ἐπελεύσεως τῶν Ῥωμαίων (ἤδη γὰρ καὶ ὁ Τυρὰχ καὶ οἱ σὺν αὐτῷ τῆς πόλεως ἀπολυθέντες ἄρχοντες ἑνωθέντες ἦσαν αὐτοῖς καὶ τὰ συμφέροντα τούτοις ἐσπούδαζον, μακρὰ χαίρειν εἰπόντες ταῖς πρὸς τὸν Μονομάχον ὑποσχέσεσι) καὶ προδραμόντων τῶν ἀλκιμωτέρων, καὶ τοῦ D Κεκαυμένου μέγιστον ἀναβοῶντος καὶ παρακαλοῦντος νῦν εἶναι καιρὸν συμπλοκῆς, ὁπηνίκα σποράδες εἰσὶ καὶ διεσπαρμένοι, καὶ μὴ περιμένειν τὸ ἅπαν ἄθροισμα, οὐκ ἐπῄνει μὲν καὶ τὸ λοιπὸν πλῆθος τῶν Ῥωμαίων τοὺς ἐκείνου λόγους, ὁ δὲ ῥαίκτωρ καὶ προφανῶς κατεγέλα, "παῦσαι" λέγων, "ὦ στρατηλάτα, καὶ ἐμοῦ στρατηγοῦντος αὐτὸς μὴ παραστρατήγει· οὐ χρὴ γὰρ διεσπαρμένοις ἐπιθήσεσθαι τοῖς Πατζινάκοις, μή πως πτυρέντες ὑποδύσωνται τὰς λόχμας. ἐμοὶ δὲ ἀκολουθοῦντι, ὦ τᾶν, οὐ παρέπονται θηρατικοὶ κύνες, οἵτινες ῥινηλατοῦντες ἐξάξουσιν αὐτοὺς τῶν καταφυγῶν." καὶ τὰ μὲν τῶν Ῥωμαίων ἦσαν ἐν τούτοις, οἱ δὲ πρόδρομοι τῶν Πατζινάκων πλησίον γενόμενοι τῆς παρεμβο-

3 ἀποδράσειε C 4 καὶ post γὰρ om. C 13 καιρὸν τῆς συμπλ. C 18 ἐπιβήσεσθαι C 20 οὐκ ἐξάξουσιν C

accedere et pugnam conserere. stulte enim sibi persuaserat primo eos impetu profligatum iri; eaque cura ipsum angebat, ne quis fuga evaderet. neque ipse tantum, sed etiam universus exercitus: afferebant enim secum et funes et lora, quibus captos devincirent. hoc ipsis suspicionem movit, et quod initio factum fuit erga se, et Kegenis casus. ad extremum cum persensissent Patzinacae adventum Romanorum (iam enim et Tyrach, et qui cum ipso erant principes, ab urbe dimissi cum ipsis sese coniunxerant, et quicquid eis expediret studiose curabant), omissis iis quae Monomacho polliciti fuerant, et confluentibus fortioribus quibusque, se optime instruxerant; et Combusto clara voce exclamante et admonente nunc pugnae tempus esse, cum ipsi dispersi ac dissipati sunt, neque exspectandum quoad omnes simul cogerentur, laudabat reliqua Romanorum multitudo eius consilium. at rector aperte irridebat. "desine" inquit, "o ductor exercitus, et me exercitui imperante ne contra imperes: non enim dispersi Patzinacae sunt invadendi, ne forte perturbati silvas subeant. me autem sequentes o amice non adsunt venatici canes, qui indagantes ipsos e locis, quo confugerint, educant." et res Romanorum ita se habebant. antesignani autem Patzi-

λης τῶν Ῥωμαίων, μικρὸν ἐκκλίναντες, στρατοπεδεύουσι καὶ αὐ- P 785
τοὶ καὶ τοῖς ὄπισθεν δηλοῦσιν ἥκειν τὴν ταχίστην. πάντων δ'
ἐλθόντων καὶ ἑνωθέντων, τῇ ἐπαύριον ἐξαγαγόντος τοῦ ῥαίκτορος
τὰς Ῥωμαϊκὰς δυνάμεις ἀντιπαρατάττονται καὶ αὐτοί, καὶ τοῖς
ὄπισθεν ἔτι δηλοῦσιν ἥκειν τὴν ταχίστην. πάντων δ' ἐλθόντων
καὶ ἑνωθέντων, ὡς ἔφαμεν, ἐξαγαγόντος τοῦ ῥαίκτορος τὰς Ῥω-
μαϊκὰς δυνάμεις, εἶχε μὲν τῆς Ῥωμαϊκῆς φάλαγγος αὐτὸς τὸ μέ-
σον ὁ ῥαίκτωρ, τοῦ δεξιοῦ δὲ κέρατος ἦρχεν ὁ Κεκαυμένος, θα-
τέρου δὲ ὁ Φραγγόπωλος. συμβολῆς δὲ γενομένης οὐκ ἔμενον οἱ
Ῥωμαῖοι, τῶν στρατηγῶν πρώτων ἐκκλινάντων πρὸς τὴν φυγήν. B
αὐτοὶ μὲν γὰρ μηδὲ τὸν κτύπον, ὥς φασιν, τῶν ποδῶν τῶν ἵπ-
πων ἐνεγκόντες ἐτράπησαν, μόνος δὲ ὁ Κεκαυμένος μετὰ τῶν ἑαυ-
τοῦ στὰς θεραπόντων καὶ τινῶν συγγενῶν ὀλιγοστῶν καὶ ἡρωϊκῶς
ἀγωνισάμενος ἔπεσε μετὰ πάντων τῶν σὺν αὐτῷ. τούτων μὲν οὖν
οὐκ ἐτόλμησαν διῶξαι οἱ Πατζινάκοι ἐνέδρας πτοηθέντες, καὶ
παρὰ τοῦτο διασωθῆναι ἴσχυσαν ἀσινεῖς οἱ Ῥωμαῖοι· τέως δὲ
τοὺς πεσόντας σκυλεύσαντες, καὶ πολλῶν ἁρμάτων γενόμενοι κύ-
ριοι καὶ αὐτῆς τῆς Ῥωμαϊκῆς παρεμβολῆς σὺν τῇ ἀποσκευῇ, κα-
τασκηνοῦσιν ὑπὸ τὴν Ῥωμαϊκὴν τάφρον. καί τις δὲ Πατζινάκος
τὴν κλῆσιν Γαλῖνος, εἰδὼς τὸν Κεκαυμένον οἷός ἐστιν ἐξ ὅτου περ C
ἦρχε τῶν παρὰ τῷ Ἴστρῳ φρουρίων καὶ ἀνεμίγνυντο ἀλλήλοις τὰ
γένη, εὑρὼν αὐτὸν ἐν τοῖς νεκροῖς κείμενον καὶ σκυλεύων, ἐπεὶ
περιστρέψας αὐτὸν ἐς τὸ ὕπτιον ἀπὸ τοῦ προσώπου ἐγνώρισε καὶ

4 καὶ τοῖς — 7 δυνάμεις om C   10 στρατηλάτων C   τὸ φυγεῖν C   15 πατζινάκαι C   20 χουλῖνος C

nacarum cum castris appropinquassent Romanorum, paulum deflectentes ipsi quoque castra locant, et sequentibus significant quam celerrime accedendum. cumque omnes venissent et coniuncti essent, ac postridie Rector Romanas copias eduxisset, ipsi quoque contra instructi in aciem procedunt. obtinebat Romanae phalangis medium Rector ipse, dextro cornu praeerat Combustus, sinistro Francopulus, commissaque pugna profligantur Romani, cum primum duces ipsi in fugam versi essent. qui ne pedum quidem equorum sonitum, ut aiunt, sustinentes fusi sunt et fugati: solus autem Combustus cum suis ministris et quibusdam paucis cognatis strenue decertans cum omnibus suis in praelio occubuit. alios persequi non ausi sunt Patzinacae, insidias veriti; et icciro Romani servari potuerunt incolumes. interim autem eos qui ceciderant praedati, armisque multis potiti et Romanorum impedimentis, tabernacula ponunt sub Romanorum vallum. et quidam Patzinacus, Galinos nomine, qui noverat qualis esset Combustus ex quo ille praefuit oppidis ad Istrum sitis et gentes inter se libero commercio miscebantur, cum repperisset eum inter cadavera iacentem ac spoliaret, ubi conversum ipsum a facie agnovit et adhuc spirantem deprehendit, in equum impo-

κατέλαβεν ἔτι ἐμπνέοντα, ἐπιθεὶς εἰς ἵππον (ἔκειτο γὰρ ἄφωνος διὰ τὸ καιρίας λαβεῖν πληγάς, μίαν μὲν κατὰ γυμνοῦ τοῦ κρανίου, πεσόντος τοῦ κράνους αὐτοῦ, διήκουσαν ἀπὸ κορυφῆς ἄχρι τῶν ὀφρύων, ἑτέραν δὲ ἀπὸ τοῦ τραχήλου, ἔνθα περ ἡ γλῶσσα ἐρρίζωται, καὶ διατεμοῦσαν τὸν τράχηλον καὶ εἰς τὸ στόμα πεσοῦσαν, καὶ ἔξαιμος γενέσθαι) ἀπήγαγεν εἰς τὴν ἑαυτοῦ σκηνήν, καὶ ἐπι-
D μελείας καὶ φροντίδος ἀξιώσας περιεποίησε. καὶ οἱ μὲν Πατζινάκοι οὕτω ῥᾳδίως τὴν ἐπελθοῦσαν ἀποσκευασάμενοι δύναμιν, ἀδεῶς τὸ ἀπὸ τοῦδε τὴν Ῥωμαίων γῆν ἐληΐζοντο· ὁ δὲ βασιλεὺς διὰ τῶν φυγόντων μαθὼν τὸ ἀτύχημα ἤλγησε μὲν ὡς εἰκός, ἤθροιζε δὲ πάλιν δυνάμεις, ἀνελάμβανε δὲ καὶ τὰς πεσούσας, καὶ εἰς τὸ ἐπιὸν ἔτος τὴν γενομένην ἧτταν ἐπανορθώσασθαι ἔσπευδε. τῆς δὲ τρίτης ἰνδικτιῶνος ἐπιστάσης τοῦ ,ςφνη' ἔτους, τὸν ἑταιρειάρχην Κωνσταντῖνον στρατηγὸν αὐτοκράτορα προχειρισάμενος ὁ βασιλεὺς ἐκπέμπει κατὰ τῶν Πατζινάκων. καὶ ὃς τάς τε νεωστὶ περαιωθείσας ἐξ ἑῴας δυνάμεις ἀνειληφὼς καὶ τὰς ἐν τῇ ἑσπέρᾳ παραχειμαζούσας ἀθροίσας ἐν Ἀδριανουπόλει γίνε-
P 786 ται, κἀκεῖσε χάρακα πηξάμενος βαθὺν ἔκειτο διασκοπούμενος μετὰ τῶν ἀρίστων πόθεν ἂν ποιήσηται τὴν εἰς τὸ πρόσω πορείαν. ἐν ᾧ δὲ οὗτος διενοεῖτο, αἰφνίδιον κατὰ τὴν ὀγδόην τοῦ Ἰουνίου μηνὸς οἱ Πατζινάκοι τὸν Αἶμον διαβάντες ἐπιφαίνονται τῇ Ἀδριανουπόλει. καὶ διὰ τῶν σκοπῶν μηνυθείσης τῷ Κωνσταντίνῳ τῆς τούτων ἐφόδου, βουλὴ προετέθη εἰ πολεμητέον αὐτοῖς εἴτε μή.

18 διακοπτόμενος C

suit: iacebat enim mutus, quod letales plagas accepisset, alteram in ea parte capitis quae calvaria dicitur, nuda (quippe eius galea deciderat), pertinentem a vertice ad supercilia; alteram in collo, ubi lingua radicem habet, usque ad os penetrantem. exsanguemque illum in suum tabernaculum adduxit. quem cum diligenter et accurate curari studuisset, ita servavit ut superesset. et Patzinacae qui ita facile invadentem exercitum propulsarent, libere deinde ac sine metu Romanorum regionem praedabantur. imperator autem per eos qui fugerant de accepta clade certior factus, doluit ut par est. sed rursus alias copias cogebat, et eas quae superfuerant, studebatque insequenti anno acceptam cladem resarcire. tertia autem indictione anni 6558 hetaeriarcham Constantinum ducem cum summo imperio declaratum imperator in Patzinacas mittit. assumptis copiis illis quae nuper ex Oriente traiectae fuerant, et coactis iis quae ad Occidentem hiemabant, ad Adrianopolin proficiscitur; ibique constructo profundo vallo commorabatur cum optimatibus considerans et explorans unde ulterius progredi posset. dum vero haec ille cogitaret, repente octava Iunii mensis Patzinacae superato Aemo ad Adrianopolin accedunt. quorum adventu per exploratores Constantino renuntiato, proposita est consultatio, utrum cum ipsis di-

ἀλλὰ τῶν ἀρίστων ἐν τῇ σκηνῇ τοῦ ἑταιρειάρχου περὶ τῶν πρακτέων βουλευομένων, Σαμουὴλ πατρίκιος ὁ Βούρτζης, ἀνὴρ αὐθάδης καὶ θρασύς, ἄρχων τότε τῶν πεζικῶν ὑπάρχων δυνάμεων καὶ τὴν τοῦ χάρακος ἐπιστασίαν πᾶσαν ἐπιτετραμμένος, μὴ προσδεξάμενος τὸ τοῦ ἄρχοντος σύνθημα, τὴν τάξιν λιπὼν καὶ B διαλύσας τὸν χάρακα ἔξεισι μετὰ τῶν πεζῶν καὶ τοῖς Πατζινάκοις προσρήγνυται. ὧν ῥαγδαίως ἐπιβρισάντων ἤρξαντο κάμνειν οἱ πεζοί. διὸ καὶ θαμὰ πέμπων πρὸς τὸν ἑταιρειάρχην ὁ Σαμουὴλ βοήθειαν ἐζήτει, ὡς ἐπαναγκασθέντα τοῦτον καὶ ἀκουσίως δοῦναι τὸ σύνθημα τοῦ πολέμου. ἐξελθόντος οὖν παντὸς τοῦ στρατοῦ κατὰ τὴν λεγομένην βασιλικὴν Λιβάδα, καὶ καθολικῆς συμπλοκῆς κροτηθείσης, διὰ τὸ αἰφνίδιον καὶ ἀσύντακτον καὶ τὸ προηττῆσθαι τοὺς πεζοὺς ἀναθαρσῆσαι δὲ τοὺς Πατζινάκους γίνεται τροπὴ τῶν Ῥωμαίων, καὶ φόνος ἐγένετο οὐ πολὺς αὐτῶν, συνεκλείσθησαν δὲ αἴσχιστως εἰς τὸν χάρακα, ἔπεσέ τε Μιχαὴλ πατρίκιος ὁ Δοκειανός, C ἔλαβε δὲ καιρίαν κατὰ τῶν σπλάγχνων καὶ ὁ μάγιστρος Κωνσταντῖνος ὁ Ἀριανίτης, καὶ τριταῖος ἀπέθανε. πεπτώκασι δὲ καὶ ἄλλοι τινὲς τῶν ἀσήμων ὀλιγοστοί. τὸ δὲ λοιπὸν ἅπαν στράτευμα συγκλεισθὲν ἀγεννῶς εἰς τὸν χάρακα ἐπολιορκεῖτο παρὰ τῶν Πατζινάκων, χωννύντων τὴν τάφρον λίθοις καὶ κλάδοις, καὶ πρὸς βίαν ἑλεῖν ἐπειγομένων τὸν χάρακα. καὶ τάχα ἂν ἐγένετο τοῦτο, εἰ μὴ καταπελτικῷ βέλει βληθεὶς ὁ Σουλτζοῦς διεπεραιώθη σὺν τῷ ἵππῳ

8 θαυμάκις C 13 τροπὴ φοβερὰ τῶν C 15 δοκιανὸς C
17 ἀρριανίτης C

micandum esset necne. sed consultantibus optimatibus in tabernaculo hetaeriarchae, Samuel patricius Burtzes, vir superbus et audax, qui tunc pedestribus copiis praeerat cuique commissa erat omnis valli cura, haud exspectato ducis signo, ordine relicto ac dissoluto vallo cum peditibus egressus in Patzinacas erumpit; qui cum violentam impressionem fecissent, laborare pedites coeperunt, et icciroo crebro mittens ad hetaeriarcham Samuel petebat auxilium, ita ut coactus fuerit vel invitus dare belli signum. igitur egresso omni exercitu ad eum locum qui regia scaturigo dicitur, et universa conflata pugna, cum propter repentinum casum, et quod incompositae essent acies Romanorum et ante victi pedites, confirmati animo essent Patzinacae, Romani funduntur ac profligantur. non tamen multa facta est ipsorum caedes, sed turpissime in vallum conclusi sunt; cecidítque Michael patricius Doceianus, et letali plaga in visceribus accepta magister Constantinus Arianites tertia die mortuus est. cecidere etiam alii quidam ignobiles, pauci tamen: sed reliquus omnis exercitus in vallum indecore conclusus obsidebatur a Patzinacis, fossam lapidibus et ramis obruentibus, et vi vallum capere conantibus. quod cito factum fuisset, et funditus omnis periisset exercitus Romanorum, nisi sagitta a catapulta missa percussus Sultzus cum

καὶ εἰς ἔκπληξιν μεγάλην ἤγαγε τοὺς θεασαμένους Πατζινάκους. ἐξῆλθε δὲ καὶ τῆς Ἀδριανουπόλεως Νικήτας πρωτοσπαθάριος ὁ D Γλαβᾶς, τοποτηρητὴς ὢν τοῦ τάγματος τῶν σχολῶν, εἰς βοήθειαν· καὶ ἰδόντες τοῦτον, καὶ προσδοκήσαντες τὸν σύγκελλον Βασίλειον μετὰ τῶν Βουλγαρικῶν ἀφικέσθαι δυνάμεων (προσεδοκᾶτο γὰρ καὶ οὗτος ἐλθεῖν) καὶ δειλιάσαντες οἱ Πατζινάκοι σποράδες ἄλλος ἀλλαχοῦ φεύγοντες ὑπεχώρησαν, καὶ πανσυδὶ ἂν ἀπολώλει ὁ τῶν Ῥωμαίων στρατός.

Ἐγένετο δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ τυραννίδος διαβολὴ κατά τινων ἀρχόντων πολιτῶν, ὧν ἔξαρχοι ἐτύγχανον Νικηφόρος καὶ Μιχαὴλ οἱ παῖδες τοῦ Εὐθυμίου καὶ ἄλλοι τινὲς τῶν εἰς τὸ αὐτὸ γένος ἀναφερόντων. ἀλλ' οἱ μὲν ἄλλοι πάντες διεσώθησαν, μόνος δὲ ὁ Νικηφόρος ἀνεξερευνήτως κατακριθεὶς ἐξωρίσθη, τῆς οὐσίας αὐτοῦ πρότερον δημευθείσης.

P 787 Ὅπως δὲ τῶν Πατζινάκων ἐπικρατέστερα γένηται τὰ Ῥωμαίων ὁ βασιλεὺς φροντίζων, τὸν Κεγένην ἐξάγει τῆς φυλακῆς καὶ ἐς Πατζινάκους ἐκπέμπει, ὑποσχόμενον διασχίσαι τούτους καὶ εὔνους θεῖναι τῷ βασιλεῖ. καὶ τὰ συμμαχικὰ πάντα συναθροίσας ὑφ' ἕν, Φράγγους φημὶ καὶ Βαράγγους, μεταπεμψάμενος δὲ καὶ ἱπποτοξότας ἀπό τε τῆς Τελοὺχ καὶ τοῦ Μαύρου ὄρους καὶ τοῦ Καρκάρου, περὶ τὰς εἴκοσι χιλιάδας, καὶ ἀνδράσιν ἐπισήμοις τῶν γενῶν ἕκαστον ἀναθείς, καὶ ἐπὶ πᾶσιν ἡγεμόνα καταστήσας τὸν

1 πατζινάκους om C 7 καὶ πανσ. — 8 στρατός] haec supra post τάχα ἂν ἐγένετο τοῦτο ponenda 12 αὐτῶν C 20 καὶ post Τελοὺχ om C

equo simul traiectus fuisset, et maxime id conspicatos obstupefecisset Patzinacas. erupit etiam ex Adrianopoli Glabas Nicetas protospatharius, legatus legionis scholarum, auxilio. quem videntes, et opinati syncellum Basilium cum Bulgaricis copiis venturum (etenim ipse exspectabatur) et veriti Patzinacae dispersi alius alio fugientes recesserunt.

Hoc item tempore affectatae tyrannidis accusati sunt quidam cives, quorum principes erant Nicephorus et Michael, Euthymii filii, et alii quidam ad idem genus referentes originem. sed alii omnes servati sunt, solus autem Nicephorus indicta causa condemnatus in exsilium missus est, prius tamen eius bonis publicatis.

Imperator autem id unum studens ut res Romanorum superiores essent, Kegenem e carcere eductum ad Patzinacas mittit, pollicitum eos ad imperatoris benevolentiam se traducturum; coactisque in unum sociis omnibus, Francis inquam et Barangis, accersitis autem et equitibus a Teluch et Mauro monte et Carcaro, cum praefecisset viris illustribus ex singulis gentibus unum, omnibus autem ducem patricium

πατρίκιον Νικηφόρον τὸν Βρυέννιον καὶ ἐθνάρχην τοῦτον κατονο-
μάσας, τὰς ἐκδρομὰς ἐκπέμπει κωλύειν καὶ ἐπέχειν τῶν Πατζινά-
κων· οὗτοι γὰρ μετὰ τὴν ἐν Ἀδριανουπόλει μάχην καταφρονήσαν- B
τες ὁλοσχερῶς τῶν Ῥωμαίων ἀδεῶς τήν τε Μακεδονίαν καὶ Θρά-
κην ἐδῄουν καὶ ἐπυρπόλουν, ἀναιροῦντες ἀνοίκτως καὶ αὐτὰ τὰ
θηλάζοντα νήπια, ὡς καὶ μίαν αὐτῶν μοῖραν ἄχρι τῶν Κατασύρ-
των (ἔγγιστα δὲ οἱ Κατασύρται τῆς βασιλίδος) ἐλθεῖν. ἀλλὰ
τούτων μὲν ἡ καταστροφὴ ταχυτάτη ἐγένετο. λαὸν γὰρ ὁ βασι-
λεὺς ὁπλίσας ἀπό τε τῶν ἐν τῇ αὐλῇ φυλασσόντων καί τινων ἄλλων
ἐκ τοῦ παρείκοντος εὑρεθέντων, καὶ Ἰωάννῃ πατρικίῳ ἑνὶ τῶν
θαλαμηπόλων εὐνούχων τῆς βασιλίδος Ζωῆς, ᾧ φιλόσοφος τὸ
ἐπώνυμον, ἐγχειρίσας, κατειργάσατο ῥᾳδίως· νυκτὸς γὰρ οὗτος C
ἐπελθὼν καὶ μεθύοντας καὶ κοιμωμένους πάντας εὑρὼν ἀπέσφαξε,
καὶ τὰς κεφαλὰς αὐτῶν ἁμάξαις γεωργικαῖς ἐπιθεὶς κομίζει τῷ
βασιλεῖ.

Ὁ μὲν οὖν Κεγένης ἐξελθὼν διαπρεσβεύεται τοῖς Πατζινά-
κοις, καὶ τούτων ὑποσχομένων μεθ᾽ ὅρκου ποιήσειν τὸ αὐτοῦ θέ-
λημα, πιστεύσας τοῖς ὅρκοις καὶ ἀπελθὼν εὐθὺς ἀναιρεῖται, κα-
τατμηθεὶς εἰς μικρὰ μέρη καὶ μόρια. ὁ δὲ Βρυέννιος τὰς ἐμπι-
στευθείσας αὐτῷ παραλαβὼν δυνάμεις καὶ ἐν Ἀδριανουπόλει γενό-
μενος ἐφρόντιζε τῆς φυλακῆς τῶν χωρίων. στέλλεται δὲ καὶ τοῦ
παντὸς ἡγεμὼν στρατοῦ Μιχαὴλ πατρίκιος ὁ Ἀκόλουθος, προσ- D
ταχθεὶς δὲ καὶ αὐτὸς καθολικῆς μὲν μάχης μὴ ἅπτεσθαι, εἴργειν

7 ἐγγὺς δὲ αἱ C 17 ποιήσειν τὸ τούτου θέλημα μεθ᾽ ὅρκου C

Nicephorum Bryennium, quem ethnarchem, id est gentium principem, appellavit, ad prohibendas et comprimendas excursiones Patzinacarum mittit. hi enim post Adrianopolis pugnam omnino aspernati Romanos libere ac sine metu Macedoniam et Thraciam diripere, incendere, infantes, vel etiam lac sugentes, interficere, nulla misericordia moti, ita ut etiam pars ipsorum usque ad Catasyrtas qui proxime urbem sunt, venerit. verum hi celerrime perierunt. manu enim imperator hominum armata, collecta ex aulicis custodibus aliisque forte oblatis, ei praeficit Ioannem patricium, cognomine philosophum, unum de eunuchis cubiculariis Zoae Augustae: qui noctu eos ebrios omnes ac sopitos nactus nullo negotio interfecit, et capita eorum curribus rusticis imposita ad imperatorem advexit.

Kegenes ergo egressus legatos ad Patzinacas mittit; qui cum iureiurando confirmassent se ipsius voluntati satisfacturum, credens iuramento ad eos se confert, statimque interficitur, in multa minuta concisus frusta. Bryennius porro copias sibi commissas accipiens, ut Adrianopolin venit, custodiendis locis curam impendit. mittitur etiam universi dux exercitus, Michaelus patricius Acoluthus; cui et ipsi mandatum fuit ut iusto praelio

δὲ καὶ ἀνακόπτειν τὰς ἐκδρομάς. ὃς ἐξελθὼν καὶ τῷ Βρυεννίῳ ἑνωθεὶς ἔργου ἥπτετο, καὶ πρότερον μὲν ἐν Γολόῃ μιᾷ μοίρᾳ τῶν Πατζινάκων περιτυχὼν καὶ ταύτην τρεψάμενος ἠφάνισεν, εἶτα πάλιν ἐν τῷ Τοπλιτζῷ (φρούριον δὲ οὗτος παρὰ τὸν Ἕβρον κείμενον) ἑτέραν ἀποσπάδα μοῖραν τῶν Πατζινάκων εὑρὼν ἀπώλεσεν. ὅθεν εὐλαβηθέντες τὰς τοιαύτας οἱ Πατζινάκαι δυνάμεις τὰ μὲν παρὰ τὰς ὑπωρείας τοῦ Αἵμου κείμενα χωρία ληΐζεσθαι ἀπέσχοντο, πᾶσαν δὲ τὴν ὁρμὴν ἐποιήσαντο κατὰ Μακεδονίας. καὶ πᾶν ὅσον ἦν ἄλκιμον διακριθέντες κατέτρεχον τὰ ἐν Μακεδονίᾳ χωρία, καὶ ἤν τις ἐπίῃ πόλεμος, εὐρώστως αὐτὸν προσδέξασθαι ἐμελέτων.
P 738 ὅπερ μαθόντες ὁ Βρυέννιος καὶ ὁ Μιχαήλ, ἄραντες νυκτὸς ὡς μηδένα συναίσθησιν λαβεῖν ὅποι ἀπίασι, καὶ συντόνῳ χρησάμενοι ὁδοιπορίᾳ ἔρχονται εἰς Χαριούπολιν, καὶ ἐν αὐτῇ εἰσελθόντες μετὰ τοῦ στρατοῦ ἐξεδέχοντο τὸν καιρόν. οἱ δὲ Πατζινάκαι τοὺς ἀγροὺς καὶ τὰ προάστεια ληϊσάμενοι πάντα, καὶ περὶ βουλυτὸν ὑποστρέψαντες ἔγγιστα Χαριουπόλεως, προστίθενται τῇ παρεμβολῇ, ἀγνοοῦντες ὅτι περ ἐπιχωριάζει στράτευμα ὅλως ἐν αὐτῇ· διὸ καὶ ἀδεῶς ἔκειντο ἐν αὐλοῖς καὶ κυμβάλοις κωμάζοντες. νυκτὸς δ' ἐπιγενομένης οἱ περὶ τὸν Βρυέννιον καὶ τὸν Μιχαὴλ ἐξελθόντες καὶ κοιμωμένους καὶ ῥέγχοντας εὑρόντες ἀναιροῦσι σύμ-
B παντας. τοῦτο δὲ τὸ ἀτύχημα συστολὴν καὶ δειλίαν ἐνέθηκε τοῖς Πατζινάκοις. διὸ καὶ τὰς ἐκδρομὰς οὐκ ἀνέτως ὡς τὸ πρότερον, ἀλλὰ μετὰ φειδοῦς ἐποιοῦντο, κατά τε τὴν δ' καὶ ε' ἰνδικτιῶνα.

16 τὴν παρεμβολὴν C 22 τὸ πρὶν C 23 ἰνδικτιῶνος δ' καὶ ς' P

abstinens excursiones hostium reprimeret. is cum Bryennio se coniunxisset, rem gerere incipit. ac primum apud Goloam in cohortem Patzinacarum incidens eam delet. deinde rursum ad Toplitzum, quod est castellum ad Hebrum situm, aliam cohortem Patzinacarum a reliquis avulsam nactus interficit. exinde Patzinacae ab his copiis sibi caventes populari regionem ad radices Aemi sitam cessaverunt, omni impetu in Macedoniam converso: in cuius agros grassabantur delecto robustissimorum exercitu, parati hostes ingruentes defendere. Bryennius et Michaelus his animadversis, noctu motis castris, ita ut nemo sentiret quorsum tenderent, magnis itineribus Chariopolin veniunt; eoque cum exercitu ingressi opportunitatem rei gerendae exspectant. Patzinacae praedis ex agris et suburbiis actis sub vesperam reversi proxime Chariopolin, nescii prorsus in urbe hostilem esse exercitum, in castra sua se conferunt, secure inter fistulas et cymbala comesantes. intendentibus se tenebris, Bryennius et Michaelus egressi eos sopitos stertentesque inveniunt et occidione delent. haec clades Patzinacas repressit, timoremque incussit, ut iam non effuse, ut ante, sed parcius praedas agerent, indictionibus quarta et quinta.

Κατὰ τοῦτον τὸν χρόνον καὶ ἡ Ῥωμανοῦ τοῦ λεγομένου Βοΐλα αἰφνίδιος γέγονεν αὔξησις. οὗτος γὰρ ἐν ταῖς ἑταιρείαις καταπεταγμένος καὶ τὴν γλῶτταν ὑγρὸς ὤν, καὶ δοκῶν κατὰ τοῦτο ἀστεῖος καὶ εὐτράπελος, ἐπεί ποτε εἰς ὄψιν ἦλθε τῷ βασιλεῖ καὶ ὁμιλήσας χαριέστατος ἔδοξε, τὸ ἀπὸ τοῦδε ἀχώριστος ἦν αὐτοῦ διὰ παντός, καὶ τούτῳ ἐχρῆτο καὶ συμβούλῳ καὶ διακόνῳ καὶ ὑπουργῷ πρὸς πᾶσαν ὑπηρεσίαν· ὃν κατὰ μικρὸν ταῖς τιμαῖς προβιβάζων εἰς μέγα ἐξῆρε καὶ ὕψωσεν, ὡς τὰ πρῶτα φέρειν ἐν βασιλείοις. οὗτος ὁ ἀνὴρ εὐμήχανος ὢν καὶ ποικίλος, καὶ τῆς βασιλείας ἐρῶν ἀεί ποτε, ἀπεπειρᾶτο τῶν ὅσοι τῶν συγκλητικῶν προσκεκρουκότες ἦσαν τῷ βασιλεῖ, καὶ τὸ μυστήριον ἀνεκάλυψε. καὶ τούτων ὁπόσοι μὲν ἔτυχον προσδεχόμενοι τοὺς λόγους τῆς ἐπιβουλῆς, ἠρέμα καὶ προσηνῶς ἀντελάμβανε καὶ ὅρκοις ἐξησφαλίζετο· τοὺς ὅσοι δὲ καὶ πρὸς μόνην ἀπεδυσπέτουν τὴν ἀκοήν, ἀποδέχεσθαι προσεποιεῖτο καὶ θαυμάζειν τῆς εἰς τὸν βασιλέα εὐνοίας, καὶ τὰ λεχθέντα δοκιμασίας ἔλεγε ῥηθῆναι χάριν, καὶ ὑπερλαλῆσαι τούτων ἐς τὸν βασιλέα ἐπώμνυτο. τελευταῖον δὲ πολλοὺς διαφθείρας τῶν πολιτῶν καὶ ἐπιβουλὴν ἐξαρτύων ἐφωράθη. καὶ οἱ μὲν ἄλλοι πάντες οἱ αὐτῷ συνομόσαντες κακῶς ἔπαθον ἐτασθέντες καὶ τῶν οἰκείων ὑπάρξεων γυμνωθέντες καὶ ὑπερορίαις παραπεμφθέντες, ὁ δὲ Ῥωμανὸς οὐδὲν πέπονθε φαῦλον· κατὰ μικρὸν γὰρ ἀποστραφέντος αὐτὸν τοῦ βασιλέως, πάλιν συνεχωρήθη καὶ τὴν προτέραν εἶχε κατάστασιν.

2 ἄφιξις C 3 ὢν καταπεταγμένος καὶ τὴν γλῶσσαν C 13 ἠρέμα] ἐτίμα C 19 συνορμήσαντες P 23 ἔσχε C

Per hoc ipsum tempus Romanus Boilas subito est ad summum evectus. is cum in sodalitatibus mereret, homo lingua promptus ac pro urbano et faceto habitus, cum semel in conspectum imperatoris venisset, elegantissimus ex colloquio iudicatus, nunquam ab eo deinde dimissus est, sed eum Monomachus et consiliarium porro et quavis in re ministrum habuit: paulatimque eo evexit ut primum in aula locum obtineret. is ut erat homo versutus atque varius, diuturna imperii cupiditate laborans, quotquot senatorum apud imperatorem in indignatione erant, eorum arcano suo exposito animos tentabat. ac quibus insidiae probabantur, eos sensim ac placide sibi coniungebat iuramentisque devinciebat: qui autem primo etiam auditu ab ea re abhorrebant, eorum probare se atque adeo mirari fidem erga imperatorem simulabat, seque tantum experiendi eorum animos causa ista locutum dicebat, iurabatque se eorum integritatem imperatori laudaturum. cum multos civium corrupisset, iamque insidiaretur imperatori, res detecta est. ac socii quidem conspirationis quaestione agitata male sunt accepti, facultatibus suis spoliati et in exsilium acti: Romanus impunis evasit. nam cum eum imperator paululum modo aversatus fuisset, mox in pristinum restituit locum.

Ὁ δὲ σουλτάνος ἐγκοτῶν, ὡς ἐρρέθη, Ἀβραμίῳ τῷ ἀδελφῷ καὶ διὰ παντὸς ἐπιβουλεύων τῇ τούτου ζωῇ, ἐμελέτα διηνεκῶς ἀνελεῖν αὐτόν. ὅπερ προγνοὺς ἐκεῖνος ἀπέδρα πρὸς Κουτλουμοῦς τὸν ἑαυτοῦ ἀνεψιόν, καὶ ἅμα ἐκείνῳ τὸν κατὰ τοῦ σουλτάνου ἀνα-
P 789 δέχεται πόλεμον. οἷς συμβαλὼν κατὰ τὸ λεγόμενον Πάσαρ ἐκεῖνος τρέπεται, καὶ τὸν μὲν Ἀβράμιον ἀναιρεῖ κατασχεθέντα· ὁ δὲ Κουτλουμοῦς φυγὼν μετὰ χιλιάδων ς' καὶ Μέλεχ τοῦ υἱοῦ τοῦ Ἀβραμίου διαπρεσβεύεται πρὸς βασιλέα, ἱκετεύων προσδεχθῆναι καὶ σύμμαχος καὶ φίλος γενέσθαι Ῥωμαίων. καὶ ἐλθὼν πρὸς τὴν Περσαρμενίαν καὶ τὸ λεγόμενον Κάρσε προσέμενε τὰς τῆς πρεσβείας ἀποκρίσεις· ἐν τῷ μεταξὺ δὲ πολιορκήσας τὸ Κάρσε, πλὴν τῆς ἀκροπόλεως, παρειλήφει τὴν πόλιν. κατόπιν δὲ τούτου διώκων ὁ σουλτάνος ἦλθε μετὰ τῶν αὐτοῦ δυνάμεων ἐν Ἰβηρίᾳ·
B ὅπερ μαθὼν ὁ Κουτλουμοῦς ἔφυγε πρὸς τὰ Σαβᾶ καὶ τὴν εὐδαίμονα Ἀραβίαν. ὁ δὲ σουλτάνος ἐν Ἰβηρίᾳ γενόμενος ἐλῄζετο τὰ παρατυχόντα καὶ ἐπυρπόλει. διὸ καὶ κατὰ σπουδὴν ὁ βασιλεὺς τὸν Ἀκόλουθον Μιχαὴλ μεταπεμψάμενος ἐκ τῆς ἑσπέρας ἐς Ἰβηρίαν ἐκπέμπει· ὃς ἐκεῖ γενόμενος καὶ τοὺς διεσπαρμένους ἔν τε Χαλδίᾳ καὶ Ἰβηρίᾳ Φράγγους καὶ Βαράγγους ἀγηοχώς, κωλύειν ἠπείγετο τὸν ἐνόντα τρόπον τὰς ἐκδρομὰς τοῦ σουλτάνου. ἀλλ' ἐκεῖνος τὴν ὀξεῖαν ἔφοδον τούτου μαθών, καὶ ὅτι λαὸν ἀθροίσας σπεύδει τούτῳ συμπλέκεσθαι, λογισάμενος ὅπερ ἦν εἰκός, τὸ ἑκατέρωθεν τοῦ πράγματος ἄδοξον, καὶ ὅτι νικήσας μὲν δοῦλον

3 κουτλουμούσιν C   7 κουτλουμούσης semper C   υἱοῦ τοῦ] υἱοῦ αὐτοῦ C   12 ἄκρας margo P   14 τὸ σάβα C

Porro sultanus cum, ut diximus, fratri suo Abramio succenseret, adsiduos eius vitae deinceps struxit insidias. quod sentiens Abramius ad Cutlumusum aufugit, suum consobrinum et illo adiuvante bellum sultano facit, qui cum iis congressus praelio apud Pasar victor Abramium comprehensum necavit. Cutlumusus fugiens cum sex milibus et Melecho Abramii filio per legatos petit ab imperatore recipi in fidem societatemque Romanorum; profectusque in Persarmeniam ad Carse responsum legatorum exspectat. interimque Carse oppugnans, dempta arce, capit. hunc a tergo insequens sultanus cum suis copiis in Iberiam venit; ideoque Cutlumusus ad Sabam et felicem Arabiam fugit. sultanus in Iberia obvia quaeque populando atque incendiis vastat. itaque celeriter imperator Michaelum Acoluthum ex Occidente revocatum in Iberiam mittit. qui cum eo venisset, collectis per Chaldiam ac Iberiam dispersis Francis ac Barangis compescere quocunque modo grassationes sultani conatur. sultanus celeri huius adventu cognito, sentiensque velle illum exercitu collecto secum pugna congredi, reputans id quod res erat, utrumque sibi ignominiosum fore, sive vinceret imperatoris ministrum

ἔσται βασιλέως νενικηκώς, νικηθεὶς δὲ οὐ μικρὰν αἰσχύνην ἀποίσεται, ἄρας παντὶ τῷ στρατῷ ἀνέζευξε πρὸς τὸ Ταβρέζιον. C

Τότε δὴ καὶ Μιχαηλᾶς ὁ τοῦ Στεφάνου υἱός, καὶ Τριβαλλῶν καὶ Σέρβων μετὰ τὸν πατέρα καταστὰς ἀρχηγός, σπένδεται τῷ βασιλεῖ, καὶ τοῖς συμμάχοις καὶ φίλοις τῶν Ῥωμαίων ἐγγράφεται, πρωτοσπαθάριος τιμηθείς. ἐπέμφθη δὲ τῷ βασιλεῖ καὶ ἐξ Αἰγύπτου, παρὰ τοῦ ταύτης ἀρχηγοῦ, ζῷον ἐλέφας καὶ καμηλοπάρδαλις. βουλόμενος δὲ ὁ βασιλεὺς τελέως ἀπώσασθαι τοὺς Πατζινάκας, τὰς ὁθενδήποτε δυνάμεις ἀθροίσας ἐκ τῆς ἑῴας καὶ τῆς ἑσπέρας καὶ Μιχαὴλ παραδοὺς τῷ Ἀκολούθῳ, καὶ τὸν σύγκελλον δὲ Βασίλειον τὰ Βουλγαρικὰ στρατεύματα ἀνειληφέναι D κελεύσας, καὶ ἄμφω κατὰ τῶν Πατζινάκων ἐκπέμπει. ὅπερ ἐκεῖνοι πυθόμενοι χάρακα ἐπήξαντο κατὰ τὴν μεγάλην Περισθλάβαν, τάφρῳ βαθείᾳ καὶ σταυρώμασι ταύτην κατοχυρώσαντες. ἀφικομένων οὖν τῶν Ῥωμαίων συγκλείσαντες ἑαυτοὺς ἔνδον τῆς τάφρου ἐπολιορκοῦντο. ἐπεὶ δὲ τοῖς Ῥωμαίοις τηνάλλως ὁ καιρὸς ἐτρίβετο, μηδὲν ὅ τι καὶ λόγου ἄξιον διαπράττουσι, κατέσχε δὲ αὐτοὺς καὶ σπάνις τῶν ἀναγκαίων, βουλὴν προυτίθεσαν περὶ τοῦ πρακτέου, καὶ δόξαν ἅπασιν ὑποστρέψαι, ἀωρὶ τῶν νυκτῶν σιγὴν παραγγείλαντες καὶ τὰς πύλας ἀναπετάσαντες τῆς παρεμβολῆς ὑπεχώρουν. τοῦτο δὲ οὐκ ἔλαθε τὸν Τυράχ, ἀλλὰ μαθὼν ὡς βούλονται φεύγειν, λαὸν ὅτι πλεῖστον τοῦ χάρακος ἐξαγαγὼν ἐν ταῖς διόδοις ἐκπέμπει, ὅπου περ ἔμελλον οἱ Ῥωμαῖοι διέρχεσθαι. P 790

8 τέως ἀποσκευάσασθαι C 13 μεγάλην] λεγομένην C 19 ὑποστρέφειν C

sive ab eo vinceretur, castris motis omni cum exercitu suo ad Tabrezium abit.

Hoc ipso tempore Michaelas Stephani filius, qui post patris mortem Triballorum ac Serborum principatum tenebat, cum imperatore foedus icit, protospathariique decoratus honore in album sociorum ac amicorum imperii Romani adscribitur. mittitur etiam Monomacho ab Aegypti principe elephas et camelopardalis. secundum haec imperator Patzinacas prorsus amoliri cupiens, omnes undique ex Oriente et Occidente copias conducit, iisque Michaelum Acoluthum praeficit; Basilium quoque syncellum Bulgaricos exercitus iubet excitare, et utrumque contra Patzinacas proficisci. nuntiata iis hac re, Patzinacae ad magnam Peristhlabam castra locant, eaque vallo ac fossa communiunt profunda, et Romanis advenientibus in ea includunt, obsidionemque perferunt. Romani, cum tempus in obsidione nullo fructu tereretur iamque etiam penuria laborare inciperent, consultant quidnam esset agendum. placuit obsidionem solvere. itaque imperato silentio intempesta nocte portis castrorum apertis discedunt. neque hoc Tyrachum latuit, sed fugam eos moliri certior factus magnam multitudinem castris emissam vias insidere iubet, qua Romani erant transituri, atque ipse egredientes statim adoritur.

αὐτὸς δὲ ἐξελθοῦσιν εὐθὺς ἐπιτίθεται. καὶ γίνεται τροπὴ τῶν
Ῥωμαίων φρικτή, καὶ οἱ μὲν ὑπὸ τῶν κατόπιν καταλαμβανόμενοι
ἀπεσφάττοντο, οἱ δὲ ὑπὸ τῶν προκατειληφότων τὰς δυσχωρίας
εἰργόμενοι ἀνηλίσκοντο. ἔπεσεν οὖν πλῆθος πολύ, πίπτει δὲ καὶ
αὐτὸς ὁ σύγκελλος, οἱ δὲ λοιποὶ σὺν τῷ Μιχαὴλ ἐν Ἀδριανουπόλει
διασώζονται. περιαλγὴς οὖν ὁ βασιλεὺς γενόμενος ἐπὶ τῷ ἀτυχή-
ματι τούς τε ἐκ τῆς τροπῆς διασωθέντας ἀνελάμβανέ καὶ λαὸν
ἕτερον ἐστρατολόγει καὶ μισθοφόρους συνέλεγε, καὶ ἀβίωτον
B ἡγεῖτο τὸν βίον, εἰ μὴ ἄρδην ἀφανίσει τὸ γένος τῶν Πατζινάκων.
ἀλλ' ἐκεῖνοι δι' αὐτομόλου τοῦτο πυθόμενοι διαπρεσβεύονται πρὸς
τὸν βασιλέα, εἰρήνην αἰτοῦντες. καὶ προσδεξάμενος οὗτος τὴν
πρεσβείαν σπένδεται μετ' αὐτῶν τριακοντούτεις σπονδὰς θέμενος.

Μοναστήριον δὲ οἰκοδομῶν ὁ βασιλεὺς κατὰ τὰ λεγόμενα
Μάγγανα ἐπ' ὀνόματι τοῦ ἁγίου μεγάλου μάρτυρος Γεωργίου, καὶ
ἀφειδῶς τὰ δημόσια καταναλίσκων ἐν ταῖς οἰκοδομαῖς χρήματα,
νῦν μὲν οἰκοδομῶν νῦν δὲ καταστρέφων, εἰς μεγάλην ἤλασεν ἔν-
δειαν, ὡς πᾶσαν ἐπινοῆσαι διὰ τοῦτο καπηλείαν καὶ ἀτόπους καὶ
σεσοφισμένας εἰσπράξεις ἐφευρηκέναι· δημοσίους τε γὰρ προεχει-
C ρίζετο φροντιστὰς ἀσεβεῖς καὶ ἀλάστορας, καὶ δι' αὐτῶν χρήματα
ἐξ ἀδίκων πόρων συνήθροιζε. κατέλυσε δὲ καὶ τὸν Ἰβηρικὸν στρα-
τὸν ἀμφὶ τὰς πεντήκοντα χιλιάδας ἀριθμούμενον διὰ Λέοντος τοῦ
Σερβλίου, καὶ ἀντὶ στρατιωτῶν φόρους πολλοὺς ἐπορίζετο ἀπὸ
τῶν χωρίων ἐκείνων· καὶ ἄλλας πλείους εἰσπράξεις ἐπενοήσατο
πονηρὰς καὶ ἀθέσμους, ἃς καὶ καταλέγειν αἰσχύνη. ὃ δὲ εἰπεῖν

4 ἐρχόμενοι C 9 ἀφανισθείη C 14 μεγαλομάρτυρος?

atrox ibi Romanorum fuit clades, cum alii hostes a tergo insecuti necarent, alii ab iis qui vias occupaverant occiderentur. cecidit magna multitudo, atque ipse etiam syncellus: reliqui cum Michaele Adrianopolin pervenerunt. Monomachus ex hac calamitate ingentem cepit dolorem; et collectis qui evaserant militibus, novisque scriptis cohortibus, conductis etiam mercenariis, bellum reparavit, quod, nisi excidisset Patzinacas, vitam sibi acerbam ducebat. Patzinacae e perfuga quodam eo de instituto facti certiores, missis legatis pacem ab imperatore petierunt. quibus assensit, et inducias triennales pepigit.

Caeterum Monomachus monasterium condens in Manganis quae vocantur, denominandum a martyre Georgio, prodactis modo aedificando modo diruendo iis quae erant in aerario omnibus, ad magnam pecuniae indigentiam decidit. ideoque varia admodum cauponandi genera repperit et absurdas commentitiasque exactiones. nam publicos instituit procuratores, nefarios homines, quorum opera iniustis rationibus pecuniam conficeret; et Ibericum exercitum, qui erat ad 5000, per Leonem Serblium dimisit, ac pro militibus reditus multos iis ex regionibus recepit, multasque alias iniustas et memoratu indignas exactiones excogitavit.

ἐστὶν ἀναγκαῖον, τοῦτο δὴ λέξω, ὅτι περ ἐξ ἐκείνου τοῦ βασιλέως καὶ τῆς ἐκείνου ἀσωτίας καὶ σαλακωνίας τὰ Ῥωμαίων ἤρξατο φθίνειν πράγματα, καὶ ἔκτοτε καὶ μέχρι τῆς δεῦρο κατὰ μικρὸν εἰς τὸ κατόπιν χωροῦντα ἐς παντελῆ κατήντησε τὴν ἀσθένειαν· τὸ γὰρ ἐλευθέριον ἀτέχνως διώκων εἰς ἄκραν ἐληλάκει τὴν ἀσωτίαν. οὐ μήν γε καὶ παντάπασι πράξεων ἀγαθῶν ἐστέρητο, ἀλλὰ φέρον- D
ται καί τινα ἔργα αὐτοῦ ἱστορικῆς μνήμης ἐπάξια. τό τε γὰρ ῥηθὲν μοναστήριον καὶ τὰ ἐν αὐτῷ γηρωτροφεῖα καὶ οἱ ξενῶνες καὶ τὰ πτωχοτροφεῖα ἐπαίνων οὐκ ἀμοιροῦσι, καὶ τὸ γενόμενον ἔργον εἰς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν ἐγκωμίων οὐκ ἀπολείπεται. ἕως ἐκείνου γὰρ ἐν μόναις ταῖς ἐπισήμοις ἑορταῖς ἐν ταύτῃ, ἔτι δὲ καὶ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς ἡμέραις ἡ ἀναίμακτος τῷ θεῷ ἐπετελεῖτο ἱερουργία, ἐν δὲ ταῖς λοιπαῖς οὐδαμῶς ἡμέραις. τοῦτο δὲ ἐγίνετο διὰ προσόδου ἔνδειαν, ἣν οὗτος δαψιλῶς ἀφορίσας καὶ ἀποχρώντως καθ᾽ ἑκάστην τελεῖσθαι τὴν ἱερὰν παρεσκεύασε λειτουργίαν· ὃ καὶ κρατεῖ γινόμενον μέχρις ἡμῶν. καὶ σκεύη δὲ τὰ τῇ ἱερᾷ ἀνειμένα σπονδείᾳ τῇ τοιαύτῃ ἀνέθετο ἐκκλησίᾳ, ἐκ χρυ- P 791
σοῦ καὶ πολυτίμων μαργάρων καὶ λίθων κατεσκευασμένα, μακρῷ παρελάσαντα τὰ λοιπὰ μεγέθει καὶ κάλλει καὶ τιμαῖς. καὶ λοιποῖς ἄλλοις κειμηλίοις οὐκ ὀλίγοις ταύτην ἐφαίδρυνε. καὶ τὰ μὲν ἐκείνου ταῦτα.

Ἐνέσκηψε δὲ καὶ λοιμικὴ νόσος τῇ βασιλίδι κατά τε τὴν ζʹ καὶ ηʹ ἰνδικτιῶνα, ὡς μὴ ἐξισχύειν τοὺς ζῶντας ἐκφέρειν τοὺς τεθνεῶτας. ἠνέχθη δὲ κατὰ τὸ θέρος τῆς ζʹ ἰνδικτιῶνος μέγιστόν

3 τοῦ νῦν C   9 ἔργον] μέγιστον ἔργον C   13 θυσία C
16 μέχρι τῆς σήμερον C   17 ταύτης C   19 τιμῇ C

id quidem tacere non possum, huius imperatoris luxuria ac libidine factum esse ut res Romana decresceret atque inde paulatim contabescens ad extremam deducta sit imbecillitatem. nam dum inepte studet esse liberalis, ad extremum prodigalitatis est prolapsus. neque tamen prorsus nihil boni fecit, sed feruntur quaedam ipsius opera digna quae in historiam referantur. nam id quod dixi monasterium, et quae in eo sunt ad senes peregrinos mendicosque alendos aedificia, nonnullam merentur laudem. ad id tempus tantum insignioribus solennitatibus in magno dei templo et in sabbatis ac dominicis diebus incruentum sacrificium peragebatur, reliquis diebus nequaquam: omittebatur enim ob redituum defectum. hunc Monomachus liberaliter supplevit, ut quotidie missa celebraretur eo in templo; laudabili sane instituto, quod hodieque obtinet. quin et vasa ad hoc pertinentia sacramentum ei templo dedicavit, aurea, pretiosisque ornata unionibus et gemmis, quae magnitudine pretio ac pulchritudine aliis antecellerent; multisque aliis donariis istud templum exornavit.

Indictionibus 7 et 8 tanta fuit in urbe pestis ut mortuis efferendis vivi non sufficerent. et septimae indictionis aestate magna vis grandinis

τι χρῆμα χαλάζης, καὶ πολλὰ ὑπ' αὐτοῦ οὐ ζῷα μόνον ἀλλὰ καὶ ἄνθρωποι διεφθάρησαν. ὁ δὲ βασιλεὺς κατεχόμενος ὑπὸ τῆς
B συνήθους νόσου τῆς ποδάγρας ἔκειτο ἐν τῇ παρ' αὐτοῦ νεουργηθείσῃ μονῇ τῶν Μαγγάνων. ἐπεὶ δὲ καὶ ἕτερον ἐπηκολούθησε σύμπτωμα καὶ ἤδη ὁ θάνατος ἤγγιζεν, ἐσκέπτοντο οἱ τὰ πρῶτα ἐν βασιλείοις φέροντες, ὁ λογοθέτης Ἰωάννης, ὃν ὁ βασιλεὺς παραδυναστεύοντα εἶχε, παρωσάμενος τὸν Λειχούδην, ὁ πρωτονοτάριος τοῦ δρόμου ὁ Κωνσταντῖνος, ὁ ἐπὶ τοῦ κανικλείου Βασίλειος, καὶ οἱ λοιποὶ οἱ ἄλλως αὐτῷ προσῳκειωμένοι, τίνα δὴ ἐς τὸν βασίλειον καθιδρύσουσι θρόνον. ἔδοξεν οὖν ἅπασιν ἐπιτήδειος εἰς τοῦτο Νικηφόρος ὁ Πρωτεύων. καὶ δὴ πέμπεται ταχυδρόμος ἐν Βουλγαρίᾳ, ἄξων αὐτὸν ἐκεῖθεν· ἔτυχε γὰρ τότε τὴν τῆς Βουλγαρίας περιεζωσμένος ἀρχήν. ἀλλὰ τοῦτο γνόντες οἱ τῇ
C Θεοδώρᾳ τῇ βασιλίδι ὑπηρετούμενοι (ἡ Ζωὴ γὰρ ἤδη προκατέστρεψε τὴν ζωήν), ὅ τε Νικήτας ὁ Ξυλινίτης, Θεόδωρος καὶ Μανουήλ, δρόμωνι αὐτὴν ἐμβιβάσαντες ἄγουσιν εἰς τὰ τοῦ μεγάλου παλατίου ἀνάκτορα καὶ αὐτοκράτορα ἀναγορεύουσι. καὶ ὁ μὲν βασιλεὺς ἀποθανὼν κατὰ τὴν ια' τοῦ Ἰανουαρίου μηνός, τῆς η' ἰνδικτιῶνος, τοῦ ,ϛφξγ' ἔτους, ἐν τοῖς Μαγγάνοις ταφῆς ἔτυχε τῆς τυχούσης, οἱ δὲ περὶ τὴν βασιλίδα πέμψαντες ἐπέσχον τὸν Πρωτεύοντα ἐν Θεσσαλονίκῃ, κἀκεῖθεν ἀπάγουσιν εἰς τὸ Θρακήσιον ἐν τῇ μονῇ τοῦ Κουζηνοῦ, κἀκεῖσε περιορίζουσι.

D Τὴν προγονικὴν δὲ παραλαβοῦσα βασιλείαν ἡ Θεοδώρα εὐθὺς μὲν μέτεισι τοὺς ὅσοι βασιλεῦσαι τὸν Πρωτεύοντα ἐβουλεύ-

15 ξυλινιώτης P 16 αὐτὸν C 22 κουζηνᾶ C

delata, multa animalia atque etiam homines interfecit. at imperator consueto podagrae morbo afflictus, cum decumberet in Manganorum monasterio a se recens condito, ac praeterea aliud malum accessisset, iamque mors instare videretur, de successore eius deliberatum est inter aulae proceres. hi erant Ioannes logotheta, quem detruso Leichuda rerum administrandarum socium adsciverat imperator, protonotarius dromi Constantinus, Basilius caniclei praefectus, et reliqui eius necessarii. omnibus visus est aptissimus Nicephorus Proteuon (quasi primatem diceres), mittiturque ad eum cursor in Bulgariam, cui tum praeerat provinciae, qui ad urbem eum evocaret. quod ubi compererunt Augustae Theodorae (nam Zoe iam tum obierat) administri Nicetas Xyliniota, Theodorus et Manuelus, celoci eam impositam in magni palatii regiam deducunt et Augustam declarant. Monomachus ergo cum diem suum obiisset, in Manganis magnifice sepultus est. Augusta autem misit qui Proteuontem Thessalonicae detinerent: inde in monasterium Cuzeni eum abducunt in Thracesi, atque eo relegant.

Theodora avito imperio potita statim eos ulciscitur qui imperium in

σαντο, τῶν ὑπαρχόντων ψιλώσασα καὶ ὑπερορίσασα. προβιβάζει δὲ καὶ τοὺς εὐνούχους αὐτῆς ἅπαντας εἰς τὰς μεγίστας ἀρχάς, δομέστικον μὲν τῶν σχολῶν τῆς ἀνατολῆς τὸν Θεόδωρον πρόβαλομένη, καὶ εἰς τὴν ἑῴαν ἐκπέμψασα ἐφ' ᾧ τὰς ἐκδρομὰς τῶν Τούρκων κωλύειν, τὸν μάγιστρον Ἰσαάκιον τὸν Κομνηνὸν μετακινήσασα τῆς στρατοπεδαρχίας. ἔτυχε γὰρ ὁ Μονομάχος διαπεραιωσάμενος πάσας ἐν ἑῴᾳ τὰς Μακεδονικὰς δυνάμεις, ἀρχηγοὺς ἐχούσας ἅπαντας Μακεδόνας, ὧν εἷς ἦν καὶ ὁ Βρυέννιος· ἐφέρετο γὰρ ἐν Τούρκοις λόγος ὡς εἴη πεπρωμένον καταστραφῆναι τὸ Τούρκων γένος ὑπὸ τοιαύτης δυνάμεως ὁποίαν ὁ Μακεδὼν Ἀλέξανδρος ἔχων κατεστρέψατο Πέρσας. προεβάλετο δὲ καὶ λογοθέτην τοῦ δρόμου τὸν Νικήταν, καὶ δρουγγάριον τῆς βίγλας τὸν Μανουήλ. προσελάβετο δὲ διὰ πολυπειρίαν εἰς τὸ τὰ κοινὰ διοι- P 792
κεῖν τὸν σύγκελλον Λέοντα τὸν λεγόμενον Στραβοσπόνδυλον, τὸν πάλαι τῷ βασιλεῖ Μιχαὴλ ὑπουργήσαντα. καὶ τὰ μὲν τῆς πόλεως ἐφέρετο τῇδε, ὁ δὲ Βρυέννιος τὸν τοῦ βασιλέως ἐνωτισθεὶς θάνατον, ἄρας μετὰ τῶν Μακεδόνων, κάτεισιν ἐν Χρυσουπόλει. καὶ τοῦτον μὲν ἡ βασιλίς, ὅτι ἀσυντάκτως ὑπεχώρησε, κατασχοῦσα δημεύει καὶ εἰς ἐξορίαν ἐκπέμπει, τὸν δὲ λαὸν ὑποστρέψαι εἰς τοὐπίσω παρασκευάζει. ὅλην οὖν τὴν θ' ἰνδικτιῶνα τοῦ ͵ςφξδ'

14 λεγόμενον om C 15 post ὑπουργήσαντα C: ἀλλὰ καὶ Λέοντος τοῦ Βουλγάρων ἐπισκόπου κοιμηθέντος προεχειρίσατο Θεόδουλον μοναχόν, ἐξ Ἰκονίου μὲν ὡρμημένον, πόλεως τετραπόλεως, ἡγούμενον δὲ τυγχάνοντα τῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μωκίου, τῆς μὲν θύραθεν σοφίας τὸ παράπαν ἄγευστον, τῆς δέ γε θείας εἰς ἄκρον ἐληλακότα, καὶ ταῖς ἐξ αὐτῆς χάρισι καὶ ἀρεταῖς κατάκοσμον.

Nicephorum voluerant transferre, fortunis eos suis multans et relegans. eunuchis autem suis praecipuos magistratus commendat. domesticum Orientis scholarum creat Theodorum, et in Orientem ad grassationes Turcorum cohibendas mittit, praefectura castrorum adempta magistro Isaacio Comneno. etenim Monomachus omnes Macedonicas legiones in Orientem traiecerat, ducibus omnibus Macedonibus, e quibus fuit etiam Bryennius: nam inter Turcos ferebatur rumor esse in fatis, ut gens Turcica a tali opprimatur exercitu quali usus Alexander Macedo Persas subegit. eadem dromi logothetam fecit Nicetam, et drungarium vigiliae Manuelum. et ob rei publicae administrandae peritiam adscivit Leonem Strabospondylum, qui olim Michaelo imperatori minister fuerat. at Bryennius Monomachi mortis nuntio accepto cum Macedonibus Chrysopolin profectus est. quem Augusta, quod iniussu ipsius discessisset, captum facultatibus suis spoliavit et relegavit: milites, unde venerant, redire iussit. cum ergo totam indictionem nonam, id est annum mundi

ἔτους βιώσασα ἡ βασιλίς, καὶ περὶ τὰ τέλη τοῦ Αὐγούστου μηνὸς B τῆς αὐτῆς ἰνδικτιῶνος εἰλεῷ νοσήματι περιπεσοῦσα ἀπέθανεν.

Οἱ δὲ ταύτης εὐνοῦχοι σὺν τῷ συγκέλλῳ Λέοντι ἀναβιβάζουσιν εἰς τὸν τῆς βασιλίδος θρόνον, ἔτι ψυχορραγούσης ἐκείνης, Μιχαὴλ πατρίκιον τὸν Στρατιωτικόν, ἄνθρωπον ἐκ Βυζαντίου μὲν ὁρμώμενον, ἀφελῆ δὲ καὶ ἀποίκιλον καὶ μόνοις τοῖς στρατιωτικοῖς ἐκ παίδων ἀπασχοληθέντα καὶ πλέον ἄλλο εἰδότα μηδέν, καὶ ἤδη παρηβηκότα καὶ τῆς πρεσβυτικῆς ἁψάμενον ἡλικίας, ᾗ τινὶ συμφέρειν τὴν ἀπραγμοσύνην Ἀρχίλοχος ὁ ποιητὴς ἀπεφήνατο. τοῦτο δὲ πεποιήκασιν, ἵνα σχῆμα μόνον καὶ ὄνομα αὐτὸς ἔχῃ τῆς βασιλείας, αὐτοὶ δὲ διεξάγωσιν ὡς βούλονται τὰ κοινὰ καὶ πάντων τυγχάνωσι κύριοι, ἐπομοσαμένου πρότερον καὶ αὐτοῦ C μηδέν τι πρᾶξαί ποτε τῆς ἐκείνων δίχα γνώμης τε καὶ θελήσεως.

Ἀναρρηθέντος δὲ τοῦ Μιχαὴλ αὐτοκράτορος κατὰ τὴν λα' ἡμέραν τοῦ Αὐγούστου μηνός, τῆς θ' ἐπινεμήσεως, Θεοδόσιος πρόεδρος ὁ τοῦ πατραδέλφου τοῦ βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου υἱός, πυθόμενος τὴν ἀνάρρησιν καὶ δεινοπαθήσας, καὶ μὴ βουλευσάμενος μηδὲ λογισάμενος τὴν τοῦ ἔργου δυσχερείαν καὶ ἀπότευξιν, μηδ' οἷον κύβον μέλλει ἀναρριπτεῖν, ἀνειληφὼς τοὺς οἰκογενεῖς καὶ δούλους καὶ τοὺς ἄλλως ὑπηρετουμένους αὐτῷ, πολλοὺς δὲ καὶ τῶν γειτόνων καί τινας τῶν συνήθων, ὅσοι περ ἦσαν τὰς φρένας κουφότεροι, ἄρας περὶ δείλην ὀψίαν ἐκ τῆς

2 ἰλεοῦ C   post ἀπέθανεν C: κατὰ τὴν λα' τοῦ Αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος, τοῦ ,ςφξε' ἔτους, βασιλεύσασα ἔτος ἓν μῆνας ζ' ἡμέρας κ'.   8 παρηκμακότα C   9 ὁ ποιητὴς ἀρχίλοχος ἔφησε C   19 ἀναρριπεῖν C   22 γνώμας C

6564 vixisset Theodora, sub exitum Augusti mensis eiusdem anni tenuis intestini morbo necata est.

Eunuchi autem ipsius et Leo syncellus imperatorem declarant, ipsa etiamnum animam agente, Michaelum Stratioticum, hominem Byzantii natum, simplicem atque innocuum, et a puero in bellis tantum versatum, nulliusque praeterea rei gnarum, iamque aetate ad senectam provecta, cui otium optime congruere Archilochus pronuntiavit. id autem eo consilio fecerunt, ut illo nomen et speciem imperii gerente ipse suo arbitratu rem publicam administrarent omniumque potestatem penes se haberent, iurato prius isto nihil se ipsis nesciis aut nolentibus acturum.

Declaratus est Michaelus imperator ultima Augusti die, indictione nona. quod ubi comperit Theodosius praeses, patruo Monomachi natus, aegerrime tulit. et non considerata rei quam aggrediebatur difficultate, et in quantum se ipsum discrimen adduceret, collectis vernis suis et servis atque ministris, multisque etiam vicinorum et familiarium, qui animo erant leviori, vespertino crepusculo ab aedibus suis (eae erant

οἰκίας (κεῖται δὲ αὕτη περὶ τὸ λεγόμενον Λεομακέλλιον) πρόεισι D
διὰ τῆς πλατείας ὡς εἰς τὸ παλάτιον, ἀγανακτῶν καὶ δυσχεραίνων, καὶ τὴν ἀδικίαν ὡς ἂν τὰ ἔσχατα ἠδικημένος πρὸς τοὺς παρατυχόντας ἐπιβοώμενος, καὶ τὴν βασιλείαν ἀνακαλούμενος ὡς κληρονομιαῖον τάχα κτῆμα καὶ αὐτῷ προσῆκον ὡς μᾶλλον τῶν ἄλλων ἐγγύτατα ἔχοντι αἵματος πρὸς τὸν ἀπελθόντα βασιλέα. ὡς δὲ ἐγένετο κατὰ τὸ πραιτώριον, διαρρήξας τὰς πύλας τῆς φυλακῆς ἐξάγει τοὺς καθειργμένους, ἐλπίσας οἶμαι δι' αὐτῶν μέγα τι διαπράξασθαι καὶ γενναῖον. τὸ δὲ αὐτὸ τοῦτο καὶ ἐν Χαλκῇ φθάσας ἐποίει. ἀλλὰ τῆς ἐπαναστάσεως τοῖς ἐν τοῖς βασιλείοις γνωσθείσης εὐνούχοις, ταχὺ μὲν οἱ φυλάσσοντες ἐν τῷ παλατίῳ στρατιῶται Ῥωμαῖοί τε καὶ Βάραγγοι (γένος δὲ Κελτικὸν οἱ Βάραγγοι μισθοφοροῦντες Ῥωμαίοις) καθοπλίζονται, ταχὺ δὲ καὶ οἱ ἐν ταῖς βασιλικαῖς ὑπηρετοῦντες τριήρεσιν ἠγείροντο. καὶ χεὶρ ἱκανὴ P 793
συνηθροίσθη καὶ κατὰ τοῦ Θεοδοσίου ἔμελλε πέμπεσθαι. ὁ δὲ τοῦτο πυθόμενος, ἐκκλίνας τοῦ πρὸς τὸ παλάτιον ἀπιέναι, ὑποστρέφει πρὸς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν· ἤλπισε γὰρ ὡς εἰσελθόντα τοῦτον ἐν αὐτῇ ὁ πατριάρχης τε καὶ ὁ κλῆρος προσδέξεται, καὶ λαὸς ἀθροισθήσεται πλεῖστος, καὶ βασιλέα ἀναγορεύσουσι. ταῦτα δὲ πάντα αὐτῷ εἰς τοὐναντίον ἀπέβη. ὅ τε γὰρ πατριάρχης καὶ ὁ τῆς ἐκκλησίας κλῆρος ἐρχομένῳ τὰς ταύτης ἀποκλείουσι πύλας, καὶ οἱ συνήθως ἐν τοῖς τοιούτοις χαίροντες καὶ συντρέχοντες ἦσαν οὐδαμοῦ, καὶ οἱ πυρεπόμενοι τούτῳ μέχρις B
ἐκείνου τοῦ τόπου, μαθόντες τὴν μέλλουσαν πέμπεσθαι δύναμιν

3 παρόντας C 10 ἐποίησεν C ἐν τῇ βασιλίδι C 13 ἐν om C

ad Leomacellium, quod populi macellum licet interpretari) per plateas palatium versus processit, vociferans extremam sibi iniuriam fieri, deque ea obviis quibusdam conquestus, quod sibi sanguine defunctum imperatorem proxime attingenti imperium hereditatis iure ad se devolutum eriperetur. cum ad praetorium pervenisset, custodiae perruptis portis captivos emisit, sperans nimirum eorum auxilio se aliquid praeclari effecturum. idemque in Chalce fecit. eunuchi in palatio seditione annuntiata celeriter palatii custodes milites cum Romanos tum Baraugos mercenarios armant. mox etiam triremium imperatoriarum ministri instruuntur, colligiturque ita agmen haud exiguum, quod contra Theodosium mitteretur. is ubi hoc percepit, omissa ad palatium via ad magnum dei templum deflectit, sperans se eo ingressum a patriarcha et clero acceptum iri, plurimosque concursuros qui ipsum imperatorem salutarent. verum ei plane diversum evenit: nam venienti patriarcha et clerus templi fores obdiderunt; neque aderant uspiam ii qui ad tales res utpote ipsis gratas concurrere solebant; et qui ipsum eo usque co-

κατ' αὐτῶν, κατὰ μικρὸν ὑπορρέοντες, ἐσκεδάσθησαν, καὶ λοιπὸν ἔρημος πάντων καταλειφθεὶς ἱκέτης ἐλεεινὸς μετὰ τοῦ παιδὸς πρὸς τὴν ἐκκλησίαν καθίζει· ὃν εὐθὺς ἀποστείλαντες ἐξάγουσι τῆς ἐκκλησίας καὶ ἐξορίζουσιν ἐν Περγάμῳ. τὸ δ' αὐτὸ τοῦτο καὶ εἰς τοὺς ἐμφανεστέρους τῶν αὐτῷ συναπαχθέντων ἐποίησαν. καὶ τὸ ἀπὸ τούτου ὁ Μιχαὴλ ἀναμφισβητήτως ἀνηγορεύετο αὐτοκράτωρ.

Παραλαβὼν δὲ τὰς ἡνίας τῆς βασιλείας πάντας μὲν τοὺς λογάδας τῆς συγκλήτου εἰς βαθμοὺς ἀξιωμάτων ὑψηλοτέρους ἀνήγαγε, καὶ τὸν δῆμον ὑποσχέσεσιν ὑπεποιεῖτο πολλῶν ἀγαθῶν·
C ὡς ὢν δὲ κάρτα γέρων καὶ πολλῶν μεμνημένος ἀρχαίων, ἐπεβάλλετο καὶ πολλὰ τῶν παλαιῶν σχολάσαντα ἐθίμων ἐπανακτήσασθαι, μηδὲν πρὸς λυσιτέλειαν συντελοῦντα τῆς βασιλείας ἢ τοῦ κοινοῦ. τό τε γὰρ λεγόμενον στρατήγιον ἀνακαθαίρεσθαι ἐκέλευσε, πρὸς ὅπερ ἀποσκώπτοντες οἱ πολῖται ἔφασκον ὡς τὸν οἰκεῖον ἀστράγαλον ἀναζητῶν, ὃν ἐκεῖσε παίζων ἀπώλεσεν, ἐκκαθαίρει τὸν χοῦν, καὶ τὰς τῶν πολιτῶν κεφαλὰς σκέπεσθαι μὴ δι' ἀγραμμάτων, ὡς νῦν, ἀλλὰ διὰ μεγαλογράμμων ὀθονίων ἐκ βυσσοῦ πορφυρᾶς ἐξυφασμένων· καὶ δημοσίους φροντιστὰς οὐ συγκλητικοὺς προεβάλλετο, ἀλλά τινας τῶν ἐν ἑκάστῳ ἀρχείῳ ἐναυξηθέντων ταχυγρά-
D φων. καὶ ἄλλα πολλὰ τοιαῦτα, ὧν τὸ καθ' ἕκαστον καταλέγειν θελήσας προσκορὴς γενήσομαι τοῖς ἀκροαταῖς. ἐπεὶ δὲ ὁ καιρὸς ἐπέστη τῆς βασιλικῆς φιλοτιμίας, ἣν διανέμειν ἐτησίως κατὰ τὸν

16 νοῦν C 22 post ἀκροαταῖς C: καὶ διετέλεσεν οὕτως ἀφελῶς καὶ ἀτέχνως ἰθύνων τὰ σκῆπτρα καὶ κυβερνῶν 23 βασιλικῆς om C

mitati fuerant, missum contra iri exercitum audientes, paulatim dilapsi sunt. tandem ab omnibus desertus, miserabilis supplex cum filio ad templum consedit, statimque ex eo abreptus Pergamum soli vertendi causa coactus est ire. eodem modo puniti etiam praestantiores alii, qui se ipsi adiunxerant.

Stratioticus nemine repugnante iam imperio potitus delectos senatores quemque ad maiorem extollendo dignitatem, populum beneficiorum pollicitationibus demeruit. cum autem esset admodum senex multaque antiqua recordaretur, multas veterum consuetudinum reducere intendit, nihil vel imperio vel rei publicae profuturas. quorum fuit, quod praetorium expurgari iussit, quod factum iocose subsannantes cives dicebant quaerere eum taxillum suum quem aliquando ludens ibi perdiderat, ideoque averrere pulverem; quod civium capita non literis, ut nunc, sed byssinis pileis, magnis lineis purpureis intertextis, tegi voluit; quod procuratores publicos non ex senatu delegit, sed alios scribarum e numero velocium, in singulis archivis educatorum. quae si omnia velim recitare, satietatem auditoribus attulero. postquam tempus appetiit imperatoriae largitionis, quam exercere in senatum imperatores quotannis

καιρὸν τοῦ πάσχα πρὸς τὴν σύγκλητον εἰώθασιν οἱ βασιλεῖς, καὶ πάντες εἰσῆλθον οἱ τοῦ στρατοῦ ἡγούμενοι καὶ γένει καὶ ἀνδρίᾳ ὠνομασμένοι, — ἦσαν δὲ ὅ τε μάγιστρος Ἰσαάκιος ὁ Κομνηνὸς καὶ ὁ μάγιστρος Κατακαλὼν ὁ Κεκαυμένος (δοὺξ δὲ οὗτος ἦν Ἀντιοχείας, καὶ παραλυθέντα τοῦτον τῆς ἀρχῆς διεδέξατο Μιχαὴλ ὁ τοῦ βασιλέως ἀνεψιός, ὃν ἅμα τῇ ἀναρρήσει Οὐρανὸν κατονομάσας ὡς δῆθεν εἰς τὸν παλαιὸν Οὐρανὸν ἀναφέροντα τὸ γένος, καὶ μάγιστρον Ἀντιοχείας, ὥσπερ ἦν ἐκεῖνος, τιμήσας διάδοχον ἐκπέμπει τῷ Κεκαυμένῳ), Μιχαήλ τε βεστάρχης ὁ Βούρτζης, Κωνσταντῖνος καὶ Ἰωάννης οἱ ἐκ τοῦ γένους τῶν ἑῴων τοῦ δουκὸς καταγόμενοι, καὶ οἱ λοιποὶ λογάδες τῶν ἀρχόντων. συνέδραμον P 794 δὲ πάντες, ἵνα καὶ τὸν νέον βασιλέα θεάσωνται καὶ τῶν ἀπ' αὐτοῦ τύχωσι φιλοτιμιῶν· διεδόθη γὰρ πρὸς ἅπαντας τὸ προετικὸν ἐκείνου καὶ πρὸς τὰς εὐεργεσίας μεγαλοπρεπές τε καὶ ἐλευθέριον. ἐς λόγους δ' ἐλθὼν ὁ βασιλεὺς τῷ Κομνηνῷ καὶ τῷ Κεκαυμένῳ, καὶ ἐπαινέσας μὲν αὐτοὺς καὶ στρατηγοὺς γενναίους καὶ ἀγαθοὺς ὀνομάσας, καὶ μᾶλλον τὸν Κεκαυμένον ὡς μὴ ἐκ πατέρων μηδ' ἐκ προσπαθείας τινὸς ἀλλ' ἐξ οἰκείων ἀνδραγαθημάτων πρὸς ἣν ἐκέκτητο τοῦ ἀξιώματος ἀναχθέντα καθέδραν, τὸ αὐτὸ δὲ καὶ πρὸς τοὺς ἄλλους τῶν εὐγενῶν ποιήσας, μηδενὸς δὲ θελήσας ἐκπληρῶσαι B βούλησιν, μηδ' εἰς τὸ τῶν προέδρων ἀξίωμα τὸν Κομνηνὸν καὶ τὸν Κεκαυμένον, ὡς ᾐτοῦντο, ἀναγαγεῖν κατανεύσας, ἀλλὰ καὶ πάντων τὰς δεήσεις ἀπράκτους ἀποπεμψάμενος, ἅπαν-

10 τῶν ἑῴων om C   15 δ' om C   17 μὴ δὲ προσπ. C
21 βούλησιν] θέλημα C

festo paschatis tempore consueverant, ingressi sunt ad eum omnes exercituum duces, generis nobilitate et fortitudine illustres. hi erant magister Isaacius Comnenus, magister Catacalo Ambustus (huic, cum esset dux Antiocheae, magistratum abrogarat Stratioticus, et Michaelum patruelem suum in eius locum suffecerat; quem, ut primum imperator factus fuit, Uranum denominaverat veluti ab antiquo illo Urano genus ducentem), Michaelus Bestarches Burtza, Constantinus et Ioannes, genus a duce orientalium trahentes, aliique multi ducum lectissimi. omnes autem concurrebant, ut novum viderent imperatorem et eius beneficentia fruerentur: nam eius liberalitas atque magnificentia passim fuerat celebrata. imperator cum Comneno et Ambusto colloquens eos laudavit, bonos fortesque duces appellans, maxime Ambustum, qui non parentum nobilitate aut favore adiutus aliquo, sed suis praeclaris factis ad tantam dignitatem conscendisset. eodem modo alios quoque nobiles tractavit, nullius interim voluntati morem gerens, neque praesidum petentes dignitatem Comnenum ac Ambustum voti compotes, sed omnium petitiones

τας ἠρέθισε κατ' αὐτοῦ. καὶ πρὸς μὲν τοὺς ἑῴους στρατηγοὺς διετέθη οὕτως.

Τὸν δὲ Βρυέννιον τῆς ὑπερορίας μεταπεμψάμενος καὶ ἄρχειν τάξας Καππαδοκῶν στρατηγὸν αὐτοκράτορα προχειρίζεται τῶν Μακεδονικῶν ταγμάτων καὶ κατὰ Τούρκων ἐκπέμπει· Τοῦρκος γάρ τις τὴν κλῆσιν Σαμούχ, τὸ γένος οὐκ ἐπίσημος, πρὸς δὲ τὰ πολεμικὰ γενναῖος καὶ ἐνεργός, τῷ σουλτάνῳ συστρατευσάμενος C ὁπηνίκα τὴν δευτέραν εἰσβολὴν κατὰ Ῥωμαίων ἐποιήσατο, ἐκείνου ὑποστρέψαντος ἐν Περσίδι αὐτὸς τῷ τόπῳ παρέμεινε μετὰ τρισχιλίων ἀνδρῶν, καὶ περιπλανώμενος ἐν ταῖς πεδιάσι καὶ τοῖς ὑπτίοις τόποις τῆς μεγάλης Ἀρμενίας, καὶ αἰφνιδίους ποιούμενος ἐκδρομάς, κακῶς διετίθει τὰ Ῥωμαίων καὶ ἐληΐζετο. ἀλλ' οὐδὲ τοῦτον θεραπεῦσαι ἴσχυσεν ὁ βασιλεύς· ἦν γὰρ ἀφυέστατος εἰς τὸ θωπεῦσαι καὶ καταδημαγωγῆσαι ἀνθρώπους περιυβρισθέντας καὶ λανθάνοντα κότον ἐν τῇ ψυχῇ περιφέροντας. τοῦ γὰρ Βρυεννίου λιπαρῶς ἱκετεύοντος ἀποδοθῆναί οἱ καὶ τὰ χρήματα ὁπόσα ἀφείλετο ἀπ' αὐτοῦ Θεοδώρα ἡ βασιλίς, οὐκ ἐπήκουσεν, ἀλλ' ἐκτενῶς D δυσωποῦντα περὶ τούτου καὶ ἱκετεύοντα, τὸ δημῶδες τοῦτο καὶ κατημαξευμένον εἰπὼν μόνον "δεικνύων ἔργα ἀπαίτει μισθούς," ἀπεπέμψατο. οὕτω δὲ παροραθεὶς καὶ ὁ Βρυέννιος ἀπῄει δεινὰ στρέφων ἐν ἑαυτῷ καὶ καιρὸν ζητῶν ἐκδικήσεως.

Παραπλησίως δὲ διετέθη καὶ πρὸς Ἐρβέβιον τὸν Φραγγόπωλον, ἄνδρα συστρατευσάμενόν τε τῷ Μανιάκῃ ἐν Σικελίᾳ καὶ

5 κατὰ] κατὰ τῶν C   16 ἀφείλατο C

irritas reddens, et eo ipso adversum se irritans eorum animos. atque hoc modo orientales ductores tractavit.

Bryennium autem ab exsilio revocavit ac Cappadocibus praefecit, plenoque cum imperio Macedonicis legionibus praepositum in Turcos emisit. etenim Turcus quidam, Samuchus nomine, obscuris natalibus sed bello egregius, sub sultano militans cum is alteram in Romanos impressionem fecit, eo in Persidem reverso cum tribus milibus locum tenuit, atque hinc inde vagans in planis atque humilibus maioris Armeniae locis subitis incursionibus dicionem Romanam vexabat. sed huius quidem animum non placavit homo blandiendi ac comitate demulcendi eos qui atrocibus affecti iniuriis occultam in animo iram gerunt ignarissimus. magnopere enim obsecrante Bryennio ut bona etiam sibi sua, quae ipsi Theodora eripuerat, redderentur, non assensit; ac urgentem vehementius, vulgare illud et protritum fatus, confecto opere demum esse exigendam mercedem, dimisit. Bryennius hoc modo spretus discessit animo exasperato, vindictae occasionem exspectaturus.

Eundem se imperator gessit erga Erbebium Francopullum, qui vir in Sicilia Maniacae in bello socius fuerat, ac praeclara statuerat tro-

μεγάλα τρόπαια στήσαντα καὶ ἀπ' ἐκείνου καὶ ἕως τούτου Ῥωμαίοις εὔνουν φαινόμενον. παρακαλοῦντα γὰρ καὶ αὐτὸν καὶ ἱκετεύοντα τῆς τῶν μαγίστρων τιμῆς τυχεῖν οὐ μόνον οὐκ ἠξίωσε λόγου, ἀλλὰ καὶ πολλὰ χλευάσας καὶ μυκτηρίσας ἀπεπέμψατο. καὶ οὕτως ἦν ἀφυὴς καὶ δυσπρόσοδος περὶ τὰς ἐντεύξεις. ὁ δὲ Ἐρβέβιος, οἷα βάρβαρος καὶ τὴν ὀργὴν ἀκατάσχετος, οὐ μετρίως ἐνεγκὼν τὴν ὕβριν, ἀγνοῶν δὲ καὶ τὴν μελετωμένην παρὰ τῶν P 795 Ῥωμαίων σκευήν, οὐκ ἐκαρτέρησεν, ἀλλὰ σπουδάζων ἀμύνασθαι τὸν ὑβριστήν, ἐξαιτησάμενος ἐπ' οἴκου πορευθῆναι καὶ ἀφεθείς, τῷ βασιλεῖ προσειπὼν τὰ ἐξιτήρια, ἐξῆλθεν εὐθύς, καὶ πρὸς τὴν ἑῴαν περαιωθεὶς ἀνῆλθεν ἐν τῇ κατὰ τὸν Ἀρμενιακὸν οἰκίᾳ αὐτοῦ, τῇ Δαβαράμῃ. καὶ κοινολογησάμενός τισι τῶν Φράγγων ἐκεῖσε τότε διεσπαρμένοις οὖσιν εἰς παραχειμασίαν, καὶ τριακοσίους ἄνδρας ἐκ τούτων ὑποφθείρας, ἀπῆρεν ἐκεῖθεν, καὶ ἀνελθὼν ἐν Μηδίᾳ κοινοπραγεῖ τῷ Σαμούχ, ἐκεῖσε ἐνδιατρίβοντι, ὥστε πολεμεῖν Ῥωμαίοις. καὶ χρόνον μέν τινα ἀσάλευτος ἔμεινεν ἡ ὁμολογία· προσκρούσματος δέ τινος μεταξὺ τῶν Φράγγων γενομένου B καὶ Τούρκων, καὶ ἐκ τούτου ἐπιβουλευόντων ἀλλήλοις τῶν γενῶν, ὁ μὲν Σαμοὺχ προσεποιεῖτο τηρεῖν τὰ συντεθειμένα, ὁ δὲ Ἐρβέβιος διὰ παντὸς ἦν ἐν ὑπονοίαις καὶ αἰφνίδιον προσεδόκα ἐπίθεσιν, καὶ τοὺς Φράγγους παρεκάλει μὴ ἀνέτως ἀλλ' ἐπὶ τῶν ὅπλων καθεύδειν. τοῦτο δὲ ἐποίει κρυφίως, μηδεμίαν συναίσθησιν διδοὺς τῷ Σαμούχ, ἕως ἐκεῖνος λανθάνειν οἰηθεὶς ἀνακαλύ-

4 ἀπέλυσεν οὗτος, lacuna media, C. tollendum utique καὶ 6 ὁρμὴν C 8 ἀμύνεσθαι C 12 δαγαράβη C 13 οὖσι τοῖς φράγγοις εἰς C 23 δοὺς C

pace, et exinde in eum usque diem rei Romanae studuerat. hunc enim precibus a se contendentem ut magisterii honore ornaretur, non modo non est dignatus assensu, sed etiam subsannatum varie nasoque suspensum dimisit: adeo inhumanus erat et in congressibus difficilis. Erbebius, quippe barbarus et irae impotens, non moderate tulit eam contumeliam; ignarusque eorum quae Romani machinabantur, de vindicta cogitavit; commeatuque domum abeundi ab imperatore impetrato in Orientem transiit, ac domum suam Dabaramam in Armeniaca sitam provincia se contulit; et re cum quibusdam Francis communicata, ibi in hiberna divisis, 300 eorum corruptis in Mediam abiit iis comitatus, et cum Samucho tunc ibidem degente belli in Romanos gerendi societatem coiit. ea societas cum aliquamdiu durasset, offensae inter Francos et Turcos inciderunt, ac nationes invicem sibi insidiari coeperunt. ac Samuchus quidem pactis se stare simulabat, Erbebius vero semper in suspicionibus erat, subitumque Turcorum aliquem in se impetum exspectabat; ideoque suos hortabatur ne secure sed armati semper dormirent. interim tamen Samucho nullum praebebat suarum cogitationum indicium.

πτει τὸ βούλευμα, καὶ περὶ μίαν ἡμέραν ἐξοπλίσας πάντας οὓς εἶχε Τούρκους ἐπιτίθεται ἀριστοποιουμένοις τοῖς Φράγγοις. οἱ δὲ κατὰ τὸ παράγγελμα τοῦ στρατηγοῦ τοὺς ἵππους ἐν τοῖς χαλινοῖς C *ἔχοντες, ὡς ᾔσθοντο τὴν ἐπέλευσιν τῶν Τούρκων, ταχεῖς τε ἔποχοι γίνονται καὶ ἐρχομένοις τούτοις προσυπαντῶσι. καὶ γίνεται μάχη καρτερά, καὶ πρὸς μικρὸν ἀντισχόντες οἱ Τοῦρκοι τρέπονται. καὶ πίπτουσι μὲν οἱ πλείους, οἱ δὲ λοιποὶ διεσώθησαν πρὸς τὸ Χλίατ πεζοὶ καὶ γυμνοί. ὁ δὲ Ἐρβέβιος ὑποστρέψας ἀπὸ τοῦ διωγμοῦ μετὰ τῶν Φράγγων κατασκηνῶσαι ἐν τῇ παρεμβολῇ συνεβούλευεν. ἐνέκειντο δὲ οἱ Φράγγοι ἀναγκάζοντες εἰσελθεῖν ἐν τῇ πόλει τοῦ Χλίατ, κοινοπραγίαν ἔχοντες καὶ ὅρκους μετὰ τοῦ ἀμηρεύοντος ἐν αὐτῇ, εὐπαθείας τέ τινος καὶ λουτροῦ μετασχεῖν καὶ τὸν ἐκ τοῦ πολέμου ἀποπλύνασθαι λύθρον. ὁ δὲ πολὺς ἦν ἐγκεί-* D *μενος καὶ καθικετεύων τὸν τοιοῦτον ἀποτινάξασθαι λογισμὸν καὶ μὴ πάνυ τι πιστεύειν ὅρκῳ ἀλλοπίστων καὶ ἀλλοφύλων ἀνθρώπων, καὶ εὐσεβεῖν ἀναπεπεισμένων εἰ θανάτου πολλοῖς Χριστιανοῖς αἴτιοι γένοιντο. ὡς δὲ λέγων οὐδένα τὸν προσέχοντα εἶχεν, ἀλλὰ πάντες μιᾶς γενόμενοι γνώμης ἀπαραίτητον τὴν εἴσοδον ἐλογίζοντο, ἄρας καὶ αὐτὸς εἴσεισι σὺν αὐτοῖς, πολλὰ πρότερον θεοκλυτήσας καὶ διαμαρτυράμενος καὶ παραγγείλας διὰ παντὸς προσέχειν καὶ ἐν χεροῖν κατέχειν τὰ ὅπλα. εἰσελθόντες οὖν οἱ Φράγγοι, καὶ τῶν τοῦ στρατηγοῦ παραγγελμάτων καταφρονήσαντες, ἐν λουτροῖς καὶ πότοις καὶ εὐωχίαις ἦσαν. ὁ δὲ ἀμηρᾶς Ἀπονάσαρ ἅμα τῷ Σαμοὺχ καὶ τοῖς ἐν τῇ πόλει Σαρακηνοῖς βουλευσάμενος, καὶ παραγ-*

6 κρατερὰ C

tandem Samuchi insidiae eruperunt. et quadam die omnibus suis Turcis armatis prandentes Francos adoritur; quorum hi adventum sentientes, statim in equos, quos ducis iussu semper paratos habebant, insiliunt, et Turcis occurrunt; praelioque acri facto, Turci cum aliquamdiu restitissent, pelluntur, maiorque eorum pars occisa, reliqui pedites nudique in urbem Chleat fuga evadunt. Erbebius a persecutione hostium revertens cum suis suadebat ut in castra se reciperent. verum ii urgebant ut in eandem urbem (nam cum eius amera societas ac pactum ipsis intercedebat) intrarent, in qua recreare se et in balneo cruorem belli abluere possent. vehementer instabat contra Erbebius, atque obsecrabat ut hanc cupiditatem deponerent, neve nimium fiderent iuriiurando hominum diversae religionis ac nationis, et quibus persuasum esset se piissime agere si multos Christianos interimerent. sed cum omnibus in eadem sententia manentibus surdo fabulam narraret, tandem cum ipsis in urbem ingreditur, multis eos obtestatus ut sibi nunquam non caverent semperque arma ad manus haberent. sed Franci Chleat ingressi, posthabitis Erbebii monitis ad lavacra pocula et convivia se contulere. interim urbis ameras Aponasar, re cum Samucho et Saracenis ibi de-

γείλας τοῖς ξενοδόχοις, ὅτε τὸ σύνθημα δοθῇ, κατέχειν τοὺς ἐπιξενωθέντας καὶ δεσμεῖν ἢ τούτου φαινομένου ἀδυνάτου ἀποσφάττειν, τέως μὲν ἠρέμει, ἐπεὶ δὲ ἅλις εἶχε τοῖς Φράγγοις ἡ ἡδυπάθεια P 796 καὶ πρὸς ὕπνους ἐτράπησαν, δοὺς τὸ σύνθημα ἐπιτίθεται. καὶ οἱ μὲν τῶν Φράγγων εὐθὺς ἀποσφάττονται, οἱ δὲ κατεσχέθησαν, τινὲς δὲ καὶ ἀπὸ τοῦ τείχους ῥιπτοῦντες ἑαυτοὺς ἔξω διασωθῆναι ἴσχυσαν. ἑάλω δὲ καὶ ὁ Ἐρβέβιος καὶ πεδηθεὶς ἐφυλάττετο. ὁ δὲ ἀμηρᾶς διαπραξάμενος ταῦτα διακηρυκεύεται πρὸς τὸν βασιλέα ὡς τάχα εὔνους [ὢν] αὐτῷ καθεστὼς καὶ τοὺς ἐπιβουλεύαντας τοῖς αὐτοῦ πράγμασι διαφθείρας καὶ τὸν τούτων ἀρχηγὸν κατασχών. καὶ τὰ μὲν περὶ τὸν Φραγγόπωλον συνηνέχθη ὧδε.

Οἱ δὲ τῆς ἑώας στρατηγοὶ ἀποπεμφθέντες, ὡς ἔμπροσθεν εἴρηται, παρὰ τοῦ βασιλέως δευτέραν ἔγνωσαν πεῖραν προσαγα- B γεῖν, καὶ δὴ τῷ πρωτοσυγκέλλῳ Λέοντι τῷ Στραβοσπονδύλῳ προσελθόντες τὰ κοινὰ διοικοῦντι τῷ τότε μεσίτην ἐς τὸν βασιλέα τοῦτον προυβάλλοντο, καὶ μὴ παρὰ τοὺς ἄλλους περιοφθῆναι ἱκέτευον μηδ᾽ ἀτίμως ἀπορριφῆναι, καὶ ἄλλα προβαλλόμενοι δίκαια, τελευταῖον δὲ ἐπαγαγόντες μηδ᾽ ἄξιον εἶναι τοὺς μὲν πολίτας τῶν βασιλικῶν εὐμοιρῆσαι τιμῶν, μήτε παρ᾽ ἔπαλξιν στάντας μήτε πρὸς πολεμίους διαγωνισαμένους ποτέ, αὐτοὺς δὲ τοὺς ἐκ παίδων προπολεμοῦντας καὶ ἀγρυπνοῦντας, ἵν᾽ ἀδεῶς οὗτοι καθεύδοιεν, παροραθῆναι καὶ τῆς βασιλικῆς φιλοτιμίας διεκπεσεῖν. ἀλλ᾽ οὗτος στρυφνὸς ὢν καὶ δυσπρόσιτος οὐ μόνον οὐκ

3 ἠτρέμει C   4 δοὺς om C   11 οὕτως C

gentibus communicata, hospitibus peregrinorum mandat ut dato signo hospites suos comprehendant ac vinciant, aut si id fieri non possit, occidant. postquam Franci deliciarum saturi somno se dederunt, signum datur, et eorum alii statim occiduntur alii capiuntur, quidam etiam de muris foras desilientes evaserunt: Erbebius captus est et in vinculis asservatus. his ita actis, ameras imperatori per internuntios significat se ei favere, et qui ipsius rebus insidiati fuissent, eos se perdidisse, ducemque horum captum detinere.

Ceterum Orientis duces hoc quo docuimus modo dimissi ab imperatore denuo tentandam rem statuerunt. itaque se ad primarium syncellum Leonem Strabospondylum conferunt, tunc rei publicae gubernatorem, eoque apud imperatorem intercessore utuntur; atque orant ne ipsos ita neglectos atque ignominiose abiectos imperator velit. multisque adductis argumentis, id quoque ad extremum proponunt, indignum videri cives ab imperatore honores consequi, cum ii neque propugnacula tutati neque cum hoste congressi unquam sint, se vero, qui ab ineunte aetate pro ipsis propugnaverint et excubarint, ut secure alii dormire possent, praeteriri neque ex imperatoris benignitate ullum percipere fructum. verum imperator, morosus homo aditque difficilis,

C ἐδέξατο ἠπίως τὴν προσαγομένην ἱκεσίαν, ἀλλὰ καὶ μεθ' ὕβρεων ἀπεπέμψατο τοὺς ἱκέτας, ἐκφαυλίσας οὐκ ὀλίγα καὶ ἐς ἕκαστον τῶν ἀνδρῶν. οἱ δὲ καὶ δεύτερον ἤδη παρῳνημένοι, πᾶσαν ἐλπίδα ἀποσεισάμενοι ἐσφάδαζον καὶ διεπρίοντο τῷ θυμῷ. καὶ κατ' ἀρχὰς μέν, ὥς πῃ ἕκαστος ἔτυχεν, ἐν ταῖς ὁμιλίαις ὑποτονθορύζοντες ἐλοιδοροῦντο τῷ βασιλεῖ, καὶ μὴ πράως ἐνεγκεῖν ἕκαστον παρεκάλουν ἑκάστην παροινίαν, ἀλλὰ διαναστῆναι παρώρμουν πρὸς δικαίαν ἐκδίκησιν. ἔπειτα καὶ ὑφ' ἓν ἐν τῇ μεγάλῃ γενόμενοι ἐκκλησίᾳ, καὶ ὅρκους δόντες καὶ λαβόντες μὴ σιωπῆσαι μηδ' ἀνασχέσθαι ἀλλὰ τοὺς ἐνυβρίσαντας τιμωρήσασθαι, δεσμοῖς, ὥ φασιν, ἀδαμαντίνοις ἠσφαλίσαντο τὴν ἐπιβουλήν. τῷ δὲ Κεκαυ-
D μένῳ ἐδόκει καὶ τὸν Βρυέννιον προσλαβέσθαι συνωμότην, λαοῦ τε πολλοῦ ἄρχειν τεταγμένον τῶν Μακεδονικῶν ταγμάτων καὶ μέγα μέρος ἔσεσθαι μέλλοντα τοῦ σπουδάσματος. ὡς δὲ καὶ οὗτος πείρας αὐτῷ προσενεχθείσης ταχέως ὑπήκουσε, λοιπὸν τίνα διεσκοποῦντο εἰς ἔργον προχωροῦντος αὐτῶν τοῦ βουλεύματος ἀνειπεῖν βασιλέα. καὶ πᾶσιν ἁπλῶς ἐφαίνετο τοῖς συνωμόταις ὡς καὶ γήρᾳ καὶ ἀνδρίᾳ καὶ ἐμπειρίᾳ τῶν ἄλλων προύχων ὁ Κεκαυμένος ἄξιος εἰς τοῦτο. ὁ δὲ ἀφ' ἑαυτοῦ τὸ βάρος ἀποσείσασθαι σπεύδων συντόμῳ λόγῳ διέλυσε τὰς πολυλογίας· ἀναστὰς γὰρ εὐθέως βασιλέα Ῥωμαίων ἀνεῖπε τὸν μάγιστρον Ἰσαάκιον τὸν
P 797 Κομνηνόν, τοῦτο δὲ αὐτὸ ποιῆσαι καὶ τοὺς λοιποὺς παρεσκεύασεν. οὕτω δὲ καταδεσμήσαντες ἀλλήλους, καὶ τὴν βουλὴν ὡς ἐνῆν

2 ἐκφλαυρίσας C   3 πεπαρῳνημένοι C

non modo non audiit benigne eam deprecationem, sed supplices etiam contumeliose dimisit, singulos verbis insectatus. at vero hi denuo ignominiis superbe affecti, omni excussa spe fremere animoque excandescere. ac principio quidem pro se quisque susurris imperatori conviciari, alterque alterum hortari ne contumeliam istam leviter ferat, sed ad iustam vindictam sese paret. post in unum collecti coetum in magno templo, dictis ultro citroque sacramentis taciturnitatem et iniuriarum persecutionem stipulati, adamantinis, quod aiunt, vinculis conspirationem roborarunt. Ambusti sententia erat Bryennium quoque in societatem adsciscendum, qui ad hoc institutum plurimum afferre momenti posset, numeroso praefectus exercitui Macedonico. atque is tentatus facillime assensit. proinde in deliberationem venit cui imperium re ex animi sententia succedente deferretur. idem prorsus omnibus coniuratis visum, Ambusto id deberi, aetate fortitudine et peritia ceteris praestanti. verum hic onus illud excutere cupiens, compendio verborum multitudinem sustulit. surgens enim illico Romanorum imperatorem designavit magistrum Isaacum Comnenum, auctorque reliquis fuit idem ut facerent. hoc modo cum se mutuo devinxissent, ac quantum res ferebat institu-

ἀσφαλισάμενοι, καὶ τῷ βασιλεῖ προσειπόντες τὰ ἐξιτήρια, ἕκαστος οἴκαδε τῷ δοκεῖν ἀπεφοίτησεν.

Ἄρτι δὲ καὶ ὁ Βρυέννιος τῶν πραγμάτων αὐτῷ καθισταμένων ὥς πῃ ἐδόκει τῷ βασιλεῖ, διαπερᾷ πρὸς τὴν ἕω, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν πατρίκιον Ἰωάννην τὸν Ὀψαρᾶν, ἀπεσταλμένον ἐκ βασιλέως μετὰ χρυσίου ἐφ' ᾧ τοῖς στρατιώταις διανεμηθῆναι τὸ σιτηρέσιον. γενόμενος δὲ κατά τινα τόπον ἡπλωμένον καὶ ὕπτιον ἐν τῷ θέματι τῶν ἀνατολικῶν τοῖς Καππαδόκαις διένειμε τὴν φιλοφροσύνην. ἐπαύξων δὲ τὰς δόσεις, καὶ πλείω τῶν τεταγμένων B *παρέχειν κελεύων, ἀντιπίπτοντα εἶχε τὸν Ὀψαρᾶν καὶ μὴ ὑπακούοντα· ἔφασκε γὰρ οὗτος μὴ τολμᾶν προσθήκας διδόναι τοῖς στρατιώταις, μηδὲν τοῦ βασιλέως περὶ τούτου προστάξαντος. τοῦ δὲ Βρυεννίου ἀτρέμας ἔχειν εἰπόντος καὶ ποιεῖν σιωπῇ τὸ κεκελευσμένον παρεγγυήσαντος, ἀντιτείνοντος δὲ τοῦ Ὀψαρᾶ καὶ θρασυνομένου, ἀναφθεὶς ἐκεῖνος τῷ θυμῷ τοῦ θρόνου τε ἀνίσταται καὶ κονδύλους τούτῳ προστρίβει. τελευταῖον δὲ καὶ τῶν τριχῶν καὶ τῆς γενειάδος ἀψάμενος καταβάλλει τοῦτον εἰς γῆν, καὶ δεσμὰ περιθεὶς ἐν τῇ ἰδίᾳ ἐφρούρει σκηνῇ, αὐτὸς δὲ τὸ βασιλικὸν χρυσίον ἀνειληφὼς ἐποιεῖτο τὴν διανομὴν ὡς ἠβούλετο μεθ' ὑπεροχῶν. ἔτυχε δὲ τότε παραστρατοπεδεύων ἐγγὺς ὁ πατρίκιος Λυ-* C *κάνθης, καὶ τῶν Πισιδῶν καὶ Λυκαόνων ἡγούμενος. οὗτος τὰ εἰς τὸν Ὀψαρᾶν συμβεβηκότα ἀκουσθείς, καὶ τυραννίδος ἐπίθεσιν, ὥσπερ ἦν εἰκός, τὴν πρᾶξιν ὑπολαβὼν (ἦν γὰρ τῶν τοῖς ἑῴοις ἄρχουσι βεβουλευμένων ἀμύητος), καθοπλίσας τὰ δύο τῶν*

tum roborassent, accepto ab imperatore commeatu domum quivis suam, ut putabatur, discesserunt.

Iam et Bryennius rebus suis ex arbitrio imperatoris constitutis in Orientem abibat. comitabatur eum patricius Ioannes Opsaras, missus ab imperatore cum auro, ut militibus stipendia numeraret. cum pervenissent in supinam quandam planitiem in Orientali provincia, Cappadocibus Bryennius pendere coepit quae ex liberalitate imperatoris debebantur. ibi cum plura dari iuberet quam imperator mandaverat, adversarium habuit Opsaram, non audere se dicentem quicquam addere iniussu imperatoris. cumque Bryennius eum quiescere et omissis verbis suum mandatum exsequi iuberet, ac Opsaras ferocius repugnaret, ira inflammatus Bryennius a sella prosiluit et Opsaram pugnis cecidit, tandemque crinibus et barba correptum humi prostravit, et vinculis iniectis in suo tentorio asservavit. ipse aurum imperatorium accepit ac stipendia distribuit, augens ea pro suo arbitrio. in propinquo castra tum forte habebat Lycanthes patricius, Lycaonibus et Pisidis praefectus. is de male tractato Opsara nuntio accepto, suspicatus, id quod probabile erat, rem eam ad tyrannidis affectationem spectare, ignarus quippe consilii a ducibus orientalibus initi, duas orientales legiones

ἀνατολικῶν τάγματα ἐπιτίθεται τῇ σκηνῇ τοῦ Βρυεννίου, αὐτοκράτορα τὸν Μιχαὴλ εὐφημῶν. καὶ τοῦτον μὲν δεσμεῖ κατασχών, ἀπολύει δὲ καὶ τὸν Ὀψαρᾶν τῶν δεσμῶν, καὶ τὸν Βρυέννιον αὐτῷ παραδοὺς οὕτως ὡς εἶχε κλοιῶν, χρῆσθαι τούτῳ κελεύει ὡς βού-
D *λεται. ὁ δὲ ἀνεθεὶς τῆς πέδης καὶ πράττειν ὃ θέλει κύριος γεγονὼς τοῦ μὲν Βρυεννίου εὐθέως ἐξορύττει τοὺς ὀφθαλμοὺς καὶ ἐς βασιλέα τοῦτον δεσμώτην ἐκπέμπει. μηνύσας καὶ τὴν τολμηθεῖσαν ἀποστασίαν· ὁ δὲ προσέμενε τῷ τόπῳ ὡς τάχα τὴν εἰς τὸν λοιπὸν λαὸν διενεργήσων διανομήν. καὶ ὁ μὲν Βρυέννιος τοιαύτας ἀπέδωκε δίκας τῆς ἑαυτοῦ προπετείας καὶ αὐθαδείας, ἵνα μὴ λέγωμεν ἀνοίας· οἱ δὲ κατὰ τὸ θέμα τῶν ἀνατολικῶν τὰς οἰκήσεις ἔχοντες ἄρχοντες, ὁ πρόεδρος Ῥωμανὸς ὁ Σκληρὸς (ἦν γὰρ οὐδ' αὐτὸς ἔξω τῶν ὀμωμοκότων), ὁ Βούρτζης, ὁ Βοτανειάτης, οἱ Βασιλείου τοῦ Ἀργυροῦ παῖδες καὶ ὁ λοιπὸς ὅμιλος, τέως μὲν ἦσαν ἠρεμοῦντες καὶ ἀρχὴν ἀποστασίας ἀλλαχόθεν προσμένοντες,*
P 798 *ἐπεὶ δὲ ἐπύθοντο τὰ κατὰ τὸν Βρυέννιον, καὶ οἵαις ἑαυτὸν οὗτος φρενοβλαβῶς καθυπέβαλε τύχαις, ἐντρεχῶς λογισάμενοι ὡς ἐταζόμενος οὗτος ἀποφήνειε τὴν συνωμοσίαν καὶ οὐκ εἰς καλὸν τοῖς συνωμόταις τὸ τέλος ἐπενεχθήσεται, ἄραντες ἅπαντες ἀπέρχονται ἐν Παφλαγονίᾳ κατὰ τὴν Κασταμόνα· οἶκος δὲ ἡ Κασταμὼν τοῦ Ἰσαακίου μαγίστρου τοῦ Κομνηνοῦ. καταλαβόντες δὲ καὶ αὐτὸν ἠρεμοῦντα ἔτι ἀνιστῶσι καὶ ἄκοντα, καὶ ἔρχονται μετ' αὐτοῦ κατά τινα τόπον ὁμαλὸν καὶ πλάτος ἱκανὸν ἔχοντα· Γουνάρια ὁ τόπος κατονομάζεται. κἀκεῖσε τοὺς πλησιοχώρους ἀθροίσαντες στρα-*

9 ἐνεργήσων C 13 ὀμωμοσμένων C 20 κασταμὼν C καστάμων C

armat, Michaelumque imperatorem celebrans tentorium Bryennii capit, Bryennium vincit, eumque in potestatem Opsarae vinculis soluto dedit. hic eam nactus licentiam Bryennio statim oculos effodit, et vinctum ad imperatorem mittit, defectionem ab eo tentatam simul exponens. ipse eo loci commoratur, scilicet ut reliquam distributionem conficeret. has suae temeritatis ac pertinaciae, ne dicam stoliditatis, poenas dedit Bryennius. at principes viri qui in orientali provincia habitabant, praeses Romanus Durus (nam et is coniurationis erat socius), Burtza, Botaneiates, Basilii Argyri filii, et reliqui, cum hactenus se continuissent et defectionis initium aliunde exspectassent, postquam inaudiverunt in quam se sua vaecordia coniecisset calamitatem Bryennius, callide reputantes eum quaestione adhibita conspirationem indicaturum et rem eius sociis male cessuram, universi in Paphlagoniam Castamonem (sic appellabatur domus Isaacii Comneni) se conferunt; cumque ipsum quoque adhuc quiescentem deprehenderent, excitant vel invitum, ac cum eo veniunt ad Gunaria, qui est locus planus atque amplus. eo convocatis qui in vici-

τιώτας, καὶ τοὺς ὅσοι πυθόμενοι τὴν κίνησιν ἐθελονταὶ παρεγίνοντο, μετὰ πάντων αὐτῶν ἀναγορεύουσι τοῦτον αὐτοκράτορα βασιλέα Ῥωμαίων, ὀγδόην ἄγοντος τότε τοῦ Ἰουνίου μηνός, τῆς ι΄ B ἰνδικτιῶνος τοῦ ,ϛφξε΄ ἔτους.

Ἀναγορευθεὶς δὲ βασιλεύς, στρατοπεδείαν ὀχυρὰν πηξάμενος, προσέμενε τῷ τόπῳ, ἐκδεχόμενος ἀθροισθῆναι καὶ τοὺς λοιπούς, ὁπόσοι μετεσχήκασι τῆς συνωμοσίας. πλέον δὲ αὐτὸν καρτερεῖν ἀνέπειθε καὶ μὴ προεξάλλεσθαι ἡ τοῦ Κεκαυμένου βραδύτης· διασκοπουμένῳ γὰρ αὐτῷ καὶ τὸ αἴτιον ζητοῦντι τῆς βραδυτῆτος ἄγγελός τις ἐκ τῆς ἑῴας ἐλθὼν ἀπήγγειλεν ὡς μεταμεληθεὶς ἐκεῖνος τῶν τε δοθέντων ὅρκων ἠλόγησε καὶ τὰ βασιλέως φρονεῖ καὶ λαὸν ἀθροίζει ἐφ᾽ ᾧ τοῖς ἀνταίρουσιν ἐπιθήσεσθαι. αὕτη δὲ ἡ ἀγγελία οὐκ εἰς μικρὰν ἀγωνίαν καὶ ταραχὴν ἐνέβαλε τοὺς περὶ τὸν Κομνηνόν, εἰ μέλλοιεν ἕξειν τοιοῦτον ἐχθρὸν κατὰ C νώτων· διὸ καὶ ἐκαρτέρουν ἐν τῷ χάρακι μαθεῖν τὴν ἀλήθειαν ὀριγνώμενοι. ἀλλ᾽ οἱ μὲν ἦσαν ἐν τούτοις, ὁ δὲ Κεκαυμένος ἔμενε τὴν οἰκείαν γνώμην φυλάττων τοῖς συνωμόταις, ἐπεῖχε δὲ ἑαυτὸν καὶ ἐβράδυνε διὰ τοιαύτην αἰτίαν. ὅτε τῆς βασιλίδος ἐξελθὼν ἀπενόστει ἐπ᾽ οἴκου, γενόμενος ἐν Νικομηδείᾳ καὶ ταχυδρόμῳ συναντήσας βασιλικῷ μηνύει δι᾽ αὐτοῦ τῷ λογοθέτῃ τοῦ δρόμου Νικήτᾳ τῷ Ξυλινίτῃ, δι᾽ ἀφελῶν καὶ στρατιωτικῶν ῥημάτων· ὡς οἶδα, ὦ ἀδελφέ, ὁ σὸς κύριος καὶ βασιλεὺς παρ᾽ οὐδὲν λογισάμενος τὸν Κομνηνὸν καὶ ἐμέ, καὶ τὰς δεήσεις ἡμῶν

4 τοῦ — ἔτους om C   13 μακρὰν C   16 ὀρεγόμενοι C

nia erant militibus, etiam sponte sua multis eo cognito res novas agitari confluentibus, omnium consensu Isaacium Comnenum imperatorem salutant, die 8 Iunii mensis, indictione 10, anno mundi 6565.

Imperator creatus castris communitis eo loco permansit, reliquorum etiam coniurationis popularium exspectans adventum. ne autem citius prosiliret sed moram perferret, maxime eum tarditas Ambusti movit. cuius de causa cum secum disputaret, venit quidam ex Oriente nuntius, indicans eum mutata sententia et iureiurando spreto, stratiotici rebus studere, exercitumque contrahere ad debellandum adversarios. haec res non levem solicitudinem atque perturbationem attulit Comneno, talem hostem a tergo habere intelligenti fore periculosissimum. itaque se castris continuit, dum certi aliquid cognosceret. ceterum Ambusto, tametsi in eadem sententia perstabat, causa cunctandi haec fuit. quo tempore Byzantio domum proficiscebatur, Nicomediae in cursorem imperatorium inciderat, atque hunc Nicetae Xylinitae dromi logothetae simplicibus ac militaribus verbis haec iusserat indicare "quantum video, frater, dominus tuus imperator Comnenum et me pro nihilo putavit,

ἀποπεμψάμενος, ἀτίμως ἐπ' οἴκου ἀπέπεμψεν. ἀλλ' ἴσθι ὅτι D ἡμεῖς ἄπιμεν. ὁ δὲ ἅμα σοί, εἰ ἀπαρέσκεσθε τῇ ἡμετέρᾳ ὑποχωρήσει, ὑποστρέψαι καὶ ἄκοντας εἰς τοὐπίσω παρασκευάσατε, ἀποστείλαντες δύναμιν. καὶ ταῦτα μὲν εἰπὼν τῷ ταχυδρόμῳ τῆς πορείας συντονώτερον εἴχετο· ἐπειδὴ δὲ οἴκαδε γένοιτο καὶ ὁ Κομνηνὸς ἠρέμει ὡς τάχα μηδὲν μετέχων τοῦ ἔργου, εἰς ὀρρωδίαν ἐνέπιπτε, καὶ δείματα αὐτὸν ἐτάραττε δεδιότα μή πως ὁ Κομνηνὸς καὶ οἱ τῆς συνωμοσίας μέτοχοι ἑτέρου γενόμενοι σκοποῦ σιγῇ βουληθῶσι καλύψαι τὴν ἐπιβουλήν, καὶ μόνος αὐτὸς εὐθύνας κομίσηται τῆς ἀποστασίας ὡς ἤδη καταφανῆ ἑαυτὸν θεὶς διὰ τοῦ μηνύματος. καὶ ἐσκέπτετο καὶ ἐμελέτα πῶς καὶ τίνα τρόπον ἑαυ- P 799 τῷ περιποιήσεται τὴν ἀσφάλειαν· οὔτε γὰρ δύναμιν προηυτρεπισμένην εἶχεν, οὔτε ἡ προσοῦσα ἱκανὴ ἐδόκει ἀντιπαρατάττεσθαι βασιλεῖ Ῥωμαίων, τὸ πλέον δ' ὅτι μηδὲ κοινολογησάμενος τοῖς ἐπιχωρίοις στρατεύμασιν ἦν, μηδὲ πληροφορίαν ἐσχηκὼς εἰ προσδεχθήσεται. καὶ διὰ τοῦτο ἤργει, καὶ ἀναδύεσθαι ἐδόκει τοῖς μὴ καλῶς ἐστοχασμένοις τῶν κατ' αὐτόν. ἔτυχον γὰρ τῷ τότε καιρῷ δύο τάγματα Φραγγικὰ καὶ Ῥωσικὸν ἓν ἐπιχωριάζοντα τῷ τόπῳ πρὸς παραχειμασίαν· περὶ ὧν πλέον ἐφρόντιζεν, ἵνα μὴ συναισθήσεως γενομένης συλληφθεὶς ὑπ' αὐτῶν ἐκπεμφθείη τῷ βασιλεῖ. ταῦτα πάντα δεδοικὼς ἐπεῖχεν αὐτὸν μέχρις ἂν ἀσφάλειαν περιποιήσηται ἑαυτῷ. ἤδη δὲ μέλλων ἐπιχειρεῖν τῷ ἔργῳ,

5 ἐπεὶ C   12 προευτρεπισμένην C   13 ἀντιπαρατάξασθαι C
18 καιρῷ om C

nostrisque petitionibus contumeliose reiectis domum nos dimisit. scito ergo nos abire. ille autem et tu, si improbatis nostrum discessum, nos missis copiis vel invitos retrahite." haec cum dixisset tabellario, iter institutum intentius est prosecutus. postquam domum venit et Comnenum quiescere sensit, perinde ac si nihil ei cum hoc negotio rei esset, haud leviter vereri ac metuere coepit ne Comnenus et reliqui mutata sententia silentio supprimere vellent coniurationem, itaque ipse solus defectionis poenas lueret, ut qui se ipsum iam isto ad logothetam mandato prodidisset. itaque circumspiciebat ac meditabatur quonam modo se ipsum tutum redderet. nam neque paratum habebat exercitum; et quos secum habebat, non videbantur sufficere ad bellum contra imperatorem gerendum, maxime quod cum exercitibus istarum regionum nondum collocutus fuerat, neque constabat utrum ei se illi essent daturi. eapropter cessabat, et iis qui non satis consilia ipsius assequebantur, tergiversari videbatur. et erant iis locis in hibernis duae Francicae legiones ac una Rossica: de quibus magna eum tenebat solicitudo, ne iis coniuratio suboleret ab iisque comprehensus imperatori mitteretur. haec ergo omnia Ambustus metuens, tantisper dum se in tuto collocas-

καὶ τοῖς ἑαυτοῦ θεράπουσι καὶ συγγενέσι πρότερον τὴν ἐπιβουλὴν B
ἀνακαλύψας, καὶ ἤδη χεῖρα περὶ αὐτὸν συστησάμενος ἀνδρῶν
χιλίων, λοιπὸν καὶ τῶν οὐ πάνυ βεβαίων ἀποπειρᾶσθαι ἤρχετο,
καθ' ἕνα μὲν πρότερον τῶν ἐπισημοτέρων τοῦ τόπου ἀπτόμενος,
εἶτα καὶ κατὰ μικρὸν τῶν γενναιοτέρων καὶ τῶν στρατιωτικωτέρων
ἀποπειρώμενος. ἐπεὶ δὲ ἠδυνήθη τέως τοὺς ἐπισημοτέρους πρὸς
ἑαυτὸν ἐπισπάσασθαι, λοιπὸν ἤρξατο καὶ τοῖς πλήθεσι παρέχειν
πεῖραν· γράμματα γὰρ πλασάμενος βασιλικὰ ὡς εἴη προστεταγμέ-
νον αὐτῷ ἀνειληφότι τὰ τῶν συμμάχων τρία τάγματα καὶ τοὺς δύο C
τῶν τε Κολωνειατῶν καὶ τῶν Χαλδίων ἀνελθεῖν κατὰ τοῦ Σαμούχ,
καὶ τὰ πέντε ταῦτα κατὰ τὴν πεδιάδα τῆς Νικοπόλεως ἀθροισθῆ-
ναι κελεύσας, οὕτω τὴν πεῖραν προσήγαγεν· ἐφ' ἑκάστῃ γὰρ
ἡμέρᾳ ἀδνούμιον πλαττόμενος, πρωῒθεν ἐξιππαζόμενος καὶ πόρρω
τῶν ἄλλων ἀφιστῶν, πρῶτον μὲν ἐκάλει τὸν ἡγεμόνα καὶ τὴν βου-
λὴν ἀνεκάλυπτεν, ὡς ἀνάγκη τοῖν δυοῖν θάτερον πρᾶξαι, ἢ συν-
θέσθαι τοῖς παρ' αὐτοῦ λεγομένοις ἢ τῆς κεφαλῆς ἀφαίρεσιν ὑπο-
στήσεσθαι, εἶτα τάξιν μίαν ἐκάλει καὶ πάλιν ἄλλην, καὶ τὸν ἴσον
τρόπον ποιῶν πάντας καὶ ἄκοντας ὥρκισε. καὶ πρῶτον μὲν ὑπη-
γάγετο τὰ δύο Ῥωμαϊκὰ τάγματα, μετ' ἐκεῖνα δὲ καὶ τοὺς οἰκείους,
ἔπειτα καὶ τοῖς ἐξ ἐθνῶν προσήγαγε τὰς προσβολάς. ῥᾳδίως δὲ D
τούτους καταπληξάμενος καὶ ὅρκῳ ἐμπεδωσάμενος καὶ ἤδη ἐν τῷ

1 πρῶτον C 8 προστεταμένον C 9 τραιματα C, κέρατα margo τά? 10 χαλδαίων C 12 πορείαν προσῆγεν C 21 ὅρκοις C

set, rem differebat. iam autem negotium aggressurus primo omnium conspirationem famulis cognatisque suis detegit; et iam agmine virorum circiter mille stipatus, exinde etiam eorum animos quibus minus certo fidebat tentavit, singulatim principio nobiliores eius loci periclitans, deinde paulatim fortiores ac bellicosiores. quibus in suam sententiam pertractis, postea multitudinem quoque sibi conciliare aggressus est. etenim literas finxit quibus ab imperatore iuberetur, acceptis tribus sociorum et duabus Coloniensium ac Chaldorum legionibus, adversus Samuchum proficisci. has quinque legiones in campum ad Nicopolin convenire iussit, atque hac est usus in iis sibi obstringendis arte. singulis diebus adnumium fingens summo mane eques exibat; ac procul ab aliis subsistens primo ducem ad se vocabat, eique suo instituto exposito ostendebat aut moriendum aut assentiendum esse, deinde singulatim ordines eodem modo ac condicione. atque hoc pacto omnes etiam invitos ad sacramentum dicendum sibi adegit. primo Romanas legiones duas, deinde domesticas, postea etiam peregrinas tentavit. quibus ipsis quoque facile perculsis iuramentoque obstrictis, iam metus vacuus, collectis

ἀφόβῳ γενόμενος, τοὺς Σεβαστηνοὺς καὶ τοὺς Μελιτηνοὺς καὶ τοὺς ἐκ τῆς Τεφρικῆς καὶ τῶν λοιπῶν Ἀρμενίων ἄρχοντας καὶ στρατιώτας συναθροίσας ἥψατο τῆς πορείας, προάγγελον στείλας πρὸς τὸν Κομνηνόν, ὡς εἴη τε τὰ κατ' αὐτὸν εὖ διαθείς, καὶ ὡς ἤδη κάτεισι μετὰ βαρείας δυνάμεως. αὗται δὲ αἱ ἀγγελίαι θυμηδίας τε καὶ λήματος ἐμπιπλῶσι τὸν Κομνηνόν, καὶ ἕως ἐκείνου ἀτολμότατος καὶ κατεπτηχὼς ὑπάρχων τολμηρότερος ἀπ' ἐκείνου καὶ θαρραλεώτερος γίνεται. ὅμως προσέμενε τὴν ἐκείνου παρουσίαν. ὁ δὲ ἐν τῷ κατιέναι καὶ τὸ τάγμα τῶν Ἀρμενιακῶν καὶ ἄκον ὑπαγαγόμενος καὶ τοὺς τοῦ θέματος κορυφαίους, οὓς μὲν ἑκόντας οὓς δὲ ἄκοντας, καὶ τὴν πορείαν ἐπιτείνας, ἐλθὼν ἑνοῦται τῷ Κομνηνῷ. τότε οὖν ἐκεῖνος ἐν τῷ ἀσφαλεῖ τὰ κατ' αὐτὸν
P 800 εἶναι νομίσας, τὴν μὲν γυναῖκα καὶ ὃν εἶχε πλοῦτον Ἰωάννῃ τῷ αὐταδέλφῳ παραδοὺς ἐκπέμπει πρὸς τὸ φρούριον τὴν Πημόλισσαν (πέτρα δὲ ἡ Πημόλισσα παρὰ τὸ χεῖλος κειμένη τοῦ Ἅλυος ποταμοῦ), αὐτὸς δὲ ἄρας μετὰ παντὸς τοῦ στρατοῦ, καὶ τὸν Σαγγάριον περαιωθεὶς ποταμόν, ἀπήρχετο σχολῇ καὶ βάδην πρὸς Νίκαιαν, ὑμνούμενός τε καὶ ἀνευφημούμενος· ἐγνώκει γὰρ ταύτην παραστησάμενος ὁρμητήριον ἔχειν πρὸς τὰ τῆς τύχης ἀβούλητα καὶ οὕτως ἐπὶ τὰ πρόσω χωρεῖν. ἐδίδου δὲ καὶ καιρὸν ἀναχωρήσεως τοῖς στρατεύμασι καὶ τοῖς στρατηγοῖς τοῖς ὅσοι πίστιν ἐτήρουν τῷ βασιλεῖ. καὶ γὰρ δὴ καὶ μαθόντες οὗτοι τὴν πρὸς

7 ἐξ C 8 θαρραλεώτατος C 10 ἄκακον C 13 post γυναῖκα margo P: Καθερίναν τὴν θυγατέρα τοῦ Βλαδισθλάβου τοῦ Βουλγάρων βασιλέως 18 εὐφημούμενος C

Sebastenis Melitenis Tephricanis reliquisque Armeniis ducibus ac militibus iter est ingressus, nuntio ad Comnenum praemisso, sua se recte composuisse, iamque cum validis copiis adventare. his auditis Comnenus, qui hactenus timidus fuerat atque pavidus, animum recepit hoc viso estque factus audacior: adventum tamen Ambusti exspectavit. is in itinere Armeniacam etiam legionem, quanquam nolentem, sui iuris fecit, provinciae principibus partim ultro se ei adiungentibus, partim hoc ut facerent coactis. atque itineribus magnis ad Comnenum venit. Comnenus omnia iam sua extra periculum esse arbitrans, uxorem et thesaurum Ioanni fratri suo germano tradit, Pemolissamque amandat, quod est rupi insitum castellum ad ripam Alys fluvii. ipse cum universo exercitu Sangarium amnem transgressus, faustis acclamationibus et gratulationibus celebratus, lento incessu ad Nicaeam tendit. noverat enim, si hac urbe potiretur, se ad incerta fortunae ea pro receptaculo uti posse; et tempus concedebat exercitibus ac ducibus imperatori adhuc fidem servantibus ea urbe excedendi. etenim cognito adventu Comneni, qui Ni-

Νίκαιαν ἔλευσιν αὐτοῦ ὑπεχώρουν ἠρέμα καὶ διελύοντο, οἱ μὲν B στρατιῶται οἴκαδε ἕκαστος ἀπιὼν οἷα περὶ γυναικὸς καὶ παίδων καὶ τῶν ἄλλων δεδιὼς ἀναγκαιοτάτων· οἱ δὲ στρατηγοὶ ἀπῄεσαν πρὸς βασιλέα, ἄγγελοι τῆς ἀφίξεως τοῦ Κομνηνοῦ τούτῳ γινόμενοι. ἦσαν δὲ Λυκάνθης τε ὁ τῶν ἀνατολικῶν κατάρχων ταγμάτων, Θεοφύλακτος ὁ Μανιάκης καὶ Πνυέμιος ὁ Ἴβηρ τῆς φάλαγγος τῶν Χαρσιανιτῶν ἡγεμονεύοντες, καὶ ἄλλοι πολλοὶ οὐ λίαν ἔχοντες τὸ ἐπίσημον.

Ἤδη δὲ καὶ ὁ βασιλεὺς γνωσθείσης αὐτῷ τῆς ἀποστασίας, καὶ ὅτι περ ἡ πᾶσα ἑῴα Ῥωμαϊκὴ χεὶρ πλὴν ὀλίγων κεκίνηται C κατ' αὐτοῦ, πρέσβεις μὲν περὶ εἰρήνης οὐκ ἐδοκίμαζε πέμπειν, ἀρχὴν δὲ τῆς ἀποστασίας ἔτι ἐχούσης καὶ φλεγμονὴν τῶν πραγμάτων ηὐτρεπίζετο καὶ αὐτός, καὶ πρὸς ἀντιπαράταξιν τὸν ἐνόντα τρόπον ὡπλίζετο. μεταστειλάμενος γὰρ τὰς δυτικὰς ἁπάσας δυνάμεις, καὶ ἄρχειν τούτων ἀπὸ τῶν Μακεδόνων τάξας τοὺς ἐκ γένους λαμπροῦ καὶ ἐκ προηγησαμένων ἀριστευμάτων εὐδοκίμους φανέντας, ἀξιώμασί τε καὶ δώροις καὶ διανομαῖς χρημάτων ἀφθόνως φιλοφρονησάμενος καὶ τοὺς ἡγεμόνας· καὶ τοὺς στρατιώτας, τὰ παραπλήσια δὲ ποιήσας καὶ πρὸς τὰ μὴ συναπαχθέντα ἑῷα τάγματα τῷ Κομνηνῷ ἤτοι τοὺς ἀνατολικοὺς καὶ τοὺς ἐκ τοῦ Χαρσιανοῦ, καὶ στρατηγὸν αὐτοκράτορα καὶ ἄρχοντα αὐτῷ προβαλό- D μενος τὸν δομέστικον τῆς ἀνατολῆς Θεόδωρον, τὸν τῆς βασιλίσσης Θεοδώρας εὐνοῦχον, παραδοὺς αὐτῷ καὶ συνάρχοντα καὶ σύμβου-

6 Θεοφάνης margo P 7 ἡγεμονεύων C 11 ἐδοκίμασε P

caeae erant duces atque milites, urbe relicta, milites dilapsi domum quisque suam se receperunt, de uxoribus liberis aliisque carissimis rebus soliciti: duces ad imperatorem discesserunt, nuntium ei de adventu Comneni adferentes. hi erant Lychantes orientalium dux copiarum, Theophylactus Maniaces et Pnyemius Iberus, Charsianitarum phalangis duces, multique alii non admodum illustres.

Imperator, ut de ea defectione rescivit ac contra se fere omnes Romanorum copias coortas audivit, legatos de pace mittere noluit, initio rerum novarum adhuc omnibus flagrantibus. itaque ut res in praesentia ferebant, ipse quoque ad bellum se parat. omnes occidentales copias evocat, iisque Macedones duces praeficit, genere et rebus gestis illustres; et cum duces, tum milites honoribus ac largitionibus et congiario demeretur. eodem modo tractat etiam orientales exercitus, qui ad Comnenum non defecerant, et Charsianos; iisque imperatorem praeficit domesticum Orientis Theodorum, Theodorae Augustae eunuchum,

λον, ὡς ἂν ἐν πολλοῖς ἀγωνίσμασι κατηθλημένον ἄνδρα καὶ ἀδελφὸν ὑπάρχοντα τῆς γυναικὸς τοῦ Κομνηνοῦ, τὸν μάγιστρον Ἀαρὼν καὶ Δούκαν, ἐκπέμπει πρὸς ἀντιπαράταξιν τῷ Κομνηνῷ. ἀναλαβόντες οὖν οὗτοι οἱ δύο τὰς εἰρημένας δυνάμεις, καὶ διὰ τῆς ἀντιπόρθμου τῇ πόλει Χρυσουπόλεως περαιωθέντες, ἀπῆλθον ἐν Νικομηδείᾳ. ἐκεῖσέ τε γενόμενοι πέμψαντες καθαιροῦσι τὴν τοῦ Σαγγάρεως ποταμοῦ γέφυραν, ὅπως μὴ εὔκολος εἴη τῷ Κομνηνῷ ἡ εἰς αὐτοὺς ἔφοδος, ἀλλὰ διὰ περιόδου γινομένη μὴ λανθάνῃ. ἐκεῖθέν τε ἀπαναστάντες ἀνῆλθον εἰς τὸ ὄρος τὸν Σόφωνα, κἀκεῖσε στρατοπεδείαν πηξάμενοι ὀχυρὰν τὰ ἐς τὸν πόλεμον ἐξηρτύοντο.

Καὶ ὁ Κομνηνὸς δὲ ἁπανταχοῦ σκοποὺς ἐκπέμπων καὶ κατο-
P 801 πτῆρας, ὥστε μηδὲν τῶν γινομένων ἀγνοηθῆναι αὐτῷ, ἐπείπερ ἔμαθε τὰς ἀκρωρείας τοῦ Σόφωνος ἤδη κατασχεῖν τοὺς περὶ τὸν δομέστικον, καὶ αὐτὸς ταχυπορήσας καταλαμβάνει τὴν Νίκαιαν. καὶ ταύτης ἐξ ἐφόδου κύριος γεγονώς, καὶ ὅσαπερ εἶχε χρήματα ἐν αὐτῇ ἀποθεὶς καὶ τὰ περιττὰ τῆς ἀποσκευῆς, καὶ ἀσφαλισάμενος, πήγνυται παρεμβολὴν κατὰ τὸ ἀρκτῷον μέρος τῆς πόλεως Νικαίας, ὅσον ἀπὸ σταδίων δώδεκα, κἀκεῖσε αὐλίζεται. ἐξερχόμενοι οὖν ἀφ᾽ ἑκατέρων των στρατοπέδων ἐπὶ χορτολογίαν οἵ τε τοῦ Κομνηνοῦ στρατιῶται καὶ οἱ τοῦ ἀντιθέτου μέρους, καὶ ἀλλήλους ἐπιμιγνύμενοι οἷα ὁμόφυλοι καὶ συγγενεῖς καὶ φίλοι, προετρέποντο ἀλλήλους, οἱ μὲν τὰ βασιλέως φρονοῦντες τὸν Κομνηνὸν

3 δοῦκα C, δοῦκα τὸν Βούλγαρον margo P 7 σαγαρίου C
20 στρατοπεδιῶν C

adiuncto ei collega ac consiliario Aarone Duca magistro, fratre uxoris Comneni, viro multis certaminibus exercitato. hos ergo duos cum copiis mittit adversus Comnenum, iique a Chrysopoli traiecerunt et Nicomediam venerunt, inde missis qui Sangarii pontem deiiciant, ne facile accedere posset Comnenus, sed circuitu uti coactus non falleret. hinc ad Sophonem montem progrediuntur, ac positis ibi munitisque castris bello se parant.

Comnenus autem, qui in omnes partes dimissis exploratoribus nihil eorum quae fiebant ignorabat, cum renuntiaretur domesticum cum suis iam radices Sophonis occupasse, celeriter profectus Nicaeam primo aditu occupat; ibique depositis opibus suis atque superfluis impedimentis, urbe ea praesidio munita, castra metatus est ad septentrionalem Nicaeae partem, 12 fere ab urbe stadiis. cum ab utraque parte milites e castris pabulatum processissent alterique in alteros incidissent, ut erant gentiles cognati amicique inter se, hortati sunt imperatorii Comnenios ut ad

καταλιπεῖν παρακαλοῦντες, τύραννον ἄνδρα καὶ ἀποστάτην, καὶ B τῷ βασιλεῖ προσχωρῆσαι, καὶ μὴ δι' ἐπιθυμίαν καὶ ὄρεξιν ἑνὸς ἀνδρὸς ἐς τοσοῦτον κίνδυνον ἐλθεῖν ὥστε μετὰ μικρὸν μὴ μόνον ἔκπτωσιν στρατιᾶς καὶ περιουσίας ὑποστῆναι, ἀλλὰ καὶ αὐτὸ τὸ γλυκύτατον ἀποβαλεῖν κινδυνεῦσαι τῶν ὀμμάτων φέγγος, ἐκείνων δὲ πάλιν καταλιπεῖν παραινούντων τὸν βασιλέα, ὄνομα μόνον ἔχοντα βασιλέως, τἄλλα ἄνδρα σαπρὸν καὶ χρονόληρον καὶ ἀχρεῖον, ὑπὸ εὐνούχων ἀρχόμενον, καὶ προσρυῆναι τῷ Κομνηνῷ, ἀνδρὶ κατὰ χεῖρα γενναίῳ καὶ λαμπρῷ καὶ διαφανεῖ τοῖς προηγησαμένοις στρατηγήμασιν, ἐφ' ᾧ πᾶσα ἡ τῶν Ῥωμαίων ἰσχὺς ὥσπερ ἐκ κύκλου γραμμαὶ πρὸς αὐτὸν ὡς εἴς τι σημεῖον νενεύκασιν ἐν ἴσῳ C καὶ ἀπαραλλάκτῳ βουλήματι. ἀλλὰ ταῦτα λέγοντες οὐκ ἔπειθον ἀλλήλους. τοῦτο δὲ ἐγίνετο ἐξεπίτηδες, τῶν ἀρχηγῶν ἑκατέρων τῶν στρατευμάτων πεμπόντων τινὰς τῶν ἐπιτηδείων εἰς τὸ προδιαλέγεσθαι τοῖς τοῦ ἀντιπάλου στρατεύματος στρατιώταις καὶ καθόσον οἷόν τε τοὺς πειθομένους ἐφέλκεσθαι. ὡς δὲ ἐπὶ χρόνον τινὰ τὴν διάπειραν ἐποιοῦντο καὶ οὐδεὶς προσεῖχε τοῖς λεγομένοις τὸν νοῦν, μετὰ πλείστης δὲ φειδοῦς καὶ ὁ Κομνηνὸς τὰς ξυλείας καὶ τὰς χορτολογίας ποιεῖσθαι παρηγγύα καὶ μὴ πόρρω τῆς στρατοπεδείας ἀφίστασθαι, τότε δὴ οἱ περὶ τὸν δομέστικον, καὶ μᾶλλον οἱ Μακεδόνες, ὑπόπτωσιν καὶ δειλίαν εἶναι τὴν ὑποστολὴν οἰηθέντες πολεμητέον εἶναι ἐδόκουν. οἷς καὶ ἄκοντες πεισθέντες D στρατοπεδεύονται κατὰ τὸν λεγόμενον Πετρόην, οὐ πάνυ πόρρω

15 στρατεύμασι C

imperatorem a Comneno deficerent tyranno ac perduelle, neque ob unius hominis cupiditatem eo se darent ubi paulo post exauctorati ac fortunis eversi, etiam de amittendis oculis essent periclitaturi. contra Comnenii imperatoriis suadebant ut ab eo qui nomen solum imperatoris gereret, homo alioqui putidus et delirus senex atque inutilis, et qui a spadonibus regeretur, transirent ad Comnenum, virum bello clarum et gestis imperiis illustrem; ob quae universa Romanorum vis in ipsum, veluti a circulo ad unum punctum omnes lineae, unanimi et constanti voluntate confluxissent. neutri tamen alteros permoverunt. atque fiebat hoc dedita opera utrinque ducibus eos mittentibus qui ad talia colloquia tractanda erant idonei, ut oratione ad se alteros attraherent. tentatis aliquamdiu utrinque animis, et nemine assentiente, Comnenus interim suos quam parcissime lignatum pabulatumque ire iubet, neque procul a castris discedere. hoc domesticus et praecipue Macedones prae metu fieri opinati praelio decernendum statuunt. quibus cum reliqui vel inviti obtemperarent, castra imperatorii transferunt ad Petroam, qui locus a

κείμενον τῆς ἐναντίας παρεμβολῆς, ἀλλ' ὅσον ἀπὸ σταδίων πεντεκαίδεκα. οὕτω δὲ τῶν δυνάμεων ἔγγιστα γενομένων ἀλλήλαις, καὶ τοὺς στρατηγοὺς βιαζομένων ἐξάγειν καὶ μὴ κωλύειν, ἀναπείθεται μὲν ὁ Κομνηνὸς καὶ τὰς οἰκείας ἐκβάλλει φάλαγγας καὶ πρὸς παράταξιν ἵστησι, τοῦ μὲν εὐωνύμου κέρατος κατάρχειν προχειρίσας τὸν Κεκαυμένον, τὸ δεξιὸν ἔχοντος Ῥωμανοῦ τοῦ Σκληροῦ, αὐτὸς δὲ ἐν μέσοις ἐτάττετο, ἀναπείθεται δὲ καὶ ὁ δομέστικος σὺν τῷ Ἀαρών, καὶ τὸν οἰκεῖον ἐξαγαγὼν λαὸν ἀντιμέτωπον ἵστησι τοῖς ἐναντίοις. τοῦ μὲν οὖν δεξιοῦ κέρως ἄρχων ἦν Βασίλειος ὁ Ταρχανιώτης, στρατηλάτης τότε τυγχάνων τῆς δύσεως καὶ πάντων τῶν Μακεδόνων ὢν ἐξοχώτατος ὡς καὶ γένει καὶ φρο-
P 802 νήσει καὶ ἐμπειρίᾳ διαπρεπέστατος· τὸ δὲ εὐώνυμον ἐγκεχείριστο ὁ μάγιστρος Ἀαρών, ἔχων στρατηγοὺς τὸν Λυκάνθην καὶ τὸν Πνυέμιον καὶ Ῥανδοῦλφον πατρίκιον τὸν Φράγγον. τοῦτον δὲ τὸν τρόπον γενομένης τῆς παρατάξεως κατά τινα τόπον Ἅιδην παρὰ τῶν ἐγχωρίων ὀνομαζόμενον, ὡς ἐδόθη τὸ τοῦ πολέμου σύνθημα καὶ προσέρραξαν ἀλλήλαις αἱ δυνάμεις, τρέπεται μὲν ὁ Ἀαρὼν τὸ δεξιὸν μέρος καὶ μέχρις αὐτοῦ διώκει τοῦ χάρακος, κατασχὼν ζωγρίαν καὶ Ῥωμανὸν τὸν Σκληρόν· καὶ τάχα ἂν ἀπηνέγκατο καθαρὰν τὴν νίκην, εἰ μὴ λίαν ἐγένετο εὐλαβὴς καὶ τοῦ σκυλεῦσαι ἀπέσχετο τὴν παρεμβολήν, ἤδη καὶ τοῦ Κομνηνοῦ κατασεισθέντος καὶ φυγεῖν εἰς Νίκαιαν ἀποβλέποντος. ὁ δὲ Κεκαυμένος τὸ

1 δεκαπέντε C 11 ἦν C 13 μάγιστρος καὶ δοὺξ Ἀαρὼν ὁ Βούλγαρος margo P 15 γινομένης C 19 καὶ κἂν ἀπ. C

castris hostium aberat 15 fere stadiis. cum adversi exercitus ita in propinquo essent et a ducibus pugnandi facultatem poscerent, Comnenus suis obsequens educit aciemque instruit, et sinistro cornui Ambustum dextro Romanum Durum praeficit, ipse medium tuens. domesticus quoque et Aaron passi sunt persuaderi sibi ut ad pugnam prodirent aciemque aciei hostium opponerent. dextrum cornu tenuit Basilius Trachaniota, Occidentis tum ductor, omniumque Macedonum genere prudentia ac peritia excellentissimus, auctoritateque primus. sinistrum Aaroni mandatum fuit, ducibus Lycantha Pnyemio et Randulpho patricio Franco. commissum est praelium in loco qui Ades, id est orcus, nominatur ab incolis. ibi Aaron dextrum cornu hostium pellit, fusosque ad castra usque persequitur, capto Romano Duro. quodnisi eum nimia cautio a diripiendis castris hostium abstinuisset, utique integra fuisset potitus victoria, iam Comneno etiam concusso et fuga Nicaeam petere cogitante. at Ambustus fusis qui ipsi erant oppositi, ab insequendo

κατ' αὐτὸν τρεψάμενος ἀκριβῶς οὐκ ἐπέσχε τὴν δίωξιν, ἀλλ' B ἄχρις αὐτοῦ τοῦ χάρακος φθάσας αὐτόν τε ῥήγνυσι, καὶ εἴσω γενόμενος καὶ τὰς σκηνὰς διαρπάσας καὶ τοῖς ξίφεσι ταύτας κατατεμὼν εἰς γῆν ἔρριψεν. ὅπερ θεαθὲν τοῖς πόρρω (ἔκειτο γὰρ ἡ παρεμβολὴ ἐπὶ τόπου δίαρμα ἔχοντος) θάρσος μὲν ἐνέβαλε τοῖς ἀμφὶ τὸν Κομνηνόν, δειλίαν δὲ τοῖς περὶ τὸν Ἀαρών· σεσυλημένον γὰρ ἰδόντες τὸν χάρακα οἱ μὲν ἀνηλάλαξαν, οἱ δὲ πρὸς φυγὴν ὥρμησαν. καὶ πίπτει μὲν ἀπὸ τοῦ μέρους τοῦ βασιλέως λαὸς πολύς, κατ' ἐξαίρετον δὲ Μακεδόνες, οὐ μόνον ἀπὸ τῶν στρατιωτῶν ἀλλὰ καὶ στρατηγοὶ πολλοί, ὁ Μαυροκατακαλών, ὁ Πνυέ- C μιος, ὁ Κατζαμούντης καὶ ἄλλοι οὐκ ὀλίγοι, ἑάλωσαν δὲ καὶ πολλῷ πλείους τῶν ἀναιρεθέντων.

Ἐν ταύτῃ τῇ μάχῃ φασὶν ὅτι τῶν περὶ τὸν βασιλέα τραπέντων Ῥανδοῦλφος ὁ Φράγγος ἐς μέσους περιπλανώμενος τούς τε φεύγοντας καὶ τοὺς διώκοντας ἐζήτει συμπλακῆναί τινι τῶν ὀνομαστῶν. ἐπεὶ δὲ μάθοι ὡς Νικηφόρος δίεισιν ὁ Βοτανειάτης, τοὺς ἄλλους καταλιπὼν ἀπῄει πρὸς ἐκεῖνον, πόρρωθεν κράζων καὶ μένειν παρεγγυώμενος, δηλῶν καὶ τοὔνομα ὅστις εἴη καὶ ἐφ' ᾧ προσκαλεῖται. ὅπερ γνοὺς ὁ Βοτανειάτης ἵστησι τὸν δρόμον, καὶ ἐγγίσαντι τῷ Ῥανδούλφῳ προσμίγνυται, καὶ παίει μὲν ἐκεῖνος τῷ ξίφει τὴν ἀσπίδα τοῦ Ῥανδούλφου καὶ τέμνει διχῇ, παίει δὲ ὁ D Ῥανδοῦλφος αὐτὸν κατὰ τῆς κόρυθος, διολισθῆσαν δὲ τὸ ξίφος

8 καὶ om C

nequaquam destitit, sed ad castra hostilia usque delatus perrupto vallo penetravit, tentoria direpta gladiis discidit, et in terram deiecit. id eminus conspectum (erant enim castra loco edito) Comnenum cum suis audacia implevit, et qui ab Aarone stabant, metu. itaque et illi clamorem sustulerunt alacres, et hi fugam fecerunt. cecidit in pugna a parte imperatoris magna multitudo, Macedonum praesertim, non milites modo sed duces etiam, Maurocatacalo, Pnyemius, Catzamuntes aliique non pauci. capti multo plures.

In hoc praelio ferunt, pulsis imperatoriis, Randulphum Francum inter medios fugientes persequentesque oberrantem cum celebri aliquo cupivisse congredi. atque ubi sentiret Nicephorum Botaniatem ea transire, reliquis omissis in illum contendisse, eminus vociferantem utque maneret hortantem, et quis ipse esset nominatim exprimentem, et ad quam rem provocaret. quod Botaniatem animadvertentem inhibito cursu cum Randulpho manum conseruisse, scutumque eius gladio dissecuisse; Randulphum ensem in Botaniatae galeam impegisse, ictuque cum

οὐκ ἔβλαψε· διὸ καὶ συνδραμόντες πρὸς τὸν Βοτανειάτην ἕτεροι χειροῦνται ζωγρίαν τὸν ἄνδρα καὶ ἐς τὸν Κομνηνὸν ἀπάγουσιν. ἔπεσον δὲ καὶ τῶν ἐκ τοῦ Κομνηνοῦ στρατηγὸς εἷς, Λέων ὁ Ἀντίοχος, καὶ στρατιῶται τινές.

Γενομένης δὲ τῆς ἥττης καὶ τῶν ἐκ τῆς τροπῆς καὶ τοῦ πολέμου διασωθέντων ἐς τὸν βασιλέα ἐλθόντων ἅμα τῷ δομεστίκῳ καὶ τῷ Ἀαρών, αὐτὸς μὲν ἀπεγνώκει τὰ πράγματα καὶ ἤδη προσδόκιμος ἦν τῶν πάντων ἀφέμενος καταφυγὴν καὶ σωτηρίαν ζητεῖν· ἀλλ' οἱ περὶ αὐτὸν οὐ συνεχώρησαν τοῦτο ποιῆσαι, ἀλλὰ μένειν παρεκάλουν καὶ τελευτᾶν εὐγενῶς, εἰ δεήσει, περὶ τῆς βασιλείας. πάλιν μὲν οὖν στρατολογεῖν καὶ πρὸς δευτέρας ἀντιπαρατάξεις χω-
P 303 ρεῖν ὀχληρὸν καὶ ἀσύμφορον ἐνομίζετο, ᾤετο δὲ περιέσεσθαι, εἰ τὴν τῶν πολιτῶν εὔνοιαν ἐπισπάσοι· ὅθεν καὶ τούτους περιεῖπε καὶ δώροις συνεῖχε καὶ φιλοτιμήμασιν. ὁ δὲ Κομνηνὸς τὰ ἐναντία θραύσας στρατεύματα καὶ διασκεδάσας, ἀπαναστὰς ἐκ Νικαίας τριταῖος εἰς Νικομήδειαν ἔρχεται. ἐκεῖσε δὲ αὐτῷ γενομένῳ φθάνουσι καὶ πρεσβευταὶ βασιλέως, ὁ πρόεδρος Κωνσταντῖνος ὁ Λειχούδης, ὁ πρόεδρος Θεόδωρος ὁ Ἀλωπός, Κωνσταντῖνος ὁ Ψελλὸς ὁ τῶν φιλοσόφων ὕπατος. οὗτοι γὰρ οἱ τρεῖς ἄνδρες ἐπὶ σοφίᾳ καὶ λόγου δυνάμει τῶν κατὰ τὴν ἡμέραν ἐκείνην ἀνθρώπων
B διαφέρειν δοκοῦντες, καὶ ἀσυγκρίτως ὁ Ψελλός, ἐξελέγησαν εἰς τὸ πρεσβεῦσαι· καὶ προσεδόκησεν ὁ βασιλεὺς μεγάλα καταπρά-

13 ἐπισπάσεται C   20 ἡμετέραν γενεὰν C

delapsum irrito. atque ita factum ut alii ad Botaniatem accurrerent, captumque Randulphum ad Comnenum abducerent. a Comneno unus occubuit ductor Leo Antiochus, et milites aliquot..

Accepta hac clade, et iis qui ex adverso praelio evaserant ad imperatorem reversis cum domestico et Aarone, imperator de summa rerum desperavit; paratusque erat refugium aliquod et salutem quaerere imperio dimisso, si familiares hoc passi essent. qui hortati sunt ut perduraret, ac si ita ferret casus, propugnans pro imperio generose potius moreretur. enimvero novos contrahere exercitus ac denuo pugnae aleam tentare videbatur molestum ac inutile. superaturum se sperabat imperator, si civium benevolentiam sibi parasset. itaque modo hos modo illos demerebatur donis atque muneribus. Comnenus autem fractis dissipatisque hostium viribus a Nicaea movit, tertioque die Nicomediam venit. ibi ei occurrerunt legati imperatoris, praeses Constantinus Leichudes, praeses Theodorus Alopus, Constantinus Psellus philosophorum princeps. etenim hi tres viri sapientia et facundia omnium qui tunc vivebant primi habiti, et quidem extra comparationis sortem Psellus, ad eam legationem fuerant delecti, quod imperator eorum eloquentia et

ξασθαι διὰ τῆς ἐκείνων εὐστομίας καὶ χάριτος. ὑπισχνεῖτο δὲ ἡ πρεσβεία καταθέμενον τὰ ὅπλα τὸν Κομνηνὸν αὐτὸν μὲν υἱοθετηθῆναι παρὰ τοῦ βασιλέως καὶ Καίσαρα ἀναρρηθῆναι, πᾶσι δὲ τοῖς συναπαχθεῖσιν αὐτῷ ἀμνηστίαν κακῶν καὶ ἄφεσιν τῶν πεπλημμελημένων. ὡς δὲ λέγουσιν οὐδεὶς προσέσχεν αὐτοῖς, ἐπανελθόντες δ' ὡς βασιλέα καὶ ἑτέραν πρεσβείαν εἰληφότες ἐπανέρχονται, καὶ καταλαμβάνουσιν ἐρχόμενον τὸν Κομνηνὸν εἰς τὸ χωρίον τὰς Ῥέας. ἐδήλου δὲ ἡ πρεσβεία ἀναγορευθῆναι μὲν τὸν Κομνηνὸν βασιλέα υἱοθετηθέντα, πᾶσι δὲ τοῖς συστρατευσαμένοις αὐτῷ C βεβαιωθῆναι τὰς παρὰ τοῦ Κομνηνοῦ τιμὰς γράμμασι βασιλικοῖς. ἀγγελθείσης δὲ τῆς ἐκ βασιλέως ὑποσχέσεως αὐτὸς μὲν ὁ Κομνηνὸς καὶ πάντες οἱ σὺν αὐτῷ ἄρχοντες ἐπευφήμησαν, καὶ τὰς ὑποσχέσεις χρυσοβουλλείῳ γραφῇ βεβαιωθῆναι ἠξίουν, μόνος δὲ ὁ Κεκαυμένος ἀπηρέσκετο πρὸς πάντα καὶ καταλιπεῖν ἐνέκειτο τὸν γέροντα τὴν βασιλείαν καὶ ὑποχωρῆσαι, μὴ εἶναι ἄξιον λέγων τοῦτον μὲν ἤδη καθαιρεθέντα καὶ ἀποκηρυχθέντα ὅρκοις φρικωδεστάτοις αὖθις συγχωρηθῆναι βασιλεύειν Ῥωμαίων· τοῦτο γὰρ καὶ θεοῦ ὀργὴν ἔλεγε κινήσειν διὰ τὴν ἐπιορκίαν, καὶ οὐδὲ αὐτοῖς ἔσεσθαι συμφέρουσαν τὴν τῶν ὅπλων κατάθεσιν· αὐτός τε γὰρ D υἱοθετηθεὶς φαρμάκοις κατεργασθεὶς οἰχήσεται θᾶττον, καὶ ἕκαστος τῶν συμπραξάντων αὐτῷ τὼ ὀφθαλμὼ διορυγήσεται. λέγεται δὲ ὅτι καὶ οἱ πρεσβευταὶ παραπρεσβεύσαντες, ἄλλοτε ἄλλος

4 πεπλημμ.] πεπλημμ. παρασχεθῆναι margo P 5 προσεῖχεν C
13 βεβαιωθῆναι χρυσοβούλλοις C

gratia se maxima consecuturum sperabat. legati promittebant Comnenum, si ab armis discessisset, adoptatum ab imperatore ac Caesarem designatum iri; et omnibus qui ipsius secuti essent partes, impunitatem oblivionemque iniuriarum promittebant. neminem ferunt tunc iis assensum. reversi ad imperatorem rursus cum aliis mandatis mittuntur, inciduntque in Comnenum apud Reas. huius legationis sententia erat esse adoptatum iam ac Caesarem declaratum Comnenum, et imperatoriis literis omnibus qui cum ipso fuissent dignitates, quas essent adepti, confirmari. eas Comnenus condiciones, et qui cum eo erant duces, collaudarunt, easque aurea bulla confirmari postularunt, solo Ambusto improbante omnia. hic enim senem imperio prorsus spoliari volebat; indignumque fore facinus affirmabat, si, cui interpositis sanctissimis iuramentis imperium abrogassent, eum rursus id occupare paterentur, deique iram ob hoc periurium adversus ipsos exarsurum. iam id ex usu minime fore, ut ab armis discedant: mox enim et Comnenum veneno necatum et sociis conspirationis oculos effossum iri. ac proditum est memoriae, ipsos etiam legatos praevaricatos fuisse, et modo hunc modo

λάθρα τῷ Κεκαυμένῳ προσιόντες, παρεκάλουν ἔχεσθαι τῆς ἐνστάσεως καὶ μηδ' ὅλως ἐνδοῦναι. τοῦτο δὲ αὐτὸν ποιῆσαι καὶ οἱ καλῶς εἰδότες ἐπληροφόρουν, ἄνδρες οὐχ οἷοί τε ψεύδεσθαι, καὶ εἰς αὐτὸν τὸν Κομνηνὸν πληροφοροῦντες ἐνωμότως ὡς ἅπαν τὸ ἀστικὸν πλῆθος περικαῶς εἰς αὐτὸν ἔχει, καὶ ὡς εἰ μόνον ἐγγίσει τῇ πόλει, τὸν γέροντα ἐξωθήσαντες μετ' ἐπινικίων καὶ ὕμνων αὐτὸν προσδέξονται. καὶ ταῦτα μὲν γενέσθαι λέγεται ἐπὶ στρατοπέδου.

P 804 Ὁ δὲ γέρων συνέσφιγγε μὲν εἰς αὐτὸν τῶν πολιτῶν εὔνοιαν καὶ δωρεαῖς καὶ χρήμασι καὶ ἀξιωμάτων ὑπεροχαῖς καὶ τοῖς τοιούτοις οἷς θέλγεται καὶ καταδημαγωγεῖται τὸ πλῆθος καὶ πρὸς εὔνοιαν δεσμεῖται καὶ πίστιν· μείζονα δὲ καὶ ἀρρηκτότερον τὸν δεσμὸν τῆς εὐνοίας ποιῆσαι βουλόμενος, καὶ γραμματεῖον ἐκθέμενος ὅρκοις φρικτοῖς καὶ ἀραῖς παλαμναιοτάταις κατησφαλισμένον, ὡς οὐδέποτε βασιλέα ἢ δεσπότην τὸν Κομνηνὸν ὀνομάσουσιν ἢ τὴν βασιλεῖ πρέπουσαν τιμὴν αὐτῷ προσοίσουσιν, ἕκαστον τῶν συγκλητικῶν ἠνάγκαζεν ὑπογράφειν ἐν αὐτῷ καὶ τὰ γεγραμμένα κυροῦν. καὶ πάντες μὲν τῇ ἐξουσίᾳ πειθαρχοῦντες ἔτι πόρρω τοῦ Κομνηνοῦ διάγοντος ὑπέγραψαν· ὡς δὲ ἐκεῖνος ἤγγισεν εἴς τι χω-
B ρίον Ἀλμέας λεγόμενον, ἔμελλε δὲ τῇ ἐπαύριον ἐν τοῖς παλατίοις αὐλίζεσθαι τοῦ Δαματρύος, αἰφνίδιον περιστάντες περὶ τὸ περίορθρον τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ ὁ μάγιστρος [καὶ] Μιχαὴλ ὁ τοῦ Ἀναστασίου υἱός, ὁ πατρίκιος Θεόδωρος ὁ Χρυσήλιος, ὁ

illum diversis temporibus Ambusto suasisse ut oppugnaret acriter oblatas condiciones neque quicquam concederet. et quidem hoc eos egisse, pro certo perhibent ii quibus ista optime sunt nota, et a mendacii suspicione sunt immunes; aiuntque eos interposito iureiurando affirmasse Comneno ardenter eum ab urbana multitudine diligi, ac si tantum accessisset ad urbem, fore ut ipsum ea, sene exturbato, cum gratulatoriis victoriae et imperii carminibus excipiat. haec in castris acta feruntur.

Interim senex imperator civium erga se benevolentiam donis muneribus honoribus et aliis quibus favor populi paratur ac retinetur confirmabat; utque artiore eam vinculo constringeret, promulgato decreto sacramentis maximis et dirissimis imprecationibus obligabat Byzantios, nunquam se Comnenum imperatorem aut dominum salutaturos, aut imperatori debitum honorem delaturos; eique singulos senatores subscribere et ratum id habere coegit. quod ii fecerunt potentiae cedentes, Comneno adhuc procul ab urbe versante. verum ubi is ad Almeas accessit, et postridie erat in palatio Damatryos pernoctaturus, iam aurora appetente, subito magnum dei templum circumsteterunt magister Michaelus Anastasii filius, patricius Theodorus Chryselius, patricius Christo-

πατρίκιος Χριστοφόρος ὁ Πυρρός, οἱ τῶν ἑταιρειῶν πάντες ἄρχοντες, καί τινες ἄλλοι τῶν ἀφανεστέρων, κάτωθεν ἔκραζον κατελθεῖν πρὸς αὐτοὺς τὸν πατριάρχην ὡς μέλλοντες περὶ ἀναγκαίων αὐτῷ πεύσεις προσενεγκεῖν. τοῦ δὲ μὴ καταβῆναι πεισθέντος, ἀλλ᾽ ἀποκλείσαντος τὰς ἑαυτοῦ θύρας καὶ τὴν εἴσοδον τοῦ ἀνάγοντος εἰς τὰ ὑπερῷα τῆς ἐκκλησίας λαβυρίνθου, πεπομφότος δὲ πρὸς τούτους Νικηφόρον καὶ Κωνσταντῖνον τοὺς αὐταδέλφους καὶ ἰδίους ἀνεψιούς, καὶ δι᾽ αὐτῶν τὰς πεύσεις προσενεχθῆναί οἱ C κελεύοντος, οἱ συνελθόντες καὶ ἄλλο πλῆθος προσλαβόμενοι οὐκ ὀλίγον (ἤδη γὰρ τῆς φήμης διαδοθείσης συνέτρεχον πανσυδί, οὐ μόνον οἱ τοῖς νεωτερισμοῖς ἐπιχαίροντες, ἀλλὰ καὶ τῶν συνετωτέρων οὐκ ὀλίγοι καὶ τῶν συγκλητικῶν πλῆθος, ὅσοι μὴ ἱκανῶς παρὰ τοῦ βασιλέως ἐθεραπεύθησαν) περισχόντες τοὺς τοῦ πατριάρχου ἀνεψιοὺς ἀπάγξειν ἠπείλουν, εἰ μὴ τάχιον αὐτὸς καταβαίη πρὸς τούτους. ὁ δὲ εἴτε ἄκων, οὐκ οἶδα, εἴθ᾽ ἑκών, ὡς ὁ τῶν πλειόνων εἶχε λόγος, τὴν ἱερατικὴν περιθέμενος διπλοΐδα καὶ τὰ λοιπὰ παράσημα τῆς ἀρχιερωσύνης ἀναλαβὼν κάτεισιν ἀκκιζόμενος καὶ δεινὰ πάσχοντι ἐοικώς· ἦσαν δὲ ταῦτα πάντα σκηνή, ὡς τὰ πράγματα ἔδειξαν. κατελθόντα γὰρ ἐκεῖνον εὐθέως οἱ ἀνάπται D τοῦ πλήθους παρειληφότες, καὶ θρόνον ἐνεγκόντες, ἐπὶ τοῦ δεξιοῦ μέρους καθίζουσι τοῦ ἁγίου βήματος. καὶ πρῶτον μέν, ὡς ἐν προσχήματι τάχα, πρεσβευτὴν αὐτὸν παρεκάλουν ὡς βασιλέα γε-

8 οἰκείους C πίστεις C 14 ἀπάξειν C 16 εἶχε] οἶδε C
παραθέμενος C 17 αἰκιζόμενος C 19 ἔδειξε C

phorus Pyrrhus, omnes sodalitatum duces, nonnullique alii obscuriores, magna voce descendere patriarcham ad se iubentes: de maximis rebus consulendum. patriarcha id facere cum recusaret, suasque obderet fores et ianuam cochleae quae in superiora templi conclavia educit, ac Nicephorum tantummodo et Constantinum fratres, patrueles suos, mitteret ac per eos se consuli mandaret, ii qui eo convenerant magna iam turba aucti (nam fama didita undiquaque concurrebant non ii modo qui novis gaudebant rebus, sed et prudentiorum haud pauci et multi senatores non bene a Stratiotico tractati) patrueles patriarchae corripuere, strangulaturos minati, nisi statim ipse descenderet. itaque patriarcha, sive invitus (non enim pronuntio) sive, quod plurimorum sermone asseritur, volens ac sponte sua, veste pontificia reliquoque habitu et insignibus summi sacerdotii ornatus descendit, simulans se gravi iniuria affectum indignari. res ipsa docuit haec omnia, ut in scena, per simulationem acta. mox eum populi concitatores arripuerunt, allatoque solio ad dextram partem sacrae sellae collocarunt. ac primum, sed sub praetextu, hortantur eum ut pro ipsis legatus imperatorem adeat, reposcatque de-

νέσθαι, ὅπως ἀποδοθείη αὐτοῖς τὸ ὑπογραφὲν παρ' αὐτῶν ἔγγραφον, ὡς ἤδη τοῦ βασιλέως σπεισαμένου τῷ Κομνηνῷ καὶ βασιλέα ἀνειπόντος αὐτόν. τοῦ γὰρ ἐγγράφου σωζομένου ἀδιαρρήκτου, δυοῖν ἀτόποιν θάτερον ἔφασκον ἐξ ἀνάγκης ἕψεσθαι· ἢ γὰρ εὐφημήσαντες αὐτὸν ὡς βασιλέα ἐπιορκήσουσιν, ἢ ὡς ἐνυβρίσαντες εἰς βασιλέα κολασθήσονται. ὁ δὲ πρῶτον μὲν ἀνελάμβανεν
P 805 αὐτούς, καὶ πληρώσειν τὸ αἴτημα τούτων κατεπηγγέλλετο. εἶτα μικροῦ διαλιπόντος καιροῦ πάντων ἀφέμενοι αὐτοκράτορα βασιλέα ἀναγορεύουσι τὸν Κομνηνόν, καὶ τοὺς ὅσοι μὴ τοῦτο βούλονται ἐχθροὺς Ῥωμαίων καὶ ἀποστάτας ὠνόμαζον, καὶ διαρπάζεσθαι τὰς οἰκίας αὐτῶν ὑπὸ τοῦ πλήθους ἐδοκίμαζον, αὐτοῦ τοῦ πατριάρχου πρώτου διὰ τοῦ τῆς ἐκκλησίας δευτερεύοντος Στεφάνου συμπαρόντος καὶ συνευδοκοῦντος, καὶ Θεοδώρου τοῦ Ἀντιοχείας πατριάρχου τὴν ἀνάρρησιν τῆς εὐφημίας βοήσαντος, καὶ τοὺς οἴκους τῶν ἐν ὑπεροχαῖς, ὅσοι μὴ ἠρέσκοντο τοῖς γινομένοις, ἀνασκάπτειν καὶ διαρπάζειν προτρέποντος. καὶ ταῦτα μὲν ἔπραττεν ἔσωθεν τοῦ θείου καὶ περιωνύμου ναοῦ· ἄγγελον δὲ πρὸς τὸν
B Κομνηνὸν πέμψας, καὶ πρὸς τὸν γέροντα ἄλλους, ἐκείνῳ μὲν μηνύει σπεύδειν καὶ μὴ βραδύνειν, καὶ μισθὸν ἀπῄτει τῆς συνεργίας ὡς ἤδη τέλος ἐχούσης τῆς αὐτοῦ ἐφέσεως, τούτῳ δὲ κατιέναι τῶν ἀνακτόρων κατ' οὐδὲν αὐτῷ προσηκόντων. κἀκ τούτου τοῖς

1 αὐτῷ C 3 αὐτῷ P 9 βούλοντο C 16 προτρέπεται C 19 μισθοὺς ἀποδώσει C

cretum ab ipsis subscriptum, quandoquidem iam ipse cum Comneno facta pace eum imperii successorem designasset. nam nisi ea charta discerperetur, necessario alterum fore, ut aut Comnenum ipsi imperatorem salutando perfidiae se obligarent, vel honorem ei debitum non deferendo poenas darent. patriarcha principio eos bono animo esse iussit, seque eorum postulata impleturum promisit. paulo post autem illi, omnibus aliis rebus omissis, imperatorem Augustum proclamant Comnenum, et dissentientes pro hostibus Romani imperii haberi ac perduellibus, et eorum domos a multitudine diripi iubent. princeps patriarcha per Stephanum, qui proximum ab ipso in ecclesia dignitatis locum obtinebat, praesentem hoc approbat, ac Theodorum Antiocheae patriarcham, proclamantem hanc designationem, et permittentem ut summorum virorum qui haec improbarent aedes diruantur atque diripiantur. atque haec agebat patriarcha intra sacram istam atque celebrem aedem. mox idem nuntios et ad Comnenum mittit et ad Stratioticum, illum mora omni repudiata accelerare iubens, praemiumque operae praestitae utpote re iam confecta postulans, hunc palatio nimirum nihil ad ipsum

πᾶσιν ἀπροφάσιστος ἐφάνη ὁ πατριάρχης μὴ μόνον μέτοχος ὢν ἀλλὰ καὶ πρωταίτιος τῆς ἀποστασίας. τοῦ δὲ τοὺς πεμφθέντας εἰς αὐτὸν μητροπολίτας ἐρωτήσαντος "καὶ τί μοι ἀντὶ τῆς βασιλείας ὁ πατριάρχης παρέχεται;" ἐκείνων δὲ ἀποκριναμένων "τὴν οὐράνιον βασιλείαν," ἅμα τῷ λόγῳ τὴν πορφύραν ἀποβαλὼν καὶ τὰ κοκκοβαφῆ πέδιλα, καὶ ἰδιωτικὴν ἐσθῆτα ἀμφιασάμενος, κάτεισι. τοῦτο δὲ πάντως ἐγένετο ἂν ὡς ἐκεῖνός τε ἐβούλετο καὶ C οἱ μητροπολῖται ὑπέσχοντο, εἰ ἅμα τῇ ἀποστασίᾳ ᾤχετο λιπὼν τὰ βασίλεια· ἐγκαρτερήσας δὲ ἄχρι πολέμου, καὶ ἀνασχόμενος τοσαύτην πτῶσιν ἰδεῖν ἀνδρῶν ὁμοφύλων, εἶτα θραυσθεὶς καὶ κατασεισθεὶς ὑπὸ τῶν πολιτῶν καὶ ἄκων τῆς βασιλείας ὑπεξερχόμενος, οὐκ οἶδα εἰ ἀντιμισθίαν κομιεῖται τῆς ἐπιγείου βασιλείας τὴν ἐπουράνιον. ἀλλὰ τοῦτο μέν, ὅπῃ τῷ θεῷ φίλον, γενήσεται. τοῦ δὲ κατὰ τὴν ἐν τῇ ἀκροπόλει οἰκίαν αὐτοῦ γενομένου ἡμέρᾳ τετράδι, τριακοστὴν πρώτην ἄγοντος τοῦ Αὐγούστου μηνός, τῆς δεκάτης ἐπινεμήσεως, εἰσέρχεται ὁ Κεκαυμένος κουροπαλάτης D ὑπὸ τοῦ Κομνηνοῦ τιμηθεὶς μετά τινων οὐκ ὀλίγων εὐπατριδῶν τῇ ε' πρωΐας διὰ δρόμωνος, καὶ εἰσελθὼν κρατεῖ τὰ ἀνάκτορα. ἔρχεται δὲ περὶ δείλην ὀψίαν καὶ ὁ Κομνηνός, καὶ εἴσεισιν ἐν αὐτοῖς, καὶ τῇ ἐπαύριον, πρώτην ἄγοντος τοῦ Σεπτεμβρίου μηνός, τῆς ια' ἐπινεμήσεως, τοῦ ,ϛφξϛ' ἔτους, δημοσίαν ποιησάμενος

1 ἀπροφασίστως? 5 πορφυρίδα C 14 τῇ om C 16 στέλλεται C 17 σταλθεὶς C 21 τῆς — ἔτους om C

pertinente discedere mandans. unde omnibus patuit patriarcham nihil posse praetexere, quominus non socius modo sed auctor praecipuaque causa huius fuisse defectionis crederetur. missos autem ad se metropolitas cum interrogaret Stratioticus, ecquid sibi pro imperio patriarcha redderet, regnum caeleste redditurum dixere. atque is extemplo purpuram ac coccinos calceos abiecit, privatique indutus habitu discessit. enimvero quod volebat et metropolitae promittebant, haud dubie consecutus fuisset, si ad primum motum defectionis regiam deseruisset. nunc ad bellum usque in ea moratus, cum sustinuisset tot civium videre bello intestino cladem, postea rebus fractis et subditis opprimentibus imperio invitus se abdicans, haud scio an compensationis loco pro caduco aeternum sit consecuturus imperium. sed in hac re fiet quod deo placebit. Stratiotico in suam, quae erat in arce, domum digresso, feria quarta, ultima die Augusti mensis, indictione decima, Ambustus curopalates a Comneno missus cum haud paucis illustri loco natis, feria quinta summo mane celoce ad palatium appellit idque intrat. sub vesperam venit etiam Comnenus, et palatium ingreditur. postridie, quod fuit kalendis Septembris, indictionis undecimae, anni ab origine mundi

πρόοδον ἄπεισιν εἰς τὴν μεγάλην ἐκκλησίαν, κἀκεῖσε ἄνωθεν τοῦ ἄμβωνος διὰ τῶν χειρῶν τοῦ πατριάρχου τῷ βασιλικῷ ταινιοῦται διαδήματι καὶ βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων ἀναγορεύεται.

6566, publica processione in magnum templum ivit, atque ibi supra suggestum patriarchae manu redimitus imperatorio diademate, Romanorum imperator pronuntiatur.